UNIVERSITY OF TORONTO DUPL
3 1761 00495557 1

Digitized by the Internet Archive
in 2008 with funding from
Microsoft Corporation

https://archive.org/details/commentariaina06pt12akaduoft

20

6

Aristotle

COMMENTARIA IN ARISTOTELEM GRAECA

PA
3902
A25
1882
v. 6
pars. 1-2

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMINIS VI

PARS I SYRIANI IN METAPHYSICA

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MCMII

SYRIANI
IN METAPHYSICA
COMMENTARIA

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

ÉDIDIT

199892
15/1/26

GUILELMUS KROLL

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MCMII

PRAEFATIO

Syriani diadochi Platonici in Metaphysicorum libros B Γ M N commentarii quod in hac editione emendati et a plerisque vitiis castigati leguntur, id non editoris meritum est, sed Hermanni Usneri, viri mea laude maioris, qui anno 1870 in appendice editionis Aristotelis academicae primus eos edidit[1]). ac ne opus quidem fuisset novam editionem emittere, nisi codicis collatio viro egregio praesto fuisset minime accurata, ex qua nemo cognoscere poterat hoc uno codice Syrianum tradi. huius igitur editionis si quod est meritum, in eo cernitur, quod verius recensionis fundamentum habet et de codice certiora tradit.

Edimus igitur Syrianum e codice Parisino Coisliniano 161 bomb. C
sacc. XIV (cf. Omont inv. somm. III 146), qui Syrianum exhibet fol. 410ʳ—447ᵛ eo ordine, ut commentarium ad librum B exciperet non Γ, sed MN, et Γ interponeretur Alexandri commentario, qui ante Syrianeum in codice extat; ergo Syrianus in Γ continetur foliis 266ʳ—289ʳ ita, ut Syriani verba inserantur verbis Alexandri (quo pertinet subscriptio, quam in adnotatione ad p. 53,30 exhibemus). quod non sine consilio factum est: nam ipse S. in praefatione libri p. 54,11 se non omnia explicare dicit, quod ab Alexandro optime essent explicata. hoc codicis ordine factum est, ut in apographis liber Γ prorsus omitteretur. usus est librarius ductibus inelegantibus, sed praestanti diligentia, quorum utrumque proprium est librorum bombycinorum. ubi ipse se correxit, scripturam priorem et posteriorem notis C^a et C^b distinxi; correctorem, qui raro munere suo functus est, C^c indicat. ι mutum semper deest; ν ἐφελκυστικόν cum codice et omisi et posui. contulit librum Carolus Kalbfleisch; qui cum lemmata Aristotelea non respexisset, ipse dum haec editio imprimitur has partes codicis excussi et varias lectiones ad Aristotelis libros B M N pertinentes praefationi subieci; ibidem scholia hic illic adscripta publicavi.

[1]) Pauca ediderat Brandis in 'Scholiis graecis in Ar. metaphysica' anno 1837 apud G. Reimerum publicatis.

Praeter hunc librum, ex quo ceteri fluxerunt omnes, duos adhibuerat Usener, quorum interdum mentionem feci, ubi sive veras sive memorabiles
A coniecturas tradere videbantur: PARISINUM GRAECUM 1896 saec. XV a Caesare Stratego in charta scriptum (Omont II 160), quem ipse huc
H transmissum examinavi, et HAMBURGENSEM phil. gr. 2 chart. in fol. (olim Holstenii, cf. Petersen, Geschichte der Hamb. Stadtbibl. p. 202).

His apographis multo utilior fuit versio latina HIERONYMI BAGOLINI (Syriani antiquissimi philosophi interpretis in II XII et XVI libros Aristotelis Metaphysices commentarius a Hier. Bagolino latinitate donatus. Venetiis 1558. 4°), de qua quae refero, desumpsi ex editione Useneri, qui totam hanc versionem diligenter contulit cum textu graeco. Bagolinus enim, qui codice usus est deteriorum aliquo, permulta egregio acumine emendavit, quae omnia fere ante me recepit Usenerus.

Alexandri in Metaphysica commentario ubi usus sit Syrianus, Useneri vestigia secutus diligenter indicavi. at librorum M N commentarium, quamquam sub Alexandri nomine attuli, non ab eo confectum esse credidi Iacobo Freudenthal, qui in Comment. acad. Berol. anni 1884 demonstravit verum Alexandrum ad libros tantum I—V pertinere. neque tamen credidi viro doctissimo mihique coniunctissimo, falsatorem in libris M N Syrianum exscripsisse; immo ubi inter se congruunt, Syrianum pendere a Ps. Alexandro mihi exploratum videtur.[1])

In indice conficiendo ea potissimum vocabula respexi, quae Platonicorum propria sunt; verbi gratia μιμεῖσθαι non ideo recepi, quod Syrianum eo verbo uti memorabile esset, sed quod Platonici ordines inferiores imitantes superiores inducere solent. hic quoque Usenero gratiam habeo, qui indiculum olim in suum usum confectum comiter mihi transmisit. locos similes e commentariis in Hermogenem non adnotavi (cf. ad p. 74,33); sed quisquis vel pauca contulerit, non magis dubitabit atque Hugo Rabe, quin idem Syrianus et haec et illa conscripserit.

Paginae columnae versus editionis Usenerianae marginibus dextris adscripti sunt.

Gryphiae mense Martio anni MCMII.

GUILELMUS KROLL.

[1]) Neque enim veri simile est Ps. Alexandrum, qui usque quaque Aristotelis verba παραφράζει, uti Syriano, qui interdum paraphrasin det id unum spectans, ut Platonem ab Aristotelis reprehensionibus defendat; immo Syrianus, ubi Aristotelis verba discipulis planiora reddere volebat, commodum duxit eum librum expilare, in quo totum Aristotelem adulescentium ingeniis accommodatum inveniret. sed de hac re fortasse alia disputandi erit occasio.

SUPPLEMENTA PRAEFATIONIS

I. De codicis C apographis.

Apographa mihi innotuerunt haec:

P Paris. graec. 1894 chart. saec. XVI (Omont II 160)
Q Paris. graec. 1895 chart. saec. XV/XVI (Omont l. c.)
A Paris. graec. 1896 chart. saec. XV; cf. p. VI
R Paris. graec. 1897 chart. saec. XVI (Omont l. c.)
S Paris. graec. 1912 chart. saec. XVI (Omont II 162)
T Paris. graec. 1926 chart. saec. XVI (Omont II 165)
U Paris. graec. 2354 chart. saec. XVI (Omont II 245)
M Montepessulanus scholae medicorum n. 64 (Omont III 374)
E Estensis Mutin. III B 14 chart. saec. XV
L Laurentianus 85,27 membr. saec. XV
I Palat. gr. 63 chart. saec. XV
K Vatic. gr. 1473 chart. saec. XVI
N Neapolit. III ε 11 saec. XV
Escorial. T II 16 chart. saec. XVI
Matritens. bibl. nat. O 27 chart. saec. XVI
B Bodleian. misc. 194 chart. anni 1541
Mosquensis de quo Matthaei accurata codd. graec. bibl. Mosqu. notitia p. 9 sq.
H Hamburgensis de quo cf. p. VI.

Rettulerunt de Parisinis C. Hoelk, de Montepessulano M. Bonnet, de Estensi Laurentiano Neapolitano A. Gercke, de Palatino et Vaticano E. Pfuhl et L. Deubner, de Bodleiano H. Rabe. varias lectiones enoto ad initium pertinentes omissis eis, quae ad orthographiam spectant.

p. 1,3 ὑπορημένων N || ἡσιωμένων E || 6 διηλέχθησαν BEHJKLMN || 7 δείξαν S 10 ἀπορῆσαι EK || δυν. τὸν μὴ EHKMNPQRSTU || λύσαντα omnes || κατανενοηκότα KLNP | 12 προκειμένης om. KP, supra v. add. E, παρούσης T || πραγματείας (pro θεωρίας) HMQRSU || ἀποριῶν T || εὐδίαν P || 15 ἀδίκαστος T || 16 τῶ τῆ AL sed τὸ suprascr. A^2 || 17 πρώτην omnes praeter NQRT || ἑκατέρων omnes praeter H || 19 οὐ δεῖ χρὴ KP || 21 διὰ λόγων omnes || ἀποκρίνασθαι EKT || **p. 2,**1 τὸν pro τῶν EMU || 2 καὶ prius om. NT || 7 ὑλικῶν ABILU || 10 τὸ ante τελικόν om. AB^aLNQ^a || 11 ἀποκρινούμεθα B^2I || ἐπίσκεπται EMN^aPQRST^aU ἐπισκέψαιται K || 13 αὐτὰ $A^1B^2EIKLMN^1PQRSU$

Haec satis esse opinor ad naturam horum codicum cognoscendam: de quibus si quis plura discere cupiet, libenter ei schedas meas transmittam.

II. Varia lectio Aristotelea.

Ipsa Aristotelis verba, quae lemmatis continentur, cum in collatione mihi tradita respecta non essent, postea demum Syriani textu iam impresso codicem inspexi et lemmata contuli. liceat igitur hoc loco lectiones discrepantes enotare, quae ad libros B M N pertinent; repeto autem eas quoque quae iam in adnotatione critica indicatae sunt, ut omnes sub uno conspectu prostent. utor Christii editione anno 1886 emissa; sed ad librum B etiam Bekkeri apparatum adhibui, qui ad hunc librum ipsum codicem C contulit, eam scilicet partem, in qua Metaphysica extant (fol. 226—409), notaque I^b distinxit. et quantum iudicare licet — Bekkerus enim saepius notas confudisse videtur: cf. Bonitz I p. VIII — lemmata Syriaca codicis C ex eiusdem libri parte priore i. e. ex I^b aut ex eodem archetypo ex quo illa descripta esse videntur.[1])

B 1 p. 995 b 8 πάντες ut $A^b I^b$
(ib. οἷον πότερον — 10 τοιούτων om.)
21 τῆς ταυτότητος om. ut $A^b E$
24 σκέψιν corr. ex. σκοπειν
(25 ἔτι δὲ — 27 ἐναντίον om.)
28 τὰ ante γένη om. ut I^b
31 παρὰ τὸν καθ' ἕκαστον (pro τὸ) ut I^b
32 τι post ἔστι om. ut I^b
35 λέγω δὲ σύνολον om. τὸ
996 a 4 ἔστι δὲ τῶν πάντων ut I^b
6 ἔλεγον ut E supra lin. et I^b
7 τί ante ἐστιν om. ut I^b
8 φησὶ om. ut I^b
9 ἢ ἀέρα ut E dett. ὁ δὲ ἀέρα A^b
(12 καὶ γὰρ — πολλήν om.)
15 ἐνυπάρχουσαι om. ut E Alex. dett., habet A^b
(περὶ γὰρ — 17 καλῶς om.)
22 τίνα γὰρ οἷόν τε τρόπον ut I^b
23 τοῦ ἀγαθοῦ
(εἴπερ ἅπαν — 36 καὶ κακῶν om.)
996 b 5 ἐνδέχεσθαι
om. τοὺς post τρόπους ut dett. Alex.: habent $A^b E$
11 om. δούλας ut I^b
ἀντιτείνειν (sic. I^b) et suprascr. ειπειν
17 τὸν τὸ τί ἐστιν ut I^b
23 πᾶσαν ut $A^b I^b$: ἅπασαν E
34 ἴδιόν ἐστι ut I^b: ἐστὶν ἴδιον $A^b E$
35 ὁμοία ut. vid.
997 a 7 ἀπόδειξιν εἶναι ἀδύνατον ut I^b
15 ἢ ψεῦδος: καὶ ψεῦδος E dett. καὶ τὸ ψεῦδος A^b
17 θετέον et suprascr. ρη (voluit ῥητέον ut I^b)
23 τὸ ὅτι ut E plerique: ὃ A^b Alex.
24 θεωρήσουσιν ut E plerique: θεωροῦσιν A^b
25 ἡ θεωρία μόνον ut E dett. Alex.: μόνον ἡ θεωρία A^b
997 b 10 om. εἶναι ut E dett.: habet A^b
11 ποιοῦσι (sic I^b) et suprascr. ἐποίουν
17 τε om. ut I
25 περὶ ut A^b dett.: παρὰ E Alex.
27 ἃ ut E dett.: ὧν A^b
29 τῆς pro αὐτῆς ut I^b
31 παρὰ et suprascr. ερὶ (περὶ G^b)
35 οὐδ' ἡ π. τ. ο. ἀστρολογία ut A^b G^b: οὐδὲ π. τ. ο. ἡ ἀστρ. E
998 a 2 οὔτε pro οὐδὲ ut G^b
5 αἱ ἕλικες ut E: αἱ om. A^b
ω
11 οὔτε μόνων (μόνων etiam I^b)
14 ἀναγκαῖον ἐν τῷ αὐτῷ εἶναι ut I^b

[1]) Omnino eiciendus est Bekkeri G^b; est enim Syriani cod. Paris. 1896 (cf. p. VII), qui totus fluxit ex C (I^b).

998a23 πρῶτον et suprascr. ων: πρῶτον $A^b E^1$ πρώτων E^2 Alex.
24 om. ταῦτ' ut I^b
30 μετὰ ut E dett.: μεταξὺ A^b
998b 1 ἐθέλοι ut I^b
2 ἐστὶ ut E dett.: συνέστηκε A^b Alex.
(3 ἐκ μὲν — 4 ὄντων om.)
4 εἰ ut A^b Ascl.: ἢ E
6 ὁριστῶν ἀρχὰς
καὶ ut A^b dett.: κἂν E
9 τῶν ante λεγόντων ex corr.
10 ἢ τὸ ὂν ut E dett.: καὶ τὸ ὂν A^b Alex.
τὴν ἀόριστον δυάδα ante τὸ μέγα C^a del. C^b
12 ὁ μὲν γὰρ ὁ λόγος ut I^b
ἔστιν (ut I^b pr.) et suprascr. αι
(16 καὶ γὰρ τ. ἔ. ἀμφισβήτησιν om.)
17 ὅτι ut E dett.: δεῖ A^b ἀεὶ Alex.
19 ἀρχαὶ ἔσονται ut I^b
20 ὂν ex corr.
22 ἓν εἶναι γένος οὔτε τὸ ἓν οὔτε τὸ ὂν ut E dett.
23 in μὲν γὰρ corr. μὲν ex γὰρ
24 γὰρ pro δὲ ut I^b
εἴδη ἄνευ τοῦ γένους καὶ τῶν ut EI^b
25 ἄνευ τοῦ (del. C^b) τῶν: ἄνευ τῶν E ἄνευ τούτων τῶν $A^b I^b$
(26 ὥστ' εἴπερ — 27 ἔσται om.)
999a 1 γένος τιθῇ ὡς ἀρχήν ut I^b
3 τὸ ante ποσὸν om. ut I^b
4 διαιρεῖται ut I^b
(13 ἔτι ὅπου — 16 γενῶν om.)
16 ὑπολαβεῖν ἀρχάς ut A^b?
(17 τὴν μὲν — 23 γένη om.)
27 τῶν δ' ἀπείρων ut A^bE cett.
34 ἔστιν, εἰδός τι παρὰ ut vulg.: εἰδός τι om. A^bE
999b 1 οὐθέν et ita plerumque
3 λέγοι ut I^b
ἔτι ut E dett.: ἔτι δὲ A^b
5 μηθέν ut EI^b: οὐδὲν A^b
7 ἀγένητον in ras.
8 om. τε
12 ὅτε τοπρῶτον (sic) ut I^b
13 ἀγένητος ut A^bE cett.
14 εἶναι add. post γίγνεται ut I^b
21 πάντα ut I^b
23 ἓν add. ante ἕκαστον ut I^b
26 οὐδ' αὖ τὸ ἓν καὶ τὸ ὄν ut I^b: οὐδ' αὐτὸ ἓν καὶ ὄν E οὐδ' αὐτὸ τὸ ἓν καὶ τὸ ὄν A^b
27 — 1000a4 cf. p. 40,23
1000a (7 εἰ μὲν — 8 αἰτίαν om.)
10 τοῦ ante πρὸς om. ut I^b
12 ἀμβρωσίας
οι οι
17 ἀΐδια δεόμενα (lectio prior in I^b)
(22 ἐπεὶ — 1001a3 λαμβάνοντες om.)
1001a 4 καὶ post δὲ om. ut I^b
(9 Πλάτων — 19 φασιν om.)
20 τινας ut vid. ut A^b: τινα E Alex.
24 ὅτι pro ἔτι ut I^b
25 φύσις τις ut E dett.: τις φύσις A^b
(26 ὁ μὲν — 27 τί ἐστι om.)
27 αὐτοὲν καὶ αὐτοὸν ut I^b
1001a28 καθόλου om. ut I^b
33 λόγον συμβαίνειν ἀνάγκη ut I^b
1001b 4 γὰρ καὶ ut E dett.: καὶ om. A^b
5 παρὰ suprascr. περὶ
ἀνάγκη δὲ μηδὲν εἶναι (μηδὲν pro μὴ ἓν etiam E dett.)
(8 ὃ γὰρ — 16 τοιοῦτον om.)
17 om. τοιούτων ut E dett.
28 εἰ μὴ γάρ εἰσιν ut I^b
(29 τὰ μὲν — 1002a14 καλεῖν om.)
1002a15 μᾶλλον ἐστὶν οὐσία τῶν σωμάτων τὰ μήκη ut dett.
19 om. τοῦ ut I^b
22 ὁ ἑρμῆς ut I^b
24 εἴη pro ἦν ut I^b
(ὁ δ' αὐτὸς — 28 ὄντων om.)
(30 δοκεῖ — 1002b5 γίγνονται om.)
1002b6 om. τῷ ut I^b
(6 οὐδὲ — 11 εἰσίν om.)
12 in textu ἄλλα τοιαῦτα παρά τε τὰ αἰσθητὰ ut $A^b I^b$, in marg. γρά. ἄλλάττα παρὰ τὰ αἰσθητά ut E
(14 εἰ γὰρ — 31 πρότερον om.)
(1003a 1—2 αἰτίας om.)
(4 δυνατὸν — 6 ἀδυνάτων om.)
(8 εἰ μὲν — 17 ἐπιστήμη om.)
Libri Γ solum initium extat, in quo αὐτῷ ὁ. καθ' αὑτά C.
Liber M incipit a p. 1076a38 (cf. tamen ad p. 84,6).
1076b 1 δύο στερεὰ ἅμα
9 om. αὐτὰς μὲν et δ'
11 cf. p. 87,1
1077a 2 ἐστὶ περὶ τὰ αἰ.
(6 ὥστε — 9 αἰσθήσεις om.)
10 ἄλλη τις αὕτη

1077a 12 στιγμὴ ut recentes
13 κεχωρισμένα εἶναι
18 κατὰ δὲ τὸ ἀληθὲς
19 τῇ γενέσει
τῇ δ' οὐσίᾳ
28 ὅτι ἔμψυχον γίγνεται (haec deleta)
καὶ ὅτι ἔμψυχον γίγνεται
30 ὑπὸ γὰρ τὰς
32 δὲ, suprascr. δὴ
35 ἐκ στιγμῶν
36 δυνάψεων
1077b 13 μόνω
18 παρὰ (sic Alex.) del. et suprascr. περὶ (sic A^bE)
32 οἷον τὰ κινούμενα (ενα ex corr.)
36 εἰ ὑγιεινὸν τὸ λευκόν ut A^bE
ἢ δ' ἔστιν ὑγιεινόν ut A^b, E in textu
1078a 1 εἰ ἢ om. ut A^bE
11 om. μᾶλλον
13 ὁμαλής ut E Alex.
16 om. δέ
19 τὴν π. φῇ μὴ π. ut A^bE
1078b (5 μᾶλλον — 6 ἐροῦμεν om.)
συντάττοντες
12 ἰδεῶν
1079a 1 ὡς εἰπεῖν om.
2 παρ' ἕκαστον
3 habet τε
7 ἤδη ut vid. pro εἴδη
11 καὶ φάνταρμά τι τοῦτ' ἐστίν (τοῦτ' etiam E)
17 habet τούτου et καὶ τοῦτο
20 εἶναί φασιν
22 ἔσται ut E, sed addit † ὅσα μὴ οὕτως ἐστί †
καὶ αἱ ut E
23 ἔσονται ut A^bE
28 λέγονται ut A^bE
35 om. εἶναι ut A^bE
36 ἐπὶ ταύτης!
1079b 1 καλοίη
4 om. τὸν
9 ἔτι — 11 γένος om.)
14 om. τοῖς
om. ἐστιν, sed idem suprascr. ante κινήσεως
15 ἐστιν αἴτια
οὐδὲ
16 συντελεῖ pro βοηθεῖ
19 οὕτως pro ἴσως
25 δέ γε
1079b 28 om. ὅμοιον ut A^bE
29 τοῦ σωκράτους
30 εἴη ut A^bE
32 καὶ ὁ αὐτ.
1080a 3 γίνεσθαι
8 δι' οἵας
26 om. αἱ ut E
37 τῶν πραγμάτων τοὺς ἀριθμοὺς
1080b 4 ἢ πάντας om. ut codd. dett.
9 εἶναι om. ut A^b
19 μοναδικόν
24 prius περὶ om.
25 τῶν pro τὰ
32 ἔχοντα ut A^bE pr.
1081a 7 habet τοὺς
8 ἀριθμὸς ἔσται
18 ἐνδέχεται — 19 ἀριθμὸν repetit
26 om. ἡ et prius τῆς
37 εἶναι pro ἔστι
1081b 6 οὕτω τὰ ἐφεξῆς
12 ἄν τε
14 τῇ δυάδα (sic)
28 om. ἄλλαι
(34 εἰ — 35 ἀνάγκης om.)
1082a 5 ἂν γὰρ
8 ἔσονται ut Alex.
9 om. αἱ ut E
δὴ pro δὲ
17 habet θατέρου θάτερον
35 συγκείσονται ἰδέαι
1082b 1 ἐκ ζώων repetit ante ἰδέαι ut A^b
εἰσὶν sed suprascr. ἔσονται
5 τε καὶ ἢ ἴσον
10 om. λέγειν
14 μὲν γὰρ
24 om. αὐτὸ
36 τὰς μερίδας
1083a 4 ἀλλ' ἢ
om. τὸ ut E
7 habet μείζους ἢ
20 τῶν e corr. (τὸν E)
25 habet τὸ
28 τοὺς ἀριθμοὺς
35 ἂν δ' αὖ
36 πολλὰ ἀδύνατα
37 ἐκείνως ἢ οὕτως
1083b 17 post ὄντα τόνδε, sed expunctum
27 ὑπάρχει ut A^bE
32 τοῦ μικροῦ
(38 ὥστ' — ὑπάρχειν om.)
1084a 5 ἐμπίπτοντος

1084a 17 ὑπολείψει, sed supra ἐπι
19 om. αὐτοῖς
23 εἰ δ' ἡ τετρὰς αὕτη ut A^bE
28 om. ἄρα
29 habet ὁ
30 om. τὸ ἓν ut A^bE
37 πεμπὰς sed supra πεντας
1084b 9 om. ἡ
13 ἄμφω τῆς ὕλης
15 μέρος
19 μέρος pro εἶδος
20 om. καὶ ut E
28 καὶ ἡ μονὰς
33 δὴ pro δεῖ
37 om. ἡ
1085a 1 καὶ ἡ τριὰς αὕτη geminat
2 ἢ ἄμφω
4 ὅσων sed supra scr. ον
7 ὑστέρων
17 om. καὶ ante αἱ
28 om. φασι
διαλῦσαι
31 τι ἢ ἕτερον
1085b 1 om. τοῦ
3 ταῦτα ut A^b, suprascr. ταυτὰ ut E
6 δυσχερῆ συμβαίνει
11 ἀλλ' ἀπ. αἱ αὐταὶ
14 δὲ ἢ ἐκ ut A^b, suprascr. δὴ ἐκ ut E
17 om. γ'
18 om. τε
(21 ἔτι — 22 ἀριθμός om.)
36 χωριστὸν καὶ τὰ μεγέθη
37 τόπους pro πρώτους
1086a 1 ταῦτα ut A^b
6 εἰς pro εἰ ut E, sed nescio quid suprascr.
9 ἰδέας ut E
11 τά τε εἴδη ut dett.
post εἴδη εἶναι, sed del.
12 ἐχώρησεν, sed ϊ supra η
19 ἂν ante ἐκ, non ante ἔτι
20 πεπεισμένος ut A^bE
1086b 2 om. τε
5 δῆλον
19τιθῇ ut E
1087a 1 om. αἱ ut E
ἔσται τι μὴ
6 habet καὶ ἰδέας
8 καὶ μηδὲν — 9 βῆτα om.
16 δύναμις et ἐνέργεια
1087a 17 habet τοῦ
25 ἡ ἐπιστήμη
29 ταύτης τῆς οὐσίας
30 γὰρ pro δὲ
31 καὶ sqq. om., cf. p. 165,21
1087b 17 φύσιν ἐστίν
18 οὐθὲν τούτων, om. ὡς εἰπεῖν
22 καὶ τὸ ut Ald.
27 τὸ πλῆθος
28 μέλει
30 om. τῷ ut E
37 ὡρισμένος ἐστί ut A^b
1088a 2 ante τὸ μέτρον suprascr. γὰρ
12 τῷ αὐτῷ
13 κατ' ἀριθμὸν
23 om. τις ἢ οὐσία
25 ἤ pro εἰ ut Alex.
29 om. ἢ ante πρός τι
30 μόνου ut E
33 ἁπλῆ suprascr. ὡς
35 ἐστί ut E
1088b 3 δὲ pro οὖν
5 τὰ στοιχεῖα
6 τοῦ ἀριθμοῦ
8 om. καὶ ante πλατὺ
ὧν pro οὗ
10 κἂν εἰ
11 om. ἢ τὰ μόρια
οὗτος ut E
13 οὐ μόνον
18 οὐδὲ γὰρ
33 συμβαίνει ut A^bE
1089a 4 οὐδαμῆ pro δαῆς ut A^b
ἀνάγκη ut A^bE
10 πάντα
13 εἶναι τόδε
27 habet τὸ
33 δὲ pro δὴ
1089b 8 τὰ pro τὸ
20 οὔτε pro οὐδὲ ut A^bE
21 εἰ post ὥσπερ, sed expunctum
ἐζήτει ut A^b, suprascr. τεῖτο ut E
32 εἰ καὶ
36 om. τὸ ante ποσὸν prius
1090a 7 αὐτοῖς ὑποκείμενον
14 τῶν μαθηματικῶν ἀριθμῶν πάντα. in mg. γρά. τῶν ἀριθμῶν πάντα
17 habet λαμβάνειν
33 οὐδὲ ut E
37 τι pro τε
1090b 3 λύεται ut A^b, supra λυτέον ut E

1090b 6 om. τοῦ
11 ἐστὶ ut E, suprascr. αι (i. e. ἔσται ut Ab)
13 ἔσται ut Ab
14 post μὲν οὖν, ved expunctum
25 πρότερον
27 καὶ ante οὐδὲ, sed deletum
30 μακρὰν ποιεῖν
(31 οὗτοι — 32 διαμαρτάνουσιν om.)
33 τὸν μαθηματικὸν et bis supra scr. ὧν (cf. Ab)
37 ἐκεῖνος ex ἐκείνω
ἰδεῶν
1091a 2 ἐρεῖ posterius expunctum
3 om. τε
4 τὰ ἓν ut Ab
12 διπλασιαζόμενον, suprascr. ος
14 οὐ post ἢ, sed expunctum
τὴν γένεσιν
15 τινες ante ὡς, sed expunctum
17 habet ὅτι
19 pro δίκαιον est ὁ . . . (quattuor fere fere litt. erasae)
τι rubro in τὰ corr. vid.
23 φασιν εἶναι
24 πρῶτον expunctum
25 πρότερον expunctum
31 κατὰ pro πρὸς
33 ἀόριστον
1091b 4 οἱ pro ἢ
6 καὶ supra ἢ
9 πάντα
21 γε pro τε
στοιχείων ἀριθμόν
28 μόνων
29 οὐσίαι expunctum
1091b 32 καὶ μέγα et supra εἴτε μέγα
33 ὡς ἀναγκαῖον ὄν expunctum
(ἐπειδὴ — 35 εἶναι om.)
1092a 8 χωριστὰ ut E
16 αὐτά post ταῦτα, sed expunctum
26 συλλαβαί, suprascr. ην (ut Ab)
28 ἔσται οὖν ut Ab
34 om. ἐστιν
1092b 2 ἐναντίου ἂν εἴη
ἔστιν ut Ab E
6 φθείρεται
9 αἴτιον
οἱ ante ὅροι, sed expunctum
14 habet ὁ, sed expunxit
ἢ ut Ab
19 ἢ ut Ab
22 μίξεων
23 ὁποιωνοῦν, sed ο supra ω
27 τὸ ut Ab E
33 πολλαπλασιάσεσιν ut. Alex.
34 τό τε pro τῷ τε
τὸν et suprascr. ων
1093a 12 om. τὰ
14 ἐν suprascr. m. rec.
16 om. πέφυκεν
20 habet καὶ
22 τὸ γὰρ
24 τῷ ut Ab E
28 ὅτι ut Ab E
1093b 1 συλλαβαὶ ut E
3 β pro Ω
10 σκοπούμενοι
11 ἐκεῖνο pro ὡς
13 ταύτης add. ante ἐστὶ
τὸ ἰσάκις ἴσον καὶ αἱ (sim. Alex.)
22 ἀλλήλων ἐκεῖνοι

III. Scholia.[1])

fol. 411r ad p. 7,27 (?): καὶ κυριώτερον· τὸ ὅτι γὰρ ἐν ὅλῳ αὐτῷ ἐστι τὸ μερικώτερον αἴτιον.

fol. 424r ad p. 94,14 vide in adn.

fol. 427r ad p. 107,28 γίνων] γίνος ἐστὶ μῖγμά τι ζῴων ἵππου καὶ ὄνου ἐναλλὰξ ἢ ὡς ὁ ἡμίονος ἔχον, οὗ ὁ μὲν πατὴρ ἵππος, ἡ δὲ μήτηρ ὄνος. νωθὴς δέ ἐστι καὶ ἡμιόνου ἀγεννέστερος. cf. Hesych. s. v. et quae colligit Nauck Aristoph. Byz. 108 sq.

[1]) Omitto notas marginales velut f. 427r ad p. 108,31 σημείωσαι καὶ περὶ ἰδεῶν προβλήματα.

fol. 429r ad p. 117,23 κατανωτίζεσθαι] κατὰ νώτου φέρειν. cf. Suid. s. v.

fol. 434v ad p. 142,15 sub textu editum.

fol. 440r ad 165,20 ἄνω ποταμῶν ἱερῶν] παροιμία ἐπὶ τῶν ὑπεναντίως γιγνομένων· ἄνω ποταμῶν ἱερῶν χωροῦσι πηγαί. οἱ ταύτῃ χρησάμενοι Αἰσχύλος Εὐριπίδης Πλάτων. cf. Hesych. s. v.

fol. 440v ad Ar. 1087 b 28 εἴπερ ἄρα μέλει] ἀντὶ τοῦ τοιγαροῦν,

Ibidem ad p. 167,25: καὶ γὰρ καὶ τοῦτο πλῆθος ὑπερεχόμενον.

fol. 447r ad p. 193,5 χωρὶς .. τὰ Μυσῶν] παροιμία· χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα. cf. corpus paroem. Gotting. II 130.

SYRIANI
IN METAPHYSICA
COMMENTARIA

ΣΥΡΙΑΝΟΥ ΤΟΥ ΦΙΛΟΞΕΝΟΥ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΩΙ Β ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ ΛΟΓΙΚΩΣ ΠΗΟΡΗΜΕΝΩΝ ΚΑΙ ΔΙΑΓΤΗΣ ΗΞΙΩΜΕΝΩΝ

Ἐν τῷ μείζονι Α τίς ἡ παροῦσα σκέψις εἰπών, ὅτι ἡ τοῦ ὄντος ᾗ 837a
ὄν, καὶ τίς ἡ ἐπιστήμη, ὅτι ἡ πρώτη φιλοσοφία, καὶ πόσα τὰ αἴτια, καὶ
πῶς οἱ πρὸ αὐτοῦ περὶ τῶν αἰτίων τοῦ ὅπως ποτὲ ὄντος διελέχθησαν, ἔτι
δὲ ἐν τῷ ἐλάττονι τῶν Α δείξας, ὅτι οὔτε κατ' εὐθυωρίαν οὔτε κατ' εἶδος
ἄπειρα τὰ αἴτια, νῦν ἀρχόμενος τοῦ Β πρῶτον ἀπορῆσαι χρῆναί φησιν,
ἵνα τε εὐπορώτερον ἀναστραφῶμεν ἐν τοῖς προκειμένοις σκέμμασιν (οὔτε
γὰρ εὐπορῆσαι δυνατὸν μὴ λύσαντας τὰς ἀπορίας οὔτε λῦσαι μὴ κατα-
νενοηκότας τὸ ἄπορον τοῦ πράγματος), καὶ ἔτι ὅπως ἂν ἴδωμεν τὸ τέλος
τῆς προκειμένης θεωρίας· ἡ γὰρ λύσις τῶν ἀπόρων εὐοδίαν παρέχουσα
ἐπ' αὐτὸ καταντᾶν ἡμᾶς τὸ ἀληθέστατον τῆς θεωρίας τέλος παρασκευάσει·
κἀκ τούτων δὲ καθῆκον τῷ φιλοσόφῳ τὸ ἀπορεῖν δείκνυσιν, ἵνα τῶν ἀντι-
κειμένων λόγων ὥσπερ ἀπρόληπτος καὶ ἀδέκαστος γενόμενος διαιτητὴς
ἕληται τὸ τῇ ἀληθεῖ θεωρίᾳ συμφωνότερον. ταῦτα προοιμιασάμενος ἔκθεσιν
πρῶτον ποιεῖται τῶν ἀπορίων, εἶθ' ὕστερον ἐφ' ἑκάστης | ἑκατέρῳ τῶν 837b
ἀντικειμένων συνηγορήσας λόγων ἐπιτείνει τὴν τῶν ἀπορίων δυσκολίαν.
τὰς δὲ λύσεις παρ' αὐτοῦ μὲν οὐ χρὴ ζητεῖν ἐν τούτῳ τῷ βιβλίῳ· δια-
πορητικὸν γάρ ἐστιν ὅλον τὸ Β· ἡμεῖς δὲ ἅμα προτείνοντος αὐτοῦ τὰ ἄπορα
δι' ὀλίγων ἀποκρίνεσθαι πειρασόμεθα καὶ τοὺς ἀντικειμένους λόγους ἐρω-
τῶντος τοῖς μὲν ἀληθέσι συμφθέγξασθαι, τοῖς δὲ σοφιστικοῖς ἀνταγωνίσασθαι.
κρατήσας γάρ τις τοῦ τοιούτου σκοποῦ τήν τε λέξιν τοῦ φιλοσόφου σαφῆ
καταστήσει καὶ τῆς ὅλης πραγματείας τὴν προαίρεσιν ἐν οἷς πολλοῖς περι-
λήψεται (περὶ γὰρ ὧν ἐνταῦθα προὔτεινε καὶ οὐ περί τινων ἄλλων ὁ Ἀρι-
στοτέλης, ὅ τι μὴ πάρεργον, ἐν ταῖς ὑπὲρ φύσιν αὐτοῦ ταύταις διδασκαλίαις

---

4 ἡ alterum] περὶ Alex. recensio LF διεἰλέχθησαν C; nolui διηνέχθησαν
7 ἄλφα C cf. α 2 10 λύσαντα C utrum verum sit, nequit diiudicari 17 πρώτην
C: corr. Usener 21 δι' ὀλίγων Us.: διὰ λόγων C 26 possis ὑπερφυέσιν;
sed ad metaphysicorum nomen adludit

διαλέξεται)· ἔτι δὲ πρόχειρον μὲν ποιήσει τῶν ἐριστικῶν λόγων τὸν ἔλεγ- 837b
χον· ἐνδείξεται δὲ καὶ πῶς ἂν ὁ Πυθαγόρειός τε καὶ Πλατωνικὸς πρὸς
τὰς ἐνστάσεις ταύτας ἀπαντήσειε. πρώτη οὖν ἀπορία,

p. 995b5 Πότερον μιᾶς ἢ πολλῶν ἐπιστημῶν θεωρῆσαι τὰς αἰτίας.

Ὁ μὲν ζητεῖ τοιοῦτόν ἐστιν· ἐπειδὴ καὶ ποιητικόν ἐστιν αἴτιον καὶ
εἰδικὸν καὶ τελικόν, ἐπί τινων | δὲ καὶ ὑλικόν, ἆρα ὁ ἐπιστήμων τοῦ 838a
πράγματος εἴσεται πάντα αὐτοῦ τὰ αἴτια, εἰς ὧν καθὸ μίαν ἐπιστήμην
ἔχει, ἢ πολλαὶ ἐπιστῆμαι περὶ τὰ πολλὰ διατρίψουσιν αἴτια, καὶ ἄλλη μὲν
εἴσεται τὸ ποιητικόν, ἄλλη δὲ εἰ τύχοι τὸ ὑλικὸν ἢ τὸ τελικόν, ἄλλη τὸ
εἰδικόν; ἀποκρινούμεθα οὖν ὅτι μία πάντα ἐπισκέπτεται· ἓν γάρ τι αὐτῶν
ἀγνοοῦσα οὐχ ἕξει τοῦ πράγματος ἐπιστήμην. εἰ δὲ καὶ περὶ τῆς σοφίας
ὁ λόγος εἴη, κομιδῇ γελοῖον τὸ ἀγνοεῖν αὐτὴν οἴεσθαι τὸ ἀγαθὸν ἢ τὸ εἶδος
ἢ τὸ γεννητικὸν τῶν ὄντων αἴτιον.

p. 995b6 Καὶ πότερον τὰς τῆς οὐσίας ἀρχὰς τὰς πρώτας ἐστὶ τῆς ἐπιστήμης ἰδεῖν μόνον, ἢ καὶ περὶ τῶν ἀρχῶν ἐξ ὧν δεικνύουσι πάντες.

Ζητεῖ μὲν εἰ ὁ πρῶτος φιλόσοφος τὰς αἰτίας τοῦ ὄντος ἐπιστάμενος
εἴσεται καὶ τὴν ἐν ταῖς πρωτίσταις καὶ ἀμέσοις προτάσεσιν ἀλήθειαν, ἢ
ἑτέρου μὲν ἡ γνῶσις τῶν τοῦ ὄντος ἀρχῶν, ἑτέρου δὲ τῶν ὄντων καὶ ὁλι-
κωτάτων ἀξιωμάτων. δῆλον δέ ἐστιν ὅτι τοῦ αὐτοῦ καὶ ταύτην κἀκεῖνα
γινώσκειν· οὔτε γὰρ ἀγνοῶν τὰ ἕτερα τέλειός ἐστι καὶ κατὰ τὴν ἑκατέρων
τῶν ἀρχῶν εἴδησιν ἐπιστήμην ἕξει τῶν ἐπιστημῶν. διὰ μὲν τῆς τῶν ἀξιω-
μάτων θεωρίας ἀρχὰς εἰδὼς τὰς ἀποδεικτικὰς καὶ χορηγῶν αὐτὰς ταῖς
ἄλλαις ἐπιστήμαις (διαλεκτικῇ μὲν καὶ ὅλως πάσαις ταῖς συλλογιζομέναις,
ὅτι μὴ δυνατὸν τὸ αὐτὸ φάναι ἅμα καὶ ἀποφάναι, φυσικῇ δὲ ὅτι μηδὲν
ἐκ τοῦ μὴ ὄντος γίγνεται, γεωμετρίᾳ δὲ ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις
ἐστὶν ἴσα, πᾶσι δὲ καὶ πάσαις ὅτι τἀγαθὸν τὸ ἔσχατον τῶν ἐφετῶν· περὶ
ὧν αἱ μὲν χρώμεναι πιστευτικὴν ἕξουσι γνῶσιν, αὐτὸς δὲ παρὰ νοῦ ταύτας
ἀποδεξάμενος κρειττόνως ἢ κατὰ ἀπόδειξιν ἐπιστήσεται). διὰ δὲ τῆς τοῦ
ὄντος αἰτίας πάντα τὰ ἐπιστητὰ θεωρῶν. ὥσπερ οὖν τοῦ αὐτοῦ ἐστιν
ἐπιστήμην ἔχειν καὶ τὸ ἐπιστητόν, καὶ ὁ τοῦ ἑτέρου μὴ τυχὼν οὐδὲ τὸ
λειπόμενον ἔχει, οὕτως ἑνὸς καὶ τοῦ αὐτοῦ ἀνδρὸς τὰς αἰτίας τῶν ὄντων
ἐπεσκέφθαι καὶ τὰς ἀποδεικτικὰς ἀρχάς, δι' ὧν τά τε ὄντα καὶ τὰς εἰδή-

10 τελικὸν καὶ ἄλλη Us. 13 αὐτὴν—ἀγαθὸν in ras. C 14 γενητικὸν C
18 an ὁ τὰς? 19 ante πρωτίσταις πρώταις C sed del. 20 ὄντων corruptum; πρώτων Us. 21 ταῦτα Us. ex A; servavi ταύτην ad ἀλήθειαν v. 19 pertinens
26 sqq. cf. Alex. 175,9 sqq. 28 ἀγαθὸν C: corr. Us. τὸ ἔσχατον τῶν suprascr. C²
30 an ὑποδεξάμενος? 30. 31 διὰ δὲ τῆς τῶν τοῦ ὄντος αἰτιῶν Us.

σεις τῶν ὄντων ἄνωθεν ἔκ τινος νοερᾶς περιωπῆς ἐπισκέψεται. εἴτε [illegible]
περὶ τὴν οὐσίαν, πότερον μία περὶ πάσας ἢ πλείονές εἰσι. ζητη- 31
μὲν εἰ συγχωρηθείσης τῆς σοφίας περὶ τὸ ὂν ἔχειν περὶ πᾶν [illegible] τὸ ὂν
αὕτη, ἢ πλείους ἔσονται αἱ τὴν γνῶσιν τοῦ ὄντος κατανειμάμεναι. ἀπο-
5 κρινούμεθα δὲ ὅτι τῆς μὲν σοφίας ἐστὶ τὰ ὄντα πάντα ᾗ ἐστιν ὄντα εἰδέναι· 35
οὐδὲν μέντοι κωλύει καὶ ἄλλας εἶναι μόρια τοῦ ὄντος κατανειμαμένας, εἰ
καὶ ἑτέρως αὐτὰ καὶ κοινότερον θεωροῦσιν, οἷον τὴν ἀριθμητικὴν καὶ τὴν
ἀστρολογίαν, φυσικήν, ἰατρικὴν κἂν εἴ τινες ἄλλαι τοιαῦται. καὶ εἰ
πλείονες, πότερον ἅπασαι συγγενεῖς, ἢ τὰς μὲν σοφίας τὰς δὲ
10 ἄλλο τι λεκτέον αὐτῶν. τοῦτο λείψανόν ἐστι τοῦ πρὸ αὐτοῦ· καὶ γὰρ 40
οὐδ' ἐν τοῖς ἑπομένοις ἰδίᾳ περὶ αὐτοῦ ποιήσεται λόγους. φαίης δ' | ἂν 838b
ἀπαντῶν πρὸς τὸ πρόβλημα, ὅτιπερ τὰ μὲν εἴδη τῆς ὅλης φιλοσοφίας.
οἷον ἡ πρώτη φιλοσοφία καὶ ἡ φυσική, ἀλλήλαις τε συγγενεῖς καὶ τῇ ὅλῃ,
αἱ δὲ μὴ περὶ τὰς οὐσίας προηγουμένως διατρίβουσαι, ὡς αἱ μαθηματικαί,
15 ὡς μὲν μὴ συνταττόμεναι πρὸς αὐτὴν τὴν σοφίαν ἢ παρισούμεναι αὐτῆς 5
τῷ μεγέθει καὶ κάλλει καὶ ἀξιώματι, οὐδαμῶς ἂν αὐτῆς συγγενεῖς εἶναι
λέγοιντο, ὅθεν οὐδὲ πολλαὶ σοφίαι. ἀλλὰ μία ἡ ἀληθεστάτη· ὡς δ' ἀπ'
αὐτῆς προϊοῦσαι καὶ τῶν ἐνδοθεισῶν παρ' αὐτῆς ἀρχῶν ἐξῃρημέναι καὶ
μηδ' ὁπωστιοῦν ἀποστατεῖν αὐτῆς δυνάμεναι, ταύτῃ γε ἀλλήλων τε ἂν καὶ 10
20 τῆς ἡγεμονικωτάτης καὶ ἑαυτῶν ἐπιστήμης συγγενεῖς εἶναι λέγοιντο· καὶ
ὅτι πασῶν ὁ νοῦς ἐστι πατὴρ ἐξῃρημένος, εἰ καὶ προσεχῶς μὲν τῆς σοφίας,
οἰονεὶ μονάδα τινὰ ταύτην ἐπιστημῶν ὑποστησάμενος πάντα τὰ εἴδη τῶν
γνώσεων ἐν ἑαυτῇ προειληφυῖαν ἀρχοειδῶς, δι' αὐτῆς δὲ καὶ τῶν μερικω-
τέρων τὰς ἀρχὰς καταβαλλόμενος. διόπερ οὐδ' αὐταὶ πᾶσαι ὁμότιμοι, 15
25 ἀλλ' ἡ μὲν προσεχεστέρα τῇ σοφίᾳ τῆς ἀπωτέρω σεμνοτέρα, ἡ δὲ διὰ
πλειόνων ἐπιστημῶν εἰς αὐτὴν ἀνατρέχουσα τῶν μεταξὺ πασῶν ἐστι κατα-
δεεστέρα. ἀλλ' οὐδὲ τὸ συγγενὲς ὁμοίως ἔχουσιν· ἀριθμητικὴ μὲν γὰρ
γεωμετρίᾳ καὶ ταῖς ἄλλαις μαθηματικαῖς συγγενεστέρα ἤπερ τῇ φυσικῇ 20
καὶ τῇ ἰατρικῇ· δι' ἑνὸς γὰρ συνδέσμου τοῦ τῆς σοφίας ἐπὶ νοῦν μετ'
30 αὐτῶν ἀναπέμπεται. διαιρετικὴ δὲ καὶ ἀναλυτικὴ καὶ ὁριστικὴ καὶ ἀπο-
δεικτικὴ ἀλλήλαις πλέον προσήκουσιν ἤπερ ἄλλαις τισίν. ἅτε προσεχῶς
αὐτῆς ἐξῃρημέναι τῆς σοφίας καὶ δι' αὐτῆς ἅμα φανοτάτῳ πυρὶ τῷ γένει
δωρηθεῖσαι τῶν σωθήσεσθαι μελλουσῶν ψυχῶν. καὶ τοῦτο δὲ αὐτὸ 25
τῶν ἀναγκαίων ἐστὶ ζητῆσαι, πότερον τὰς αἰσθητὰς οὐσίας εἶναι
35 μόνον φατέον ἢ καὶ παρὰ ταύτας ἄλλας. αὐτὸς μὲν ἄξιον εἶναί
φησι ζητήσεως, εἰ πρὸς ταῖς αἰσθηταῖς οὐσίαις οἷον οὐρανῷ, γῇ, τοῖς μεταξὺ
στοιχείοις, ζῴοις τε καὶ φυτοῖς εἰσὶ καὶ ἄλλαι νοηταί τινες οὐσίαι. ζητή- 30
σειε δ' ἄν τις εὐλογώτερον, εἰ πρὸς ταῖς ἀληθέσιν οὐσίαις καὶ τὴν φαινο-
μένην διακόσμησιν οὐσίαν προσαγορεύεσθαι δίκαιον· μήποτε γὰρ αὐτῇ τὸ
40 τῆς γενέσεώς ἐστι πρεπωδέστερον ὄνομα. καὶ πότερον μοναχῶς ἢ
πλείονα γένη τῶν οὐσιῶν, οἷον οἱ ποιοῦντες τά τε εἴδη καὶ τὰ 35

---

7 κοινότερον fort. idem quod συνηθέστερον 11 περιποιήσεται C 15 τῷ ante κάλλει C, sed del. 20 καὶ ἑαυτῶν] πάντων coni. Us. 32 cf. Plat. Phileb. 16c

μαθηματικὰ μεταξὺ τούτων τε καὶ τῶν αἰσθητῶν. μόριον μέν 838b
ἐστι καὶ τοῦτο τοῦ πρὸ αὐτοῦ προβλήματος· ὡς ἓν γὰρ αὐτὸ ἐν τοῖς ἑπο-
μένοις ἐργάσεται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. καὶ εἰ συγχωρηθείη, φησίν,
εἶναί τις οὐσία παρὰ τὴν αἰσθητήν, ἆρα μονοειδής τις ἔσται ἢ τοὐλάχιστον
δυοειδής; ἤδη γὰρ ὁ Πλάτων ἐδόκει μεταξὺ τῆς νοητῆς καὶ τῆς αἰσθητῆς 40
τὴν διανοητὴν παραλαμβάνειν, ὑφ' ἣν ἔταττε καὶ τὰ μαθήματα. οὐ |
τὰ φανταστὰ δηλονότι καὶ τὰ δοξαστά (ταῦτα γὰρ οὐκ οὐσίαι ἀλλ' εἰκόνες 839a
οὐσιῶν), ἐκεῖνα δὲ ὅσα κατ' οὐσίαν ἡ ψυχὴ περιέχειν ἐν ἑαυτῇ λέγεται,
ὧν καὶ τὰς ἀρχὰς τάς τε γεωμετρικὰς καὶ τὰς ἀριθμητικὰς καὶ τὰς ἁρμο-
νικὰς ὁ δημιουργικὸς νοῦς ἐντιθεὶς αὐτῇ κατὰ τὴν ψυχογονίαν ἐν Τιμαίῳ 5
παραδέδοται. φήσομεν οὖν ὅτι δυνατὸν μὲν καὶ μίαν λέγειν εἶναι πᾶσαν
τὴν νοητὴν οὐσίαν, ὅταν τὴν αἰσθητὴν αὐτῆς μόνην χωρίζωμεν, "τί τὸ
ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γιγνόμενον μέν, ὂν δὲ οὐδέ-
ποτε" κατὰ τὴν εἰς δύο διαίρεσιν τῶν ὅπως ποτὲ ὄντων· δυνατὸν δὲ καὶ
τὴν ἀφανῆ καὶ λογισμῷ θεατὴν ὑποδιαιρεῖν εἴς τε τὴν κυρίως νοητὴν καὶ 10
εἰς τὴν διανοητὴν κατὰ τὴν ἐν Πολιτείᾳ γραμμήν· ἐπεὶ καὶ ἑκατέραν
τούτων ἔξεστιν ὑποδιαιρεῖν· νοητάς τε γὰρ καὶ νοερὰς πολλὰς τάξεις παρει-
λήφαμεν, καὶ τῶν ψυχῶν ὁ διάκοσμος πολλαχῇ τῷ κατ' εἴδη τὰ ὄντα
διακρίνειν μελετήσαντι πολλὴν ἔχων ἀναφανήσεται τὴν κατ' οὐσίαν ἑτε- 15
ρότητα.

p. 995b18 Περί τε τούτων οὖν, καθάπερ φαμέν, ἐπισκεπτέον, καὶ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνον ἐστὶν ἢ καὶ περὶ τὰ συμβεβηκότα καθ' αὑτὰ ταῖς οὐσίαις.

Ἡ σοφία, φησί, πότερον τὰς οὐσίας μόνας ἐπισκέπτεται τῶν πραγμά-
των ἢ τὰ καθ' αὑτὰ συμβεβηκότα; φήσομεν ὅτι καὶ τὰς οὐσίας καὶ τὰ 20
οὕτως ὑπάρχοντα, διὰ μὲν τῆς ἀναλυτικῆς τὰς ἀρχὰς τοῦ ὄντος λαμβά-
νουσα. διὰ δὲ τῆς διαιρετικῆς καὶ τῆς ὁριστικῆς τὰς οὐσίας τῶν πάντων
θεωροῦσα, διὰ δὲ τῆς ἀποδεικτικῆς τὰ καθ' αὑτὰ ταῖς οὐσίαις ὑπάρχοντα
συλλογιζομένη. τοῦτο δὲ οὐκ ἐν ταῖς ἁπλουστάταις καὶ κυρίως νοηταῖς 25
οὐσίαις, αἳ πᾶν ὅπερ εἰσὶ τοῦτό εἰσι (διὸ μήτε ὁρισταὶ μήτε ἀποδεικταὶ
γίγνονται. μόνῃ δὲ ἐπιβολῇ θεωροῦνται, καθά φησιν αὐτός τε πολλαχοῦ
λέγων· "ὁ δὲ νοῦς εἴτε ἔθιγεν ἢ οὔ", καὶ ὁ θεῖος Πλάτων· "ψυχῆς
κυβερνήτῃ μόνῳ νῷ θεατή"), ἀλλ' ἐν ταῖς μέσαις οὐσίαις, αἳ καὶ ἀπο-
δεικταί εἰσι κατὰ τὰ ὑπάρχοντα ἑαυταῖς. ἔχει γὰρ οὕτω· τοῖς μὲν ἁπλου- 30
στάτοις τῶν ὄντων οὐδὲν ὑπάρχει παρὰ τὸ εἶναι αὐτῶν, ὥστε οὐκ ἔστιν
αὐτῶν τὸ μὲν οὐσία τὸ δὲ ἄλλο τι· διὸ κρείττω ταῦτα καὶ ὁρισμοῦ καὶ
ἀποδείξεως· τοῖς δὲ καθόλου λόγοις καθ' ἑαυτούς τε θεωρουμένοις καὶ

---

10 cf. Plat. Tim. 30b sqq.
16 Plat. resp. VI 509d sqq.
26 οὕτως] αὐταῖς Us. recte
12. 13 Plat. Tim. 27d qui μὲν ἀεί, ὂν δὲ
22 περὶ Ar.] ἐπὶ C
25 αὐτὸ C, idem 5,1. 10
32 cf. Ar. met. Θ 10 1051b24 et Λ 7 1072b24
Πλάτων] Phaedr. 247c νῷ θεαταί C: θεατῇ νῷ Plat.
37 τὸν et λόγον et θεωρούμενον Ca

κοσμοῦσι τὴν αἰσθητὴν φύσιν τὰ καθ' αὑτὰ συμβεβηκότα παραγίγνεται· 839a
διόπερ καὶ ἡ ἀπόδειξις περὶ αὐτὰ ἀναστρέφεται· τοῖς δὲ ἐνύλοις [illegible] 35
ἀτόμοις καὶ αἰσθητοῖς ἤδη καὶ τὰ κυρίως συμβεβηκότα [illegible]
γίγνεται καὶ ἀπογίγνεται χωρὶς τῆς τοῦ ὑποκειμένου | φθορᾶς. ταῦτα 839b
5 δὲ πάλιν καταδεέστερα ὄντα τῶν ἀποδεικτῶν διὰ τῆς εἰκοτολογίας ληπτὰ
γίγνεται, οὔτι γε τῷ σοφῷ καθὸ σοφός, ἀλλ' ἰατροῖς εἰ τύχοι καὶ φυσικοῖς
καὶ παντὶ τῷ τοιούτῳ γένει.

p. 995b20 Πρὸς δὲ τούτοις . . . πάντων.

Ὅτι μὲν τοῦ σοφοῦ κατ' αὐτόν ἐστι τὸν Ἀριστοτέλην τάς τε οὐσίας 5
10 ἐπεσκέφθαι καὶ τὰ καθ' αὑτὰ συμβεβηκότα, βοᾷ τὸ τοῦ Γ προοίμιον, τὸ
"ἔστιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν καὶ τὰ τούτῳ ὑπάρχοντα
καθ' αὑτό". ὅτι δὲ τὰ νῦν εἰς θεωρίαν ἐκκείμενα μάλιστα ἂν δόξειε τῷ
ὄντι καθ' αὑτὸ ὑπάρχειν, δηλοῖ τὸ διὰ πάντων αὐτὰ πεφοιτηκέναι τῶν 10
ὄντων· ἡ γὰρ ταυτότης καὶ ἡ ἑτερότης καὶ ἡ ὁμοιότης καὶ ἡ ἀνομοιότης
15 καὶ ὅσα νυνὶ προὔτεινεν οὐκ ἐν τοῖσδε μὲν ἐνορῶνται τῶν ὄντων ἄλλων
δέ τινων ἀποστατοῦσιν, ἀλλ' ἄνωθεν ἀπὸ τῶν νοητῶν ἀρξάμεναι καὶ πᾶν
τὸ νοητὸν καὶ θεῖον διακοσμήσασαι διὰ τῆς ψυχικῆς οὐσίας ἐπὶ τὴν φύσιν
τῶν ὅλων καὶ τὸν οὐρανὸν καὶ τὴν γένεσιν καταντήσασαι ταυτότητα μὲν 15
καὶ ἰσότητος καὶ ὁμοιότητος ⟨παρὰ⟩ τῆς τοῦ ἑνὸς παναγάθου φύσεως τοῖς
20 οὖσι μεταδεδώκασιν· ἑτερότητας δὲ καὶ ἀνομοιότητας καὶ ἀνισότητας ἐναν-
τιώσεις τε καὶ ⟨τὸ⟩ πρότερόν τε καὶ ὕστερον καὶ τὰ τοιαῦτα σύμπαντα
παρὰ τῆς γονιμωτάτης καὶ ἀνεκλείπτου τῶν πάντων αἰτίας τῆς ἀπειρο- 20
δυνάμου δυάδος ταῖς τε ἀοράτοις οὐσίαις καὶ ταῖς αἰσθηταῖς κεχορηγή-
κασιν· ὡς μήτε μεταξὺ φύσιν εἶναι τῶν ἀμεριστων καὶ μεριστῶν μήτε καθ'
25 ὑπερβολὴν ἐξῃρημένην οὕτω τῶν ὅλων μήτ' εἰς τὰς τῶν αἰσθητῶν
δημιουργημάτων ἀποτελευτήσεις ἀπερριμμένην, ἥτις οὐχὶ τούτοις διακεκό-
σμηται τοῖς εἴδεσι. καὶ διὰ τοῦτο Πλάτων ἐν τῷ Σοφιστῇ τὰ γένη τοῦ 25
ὄντος διερευνώμενος, ἃ διὰ πάντων φοιτᾷ τῶν ὄντων, ταυτότητα καὶ ἑτερό-
τητα καὶ οὐσίαν καὶ στάσιν καὶ κίνησιν ἀπηριθμήσατο, ἔτι δὲ τὴν τοῦ μὴ
30 ὄντος φύσιν ἐνέφηνεν, ἣ πάσης μὲν διαφορᾶς πάσης δὲ ἀντιθέσεως καὶ
ἐναντιώσεως τὴν μίαν αἰτίαν ἀποφέρεται. καὶ ἔτι ἐν τῷ Παρμενίδῃ τὰ 30
πρῶτα τῶν εἰδῶν ἀπαριθμούμενος ὁμοιότητος μέμνηται καὶ τῶν ἄλλων
ὁμοίως πρότερον τῶν ὑποθέσεων ⟨ἐν⟩ τοῖς περὶ τῶν ἰδεῶν σκέμμασι καὶ
ἐν αὐταῖς ταῖς ὑποθέσεσι, διὰ μὲν τῆς πρώτης μόνην τὴν τοῦ ἑνὸς ὑπερ-
35 ούσιον καὶ ἀπλήθυντον ἀγαθότητα τούτων ἐξαίρων, διὰ δὲ τῆς δευτέρας

3 ἤδη Us.: δὴ C 10 καθ' αὐτὸ C γάμμα C 15 οὐκ suprascr. C^2
19 παρὰ add. Us., possis etiam ἐκ 21 τὸ addidi 22 γονιμωτάτης, ωτάτης e corr. C^b 23. 24 κεχωρηγήκασιν C 25 τὰς add. A 27 Plat. Soph. 254dsqq. 29 ἀπηριθμήσατο: ἀπη e corr. C^b 31 cf. Plat. Parm. 129d. 136b
33 ἐν cum Bagolino add. Us. 34. 35 ὑπερουσίαν C: correxi 35 nempe ἐξαιρῶν Plat. Parm. 142b (οὐδενὸς ἀποστατεῖ τῶν ὄντων 144b)

πάντα τὰ ὄντα ταύταις διακοσμῶν ταῖς αἰτίαις. καίτοι εἰ μήτε τῷ ὑπερ- 839ᵇ
ουσίῳ ταῦτα παρεῖναι δύναται μήτε τινὸς τῶν ὅπως ποτὲ ὄντων ἀποστατεῖ, 36
πῶς οὐχὶ τοῖς οὖσιν ἢ ὄντα καθ' αὑτὰ συμβεβηκέναι | λέγοιτο ἄν; διὸ 840ᵃ
καὶ οἱ περὶ τὴν φύσιν δεινοὶ καὶ ὁ μαθηματικὸς καὶ ὁ πρῶτος φιλόσοφος
αὐτοῖς ἀναγκάζονται προσχρῆσθαι, πιστευτικῶς μὲν οἱ λοιποί, μόνος δὲ ὁ
πρῶτος φιλόσοφος ἐπιστατικῶς καὶ νοερῶς. ὅθεν καὶ αὐτὸς ὁ δαιμόνιος
Ἀριστοτέλης ἔν τε τῷ I ταύτης τῆς πραγματείας περὶ πάντων τούτων 5
ἀναδιδάσκει καὶ ἐν τούτοις λελῃθότως κατεσκεύασεν, ὅτι τοῦ σοφοῦ περὶ
τούτων ἐπίστασθαι· εἰ γὰρ ὁ διαλεκτικὸς ἐνδόξως περὶ αὐτῶν διαλήψεται,
καθάπερ εἴρηται κἀνταῦθα κἀν τοῖς Τοπικοῖς, τίς ἔσται ὁ σὺν ἐπιστήμῃ
περὶ αὐτῶν ἀναδιδάξων; ἢ δῆλον ὡς ἐκεῖνος ὃν ὑποδύεται ὁ διαλεκτικός. 10
προσποιεῖται δὲ οὗτος εἶναι οὐχ εἷς τῶν τεχνιτῶν· οὐ γὰρ ἂν περὶ πάντων
ἐπεχείρει διαλέγεσθαι, ἀλλὰ περὶ μόνων τῶν ὑπ' ἐκείνην τῆν τέχνην, ἣν
ἔχειν προσεποιεῖτο· νῦν δὲ περὶ πάντων ἐρωτᾷ καὶ ἀποκρίνεται, σοφὸς
εἶναι δοκεῖν ἐφιέμενος. οὗτος οὖν ἐπιστημόνως περὶ τούτων ἐρεῖ, περὶ ὧν 15
ἐνδόξως ὁ σοφιστής· ἔστι γὰρ τοῦ σοφοῦ καὶ οὗτος εἴδωλον πολλοστόν,
προσεχέστερον δὲ ὁ διαλεκτικός, ὥσπερ τοῦ νοῦ προσεχέστερον μὲν δόξα,
πορρώτερον δέ ἐστι τὸ φανταστικόν. εἰ οὖν οἱ ὑποδυόμενοι τὸν σοφὸν
περὶ τούτων διαλαμβάνουσι, πολὺ πρότερον αὐτὸς εἰδήσει τὴν τούτων
φύσιν τε καὶ ἰδιότητα. ἐπεὶ μηδ' ἂν τὰ εἴδωλα περὶ αὐτὰ διέτριψεν, εἰ μὴ 20
τὴν ὅλην καὶ πρωτίστην καὶ ἀληθεστάτην ἐπιστήμην ἠσθάνετο περὶ ταῦτα
πραγματευομένην. περί τε οὖν αὐτὰ ταῦτα σχήσει ὁ σοφὸς καὶ περὶ τὰ
ὑπάρχοντα αὐτοῖς, κατὰ τὴν ἑαυτῶν ἰδιότητα ἐπισκεπτόμενος αὐτά, εἰ τὰ
τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα καὶ εἰ ἓν ἑνὶ ἐναντίον καὶ τὰ τοιοῦτα. 25
πανταχοῦ γὰρ ἡ τὸ τί ἐστιν ἐπισταμένη τά τε καθ' αὑτὰ ὑπάρχοντα
γιγνώσκει καὶ ἀποδείκνυσι· καὶ γὰρ ἄτοπον ⟨τὸν⟩ τὴν πρώτην ἔχοντα περὶ
ὁτουοῦν ἐπιστήμην τὴν δευτέραν καὶ ταύτῃ κειμένην ἐφεξῆς ἀγνοεῖν. ταῦτα
μὲν ἐπὶ τοσοῦτον. εἰ δέ τις ἐπιζητεῖ, διὰ τί Πλάτων μὲν ἐν τούτοις κίνησιν
καὶ στάσιν συναριθμεῖ, παρῆκε δὲ τούτων Ἀριστοτέλης τὴν μνήμην, ἴστω 30
ὅτι Πλάτων μὲν εἰδὼς [καὶ] κίνησίν τε καὶ στάσιν † καὶ πλάτος τῶν θείων
τε καὶ ἀνθρωπίνων πραγμάτων ἀναγκαίως ἐν τοῖς γένεσι τοῦ ὄντος καὶ
ταῦτα καταλέγει, ὁ δὲ τὰ φυσικὰ μόνα σώματα κινεῖσθαι νομίζων καὶ
ἠρεμεῖν εἰκότως οὐκ οἴεται διατείνειν ἐφ' ὅλα τὰ ὄντα τὴν τῶν γενῶν 35
τούτων ἰδιότητα.

35 p. 995ᵇ27 Καὶ πότερον . . . καθ' ἕκαστον.

Δύο προτείνεται νυνὶ παρ' αὐτοῦ, ἓν μέν, εἰ τὰ γένη τῶν πραγμάτων ἀρχὰς δεῖ λέγειν καὶ στοιχεῖα, ἀρχὰς μὲν ὡς αἰτίας, στοιχεῖα δὲ ὡς

6 ἐπιστημονικῶς Us. 7 ἰῶτα C 9 διαλεκτικῶς C¹ corr. C² 16 post ἐνδόξως lacunam statuit Us. 17 ἡ δόξα Us. ex dett. 20 ἀιδιότητα C, ex Bag. corr. Us. 25 τὰ τινὶ Us.; possis ⟨τά τε ἀξιώματα⟩ τά τε 26 τὸν add. Us. 30 καὶ del. Bag. κατὰ πλάτος Us., sed gravior corruptela: fuit fere στάσιν κατέχειν τὸ ὅλον πλάτος 37 αἴτια coni. Us.

ἁπλούστερα, ἐπεὶ καὶ ὁ ὁρισμὸς εἰς ἔσχατα ταῦτα ἀναλύεται, ἢ μᾶλλον τὰ
ἐνυπάρχοντα τῷ πράγματι, εἰς ἃ καὶ | διαιρεῖται τὸ πρᾶγμα, ἃ καὶ 8.40b
κυρίως αὐτοῦ προσαγορεύεται· δεύτερον δέ, εἰ καὶ ὅτι μάλιστα τὰ γένη,
φησί, δοίη τις εἶναι ἀρχὰς ἀλλὰ μὴ εἰς ἃ διαιρεῖται ἕκαστον, πότερον
5 τὰ περιληπτικώτερα καὶ ἐπὶ πλέον ἐκτεινόμενα (τοιαύτη γὰρ καὶ ἡ τῶν
ἀρχῶν ἔννοια), ἢ μᾶλλον τὰ προσεχῶς κατηγορούμενα, οἷον Καλλίου τίς ἐστι
ἀρχὴ τὸ ζῷον ἢ ὁ ἄνθρωπος; ἐροῦμεν οὖν πρὸς μὲν τὸ πρότερον, ποίας
ἀρχὰς ὁ λόγος ἐπιζητεῖ νῦν· εἰ μὲν γὰρ τὰς ὁλικὰς ἢ τὰς τοῦ εἴδους, τὰ
ἐνυπάρχοντα τοῖς πράγμασιν ἀρχαί· εἰ δὲ τὰς ποιητικὰς ἢ τελικάς, τὰ γένη
10 ἀρχαί· οὐ μὴν ταῦτα (τὰ γὰρ ἐκ τῶν ἀρχῶν ἐστι ταῦτα, ὅσα ἐστὶν ὑστε- 10
ρογενῆ· ταῦτα γὰρ ἐπὶ τοῖς ἀποτελέσμασιν· οὐδ' ὅσα εἰς αὐτὰ τὰ αἰσθητὰ
κατατέτακται· ἔστι γὰρ ἐν Καλλίᾳ καὶ ἄνθρωπος καὶ ζῷον, ἃ πῶς ἂν
εἶεν αἱ ποιητικαὶ αὐτοῦ ἢ τελικαὶ ἀρχαί, μέρη ὄντα τῆς φαινομένης οὐσίας;
εἰ δέ τινά ἐστι γένη πρὸ τῶν καθ' ἕκαστα τῶν αἰσθητῶν αἴτια, ἔν τε τοῖς 15
15 λόγοις τῆς τῶν ὅλων φύσεως ἐνορώμενα καὶ ἔτι πολὺ πρότερον ἐν τοῖς
τῆς κοσμικῆς ψυχῆς εἴδεσι διαλάμποντα, ταῦτα φαίημεν ἂν δικαίως αἴτια
τῶν τῇδε πραγμάτων * * καὶ πρὸ τούτων ἔτι τῶν καθόλου λόγων ὑπερ-
ήπλωνται. ταύταις δὲ πρὸς τῇ ποιητικῇ καὶ τὴν τελικὴν αἰτίαν ἀποδο-
τέον, οὐχ ὅτι καὶ παρὰ ταῖς ὑφειμέναις ἀρχαῖς οὐκ ἦν τὸ τέλος, ἀλλ' ὅτι 20
20 σαφέστερον ἐπὶ τούτων ἀναφαίνεται ἅτε λοιπὸν ἐν προθύροις ἱδρυμένων
τἀγαθοῦ. πρὸς δὲ τὸ δεύτερον τούτων ἤδη ⟨ἐκ τῶν⟩ προειρημένων σαφὴς
ἡ ἀπάντησις. ἐὰν μὲν γὰρ τὰ κατ' ἐπίνοιαν ὑστερογενῆ λαμβάνωμεν γένη,
τὰ μὲν προσεχέστερα ταῖς πρώταις λεγομέναις οὐσίαις ἔσονται μᾶλλον οὐσίαι 25
καὶ διὰ τοῦτο μᾶλλον ἀρχαί, τὰ δὲ ἀπωτέρω ἧττον οὐσίωται τῶν περὶ
25 αὐτὰς ἀσάφειαν ἐξιτηλοτέραν τῇ τῶν αἰσθητῶν ἀποστάσει δεχόμενα· ἐὰν
δὲ τὰ κυρίως καθόλου γένη καὶ τοὺς ποιητικοὺς τῶν καθ' ἕκαστα λόγους
φυσικούς τε καὶ δημιουργούς, πρόδηλον ὡς τὸ περιληπτικώτερον καὶ δια- 30
τεῖνον ἐπὶ πλέον θειότερόν τέ ἐστιν αἴτιον καὶ ἄνευ ἐκείνου προβαίνειν ἢ
ἐνεργεῖν ⟨οὐδὲν⟩ οὐδαμοῦ δύναται· τὸ δὲ προσχρῆται μὲν τῷ μεθ' ἑαυτό,
30 ὅταν τὸ κατ' ἐκεῖνο δημιουργῇ, πολλὰ δὲ καὶ ἄλλα ⟨μὴ⟩ προσδεηθέντα τῆς
μερικωτέρας αἰτίας ὑφίστησι. τούτων δὴ καὶ τὰ παρὰ τοῖς διαλεκτικοῖς
εἰδωλικὰ γένη καὶ εἴδη σημεῖα δείκνυσιν ἐναργῆ· καθ' ὧν μὲν γὰρ τὸ 35
εἶδος, κατὰ τούτων τὸ γένος, εἴπερ ἐν ὅλῳ αὐτῷ λέγεται εἶναι, κατὰ πολλῶν
δὲ καὶ ἄλλων τὸ γένος, ἐφ' ἃ μὴ πέφυκεν ἐξικνεῖσθαι τοῦ εἴδους ἡ κατη-
35 γορία. μεταθεὶς οὖν τὸ κατά τινων λέγεσθαι ἐπὶ τὸ δημιουργεῖν μετοχήσῃ
μὲν ἀπὸ τῶν εἰδώλων ἐπὶ τὰ ἀληθῆ γένη τε καὶ εἴδη, θεάσῃ δὲ αὐτῶν |
καὶ τὴν πρὸς ἄλληλα σύνταξιν ὑπεροχήν τε καὶ ὕψεσιν καὶ ὅλως ἐφ' 8.41a
ἑκάστων ἀξίαν.

---

1 ἁπλούστατα coni. Us. 3 αὐτοῦ] ἄτομα Us., puto ⟨μέρη⟩ αὐτοῦ vel sim. 5 καὶ supraser. C¹ 10 τὰ vix sanum 11 ἐπὶ 'post' 16 φαίην C, corr. et lacunam post δικαίως statuit Us.; ad ὑπερήπλωνται subiectum ἀρχαί 20 λοιπὸν vix sanum: cf. Plat. Phileb. 65a 21 ἐκ τῶν addidi (τῶν add. A); τῶν ἠπορημένων Us. 24 ἧττον Us.: πλέον C 24. 25 περὶ αὐτὰς] nempe πρὸ αὐτῶν 27 δημιουργικοὺς A 29 οὐδὲν suppl. Bag. 30 τὸ] τὰ coni. Us. μὴ addidi 38 ἀξίας C: corr. Us.

p. 995b31 Μάλιστα . . . ἀριθμόν. 841a

Τῶν φυσικῶν τὴν ὕλην μόνην ὁρώντων καὶ ταύτην ὕδωρ ἢ ἀέρα ἢ πῦρ εἶναι λεγόντων, ἄλλων δὲ καὶ ποιητικὴν μὲν αἰτίαν ἀπολειπόντων, ἀχώριστον δὲ ταύτην τῆς ὕλης, καθάπερ οἱ Στωϊκοὶ μὲν ὕστερον, ἄλλοι δέ τινες πρὸ αὐτῶν, τῶν δὲ χωριστὸν αἴτιον τῆς ὕλης ἀπολειπόντων, ὡς αὐτός τε καὶ Πλάτων, εἰ καὶ αὐτὸς μὲν ὡς ὀρεκτὸν τῶν πάντων αὐτὸ αἴτιον ὑποτίθεται, Πλάτων δὲ καὶ ὡς γεννητικὸν τῶν ὅλων, εἰκότως τούτοις προτείνει, ποία τῶν ὑπολήψεων ἀληθεστέρα. καὶ δῆλον ὅτι ἡ αὐτοῦ καὶ ἡ Πλάτωνος. ὅταν δὲ προσεπιζητῇ πότερον ἓν τὸ χωριστὸν αἴτιον ἢ πολλά, καὶ ἓν φήσομεν καὶ πολλά, συντεταγμένου τοῦ πλήθους πρὸς τὸ ἓν καὶ ὡς πρὸς ἐφετὸν οἰκεῖον ἀνατεινομένου, καθὰ καὶ αὐτὸς ἐν τῷ Λ παραδέδωκεν.

p. 995b34 Καὶ πότερον ἔστι . . . ὄντων.

Ζητεῖ μὲν ἐν τούτοις, εἰ ἔστι παρὰ τὸ σύνθετον καὶ εἰδοποιημένον τά τε καθόλου καὶ τὰ καθ' αὑτὰ εἴδη, καὶ εἰ πάντων ἐστὶ φυσικῶν τε καὶ τεχνητῶν, καλῶν τε καὶ αἰσχρῶν, ἀγαθῶν καὶ κακῶν, τελείων καὶ ἀτελῶν, ἢ τινῶν μὲν τινῶν δὲ οὔ, καὶ ποίων μέν ἐστι, ποίων δὲ οὐκ ἔστι. τὴν μὲν οὖν ἀκριβῆ περὶ τούτων διαίρεσιν εἴσεταί τε ὁ βουλόμενος ἐκ τῶν Πλωτίνῳ καὶ Ἰαμβλίχῳ περὶ ἰδεῶν πεφιλοσοφημένων, καὶ ἡμεῖς ἐν ἄλλοις ποιησόμεθα ζητοῦντες, εἰ καὶ τῶν καθ' ἕκαστα γεννητῶν καὶ τῶν μερῶν οἷον ποδὸς δακτύλου καὶ τῶν ποιοτήτων ἢ ὅλως συμβεβηκότων ἔστιν εἴδη ἐν φύσει ἢ ἐν ψυχῇ ἢ ἐν νῷ· νυνὶ δὲ ὁλοσχερέστερον καὶ ὅσον ἀναγκαῖον ὑπὲρ τῶν θείων καὶ νοητῶν εἰπεῖν αἰτίων ἐροῦμεν. φαμὲν οὖν αἰσχρῶν μὲν καὶ ἀτελῶν καὶ κακῶν μηδ' ὅλως εἶναι ἰδέας· κατὰ ἀπόπτωσιν γὰρ ταῦτα πρὸς τοῖς τελευταίοις ὑφίσταται τῆς φύσεως ἢ τῆς μερικῆς ἀσθενούσης ψυχῆς διὰ τὸ μὴ κρατεῖν τῆς ὑποκειμένης ἀοριστίας· τῶν μέντοι κατὰ φύσιν συνισταμένων οὐσιῶν καὶ διὰ παντὸς ὑπαρχουσῶν εἶναι τὰ δημιουργικὰ εἴδη, ὥσπερ τῶν τεχνητῶν ἐν τῇ τέχνῃ. ἀλλὰ τῶν μὲν κατὰ τὴν τέχνην καὶ αὐτὸς συγχωρεῖ· πολλαχοῦ γὰρ ἐκ τῆς ἀύλου οἰκίας τὴν ἔνυλόν φησιν ἀποτελεῖσθαι, καθάπερ καὶ ἐν τῷ Z λέλεκται τῆσδε τῆς πραγματείας· τῷ δὲ παραδείγματι τῶν τεχνῶν, τῇ πάσῃ φημὶ δημιουργίᾳ, τῆς εἰδητικῆς διακρίσεως οὐκέτι μεταδίδωσι. καίτοι πῶς ἂν ἡ μιμουμένη τὴν φύσιν οὕτω μόνως ἂν ἐποίησεν, εἰ μὴ πολὺ πρότερον ἡ φύσις αὐτὴ τοῦτον ἐδημιούργει τὸν τρόπον;

p. 996a1 Ἔτι . . . ὑποκειμένῳ.

Τὸ μὲν ὡρίσθαι τὰς ἀρχὰς ὡς ὁμολογούμενον ἐν τούτοις δέχεται·

4 ταύτης C: corr. Us. 5 αὐτοῦ Us. 11 Ar. met. Λ 10 18 cf. Plotin. V 7. 9 Iambl. ap. Procl. in Tim. 70e. 98b. 134b 19 cf. ad M 1078b12 21 ὁλωσχερέστερον C 29 ζῆτα C cf. Z 7. 1032b12 cf. 15. 1039b24 32 μόνως suspectum: μόνη Us.

πότερον δὲ ἀριθμῷ | εἰσιν ὡρισμέναι, ὡς τὰ τέσσαρα στοιχεῖα εἰ τόχοι 841
τῶν σωμάτων (ταῦτα γὰρ τῷ ἀριθμῷ ἐστι τέσσαρα· διὸ καὶ οὐδ' ἁπλῶς
ἐξ ἀέρος καὶ πυρὸς γίνεται τὸ σῶμα, ἀλλ' ἐκ τοῦ κοσμικοῦ ἀέρος καὶ τοῦ
τῇδε πυρός), ἢ μᾶλλον εἴδει ὥρισται, ὡς τὰ εἴκοσι τέσσαρα στοιχεῖα τῆς 5
φωνῆς; ὅτι γὰρ ταῦτα εἴδει καὶ οὐκ ἀριθμῷ ὥρισται, δῆλον ἐξ ὧν ὅλον
τὸ $\overline{\alpha}$ ἐν πολλαῖς ἐστι συλλαβαῖς, οὐ μέρει αὐτοῦ παρὸν τῇ $\overline{\beta\alpha}$ καὶ μέρει
τῇ $\overline{\gamma\alpha}$, καθάπερ ὁ ἀὴρ μέρει μὲν ἑαυτοῦ τόδε τὸ σῶμα συνίστησι, μέρει
δὲ ἕτερον. ζητεῖ οὖν ποτέρως εἰσὶν αἱ ἀρχαὶ ὡρισμέναι, ἀριθμῷ, [εἰ δὲ
ἀριθμῷ, καὶ εἴδει] ⟨ἢ εἴδει⟩· δῆλον δὲ ὅτι εἰ μὲν εἴδει, οὐ πάντως καὶ 10
ἀριθμῷ, εἰ δὲ ἀριθμῷ, καὶ εἴδει. τὸ δὲ ἔν τε τοῖς λόγοις καὶ ἐν τῷ
ὑποκειμένῳ ἤτοι διὰ τὴν διαφορὰν εἴρηκε τῶν αἰτίων, ἵνα τὰ μὲν εἰδικὰ
καὶ ποιητικὰ καὶ τελικὰ αἴτια λέγῃ εἶναι τὰς ἐν τοῖς λόγοις ἀρχάς, τὰ
δὲ ὑλικὰ τὰς ἐν τῷ ὑποκειμένῳ· ἢ τὰς μὲν ἐνδόξως προκαταβεβλημένας 15
φησὶν εἶναι ἐν λόγοις, τὰς δὲ ἀληθῶς ταῖς οὐσίαις ἐνυπαρχούσας ἐν ὑπο-
κειμένῳ. τοιαύτης δὲ οὔσης τῆς ζητήσεως ἐροῦμεν, ὅτι αἱ μὲν ἀληθῶς
αἰτίαι καὶ ἀρχαὶ τῶν πάντων, τό τε ἓν καὶ ἡ ἀόριστος δυάς, ἀμφότερα
ταῦτα ὑπεραίρουσι τὰ ἐν τῇ διαιρέσει παραλαμβανόμενα· τό τε γὰρ ἄτομον
καὶ ἓν ἀριθμῷ τοῖς ἐνύλοις εἴδεσιν ἁρμόζει μόνοις, ἐπειδὴ τὸ ἄυλον ἓν 20
οὐχ ἧττόν ἐστι πάντα ἢ ἕν· τό τε ἐν εἴδεσιν ὡρισμένον εἰ μὲν ἐπὶ τῶν
στοιχειωδῶν ἀρχῶν θεωροῖτο, ἴνδαλμα ἑνός τινος ἀποφέρεται προσῳδοτέρου
ὥσπερ τὰ πολλά, ἢ μιμεῖται πάντως ἑκάτερα ἑν τι τῆς διανοίας πάθος ἢ
φάντασμα σημαντικόν (οὕτω γὰρ καὶ οἱ πολλοὶ λίθοι καὶ ἵπποι ἑνός τινος 25
εἰσιν εἰκόνες)· εἰ δὲ ποιητικὸν εἴη καὶ γόνιμον καὶ τῶν ἀποτελουμένων
ἐξῃρημένον ἢ καὶ ὀρεκτὸν αὐτῶν καὶ τελικὸν αἴτιον, εὐθὺς μὲν ἂν εἴη
μετὰ τὰς ἀρχὰς τῶν ὅλων (ὁ γὰρ εἰδητικὸς κόσμος ἡ ἐπὶ δὲ τῶν ἀρχῶν
καὶ πρῶτος ἀπ' αὐτῶν). οὐ μέντοι ὅπερ αἱ τῶν ὅλων ἀρχαί, αἳ καὶ τῶν
νοερῶν καὶ εἰδητικῶν ἀριθμῶν ὑπερήπλωνται. αἱ δὲ κατ' αὐτὸν Ἀριστο- 30
τέλην, ἃς ἐν τῷ Ν παραδίδωσι, τὸ συναμφότερον ἂν δόξαιεν ἔχειν· καὶ
γὰρ ἀριθμῷ εἰσιν ὡρισμέναι, εἴ γε τοσαῦταί εἰσιν ὅσαι αἱ κυκλοφορούμεναι
σφαῖραι, καὶ εἴδει, εἴ γε ἑκάστῃ πάσης ἡστινοσοῦν αὐτῶν κατ' εἶδος διενή-
νοχεν, ὡς τὴν μὲν ὑπερτέραν εἶναι καὶ περιεκτικωτέρᾳ νοήσει καὶ ἁπλου- 35
στέρᾳ χρῆσθαι, τὴν δὲ καταδεεστέραν καὶ ὑφειμένην, ἅτε ταῖς σωματοει-
δέσι σφαίραις ἀνὰ τὸν αὐτὸν λόγον τεταγμένην. ὥστε εἰ μὲν τὰς Πυθαγο-
ρείους ἀρχὰς θεωροῖμεν, οὐδέτερον τούτων ἐν ταῖς ἀρχαῖς. πῶς γὰρ οἷόν |
τε, παντὸς μὲν ὡρισμένου πλήθους καθ' ἓν ἄτομον ἢ κατ' εἶδος ἀριθμοῦ 842a
ὄντος, παντὸς δὲ ἀριθμοῦ γεννήματος τῶν ἀρχῶν. ἐν ταῖς ἀρχαῖς τὸ
ὡρισμένον ὅπως ποτὲ πλῆθος θεωρεῖσθαι; ἀλλὰ κἂν μίαν λέγωμεν εἶναι

1 πότερον δέ, ⟨φησί⟩, ἀριθμῷ coni. Us. 2 cf. Ar. met. Z 17. 1041b12
6 αὐτοῦ C 7 μέρεσι δὲ C: corr. Bag. 8 post ὡρισμέναι ἀριθμῷ Us. lacunam statuit plura excidisse ratus; mihi εἰ δὲ ἀρ. καὶ εἴδει ex seqq. inlatum videtur, ἢ εἴδει adieci
10 καὶ αἱ (om. Ab) ἐν τοῖς λόγοις καὶ αἱ (om Ab) ἐν τῷ ὑποκειμένῳ Ar. 19 ἐν] ἓν Bonitz 20 fort. ⟨ἢ⟩ ἴνδαλμα 25 ἐπὶ δὲ] ἐπιδεῖς aut ἐπιδεῖται Us., sententiae satis facit ἐπιέννημα 28 respici A 7. 8 vidit Us. 33 τεταγμένας C¹, ην suprascr. C²

τὴν πάντων ἀρχὴν καὶ θεὸν αὐτὴν ἢ τἀγαθὸν ἢ ἓν προσαγορεύωμεν, 842a
* * *, πέρας καὶ ἀπειρίαν, ὡς ἐν Φιλήβῳ Πλάτων καὶ πρὸ αὐτοῦ 6
Φιλόλαος, αὐτὰς ὀνομάζοντες, ἢ μονάδα καὶ δυάδα, ὡς οἱ πλεῖστοι τῶν
Πυθαγορείων, ἢ αἰθέρα καὶ χάος, ὡς Ὀρφεύς, ἢ Πρατέα καὶ δυάδα,
ὡς αὐτὸς ὁ Πυθαγόρας ἐν τῷ Ἱερῷ Λόγῳ, οὔτε κυρίως αὐτὰς ὀνο-
μάζομεν (ἐπέκεινα γὰρ εἰσιν οὐ μόνον κλήσεως, ἀλλὰ καὶ πάσης ἀνθρω-
πίνης νοήσεως), οὔτε τὸ ἓν καὶ δύο κατ' ἀριθμὸν ἢ εἶδος ὀνομάζομεν
(παντὸς γὰρ ἀριθμοῦ καὶ παντὸς εἴδους νοητοῦ καὶ νοεροῦ τὴν αἰτίαν ἐν
ἑαυταῖς αἱ ἀρχαὶ προειλήφασιν). ἀλλ' ἔστιν ἕτερος ὁ τρόπος παρὰ τοῖς
θεολογικωτέροις τῆς περὶ τούτων ἐνδείξεως. καὶ τοσαῦτα μὲν περὶ τῶν
Πυθαγορείων ἀρχῶν. ταὐτὸν δὲ εἰπεῖν Ὀρφικῶν τε καὶ Πλατωνικῶν· εἰ
δὲ τὰς κατ' αὐτόν, καὶ ἀριθμῷ καὶ εἴδει φήσομεν αὐτὰς ὡρίσθαι· καὶ γὰρ
τοσαίδε εἰσὶ καὶ οὐ πάντῃ ὁμοειδεῖς, ἀλλὰ πρεσβείῳ τῆς οὐσίας καὶ τιμιό-
τητι διαφέρουσι· τὸ δὲ ἕτερον ἀφωρισμένως ταῖς κυρίως ἀρχαῖς οὐ διενή-
νοχεν, ἀλλ' εἰ ἄρα, ταῖς ὑλικαῖς καὶ εἰδικαῖς.

p. 996a2 Καὶ πότερον ... φθαρταί.

Ὡς δύο μὲν προβλήματα ταῦτα προτείνεσθαι δοκεῖ, ⟨εἰ⟩ αἱ αὐταὶ ἀρχαὶ φθαρτῶν καὶ ἀφθάρτων· εἰ μὲν γὰρ αἱ αὐταί, πῶς τὰ μὲν ἄφθαρτα ποιοῦσι τὰ δὲ φθαρτά; εἰ δὲ ἕτεραι, πότερον πᾶσαι ἄφθαρτοι, ἢ αἱ μὲν ἄφθαρτοι αἱ δὲ φθαρταί; ὅπως δ' ἂν ἐθέλῃ τις διαιρεῖν, ἀποκρινούμεθα πρὸς αὐτόν, ὅτι αἱ μὲν τῶν ἀφθάρτων ἀρχαί πάντων εἰσὶν ἀρχαὶ τῶν ὅπως ποτὲ ὄντων· οὐδαμοῦ γὰρ αὐτῶν ἡ γονίμη περιορίζεται καὶ ἀπειροδύναμος ἐνέργεια· αἱ δὲ τῶν φθαρτῶν οὐ πᾶσαι καὶ τῶν ἀφθάρτων. ἀμέλει αἱ προσεχεῖς ἀρχαὶ τῶν φθαρτῶν αὐτῶν εἰσι μόνων ἀρχαί, οὐ μὴν οὐδ' αὐταὶ πᾶσαι φθαρταί· ἡ γὰρ κυκλοφορία τὴν ποιητικὴν αἰτίαν ἀποφέρεται κατ' αὐτόν, οὐ μέντοι φθαρτή ἐστι· καὶ ἄλλα δέ ἐστιν ἄφθαρτα τῶν ἐν γενέσει αἴτια, ὥσπερ οὖν καὶ φθαρτά· ὅλως γὰρ εἰ ἄνθρωπος ἄνθρωπον γεννᾷ καὶ ἥλιος, πρόδηλόν ἐστιν ὅτι καὶ φθαρτὸν αἴτιον ἔχει καὶ ἄφθαρτον ὁ ἄνθρωπος. τὸ δὲ αὐτὸ καὶ ἐπὶ ἵππου καὶ κυνὸς καὶ οὑτινοσοῦν τῶν τῇδε· ἕκαστον γὰρ αὐτῶν καὶ μερικὸν αἴτιον ἔχει καὶ ὁλικόν· ἀρχὴν δὲ ὁλικωτέραν φθαρῆναι πάντων ἀδυνατώτατον· οὔτε γὰρ ἂν αὐτή ποτε ἔκ του οὔτε ἄλλα ἔξω αὐτῆς γενήσεται. | ταῦτα δὲ οὐ τῷ θείῳ Πλάτωνι μόνῳ, 842b
ἀλλὰ καὶ Ἀριστοτέλει καλῶς δέδοκται· τάς τε γὰρ τῶν ἀιδίων ἀρχὰς οἷον τὰ χωριστὰ καὶ ἄυλα εἴδη πᾶσιν εἶναι ἐφετὰ καὶ τῶν φθαρτῶν ἐνίας ἀρχὰς εἶναι ἀιδίους φησίν. ἀμέλει πολλαχοῦ μὲν καὶ ἐν τοῖς ἑπομένοις δὲ γενναίως κατασκευάσει, ὅτι οὐκ ἂν εἴη γένεσις μὴ ἀιδίου τινὸς αἰτίου αὐτῆς ὄντος· πλὴν τοσοῦτον ἀπολείπεται τῆς πατρίου φιλοσοφίας, ὅτι τοῖς ἀύλοις εἴδεσι ποιητικὴν μὲν αἰτίαν ἢ παραδειγματικὴν οὐ δίδωσι, τελικὴν δὲ καὶ

2 κἂν δύο deesse putat Us. et certe deest, sed fort. paulo plura cf. Pl. Phileb. 23c
4 Orph. fr. 52 Abel πρακτέα C, corr. Us. cl. Syr. ad N 1089b20 theol. arith. 7 schol. Arat. 49,16 12 supple θεωροῦμεν ex p. 9,34 14 fort. ἑκάτερον ἀφ. ⟨ἔχειν⟩
17 εἰ add. Brandis 20 ἐθέλοι C 24 μόνον Ca corr. Cb αὗται C
31 ad ἂν .. γενήσεται cf. Radermacher Demetr. de eloc. p. 68

ὀρεκτικήν· ἐφετὰ γὰρ καὶ κατ' αὐτόν ἐστι προσεχῶς μὲν ταῖς κινουμέναις 842
περὶ αὐτὰ σφαίραις, διὰ τούτων δὲ καὶ πᾶσι τοῖς ἐγκοσμίοις· τοῦ γὰρ 10
ἀγαθοῦ καὶ κατ' αὐτὸν πάντα ἐφίεται· εἰ δὲ καὶ πολλὰ τἀγαθά, ἀλλ' οὖν
πάντα πρὸς τὰ κυριώτερα προστέτακται καὶ ταῦτα πρὸς ἓν τὸ ὑπέρτατον καὶ
5 τελικώτατον τῶν ἁπάντων, ὡς ἐν τῷ Λ σαφῶς ἔστιν αὐτοῦ λέγοντος ἀκούειν.

p. 996a4 Ἔτι δὲ . . . ἀέρα.

Ὅτι μὲν οὐκ εὐκαταφρονήτους οἴεται τὰς δόξας εἶναι τῶν πρεσβυ- 15
τέρων, ἀλλὰ πολλῆς ἐπισκέψεως καὶ μάλιστα τὰς περὶ τῶν πρωτίστων
ἀρχῶν, θαυμάσειεν ἄν τις αὐτὸν τῆς ἐπιεικείας. ὅτι δὲ πολλῶν οὐσιῶν
10 ὁρωμένων τε καὶ νοουμένων ἀνάγκη πάσας ἐκ μιᾶς ἠρτῆσθαι, ἣν πρώτως
ἄν τις ὂν προσαγορεύσειεν, οἶμαι συγχωρήσειν αὐτόν. ἃ δὲ μὴ λέγει μὲν 20
αὐτόθεν, ἑπόμενα δέ ἐστιν ἀναγκαίως οἷς τίθησι, ταῦτ' ἂν εἴη λέγειν ἡμέ-
τερον. καὶ δὴ λέγομεν, ὡς οὐκ ἂν πάντα τὰ ὄντα τοῦ πρώτως ὄντος
ἐφίετο, εἰ μὴ παρ' αὐτοῦ τὴν ἑαυτῶν ἐκαρποῦντο τελειότητα, καὶ πρὸς ὃ
15 διὰ παντὸς τοῦ αἰῶνος ἀνήρτηται, παρὰ τούτου καὶ τὸ εἶναι δι' αἰῶνος
ὑπεδέχετο. ὥστε εἰ τὸ πρώτως ὂν ἐφετὸν τοῖς πᾶσι, καὶ τοῦ εἶναι τοῖς 25
πᾶσιν αἴτιον, αὐτὸ μὲν οὐδὲν ὂν ἄλλο ἢ τὸ πρώτως ὄν, ἵνα ᾖ πάντων
τῶν ὄντων αἴτιον, παράγον δὲ ἀφ' ἑαυτοῦ τόν τε οὐσιώδη ἀριθμὸν καὶ τὰ
ὄντως ὄντα καὶ νοητὰ εἴδη. ἀλλ' ἐπειδὴ τὸ ὂν τοῦτο, καὶ εἰ πάντων ἐστὶ
20 τῶν ὄντων ἀρχή, συντέτακταί πως αὐτοῖς καὶ διὰ τοῦτο πλήθους οὐ παν- 30
τελῶς ἐστιν ἀνέφικτον, δεῖ πρὸ αὐτοῦ τὸ ὑπερούσιον ἓν θεωρεῖν ἁπλότητι
καὶ ὑπεροχαῖς ἀνεπινοήτοις ἁπάντων τῶν ὄντων ἐξῃρημένον, ὅ κυρίως
μὲν ὀνομάζειν ἀδύνατον, οἰκειότερον δ' ἄν τις τὸ ἓν προσείποι μᾶλλον
ἢ ἄλλο ὁτιοῦν, διότι πᾶσι τοῖς οὖσιν ἑνώσεως γίνεται ⟨αἴτιον⟩, ὅ ἐστι τῆς
25 πρὸς αὐτὸ ἐξομοιώσεως. ἀναγκαίως ἄρα καὶ ἓν καὶ ὂν οἱ Πυθαγόρειοι 35
προϋπετίθεντο τῶν ὅλων πραγμάτων, τὸ μὲν ἑνώσεως καὶ τῶν ἀγαθῶν
ἁπάντων αἴτιον τοῖς οὖσι, τὸ δὲ τοῦ εἶναι καὶ τοῖς ἄλλοις τῶν εἰδῶν τὴν
κυρίαν ἀρχὴν | παρεχόμενον. δοκεῖ δέ μοι μηδ' Ἐμπεδοκλῆς ἄλλο τι 843a
τὴν φιλίαν ὑποτίθεσθαι ἢ τὸ ἕν, πλὴν οὐ τὸ πᾶσιν ἀσύντακτον, ἀλλ' ᾧ
30 συντάττεται ἡ ἀόριστος δυάς, ἣν νεῖκος ἐκεῖνος προσαγορεύει, ἀφ' ὧν δὴ 5
τό τε πρώτως ὂν ὑφίστησι καὶ τὰ νοητὰ πάντα καὶ τὸν αἰσθητὸν διάκοσμον·
εἰ γὰρ ἑνώσεως μὲν τῷ σφαίρῳ, ὃν κατὰ τὸ πρώτως ὂν τάττομεν, ἡ φιλία
γίγνεται κατὰ τὸν φιλόσοφον τοῦτον αἰτία, πολλαπλασιασμοῦ δὲ καὶ ἑτερό-
τητος καὶ γονίμων προόδων τὸ νεῖκος αἴτιον, πῶς οὐχὶ κατὰ μὲν τὸ ἓν ἡ
35 φιλία, κατὰ δὲ τὴν δυάδα τὸ νεῖκος παρείληπται; ἐπεὶ καὶ Πυθαγόρειος 10
ὢν Ἐμπεδοκλῆς πῶς ἂν τὰς Ὀρφικὰς ἢ τὰς Πυθαγορείους ἀρχὰς ἠθέτησεν;
εἰ δὲ Θαλῆς μὲν ὕδωρ τὸ ἓν καὶ τὸ ὂν ἔλεγεν, ἄλλος δὲ ἄλλο τι τῶν φαινο-

5 νῦ C corr. Bag. 6 ἔτι] ἔστι C 8 ἀλλ' ἀξίας πολλῆς coni. Us., et excidit aut hoc aut δεῖσθαι 9 nempe ⟨οὐσιῶν⟩ οὐσιῶν 11 ἑαυτὸν C 15 τοῦ εἶναι C 22 ἀνεπινοήτως C, corr. Us. 24 αἴτιον add. A 26 προϋπεθεντο C^a, τί suprascr. C^b

μένων, δεδώκασιν εὐθύνας αἱ δόξαι παρά τε πολλοῖς καὶ διαφερόντως παρὰ 843a
τούτῳ τῷ δαιμονίῳ ἀνδρί.

p. 996a9 Καὶ ... κίνησιν.

Αἱ κυρίως ἀρχαὶ καὶ ὑπὲρ τὰ καθόλου γένη καὶ εἴδη θεωροῦνται καὶ ἔτι
5 πολλῷ πλέον ὑπὲρ τὰ καθ' ἕκαστα. ἔχει γὰρ οὕτως· ἐν τῇ ὕλῃ τὰ καθ' 15
ἕκαστα θεωρεῖται, ἐν δὲ τῇ φύσει καὶ ψυχῇ τὰ καθόλου προϋπάρχει τῶν
αἰσθητῶν αἴτια γιγνόμενα. τῆς μὲν φύσεως τὰ οἷον εἰδικώτατα εἴδη ἐχρύσης,
ὑφ' ὧν προσεχῶς τὰ ἔνυλα γεννᾶται καὶ τὰ καθ' ἕκαστα, τῆς δὲ ψυχῆς
καὶ ταῦτα μὲν καὶ πρὸ τούτων δὲ τοὺς ὁλικωτέρους λόγους προειληφυίας, 20
10 δι' ὧν τά τε γένη διαιροῦσα καὶ τὰ πλήθη τῶν λόγων πάλιν ὁρίζουσα
θεωρεῖ τὰ πάντα, κατιοῦσά τε καὶ ἀνιοῦσα καὶ τὸ ὅλον διαιρετικῶς τε καὶ
ἀναλυτικῶς καὶ ὁριστικῶς ἐνεργοῦσα. τούτων δὲ αὐτῶν ὑπερίδρυται τὰ
εἴδη τὰ δημιουργικά, καὶ πάλιν αὐτῶν τούτων ὑπέρτεραι τῶν ὅλων αἱ ἀρχαί. 25
καὶ τοσαῦτα μὲν πρὸς τὸ πρῶτον ἐρώτημα, εἰ χρὴ δι' ἐλαχίστων περὶ
15 μεγάλων εἰπεῖν. πρὸς δὲ τὸ δεύτερον, ὅτι τὸ μὲν δυνάμει καὶ πάντῃ τῶν
κυρίως ἀρχῶν ἐξοριστέον· ἀτελὲς γὰρ τοῦτο καὶ ἄγονον καὶ τῇ ὕλῃ πρε-
πωδέστερον, τὸ δὲ ἐνεργείᾳ μᾶλλον αὐταῖς οἰκειότερον, πλὴν ὅτι τινὲς οὐδ'
ἐνεργείᾳ λέγοιντ' ἂν εἶναι, ἀλλ' αὐτὸ μόνον ἐνέργεια. εἴη δ' ἂν ἡ τῶν 30
πάντων ἀρχή, εἰ θεμιτὸν εἴη λέγειν, οὐ μόνον ὑπὲρ τὸ δυνάμει καὶ ἐνερ-
20 γείᾳ, ἀλλὰ καὶ ὑπὲρ αὐτὴν ⟨τὴν⟩ ἐνέργειαν. πρὸς δὲ τὸ τρίτον, ὅτι αἱ
μὲν ἀκίνητοί εἰσι τῶν ἀρχῶν, ὅσαι τῶν ἀιδίων εἰσὶν αἴτιαι, αἱ δὲ κινοῦνται,
ὅσαι τῶν [αἰτίων] γιγνομένων καὶ φθειρομένων, ὥσπερ ὁ ἥλιος καὶ ἡ τοῦ 35
αἰθέρος κυκλοφορικὴ περίοδος.

p. 996a12 Πρὸς δὲ τούτοις ... ἢ ἐν τούτοις.

25 Δόξειε μὲν ἂν τὸ οὐσίαι ἐν τούτοις ἀντὶ τοῦ ὄντα παρειληφέναι· οὐ
γὰρ δήπου τὴν στιγμὴν τὴν ἐν τοῖς αἰσθητοῖς καὶ γραμμὴν οὐσίαν ᾤετο
εἶναι· οὐ μὴν ἀλλ' ἐν τοῖς | ἑπομένοις τὸ οὐσιῶδες αὐτῶν ἐπιζητήσει. 843b
ἡμεῖς τοίνυν καὶ τὸ εἶναι αὐτῶν καὶ τὸ οὐσιῶδες ἐκφαίνομεν πολλαχῶς
εἶναι λέγοντες ταῦτα· καὶ γὰρ ἐν τοῖς αἰσθητοῖς τῆς φύσεως ἔργοις ἴδοι ἄν
30 τις καὶ σχῆμα καὶ ἀριθμὸν καὶ ἐπιφάνειαν φυσικὴν καὶ ταύτης πέρατα,
ἔτι δὲ καὶ ἐν τῇ φαντασίᾳ ἡμῶν καὶ ἐν τῇ δόξῃ ταῦτα συνίσταται, εἴτε 5
ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν, ὡς αὐτῷ ἀρέσκει, ληφθέντα, εἴτε καὶ τελειω-
θέντα παρ' ἡμῖν ἐκ τῶν οὐσιωδῶν τῆς ψυχῆς εἰδῶν. ταῦτα οὖν τὰ φαν-
ταστὰ καὶ τὰ δοξαστὰ τοῦ μὲν εἶναι μετέχει, οὐσίαι δὲ οὔκ εἰσι· διὸ καὶ
35 ὑπὸ ποσότητα μᾶλλον ἢ ποιότητα ἢ ἄλλην κατηγορίαν ἀνάγοιντ' ἄν· οἱ 10
δὲ οὐσιώδεις τῆς ψυχῆς λόγοι οἱ ταῦτα ἔχοντες ἤδη οὐσίαι. εἰ δὲ καὶ τὰ

10 ἐρίζουσα C, corr. Us. 13 possis πάλιν αὖ τούτων 18 μόνον Us.: μᾶλλον C (cf. Iacobs ad Achill. Tat. 697 Toup ad π. ὕψ. 526) 20 τὴν add. Us.
22 αἰτίων ortum ex ἀιδίων seclusi, ἀεὶ Us. 24 ἢ ἐν τούτοις ut Ar. cod. E et Alex. ἢ ἐνυπάρχουσαι ἐν τούτοις Ar. cod. Ab 30 an τὰ αὐτῆς?

ἐν νῷ καὶ νοητοῖς αὐτῶν ὁρῴη τις παραδείγματα, ἐν ταῖς πρωτίσταις ἂν 843b
τῶν οὐσιῶν τόν τε ἀριθμὸν καὶ τὰ σχήματα καὶ τὸ αὐτομέγεθος ἴδοι κατα-
ριθμούμενα.

Τοσαῦτα προτείνας ὁ φιλόσοφος οὗτος τἄπορα πάλιν ἀναλαβὼν ἀπὸ 15
5 τοῦ πρώτου πειρᾶται τοὺς ἐφ' ἑκάτερα γυμνάζειν λόγους, ἵνα τῶν ἀντι-
κειμένων ἀκούοντες ἐπιχειρημάτων μετὰ πολλῆς βασάνου καὶ κρίσεως ἐπι-
στατικωτέρας τοῖς ἀληθεστέροις προσθώμεθα. τοσοῦτον οὖν ἐπισημηνάμενοι,
ὅτι οὐχ ἁπανταχοῦ τῇ τάξει τῶν προβλημάτων ἀκολουθεῖ, πειραθῶμεν ἤδη 20
γυμνάζοντι τοὺς ἀντικειμένους λόγους συνοδεύειν αὐτῷ, καὶ τοῖς μὲν εἰς τὸ
10 ἀληθὲς ὁρῶσι συμφθέγγεσθαι, τοῖς δὲ σοφιστικωτέροις ἐνίστασθαι· ἀναγκαῖον
γὰρ τῶν ἀντικειμένως παρ' αὐτῷ κατασκευαζομένων τὰ μὲν πρὸς τἀληθὲς
τὰ δὲ πρὸς ἀπάτην βλέπειν.

p. 996a18 Πρῶτον . . . αἰτίων.

Τοῦτο ἦν τὸ πρῶτον αὐτῷ προταθέν· γένη δὲ λέγει νῦν αἰτίων τὰ 25
15 εἴδη. εἶτα κατασκευάσει πρότερον, ὅτι οὐ μιᾶς ἐπιστήμης πάντα τὰ αἴτια
τοῦ πράγματος γιγνώσκειν, ὃ καὶ ψεῦδός ἐστι καὶ αὐτῷ μὴ δοκοῦν.

p. 996a20 Μιᾶς μὲν γὰρ ἐπιστήμης . . . γνωρίζειν.

Ὁ συλλογισμὸς δυνάμει τοιοῦτός ἐστιν· τὰ αἴτια τὰ τῷ εἴδει διαφέροντα οὐκ ἐστιν ἐναντία· τῶν τῷ εἴδει διαφερόντων καὶ μὴ ὄντων ἐναν- 30
20 τίων οὐκ ἔστι μία ἐπιστήμη· τῶν αἰτίων ἄρα οὐκ ἔστι μία ἐπιστήμη.
καὶ ἐν δευτέρῳ σχήματι· τὰ αἴτια ⟨τὰ⟩ τῷ εἴδει διαφέροντα οὐκ ἐναντία·
τὰ ὑπὸ μίαν ἐπιστήμην ἐὰν τῷ εἴδει διενέγκῃ, ἐναντία ἐστί· τὰ αἴτια οὐκ
ἔστιν ὑπὸ μίαν ἐπιστήμην. ὅπως δ' ἂν ἔχῃ, ψευδὴς μέν ἐστι πάντῃ καὶ 35
πάντως ἡ μείζων πρότασις· οὐ γὰρ εἰ τῶν ἐναντίων μία, τῶν οὐκ ἐναν-
25 τίων οὐ μία, οὐδ' εἰ τἀναντία ὑπὸ μίαν, εὐθέως καὶ τὰ ὑπὸ μίαν ἐναντία.
μήποτε δὲ οὐδ' ἀεὶ τὰ αἴτια τῷ εἴδει διαφέρει, ὡς καὶ αὐτὸς ἐν τῷ B
τῆς Φυσικῆς ἐπέστησεν, ὅτι συνπρέχει ποτὲ τῷ εἴδει καὶ τὸ τέλος καὶ 844a
τὸ ποιοῦν κατὰ τὸ ὁμοειδές.

p. 996a21 Ἔτι . . . φύσιν.

30 Ὁ συλλογισμὸς τοιοῦτος· αἱ πρῶται καὶ κάλλισται τῶν ἐπιστημῶν περὶ
τὰ ἀκίνητα ἔχουσιν· αἱ περὶ τὰ ἀκίνητα ἔχουσαι πάντα τὰ αἴτια οὐ γιγνώ-
σκουσιν, ἐπεὶ μηδ' ἔστιν ἐν τοῖς ἀκινήτοις ποιητικὸν ἢ τελικὸν αἴτιον· αἱ 5
πρῶται καὶ κάλλισται τῶν ἐπιστημῶν οὐ πάντα τὰ αἴτια γιγνώσκουσιν.
ἐν τούτοις πάλιν ἡ μείζων ψευδής· ἔστωσαν μὲν γὰρ αἱ θεωρητικαὶ τῶν

11 ἀντικειμένων C, corr. A 16 τοῦ πράγματος cf. Ar. 996b4 18 cf. Alex. 181,2 19 et 20 καὶ μὴ et οὐκ ἔστι μία in ras. Cb ὄντων ἐναντίων in mg. 21 τὰ add. Us. 23 ἔχοι C 27 Ar. phys. II 7 198a24

ἐπιστημῶν αἱ πρῶται καὶ κάλλισται, τούτων δὲ αὐτῶν ἡ μὲν φυσικὴ ⟨περὶ 844a
τὰ⟩ κινούμενα ἔχουσα μὴ προταττέσθω, αἱ δὲ μαθηματικώτεραι καὶ ἡ πρώτη
φιλοσοφία καλλίους αὐτῆς ἔστωσαν· ἀλλὰ διὰ τί μὴ πάντα θεωροῦσι τὰ 10
τῶν ἐπιστητῶν αἴτια; ὅτι, φαῖεν ἄν, οὐδὲ ἔχει τὰ ἀκίνητα ποιητικὸν αἴτιον
5 ἢ τελικόν. ἀλλὰ μάλιστα μὲν ἔχει, εἴ γε ἐξ ἀρχῆς καὶ ταῦτα καὶ μὴ ἐκ τοῦ
αὐτομάτου παρῆλθεν εἰς τὰ ὄντα· πᾶν γὰρ τὸ ὅπως ποτὲ ὂν ἢ ἀρχὴ ἢ
ἐξ ἀρχῆς· πλῆθος δὲ ἀρχὴ εἶναι οὐ δύναται· ὥστε ἔχοι ἂν καὶ ποιητικὴν
αἰτίαν καὶ τελικήν· τοῦ γὰρ ἀγαθοῦ χάριν καὶ ἔστι τὰ ἀκίνητα καὶ γιγνώσκει 15
καὶ γιγνώσκεται. ἔπειτα δὲ ἕτερον ἦν τὸ ἐξ ἀρχῆς προκείμενον· οὐ γὰρ
10 εἰ ἐκλείποντος αἰτίου δυνατὸν ἐπιστήμην τοῦ πράγματος γενέσθαι, προὔκειτο
σκοπεῖν, ἀλλ' εἰ ὄντων αἰτίων διαφόρων μὴ μία ἐπιστήμη, πολλαὶ δὲ ταὐτὰ
ἐπισκέψονται· ὃ νῦν οὐ κατεσκεύασται. μᾶλλον δ' ἄν τις εἰς τὸ ἀντικείμενον 20
ἐκ τούτων ὁρμηθεὶς ἐπιχειρήσειεν· εἰ γὰρ πᾶσαι αἱ περὶ τὰ ἀκίνητα διατρί-
βουσαι πάντα τὰ ὑπάρχοντα τοῖς ὑποκειμένοις αἴτια γιγνώσκουσι καὶ οὐδὲν
15 τῶν ὑπαρχόντων αὐτοῖς παρορῶσι, καὶ ἡ σοφία πάντα ἂν γιγνώσκοι τὰ τοῦ
ὄντος ᾗ ὄν αἴτια. ἑξῆς δὲ ὁ λόγος κατασκευάζειν μὲν ἐπιχειρεῖ, ὅτι τελικὴν 25
αἰτίαν οὐκ ἔχει τὰ μαθήματα· ψεῦδος δὲ λαμβάνει, ὅτι τὸ οὗ ἕνεκα πράξεώς
τινός ἐστι τέλος· οὐ γὰρ μόνων τῶν πράξεών ἐστι τὰ τέλη, ἀλλὰ πολλῷ
πλέον τῶν θεωριῶν· τοῦ γὰρ ἀγαθοῦ χάριν καὶ ⟨τῆς⟩ πρὸς τὸ θεῖον ἐξο-
20 μοιώσεως καὶ τῆς ἀληθινῆς ἡμῶν σωτηρίας θεωρεῖν ἐφιέμεθα, τῶν δὲ πρά-
ξεων τὸ τέλος καὶ μερικὸν καὶ οὐδὲ κυρίως τέλος. εἰ δὲ οἱ γεωμέτραι μὴ 30
χρῶνται τῇ τοῦ τέλους ἀποδόσει, δεικνύντες τὰ καθ' αὑτὰ τοῖς σχήμασιν
ὑπάρχοντα, θαυμαστὸν οὐδέν. οὐδὲ γὰρ τὸ ὑποκείμενον αὐτοῖς ἐπισκέπτονται,
εἴτε ἔστιν εἴτε μή, οὔτε τὸ τέλος πολυπραγμονοῦσιν οὔτ' ἄλλο οὐδὲν πλὴν τῶν
25 καθ' αὑτὰ ὑπαρχόντων τοῖς σχήμασι ⟨καὶ τοῖς μεγέθεσι⟩, καὶ διὰ τοῦτο οὐκ 35
ἐπιστήμονες ἂν | εἶεν· ᾧ γὰρ ἀρχή, φησίν, ὃ μὴ οἶδε, τελευτὴ δὲ καὶ 844b
μεταξὺ ἐξ ὧν οὐκ οἶδε, τίς μηχανὴ τὴν τοιαύτην ὁμολογίαν ποτὲ ἐπιστήμην
γενέσθαι; ἀλλ' ὅ γε πρῶτος φιλόσοφος καὶ διὰ τί ὁ κύκλος εἰς ἑαυτὸν
συννεύει καὶ τί μιμεῖται τῶν ὄντως ὄντων, καὶ τί πρῶτον τῶν σχημάτων,
30 καὶ τίς ἡ ἐν αὐτοῖς τάξις καὶ πόθεν, οἷς πάντως ἡ τἀγαθοῦ συνεισέρχεται 5
αἰτία, πάντως ἐπισκέπτεται. γελοῖος δὲ καὶ Ἀρίστιππος μαγειρικὴν μὲν
οἰόμενος τέλους τινὸς ἕνεκα τοιόνδε παρασκευάζειν ὄψον, τὰς δὲ μαθηματικὰς
εἰς ἀληθῆ συμπεράσματα ⟨ἀπὸ⟩ ἐπιστημονικῶν προτάσεων καταντώσας ἀεὶ
μὴ νοῦ γεννήματα καὶ μιμήματα νομίζων δεικνύναι τὰ πράγματα περὶ ἃ 10
35 διατρίβουσι· πόθεν γὰρ ἡ ἐν αὐτοῖς ἀλήθεια, πόθεν ἡ τάξις ᾗ τὸ ἄφραστον
κάλλος συνεισέρχεται, πόθεν ἡ ἐξ αὐτῶν περιαγωγὸς καὶ ἀναγωγὸς ὠφέλεια
ταῖς ψυχαῖς, εἰ μὴ πολὺ πρότερον αὐτοῖς ἀπὸ νοῦ πολὺ τὸ τῆς τἀγαθοῦ
μοίρας ἐνδέδοτο;

---

1. 2 περὶ τὰ add. Us. ex Bag. 19 τῆς add. Us. 23 ἑαυτοῖς C 25 καὶ add. Brandis; fort. potius delendum τοῖς μεγέθεσι 26 cf. Ar. met. α 2, imprimis 994b20 27 ἀλογίαν aut ματαιολογίαν coni. Us., fuit potius κενολογίαν 30 καὶ πόθεν αὐτοῖς καὶ πῶς ἡ coni. Us. 33 ἀπὸ addidi, possis etiam διὰ 35 cf. de or. chald. 50 37 τὸ] τι Us.

p. 996ᵇ1 Ἀλλὰ . . . ὑπάρχειν. 844ᵇ

Τὸ ἀντικείμενον κατασκευάζει, ὃ καὶ ἀληθές ἐστι, τὸ μίαν ἐπιστήμην τὰς αἰτίας πάσας εἰδέναι τοῦ ἐπιστητοῦ, καὶ ἀρεστὸν αὐτῷ. ἔστι δὲ ἡ μὲν τοῦ ὅλου δόγματος ἀπόδειξις σφόδρα καὶ σύντομος καὶ σαφής· ἔνια δὲ τῶν διὰ μέσου δεῖται βραχείας ἐξετάσεως. φησὶ δὲ ὅτι εἰ ἄλλη μὲν τὴν ποιητικὴν αἰτίαν εἰδείη, ἄλλη δὲ τὴν τελικήν (ἐνδέχεται γὰρ τὸ πρᾶγμα πάσας ἔχειν), πολλαί τε σοφίαι ἔσονται καὶ ἀμφισβητήσουσι περὶ πρωτείων καὶ οὐδεμία κατὰ τὸ ἀληθὲς αὐτῶν ἔσται σοφία. ἅπασαι γὰρ ἀτελεῖς ἅτε τὴν τῶν αἰτίων γνῶσιν κατανειμάμεναι· γελοία μὲν γὰρ ἡ τὸ ποιητικὸν αἴτιον εἰδέναι προσποιουμένη, ὅταν μήτε τί ἐστι τὸ πρᾶγμα γιγνώσκῃ, μήτε ἐφ' ᾧ γέγονεν ἢ ἔστιν. ἀτελὴς δὲ καὶ ἡ τὸ τί ἐστιν ἐπεσκέφθαι λέγουσα, ὅταν μήτε τὴν ἀρχὴν τῆς κινήσεως ἐπίστηται μήτε τὸ οὗ ἕνεκα γιγνώσκῃ· ἡ δὲ τὸ τέλος μὲν ὡς οἴεται προειληφυῖα, μήτε δὲ οὗ τέλος ἐστὶ μήθ' ὅθεν ὑπέστη τὸ πρᾶγμα γιγνώσκουσα, πῶς οὐκ εὐκαταφρόνητος; ὥστε [οὐκ] ἔστιν ἡ ἐπιστήμη μία, ἣ πάσας τὰς αἰτίας θεωρεῖ. ταῦτα μὲν ὅλην περιέχει τῆς κατασκευῆς τὴν δύναμιν. ἐπιδράμωμεν δὲ τὸ ῥητόν· οἷον οἰκίας. ὅθεν μὲν ἡ κίνησις, ἡ τέχνη καὶ ὁ οἰκοδόμος, οὗ δ' ἕνεκα τὸ ἔργον . . . λόγος. ταῦτα κατασκευαστικὰ τοῦ πάντα τὰ αἴτια ἐνίοις ὑπάρχειν. τὸ δ' οὗ ἕνεκα καὶ τέλος τῆς οἰκίας τὸ ἔργον αὐτῆς εἶναί φησι, τουτέστι τὸ σκέπειν ἡμᾶς καὶ φυλάττειν τὰ ἀναγκαῖα τῶν σκευῶν· τοῦτο γὰρ ἔργον οἰκίας καὶ τούτου χάριν τὴν πρώτην ἐγένετο. 845ᵃ

p. 996ᵇ8 Ἐκ . . . προσαγορεύειν.

Εἴρητο περὶ σοφίας ἐν τῷ μείζονι Α, ὅτι ἡ ἀρχιτεκτονικωτέρα τῶν ἄλλων καὶ διδασκαλικωτέρα καὶ πλεῖστα εἰδυῖα καὶ ἀκριβέστατα. φησὶν οὖν ὅτι κατὰ τούτους τοὺς προσδιορισμούς, εἰ μὴ μία τὰ αἴτια πάντα εἰδείη ἀλλ' ἑκάστη ἕν, ἀμφισβητήσουσιν ἀλλήλαις αἱ ἐπιστῆμαι· βελτίστη μὲν γὰρ καὶ ἀρχικωτάτη ἡ τὸ τέλος καὶ τἀγαθὸν ἐπεσκεμμένη, ἀποδεικτικωτάτη δὲ καὶ ὁριστικωτάτη ἡ περὶ τὸ εἶδος ἀναστρεφομένη. ἐν δὲ ταῖς πράξεσι καὶ πᾶσι τοῖς κινουμένοις ἐὰν μὴ τὴν ἀρχὴν τῆς κινήσεως ἐγνωκώς τις ὑπάρχῃ, σχεδὸν οὐδενὶ τοῦ πράγματος παρακολουθεῖ. τὴν δὲ ποιητικὴν αἰτίαν ἀντίθετον εἶναί φησι τῇ τελικῇ, ὅτι ἡ μὲν ἀρχὴ κινήσεώς ἐστιν ἡ δὲ τέλος. προσεκτέον δὲ πάλιν τῷ ἰδιώματι τῆς φιλοσοφίας αὐτοῦ, ὅτι τῶν κινουμένων μόνων ἀρχὴν εἶναι ποιητικὴν ὑπείληφε, τῶν δὲ ἀκινήτων οὐκέτι. ἀλλὰ ταῦτα μὲν ἐκ πλειόνων ἀθροιστέον· ὅπως δὲ παρίστησι τὸ βασιλικὸν τῆς τὸ τέλος θεωρούσης ἐπιστήμης, ἀκούσωμεν αὐτοῦ λέγοντος· ἢ μὲν . . τἆλλα. καθὸ μὲν γὰρ ἡ σοφία τὸ ἀρχικὸν ἔχει καὶ δεσποτικὸν τῶν ἄλλων ἐπιστη-

---

2 post ἀληθές ἐστι sequi debebat καὶ ἀρεστὸν αὐτῷ; hyperbaton offendit Usenerum
6 εἰδοίη C 14 οὐκ delevi; εἰ μὴ ante μία add. Us. 23 cf. Ar. 981ᵇ28 sqq.
24 an ἀκριβεστάτη? cf. Ar. 982ᵃ25 Alex. 184,18 25 προδιορισμοὺς Us.

μῶν, οὐκ ἂν ἄλλη τις εἴη ἢ ἡ περὶ τοῦ τέλους, οὗ χάριν τἆλλα· καὶ γὰρ 845ᵃ
αὐτὸ τὸ τέλος ἡγεμονικὴν ἀξίαν ἔχει πρὸς τὰ ἄλλα αἴτια· οὗ γὰρ ἕνεκα
πάντα γίγνεται, ἐκείνῳ δουλεύει τὰ πάντα καὶ ἐν κόσμῳ καὶ ἐν πολιτείᾳ 20
καὶ ἐν στρατοπέδῳ καὶ ἐν οἴκῳ καὶ ἐν ἑκάστῳ ἡμῶν· τοῦ δὲ ἀγαθοῦ καὶ
5 τοῦ τέλους ἕνεκα πάντα γίγνεται.

p. 996ᵇ13 Ἡι δὲ . . . πέφυκε.

Καθὸ δέ, φησίν, ἡ σοφία τῶν πρώτων αἰτίων ἐστὶ καὶ τοῦ δυναμένου
μάλιστα γνωσθῆναι, ἡ τὸ εἶδος εἰδυῖα σοφία ἂν εἴη. πῶς μὲν οὖν ταῦτα
ὑπάρχει τῇ τὸ εἶδος ἐπεσκεμμένῃ, προϊὼν εὐθὺς ἐρεῖ· τέως δὲ ὅτι πολλῶν 25
10 εἰδότων τὰ πράγματα ἄμεινον οὗτος οἶδε, διὰ τῶν ἐκκειμένων δηλοῖ· εἰ γὰρ
οἶδε μέν πως καὶ ὁ διὰ τῆς στερήσεως ἢ τῆς ἀποφάσεως εἰπεῖν τι περὶ
τοῦ πράγματος δυνάμενος, οἷον ὁ εἰδὼς ὅτι τὸ σημεῖον ἀμερὲς καὶ τὸ θεῖον
ἀθάνατον, μᾶλλον οἶδε τούτου ὁ διὰ καταφάσεως αὐτὸ γιγνώσκων καὶ τῶν 30
ὑπαρχόντων αὐτῷ, οἷον ὅτι τὸ μέν ἐστι πέρας γραμμῆς, τὸ δὲ ἀεὶ ὂν
15 αὔταρκες ἀγαθὸν τῶν ὄντων αἴτιον. ἔτι δὲ τούτου μᾶλλον ὁ μὴ τὴν ποιό-
τητα τῶν πραγμάτων ἢ τὴν ποσότητα λέγειν ἔχων ἢ τὰς ἐνεργείας ἢ τὰς
πείσεις (πάντα γὰρ ταῦτα μετὰ τὴν οὐσίαν καὶ δεύτερα τῆς οὐσίας), ἀλλ' 35
ὁ περὶ τοῦ τί ἐστι τὸ ὑποκείμενον δυνάμενος ἀναδιδάξαι πάντων ἂν τῶν
ἐπιστημόνων οὗτος εἴη | τελεώτατος. πῶς δὲ καὶ περὶ τὰ πρῶτα αἴτια 845ᵇ
20 ἔχει, ἀκούσωμεν αὐτοῦ κατασκευάζοντος.

p. 996ᵇ18 Ἔτι δὲ . . . ἄλλων.

Αἱ μὲν οὐσίαι δι' ὁρισμῶν γνωρίζονται· διὸ ὁριστική ἐστιν ἡ πρώτη
ἐπιστήμη. τὰ δὲ καθ' αὑτὰ ὑπάρχοντα δι' ἀποδείξεώς ἐστι γνωστά· διὸ
ἡ δευτέρα ἐπιστήμη ἀποδεικτική ἐστιν. ἡ δὲ τὸ εἶδος ἐπεσκεμμένη πάντα 5
25 ταῦτα εἰδυῖα καὶ ὁριστική ἐστι καὶ ἀποδεικτική· ὁριστικὴ μὲν αὐτόθεν, ἐπειδὴ
τοῦτο ἦν τὸ εἰδέναι τὴν οὐσίαν τοῦ πράγματος, ἀποδεικτικὴ δὲ ὅτι ἐν ταῖς
ἀποδόσεσι τῶν αἰτίων οὐ πρότερον παύεταί τις ἀποδεικνύς, πρὶν ἂν εἰς τὸ τί
ἐστι καταντήσῃ· οὐ γὰρ ἱκανὸν εἰπεῖν ὅτι διακρίνει μὲν ἡμᾶς τὸ πῦρ, συγ- 10
κρίνει ⟨δ'⟩ ἡ χιών, εἰ τύχοι, ἀλλὰ διὰ τί τούτων ἑκάτερον; ὅτι τὸ μέν,
30 φησί, θερμὸν τὸ δὲ ψυχρόν. διὰ τί δὲ τούτων ἑκάτερον; ἐὰν μὴ εἰς τοὺς
ὅρους αὐτῶν καταντήσωμεν καὶ δείξωμεν, ὅτι τοῦτ' ἔστιν ἑκατέρῳ αὐτῶν
τῷ τε πυρὶ καὶ τῇ χιόνι τὸ εἶναι, οὔκ ἐσμεν ἀποδεικτικοί. ὥστε μόνου
τοῦ τὸ εἶδος ἐγνωκότος ἐστὶν ἀποδεικνύναι. καὶ αὕτη ἐστὶν ἡ πρώτη αἰτία 15
ἡ ἐκ τοῦ ὁρισμοῦ λαμβανομένη, [ἡ] πρώτη δὲ οὐ κατὰ τὴν ἀπόδοσιν (ὑστάτη
35 γὰρ εἰ τύχοι κατὰ ταύτην), ἀλλὰ τῇ φύσει πρώτη, εἰς ἣν καταντήσας ὁ
ἀποδεικτικὸς ἀναπαύεται· οἷον διὰ τί ὁ πολιτικὸς μουσικὴν εἶναι θέλει καὶ

10 post οἶδε enuntiatum relativum ad οὗτος pertinens excidisse putes ἐγκειμένων C: correxi 12 cf. Alex. 185,7 28 ἡμᾶς corruptum, ἵνας coni. Us. 29 δ' add. Us. ex Bag. 29. 30 μὲν φύσει coni. Us. 30 fort. ἐὰν οὖν μὴ 34 ἡ del. Us. 35 φύσει ex Bag. Us.: φυσικῇ C

γυμναστικὴν ἐν τῇ πόλει; ἵνα παιδεύσῃ τοὺς πολίτας. διὰ τί παιδεύει; 845ᵇ
ἵνα ἐπιστήμονας ποιήσῃ. διὰ τί δὲ τοῦτο; ὅτι δεκτικοί εἰσιν ἐπιστήμης· 20
πῶς δὲ τοῦτο; ὅτι λογικοί· διὰ τί δὲ λογικοί; ὅτι τοῦτό ἐστιν αὐτοῖς τὸ
ἀνθρώποις εἶναι. ὁρᾷς ὅτι ἐκ τῶν πρώτων αἰτίων οὗτος ἐπίσταται καὶ
5 ἔστιν ἡ ἀρίστη αἰτία τῆς ἀποδείξεως ὁ τοῦ πράγματος ὁρισμός. διὰ τί
ἐκλείπει τὸ φῶς; ὅτι ἀντιφράττεται τὸ φῶς ὑπὸ τῆς γῆς. ἔχεις οὖν τὸν
ὁρισμὸν τῆς σεληνιακῆς ἐκλείψεως· ἔστι γὰρ ἔκλειψις σελήνης φωτὸς τοῦ 25
ἐν αὐτῇ στέρησις διὰ τὴν τῆς γῆς ἀντίφραξιν· ἧς ἐὰν ποιήσῃς ἀπόδειξιν,
τὴν θέσιν τῶν ὅρων ἀμείβεις μόνον, ὡς ἐν τοῖς Ἀποδεικτικοῖς αὐτὸς
10 ἡμᾶς ἐδίδαξε. καὶ τετραγωνίσαι παραλληλόγραμμον ὀρθογώνιον οὐδὲν ἦν
ἄλλο ἢ τῆς μέσης εὕρεσις· ἂν γὰρ ᾖ τὸ μῆκος εἰ τύχοι $\overline{\vartheta}$, τὸ δὲ πλάτος 30
$\overline{\delta}$, ἔσται μὲν τὸ ἐμβαδὸν $\overline{\lambda\varsigma}$. εὑρὼν δὲ τὴν μέσην ἀνάλογον τῶν $\overline{\vartheta}$ καὶ
$\overline{\delta}$ τὴν $\overline{\varsigma}$ ἀπ' αὐτῆς ἀναγράφεις τετράγωνον ἴσον τῷ παραλληλοράμμῳ. ἀλλ'
εἴτε τὸ τί ἐστι τετραγωνίζειν λέγοις, οὐκ ἄλλο τι ἐρεῖς ἢ τὸ μέσην ἀνάλογον
15 εὑρεῖν, εἴτε δεικνύοις ὅτι τετετραγώνισται, ἐπὶ ταύτην καὶ οὐκ ἄλλην τὴν 35
πρωτίστην αἰτίαν καταντήσεις. οὕτως ἡ τὸ εἶδος ἐπισταμένη μόνη καὶ
ὁρίζεται καὶ ἐν τοῖς ἄλλοις, τουτέστι | τοῖς καθ' αὑτὰ ὑπάρχουσι, μόνη 846ᵃ
ἀποδείκνυσι.

p. 996ᵇ22 Περὶ . . . τῷ τέλει.

20 Ἀναγκαιοτάτη διὰ τούτων ἡ τῆς ποιητικῆς αἰτίας γνῶσις ἐν τοῖς πρακτοῖς καὶ ὅλως τοῖς κινητοῖς ἀποδείκνυται· ὁ γὰρ τὴν ἀρχὴν ἀγνοῶν τὴν κινήσασαν οὐδ' ἂν τὸ εἶδος οὐδ' ἂν τὸ τέλος εἰδείη τοῦ πράγματος. ἀμέλει πολλάκις ἤρκεσεν ἡμῖν γνῶναι ὅτι Σωκράτους πρᾶξις ἢ Πυθαγόρου, πρὸς 5
τὸ πεισθῆναι ὅτι καλὴ καὶ ἔμφρων καὶ λυσιτελής.

25 p. 996ᵇ24 Ὥστε ἄλλης ἂν . . . ἕκαστον.

Ἐὰν οὕτω γράφηται, ὡς εἰς ἄτοπον ἀπάγοντος αὐτοῦ τὸν λόγον ἀκουσόμεθα, ὡς εἰ ἔλεγεν· ὥστε ἄλλης καὶ ἄλλης δόξειεν ἂν εἶναι σοφίας ἕκαστον εἰδέναι τῶν αἰτίων· ὃ ταὐτὸν τῷ· ὥστε πολλαὶ σοφίαι, εἰ μὴ μία τὰ πάντα 10
αἴτια γιγνώσκει. ἐὰν δὲ οὐκ ἄλλης, ὡς ἐγκρίνει μᾶλλον Ἀλέξανδρος, ὡς
30 ἀπὸ κοινοῦ ἀκουσόμεθα κατ' εὐθεῖαν αὐτοῦ συλλογιζομένου, ὡς εἰ ἔλεγεν· ὥστε ἐπειδὴ ἡ τὸ αἴτιον εἰδυῖα σοφία, οὐκ ἄλλης καὶ ἄλλης ἐπιστήμης ἐστὶ τὸ θεωρεῖν τὰ αἴτια, ἀλλὰ μιᾶς. 15

p. 996ᵇ24 Ἀλλὰ . . . ἀμφισβητήσιμόν ἐστιν.

Ἀπορήσας περὶ τῶν αἰτίων τοῦ ὄντος, εἰ μιᾶς ἐστιν ἐπιστήμης ἡ πάν-

---

5 ἀρίστη C: πρωτίστη Us. 6 cf. Alex. 185,30 possis ⟨σελήνης⟩ τὸ φῶς τὸ φῶς om. Bag. 8 ἧς H: οἷς C 9 anal. post. II, 10 13 τετράγωνον signo certo exprimit C 14 λέγοις Cᵇ: λέγεις Cᵃ μέσον Cᵃ; corr. Cᵇ 20 τούτων Us.: τοῦτο C 29 Alex. 186,34

τῶν αὐτῶν γνῶσις ἢ ἑτέρας καὶ ἑτέρας, νυνὶ κατὰ τὴν ἔκθεσιν τῶν προβλη- 846a
μάτων τέως προϊὼν ζητεῖ δεύτερον, εἰ τῆς αὐτῆς καὶ τὰς ἀρχὰς τοῦ ὄντος
καὶ τὰς τῶν ἀποδείξεων ἀρχὰς ἐπίστασθαι, ἢ ἄλλης μὲν ταύτας ἄλλης δὲ
ἐκείνας· καὶ ἐπιχειρήσει εἰς ἑκάτερον. ἡμεῖς δὲ ὅτι μὲν τῆς αὐτῆς, προείπο-
5 μεν. τοῖς δὲ τὸ ἀντικείμενον κατασκευάζουσι λόγοις νυνὶ προσφέρειν τὸν
ἔλεγχον πειρασόμεθα κατὰ τὴν ἀπ' ἀρχῆς προαίρεσιν. λέγω . . . νῦν. ἐν
τούτοις καὶ ἐξηγεῖται, τίνες εἰσὶν αἱ ἀποδεικτικαὶ ἀρχαί, καὶ τὸ πρόβλημα 25
σαφέστερον ὁρίζει καὶ ὑποδιαιρεῖ θάτερον τῶν ἀντιδιῃρημένων, ὡς ἄλλο
φανῆναι πρόβλημα κατὰ τὴν ὑποδιαίρεσιν. ἀποδεικτικὰς μὲν οὖν ἀρχὰς τὰς
10 κοινὰς ἐννοίας ἀποφαίνεται εἶναι, οὔτι γε καθὸ διατιθέασιν ἡμᾶς ἢ ἐπὶ πρά-
ξεις κινοῦσι (πάντα γὰρ τοῦ τέλους ἑαυτῶν ἐφίεται κατά τινα κοινὴν ἔννοιαν,
οὐ δὴ καὶ ἀτυχοῦντες ἄνθρωποι καὶ δι' ἑαυτῶν κρατῆσαι μὴ δυνάμενοι 30
καταφεύγουσιν ἐπὶ τὸ θεῖον), ὑφ' ὧν κινούμενοι καί, ὡς αὐτὸς λέγει, τοῦ
εἰδέναι ὀρέγονται φύσει (ταύτῃ μὲν οὖν οὐκ ἂν εἶεν ἀποδεικτικαὶ ἀρχαί),
15 ἀλλὰ καθ' ὅσον εἰς τὰς ἀποδείξεις αὐταῖς χρώμεθα, προσαγορεύοντες μὲν
ἀξιώματα διὰ τὸ παρὰ πᾶσιν οὕτως ὑπειλῆφθαι, γνῶσιν δὲ τῶν ἀποδεικνυ- 35
μένων ἐναργεστέραν αὐτῶν ἔχοντες· ὧν μία ἐστὶ καὶ ἡ περὶ τῆς ἀντιφάσεως·
δύο δὲ παρὰ τοῖς πρεσβυτέροις ἀξιουμένων περὶ αὐτῆς, ἑνὸς μὲν τοῦ ὅτι
αὐτὴν οὐδὲν διαφεύγει, ἀλλὰ πᾶν ἀνάγκη ⟨ἢ⟩ καταφατικῶς | δηλοῦσθαι ἢ 846b
20 ἀποφατικῶς, ὡς ἐπὶ μηδενὸς ἀποτυγχάνειν ἀμφοτέρας τὰς προτάσεις, ἀλλ'
εἶναι ἀληθῆ τὴν ἑτέραν· ἑτέρου δὲ τοῦ ὅτι ἀδύνατον ἅμα αὐτὰς ἀληθεύειν,
χρῆται μὲν αὐτὸς νῦν ἀμφοτέροις. ἡμεῖς δὲ τοσοῦτον ἐπισημαινόμεθα, ὅτι
τὸ μὲν δεύτερον καὶ ἁπλῶς ἀληθές, τὸ δὲ πρότερον μετὰ προσδιορισμοῦ· 5
ἐπὶ γὰρ τῶν ὄντων καὶ ἐπιστήμῃ ληπτῶν ἅπαν ἀνάγκη φάναι ἢ ἀποφάναι·
25 ἐπεὶ ἐάν τι ὑπερούσιον ἢ καὶ μήτε ὄνομα ἔχῃ μήτε ἐπιστήμην μήθ' ὅλως ῥητὸν
ἢ, πῶς ἀνάγκη τοῦτο τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν δέξασθαι, ἐφ' οὗ πᾶς
λόγος ψευδής; ἀλλὰ ταῦτα μὲν ἑτέρας ἂν εἴη σχολῆς βαθύτερον ἐρευνᾶν· καὶ 10
γὰρ ἄλλας ἐνστάσεις ἔχει παρὰ τοῖς μὴ ἀνοήτως αὐτῷ χρωμένοις τοῦτο τὸ
ἀξίωμα. νυνὶ δὲ εἰπόντος τοῦ Ἀριστοτέλους· καὶ ὅσαι ἄλλαι τοιαῦται
30 προτάσεις, ὑποβαλοῦμεν τῷ λόγῳ τήν τε λέγουσαν πᾶν τὸ ἐφετὸν ἀγαθόν,
καὶ τὴν μηδὲν μάτην ποιεῖν τὴν φύσιν μηδὲ πολλῷ πλέον τὸν θεόν, μηδε- 15
μίαν οὐσίαν ἐκ τοῦ μὴ ὄντος γίγνεσθαι μηδὲ εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν
ἀπόλλυσθαι, πᾶν τὸ κινούμενον περί τι ἐστὼς κινεῖσθαι· ἔτι δὲ τά τε τῶν
γεωμετρῶν καὶ τὰ τῶν ἀριθμητικῶν καὶ τὰ τῶν ἄλλων ἐπιστημῶν ἀξιώ-
35 ματα, περὶ ὧν ἁπάντων οὐχ ἕτερός τις, ἀλλ' ὁ τὰ αἴτια εἰδὼς ἐπισκέπτεται. 20
εἰ γὰρ ἕτερος, τοῦτο δὴ τὸ τοῦ Ἀριστοτέλους ἀνάγκη λοιπὸν ἀπορεῖν, πότερος
αὐτῶν ἐστιν ὁ νῦν ζητούμενος σοφός.

p. 996b33 Μιᾶς . . . περὶ αὐτῶν.

Ἄρχεται κατασκευάζειν τὸ ἕτερον τῶν ἀντικειμένων, ὅτι οὐχ ἡ αὐτὴ
40 τὰς οὐσίας εἴσεται καὶ τὰ ἀξιώματα, ὅπερ ἐστὶ ψεῦδος. ἴδωμεν οὖν, ποῦ

13 possis καθὼς; initium metaphysicorum significat 19 ἢ add. Us. 20 fort. ἀλλ' ⟨ἀεὶ⟩ 28 ante παρὰ τοῖς παρὰ το del. in C 34 possis ἐπιστημόνων

παρακρούεται ἡμᾶς ὁ συλλογισμός· εἰ γὰρ ὁμοίως, φησίν, ἔχουσι πᾶσαι περὶ 846b
τὰς ἀποδεικτικὰς ἀρχάς, αἱ δὲ ἄλλαι αὐτὰς οὐκ ἴσασιν, οὐδ' ἡ περὶ τὸ ὂν 26
διατρίβουσα ταύτας γνώσεται. ὑγιὲς μὲν τὸ συνημμένον, ἴδωμεν δὲ τὴν
πρόσληψιν· 'ἀλλὰ μὴν ὁμοίως ἔχουσι πᾶσαι περὶ αὐτάς' * * * καὶ ἀπο-
5 δεικτικὰς ἀρχάς, αἵ τε πιστεύουσαι μόνον αὐταῖς, καὶ ἡ προσεχῶς μὲν ἀπὸ 30
νοῦ ταύτας ὑποδεξαμένη σοφία, κρειττόνως δὲ ἢ κατὰ ἀπόδειξιν ὑψόθεν
αὐτὰς θεωμένη, τό τε ἀληθὲς αὐτῶν ἅμα καὶ τὴν τάξιν καὶ τὴν ἀπὸ νοῦ
πρόοδον ἐπισκεπτομένη. καὶ ταῦτα λέγω περὶ τῶν καθάπαξ ἀξιωμάτων,
ἐπεὶ ὅταν ὡς μὲν πρὸς τήνδε τὴν τέχνην ἀξιώματα ᾖ, ἁπλῶς δὲ μὴ πρῶτα
10 τὴν φύσιν ὑπάρχῃ, καὶ ἀποδείξει αὐτὰ ὁ τῆς οὐσίας ἐπιστήμων, καίπερ 35
ἀναπόδεικτα ὄντα τῷ μερικῷ τεχνίτῃ· ἀμέλει καὶ τὰς γεωμετρικὰς ἀρχὰς
ἐκεῖνος ἀποδείκνυσι. πῶς οὖν ὁμοίως τοῖς ἄλλοις ἔχει περὶ αὐτάς, ἢ πῶς
τούτου μὴ συγχωρουμένου προβαίη | ποτ' ἂν ὁ παραλογισμός, ἐφ' ὃν 847a
σπεύδει τὸ συμπέρασμα;

15 p. 997a2 Ἅμα δὲ . . . ἀξιώμασιν

Πρότερον μὲν ὁ λόγος κατασκευάζειν ἐπεχείρησεν, ὅτι οὐδεμία ἐπιστήμη
τὰς ἀποδεικτικὰς οἶδεν ἀρχάς, νῦν δὲ ὅτι οὐδὲ ἐπιστηταί εἰσιν. ἴδωμεν
οὖν, πῇ καὶ οὗτος ὁ συλλογισμὸς πειρᾶται σοφίζεσθαι. οὔκ εἰσι, φησίν, αἱ 5
τῶν ἀποδείξεων ἀρχαὶ γνωσταί, εἰ μὴ καθὸ γινώσκομεν ὅ τί ποτε δηλοῦσιν·
20 τοῦτο δὲ οὐ ποιεῖ * περὶ αὐτῶν ἐπιστήμην· εἰ δέ εἰσιν ἐπιστηταί, καὶ ἀπο-
δεικταί εἰσιν, εἰ δὲ ἀποδεικταί, καὶ ἓν ἔχουσιν ὑποκείμενον. ὥσπερ οἱ ἀρι-
θμοὶ ἀποδεικτοὶ ὄντες ἓν ἔχουσιν ὑποκείμενον, οὗ τὰ μὲν πάθη, οἷον ἄρτιον 10
περιττὸν καὶ αἱ τούτων συμπλοκαὶ πολλαπλασιασμοὶ διαιρέσεις, ἃ καὶ ἀπο-
δεικτά ἐστι παρὰ τοῖς ἀριθμητικοῖς, τὰ δὲ ἀξιώματα ὡς οἱ τούτων ὁρισμοί·
25 οὐ γὰρ οἷόν τε περὶ πάντων ἀπόδειξιν εἶναι, ὡς δέδεικται ἐν τοῖς Ὑστέροις
Ἀναλυτικοῖς. εἰ δὲ ταῦτα κρατοίη, πᾶσαι ἀποδεικτικαὶ περὶ τὸ ὑπο-
κείμενον τὸ ἓν σχήσουσι τῶν ἀξιωμάτων, ὅπερ ἄτοπον· ὥσπερ γὰρ ἡ ἀρι- 15
θμητικὴ περὶ πάντας τοὺς ἀριθμοὺς καὶ ἡ γεωμετρία περὶ πάντα τὰ σχήματα,
οὕτως ἑκάστη τῶν ἀποδεικτικῶν περὶ πᾶν τὸ ὑποκείμενον τῶν ἀξιωμάτων.
30 ἔλαβεν οὖν ἐκ μὲν τοῦ εἰ ἐπιστηταί, ὅτι καὶ ἀποδεικτά. ὅπερ ἐστὶ ψεῦδος·
ἐκ δὲ τοῦ εἰ ἀποδεικτά, ὅτι ἔχουσι πάντως ὑποκείμενον, ὃ καὶ αὐτὸ ψεῦδος· 20
ἄλλως γὰρ τὰ πράγματα λέγεται ἀποδεικτὰ καὶ ἄλλως οἱ λόγοι καὶ αἱ
προτάσεις· εἰ δὲ ὑποκείμενον σχήσει τὰ ἀξιώματα, πάθη περὶ αὐτὰ καὶ
ἀξιώματα φανεῖται, ὥστε ἔσται καὶ τῶν ἀξιωμάτων ἀξιώματα· τοῦτο δὲ τὸ
35 ἄτοπον αὐτὸς μὲν οὐ τίθησιν. ἕπεται δὲ πάντως τοῖς εἰλημμένοις· καὶ τὸ 25
τούτῳ ἀκόλουθον τὸ τὰ ἀξιώματα, εἰ ᾔτηται ἄλλων ἀξιωμάτων, μὴ εἶναι

---

4 spatium quindecim fere litt. in C 5 αἵ τε Us.: αἴτιον C 13 ὃν Us.: ὃ C
20 excidit v. g. ἀποδεικτικὴν 20. 21 ἀποδεικταί bis Ca, corr. Cb 21 εἰσιν, εἰ δὲ ἀποδεικ- in ras. Cb -ταὶ καὶ ἓν ἔχουσιν in mg. Cb 22 οὐ τα C ἄτριον bis habet C 34 τὸ suprascr. Cb 35 τὸ ante τούτῳ insiticium

ἀξιώματα, μετὰ τοῦ καὶ ἐπ' ἄπειρον ὁδεύειν ἡμᾶς μὴ κωλύεσθαι· πάλιν 847a
γὰρ ταῦτα τὰ ἀξιώματα, ὥστε καὶ ταῦτα, δεῖται ἄλλων ἀξιωμάτων, καὶ
τοῦτο ἐπ' ἄπειρον. τί οὖν θαυμαστόν, εἰ τῶν οὕτως ἀτόπων συγχωρου-
μένων πᾶσαι αἱ ἐπιστῆμαι περὶ ἓν διατρίψουσιν ὑποκείμενον τὸ τῶν ἀξιω- 30
5 μάτων; ἀλλ' ὅτι μὲν οὔτε ἀποδεικτὰ τὰ κυρίως ἀξιώματα, καὶ εἰ ἐπιστητά.
κατὰ τὴν πρώτην ἐστὶν ἐπιστήμην τὴν περὶ τὰς ἀμέσους προτάσεις διατρί-
βουσαν, αἳ τῷ ὅτι τὸ διότι συνειλημμένον ἔχουσιν, ἅτε προσεχῶς ἀπὸ νοῦ
προελθοῦσαι καὶ νοῦν ἀνελίσσουσαι καὶ διαιροῦσαι καὶ διεξοδεύουσαι· οὔτε 35
εἰ ἦν ἀποδεικτά, ἓν ἂν ἔσχεν ὑποκείμενον, κατατακτά γε ὄντα καὶ μετεωρο-
10 πορούντα. καὶ λοιπὸν δὲ ὅπως τἀληθὲς παρ' αὐτῷ κατεσκεύασται, θεασώ-
μεθα. |

p. 997a11 Ἀλλὰ . . . ψεῦδος. 847b

Εἰ μὴ ὁ αὐτὸς τὰς τῶν πραγμάτων ἀρχὰς οἶδε καὶ τὰς τῶν ἀπο-
δείξεων, ἀλλ' ἕτερος καὶ ἕτερος, ἀτελὴς μὲν αὐτῶν ἑκάτερος ἔσται, ὁ μὲν
15 οὐκ εἰδὼς ἀποδεῖξαι, ὁ δὲ διακένους πλέκων συλλογισμούς, ἅτε τῶν πρα-
γμάτων τὴν φύσιν ἀγνοῶν. ἀμφισβητήσουσι δὲ περὶ τῶν πρωτείων· μέγα 5
γὰρ καὶ τὸ τὰς ἀποδεικτικὰς ἀρχὰς ἐπεσκεμμένον τὰς πάντων περιληπτι-
κωτάτας ἀξίωμα. τίνα τε δεῖ καλεῖν, εἰ μὴ ὁ αὐτός ἐστι τῷ σοφῷ, καὶ
τέλεον ἀπορήσομεν. ὅτι μὲν οὖν τῇ αὐτῇ μεθόδῳ κατεσκεύασε τῶν τε
20 αἰτίων πάντων τοῦ ὄντος ἐπιστήμονα εἶναι τὸν σοφὸν ἕνα ὄντα καὶ [ὅτι] 10
τῶν ἀποδεικτικῶν ἀρχῶν, ὁ μεμνημένος ἐκείνων εἴσεται· ὅτι δὲ δι' ἐλα-
χίστων ἱκανῶς αὐτῷ δέδεικται τἀληθές, ἔξεστι συνορᾶν· εἰ γὰρ ἡ διαίρεσις
τῶν γνώσεων ἀτελεῖς μὲν ἀμφοτέρας ποιεῖ τὰς ἐπιστήμας καὶ γελοίας καὶ
ἃ προσποιοῦνται εἰδέναι οὐκ εἰδυίας, ἔτι δὲ στασιάζειν περὶ πρωτείων, τὴν 15
25 δὲ ἑτέραν αὐτῶν τὴν πειρωμένην πάντα περιλαμβάνειν ταῖς οἰκείαις ἐπι-
βολαῖς μικροῦ καὶ ἀνώνυμον ἀποφαίνει, πῶς οὐκ ἀσφαλέστατα ἡ ἕνωσις
τῶν ἐπιστημῶν κεκύρωται; καὶ εἰ τὰς ἀρχὰς τῶν ἀποδείξεων πάσαις ταῖς
ἐπιστήμαις ἡ ἑτέρα αὐτῶν χορηγεῖ, τίς ἂν ἄλλη εἴη πλὴν ἡ πρώτη φιλο-
σοφία καὶ ἡ περὶ τὸ ὂν ᾗ ὂν διατρίβουσα; αὕτη γὰρ νοῦν μιμουμένη, παρ' 20
30 ᾧ νόησις καὶ νοητὸν οὐ διῄρηται, τῇ μὲν νοήσει διὰ τῆς γνώσεως τῶν
ἀξιωμάτων ἀφορμοῦται, τῷ δὲ νοητῷ διὰ τῆς τοῦ ὄντος θεωρίας. εἰ δὲ
ἐλλείψει κατὰ θάτερα, νοῦ μίμημα ἔσται τὰ ἕτερα ἔχοντος καὶ οὐ τὰ συναμ-
φότερα, ἢ νόησιν ἄνευ νοητοῦ ἢ τὸ νοητὸν ἄνευ νοήσεως, ὃ ταὐτὸν τῷ 25
νοῦν ἀνόητον μιμεῖσθαι.

35 p. 997a15 Ὅλως τε τῶν οὐσιῶν πότερον μία πασῶν ἐστιν ἢ πλείους
ἐπιστῆμαι.

Ζητεῖ μὲν εἰ περὶ πᾶσαν οὐσίαν μία ἔσται ἐπιστήμη νοητήν τε καὶ

---

5 fort. ἀλλ' ἐστὶ μὲν (ἀλλ' ὅτι μάλιστα Us.) 9 ἓν e corr. C² κατὰ πάντα Us. (quod ipsum exprimit κατατακτά) 17 τοῦ . . . ἐπεσκεμμένου coni. Us. egregie 20 ὅτι del. Us. 21 ὅτι Bag.: ὃ C 25 αὐτῶ C: corr. A 26 ἀσφαλεστάτη C: corr. Us. 33 νοητοῦ Bag.: νοῦ C

αἰσθητὴν κἂν εἴ τις εἴη τούτων μεταξύ, ᾗ πλείους ἔσονται κατὰ τὰς τῶν οὐσιῶν πληθυνόμεναι διαφοράς. τοῦτο δὲ ἦν καὶ ἐν τοῖς προβλήμασι τὸ τὴν τρίτην προτεῖνον ἀπορίαν. ἡ μὲν οὖν σύντομος καὶ ἀληθεστάτη καὶ αὐτῷ ⟨ἀρέσκουσα⟩ Ἀριστοτέλῃ περὶ τούτων ἀπάντησις, ὅτι μία μὲν ἡ ἀνωτάτω, πολλαὶ δὲ αἱ προσεχεῖς, καὶ μία μὲν ἡ πᾶν τὸ ὂν ᾗ ὂν θεωροῦσα, πολλαὶ δὲ αἱ μόρια τούτου κατανειμάμεναι καὶ ἑτέρως αὐτὰ καὶ οὐχ ᾗ ὄντα μεταχειριζόμεναι. πῶς δὲ αὐτὸς εἰς τὰ ἀντικείμενα νῦν ἐπιχειρεῖ, κατανοήσωμεν.

p. 997a16 Εἰ μὲν . . . ταύτην.

Εἴ τις, φησίν, ἄλλην μὲν περὶ τάσδε τὰς οὐσίας, ἄλλην δὲ περὶ ἑτέρας ἐπιστήμην θήσεται. ἀπορήσει τὴν περὶ ποίαν οὐσίαν στρεφομένην σοφίαν καλέσει. ἐροῦμεν οὖν ὅτι μάλιστα μὲν μία πάσας θεωρήσει· εἰ δὲ καὶ ἄλλη ἄλλην, οὐκ ἄδηλον ὅτι ἡ περὶ τὰς πρώτας καὶ νοητὰς εἱλουμένη αὕτη ἦν ἡ πρώτη τῶν ἐπιστημῶν· ἀμέλει καὶ νῦν καίπερ πᾶν τὸ ὂν ᾗ ὂν ἐπισκεπτομένη περὶ τὸ νοητὸν ἐθέλει τὴν πλείστην καὶ τὴν καλλίστην σπουδὴν καταβάλλεσθαι. τὸ δὲ μίαν πασῶν, οὐκ εὔλογον. μέτεισι μὲν εἰς τὸ δεῖξαι καὶ τῷ ἀντικειμένῳ παρεπόμενόν τι δυσχερές· ἴδωμεν δὲ τί ἐστι τὸ λεγόμενον, ἢ διὰ τί οὐκ εὔλογον. καὶ γὰρ . . . συμβεβηκότων. καὶ τί τοῦτο ἄτοπον; καὶ γὰρ εἰ πολλαὶ ἀποδεικτικαί, οἷον γεωμετρία καὶ ἀστρονομία καὶ ἀριθμητικὴ καὶ ἄλλαι πλεῖσται, ἀλλὰ πρὸ τούτων πασῶν ἐστι μία ἡ τὸ καθ' αὑτὸ τῷ ὄντι ᾗ ὂν συμβεβηκὸς ἐπισκεπτομένη· τίνα δέ ἐστι ταῦτα, ἐν τῷ Γ αὐτὸς ἐρεῖ σαφέστατα· ἀριθμητικὴ μὲν γὰρ τὰ τῷ ἀριθμῷ καθ' αὑτὸ ὑπάρχοντα δείκνυσι καὶ γεωμετρία τὰ τοῖς σχήμασιν· ἐκείνη δὲ ἡ μία ἀποδεικτικὴ τὰ παντὶ τῷ ὄντι καθ' αὑτὸ ὑπάρχοντα δείκνυσιν οὐχ ᾗ τοιόνδε ἢ τοσονδί ἐστιν, ἀλλ' ᾗ ὄν· ὥστε οὐδὲν μὲν ἄτοπον ἕπεται. ὅτι δὲ τοῦτο ἕπεται, κατασκευάσαι πειράσεται. εἴπερ . . . μία. ὁ λόγος τοιοῦτος· εἰ μία περὶ πάσας εἴη τὰς οὐσίας ἐπιστήμη, μία πάντων ἔσται τῶν καθ' αὑτὰ ὑπαρχόντων ταῖς πάσαις οὐσίαις καὶ ἀποδεικτική, εἴτε καὶ ἡ αὐτὴ εἴη τῇ περὶ τὰς οὐσίας αὐτὰς διατριβούσῃ εἴθ' ἑτέρα· μή πω γὰρ περὶ τούτου, ἀλλ' ὅτι μία ἔσται καὶ ἀποδεικτική, τοῦτο, φησί, δείκνυμι. ἡ δὲ δεῖξις τοιαύτη. περὶ ὅπερ ὑποκείμενον τὸ ὅ τι θεωρεῖ μία τις ἐπιστήμη, περὶ τοῦτο καὶ ἀποδεικτικὴ μία στρέφεται, τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ ὑποκειμένῳ δεικνῦσα ἐκείνῳ ἐκ τῶν κοινῶν ἐννοιῶν, αἵ εἰσι πάσης ἀποδείξεως ἀρχαί· οὐ γὰρ τὸ μὲν ὅ τι τοῦ ὑποκειμένου, τουτέστι τὴν οὐσίαν, μία θεωρεῖ, τὸ δὲ ἐξ ὧν, τουτέστι τὰ [δὲ] καθ' αὑτὰ ὑπάρχοντα, ἐξ ὧν καὶ οἱ ὁρισμοὶ καὶ τὸ τί ἐστι τοῦ πράγματος, πολλαί, ἀλλὰ μία καὶ ἡ ἀποδεικτική ἐστιν, εἴθ' ἡ αὐτὴ οὖσα τῇ περὶ τὸ ὅ τι εἴθ' ἑτέρα, πλὴν ὅτι μιᾶς οὔσης ἐκείνης μία καὶ αὕτη. εἰ τοίνυν πάσας τὰς οὐσίας μία θεωρήσει

---

4 ἀρεστοτέλει (έλει in ras.) C; vides recte Us. inseruisse ἀρέσκουσα 18 ᾗ] nempe καὶ 23 καθ' αὑτὸν Us. 25 nempe τοιονδὶ 35 δὲ del. Us.

ὡς ἓν ὑποκείμενον γένος, καὶ πάντα τὰ καθ' αὑτὰ ὑπάρχοντα ταύταις μία 848a
τις ἀποδεικτικὴ περιλήψεται, εἶθ' ἡ αὐτὴ οὖσα τῇ σοφίᾳ εἶθ' ἑτέρα· τοῦτο
γὰρ ἐν τῷ ἑξῆς προβλήματι διακριθήσεται. τὸ δὲ ὥστε καὶ τὰ συμβεβη-
κότα, εἶθ' αὗται θεωρήσουσιν, εἴτε ἐκ τούτων μία τοιοῦτόν ἐστιν·
ὥστε καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα, εἰ μὲν πολλαὶ εἶεν αἱ τὰς οὐσίας εἰδυῖαι,
πᾶσαι δείξουσιν αἱ ἀποδεικτικαί· εἰ δὲ μία εἴη, μία τῶν ἀποδεικτικῶν πάντα
θεωρήσει. | καὶ ἕπεται μὲν τοῦτο πάντως, εἰ καὶ μὴ μία τῶν ἄλλων ἐστὶν 848b
ἀποδεικτικῶν ἡ σοφία ⟨ἡ⟩ πασῶν ἐξῃρημένη. οὐδὲν δέ ἐστιν ἄτοπον μίαν
τὰ καθ' αὑτὰ ὑπάρχοντα παντὶ τῷ ὄντι ᾗ ὄν ἐπισκέπτεσθαι.

p. 997a25 Ἔτι δὲ . . . ἄλλης.

Τοῦτο πέμπτον μέν ἐστιν ἐν τῇ τῶν προβλημάτων ἐκθέσει, νυνὶ δὲ
μετὰ τὸ τρίτον οὐκ εἰκῇ δοκεῖ μοι παρειλῆφθαι, ἀλλ' ἐπειδὴ ἐν τῷ τρίτῳ
τοῦτο αὐτὸ λίαν ἀμφιβόλως ἔθηκεν (εἴτε γάρ φησι τῆς αὐτῆς εἴτε ἄλλης),
ἠθέλησεν εὐθέως περὶ τούτου προηγούμενον λόγον ποιήσασθαι. εἴρηται μὲν
ἐν τοῖς προβλήμασιν ἱκανῶς περὶ αὐτοῦ, καὶ ὅτι ἡ τὸ ὑποκείμενον εἰδυῖα
πάντως καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα δείκνυσι· καὶ γὰρ οὐδ' ὁ ἐπάγει νῦν,
ἀνασκευαστικὴν τούτου δύναμιν ἔχει τινά. λέγει δὲ οὕτως· εἰ μὲν . .
εἶναι. πρὸς ὃ φαίης ἂν ὅτι τοῦ μὲν τί ἐστιν οὐκ ἔστιν ἀπόδειξις, τὴν δὲ
αὐτὴν καὶ ὁριστικὴν εἶναι καὶ ἀποδεικτικὴν οὐδὲν κωλύει, ὁριστικὴν μὲν
τοῦ τί ἐστιν, ἀποδεικτικὴν δὲ τῶν καθ' αὑτὰ συμβεβηκότων· τῆς αὐτῆς
γάρ ἐστι καὶ τὸ τί κόσμος καὶ ἥλιος καὶ σελήνη θεωρῆσαι καὶ περὶ ἀιδιό-
τητος αὐτῶν καὶ ἐνεργειῶν ἀποδεῖξαι. εἰ δ' ἑτέρας . . . χαλεπόν. καὶ
τῷ ὄντι χαλεπώτατον ἐξευρεῖν· εἰ γὰρ ἡ ἀποδεικτικὴ τῶν καθ' αὑτὰ συμ-
βεβηκότων ἄχρι τῆς πρώτης αἰτίας καὶ τοῦ τί ἐστιν ἄνεισι, πάντως ἔσται
καὶ ὁριστική. ῥητέον δὲ ὅτι ἡ μὲν κυρίως ἀποδεικτικὴ τοιαύτη, ἤδη μέντοι
καὶ ἄλλη ἐστὶν ἡ ἐξ ὑποθέσεων ἀποδεικνῦσα, ᾗ οὐκ ἄνεισιν ἐπὶ τὸ τί ἐστιν,
ὡς ἡ ἀστρονομία τὰ πολλά, διὸ μηδὲ εἰπεῖν ἔχει περὶ οὐσίας τῶν φαινο-
μένων ἄστρων· ὡς ἐκ πάντων ἐκεῖνο κυροῦσθαι, ὃ ἤδη προείπομεν, ὡς ἡ
μὲν περὶ τὰς οὐσίας καὶ ἀποδεικτική, οὐ πᾶσα δὲ ἀπόδειξις ἄνεισιν ἐπὶ τὴν
ὁριστικὴν ἐπιστήμην, ἀλλὰ ᾗ ἂν ἔχῃ τὸν ὁρισμόν, ὡς ἀρχῇ χρῆται αὐτῷ
πιστευτικῶς.

p. 997a34 Ἔτι . . . ἐπιστήμας.

Τέταρτον [δὲ] τοῦτο ἐν τοῖς προβλήμασιν ἔταξεν. ἀπεκρινάμεθα δὲ
ἐν ἐκείνοις ἱκανῶς πρὸς τὰ νυνὶ προτεινόμενα· διὸ περὶ τῆς τάξεως μόνον
τοσοῦτον ἐπισημηνάμενοι, ὅτι τάχα τοῦτο τρίτον ὤφειλε τετάχθαι, μέτιμεν

---

8 ἡ addidi 14. 15 μὲν οὖν ἐν Us.; at cf. p. 28,22; Long. pastor. II 33,3, III 30,5 Iambl. ap. Stob. I 372,7 etc. cf. supra p. 4,25 17 ἀνασκευαστικὸν C: correxi λύσις in mg. rubr. C 22 παγχάλεπον Ar. 25 ἡ AH: εἰ C 30 ᾗ C: ἢ ex Bag. Us. 33 δὲ seclusi, δὴ Us. 34 cf. supra p. 3,37

ἐπὶ τὸ φωρᾶσαι τοὺς παραλογισμοὺς τῶν ἀναιρουσῶν τὰς πλείους οὐσίας 848b
ἐπιχειρήσεων. πρώτου δὴ γενομένου προβλήματος, εἰ περὶ πάντα τὰ [illegible]
τοῦ ὄντος ὁ σοφός, δευτέρου δὲ εἰ καὶ περὶ τὰς ἀποδεικτικὰς ἀρχάς, τρίτον
μὲν ἂν εἰκότως ἐπήγαγέ τις, εἰ πολλαὶ οὐσίαι, ὁ νῦν ζητεῖ· μεθ' ὃ τέταρτον, 35
5 εἰ τῶν πολλῶν οὐσιῶν μία ἐστὶν ἐπιστήμη· εἶτα πέμπτον, ὃ νῦν ἐστι τέταρτον,
εἰ μὴ μόνων τῶν πολλῶν οὐσιῶν μία ἐστὶν ἐπιστήμη, ἀλλὰ καὶ τῶν καθ' αὐτὸ
ταύταις ὑπαρχόντων. ἀλλὰ ταῦτα μὲν | ὡς ἂν ἐθέλῃ τις κρινέτω· μετέλθωμεν 849a
δὲ λοιπὸν ἐπὶ τὰ ἑξῆς. ὡς . . . αὐτῶν. ἀναπέμπει ἡμᾶς ἐπὶ τὰ ἐν τῷ μεί-
ζονι A ῥηθέντα· γελοῖοι οὖν καὶ ταύτῃ οἱ τὸ βιβλίον νοθεύοντες. εἴρηται
10 δὲ ἐν ἐκείνοις Πλάτωνι μὲν ἀρέσκον περὶ τῶν εἰδῶν ἢ οὐδὲν ἢ ἐλάχιστον, 5
ἃ δὲ αὐτὸς ὑποτιθέμενος ἤλεγξε, λίαν κενῶς καὶ διαλεκτικῶς.

p. 997b5 Πολλαχῇ . . . ἀίδια.

Ἀλλ' ἐκεῖνοι μέν, φαίην ἄν, οἱ ἄνδρες τοῖς πᾶσι τὰ εἴδη διαφέρειν
ἡγοῦνται τῶν τῇδε· τὰ μὲν γὰρ οὐσίας εἶναι θείας ἀμερεῖς πρὸς ἑαυτὰς
15 ἐστραμμένας, δημιουργικὰς αἰτίας τῶν τῇδε, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως
ἐχούσας, τὰ δὲ πᾶσαν ὑπομένειν τροπὴν θνητά τε εἶναι αὐτῶν ἔνια καὶ 10
ἀποτελέσματα καὶ περὶ τὴν ἐν χρόνῳ στρεφομένην εἰλεῖσθαι γένεσιν· τὰ μὲν
νοητὰ καὶ ἀμερῆ καὶ ἑαυτῶν ὄντα καὶ αὐτὸ τοῦτο πᾶσι τοῖς ἐγκοσμίοις χορη-
γοῦντα τὴν ὑπόστασιν, τῷ δραστηρίῳ καὶ δημιουργικῷ καὶ προνοητικῷ καὶ γνω-
20 στικῷ τῶν ὅλων τῶν παρὰ σοὶ χωριστῶν εἰδῶν διαφέροντα, τὰ δὲ διαπεφωνη- 15
μένα καὶ μεριστὰ καὶ ἑτεροκίνητα καὶ τῶν ὄντων τὰ ἔσχατα καὶ ἀγονώτατα.
δέος δὲ μὴ αὐτὸς ἁλῷ πέρα τοῦ μετρίου ταῖς παρὰ τὰς ὁμωνυμίας ἀπάταις
προσχρώμενος· οὐ γὰρ ἐπειδὴ ἄνθρωπος ὁ τῇδε κἀκεῖ ὁ αὐτὸς ἄνθρωπος,
ἀιδιότητι μόνῃ διαφέρειν ἐκεῖνον οἴοιντο ἂν τούτου, ἀλλὰ πᾶσι μὲν οἷς εἴπο- 20
25 μεν, πλείοσι δὲ ἔτι τοῖς παραλελειμμένοις. θαυμάσειε δ' ἄν τις ἐν τούτοις
καὶ τὸν Ἀλέξανδρον κατασκευάζοντα μὲν σὺν πολλῇ προθυμίᾳ τὰ τῷ Ἀρι-
στοτέλει νυνὶ ῥηθέντα, λανθάνοντα δὲ ἑαυτὸν ἀπεναντία τῷ φιλοσόφῳ φθεγ-
γόμενον. εἰ γὰρ συνώνυμός ἐστιν ὁ τῇδε ἄνθρωπος τῷ ἐκεῖ ἀνθρώπῳ,
ὡς Ἀλεξάνδρου λόγος, οὐδ' ἂν ἀιδιότητι διαφέροι τοῦ τῇδε ὁ ἐκεῖ· ἐν γὰρ 25
30 τῷ λόγῳ τοῦ τῇδε ἀνθρώπου τὸ θνητὸν ἔγκειται, καὶ ὅλως ὅσοις τὸ θνητὸν
καὶ τὸ ἄφθαρτον ὑπάρχει, κατ' οὐσίαν ὑπάρχει καὶ οὐ κατὰ συμβεβηκός,
ὡς αὐτὸς ὁ φιλόσοφος ἐν αὐτῇ ταύτῃ τῇ πραγματείᾳ σαφῶς ἀπέδειξεν·
ὥστε οὐ καλῶς τοῦτο συγκεχώρηκεν Ἀριστοτέλης κατὰ τὸν Ἀλεξάνδρου 30
λόγον. ἀλλὰ ταῦτα μὲν οὐδ' ⟨ἂν⟩ αὐτοὺς οἶμαι διενεχθῆναι τοὺς ἄνδρας
35 οὕτως ὄντας δεινοὺς τὰ συλλογιστικά, ὅτι τῶν Πλάτωνος θείων δογμάτων
οὐχ ἅπτεται, ὡς οὐδὲ τὰ παρὰ τῶν Θρᾳκῶν τοξεύματα τῶν αἰθερίων ἐφι-

---

5 νῦν sc. 997a25 7 ἐθέλοι C 8 post λοιπὸν del. ἡμεῖς C Ar. met. A 9
9 cf. Alex. 196,20 10 ⟨πρὸς τὸ⟩ Πλάτωνι Us.; non opus πλάτωνι Cb: πλάτων Ca
11 καινῶς C 15 ἐπεστρ. Us. 18 nempe καὶ ⟨ὅτ'⟩ αὐτὸ 20 nempe ἀχωρίστων
23 fort. ὁ αὐτὸ ἄνθρωπος 24 οἴοτο C 25 cf. Alex. 197,4 27 dicere solent
ἀπ' ἐναντίας 32 Metaph. I 10 34 ἂν add. Us. διαλεχθῆναι C: corr. Us.

κνεῖτο θεῶν. ἐπὶ δὲ τὰ ἑξῆς ἴωμεν· ἔτι . . . ἀπορίας ἕξει. ἴδωμεν δὲ 849a
καὶ ποίας καὶ πόσας καὶ πῶς ἐχούσας λύσεως. 35

p. 997b14 Δῆλον γὰρ . . . οὐρανόν. |

Καὶ τί ἄτοπον εἶναι ταῦτα καὶ νοητὰ καὶ διανοητὰ καὶ αἰσθητά; πῶς 849b
5 δὲ οὐκ ἀναγκαῖον εἶναι μὲν ἐν τῷ δημιουργῷ τὴν αἰτίαν τοῦ οὐρανοῦ καὶ
τοῦ ἡλίου; εἶναι δὲ καὶ ἐν ταῖς ψυχαῖς τῶν ἄστρων ἀληθέστερον οὐρανὸν
καί ἥλιον τῶν φαινομένων, εἶναι δὲ καὶ ταύτας αὐτῶν τὰς αἰσθητὰς ὑπο- 5
δοχάς; τί δὲ ἄλλο οἰόμεθα τὸν Πλάτωνα λέγειν, ὅταν οὐρανοῦ τε ὕπερ
ἀστρονομεῖν τὸν κορυφαῖον ἀποφαίνηται καὶ πάλιν πολλὰς εἶναι μακαρίας
10 θέας τε καὶ διεξόδους ἐντὸς οὐρανοῦ. ἃς θεῶν γένος εὐδαιμόνων ἐπιστρέφε-
σθαι; οὐκ ἄστρα τε ἡγεῖσθαι εἶναι ὑπὲρ τοῦτον τὸν οὐρανὸν ἢ ἵνα συνη-
θέστερον εἴπω, τὰς νοερὰς τῶν ἄστρων ζωάς, ὧν τὴν ἀσύγχυτον ἕνωσιν 10
καὶ τὴν ἀνέκλειπτον κοινωνίαν καὶ τὴν πρὸς τὰς νοητὰς οὐσίας σύνταξιν
θεάσασθαι τὸν παρ' αὐτῷ σοφόν, οὐρανόν τε νοερὸν ἄλλον παρὰ τουτονὶ
15 τὸν φαινόμενον, οὗ τὰ θεάματα καὶ τὰς ἐξοδικὰς θεωρίας εἶναι τῶν ἐγκο-
σμίων θεῶν τε καὶ δαιμόνων; ὥστε τοῦτο μὲν εὖ λέλεκται λίαν, ὅτι οὐ παρ' 15
αὐτὰς μόνας τὰς γραμμάς, τουτέστι παρὰ τὰς νοητὰς καὶ ἔτι παρὰ τὰς
αἰσθητάς, ἔσονται μέσαι τινὲς γραμμαί, ἀλλὰ καὶ οὐρανοὶ καὶ ἥλιοι πολλαχῶς.
τέως δὲ τοὐλάχιστον τριχῶς ἔστιν ἐπινοεῖν πάντα· εἰ γάρ, ὥς φησιν ὁ θεῖος
20 Πλάτων, νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι συνθεὶς ὁ θεὸς τὸ
πᾶν κοσμικὸν ζῷον ἔννουν καὶ ἔμψυχον ἐτεκτήνατο, πάντα ἄρα ὅσα κατὰ 20
τὸν φαινόμενον οὐρανὸν αἰσθητῶς καὶ διαστηματικῶς ἐνορᾶται, κατὰ μὲν
ψυχὴν ἐν ἀύλοις λόγοις καὶ ὁλικοῖς ἔσται, κατὰ δὲ τὸν νοῦν ἐν εἴδεσιν
ἀμερεστάτοις καὶ νοεροῖς. ὁ δὲ ἀποθαυμάζοντι ἐοικὼς καὶ τὰ ἑξῆς γράφει·
25 καίτοι . . . ἀδύνατον. διὰ τί τῶν κινουμένων οὐκ εὔλογον ἀκίνητον αἰτίαν 25
εἶναι; πῶς δὲ οὐκ ἀναγκαῖον; ἢ τοῦτο μὲν συγχωροῦμεν, πρὸς δὲ τὸ μὴ
ὁμοίως αὐτὴν ὀνομάζεσθαι τοῖς ἀποτελέσμασι διαμαχούμεθα; καὶ μὴν
ἐπὶ τῶν τεχνητῶν αὐτὸ συγκεχωρήκαμεν, ἐκ τῆς ἀύλου τὴν ἔνυλον οἰκίαν
διισχυριζόμενοι γίγνεσθαι. δεῖ δὲ καὶ τῇ χρήσει τῶν θεολόγων προσέχειν,
30 παρ' οἷς πολλῶν μὲν οὐρανῶν πρόοδοι, πολλῶν δὲ ἡλίων, πολλῶν δὲ τῶν 30
ἄλλων ἑκάστων παραδίδονται· διὰ τί δὲ καὶ κινούμενον παντελῶς ἀδύνατον,
εἰ μὴ ὅτι τὴν σωματικὴν μόνην μεταβολὴν εἰώθαμεν κίνησιν ὀνομάζειν;
ἐπεὶ τὴν δημιουργικὴν καὶ νοερὰν κίνησιν τίς οὐκ ἂν δοίη τοῖς ὄντως οὖσιν;

p. 997b20 Ὁμοίως . . . αἰτίας.

35 Λέγει ὅτι μήτε ἀκίνητα εἶναι εὔλογον μήτε κινούμενα· ἡμεῖς δὲ καὶ 35
τότε | μὲν ἐλέγομεν, ὅτι καὶ ἀκίνητα τὴν σωματικὴν κίνησιν καὶ κινούμενα 850a
τὴν ζωτικὴν ἀναγκαῖον εἶναι, καὶ νῦν δὲ ἥδιστ' ἂν αὐτὸν ἐροίμην, πότερον

---

8 Pl. Theaet. 173e 8. 9 ὑπεραστρονομεῖν C 10 Pl. Phaedr. 247a
διεξόδους Pl.: εξόδους C 15 διεξοδικὰς coni. Us. 20 Pl. Tim. 30b (qui
ξυνιστάς, cf. de or. Chald. 47) 35 λέγει C: ἔλεγεν Us.

οὐδὲ ὄμμα συγχωρεῖ ἡμᾶς ἔχειν ἄλλο παρὰ τοῦτο τὸν αἰσθητὸν ὀφθαλμόν: 850a
ἀλλ' ὄμμα μὲν εἶναι δίδωσιν, οὐ μὴν ἔχον γε δύναμιν ὀπτικὴν [ἢ ὁρατικὴν] 5
τῶν οἰκείων εἰδῶν· ἀλλὰ καὶ τοῦτο μέν, ἀνυπόστατα δὲ εἶναι τὰ τοῦ νοῦ
θεάματα. καὶ πῶς οὐκ ἔσται τῆς αἰσθήσεως ὁ πολυτίμητος ἡμῖν νοῦς
5 ἀτυχέστερος, εἴπερ ἐκείνη μὲν πρὸς ὄντα συντέτακται, τούτου δὲ ἀνυπόστατα
τὰ θεάματα; εἰ δὲ τοῦτο ἄτοπον, ἔστι δὲ καὶ ὄμμα ἡμῶν νοερὸν καὶ δύναμις 10
ἐκείνου τοῦ ὄμματος ὀπτική, ἔσται καὶ εἴδη σύζυγα ταύτῃ τῇ ὀπτικῇ ἀκίνητα
μὲν τὴν τῶν σωμάτων κίνησιν, κινούμενα δὲ τὴν νοερὰν ἐνέργειαν. τί δέ;
τῶν ἁρμονικῶν λόγων, ὧν ὁ θεὸς δέδωκε τῇ ψυχῇ πρὸ τῆς φαινομένης
10 διακοσμήσεως, ἆρ' οὐδείς ἐστι θεατής; αὐτῶν δὲ τῶν Μουσῶν καὶ τῆς ἐξ 15
αὐτῶν προϊούσης ἁρμονίας οὐ πάντες μὲν οἱ ἐγκόσμιοι θεοὶ μετέχουσιν,
ὥς φησιν Ὅμηρος, πλήρεις "Μουσάων αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ,"
πάντα δὲ τὰ ὄντα μετείληφε; διὰ τί οὖν οὐκ ἔσται καὶ ἄλλα ἁρμονικά;
εἰ δὲ ταῦτα Πλατωνικὰ φαῖεν οἱ δριμεῖς οὗτοι καὶ μυθώδη, ἀλλ' ἥ γε μία
15 σύνταξις τῶν παρὰ σοὶ νοερῶν εἰδῶν ἡ πρὸς τὸ πρώτιστον ἀγαθὸν καὶ τὸ 20
ἐν αὐτῷ νοητὸν εἶδος ἐπιτελουμένη πῶς οὐχ ἁρμονιῶν ἐστιν ἡ καλλίστη
καὶ θειοτάτη, περὶ ἣν ὁ φιλόσοφος διατρίβων ἁρμονικὰ ἂν θαυμαστότερα
τῶν τῇδε μουσικῶν μεταχειρίζοιτο; εἰ γὰρ . . . φθαρτῶν. οὔτε αἰσθητά
ἐστι τὰ μεταξύ, καὶ εἰ ὁμώνυμα αὐτοῖς εἴη τὰ αἰσθητά· οὔτε αἰσθήσεις
20 αὐτοῖς συζυγοῦσιν ἀλλὰ διανοήσεις, ἅτε λόγοις οὖσιν ἀύλοις· οὔτε τὸ εἶναι 25
μεταξὺ τῶν νοητῶν ζῴων καὶ τῶν αἰσθητῶν ἐν τοῖς καθόλου λόγοις τῆς
ψυχῆς ἢ τοῖς εἴδεσι τοῖς φυσικοῖς ἕτερα ζῷα παραιτήσαιτο ἄν τις συγχωρεῖν.
ὥστε ⟨οὔτε⟩ ἀληθῆ τὰ λαμβανόμενα οὔτε τὸ ἐξ αὐτῶν συναγόμενον ἄτοπον.
ἀπορήσειε . . . ἐπιστήμας. τοῦτο μὲν εὖ ζητεῖ· καὶ γὰρ τῷ ὄντι ἐστὶν 30
25 ἄπορον, ποίας ἐπιστήμας τῶν τῇδε φήσομεν εἶναι παραδειγματικωτέρας·
ὅμως δὲ ἀποκρινούμεθα αὐτῷ, ὅτι τῶν περὶ φυσικὰ εἴδη τὴν κατανόησιν
ἐχουσῶν ἢ λόγους ἢ ἀριθμοὺς φυσικοὺς ἀνάγκη πρεσβυτέρας εἶναι [τῶν
τῇδε], αἳ περὶ τὰ ἄυλα τούτων παραδείγματα διατρίψουσιν. 35

p. 997b26 Εἰ γὰρ . . . ὑγιεινόν.

30 Οὐ τούτῳ μὲν διαφέρει μόνῳ γεωδαισία γεωμετρίας, ἀλλ' ὅτι καὶ ἡ
μὲν χρείας ἀνθρωπικῆς στοχάζεται καὶ πρὸς τὸ χρήσιμον ὁρᾷ τοῦ θνητοῦ 850b
βίου χειρουργίας τε ἐφάπτεται καὶ τοῦ ὄντως ὄντος ἔννοιαν οὐ προχειρίζει
* * τῶν αἰσθητῶν τὴν ψυχὴν καὶ διακαθαίρει τὸ ταύτης ὄμμα περιάγει
τε πρὸς νόησιν, ἀφιστᾶσα τῆς παχυτέρας καὶ μορφωτικῆς τῶν ἐνύλων συν- 5
35 τάξεως. ὅμως δὲ λεγέσθωσαν ταύτῃ διαφέρειν. τί οὖν; ⟨οὐχ⟩ ἕψεται τὸ
καὶ ἰατρικὴν ἄλλην τινὰ παρά τε τὴν θείαν ἰατρικὴν εἶναι καὶ παρὰ τὴν
τῶν θνητῶν σωμάτων; ἀλλ' ἔγωγε μὴ πρὸ πάσης κατασκευῆς τοῦτο συγ-

---

2 εἶναι C: οἶμαι coni. Us. γε Us.: τὲ C ἢ ὁρατικὴν secl. Us. 9 cf. Plat. Tim. 34b sqq. 12 Il. A 604 20 in αὔλοις] ῦ e corr. Cb 23 οὔτε add. Us. 27. 28 τῶν τῇδε del. Us. 29 post ὑγιεινόν ἅμα δὲ οὐδὲ del. C 32 ὄντος] ὄντως C 33 lacunam statuit Us.; excidit v. g. ἡ δὲ ἀπάγει τῶν Us.: τὴν C 35 ὅμως scripsi: ὅλως C οὐχ add. Us.

χωρῶν αἰσχυνούμην ἂν ἐμαυτόν. ἔστω γὰρ ὁ Παιήων ἢ εἰ βούλοιτό τις 850ᵇ
λέγειν ὁ σωτὴρ Ἀσκληπιὸς ὁ τὴν θείαν ἔχων ἰατρικήν, δι' ἧς θεοῖς τε καὶ 10
ψυχαῖς καὶ σώμασι τοῖς μὲν ἀεὶ τὸ προσῆκον ἀπονέμει μέτρον, τοῖς δὲ ὅταν
ἢ δεκτικά, ἔστω δὲ καὶ ὁ παρ' ἡμῖν ἰατρὸς ὁ τῶν θνητῶν σωμάτων τὴν
5 ἐπιμέλειαν ποιούμενος· ἆρ' οὖν τὰ τοσοῦτον ἀλλήλων διεστῶτα κοινοῖς τισιν
ὅροις οὐ δέδεται; καὶ μὴν ὅπερ ἂν ᾖ παρὰ τοῖς θεοῖς, ᾗ δὲ καὶ παρ' 15
ἡμῖν ἐσχάτως, ἀνάγκη θεωρεῖσθαι κἀν ταῖς ἀγγελικαῖς καὶ δαιμονίαις καὶ
ἡρωικαῖς τάξεσιν, ἔτι δὲ ἐν ταῖς ἀπολελυμέναις ψυχαῖς τοῦ θνητοῦ βίου.
διὰ τί δὲ καὶ τὴν καθαρτικὴν τῶν παθῶν φιλοσοφίαν οὐχὶ μεταξὺ τάξειεν
10 ἄν τις τῆς τε θείας δίκης, ἥτις ἰατρικὴ γίγνεται πάσης περικοσμίου πονη-
ρίας, καὶ τῆς ἀνθρωπικῆς ἰατρείας, ἢ περὶ μόνην τὴν θεραπείαν τευτάζει 20
τοῦ γενητοῦ καὶ φθαρτοῦ σώματος; ὥστε οὐδὲν ἂν εἴη πλημμελὲς καὶ τὰ
ὑγιεινὰ ταύτης θεωρήματα καὶ ἐπιτηδεύματα μεταξὺ τῶν τε τῆς δίκης εἶναι
μέτρων, ἐν οἷς τὸ αὐτοϋγιεινόν, καὶ τῶν συνεγνωσμένων τοῖς πολλοῖς. ἀλλ'
15 ἡμεῖς οὐ τὰ παραδείγματα τῶν τῇδε, αὐτὰ δὲ τὰ ἐν τοῖς τελευταίοις φαινό- 25
μενα ζητοῦντες ἐν ταῖς μεταβάσεσι τῶν πραγμάτων καὶ μὴ εὑρίσκοντες
εἰκότως ἀποροῦμεν, εἴ τι τοιοῦτόν ἐστιν ἐν τοῖς πρώτοις καὶ μέσοις τοῦ
ὄντος γένεσιν. εἰ μὲν οὖν ἁπασῶν τῶν τεχνῶν χρὴ παραδειγματικὰς αἰτίας
ὑποτίθεσθαι, ἢ πασῶν μὲν ἐκεῖθεν αἱ ἀρχαί, τὸ δὲ ὅλον σύστημα τῶν εἰς 30
20 χρείαν τοῦ θνητοῦ βίου συντελουσῶν ἐκ τοῦ γονίμου τῆς ψυχῆς λόγου προελή-
λυθεν, ἐζήτηται καὶ τοῖς πρεσβυτάτοις τῶν φιλοσόφων, τοῖς Πυθαγορείοις
φημὶ καὶ Παρμενίδῃ καὶ τῷ Πλάτωνι καὶ τοῖς ὕστερον τὴν ἐκείνων θεωρίαν
ἐξηπλωκόσιν Πλωτίνῳ καὶ Ἰαμβλίχῳ καὶ Πορφυρίῳ. ὅτι μέντοι τὰς ἀνά-
λογον καὶ ἐν θεοῖς ἔστιν ἐπινοεῖν, δηλοῦσι καὶ οἱ θεολόγοι Κύκλωπας καὶ 35
25 Ἥφαιστον χαλκέας καὶ οἰκοδόμους οὐκ ὀκνοῦντες καλεῖν, οὐδὲ Ἀθηνᾷ καὶ
Κόρῃ | τὴν ὑφαντικὴν ἀποκληροῦν. οὐκ εὐθέως δὲ τὰς ἀνάλογον θεω- 851ᵃ
ρουμένας καὶ παραδείγματα τῶν τῇδέ φαμεν, ἐὰν μὴ αἱ τῇδε κατ' ἐκείνας
ποιῶσι, [καὶ οὐ] πρὸς ἐκείνας ἀνατεινόμεναι κἀκείναις ἀπεικαζόμεναι. ἅμα . . .
φθειρομένων. μάλιστα μὲν αὐτὸς ὑπέθου τῶν φθαρτῶν λέγειν αὐτοὺς 5
30 εἶναι τὴν γεωδαισίαν, καὶ οὐκ ἴσμεν τοῦτο παρ' αὐτοῖς κείμενον. ἔπειτα τίς
ἀνάγκη τὰς τῶν φθαρτῶν τέχνας αὐτοῖς συμφθείρεσθαι τοῖς φθαρτοῖς; ὅμοιον
ὡς εἴ τις ἔλεγε τοὺς τῶν φθαρτῶν ὁρισμοὺς συμφθείρεσθαι τοῖς ὁριστοῖς.
τὸ δὲ οἶμαι, σωζομένου τοῦ εἴδους, κἂν τὰ καθ' ἕκαστα θνητὰ ᾖ, ἀνάγκη 10
καὶ τὸν ὁρισμὸν σώζεσθαι, εἴτε λέγοι τις αὐτὸν εἴτε μή. ταὐτὸν δὴ τοῦτο
35 κἀπὶ τῶν τεχνῶν· σώζονται γὰρ αὗται, κἂν φθαρτῶν ὦσι πραγμάτων προνοη-
τικαί, τοῖς καθόλου λόγοις κρατούμεναι· οἳ κἂν ὦσι προβεβλημένοι παρὰ
τῶν ἐν γενέσει ψυχῶν, ἀνάγκη διαμένειν καὶ τὰς τοιαύτας τῶν τεχνῶν.
καὶ γὰρ ἄλλως διαφέρει τὸ ἐν φθαρτῷ εἶναι καὶ φθαρτοῦ προνοεῖν ἢ περὶ 15
φθαρτὸν ἐνεργεῖν· καὶ τὸ μὲν ἐν φθαρτῷ ὂν ἀνάγκη πᾶσα τῷ ὑποκειμένῳ

7 ἐσχάτως iungebant cum sequentibus 11 ἢ C 14 μετρῶν C τὸ αὐτοῦ ὑγιεινὸν C τῶν e corr. Cᵇ 19 ἀποτίθεσθαι C, corr. A 25 τῷ om. H 28 οὐ del. Us. 30 possis εἰ καί aut καίτοι 32 post οἶμαι excidisse fere πᾶσι φανερὸν ὅτι putat. Us. 35 κἂν Us.: ἐὰν 38 ἄλλως non intellego

συμφθείρεσθαι, τὸ δὲ περὶ φθαρτὸν ἐνεργοῦν οὐκ ἀνάγκη τοῦδε φθειρομένου 851a μηκέτι εἶναι ἢ ἀρχὸν εἶναι· ἐνεργήσει γὰρ πάλιν περὶ τὸ ὁμοειδὲς αὐτῷ διὰ τὸ χρῆσθαι τῷ καθόλου λόγῳ.

p. 997b34 Ἀλλὰ μὴν . . . ἔχει φύσιν.

Καίτοι εἰ μὴ τῶν αἰσθητῶν μεγεθῶν ὁ ἀστρονόμος ἐστὶ θεατής, περὶ ἄστρα δὲ ἔχει καὶ οὐρανὸν καὶ τὰς τούτων κινήσεις, πῶς οὐκ ἔστιν ἄλλα ἄστρα καὶ ἄλλος οὐρανὸς καὶ ἄλλαι κυκλοφορίαι, περὶ ἃς ὁ ἀστρονόμος διατρίβει; ὥστε οὐ κατὰ τῶν εἰσαγόντων πλείους οὐσίας ἐστὶ τὸ ἐπιχείρημα, συνηγορεῖ δὲ μᾶλλον αὐτοῖς. τό γε μὴν ἀληθὲς τῇδε ἔχει· τοῦτον μὲν τὸν οὐρανὸν ὁ ἀστρονόμος θεωρεῖ, ἅτε δὲ καθόλου τινὰς ἐν ἑαυτῷ λόγους ἔχων εἰκόνας τῶν εἰδῶν τῶν δημιουργησάντων τὸν οὐρανὸν συμπλέκει τοῖς ὁρωμένοις τοὺς ἀόλους καὶ ὁλικωτέρους λόγους κἀντεῦθεν ἀποδείκνυσι τὰ καθ' αὑτὰ τοῖς οὐρανίοις ὑπάρχοντα. ὅρα δὲ πῶς καίπερ ζωῆς ὢν πλήρης καὶ θείας καὶ δημιουργικῆς δυνάμεως ὁ οὐρανὸς ὅμως διὰ τὸν ὄγκον καὶ τὴν διάστασιν μερικῶς τὰ πράγματα δέχεται· ὄντος γὰρ ἑνὸς ἐν ἡμῖν λόγου τοῦ πάντας τοὺς ἐν σφαίρᾳ μεγίστους κύκλους διχοτομοῦντος, ὅς ἐστιν εἰκὼν τοῦ τὸ πᾶν συνυποστήσαντος τῷ Διῒ λόγου, ὁ οὐρανὸς ὡδὶ μὲν ἐπὶ τοῦ ζῳδιακοῦ καὶ ἰσημερινοῦ τοῦτο δέχεται, ὡδὶ δὲ ἐπὶ τοῦ μεσημβρινοῦ καὶ τοῦ ὁρίζοντος· ἅμα δὲ καὶ ἐν ἑνὶ πᾶσαν ὑποδέξασθαι τοῦ λόγου τὴν δύναμιν ἡ σώματος φύσις οὐκ εἴασε. ταὐτὸν δὴ καὶ ἐπὶ τῶν ἄλλων εἰρήσθω μοι. εἰ δὲ πρὸς τῷ χωρὶς ἀλλὰ μὴ ἅμα μηδ' οὕτω δέχεται ἀκριβῶς, ὡς δίδωσι τὸ ποιοῦν 851b καὶ ὡς θεωρεῖν δύναται τὸ προσεχῶς ἀπὸ τοῦ πατρὸς προελθοῦθός, θαυμαστὸν οὐδέν. ἀλλ' ἐκεῖνο καὶ πρὸς Πρωταγόραν καὶ πρὸς πάντας τούς τε ἀτιμάζοντας γεωμετρίαν καὶ τοὺς μόνα τὰ αἰσθητὰ λέγοντας εἶναι ῥητέον ἐστί, πότερον τὰ ἐν τῷ οὐρανῷ καὶ ὅλως τῷ αἰσθητῷ στρογγύλα καὶ εὐθέα μᾶλλόν ἐστιν ἀκριβέστερα ἢ ἃ ὁ γεωμέτρης θεωρεῖ; εἰ μὲν γὰρ τὰ ἐν τῷ αἰσθητῷ. θαυμαστὸν ὅπως τὰ μὴ ἐφαρμόζοντα τοῖς ὁρισμοῖς τῶν ἐφαρμοζόντων ἐστὶ καλλίω καὶ ἀκριβέστερα, καὶ τὰ ὑπὸ τοῦ κανόνος ὡς οὐχὶ στρογγύλα διελεγχόμενα τοῖς ὑπ' αὐτοῦ τοῦ κανόνος μαρτυρουμένοις περὶ πρωτείων ἀμφισβητεῖ· εἰ δὲ τὰ ὑπὸ τοῦ γεωμέτρου (θεωρούμενα) καὶ αὐλίᾳ καὶ καθαρότητι καὶ ἀκριβείᾳ καὶ ἀληθείᾳ κρατεῖ, πῶς οὐκ ἀμφότερα δείκνυται, καὶ ὅτι περὶ σεμνὰ καὶ τίμια γένη στρέφεται γεωμετρία, καὶ ὅτι κρείττω καὶ θειότερα τὰ ἐν οὐρανῷ παραδείγματα προὐπάρχει ἔν τε τῷ δημιουργικῷ νῷ κἀν τῇ ὅλῃ ψυχῇ, ὧν δὴ καὶ εἰκόνας ἡ ἡμετέρα σύστασις ἔχουσα θεωρεῖ τά τε ἐν τῷ παντὶ διὰ καθολικωτέρων λόγων περιλαμβάνουσα καὶ τὰ ἐν τοῖς ἀρχικωτέροις ἑαυτῆς αἰτίοις, ὡς δι' εἰκόνων τῶν ἐν αὐτῇ πρὸς τὴν ἀρχέτυπον οὐσίαν ἀναπεμπομένη. γελοῖον δὲ καὶ τὸ εἰς ἔλεγχον

---

6 ἔσται Ca 15 πράγματα C: πορίσματα Us. 21 διαδίδωσι H 26 ἀκριβέστερον C 29 τοῦ κανόνος insiticium puto 30 θεωρούμενα add. Us. 32 περὶ σεμνὰ Us.: περισ cum spatio quattuor vel quinque litt. C 33 malim τῶν ἐν οὐρανῷ

γεωμετρίας τὸ μὴ τὰ σημεῖα τοῖς ἄστροις ἐξισοῦσθαι παραλαμβάνειν· οὔτε 851b
γὰρ οἱ ἀστρονόμοι σημεῖα τὰ ἄστρα λέγουσιν, οὔθ' ἡ γεωμετρία τοιαῦτα
γλίχεται λαβεῖν σημεῖα, ἃ πάντως ἐστὶν ἐν τῷ αἰσθητῷ. εἰ δ' ὅλως ἔδει
ταύτῃ τοὺς γεωμέτρας ἐλέγχειν, ὅτι περὶ ὧν λέγουσιν οὐ φαίνεται ὄντα ἐν 25
5 τοῖς αἰσθητοῖς, ἔδει τοὺς πόλους ἢ τὸ τοῦ παντὸς κέντρον ἐπισκέψασθαι.
ἀλλὰ ταῦτα μὲν παρείσθω· ἣν δὲ τελευταίαν εὐθύνει δόξαν ὁ Ἀριστοτέλης
τῶν εἰσαγόντων πλείους οὐσίας ἐπισκεψώμεθα. εἰσὶ δέ ... ἀδυνατώτερον.
οἱ λέγοντες μεταξὺ μὲν εἶναί τι τῶν νοητῶν εἰδῶν καὶ τῶν αἰσθητῶν, εἶναι
δὲ τὴν μέσην ταύτην φύσιν ἐν τοῖς ἐσχάτοις καὶ ἐνύλοις εἴδεσιν, εἰ μὲν 30
10 ἅπαν τὸ μεταξὺ λέγοιεν εἶναι ἐν τοῖς καθ' ἕκαστα τῶν αἰσθητῶν, ὁμολογου-
μένως πταίουσιν· εἰ δὲ πολλαχῶς τοῦ καθόλου ἀνθρώπου φέρε καὶ ἡλίου
θεωρουμένου καὶ τοῦ μὲν ὄντος ἐν τῇ ψυχῇ τοῦ παντός, τοῦ δὲ ἐν τῇ
κοσμικῇ φύσει, τοῦ δὲ ἐν ταῖς ἡμετέραις ψυχαῖς εἶναί τινα λέγοιεν κοινὸν 35
ἄνθρωπον καὶ ἐν Σωκράτει κατατεταγμένον, καὶ τὸν ἥλιον αὐτόν, εἰ καὶ
15 εἷς εἴη. ἀλλ' οὐν ἔχειν καὶ τὴν τοῦ ὅλου ποιότητα εἴδους, οὐδὲν ἔμοιγε
πλημμελεῖν δοκοῦσιν. | ἐπεὶ πρὸς τῇ τοῦ πράγματος ἀληθείᾳ καὶ τῶν [ἐκ 852a
τῶν] ἐκ τῆς αὐτοῦ φιλοσοφίας ὁρμωμένων ἔστι πολλάκις ἀκούειν, ὅτι τὸ
κοινὸν ἐν τοῖς καθ' ἕκαστά ἐστι, καὶ οἱ Στωικοὶ δὲ τοὺς κοινῶς ποιοὺς
πρὸ τῶν ἰδίως ποιῶν ἀποτίθενται· τί δὲ ἄλλο ἐστὶ τὸ ὁριστὸν ἢ τὸ ἐν τοῖς
20 καθ' ἕκαστα κοινὸν κατατεταγμένον; ὥστε εἰ ἔστιν ὁρίσασθαι ἥλιον ἢ οὐρανὸν 5
ἢ σελήνην, κατ' ἐκεῖνο ἄν τις ὁρίσαιτο τούτων ἕκαστον, ὃ ὑπῆρχεν ἂν πᾶσιν
ἡλίοις, εἰ καὶ μυρίοι ὄντες ὁμοειδεῖς ἦσαν ἀλλήλοις. ἔχει μὲν οὕτω τὰ
πράγματα· ἴδωμεν δὲ εἴ τινα ἐκ τῶν λόγων αἰσχύνην προσφλισκάνουσιν οἱ
λέγοντες ἕκαστον τῶν αἰσθητῶν ἔχειν ἐν ἑαυτοῖς τι καθόλου κατατεταγ- 10
25 μένον. ἐρωτᾷ τοίνυν αὐτούς, διὰ τί μὴ καὶ τὰ εἴδη ἐν τοῖς αἰσθητοῖς
ἀποτίθενται. τὸ δὲ οἶμαι πρόχειρον ἐκείνοις εἰς διάλυσιν· φήσουσι γὰρ ὅτι
τὰ εἴδη ἄυλά ἐστι καὶ χωριστὰ πάντῃ καὶ νοερὰ καὶ δημιουργικὰ καὶ ἑαυ-
τῶν μόνως ὄντα τὰ πάντα γεννᾷ καὶ ὑφίστησι, τὰ δὲ οὕτω καθόλου σπεύδει 15
πρὸς τὴν ὕλην καὶ ἐν ἑαυτοῖς μένειν οὐ δύναται τῶν τε ἰδίως ποιῶν ὑπο-
30 δοχαὶ γίγνονται καὶ μετ' αὐτῶν ἔχει τὸ εἶναι. πρὸς τούτῳ πῶς δύο στερεά,
φησίν, ἐν ταὐτῷ δύναται εἶναι τόπῳ; οἱ δὲ οὐ φήσουσι τὸν καθόλου λόγον
στερεὸν εἶναι, ἀλλὰ συντελεῖν μὲν καὶ αὐτὸν εἰς τὴν μίαν οὐσίαν τοῦ στερεοῦ
σώματος, οὐ μέντοι ἄλλο στερεὸν εἶναι παρ' ἐκεῖνο τὸ σῶμα. ὁ γοῦν 20
Σωκράτης ἔχει μὲν ἐν ἑαυτῷ καὶ τὸν κατατεταγμένον ἄνθρωπον, ἔχει δὲ
35 καὶ τὸν ἰδίᾳ ποιόν· καὶ οὐ δήπου δύο ζῷα ἐν αὐτῷ ἢ δύο ἄνθρωποι ἢ
δύο στερεά, ἀλλὰ πάντα ταῦτα συννεύει πρὸς μίαν ὑπόστασιν. ἀλλὰ πῶς,
φησίν, ἔτι ἀκίνητα μένει ἐν κινουμένοις ὄντα; ἢ ἀκίνητα μὲν ἕως τὸ πρᾶγμα
ὑφέστηκεν, ἐπεὶ μηδὲ οἱ ἰδίως ποιοὶ κινοῦνται τοῦ πράγματος ὑφεστῶτος,
ἁπλῶς δὲ οὐκ ἀκίνητα, ἐὰν ὦσιν ἐν γενητῷ πράγματι; συμφθείρεται γὰρ 25
40 τῷ Σωκράτει καὶ ὁ ἐν αὐτῷ ἄνθρωπος καὶ ὁ ἰδίως ποιός. πρὸς ἅπασι

---

13 ψυχαῖς bis habet C 15 ἔχει C, corr. Bonitz 16. 17 ἐκ τῶν del. AH
18 post κοινῶς spatium duarum litt. in C 19 πρὸ Bag.: πρὸς C ἰδίων C, corr. Bonitz 34 κοινὸν post τόν add. Us. 37 φασὶν C, corr. Us. 39 γενητῷ scripsi: γένει τῷ C (κινητῷ Us.) 40 ὁ αὐτοάνθρωπος aut ὁ ἐν αὐτῷ αὐτοάνθρωπος coni. Us.

δ' ἐρωτᾷ, τίς ἀνάγκη καὶ εἰσάγειν αὐτὰ καὶ εἰσάγοντας ἐν τοῖς αἰσθητοῖς 852a
ἀποτίθεσθαι· πρὸς ἃ ῥητέον, ὅτι δεῖ τὰ αἰσθητὰ μιμήματα ὄντα καὶ εἰκόνας 31
τῶν νοητῶν ἔχειν καὶ αὐτὰ τὸ περιληπτικώτερον καὶ κοινότερον πρὸ τοῦ
εἰδικωτέρου καὶ μερικωτέρου· καθάπερ γὰρ ἐν τοῖς ἀύλοις εἴδεσιν ἀεὶ τὰ
5 πολυδυναμώτερα καὶ ὁλικώτερα προηγεῖται τῶν μερικωτέρων καὶ ὑφειμένων,
οὕτωσὶ καὶ ἐν τοῖς ὁλικοῖς πράγμασι προϋπόκειται τὸ κοινῶς ποιὸν τοῦ 35
ἰδίως, ποίημα μὲν ὂν καὶ εἰκὼν τοῦ ὁλικωτέρου λόγου, χώρα δέ τις εἰδο-
πεποιημένη καὶ ὑποδοχὴ τοῦ ἰδίως ποιοῦ. οὐδὲν οὖν θαυμαστὸν καὶ ἐν 852b
τῷ οὐρανῷ εἶναί τινα κοινὴν οὐσίαν οὐρανοῦ, καθ' ἣν ὁριστός ἐστιν ὁ
10 οὐρανός, ἣν ἔσχον ἄν, εἰ καὶ μυρίοι ἦσαν οὐρανοί, εἶναι δὲ καὶ τὴν ὡς
τοῦδε τοῦ οὐρανοῦ μορφήν τε καὶ ἰδιότητα.

p. 998 a 20 Περί τε . . . αὐτῆς. 5

Ἦν μὲν ἐν τῇ ἐκθέσει τῶν προβλημάτων ἕκτον τῶν ἠπορημένων, τίνος
ἐστὶ περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ ἐναντίου καὶ ἑτέρου καὶ ἀνομοίου διαλαβεῖν
15 ἐπιστημόνως, καθάπερ ἐνδόξως τοῦ διαλεκτικοῦ· τοῦτο δὲ ὑπερβὰς νῦν,
ἴσως ἐπειδὴ τῷ ἑφεξῆς βιβλίῳ τῷ Γ λαμπρῶς ἔμελλεν ἀποφανεῖσθαι περὶ 10
αὐτῶν ὡς τῷ πρώτῳ φιλοσόφῳ προσηκόντων (καὶ γὰρ πολλὴν μὲν διαπορίαν
οὐκ ἐπεδέχετο τὸ σκέμμα, μᾶλλον δὲ ἀποφάσεως ἐδεῖτο καὶ βραχείας ἐπι-
κρίσεως), ἢ ὅτι καὶ ἐν τῷ Ι τὴν τελεωτάτην ἡμῖν αὐτῶν παραδώσει διδα-
20 σκαλίαν· ταῦτ' οὖν ὑπερβὰς διά τινας τοιαύτας αἰτίας, ὃ ἐν τοῖς πρώτοις
ἕβδομον ἔταξε, νῦν ἕκτον παραλαμβάνει καὶ ζητεῖ, πότερον τὰ ἐνυπάρχοντα 15
ἀρχαὶ τῶν πραγμάτων ἢ τὰ γένη· ἀπεκρινάμεθα δὲ ἤδη, ποίας μὲν ἀρχὰς
τὰ ἐνυπάρχοντα συμπληροῖ, τίνας δὲ τὰ γένη, οὐ τὰ κατ' ἐπίνοιαν ὑστερογενῆ
διαπλαττόμενα, ἀλλ' ὅσα πρωτουργά ἐστι καὶ ἐν τοῖς ὅλοις αἰτίοις ἵδρυται.
25 ἀλλ' οὐδὲ τὰ Ἀριστοτέλους ὁρῶμεν ἔχοντά τι ἀσαφὲς ἐν τῇ ἐκθέσει τοῦ 20
προβλήματος οὔτ' ἐν τῇ κατασκευῇ τοῦ τὰ ἐνυπάρχοντα εἶναι τὰς ἀρχάς·
ὅθεν ἐπὶ τὰ ἑξῆς μετίωμεν, ἐν οἷς τὰ γένη φησὶν εἶναι μᾶλλον ἀρχάς.

p. 998 b 4 Εἰ δὲ ἕκαστον . . . τὰ γένη.

Ὅτι μὲν ἕκαστον γνωρίζομεν διὰ τῶν ὁρισμῶν, ἐστί πως ἀληθές· ἀλλὰ
30 πῶς ἀρχαὶ τὰ γένη τῶν ὁρισμῶν, εἰ μὴ ἄρα ὡς ἐνυπάρχοντα τοῖς ὁρισμοῖς; 25
οὐκοῦν καὶ διὰ τοῦτο ἀποδείκνυμεν, ὅτι τὰ ἐνυπάρχοντα μᾶλλον ἀρχαὶ ἢ
ἄλλο τι· εἰ γὰρ καὶ τὰ γένη διὰ τοῦτο ἀρχαί, ὅτι ἐνυπάρχουσι τοῖς ὁρι-
σμοῖς, κἂν θέλωμεν κατασκευάζειν ὡς ἔοικεν, ὅτι ἄλλο τί ἐστιν ἀρχὴ παρὰ
τὰ ἐνυπάρχοντα, καταντῶμεν πάλιν ἐπὶ τὰ ἐνυπάρχοντα. εἰ μὴ ἄρα οὕτως 30
35 ἀρχαὶ τὰ γένη τῶν ὁρισμῶν, ὅτι εἴδη μὲν οἱ ὁρισμοί, τὰ δὲ γένη τῶν εἰδῶν
κατηγορεῖται. ἀλλ' εἰ μὲν τὰ ὑστερογενῆ καὶ ἐπιγεννηματικὰ τῶν γενῶν

---

1 εἰσαγαγόντας coni. Us. 3 τὰ περιληπτικώτερα C, corr. Us. 5 πολυδυνατώτερα C: corr. Us. 10 τινὰ pro τὴν Us. 11 ἀιδιότητα C, corr. Bag.
15 τούτου C 20 τοιαύτας A: ταύτας C 24 διαταττόμενα ex Bag. Us.
ὅλοις C: ἀύλοις ex Bag. Us. 36 ἐπιγεννηματικὰ C

δεχόμεθα, πῶς ἂν αὐτὰ τῶν εἰδῶν ἀρχὰς ἢ τῶν ὁρισμῶν λέγοιμεν; εἰ δὲ 852b
τὰ ἐν τῷ παντὶ προεστῶτα τῆς κατ' εἴδη τῶν ὄντων διακοσμήσεως θεωροίη- 35
μεν, ἴσως ἂν οὕτως ἐπ' ἀρχὰς ἀληθεστέρας ἐπιβαίνοιμεν.

p. 998b6 Καὶ εἰ . . . εἰσίν.

Εἴρηται ποῖα γένη | τῷ ὄντι τῶν εἰδῶν αἴτιά εἰσι καὶ ἀρχαί. 853a
φαίνονται . . χρῆσθαι. οἱ τὸ ἓν ἢ τὸ ὂν ἢ τὴν ἀόριστον δυάδα τῶν
ὄντων ἀρχὰς εἶναι λέγοντες καὶ τελεσιουργοὺς αὐτὰς παρεδίδοσαν, ἐκ μὲν
τοῦ ἑνὸς τἀγαθὸν ἐφήκειν τοῖς πᾶσιν ἐθέλοντες, ἐκ δὲ τοῦ ὄντος τὸ εἶναι,
ἐκ δὲ τῆς ἀορίστου δυάδος τάς τε δυνάμεις καὶ τὰς ἐνεργείας καὶ τὰς 5
κινήσεις καὶ προόδους καὶ αὐξήσεις παντοδαπάς, καὶ οὐδὲν εἶναι τῶν ὄντων,
ὃ μὴ μετέχει τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος καὶ τοῦ ὄντος καὶ ὑπ'
αὐτῶν ἀπογεννᾶται. εἰ οὖν διὰ τοῦτο γένη τις αὐτοὺς ἐθέλοι ταῦτα τῶν
πάντων ὀνομάζειν, φθόνος οὐδεὶς τῶν ὀνομάτων. εἰπὼν δὲ δι' ἃς αἰτίας 10
τὰ ἐνυπάρχοντα μᾶλλον ἀρχαὶ ἢ τὰ γένη καὶ μάρτυρι τῷ Ἐμπεδοκλεῖ χρησά-
μενος, ἐρεῖ τὰς αἰτίας [τὰς] δι' ἃς τὰ γένη μᾶλλον ἢ τὰ ἐνυπάρχοντα, καὶ
τοὺς Πυθαγορείους καὶ Πλάτωνα συνηγόρους ταύτης τῆς δόξης παραστησά-
μενος νῦν λοιπὸν λέγει, ὅτι ἀνάγκη τοὺς ἑτέρους κρατεῖν· ἄμφω γὰρ ἀλη- 15
θεύειν οὐ δύναται. ἡμεῖς δὲ προείπομεν. ὅτι ἄλλοτε ἄλλων ἀρχῶν λαμβανο-
μένων δύναται ἄμφω ἀληθεύειν.

p. 998b11 Ἀλλὰ . . . ἐνυπαρχόντων.

Ὅτι εἷς ἐστιν ἑκάστου τῶν εἰδῶν ὁ κυριώτατος ὁρισμός, ἔδειξεν ἐν
τοῖς Ὑστέροις Αναλυτικοῖς, καὶ ὅτι οὗτος πάντως διὰ τῶν γενῶν, ὥστε
ταύτῃ ἂν μᾶλλον κατὰ τὴν αὐτοῦ δίαιταν ἀρχαὶ τὰ γένη λέγοιντ' ἄν. εἰ 20
γὰρ ἐκ τῶν γενῶν ὁ ὁρισμός (καὶ γὰρ αἱ διαφοραὶ † γενητικαί ὡς τὸ εἶδος),
ἐξ ὧν δὲ ὁ ὁρισμός, ταῦτα ἀρχαί, τὰ γένη ἂν εἶεν ἀρχαί. εἰ μὴ ἄρα καὶ
οἱ τἀναντία πρεσβεύοντες τὰ γένη καὶ τὰς διαφοράς, ἐξ ὧν οἱ ὁρισμοί,
στοιχεῖα τοῦ εἴδους ἐπιδεικνύουσι μένοντα καὶ ἐνυπάρχοντα τῷ εἴδει ὡς ἐν
αὐτῷ κατατεταγμένα. ἀλλ' οὐχ ὡς ἐξῃρημένα τῶν εἰδῶν οὐδ' αἴτια αὐτῶν 25
ὄντα ποιητικὰ ἢ τελικά· οὕτω δ' ἂν τὰ ἐνυπάρχοντα πάλιν ἀρχαί. ἀλλ'
ἡ μὲν λογομαχία τοιαύτη· τὸ δὲ ἀληθὲς προείρηται, παρ' οὗ καὶ τὴν δίαιταν
τοῖς ἀμφισβητοῦσι λόγοις ποριστέον.

p. 998b14 Πρὸς δὲ . . . ἀτόμων.

Ὀγδοον μέν ἐστι τοῦτο κατὰ τὴν διανομὴν τῶν προβλημάτων, ἕβδομον 30
δὲ νῦν γυμνάζεται διὰ τὸ παρεῖσθαι τὸ ἕκτον. ἤδη δὲ καὶ περὶ τούτου

---

1 fort. δεχοίμεθα 4 καὶ εἰ C ut Ar. cod. Ab Alex.: κἂν εἰ Ar. cod. E 6 cf. Alex. 203,31 15 τὰς del. Us.; etiam τὰς αἰτίας deleri posse monet Diels 22 anal. post. II 8 sqq. 24 γενικαὶ Us. qui alteram coni. commemorat γένη τινὰ ὡς πρὸς τὸ εἶδος sententiae aptam 29 fort. δ' αὖ 33 δύναμιν, corr. Us.

προείπομεν, καὶ ληπτέον ἐκεῖθεν τὴν ἀλήθειαν τοῦ δόγματος, νυνὶ δὲ τὴν 853
ἰσχὺν τῶν μαχομένων λόγων θεωρήσωμεν. εἰ μὲν . . . ὄντων. περὶ μὲν
ἀνυπαρξίας τῶν καθόλου καιρὸς οὐδετέροις ἂν εἴη λέγειν· ἑκάτεροι γὰρ 35
ἀξιοῦσιν εἶναι τὰ καθόλου καὶ οἱ τὰ γενικώτατα κοσμεῖν τῷ τῶν ἀρχῶν
5 ἀξιώματι σπουδάζοντες καὶ οἱ τὰ εἰδικώτατα μᾶλλον εἰς ἀρχῆς θέσιν ἐπι-
τηδειότερα ναμίζοντες εἶναι. λοιπὸν δὲ ὁ τῶν γενικωτάτων προϊστάμενος
λόγος, ἐπειδὴ τῆς ἀρχῆς ἡ ἔννοια | καὶ τὸ ἀιδιώτατον ἔχει καὶ τὸ ἄυλον 853ᵇ
καὶ τὸ περιληπτικώτατον τῶν ὄντων καὶ τὸ τῶν τελευταίων ἐξῃρημένον
καὶ χωριστόν, ἀξιοῖ τὸ μᾶλλον καθόλου μᾶλλον εἶναι ἀρχήν, τὸ δὲ γενικώ-
10 τατον τοιοῦτον εἶναι, διὸ καὶ λέγεσθαι κατὰ πάντων ὡς μιᾷ φύσει πάντα
περιλαμβάνον καὶ πᾶσι παρεῖναι δυνάμενον χωριστῶς. εἰ δὴ τοῦτο κρατοίη, 5
τοσαῦται μὲν ἔσονται ἀρχαὶ ὅσα τὰ γενικώτατα, εἴτε δέκα ταῦτ' εἴη εἴτε
ἓξ εἴτε πέντε εἴτε καὶ δύο· κινδυνεύει δὲ κρατήσειν ἡ πρεσβεύουσα δόξα
τὸ ἓν καὶ τὸ ὄν· οὐ γάρ ἐστι τῶν ὄντων οὐδέν, καθ' οὗ τούτων ἑκάτερον
15 οὐ ῥηθήσεται. ταῦτα μὲν ὁ τούτων μῦθος· ὁ δὲ ἀνταγωνιζόμενος αὐτοῖς 10
λόγος πρῶτον μὲν ἐπιχειρήσει ταῦτα δεῖξαι μὴ γένη, λέγω δὲ τὸ ὂν καὶ
τὸ ἕν· ἔπειτα μηδὲ ἀρχάς, κἄπειθ' οὕτως ὅτι οὐδ' ἄλλα γενικώτατα ὄντα
τῇ φύσει· τὸ γὰρ ὂν καὶ τὸ ἓν οὐ γενικώτατα, εἴπερ γε οὐδὲ γένη. ὅτι
οὖν οὐδὲ τὰ ὄντως γενικώτατα ἀρχαὶ ἂν εἶεν, κατασκευάζει· ἄρχεται δὲ
20 ἐντεῦθεν· 15

p. 998ᵇ22 Οὐχ οἷόν τε . . . τὸ ὄν.

Πῶς μὲν περιληπτικωτάτας τῶν ὄντων ἀρχὰς ἔλεγον οἱ πάλαι τὸ ἓν
καὶ τὸ ὄν, εἴρηται· νυνὶ δὲ ὅτι τὴν τῶν γενῶν τῶν ἐπιγεννηματικῶν ἰδιότητα
οὐ δέχεται ταῦτα, δείκνυσιν ὁ λόγος. ἐπιχειρεῖ δὲ οὕτω· τὸ ἓν καὶ τὸ ὂν
25 τῶν διαφορῶν κατηγορεῖται, τὰ εἴδη καὶ τὰ γένη τῶν διαφορῶν οὐ κατη- 20
γορεῖται, τὸ ἓν καὶ τὸ ὂν οὔτε γένος οὔτε εἶδός ἐστιν. ἑρμηνεύει δὲ ταῦτα
τοῦτον τὸν τρόπον. ἀνάγκη . . . ἑκάστην. τουτέστιν ἀνάγκη τὸ ἓν καὶ
τὸ ὂν πάσης διαφορᾶς κατηγορεῖσθαι. ἀδύνατον . . . εἰδῶν. ὡς εἰ ἔλεγεν.
ἀδύνατον δὲ ἢ τὸν ἄνθρωπον ὅλου τοῦ λογικοῦ κατηγορεῖσθαι (οἰκεία γὰρ
30 αὐτοῦ καὶ εἰδοποιὸς αὕτη διαφορά· πῶς δ' ἂν τοὔλαττον τοῦ ἐπὶ πλέον 25
ἐκτεινομένου κατηγοροῖτο;) ἢ τὸ ζῷον ἔξω που τῆς ἀνθρώπου φύσεως κει-
μένου τοῦ λογικοῦ κατ' αὐτοῦ ῥηθῆναι· οὔτ' οὖν ἄνθρωπος, ὅς ἐστιν εἶδος
γένους, κατὰ τῆς ἑαυτοῦ ῥηθείη ποτ' ἂν διαφορᾶς, οὔτε τὸ ζῷον, μὴ κατη-
γορούμενον τοῦ ἀνθρώπου, ἰδίᾳ τοῦ λογικοῦ ποτε ἂν κατηγορηθείη. ἀλλὰ 30
35 μὴν τὸ ἓν καὶ τὸ ὂν πάσης διαφορᾶς κατηγορεῖται· οὔτ' ἄρα εἶδος τῶν
ὄντων τινὸς οὔτε γένος τὸ ἓν καὶ τὸ ὄν· ὥστ' εἴπερ γένος τὸ ἓν ἢ τὸ ὄν,
οὐδεμία διαφορὰ οὔτε ὂν οὔτε ἓν ἔσται. εἰ δέ τις ἐκ παντὸς [εἰσὶ] γλίχοιτο
λέγειν εἶναι γένη τό τε ἓν καὶ τὸ ὄν, ἕπεται αὐτῷ μηδεμιᾶς διαφορᾶς ταῦτα

---

9 δὲ suprascr. C¹ 11 παρελάμβανον C² 21 lemma ut Ar. cod. E
22 ληπτικωτάτας C, corr. Bag. 23 ἐπιγενηματικῶν C 28 cf. Alex. 205,18
37 nolui ἔτι γλίχοιτο

κατηγορεῖν· ὅ καὶ ἄτοπόν ἐστι καὶ τῆς ὑποθέσεως τῶν πρεσβευόντων αὐτὰ 853b
λόγον ἀνατρεπτικόν· οὐκέτι γὰρ ἔσται γενικώτατον τὸ ἓν καὶ τὸ ὄν, οὐδὲ 36
πάντων κατηγορηθήσεται. ταῦτα μὲν ἐπιχειρηματικῶς νῦν ὁ Ἀριστοτέλης
διαλέξεται. χρὴ μέντοι εἰδέναι, ὅτι πᾶς ὁ τῶν διαφορῶν λόγος ἐπιδιορθώ- 854a
5 σεως χρῄζει παρὰ τούτοις τοῖς ἀνδράσιν· οὔτε γὰρ πόθεν ἐπεισίασιν εἰς
τὴν εἰδοποιίαν, ἐπειδὴ τοῖς γένεσιν οὔ φασιν ἐνυπάρχειν αὐτάς, διδά-
σκουσιν ἡμᾶς, οὔτε πῶς ἔτι δύναται τὸ γένος κατὰ παντὸς τοῦ εἴδους λέγε-
σθαι μὴ περιέχον τὰς διαφοράς, ἀξίως λόγου παρέστησαν, οὔτε τὰς διαφορὰς 5
τῶν γενῶν ἐπισκεψάμενοι τάς τε κατὰ τὸ ἀκατάτακτον καὶ τὰς κατὰ τὸ
10 κατατεταγμένον, τάς τε κατὰ τὸ πρεσβύτερον τῶν εἰδῶν καὶ τὰς κατὰ τὸ
νεώτερον ἱκανῶς διείλοντο, ποῖα μὲν ἔχει τῶν γενῶν καὶ ἐνεργείᾳ τὰς δια-
φοράς, ποῖα δὲ ὡς ἐν ὕλης λόγῳ προϋποβέβληται τοῖς εἴδεσι, καὶ ποῖα μὲν 10
τὴν πρωτουργὸν αἰτίαν αὐτῶν προειληφότα πᾶσαν αὐτῶν παράγει τὴν σύστασιν,
ποῖα δὲ μιμούμενα τὰς ὄντως αἰτίας τῶν εἰδῶν κατηγορεῖσθαι μόνον κατ'
15 αὐτῶν πέφυκεν. ἀλλὰ καὶ ἣν καθεὶς εἰς τὴν περὶ τούτων σκέψιν ὁ Ἀλέ-
ξανδρος δοκεῖ θεραπείαν ἐπινενοηκέναι τῷ δόγματι, πασῶν ἐστιν ὡς οἶμαι
δοξῶν ἀλλοκοτωτάτη. φησὶ δὲ τῶν μὲν δένδρων εἰ τύχοι μὴ εἶναι τὰς 15
διαφορὰς ἐν τῷ φυτῷ, μηδὲ τὰς ⟨τῶν⟩ φυτῶν ἐν τῷ ἐμψύχῳ σώματι μηδὲ
τὰς τούτων ἐν σώματι, πάσας μέντοι ἐν τῇ οὐσίᾳ εἶναι τὰς τῶν οὐσιῶν,
20 καὶ τὸ μὲν ζῷον μὴ ἔχειν τὰς ἀνθρώπου διαφορὰς μηδὲ τὰς ζῴου τὸ ἔμψυ-
χον σῶμα, τὴν δὲ οὐσίαν πάσας τὰς τῶν ζῴων καὶ τῶν ἐμψύχων σωμά- 20
των. καίτοι εἰ διὰ τοῦτο τὸ ζῷον οὐκ ἔχει τὰς τῶν ὑπ' αὐτὸ εἰδῶν, ἵνα
μὴ ἄλογον ἅμα καὶ λογικὸν ᾖ καὶ θνητὸν καὶ ἀθάνατον ἐνεργείᾳ, πῶς οὐχὶ
περὶ τὴν οὐσίαν πάλιν ταὐτὰ συμβήσεται; πῶς δὲ διαιρῶν τὴν οὐσίαν οὐχὶ
25 καὶ εἰς τὰς διαφορὰς αὐτὴν διαιρεῖς, ἀλλ' εἰς μόνα τὰ εἴδη; διὰ τί οὐχ 25
ἕξει τὸ ζῷον τοῦτον τὸν λόγον πρὸς ἄνθρωπον, ὃν ἡ οὐσία πρὸς αὐτό;
ὥστε εἴπερ ἡ οὐσία κατηγορεῖται τῶν εἰδοποιουσῶν τὸ ζῷον διαφορῶν,
καὶ τὸ ζῷον τῶν τοῦ ἀνθρώπου κατηγορηθήσεται. ἔτι δὲ εἰ κατὰ τῶν
διαφορῶν ἡ οὐσία, εἴδη αὐτῆς αἱ διαφοραί· ὥστθ' ἕξουσι καὶ αὗται διαφοράς,
30 αἷς χωρίζονται τῶν ἄλλων οὐσιῶν. πᾶν γὰρ εἶδος ὑπὸ γένος ταττόμενον 30
ἐξ αὐτοῦ καὶ διαφορῶν ὑφέστηκε, καὶ εἰ μὲν αἱ διαφοραὶ τῶν διαφορῶν
ὑπὸ τὴν οὐσίαν, ἐπ' ἄπειρον ὁδεύσομεν· πάλιν γὰρ εἴδη καὶ αὗται οὐσιῶν,
καὶ ἕξουσιν ἄλλας διαφοράς· εἰ δὲ μὴ οὐσίαι, πόθεν ἐπεισίασι ταῖς οὐσίαις;
οὐ γὰρ δὴ ἀπ' ἄλλης κατηγορίας οὐδ' ἀπὸ ταὐτομάτου. πῶς δὲ τοῦ 35
35 Ἀριστοτέλους ἐν τούτοις λέγοντος, ὅτι τὸ γένος οὐ κατηγορεῖται τῶν δια-
φορῶν χωρὶς τοῦ εἴδους, τὰς μὴ οὔσας διαφορὰς ἐν τοῖς εἴδεσι τῆς οὐσίας
καθ' αὑτὰς ἐν τῇ οὐσίᾳ φαμὲν εἶναι; καὶ ταῦτα μὲν αὐτοῦ που κατα|
βεβλήσθω, τάχα καὶ πέρα τοῦ μετρίου παρ' ἡμῶν ἐξετασθέντα· τοσοῦ- 854b
τον δὲ πάλιν ἐπειπόντες, ὅτι διαρθρωτέον τὸν περὶ τῶν διαφορῶν λόγον
40 ταραχωδέστερον διατεθέντα παρ' αὐτοῖς, μετίωμεν ἐπὶ τὰ ἑξῆς.

---

4 διαλέξεται C, corr. Bag. 8 περιέχων C 10 τεταγμένον C¹, corr. C²
15 Alex. 206,22 18 τῶν addidi 19 οὐσιῶν fort. corruptum 24 ταῦτα C: corr. Us. 32 ὁδεύσωμεν C

p. 998ᵇ27 Ἀλλὰ . . . . γένη. 854ᵇ

Εἰ μόναι ἀρχαὶ τὰ γένη, συνάγεται ἐν δευτέρῳ σχήματι· πᾶσα ἀρχὴ γένος, τὸ ἓν καὶ τὸ ὄν οὐ γένος, τὸ ἓν καὶ τὸ ὄν οὐκ ἔστιν ἀρχή. εἰ μέντοι μὴ πᾶσα ἀρχὴ γένος, ἀλλὰ τὶς ἀρχὴ γένος, μερικὸν ἔσται καὶ τὸ συμπέρασμα. ἔτι . . . οὐ δοκεῖ. εἰ τὰ πάντα, φησί, κατηγορούμενα οἷον τὸ ἓν καὶ τὸ ὄν γένη καὶ διὰ τοῦτο ἀρχαί, καὶ πάντα τὰ μεταξὺ αὐτῶν καὶ τῶν ἀτόμων εἰδῶν, ἃ δὴ καὶ ὑπάλληλα καλοῦμεν, δίκαιον γένη καὶ ἀρχὰς προσαγορεύειν· νυνὶ δὲ οὐ πάντα τὰ μεταξὺ γένη καλεῖν ἀξιοῦσι· τὰ μὲν γὰρ ὠνομασμένα γένη προσαγορεύουσιν, ὅρνιν ζῷον σῶμα, τὰ δὲ ἀνώνυμα, οἷόν ἐστι τὸ ζῷον πτηνὸν ἢ ζῷον ὑπόπουν, οὐκέτι γένη κεκλήκασιν, ἐπειδὴ διὰ δυοῖν ὀνομάτων σημαίνεται· πάλιν ὅταν ἀντιφάσει διαιρῶσι τὰ γένη, ἐκ μὲν τῆς καταφάσεως καὶ τοῦ γένους ποιοῦσιν εἶδος, ὅπερ ἐστὶ γένος τῶν μετ' αὐτό, ἐκ δὲ τῆς ἀποφάσεως οὐκέτι· διελόντες γὰρ εἰ τύχοι τὸ ζῷον τῷ ἄποδι καὶ ὑπόποδι ζῷον μὲν ὑπόπουν ἀναμφισβητήτως ἐποίουν, εἰ δὲ καὶ τὸ ἄπουν ἠδύνατο εἶναι εἰδοποιόν, ⟨οὐκ⟩ ἐπεσκέπτοντο· πῶς οὖν οὐχὶ μαχόμενα πρὸς ἑαυτοὺς διατάττονται; ταῦτα δὲ ἐπὶ μὲν τοῦ παρόντος εἴτε σπουδάζων εἴτε λογικῶς ἐπιχειρῶν ὁ Ἀριστοτέλης λέγει. σκοπεῖν δέεστι μὲν κοινῶς. ὅτι δὲ καὶ ἐν τῷ πρώτῳ τῆς περὶ μορίων ζῴων τὰ αὐτὰ ταῦτα τῇ Πλάτωνος ἐγκαλεῖ διαιρετικῇ, σαφές ἐστι τοῖς ἐκείνων μὴ ἐπιλελησμένοις.

p. 998ᵇ30 Πρὸς δὲ . . τιθῇ ὡς ἀρχήν.

* * καὶ τοῦ τὰ γενικώτατα φάσκοντος ἀρχὰς εἶναι δόγματος. εἰ γὰρ τὰ γένη ἀρχαί, πολλῷ πλέον αἱ διαφοραί· ὕλης μὲν γὰρ λόγον ἔχει τὰ γένη, τοῦ δὲ εἴδους αἱ διαφοραί, μᾶλλον δὲ τῆς ὕλης τὸ εἶδος ἀρχή· εἰ οὖν τὰ γένη, πολλῷ πλέον αἱ διαφοραί. εἰ δὲ καὶ αἱ διαφοραὶ ἀρχαί, σχεδὸν ἄπειροι αἱ ἀρχαί· ἐὰν γάρ τις ἐννοήσῃ τὰ ὑπὸ τὴν οὐσίαν εἴδη καὶ ὅτι τῶν εἰδῶν πλείους αἱ διαφοραί, εἴσεται ὅτι πάντως μὲν ἡμῖν ἄγνωστοι διὰ πλῆθος· τίς γὰρ βοτανῶν καὶ λίθων καὶ δένδρων καὶ ζῴων ἁπάντων ἐπεξελθεῖν ταῖς ἐξαλλαγαῖς δυνήσεται: κινδυνεύουσι δὲ καὶ τῇ οἰκείᾳ φύσει πλησίον εἶναι τοῦ ἀπείρου· χρὴ δὲ τὰς ἀρχὰς ἀριθμῷ μὲν ἐλαχίστας εἶναι, δυνάμει δὲ τῶν ὅλων γεννητικάς τε καὶ περιληπτικάς. ταῦτα μὲν ὁ τούτων ὅθλος· εἰ δὲ ἐν ταῖς γενικωτάταις αἰτίαις πάσας ἑνιαίως τὰς διαφορὰς περιέχεσθαι λέγοι τις, φεύξεται καὶ τὸ πλῆθος τῶν ἀρχῶν τὸ κατ' ἀριθμὸν καὶ οὐδὲν ἀναίτιον ἐρεῖ τῶν ἐν τῷ κόσμῳ γίγνεσθαι.

---

2 possis μόνα 5 nempe πάντων 8 γένη — τὰ in ras. C cf. Alex. 207,14 9 σώματα δὲ ἀνώνυμα C 15 οὐκ addidi 18 κοινῶς] possis καὶ νῦν; at cf. p. 3,7 de part. an. I 3 21 ἀρχὴν τιθῇ (sine ὡς) Ar. 22 spatium quinque litt. in C τοῦτο supplet Us. pro καὶ scribens κατὰ cum Bag.

p. 999a1 Ἀλλὰ . . . ἀνθρώπων. 855a

Ὁ λόγος τὸ εἶδος τὸ ἄτομον ὡς ἀδιαίρετον ὂν καὶ μᾶλλον ἓν βούλεται λέγειν ἀρχὴν ἤπερ τὸ γένος· διαιρετὸν γάρ φησι τοῦτο καὶ οὐ μᾶλλον ἓν ἢ πολλά· διχῶς γὰρ γιγνομένης τῆς διαιρέσεως καὶ προτέρας γε τῆς κατ' εἴδη (καὶ γὰρ τῶν πάντῃ ἀσωμάτων αὕτη οὐσιῶν καὶ τῶν δέκα κατηγοριῶν, ἡ δὲ λοιπὴ ποσῶν μόνων), καθ' ἑκατέραν μὲν τὸ διαιρούμενον ἧττόν ἐστιν ἓν τοῦ διαιρετοῦ, μάλιστα δὲ τὰ κατ' εἶδος τεμνόμενα· πολλὰ γὰρ ὅλα ποιεῖ. τὰ μὲν οὖν γένη εἰς εἴδη διαιρούμενα πλῆθος ἐν ἑαυτοῖς ἔχει, τὸ δὲ εἰδικώτατον οὐχ ὡς ⟨γένος⟩ τῶν καθ' ἕκαστα κατηγορεῖται (διὸ μηδὲ τέμνεται εἰς αὐτά), ἀλλ' ὡς εἶδος αὐτῶν ἄτομον * * * συντίθησιν οὕτως· τὸ εἰδικώτατον τοῦ γένους μᾶλλον ἕν· τὸ μᾶλλον ἓν μᾶλλον ἀρχή, τὸ εἰδικώτατον τοῦ γένους μᾶλλον ἀρχή. παραλογίζεται δὲ ὁ λόγος κατὰ τὴν ἐλάττονα πρότασιν· οὐ γὰρ δύναται τὸ πλησίον τῶν ἀπείρων μᾶλλον ἓν εἶναι τοῦ πορρωτέρω αὐτῶν ἱδρυμένου· ὅλως δὲ οὐδ' οὕτω διαιρεῖται τὸ γένος εἰς εἴδη ὡς δαπανηθῆναι εἰς τὴν τούτων ὑπόστασιν, ἀλλὰ μένον ὅ ἔστι τὸ ἀληθὲς γένος ὑφίστησι τὰ εἴδη. δυνάμει μὲν οὖν περιληπτικώτερον αὐτῶν ἐστι τὸ γένος, ἀριθμῷ δὲ ἑνικώτερον· τοῦτο δέ φαμεν προσήκειν ταῖς ἀρχαῖς.

p. 999a6 Ἔτι . . . ὕστερον.

Τὸ ἐπιχείρημα δοκεῖ μὲν ἀναιρεῖν καὶ τὴν ὑπόστασιν τῶν γενῶν, ἵνα δὴ μόνα τὰ ἄτομα εἴδη καὶ ᾖ καὶ εἰς ἀρχῆς λόγον παραλαμβάνηται. οὔτε μέντοι ὁρᾷ τοῦτο, καὶ εἴπερ οἷόν τε ἦν, συνανῄρητο ἂν εὐθὺς [ἔστι] καὶ τὰ εἴδη τοῖς γένεσι· προσάλληλα γὰρ ταῦτ' ἐστί τε καὶ λέγεται. πῇ οὖν κατορθοῖ καὶ πῇ παραλογίζεται; ὅτι μὲν ἐπὶ τῶν ὁμογενῶν εἰδῶν ἔστιν ἰδεῖν τό τε πρότερον καὶ τὸ ὕστερον καὶ τὸ βέλτιον καὶ τὸ χεῖρον, σχεδὸν ὁμολογούμενον ἂν εἴη καὶ πρὸς ἡμῶν· καὶ ἵνα μὴ νῦν τὰ οὐράνια καὶ θεῖα καὶ ἀθάνατα καὶ νοερὰ ζῷα τοῖς χερσαίοις καὶ ἐπικήροις καὶ φθαρτοῖς καὶ ἀλογωτάτοις παραβάλλων ὅλον συνεισφέρω τῷ σκέμματι, περὶ πάντων ἐκείνων ἀξιῶ σκοπεῖσθαι τὸν λόγον. εἴπερ αἱ διαφοραί, καθ' ἃς τὰς δυνάμεις διακρίνομεν τῶν εἰδῶν πρὸς τὴν τῶν γενῶν ὑπόστασιν. οὔτε ἰσότιμοί εἰσι καὶ τὰ πολλὰ τοῦ εἴδους καὶ στερήσεως ἔχουσι τάξιν πρὸς ἑαυτάς, πᾶσα ἀνάγκη καὶ τὰ εἴδη διαφέρειν ἀλλήλων τῷ βελτίονι καὶ χείρονι καὶ τῷ προτέρῳ καὶ ὑστέρῳ. τιμιώτερος γοῦν παρὰ τοῖς Πυθαγορείοις ὁ περιττὸς τοῦ ἀρτίου καὶ ὁ κύκλος τῶν εὐθυγράμμων, ἔτι δὲ τὸ κυκλοφορούμενον σῶμα τοῦ εὐθυφορουμένου, καὶ τὰ ἄλλα πάντα σχεδὸν οὕτως· | οὐ μὴν 855b διὰ τοῦτο τὰ εἴδη ταῦτα οὐ τάττεται ὑφ' ἓν γένος· εἴτε γὰρ μὴ ἐν τῷ

3 μᾶλλον λέγειν Bag. 9 γένος add. Us. 10 lacunam iudicavi; excidit v. g. τὸν δὲ συλλογισμὸν 20 καὶ om. AH 22 ἔστι delevi: ἔτι Us. 31 nempe τὴν εἴδους

γένει ⟨αἱ⟩ διαφοραὶ ἀλλ' ἔξωθεν ἐπεισίασι τοῖς εἴδεσι, δύναται τὰ εἴδη τὸ 855b
μὲν ταὐτὸν καὶ ὅμοιον ἔχειν ἐκ τοῦ γένους, τὸ δὲ πρότερον καὶ ὕστερον
καὶ βέλτιον καὶ χεῖρον ἐκ τῶν διαφορῶν· εἴτε τὸ γένος καὶ τὰς διαφορὰς 5
πάσας τῶν ἐν ἑαυτῷ περιέχοι, παράγει μὲν πολλὰ εἴδη τὰ μὲν ἑαυτῷ
5 προσεχέστερα, τὰ δὲ μέσην ἔχοντα τάξιν ἐν τοῖς προϊοῦσιν ἀπ' αὐτοῦ, τὰ
δὲ καὶ πρὸς τῇ τελευτῇ τῶν παρ' αὐτοῦ γεννωμένων διακοσμήσεων ἀναφαινό-
μενα, πᾶσί γε μὴν ἴνδαλμα ἑαυτοῦ ἐντίθησι καὶ χαρακτῆρα καὶ ἔμφασιν, 10
δι' ἧς ἐπὶ τὴν μίαν αὐτῶν καὶ γενικωτάτην ἀρχὴν ἀναπέμπεσθαι δύναται.
κατὰ δὴ τὴν μίαν ταύτην ἔμφασιν καὶ συνώνυμα εἶναι ἀλλήλοις οὐ κωλύεται,
10 καίτοι κατ' ἄλλας αἰτίας πολλὴν ἔχοντα πρὸς ἑαυτὰ διαφορὰν καὶ ἑτερότητα.
σχεδὸν οὖν εἰς τοὐναντίον ὁ λόγος περιέστη τοῖς ἐπιχειρήμασι σπουδάσασιν
ἀνελεῖν τὴν τῶν γενῶν ὑπόστασιν· τὰ μὲν γὰρ δέδεικται δι' ὑπερβάλλουσαν 15
δύναμιν γονιμωτάτην ⟨τε⟩ αἰτίαν καὶ πρῶτα καὶ μέσα καὶ τελευταῖα παρά-
γοντα τῶν εἰδῶν· τὰ δὲ κατὰ τῶν ἀτόμων εἴδη λεγόμενα μικροῦ καὶ αὐτὰ
15 ἄτομα γεγενῆσθαι διὰ τὸ μὴ πόρρω τῆς ὕλης τετάχθαι. φύσει οὔσης ἀγόνου
καὶ τὰ πλησιάσαντα αὐτῇ στενοχωρούσης καὶ ἐπὶ πλῆθος εἰδητικῶν δυνά- 20
μεων οὐ συγχωρούσης ἐκτείνεσθαι· διόπερ οὐδὲ ἐπὶ προτέρων καὶ ὑστέρων
οὐδὲ βελτιόνων καὶ χειρόνων τὸ ἄτομον εἶδος κατηγορεῖσθαι δεδύνηται διὰ
σμικρότητα φύσεως καὶ περιγραφὴν ἰδιότητος.

20 p. 999 a 16 Πάλιν . . . εἰπεῖν.

Βούλεται μὲν πάλιν τῷ ἀντικειμένῳ συνηγορῆσαι καὶ δεῖξαι, ὅτι οὐ
τὰ ἄτομα εἴδη ἀρχαὶ ἀλλὰ ⟨τὰ⟩ γενικώτατα. κατασκευάζει δὲ οὕτως· ἡ 25
ἀρχὴ τῶν ὄντων καὶ ἡ ἀληθὴς αἰτία χωριστὴ τῶν ὄντων ὀφείλει εἶναι·
διὰ τί οὖν τὸ ἄτομον εἶδος χωριστὸν τῶν καθ' ἕκαστον; ἢ ὅτι καθόλου
25 τέ ἐστι καὶ κατὰ πάντων λέγεται; ἀλλ' εἰ τοῦτο, τὰ γένη, ἐπεὶ καθολικώτερά
τέ ἐστι καὶ κατὰ πάντων κατηγορεῖται, καὶ ἐπὶ πλέον κεχώρισται τῶν 30
αἰσθητῶν· ὥστε μᾶλλον ἀρχαὶ τὰ γένη. καὶ ἔστι καὶ τὸ ἀξίωμα πανά-
ληθες, ὅτι χωριστὰ εἶναι ὀφείλει τὰ αἴτια καὶ ἡ πᾶσα πρόοδος ὑγιὴς τοῦ
λόγου, καὶ ἀποδέδεικται μέν, ἐξ ὑποθέσεως δὲ ἀποδέδεικται· καὶ γὰρ τὰ
30 ἄτομα εἴδη ἀρχαί, μᾶλλον δὲ ἀρχαὶ τὰ γένη· ὅλως γὰρ ὁ ὁτιοῦν ἀξίωμα
τοῖς εἴδεσι περιτιθεὶς μειζόνως τὰ γένη σεμνύνειν ἀναγκασθήσεται, ὥσπερ 35
ὁ ἀνούσια λέγων εἶναι τὰ εἴδη καὶ ὑστερογενῆ μετ' ἐπιτάσεως ταῦτα περὶ
τῶν γενῶν ἐρεῖ. διὸ καὶ ἐν Κατηγορίαις ἀνούσια μὲν ἀμφότερα, μᾶλλον
δὲ τοῦ εἴδους τὸ γένος.

1 αἱ add. A 1. 2 τὸ μὲν C^b: τὰ μὲν C^a 11 περίεστι C^a: corr. C^b ⟨τοῖς⟩ σπουδάσασιν coni. Us., possis etiam [ἐπιχειρήμασι] 13 τε add. Us. 15 deestne δοκεῖ vel κινδυνεύει? 22 τὰ add. Us. 23 ἀληθὴς scripsi: ἀλη C (i. e. ἀληθείᾳ potius) 25 τέ ἐστι scripsi: τί ἐστι C ἐπεὶ Us.: καὶ C quod tolerarem, nisi τε extaret 26 πάντων] πλειόνων Alex. 210,20 32 ταὐτὰ Us. 33 fort. excidit λέγει vel sim. categ. c. 5

p. 999a24 Ἔστι δ' ... διηπορήσαμεν.

Καὶ τοῦδε ἡ τάξις τοῦ | σκέμματος μετατέθειται· δέκατον μὲν γάρ 856a
ἐστιν ἐν τοῖς προβλήμασιν, ὄγδοον δὲ ἐν ταῖς τῶν λόγων γυμνασίαις παρα-
λαμβάνεται. ζητεῖ δὲ εἴτε ἔστι παρὰ τὰ αἰσθητὰ τὰ καθόλου λεγόμενα
5 εἴτε οὔ· εἰ μὲν γὰρ μὴ εἴη, φησίν, οἴχεται ἡ ἐπιστήμη τῶν ὄντων· πῶς 5
γὰρ τὰ ἐν τῷ ἀπείρῳ χρόνῳ ἀπειράκις γιγνόμενα μάθωμεν, οὐκ ἔσται· νυνὶ
μὲν γὰρ διὰ τῶν καθόλου περιλαμβάνειν αὐτὰ νομίζομεν· εἰ δὲ ταῦτα εἴη
ἀνυπόστατα, καὶ ὁριστικὴ καὶ ἀποδεικτικὴ καὶ διαιρετικὴ ⟨καὶ⟩ πᾶσα φιλοσο-
φία διακενῆς ὀνειροπεπολημέναι φροῦδοι γενήσονται. εἰ δὲ εἴη, φησί, τὰ
10 καθόλου, πάλιν ἔσται τὰ γένη καὶ τὰ εἴδη, περὶ ὧν πεπαύμεθα λέγοντες 10
ὅτι οὐκ ἔστι. καὶ φαίνεται, δι' ἣν αἰτίαν συνῆψε τοῦτο τῷ ἑβδόμῳ προβλή-
ματι, ἵνα ἐκ τοῦ σύνεγγυς ἡμᾶς ὑπομνήσῃ τῶν ἐν αὐτῷ ῥηθέντων. εἴπωμεν
οὖν καὶ ἡμεῖς, ὅτι οὐδὲ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ δέδεικται μὴ ὄντα τὰ
γένη καὶ τὰ εἴδη· πῶς γὰρ τὸ ψεῦδος ἀποδειχθείη ποτ' ἄν; εἰ μέντοι μὴ 15
15 εἴη τὰ καθόλου, οἴχεται μὲν ἐκ τῶν πραγμάτων ἐπιστήμη· καὶ γὰρ εὖ
τοῦτο λέγεις· πρόσθες δὲ ὅτι οὐδ' ὑποστῆναι δύναται τὰ ἄπειρα μὴ ὄντος
ἑνὸς ἀπειροδυνάμου αἰτίου, εἰ μὴ ἄρα ἐκ ταὐτομάτου· πῶς δὲ τὰ φύσει ἐκ
ταὐτομάτου; ὥστε εἰ οὕτως ἔχοι, ἄπειροι δὲ καὶ ἄνθρωποι καὶ ἵπποι καὶ 20
πολλὰ τῶν συνωνύμων ⟨ἐν⟩ τῷ ἀπείρῳ γίγνεται χρόνῳ, καθ' ἕκαστα τούτων
20 ἐστὶν ἑνὸς ἀπειροδύναμος, καθ' ἣν ταῦτα ὡρισμένως ἐπ' ἄπειρον γίγνεται μὲν
ἐν τῷ παντί, γνωρίζεται δὲ ⸗ αὐτοῖς ἐχόντων τὴν τῆς τὰ ἄπειρα ποιούσης
αἰτίαν. ἔτι πάντα τὰ ἐν γενέσει ζῷα ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μετα-
βάλλει· εἰ δὲ τοῦτο, δεῖ τι ἐν τῷ παντὶ ἐνεργείᾳ εἶναι ζῷον, ὃ τὰ δυνάμει 25
εἰς ἐνέργειαν ἄγει· ἔστι δὲ τοῦτο οὔθ' ἥλιος οὔτε σελήνη οὔτ' ἄλλο τι τῶν
25 ἤδη διωρισμένων ζῴων (συμβάλλεται μὲν γὰρ καὶ τὰ θεῖα ζῷα πρὸς ὑπό-
στασιν καὶ τελεσιουργίαν τῶν γενητῶν), ἀλλ' ὑφ' οὗ κυρίως καὶ πρὸς ὃ
γίγνεται τὰ τῇδε, ζῷον ἔσται μόνον ἐνεργείᾳ καὶ οὐδὲν ἄλλο, τουτέστιν 30
αἰτία τῶν ἐν τοῖς ἀτόμοις κατατεταγμένων ζῴων. οὕτω δή μοι καὶ περὶ
ἀνθρώπου καὶ περὶ ἑκάστου τῶν ἄλλων σκόπει, καὶ ὄψει τὰ ἀληθῆ γένη
30 γεννητικὰ ὄντα κατὰ φύσιν καὶ τὰ ἀληθῆ εἴδη μορφωτικὰ τῶν ἀπείρων ὄντα.

p. 999a32 Ἔτι ... οὐθέν.

Σύνολον μὲν τὰ καθ' ἕκαστα λέγει, οἷον τὸ εἰδοπεποιημένον καὶ ἔχον 35
εἶδος ἐν ὑποκειμένῳ, ὅ φησι κατηγορεῖσθαι τῆς ὕλης· ἔθος γὰρ αὐτῷ τὸ ἐν
ὑποκειμένῳ καθ' ὑποκειμένου καλεῖν. διαιρεῖ δὲ τελείως· ἢ γὰρ παρὰ πάντα
35 τὰ αἰσθητά ἐστι τὰ καθόλου ἢ παρ' ἔνια ἢ παρ' οὐδέν. ἐπειδὴ δὲ ἐξ ὑποθέσεως
προάγει τὴν διαίρεσιν (εἰ γὰρ ἔστι, φησί, τὰ καθόλου), γίγνεται τὸ τρίτον 856b

8 καὶ inserui 11 καὶ φαίνεται cum prioribus iungebant; ideo καὶ ὑφῆρηται coni. Us. 19 ἐν addidi 20 fort. ante γίγνεται aut μὲν lacuna 21 locus desperatus; possis δὲ τοῖς ἐπιστήμοσιν τῆς ... αἰτίας (αἰτίας utique scribendum) 28 αἴτια C 29 γενητικὰ C 32 εἶδος πεποιημένον Ca: corr. Cb

ἀναιρετικὸν τῆς ὑποθέσεως, καθὰ πρὸ ἡμῶν καὶ ὁ Ἀλέξανδρος ἐπεσημήνατο. μήποτε οὖν οὕτω χρὴ ἀκούειν τῆς ὑποθέσεως· εἰ δεῖ ὅλως θεωρεῖν ἡμᾶς, εἴπερ ἔστι τὰ καθόλου, ἢ ἐπὶ πάντων αὐτὰ εἶναι φήσομεν ἢ ἐπὶ ἐνίων ἢ ἐπ' οὐδένων. εἶτα δείκνυσιν ὅτι τὸ πάντῃ αὐτὰ ἀναιρεῖν τῶν ὅλων ἐστὶν ἀνατρεπτικώτατον. εἰ μὲν . . . ἐπιστήμην. ταχὺ ταύτῃ τῇ ὑποθέσει τὰ θειότατα τῶν ὄντων ἀνάστατα γέγονε καὶ ἡμεῖς ὡς ἔοικε μάτην παρὰ τοῦ θεοῦ τὸν νοῦν εἰλήφαμεν, ἐπιστήμη τε οὐκ ἔστιν οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς θεοῖς, εἰ μή τις κατὰ τὸν Θεαίτητον ἢ κατὰ τὸν Πρωταγόραν τὴν αἴσθησιν ἐπιστήμην ὀνομάζειν ἐπιθυμεῖ· τοῦτο δὲ σκῶμμά που ἂν εἴη καὶ οὐ σπούδασμα. ἔτι . . . κινήσει ἐστίν. ὁ ἀναιρῶν τὰ νοητὰ καὶ τὰ διανοίᾳ θεωρητὰ οὐ μόνον νοῦν καὶ νοητὸν καὶ ἐπιστήμην ἀναιρεῖ, ἀλλὰ καὶ πᾶν ἀίδιον. τί δέ; οὐρανὸς οὐκ ἀίδιος; ἢ ἀίδιος τῷ εἶναί τι νοητὸν ἀκίνητον αἴτιον αὐτῷ τῆς ἀεικινησίας; ὃ εἰ μὴ εἴη, τί λείπεται ἢ πάντα τε οὐρανὸν πᾶσάν τε γένεσιν συμπεσοῦσαν στῆναι καὶ μή ποτε ἔχειν αὖθις ὅθεν κινηθέντα γενήσεται; ἀμέλει καὶ ἀλλαχοῦ μὲν τοῦτο κατεσκεύασεν, ὅτι πᾶν μὲν σῶμα ὥρισται· καὶ νῦν δὲ σαφῶς ἡμῖν ἐπιδείξει, ὅτι εἰ μή τι εἴη τῇ ἑαυτοῦ φύσει ἀίδιον, οὐδ' ἡ γένεσις ὑποστήσεται.

p. 999b5 Ἀλλὰ . . . . δυνατόν.

Διὰ τί καὶ διὰ ποίαν ἀνάγκην, ἀκούσωμεν αὐτοῦ γενναίως ἐπιδεικνύντος· ἀνάγκη . . . ἀγένητον. εἰ ἔστι γένεσις, ἔσται μέν ποτε τὸ γιγνόμενον (οὐ γὰρ ἀτελεύτητος ἡ κατὰ τὴν γένεσιν μεταβολή). ἔσται δὲ καὶ τὸ ὑλικὸν αἴτιον, ὃ κατὰ μὲν τὸ προσεχὲς θεωρούμενον οὐ κωλύεται εἶναι γενητόν (καὶ γὰρ τοῦ ἡμετέρου σώματος ἡ προσεχὴς ὕλη γενητή), ἀναλυόμενον δὲ εἰς ἔσχατον καὶ εἰς τὴν πρώτην ὕλην ἀναπεμπόμενον ἀγένητον εἶναι ἀνάγκη· διὰ τί; ὅτι μήτε ἐπ' ἄπειρον ἡ ὑλικὴ αἰτία πέφυκεν ἀναλύεσθαι μήτ' ἐκ τοῦ μὴ ὄντος γένοιτο ἄν τι. καὶ ταῦτα δηλοῖ διὰ τῶν εἴπερ ἵσταται καὶ ἐκ μὴ ὄντος γενέσθαι ἀδύνατον. ὅτι μὲν οὖν ἵσταται καὶ οὐκ ἐπ' ἄπειρον ἡ ἀνάλυσις, ἔδειξεν ἐν τῷ ἐλάττονι τῶν ᾱ, λαβὼν ὅτι οὐδ' ἂν αἴτιον εἴη, εἰ μὴ πρῶτον εἴη αἴτιον· εἰ δὲ πρῶτον εἴη, ἔστι καὶ ἡ ἐπὶ τὸ ἄνω στάσις καὶ οὐκ ἐπ' ἄπειρον ἡ τῶν αἰτίων ἀνάλυσις. ὅτι δὲ τῶν φυσικῶν οὐδὲν ἐκ τοῦ μὴ ὄντος, κοινὸν ἀξίωμα τῶν περὶ φύσεως δεινῶν.

p. 999b8 Ἔτι δὲ . . . γέγονε.

Πάσης γενέσεως ἀνάγκη πέρας εἶναι· οὐ γὰρ ἄσκοπος ἡ τῆς φύσεως κίνησις οὐδὲ ἀτελεύτητος ἡ παρ' αὐτῇ ἀποτελουμένη γένεσις. εἰ δὲ πᾶσα πέρας ἔχει, πᾶν δὲ τὸ ἔχον πέρας ἔχει καὶ ἀρχήν (τοῦτο γὰρ δεῖ προσυ-

1 Alex. 211,34 5 an τάχα? 15 an μηδέποτε? 20 αὐτὸ C: corr. A
21 ἀγένητον in ras. C 24 cf. Alex. 213,3 29 Ar. met. α 2 cf. Alex. 213,14
35 ne malis παρ' αὐτῆς, cf. Radermacher ad Demetr. p. 81 sq. εἰ δὲ Bag.: ἡ δὲ C

πακοῦσαι), πάσης γενέσεως καὶ κινήσεώς ἐστιν ἀρχὴ καὶ πέ|ρας. ἆρ' οὖν 857a
καὶ τῆς οὐρανίας; δῆλον ὅτι καὶ ταύτης. ἀπειράκις δὲ γιγνομένης τῆς αὐτῆς
καὶ τελευτὴν ἀρχῇ συναπτούσης διὰ τὴν τοῦ κινητικοῦ δύναμιν μένει ἀεικίνη-
τος ὁ οὐρανός. ὅτι δὲ πᾶν τὸ γιγνόμενον πέρας ἔχει, καὶ οὕτω κατασκευάζει· 5
5 τὸ δυνατὸν γίγνεσθαι γίγνεται· πᾶσα ἄρα γένεσις τοῦ πέρας ἔχοντος· εἰ δὲ τοῦ
πέρας ἔχοντος, καὶ τοῦ ἀρχὴν ἔχοντος· πᾶσα ἄρα γένεσις καὶ κίνησις ἀρχὴν
ἔχοντός ἐστι καὶ πέρας· τοῦ δὲ ἀιδίου πέρας οὐκ ἔστιν οὐδὲ ἀρχή· οὐδεμία
ἄρα κίνησις οὐδὲ γένεσις τοῦ ἀιδίου ἐστίν. εἴ τι ἄρα ἐστὶν ἀίδιον, ἀγένητον
αὐτὸ καὶ ἀκίνητον εἶναι δεῖ· νοητὸν ἄρα αὐτὸ ἢ διανοητὸν εἶναι χρή·
10 ταῦτα γὰρ ἀγένητά τε καὶ ἀκίνητα· ἔστιν ἄρα τὰ νοητὰ καὶ τὰ διανοητά· 10
τοῦτο δὲ ἦν τὸ ἐξ ἀρχῆς αὐτῷ προκείμενον. συνθετέον οὖν πάντα· εἰ
γένεσίς ἐστιν (ἀνάγκη δὲ εἶναι), ἔστιν ἀίδιον· εἰ ἀιδιόν ἐστιν, ἔστιν ἀγένητόν
τι καὶ ἀκίνητον· εἰ τοῦτο, ἔστι νοητόν· εἰ τοῦτο, οὐ μόνα τὰ αἰσθητὰ ὄντα.

p. 999b 12 Ἔτι . . . εἶδος.

15 Ἤνατον τοῦτο ἐν τοῖς προβλήμασιν, ὥσπερ κἀνταῦθα, καὶ φαίνεται 15
λαμπρῶς ἡ αἰτία τῆς μεταθέσεως· ἐπεὶ γὰρ ἔδειξεν ἐν τῷ δεκάτῳ μὲν
ἐκεῖ, ὀγδόῳ δὲ ἐν τούτοις, ὅτι ἐστὶν ἀγένητος ὕλη, συνῆψεν εὐθέως τὸν
περὶ τοῦ χωριστοῦ εἴδους λόγον· εἰ γάρ ἐστιν ἀεὶ ὕλη διὰ τὸ πρὸ πάσης
ἐπινοεῖσθαι γενέσεως, πολὺ εὐλογώτερον ἀγένητον εἶδος προσεπινοεῖν, ὃ καὶ 20
20 τὴν ὕλην δυνάμει καὶ ἀτελῆ καὶ σὺν στερήσει πάντων ἔχουσαν τὸ εἶναι
εἰς ἐνέργειαν ἄξει καὶ εἰς τελείωσιν καὶ εἰς τὴν διὰ τῶν εἰδῶν ἐπικόσμησιν.
ὁ λόγος οὖν τοιοῦτος· εἰ ἔστιν ὕλη ἀγένητος, πολλῷ πλέον ἐστὶν εἶδος
χωριστὸν καὶ ἀίδιον· οὐ γὰρ δὴ ἡ ὕλη ἑαυτὴν εἰδοποιήσει, καθάπερ ᾤοντό
τινες τῶν πάλαι φυσιολόγων· εἰ δὲ ἵνα μὴ ἀναγκάζηταί τις θεῖναι ἀγένητον 25
25 εἶδος, ἀρνῆται καὶ ὕλην εἶναι ἀγένητον, ἀκούσεται ὅτι μηδετέρου ὄντος
ἀγενήτου οὐδὲν ἔσται· δέδεικται γὰρ ὅτι χρή τι εἶναι ἀίδιον, εἰ γένεσις εἶναι
μέλλοι· εἰ δὲ ἀδύνατον μηδὲν εἶναι (τί γὰρ τούτου ἀδυνατώτερον;), δεῖ τι
εἶναι ἀίδιον· τοῦτο δὲ εἰ μὲν εἶδος εἴη, ἔχω τὸ ζητούμενον· εἰ δὲ ὕλη, 30
πάλιν ἐρῶ ὅτι πολὺ εὐλογώτερον ὕλης οὔσης ἀγενήτου καὶ εἶδος εἶναι ἀίδιον.
30 ὥστε ἐπειδὴ ἄμφω μὲν ἀδύνατον μὴ εἶναι, ὕλης δὲ οὔσης ἀγενήτου ἀνάγκη
καὶ εἶδος εἶναι, ἄμφω ἀνάγκη εἶναι. ὅτι δὲ περὶ χωριστοῦ εἴδους ὁ
λόγος, σαφῶς ἐδήλωσεν ἐπάγων ἀνάγκη τι εἶναι παρὰ τὸ σύνολον,
τὴν μορφὴν καὶ τὸ εἶδος. εἰ δὲ αὖ τις τοῦτο θήσει, ἀπορία ἐπὶ 35
τίνων τε θήσει τοῦτο καὶ ἐπὶ τίνων οὔ· ὅτι μὲν γὰρ ἐπὶ πάντων
35 οὐχ οἷόν τε, φανερόν· οὐ γὰρ ἂν θείημεν εἶναί τινα οἰκίαν παρὰ
τὰς τινὰς οἰκίας. ὅπερ | εἰώθει παρὰ τοῖς ἀμφὶ τὸν Παρμενίδην ἀπο- 857b
ρεῖσθαι, τοῦτο καὶ αὐτὸς ζητεῖ, τίνων ἦν ἰδέα καὶ τίνων οὔ. δι' ἀκριβείας
μὲν οὖν ἐν τοῖς εἰς τὸν Παρμενίδην ὑπομνήμασιν Ἰαμβλίχῳ τῷ θείῳ
περὶ τούτων εἴρηται· κεῖται δὲ καὶ παρὰ Πλωτίνῳ ἐν τῷ περὶ νοῦ καὶ

5. 6 εἰ δὲ τοῦ πέρας ἔχ. κ. τ. ἀρχὴν ἔχοντος om. Ca add. Cb; unde errores orti
20 scr. aut ⟨τὴν⟩ δυνάμει aut ἀτελές 21 διακόσμησιν coni. Us. 39 Plotin. V 9

ἰδεῶν καὶ τοῦ ὄντος σκέμματι. ὡς δὲ δι' ἐλαχίστων εἰπεῖν ἐν τῷ παρόντι, 857ᵇ
οὔτε τῶν τεχνητῶν ἰδέας ὑποθετέον (καὶ ὀρθῶς ἀπογιγνώσκει νῦν Ἀριστο- 6
τέλης εἶναί τινα οἰκίαν παρὰ τὰς πολλὰς οἰκίας), οὔτε τῶν παρὰ φύσιν
οὔτε τῶν κακῶν ἢ αἰσχρῶν οὔτε τῶν καθ' ἕκαστα γενητῶν· τῶν δὲ ὅλων
5 εἰδῶν τῆς γενέσεως καὶ τῶν ἐν τῷ παντὶ κόσμῳ καὶ τῶν ἀύλων τῆς ψυχῆς 10
λόγων προεστάναι φαμὲν ἀΐδια παραδείγματα νοερὰ γεννητικὰ καὶ προνοητικά.

p. 999ᵇ20 Πρὸς δὲ . . . ἄλογον.

Καὶ τοῦτο δέ τις ⟨ἂν⟩ ἀπορήσειε πρὸς τοὺς εἰσάγοντας τὰ εἴδη, πότερον
ἓν εἶδός ἐστι πάντων ἀνθρώπων, ὃ δηλοῦσιν αὐτοάνθρωπον· ἀλλ' ἄτοπόν
10 φησιν· ἔδει γὰρ καὶ τοὺς ἐνταῦθα πάντας ἀνθρώπους ἓν εἶναι, ἅτε πρὸς 15
ἕν· [εἶναι] ἓν γὰρ πάντα ὧν ἡ οὐσία μία. ποία οὐσία, ἐρωτήσομεν, ἡ
κατὰ τὸ ἀχώριστον εἶδος ἢ ⟨ἡ⟩ κατὰ τὸ χωριστόν; ⟨εἰ μὲν γὰρ ἡ κατὰ
τὸ ἀχώριστον,⟩ ἀληθῆ μὲν τὴν ἐπιτίμησιν εἶναί φαμεν· οὐκ ἦν δὲ ὁ λόγος
ὁ νῦν περὶ τοῦ ἀχωρίστου εἴδους· εἰ δὲ ἡ κατὰ τὸ χωριστόν, οὐδὲν ἄτοπον
15 εἶναι φήσομεν ἐξ ἑνὸς αἰτίου πολλὰ καὶ ἄπειρα γεννᾶσθαι, ὁμοειδῆ μέντοι 20
ἀλλήλοις, εἰ κατ' ἐκεῖνο γίγνοιτο. ὥστε εἴθ' οὕτως ἔχει ἡ γραφή, οὐδὲν
ἄτοπον ἕπεται· εἴτε γράφειν αἱροῖτό τις ἀλλ' ἄτοπον· οὐ γὰρ πάντων
ἡ οὐσία μία, τὰ αὐτὰ πάλιν ἐροῦμεν, ὅτι ἡ μὲν χωριστὴ οὐσία αὐτῶν
καὶ αἰτία οὐ κωλύεται εἶναι μία, ἡ δὲ ἀχώριστος εἴδει μὲν μία, πολλὴ δὲ 25
20 καὶ ἄπειρος τῷ ἀριθμῷ. τὸ ⟨δὲ⟩ πολλὰ τοῦ αὐτοῦ αἴτια χωριστὰ καὶ διά-
φορα ὑποτίθεσθαι, πῇ μὲν ἄλογον πῇ δὲ ἀναγκαῖον· ἐν τῷ δημιουργικῷ
μὲν γὰρ νῷ ἓν ἀρκεῖ τῶν ἀνθρώπων εἶναι παράδειγμα καὶ ἄτοπον ὑποτίθε-
σθαι πλείω, ἀρκοῦντος τοῦ ἑνὸς πάντας ἀνθρώπους γεννᾶν· ἐπεὶ καὶ τί νῦν
διοίσει ἀλλήλων ἐν ταὐτῷ ὄντα; δεῖ δὲ καὶ ἐν τῇ ψυχῇ εἶναι τοῦ παντὸς 30
25 τῶν τῇδε ἀνθρώπων αἰτίαν καὶ ἐν τῇ φύσει τῶν ὅλων· καὶ ὅλως καθ'
ἑκάστην τάξιν τῶν ὄντων τὰ εἴδη, ὡς ἐν ἄλλοις δέδεικται. ὅλη δὲ ἡ
ζήτησις αὕτη παρ' ἐκεῖνο τὸ πρόβλημα γέγονε, πότερόν ἐστι καὶ τῶν καθ'
ἕκαστα εἴδη ἢ οὐδενὸς τῶν ἀτόμων γενητῶν.

p. 999ᵇ23 Ἅμα . . . ταῦτα. 35

30 Τῷ ὄντι ἡ ἂν ἄπορος ὁ τρόπος τῆς τῶν εἰδῶν μίξεως· καὶ τοῦτο καὶ αὐτὸς
ὁ θεῖος Πλάτων ἔν τε τῷ Τιμαίῳ φησὶ καὶ ἐν τῷ Παρμενίδῃ δείκνυσιν. ἆρα
γὰρ μέρους | ἕκαστον τῶν τῇδε μεταλαμβάνει; καὶ πῶς ἢ ἐκεῖνο μερίζεται 858ᵃ
ἢ ταῦτα ἀλλήλοις ἐστὶν ὁμοειδῆ, κατ' ἄλλα καὶ ἄλλα μέρη τὴν ὑπόστασιν
ἔχοντα; ἀλλ' ὅλον ἑκάστῳ πάρεστι; καὶ πῶς πολλὰ μὲν τὸ ἓν γίγνεται,
35 αὐτὸ δὲ ἑαυτοῦ χωριζόμενον ἀποδείκνυται; καὶ ὅλως ὅσα ὁ μέγας Παρ- 5

4 δὲ ὅλων C: δ' ἑνόλων Us. 6 γενητικὰ C 8 ἂν add. Us. 11 εἶναι delevi, εἶδος coni. Us. 12 ἡ add. Us. 12. 13 εἰ — ἀχώριστον suppl. Us. praecedente A 20 δὲ add. Bag. αἴτια scripsi: τὰ C 23 νῦν non intellego 30 ἂν insiticium puto; δόξειεν addere vult. Us. 35 aliquid turbatum; fort. satis est οὐ ante χωριζόμενον addere

μενίδης γυμνάζων τὸν Σωκράτην περὶ τὴν τῶν εἰδῶν θεωρίαν προτείνων 858a πεποίηται. σχεδὸν οὖν ταῦτά ἐστιν ἃ ἠπόρησεν ἐν τούτῳ τῷ κεφαλαίῳ, ἃ καὶ οἱ τῶν εἰδῶν φίλοι ζητεῖν εἰώθασιν, εἰ ἔστιν εἴδη, τίνων ἐστὶν εἴδη, πῶς αὐτῶν ἡ ὕλη μετέχει, κράσει συνθέσει ἀλλοιώσει διαπλοκῇ, καὶ τί τὸ 10 5 ἑνοποιοῦν αὐτὴν καὶ τὸ εἶδος· ταῦτα γὰρ εἴωθεν ἀπορεῖσθαι. λέγει δὲ αὐτὸς ἐν ταύτῃ τῇ πραγματείᾳ, ὅτι τὸ δυνάμει τελειούμενον καὶ εἰς ὃ πέφυκεν ἐρχόμενον οὐ δεῖται τοῦ συνδήσοντος αὐτὸ τῇ αὐτοῦ τελειότητι καὶ ἐνεργείᾳ.

p. 999b24 Ἔτι δὲ . . . πάντων.

Ἔστι μὲν τοῦτο ἑνδέκατον ἐν τῇ τῶν προβλημάτων ἐκθέσει, δέκατον 10 δὲ νῦν γυμνάζεται διὰ τὸ παραλελεῖφθαι τελέως τὸ ἐν ἐκείνοις ἕκτον. 15 ζητεῖ δὲ δι' αὐτοῦ, πότερον εἴδει αἱ ἀρχαί εἰσιν ὡρισμέναι ἢ ἀριθμῷ· εἰ μὲν γὰρ εἴδει, φησίν, οὐδὲν τῶν τῇδε ἀριθμῷ ἓν ἀλλ' εἴδει, ἐπειδὴ κατ' ἐκείνας τὰ τῇδε πάντα γέγονεν. ἔτι δὲ οὐδ' ἐπιστήμη τῶν πραγμάτων ἔσται· δεῖ γὰρ ἓν εἶναι ἀριθμῷ τὸ κατὰ πολλῶν ὁμοειδῶν θεωρούμενον, 20 15 εἰ μέλλοι τις ἐπιστήμην ἀναλήψεσθαι, τά τε πολλὰ τοιαῦτα εἶναι ὥστε ἕκαστον αὐτῶν ἓν εἶναι τῷ ἀριθμῷ, ἵνα καὶ ὁμοειδῆ ἀλλήλοις ᾖ· οὐδὲν δὲ τούτων ἔσται, εἰ αἱ ἀρχαὶ μὴ ἀριθμῷ ἓν ἀλλ' εἴδει εἰσὶν ὡρισμέναι. πᾶσα οὖν ἡ ἀκολουθία τοῦ λόγου τοιαύτη· εἰ μὴ αἱ ἀρχαὶ ἀριθμῷ ἕν, 25 οὐδὲ τὰ ἀπ' αὐτῶν, εἰ μηδὲν ἀριθμῷ ἕν· οὐδὲ τὸ ἐπὶ πᾶσι τοῖς ὁμοειδέσιν 20 ἓν ἔστι λαβεῖν (τοῦτο γὰρ ἀριθμῷ ἕν), ἵνα μὴ καὶ τούτου ἄλλο ἐπαναβεβηκὸς ἓν ζητῶμεν, καὶ τοῦτο ἐπ' ἄπειρον· εἰ δὲ ἐπὶ πᾶσι τοῖς ὁμοειδέσιν ἓν μὴ ἔστι λαβεῖν, οὐδ' ἂν ἐπιστήμη εἴη.

p. 999b27 Ἀλλὰ μὴν εἰ ἀριθμῷ ἓν καὶ μία ἑκάστη τῶν ἀρχῶν ἕως τοῦ μὴ ὄντων γε δύο τῶν αὐτῶν μηδὲ πλείονων. 30

25 Εἰ δὲ μὴ τοῖς εἴδεσιν ἀλλ' ἀριθμῷ, φησίν, αἱ ἀρχαὶ τὸ ἓν ἔχουσι, τοσαῦτα ἔσται τὰ ἐξ αὐτῶν ὅσαι καὶ αὐταί· ὥσπερ γὰρ τὰ κδ στοιχεῖα τῆς ἐγγραμμάτου φωνῆς, εἰ μὴ εἴδει τοσαῦτα ἦν ἀλλ' ἀριθμῷ, τοσαῦτα ἂν ἐποίησε τὰ λεγόμενα ὅσα αὐτά ἐστιν (ἅπαξ γὰρ αὐτὰ παραλαμβάνεσθαι 35 ἦν ἀνάγκη), καὶ ὥσπερ οἱ λίθοι εἰ τῷ ἀριθμῷ ἦσαν ὡρισμένοι, ἀναγκαῖον 30 ἦν τὰ ἐξ αὐτῶν οἰκοδομήματα τοσαῦτα εἶναι ὅσοι καὶ οὗτοι· οὕτω καὶ τῶν | ὄντων αἱ ἀρχαὶ εἴπερ ἀριθμῷ εἰσιν ὡρισμέναι, τοσαῦτα ποιήσουσιν 858b ὅσαι αὐταί εἰσιν· εἴπερ ὡς στοιχεῖα, φαίης ἄν, ἀρχαὶ εἶεν, ἀλλὰ μὴ ὡς γεννητικαὶ καὶ ποιητικαί· εἰ γὰρ οὕτως, οὐ κωλύονται καίπερ ὡρισμέναι τῷ ἀριθμῷ γεννᾶν ἄπειρα. ἀλλ' οὐδὲ ὁ πρὸς τὰς εἴδει ὡρισμένως ἐχούσας 5 35 ἀρχὰς ἠρωτημένος λόγος ὁμῶς πάντῃ προελήλυθεν· οὐ γὰρ εἰ αἱ ἀρχαὶ τοιαῦται, καὶ τὰ ἀπ' αὐτῶν· ἀποτεμαχίζει γὰρ ἡ ὕλη καὶ ἀπομερίζει τὴν

3 cf. Plat. soph. 248a 5 Ar. metaph. H 6 11 αἱ suprascr. Cb 12 ἀριθμῷ ἓν C e corr. 17 ἓν abundat 20 τοῦτο C: corr. Bag. 26 αὗται C 30 οὗτοι C: αὐτοί coni. Us. 32 εἰ ἄρα coni. Us. 33 γενητικαὶ C 34 ὡρισμένον C: corr. A; ὁρισμὸν Bag. 36 ἀποτεμμαχίζει C

τῶν ἀύλων καὶ νοερῶν εἰδῶν ἰδιότητα· εἴρηται δὲ περὶ τούτων ἐν τοῖς 858b
προτέροις, καὶ ὅπως αἱ μὲν νοεραὶ καὶ εἴδει καὶ ἀριθμῷ εἰσιν ὡρισμέναι,
αἱ δὲ καὶ τούτων ὑπέρτεραι κρείττους ἢ κατὰ τοῦτο τὸ συναμφότερον. 10

p. 1000a5 Οὐδενὸς . . . ἕτεραι.

Δωδέκατόν ἐστι τοῦτο κατὰ τὴν ἔκθεσιν τῶν προβλημάτων· ἀπορεῖ γὰρ ἐν αὐτῷ, πότερον αἱ αὐταὶ τῶν ἀιδίων εἰσὶ καὶ τῶν φθαρτῶν αἰτίαι, ἢ ἕτεραι μὲν τούτων ἕτεραι δὲ ἐκείνων· εἰ μὲν γὰρ αἱ αὐταί, πῶς τὰ μὲν ἀίδια ποιοῦσι τὰ δὲ φθαρτά; εἰ δὲ ἕτεραι, ὅτι μὲν αἱ τῶν ἀιδίων ἄφθαρτοι, 15 πρόδηλον· εἰ δὲ καὶ αἱ τῶν φθαρτῶν ἄφθαρτοι, λόγου δεῖται· εἴτε γὰρ [αἱ] ἄφθαρτοι, πῶς φθαρτὰ ποιοῦσιν, ἀλλ' οὐχ ὁμοίως ταῖς πρὸ αὐτῶν ἀίδια; εἰ δὲ φθαρταί, πῶς ἀρχῶν ἀπολομένων οὐ πᾶσα ἡ γένεσις πεσοῦσα στήσεται; ἔχει μὲν οὖν ὁ λόγος σκέψιν φιλόσοφον· διὰ τί δὲ καταλελεῖφθαί 20 φησι τοῦτο πᾶσι τοῖς πρὸ αὐτοῦ ἀδιερεύνητον. ὃ σαφῶς ὁ Πλάτων μετὰ τὴν τῶν ἀιδίων δημιουργίαν πρὸς τοὺς ἐγκοσμίους θεοὺς παραδίδωσι τὸν δημιουργὸν λέγοντα; Θνητὰ ἔτι τρία λοιπὰ γένη ἀγένητα. τούτων δὲ μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ πάντα ἐν ἑαυτῷ γένη ζῴων οὐχ ἕξει· δεῖ δέ, εἰ μέλλει τέλεος ὄντως εἶναι. δι' ἐμοῦ δὲ γενόμενα ταῦτα καὶ 25 βίου μετασχόντα θεοῖς ἰσάζοιτο ἄν. ἵν' οὖν θνητά τε ᾖ τό τε πᾶν τόδε ὄντως ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζῴων δημιουργίαν' καὶ τὰ ἑξῆς περί τε γενέσεως τῶν ζῴων καὶ τροφῆς καὶ αὐξήσεως καὶ φθίσεως ἀναδιδάσκοντα. σαφῶς οὖν εἶπεν ὁ Πλάτων, ὅτι καὶ τὰ πρώτιστα 30 τῶν πάντων ἐστὶν αἴτια καὶ οἱ κατ' οὐρανὸν τὴν γένεσιν ἐπιτροπεύουσι καὶ ὅτι τὰ θνητά, εἰ μὴ εἶχε προσεχῆ αἴτια καὶ φθαρτὰ καὶ μεταβάλλοντα, οὐκ ἂν ἦν θνητά, νοητὴν μόνην ἀρχὴν ἔχοντα, ὡς τὰ τῶν πραγμάτων ἀίδια.

p. 1000a9 Οἱ μὲν . . . αὐτοῖς.

Τί γὰρ ἂν ἄλλο τις τὰς ἀρχὰς ἢ θεοὺς εἶναι νομίσειεν; οὔτε γὰρ 35 ἀρχῆς πρεσβύτερον οὐδὲν οὔτε θεοῦ καὶ θεῶν. ὥστε τοῦτο μὲν ἀνάγκη λέγειν τοῖς θεολόγοις καὶ ἐκ θεῶν πάντα γεννᾶν, νοῦς ψυχὰς φύσεις τῶν σωμάτων, τά τε | ἀίδια καὶ ⟨τὰ⟩ φθαρτά. ἐπεὶ οὖν τὰ μὲν αὐτοῖς ἥνωται τοῖς θεοῖς 859a τῶν ἀπογεννωμένων, τὰ δὲ οὐδέποτε αὐτοῖς ἀμέσως συνάπτεσθαι πέφυκε, τὰ δὲ ποτὲ μὲν οὕτω ποτὲ δὲ ἐκείνως, ἐν οἷς καὶ τὸ ἡμέτερον τέτακται, τὰ μὲν ἀεὶ πρὸς θεοὺς ὁρῶντα τρέφεσθαί φασιν ἐκεῖθεν ἀμβροσίᾳ καὶ 5

1 supra p. , 9 αἱ supraser. Cb, secl. Us. 10 πῶς φθαρτὰ scripsi: ἄφθαρτα C ἀίδια scripsi cl. p. 44,23: ἀίδιαι C (αἰτίαις Bonitz) 11 possis εἴτε et πῶς ⟨τῶν⟩; at cf. p. 47,9 ἀπολλομένων C συμπεσοῦσα supra p. 37,14 13 τοῦτο Bag: τούτοις C 15 Pl. Tim. 41b sq. cuius verba paullum immutavit 18 θνητόν τε καὶ ἀθάνατον δεόντως ἅπαν ᾖ C 24. 25 ὡς τὰπὸ τῶν πρώτων ἀίδια Us.; sine offensa esset ὡς τὰ ἀίδια τῶν πραγμάτων 30 τὰ add. Us. ante αὐτοῖς τοῖς supraser. C sed del.; post αὐτοῖς συνάπτεσθαι πέφυκε sed. del in C

νέκταρι· παρέχει δὲ αὐτοῖς ἡ μὲν ἀμβροσία τὸ χωριστὸν ἀπὸ τῆς γενέσεως, 859a
ἐν ᾗ ὁ βρότος καὶ ἡ αἱματώδης ἀκαθαρσία. τὸ δὲ νέκταρ τὸ μὴ θέλγεσθαι κατὰ τὴν τῶν τελευταίων προμήθειαν, ἀλλὰ ἀμειλίκτως καὶ ἀτρέπτως τῶν ὅλων προνοεῖν· τὰ δὲ ποτὲ μὲν πρὸς αὐτοὺς ἀνατεινόμενα, πεφυκότα 10
5 δὲ ἐκεῖθεν καὶ ἀφίστασθαι, ἀληθεύοντα μὲν καὶ εὐορκοῦντά φασι τῆς ἀμβροσίας καὶ τοῦ νέκταρος μεταλαμβάνειν, τοῦτ' ἔστι πρὸς τὸ ὄντως ὂν τεταμένα καὶ τὸ θεῖον σεβόμενα, ψευδόμενα δὲ καὶ ἐπιορκοῦντα, τοῦτ' ἔστιν ἐπὶ τὸ μὴ ὂν καὶ τὴν γένεσιν ἀποκλίναντα καὶ τοῦ θείου καταφρονητικῶς ἔχοντα στερίσκεσθαι τῶν ἐκ τοῦ νοητοῦ τροφῶν· τὰ δὲ θνητὰ καὶ ἐπίκηρα 15
10 φηδὲ μεταλαμβάνειν αὐτῶν ποτε. τίς ἂν οὖν γένοιτο ταύτης ἀληθεστέρα διάταξις ἢ περὶ ἀρχῶν ἢ περὶ τῶν ἀπ' αὐτῶν ὑποστάντων, ἐγὼ μὲν οὐδ' εἰς ἐπίνοιαν ἐλθεῖν δυνήσομαι· εἰ δὲ μὴ πᾶσι δῆλα τὰ παρ' αὐτῶν λεγόμενα, ἴσως μὲν καὶ κατ' ἐπιτήδευσιν ἡ ἀσάφεια παρ' αὐτοῖς διὰ τὴν τῶν 20
πολλῶν πρὸς τὰ θεῖα τῶν δογμάτων ἀλλοτριότητα· ἴσως δὲ καὶ τὸ ἐνθεα-
15 στικὸν γένος οὕτω πέφυκε λέγειν αἰνιττόμενον μᾶλλον ἢ διεξοδικώτερον ἀναδιδάσκον.

p. 1000a14 Καίτοι . . . τροφῆς.

Φορτικῶς μὲν ἠρώτηται ταῦτα· ῥητέον δὲ πρὸς αὐτά, ὅτι τροφαὶ μὲν αἱ παρὰ τῶν ὑπερκειμένων αἰτίων ἐλλάμψεις καὶ χορηγίαι τῶν ἀγαθῶν 25
20 λέγονται, αὗται δὲ καὶ ἀγαθύνουσι μειζόνως τὰ καὶ ἀπὸ τῆς ἑαυτῶν συστάσεως τὸ ἀγαθὸν ἔχοντα καὶ τελειοτέρας ἀιδιότητος μεταδιδόασι τοῖς κατὰ τὴν ἑαυτῶν οὐσίαν ἀιδίοις ὑπάρχουσιν· ὥστε καὶ εὐφροσύνης ἕνεκα καὶ τοῦ εἶναι τούτων μετέχουσιν. ἀλλὰ . . . σκοπεῖν. οὐ ταῦτα Πλάτωνος περὶ αὐτῶν ἠκούσαμεν λέγοντος, ἀλλὰ δοκιμάζοντος αὐτοῖς ἐν τοῖς περὶ 30
25 θεῶν ἕπεσθαι λόγοις, καίπερ ἄνευ τε εἰκότων καὶ ἀποδείξεων λέγουσιν, ὡς συγγένειαν ἔχουσι πρὸς τὸ θεῖον περιττοτέραν ἢ κατὰ τοὺς ἄλλους ἀνθρώπους, ὅθεν καὶ θείους καὶ θειοτάτους αὐτοὺς εἴωθε προσαγορεύειν.

p. 1000a19 Παρὰ δὲ . . . ὄντων.

Εἴρηται μὲν ὅτι καὶ αὐτὸ τοῦτο τῆς περιουσίας ἐστὶ τῶν ἀρχῶν ἔργον, 35
30 τὸ μὴ πρότερον λῆξαι τῆς ἀπογεννήσεως, πρὶν ἂν πρὸς τοῖς ἀιδίοις καὶ τὰ θνητὰ συνυποστήσωσιν. εἴρηται δὲ καὶ ὅτι τὸ πᾶν οὐκ ἠδύνατο τέλειον εἶναι μὴ πάντα ἐν ἑαυτῷ ζῷα περιέχον, καὶ μὴν ὅτι καὶ οἱ κατ' οὐρανὸν τῷ ἑνὶ δημιουργῷ τὰ | γενητὰ ζῷα συναπογεννῶντες ἀναγκαίως αὐτὰ 859b
θνητὰ ἐποίουν· τὰ γὰρ ἀπὸ κινουμένων αἰτίων γιγνόμενα διὰ παντὸς μένειν
35 οὐ δύνανται. ἐπὶ τούτοις τὸν Ἐμπεδοκλέα τῶν ἄλλων ἐν τούτῳ προθεὶς τῷ σκέμματι ὡς ἑαυτοῦ κατά γε τοσοῦτον μὴ διαφερόμενον, ὅτι τὰς αὐτὰς 5

9 τὰ δὲ Us.: ὡς τά γε C 19 ὑποκειμένων C: correxi 23 Pl. Tim. 40d sq.
27 cf. Pl. legg. I 629b III 682a Ion 530b 32 καὶ μὴν καὶ ὅτι A recte
35 δύναται Us.

τῶν ὅλων ἀρχὰς ὑποστησάμενος πάντα φθαρτὰ ποιεῖ καὶ οὐ τὰ μὲν ἀίδια 859ᵇ τὰ δὲ φθαρτά, πάλιν αὐτὸν αἰτιᾶται ὡς ταῖς ἑαυτοῦ διαμαχόμενον ὑποθέσεσιν· αἰτίοις γὰρ δύο, φησί, χρώμενος ἑνὶ μὲν ποιητικῷ τῇ φιλίᾳ, τῷ λοιπῷ δὲ φθαρτικῷ τῷ νείκει, πολλὰ μὲν φθείρει διὰ τῆς φιλίας, πολλὰ δὲ γεννᾷ διὰ τοῦ νείκους· ἔτι δὲ κρατεῖν αὐτὰ παρὰ μέρος λέγων τὴν αἰτίαν οὐ λέγει τῆς μεταβολῆς τῶν ἀρχῶν. ἀλλ' οὔτε πάντα φθείρειν φήσομεν Ἐμπεδοκλέα (οὐ γὰρ δεῖται τῆς τοιαύτης πρὸς ἑαυτὸν συμφωνίας), ἀλλ' ὥσπερ τοὺς ἄλλους Πυθαγορείους οὕτω καὶ αὐτὸν εἰδέναι τὰς μὲν νοητὰς οὐσίας τὰς δὲ αἰσθητάς, οὔτε φθαρτικὴν μὲν ὑποτίθεσθαι τὸ νεῖκος ἀρχήν, μόνην δὲ τὴν φιλίαν ποιητικήν, οὔτε τὴν αἰτίαν τῆς δοκούσης αὐτῶν εἶναι παρὰ μέρος ἐπικρατείας ἀποσεσιωπηκέναι. ἀλλὰ γὰρ Πυθαγόρειον ὄντα καὶ Ὀρφικὸν ὑποθέσθαι μὲν μετὰ τὴν μίαν τῶν ὅλων ἀρχήν, περὶ ἧς οὔτ' αὐτὸς οὔτε Παρμενίδης οὔτε Πυθαγόρας ἐπέτρεπον ἑαυτοῖς λόγους καταβάλλεσθαι πλείονας, τὰς δύο ταύτας ἀρχάς, φιλίαν καὶ νεῖκος, ἃς οἱ Πυθαγόρειοι μονάδα καὶ δυάδα κατωνόμαζον, ἀόριστον αὐτὴν καλοῦντες διὰ τὴν ἐπὶ πᾶν ὑποφθάνουσαν δύναμιν· ἐκ δὲ τούτων τῶν ἀρχῶν τόν τε νοητὸν κόσμον ἀναφαίνεσθαι καὶ τὸν αἰσθητόν· ἐν μὲν οὖν τῷ νοητῷ, σφαίρῳ προσαγορευομένῳ κατὰ τὴν ποίησιν, ἐπικρατεῖν τὴν φιλίαν διὰ τὴν ἕνωσιν τῶν ἀύλων καὶ θείων οὐσιῶν, ὡς αὐτῆς εἶναι δοκεῖν τὸ πᾶν γέννημα, ἐν δὲ τῷ αἰσθητῷ τὸ νεῖκος. τοῦ δὲ κρατεῖν ἑκατέραν τῶν ἀρχῶν ἐν ἑκατέρῳ, καίπερ ἀμφοτέρων οὐσῶν πανταχοῦ, ἡ ἐκ τοῦ ἑνὸς τοῦ ἀμφοῖν ἐξῃρημένου καθήκουσα τελειότης εἰς αὐτὰ αἰτία, ἣν τελειότητα χρόνου καλεῖ, τελείωσιν ἀπὸ τοῦ φρουροῦντος τὰ ὅλα καὶ συνέχοντος προϊοῦσαν· χρόνον δὲ καὶ Ὀρφεὺς τὸ πρῶτον ἐκάλει· ὁ δὲ ὅρκον μὲν τὸ πρῶτον ὡς ἕρκος καὶ φρουρὰν τῶν ἄλλων, τὴν δὲ ἀπ' αὐτοῦ προϊοῦσαν εἰς τὰς δύο τῶν ὅλων ἀρχὰς τελειότητα τὴν μετροῦσαν αὐτῶν τὰς δυνάμεις καὶ τὰς ἐπικρατείας τελείωσιν ὠνόμασε χρόνου, ὡς εἰ ἔλεγε τὴν ἀπὸ τοῦ χρόνου τελείωσιν.

p. 1000ᵇ14 "Ἀλλ' ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη".

Μέγα μὲν αὐτὸ προσειπὼν ὥσπερ ὁ Ὀρφεὺς τὸ χάος "καὶ μέγα χάσμα πελώριον ἔνθα καὶ ἔνθα", καὶ ὁ Πυθαγόρας | ἀόριστον 860ᵃ τὴν δυάδα· μέλη δὲ αὐτῷ δοὺς καὶ αὔξησιν, ἐπειδὴ προόδου καὶ γενέσεως καὶ πλήθους καὶ πολλαπλασιασμοῦ καὶ πάσης αὐξήσεως τοῖς ὅλοις αἴτιον γίνεται. "ἐπὶ τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο". τιμῶν τε καὶ βασιλειῶν ἀπελαύετο κατὰ τὴν τελείωσιν, ἣν ὁ χρόνος ἐπέφερεν αὐτῷ· μετρεῖ γὰρ τὸ πρώτιστον καὶ τὴν ἄπειρον δύναμιν τῶν δύο τούτων ἀρχῶν. ὅς σφιν ἀμοιβαῖος πλατέος παρελήλαται ὅρκου. ἥτις αὐτοῖς τελειό-

19 γένημα C 20 ἑκατέραν Bag.: ἑκατέρα C 21 ante ἀμφοῖν ἐξ Cᵃ: del. Cᵇ 22 τελειότητα] τελειομένοιο ex Emped. fr. 30 Us., at cf. l. 27 24 Orph. fr. 50 Abel 30 προειπὼν C: corr. H Orph. fr. 52 cf. Procl. in remp. II 138,14 34 ἐπὶ C ut Ar. codd. dett.: εἰς Ar. codd. AᵇE τελειουμένοιο C 35 ἀπελαύετο scripsi: ἀνελάβετο 37 αὐτοῖς scripsi: αὐτῆς C (αὐταῖς Us. ad ἀρχάς referens; at cf. ἀμφοτέροις p. 44,5)

της ἀπὸ τῆς φρουρᾶς τῶν ὅλων καὶ τῆς πρωτίστης τῶν ἁπάντων ἀρχῆς 860a
ἐνδίδοται, ἣν πλατεῖαν ὡς ἀπερίληπτον τοῖς πᾶσι καὶ ὡς πάντα περιλα- 10
βοῦσαν καὶ μετρήσασαν κέκληκεν· ἀμοιβαῖος δὲ οὐχ ὅτι ποτὲ μὲν τούτῳ
ποτὲ δὲ ἐκείνῳ τὴν τελείωσιν ἐπιφέρει τὸ ἐξῃρημένον αὐτῶν ἕν, ἀλλ' ὅτι
5 ἰδίαν ἑκατέρῳ καὶ τὴν πρέπουσαν ἀμφοτέροις. εἰ δὲ καὶ ἀμοιβαῖος ὁ ἑπό-
μενός ἐστι καὶ ἀεὶ συνὼν αὐτοῖς καὶ οὐδ' ὁπωστιοῦν ἀπολιμπανόμενος
οὐδενὸς τῶν ὄντων, μήτοι γε τῶν μετ' αὐτὸν δυεῖν ἀρχῶν, ὀρθῶς ἂν καὶ 15
οὕτως εἰρῆσθαι δόξειε· πᾶσι γὰρ πάρεστι τὰ ἐκ τῆς πρωτίστης τῶν ὅλων
αἰτίας ἀγαθὰ χορηγούμενα. πῶς δὲ καὶ τὸν νοητὸν θεὸν ἀφρονέστατον
10 Ἐμπεδοκλῆς ποιεῖ, παρ' ᾧ ἡ αὐτοαλήθεια; ὅτι, φησί, τὸ νεῖκος οὐκ ἔστιν
ἐν αὐτῷ, τῷ ὁμοίῳ δὲ κατ' αὐτὸν τὸ ὅμοιον γνωρίζομεν. ἀλλ' ἔστι μὲν 20
καὶ παρ' αὐτῷ τὸ νεῖκος διὰ τὴν ἕνωσιν τὴν ἐν αὐτῷ καὶ τὴν ταὐτότητα,
δι' ἃ καὶ Παρμενίδης ἓν εἶναι τὸ ὂν ἔλεγεν. ἔπειτα εἰ ἡμεῖς 'γαίῃ γαῖαν
ὀπώπαμεν', διὰ τί καὶ τὰ θεῖα οὕτω; πῶς δὲ αὐτῷ ἁρμόζει λέγειν, ὅτι
15 τὸ * * * μὴ πάντα νοοῦντος; οὕτω γὰρ ἂν καὶ ὁ παρ' αὐτῷ πρῶτος
θεὸς ἑαυτὸν μόνον νοῶν ἔλαττον ἂν ἡμῶν ἔχοι τῶν ἐπὶ πάντα τρέπειν τὸ 25
τῆς ψυχῆς ὅμμα δυναμένων. ἀλλὰ περὶ μὲν τούτων ἀρκείτω τὰ λελεγμένα.

Ἑξῆς δὲ ὁ Ἀριστοτέλης ἀπορεῖ πρὸς τοὺς ἑτέρας μὲν τῶν ἀιδίων ἑτέρας
δὲ τῶν φθαρτῶν ἀρχὰς ὑποτιθεμένους εἶναι· εἴτε γάρ, φησί, ⟨φθαρταί⟩.
20 τὰς τῶν φθαρτῶν ἀρχὰς φθείρουσιν ἐπ' ἄπειρον· δῆλον γὰρ ὅτι εἰς ταῦτα 30
φθείρονται ἐξ ὧν ἐγένοντο, ὥστε ἔσονται τῶν ἀρχῶν ἀρχαί, καὶ τοῦτο εἰς
ἄπειρον. ἔτι δὲ πῶς οὐ πᾶσα συμπεσεῖται γένεσις φθαρεισῶν αὐτῆς τῶν
ἀρχῶν; πάντα ταῦτα εὖ λέγων καὶ Πλατωνικῶς. εἴτε ἄφθαρτοι, διὰ τί
μὴ καὶ αὐταὶ ἀίδια ποιοῦσιν ὡς αἱ πρὸ αὐτῶν; εἴρηται δὲ ὅτι καὶ ἄφθαρτοι, 35
25 ἀλλ' οὐκ ἀκίνητοι· καὶ τοῦτον εἶναι τὸν πολὺν λόγον αἰνίττεται. ἀπο-
τρώγειν δὲ ἔφη τοὺς πρὸ αὐτοῦ τὸ ἄπορον, ὅτι οἷον ἁψάμενοι αὐτοῦ φεύ-
γουσιν ἀπ' αὐτοῦ, | ὥσπερ οἱ μύες ὅταν διὰ λιχνείαν μὲν προσίωσι τοῖς 860b
ὄψοις, οὐκ ἀσφαλῆ δὲ νομίσωσιν εἶναι τὴν περὶ αὐτὰ διατριβήν· κἀκεῖνοι
γὰρ τοῖς ἀποτρώγουσι καὶ τοῖς ἀπογευομένοις ἐοίκασι.

30 p. 1001a4 Πάντων δὲ . . . ἔχειν

Τοῦτο τρίτον ἐπὶ δέκα ἐστὶν ἐν τῇ ἐκθέσει τῶν προβλημάτων, δωδέ- 5
κατον δὲ ἐνταῦθα διὰ τὸ παρεῖσθαι πάντῃ τὸ ἕκτον, ὡς πολλάκις ἐπεση-
μηνάμεθα. εἴρηται δὲ ἐν τοῖς πρώτοις ὅπως φασὶν οἱ Πυθαγόρειοι καὶ
ὁ Πλάτων, καὶ ὅτι ὁ μὲν Ἐμπεδοκλῆς οὐκ ἔστιν αὐτοῖς διάφωνος ἐν
35 τούτοις, ἴσως δὲ οἱ ἀπὸ τῆς Ἰωνίας φυσικοὶ τὸ ἓν καὶ τὸ ὂν ὕδωρ 10
ἢ πῦρ ἤ τι τοιοῦτον εἶναι νομίζοντες. ἐπεὶ καὶ αὐτὸς ὁ Ἀριστοτέλης,
⟨εἰ⟩ καὶ τὴν νοητὴν καὶ ἀκίνητον οὐσίαν πρεσβεύει καὶ κατηγορεῖ τῶν
σώματα μόνα φασκόντων εἶναι, ἀλλ' οὖν τὸ μὲν ἓν καὶ τὸ ὂν δηλός ἐστι
μὴ διιστὰς ἐν τοῖς πράγμασιν, ἀλλὰ ταὐτὸν εἶναι λέγων τῷ ὑποκειμένῳ,

3 ante κέκληκεν τέθει Ca: del Cb 13 Emped. fr. 109,1 15 τὸ μὴ πάντα νοεῖν ἀφρονοῦντος coni. Us. 19 φθαρταί add. Us. cl. v. 23; fort. praestat εἴτε γὰρ φθαρτὰς τῶν φθ. ἀρχάς (sc. ὑποτίθενται), φθείρουσιν 24 εἴρηνται C 33 cf. p. 11,9 sqq. 34 διάφωνος Cb: διάφορος Ca 36 εἰ add. Us.

ἐπινοίᾳ δέ. εἰ ἄρα, διαφέρειν ἀλλήλων, ἑκάτερον δὲ τούτων καὶ ἀμφότερα 860b
τόδε τι σημαίνειν, οἷον νοῦν ἢ ψυχὴν ἢ κόσμον ἢ ἥλιον, αὐτὸ δὲ τὸ ἓν 16
εἶναι ἢ τὸ ὂν μηδὲν ἄλλο τῶν ὄντων ὂν οὐκ ἀνεχόμενος. περὶ ὧν ἴσως
ἐξέσται κατὰ καιρὸν ἀπορῆσαι πρὸς αὐτόν· τέως δὲ νῦν τὰς εἰς ἑκάτερον
5 ἐπιχειρήσεις αὐτοῦ κατανοήσωμεν.

p. 1001a19 Συμβαίνει .... καθ' ἕκαστα.

Ἔχει μὲν ὁ λόγος πολλὴν ἀνάγκην καὶ κατὰ τὸ φαινόμενον· εἰ γὰρ 20
ἔστι τὰ καθόλου, πολλῷ πλέον ἔστι τὰ καθολικώτατα· καὶ εἰ ἔστι τὰ καθο-
λικώτατα, ἔστι τὸ ὂν καὶ τὸ ἓν ἐξῃρημένα τῶν ὅλων· ταῦτα γάρ ἐστι τὸ
10 καθολικώτατα. εἰ δὲ ταῦτα μὴ ἔστιν, οἴχεται τὰ καθόλου· ᾧ ἕπεται τὸ
μήτε ἐπιστήμην εἶναι μήτε κατὰ φύσιν ἀλλήλοις ὁμοειδῆ τὰ πράγματα 25
εἶναι, κατὰ συντυχίαν δὲ καὶ κατὰ τὸ ἀστάθμητον καὶ εἰκῇ τάδε τοῖσδε
μὲν εἶναι ὁμοειδῆ, τῶνδε δὲ ἀνομοειδῆ. μὴ γὰρ προϋπάρχοντος ἑνὸς εἴδους,
οὗ τὰ μὲν μετέχοντα ὁμοειδῆ, τὰ δὲ μὴ μετέχοντα ⟨μὴ⟩ ἔστιν ὁμοειδῆ,
15 οὐχ ὁρῶ τίς ἔσται τούτων αἰτία ποιητικὴ καὶ φρουρητικὴ καὶ ἀναπόδραστος.
οὐ μὴν ἀλλ' εἴ τις ἐνατενίσειε τῷ λόγῳ, προσεχῶς μὲν ὄψεται τά τε εἴδη 30
καὶ τὰ καθόλου συναναιρούμενα τῇ ὑποθέσει, οὐδὲν δὲ ἧττον καὶ τὰ αἰσθητὰ
τῶν ὄντων περιγραφόμενα. εἰ μὴ γὰρ εἴη αὐτοὲν τῶν ἁπάντων ἐξῃρημένον,
οὔτε τῶν καθόλου δύναταί τι εἶναι οὔτε τῶν ἀτόμων· τὸ μέν, ὅτι ἓν καὶ
20 πλῆθος ἡ φύσις, δεῖ δὲ προτάττειν τὸ μόνως ἕν· τὸ δέ, ὅτι πολλὰ ἓν ἡ 35
σύστασις, καὶ ἅμα ὅτι τῶν ἐν μεθέξει ⟨ἑνῶν⟩, εἰ μὴ προθείη τις τὸ ἀμέ-
θεκτον ἕν, οὐκ ἔσται τὸ αἴτιον τῆς ἐν τοῖς οὖσιν ἑνώσεως, ὥσπερ οὐδὲ τοῦ
εἶναι τοῖς ὁπωσποτοῦν οὖσιν αἰτίαν καταλιμπάνουσιν οἱ μὴ τὸ ὂν ἀρχὴν 861a
ἁπάντων εἶναι λέγοντες. ὥσπερ γὰρ τῶν ἀγαθῶν τοῖς πᾶσιν ἀρχὴ μία τὸ
25 ἀγαθόν, ὃ οὔτε τινός ἐστιν ἀγαθὸν οὔτ' ἄλλο τι παρὰ τἀγαθόν, καὶ ὥσπερ
τοῦ κινεῖσθαι τοῖς πᾶσι τὸ αὐτοκίνητον αἴτιον καὶ τούτῳ δὲ ἡ αὐτοκίνησις,
ἥτις οὐ τοῦδέ ἐστι κίνησις οὐδ' ἄλλο τι παρὰ τὴν κίνησιν, ἀλλ' ὅπερ εἴπο- 5
μεν αὐτοκίνησις, ἔχει δὲ καὶ τὰ γιγνώσκοντα πάντα τὴν αὐτόγνωσιν ἀρχήν,
οὕτω τὰ μὲν ὄντα ἢ ὄντα πρόεισιν ἀπὸ τοῦ ὄντος, ὃ οὐ τόδε ἐστὶ τὸ ὂν
30 ἀλλ' αὐτοόν, τὰ δ' ἡνωμένα τὴν ἕνωσιν ἀπὸ τοῦ ἑνὸς τοῦ ἐξῃρημένου τῶν
ὅλων καταδέχεται.

p. 1001a24 Ὅτι δὲ .. ὄντων. 10

Ἕπεται μὲν ἐξ ἀνάγκης μηδ' ἀριθμὸν εἶναι τὸν οὐσιώδη τοῦ ἑνὸς μὴ
ὄντος, οὐ μὴν δι' ἣν ἐπιφέρειν μέλλει αἰτίαν· λογικὴ γάρ ἐστιν. αὐτίκα
35 ψευδῶς ἐκ μονάδων λαμβάνει συγκεῖσθαι τὸν εἰδητικὸν ἀριθμὸν καὶ οὐσιώδη·
κἂν ἐκ μονάδων δέ τις αὐτὸν εἶναι συγχωρήσῃ, οὐ δήπου ἐξ ὁμοειδῶν τῷ

---

4 νῦν del. Us. 12 fort. τοῖσδε 14 μὴ add. Brandis; lacuna quattuor litt. in C 16 ante τῷ λόγῳ τῇ ὑποθέσει Ca: del. Cb 19 οὔτε prius Us.: οὐδὲ C ὅτε C 20 cf. Plat. Parm. 143a. 144e Procl. in Parm. 1089,33 τῶν δὲ C: corr. Bag. 21 ἑνῶν addidi sim.; Us. 22 τι αἴτιον Us. 28 ἀρχῆς C, corr. Us. 32 ἔτι δὲ Ar.

ἑνὶ περὶ οὗ ὁ λόγος· πῇ δὴ οὖν ἀληθὲς τὸ εἰρημένον, ὅτι καθ' ὁμοιότητα 861ᵃ
τοῦ ἑνὸς ὁ ἀριθμὸς ἁπανταχοῦ πρόεισιν; ἂν μὲν οὖν ᾖ τι ἓν ἐξῃρημένον 16
τῶν ὅλων, ἔσται τις καὶ ἀριθμός, οὔθ' ὁ ἐν τοῖς ἀριθμητοῖς οὔθ' ὁ μονα-
δικός (τελευταῖοι γὰρ οὗτοι καὶ ἄλλῳ ἑνὶ συνυφιστάμενοι), ἀλλ' ὁ αὐτοαρι-
5 θμὸς εἶδος ὢν νοερὸν καὶ οὐσία ἡ πρωτίστη καὶ νοητή· ἐὰν δὲ μὴ ᾖ τὸ 20
αὐτοέν, ἀρχῆς μὴ οὔσης οὐδ' ἂν τὸ ἐκ τῆς ἀρχῆς ὑποσταίη. εἰ . . . . ὄν.
καὶ τοῦτο εὖ λέγει· κοινότερον δὲ ἐπὶ τοῦ ἑνὸς τῇ οὐσίᾳ χρῆται, ἐπεὶ μόνον
ἓν ὂν δηλονότι καὶ ὑπὲρ οὐσίαν ἐστίν, εἴ γε ἡ μὲν οὐσία δεῖται τοῦ εἶναι
ἕν, τὸ δὲ οὐ δεῖται τῆς οὐσίας, ἵνα μὴ ἀντὶ ἑνὸς ἡνωμένον γένηται. οὐ
10 . . . αὐτά. οὐ γὰρ ἕτερά τινα ὄντα κατηγορεῖται καθόλου τῶν ἄλλων πρα- 25
γμάτων, ὡς τὰ εἴδη καὶ τὰ γένη (τὰ γὰρ εἴδη, ἕτερα ὄντα τῶν ἀτόμων,
κατηγορεῖται αὐτῶν, ὁμοίως δὲ καὶ τὰ γένη τῶν εἰδῶν καὶ τῶν ἀτόμων
ἕτερα ὄντα κατηγορεῖται). ἀλλ' ἡ οὐσία αὐτῶν τὸ αὐτοέν ἐστι καὶ αὐτοόν.
ὡς οὖν τὸν Σωκράτη λέγομεν οὐχ ἕτερον ἑτέρου κατηγοροῦντες, ἀλλ' ὅπερ 30
15 ἐστὶν αὐτὸ λέγοντες, οὕτω καὶ τὸ ἓν καὶ τὸ ὂν οὐκ ἄλλα ὄντα κατ' ἄλλων
τάττομεν, ἀλλ' αὐτὰ ταῦτα ἑρμηνεύοντες οὕτως ὀνομάζομεν. καὶ ἔστι μὲν
ἀληθὲς τὸ λεγόμενον, προσθεῖναι δὲ χρὴ ὅτι εἰ καὶ μὴ καθ' ἑτέρων
λέγεται, ἀλλ' οὖν πᾶσιν αἴτια τοῦ εἶναι καὶ τοῦ ἡνῶσθαι ταῦτα καθέστηκεν.

p. 1001ᵃ29 Ἀλλὰ . . . . ὄντα. 35

20 Ἄρχεται εἰς τὸ ἀντικείμενον ἐπιχειρεῖν, καί φησιν ἀπορώτατον εἶναι
τοῖς αὐτοὸν ὑποτιθεμένοις τὸν περὶ τῆς τῶν | ὄντων ὑποστάσεως λόγον. 861ᵇ
ὅτι μὲν οὖν βαθὺ τὸ σκέμμα, πῶς ἐξ ἑνὸς οὐδεμίαν διπλόην οὐδὲ ἔμφασιν
πλήθους ἔχοντος ἐν ἑαυτῷ οὐδὲ ἑτερότητα τὰ πάντα ὑπέστη, δηλοῦσι Πλω-
τῖνος Πορφύριος Ἰάμβλιχος καὶ πάντες οἱ θεωρητικώτερον περὶ τοῦτο τὸ
25 πρόβλημα διατρίψαντες· οὐ μὴν ἀλλ' αἰτιασάμενοι τὴν ἐν ἁπλότητι γονι- 5
μωτάτην αἰτίαν τοῦ ἑνὸς τὰ ὑπ' αὐτοῦ προτεινόμενα λύειν ἐπιχειρήσομεν.
τὸ γὰρ . . τὸ ὄν. ὁ μὲν Παρμενίδης ὅπως ἔλεγεν ἓν εἶναι τὸ ὄν, πολλάκις
εἴπομεν, ὅτι τὸ πᾶν νοητὸν ἡνῶσθαι καθ' ὑπερβολὴν ἡγούμενος ἕν τε τὸ
ὂν ἔλεγεν εἶναι καὶ τὸ παρὰ τὸ ὂν οὐκ ὄν, ὅπερ ἦν τὸ αἰσθητόν, καὶ τὸ 10
30 οὐκ ὂν οὐδέν, ὅτι μὴ ἰσότιμον ἐκείνῳ μηδ' ἔστι τι ὡς πρὸς ἐκεῖνο μηδὲ
πλέον ἐκεῖνο γίγνεται τούτου ὑποστάντος· ὡς γὰρ ὁ Σωκράτης εἷς μένει,
κἂν ἔχῃ πολλὰς εἰκόνας, οὕτω τὸ νοητὸν ἓν μένει καὶ τοῦδε ὑποστάντος
τοῦ κόσμου, ὃς οὐδέν ἐστι πρὸς ἐκεῖνο, πλὴν ὅτι ἐξήρτηται αὐτοῦ κἀκεῖθεν
ἔχει τό τε εἶναι καὶ τὸ τέλειος εἶναι. αὐτῷ δὲ νῦν λέγοντι τὸ ἕτερον τοῦ 15
35 ὄντος μὴ εἶναι οὐκ ἄν τις εὐλόγως [οὐ λόγῳ] συγχωρήσειε· πρῶτον μὲν
γὰρ οὐ κατὰ τὸ ὅλον νοητὸν λαμβάνει τὸ ὂν ἡ παρ' αὐτῷ νῦν ὑπόθεσις
εὐθυνομένη, ἀλλὰ τὸ ἀκρότατον αὐτοῦ. ὃ οὔτε νοῦς οὔτε ζωή πως, ἀλλ'
αὐτὸ τὸ ὄν, οὗ τὰ ἐχόμενα καὶ τὰ προσεχῆ γεννήματα ἕτερα αὐτοῦ ὄντα 20

9 ἡνωμένον enim idem quod πρώτως ὄν, cf. Damasc. I 111,7 sqq. 12 αὐτῶν del. Us.
13 καὶ τὸ αὐτοόν A 33 ὡς πρὸς hic quoque Bag. ἐκεῖνον C: corr. Bag.
35 οὐ λόγῳ del. Us. 36 ἡ παρ' αὐτῷ νῦν Bag.: παρ' αὐτῷ νῦν ἡ C (ὥσπερ αὐτὸς Us.)

ὅμως ὄντα ἐστίν. ἔπειτα εἰ μὲν ὡμολόγει καὶ αὐτὸς μὴ εἶναι ὄντα τὰ 861ᵇ
αἰσθητά, συγχωρεῖν ἔδει τῇ λεγούσῃ προτάσει τὸ ἕτερον τοῦ ὄντος μὴ εἶναι·
ἐπειδὴ δὲ μάλιστα πάντων τούτοις ὡς οὖσι πιστεύει, πῶς ἂν ἐν καιρῷ ταύ-
την δέχοιτο τὴν συγκατάθεσιν; οὔτε οὖν τὸ ὂν τὸ Παρμενίδειον λαμβάνομεν 25
5 οὔτε τὸ οὐκ ὄν. ὥστε ἐκεῖνο ⟨οὐ⟩ συγχωρήσαντες τοῖς νῦν ἐπιχειρουμένοις
ἐνιστάμεθα.

p. 1001ᵇ1 Ἀμφοτέρως . . . . ἕν ἕκαστον.

Ὅτι μὲν οὖν τοῦ ἑνὸς μὴ ὄντος οὐκ ἔσται ἀριθμός, εἴρηται καὶ καλῶς
εἴρηται· ἀρχῆς γάρ, φησίν, ἀπολομένης οὔτε αὐτή ποτε ἔκ του οὔτ' ἄλλο ἐξ
10 αὐτῆς ποτε γενήσεται. διὰ τί δὲ καὶ ὄντος οὐκ ἔσται; ἆρα διὰ τὴν εἰσβολὴν 30
τῆς ἐν τῷ Παρμενίδῃ πρώτης ὑποθέσεως, εἰ ἕν ἐστι, πολλὰ οὐκ ἂν εἴη; ἀλλ'
ἐκεῖ πολλὰ οὐ τὰ ἀπὸ τοῦ ἑνὸς προϊόντα ἀναιρεῖ, ἀλλὰ τὰ ἐν αὐτῷ τῷ ἑνὶ ὑπάρ-
χοντα. τῷ ὄντι γὰρ εἰ ἓν καθαρῶς ἐστιν, οὐκ ἂν αὐτὸ τοῦτο εἴη καὶ πολλά·
πολλῶν μέντοι αἴτιον ἀριθμῶν νοητῶν τε καὶ νοερῶν καὶ ἐγκοσμίων οὐ
15 κωλύεται εἶναι. οὗτος δὲ λαμβάνει, ὅτι τὸ παρὰ τὸ ἓν οὐδέν ἐστι· πάντα 35
γὰρ τὰ ὄντα ἢ ἓν ἢ ἐκ μονάδων συνέστηκεν, ὥστ' εἴ τι ἓν | ἀπὸ τοῦ 862ᵃ
ἑνός, ἕτερον μὲν ἔσται τοῦ ἑνός, ἕτερον δὲ τοῦ ἑνὸς ὑπάρχον οὐδέν ἐστι,
τὸ δὲ μηδὲν οὐκ ὄν, ἐπειδὴ πᾶν τὸ ὂν ἢ ἓν ἢ πολλὰ ὧν ἕκαστον ἕν.
φαμὲν δὲ ὅτι οὐκ ἔστιν ⟨τὸ⟩ ἀπὸ τοῦ ἑνὸς ἤδη οὐδέν. οὐ γὰρ εἰ μὴ ἐκεῖνο
20 τὸ ἕν, ἤδη οὐχ ἓν ἢ οὐδέν. ἀλλὰ δευτέρως ἓν καὶ πάλιν τρίτως· ὅπου γὰρ 5
καὶ τὰ ἔσχατα τῶν ἐσχάτων, τὰ ἐπίκηρα καὶ ἔνυλα τῶν αἰσθητῶν μετέχει
τοῦ ἑνός, ἤπου γε τῶν νοητῶν τι καὶ θείων ἐστέρηται τοῦ ἓν εἶναι; ἀρκεῖ
οὖν ἡ γονίμη τοῦ ἑνὸς αἰτία ἐξ ἑαυτῆς παράγειν καὶ ἀριθμοὺς καὶ τὰ πάντα,
καὶ οὐ δεῖ ζητεῖν ὑποκείμενον ἐξ οὗ τὰ ὄντα ὑφίστησι· τούτου γὰρ ἡ
25 φύσις πρώτη δεδέηται. 10

p. 1001ᵇ7 Ἔτι εἰ . . εἴη.

Φορτικὸν μὲν αὐτός φησιν εἶναι τὸν λόγον τοῦ Ζήνωνος ἀναιροῦντος
τὴν τοῦ ἑνὸς φύσιν καὶ τὴν τοῦ σημείου καὶ παντὸς τοῦ ἀδιαιρέτου, ὅτι
μήτε προστιθέμενα μήτ' ἀφαιρούμενα τὸ ποσὸν τῶν ὑποκειμένων ἀμείβουσιν·
30 ὁ γὰρ τοῦτο λέγων, φησί, πρῶτον μὲν ἅπαν τὸ ὂν μέγεθος εἶναι οἴεται καὶ 15
τοῦτο στερεόν· τὰ γὰρ ἐπίπεδα καὶ ⟨αἱ⟩ γραμμαὶ οὐ παντοδαπῶς προστιθέ-
μενα ἢ ἀφαιρούμενα μειοῦσιν ἢ αὔξουσι τὸ ὑποκείμενον, ἀλλ' ἐὰν μὲν κατὰ
τὸ πέρας αὐτῶν συντεθῶσιν αὔξουσιν, ἄλλως δὲ οὔ. ἔπειτα, ὅτι καὶ εἰ μὴ
μεῖζον ἡ μονὰς ποιεῖ τὸ ποσόν, ἀλλὰ πλεῖον. ἡμεῖς δὲ πρὸς τοὺς πολλοὺς
35 τὸν Ζήνωνα γυμναστικοὺς λόγους ποιούμενον οὐκ ἀπὸ σπουδῆς τούτοις ἐπι- 20
χειρεῖν οἰόμεθα· εἰ μὴ ἄρα τοσοῦτον ἠνίττετο, ὅτι τὰ ἀδιαίρετα τῆς φύσεως
οὐκ ἔστι τῶν διαιρετῶν, ἀλλ' ὑπερέχοντα τούτων ἄλλως αὐτὰ περατοῖ καὶ

5 οὐ add. Us., cf. p. 46,35 11 cf. Plat. Parm. 137ᶜsqq. 19 τὸ add. Bonitz
33 ὅτι in suspicionem vocat Us.

ὁρίζει. ἀλλὰ . . . . μέγεθος. πάλαι μὲν αὐτῷ θαυμαστὸν εἶναι κατε- 862ᵃ
φαίνετο, εἰ καὶ ἀριθμὸς ἐκ τοῦ τοιούτου ἑνὸς ὑποστῆναι δύναται, νυνὶ δὲ 25
παραδοξότερον ἔτι φησὶ τὸ μέγεθος ἐξ αὐτοῦ παράγειν. διὸ καὶ ἐπήγαγεν·
ὅμοιον . . . φάσκειν. ἡμεῖς δὲ τὸ μὲν αὐτομέγεθος ἀμερὲς ὂν καὶ θεῖον
5 καὶ νοητὸν καὶ ἐν πρώτοις ἱδρυμένον τῶν ὄντων † πρὸς ἐκεῖθεν μετὰ πάν-
των τῶν ὄντως ὄντων ἐκφανῆναί φαμεν· τὸ δὲ αἰσθητὸν μέγεθος ἡ φύσις 30
ἐπιφέρει τῇ ὕλῃ δυναμουμένῃ καὶ ποδηγετουμένῃ [ἡ] παρὰ τῶν δημιουργικῶν
θεῶν, ὧν πατὴρ ὁ εἷς καὶ ὅλος δημιουργὸς ἔκγονος ὢν τἀγαθοῦ, ταὐτὸν
δὲ εἰπεῖν τοῦ ἑνός, οὗ πάντα μιμήσει τὴν ἕνωσιν ἐπιφέρει τοῖς μεθ' ἑαυτά,
10 ὥστε δι' αὐτοῦ ἡνῶσθαι καὶ τὸ αἰσθητὸν μέγεθος. πῶς οὖν ὅμοιον τὴν
γραμμὴν ἐκ στιγμῶν λέγειν συνεστάναι, ὃ δέδεικται ὂν ἀδυνατώτατον, καὶ 35
τὸ ἓν τὰ παντοῖα μεγέθη παράγειν; οὐδὲν γὰρ αὐτοῖς κοινὸν πλὴν ὅτι ὥσπερ
τἆλλα πάντα ἴχνος τι καὶ ἔσχατον ἴνδαλμα παρεσπάσατο τοῦ ἑνός, οὕτω
καὶ ἡ στιγμὴ τῷ ἀδιαιρέτῳ μιμεῖσθαι | δόξειεν ἂν τὸ ἕν· ἀλλ' ἡ μὲν ἀτελής 862ᵇ
15 ἐστι ⟨καὶ⟩ καθ' ἑαυτὴν ἀνυπόστατος, καὶ ὅπερ ἐστὶν ἄλλου ἐστίν, ἔτι δὲ
ἄγονος ἄζως ἀνόητος, τὸ δὲ παντὸς αἴτιον τοῦ τελείου καὶ τοῦ ὄντως ὄντος
ἐφ' ἑαυτοῦ τε μένον, γεννητικώτατον τῶν ἁπάντων, ζωῆς καὶ νοήσεως
ἀρχή, κρεῖττον δὲ αὐτὸ τούτων ἁπάντων, ὧν ἐστιν ἀρχή. 5

p. 1001ᵇ19 Ἀλλὰ . . . δῆλον.

20 Ἀπορεῖ δὲ πρὸς τὸν Πλάτωνα, πῶς ἐξ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος,
ἣν οὐχ ἓν καὶ ἀνισότητα καλεῖ, νῦν μὲν ἀριθμὸν ποιεῖ, νυνὶ δὲ μέγεθος·
οὐδὲ γὰρ εἰ ἀντὶ τοῦ ἑνὸς τὸν ἀριθμὸν τῇ ἀορίστῳ δυάδι συντάξει, δῆλον
ἔσται, πῶς ἐξ αὐτῆς τὸ μέγεθος ὑφίστησι. πρὸς ἃ φαμεν, ὅτι ἡ μὲν νοητὴ 10
μονὰς καὶ δυὰς τὸν ἐκεῖ γεννῶσιν ἀριθμόν, τὰ δὲ ἀνάλογον αὐταῖς παρ'
25 ἡμῖν τὸ αἰσθητὸν μέγεθος· ἔστι δὲ τὸ παρ' ἡμῖν εἶδος οἷον ἓν καὶ μονάς,
ἡ δὲ ὕλη τὸ ἔσχατον τῆς ἀορίστου δυάδος μίμημα, ἐξ ὧν τὸ τῇδε μέγεθος.
εἰ δὲ τὴν φύσιν ἐθέλοις διὰ τὸ γεννητικὸν κατὰ τὸ ἓν τάττειν καὶ τὴν 15
μονάδα, τὸ εἶδος κατὰ τὸν ἀριθμὸν θεωρήσεις. ὥστε τὸ μέγεθος ἄλλως
μὲν ἐκ μονάδος καὶ τῆς ἀορίστου δυάδος ὑφεστάναι λέγοιτ' ἂν οὐκ ἐπιδούσης
30 ἑαυτὴν τῆς μονάδος τῷ συστήματι τοῦ μεγέθους, ἄλλως δὲ ἐξ ἀριθμοῦ καὶ
τῆς ἀορίστου δυάδος τῶν ὥσπερ στοιχείων αὐτοῦ τοῦ μεγέθους.

p. 1001ᵇ26 Τούτων δὲ . . οὔ. 20

Ἐν μὲν τῇ ἐκθέσει τῶν προβλημάτων τοῦτο τελευταῖόν ἐστι καὶ ἑπτα-
καιδέκατον, νυνὶ δὲ τρίτον ἐστὶν ἐπὶ δέκα διὰ τὴν πρὸς τὸ προγυμνασθὲν

---

1 αὐτῷ scripsi: αὐτὸ C 5 ἱδρυμένον scripsi: ἡνωμένον C προς εκεῖθεν sic cum spatiolo C: πρὸς om. Bag. fort. recte; possis etiam πρώτως 7 ἡ del. Us. 10 δι' αὐτοῦ (sc. τοῦ ἑνός) scripsi: διὰ ταὐτὸν C 13 post ἔσχατον παρεσπάσατο τοῦ ἑνὸς Cᵃ: del. Cᵇ 14 μὲν e corr. C 15 καὶ add. Us. 16 ἄζως C: corr. Us. 20 cf. Alex. 228,10 24 αὐτῆς C: corr. Us. 34 τὴν πρὸς suprascr. C

οἶμαι συγγένειαν· ζητήσας γὰρ ἐν ἐκείνῳ, εἰ τὸ ἓν καὶ τὸ ὂν οὐσία, αἳ δὴ 862b
ἀρχαὶ εἶναι τῶν νοητῶν ἐδόκουν οὐσιῶν, νῦν εἰ αἱ μαθηματικαὶ θεωρίαι
περὶ οὐσίαν ἀναστρέφονται, θελήσει σκέψασθαι· εἴρηται δὲ ἐν τοῖς πρώτοις, 25
τίνα μὲν τούτων οὐσίας, τίνα δὲ χρὴ νομίζειν εἶναι συμβεβηκότα· διὸ τοῖς
5 ἐπιχειρήμασι νυνὶ προσεκτέον.

p. 1001b28 Εἰ μὴ γάρ εἰσι, διαφεύγει τί τὸ ὂν καὶ τίνες αἱ οὐσίαι τῶν ὄντων.

Ἐάν τις, φησί, μὴ λέγῃ ταῦτα οὐσίας, οὔπω ἴσμεν τίς ἐστιν ἡ οὐσία· οὐ γὰρ δὴ ἡ λευκότης ἢ ἡ λεύκανσις οὐσία, ἀλλὰ τὸ μὲν πάθος οὐσίας, 30
10 τὸ δὲ κίνησις· οὐ μὴν οὐδὲ τὸ δεξιὸν ἤ τι τῶν πρός τι λεγομένων οὐσία οὐδ' ἡ ὑγεία οὐδ' οἱ περὶ τούτων λόγοι, ἀλλὰ τὸ μὲν διάθεσις οὐσίας, τὸ δὲ φωναὶ σημαντικαί. διὸ καὶ ἐν ὑποκειμένῳ πάντα ἐστὶ ταῦτα καὶ οὐδὲν καθ' αὑτὸ ὄν· ὕδωρ δὲ καὶ πῦρ καὶ ἀὴρ καὶ γῆ κατὰ μὲν τὰς ποιότητας 35
οὐκ οὐσίαι, κατὰ δὲ τὸ σῶμα τὸ ἄποιον, ὃ καὶ διαμένειν φαμὲν ⟨ἐν⟩ ταῖς
15 παντοίαις μεταβολαῖς, ἴσως ἂν οὐσιῶδες ἔχοι τι. πλὴν καὶ τούτου δοκεῖ μᾶλλον εἶναι ἡ ἐπιφάνεια καὶ ταύτης ἡ γραμμὴ καὶ τῆς γραμμῆς ἡ στιγμὴ καὶ | ταύτης ἡ μονάς· πανταχοῦ γὰρ τὸ περατοῦν καὶ ὁρίζον τοῦ περα- 863a
τουμένου μᾶλλον οὐσίωται, καὶ ὃ συναναιρεῖ μὲν οὐ συναναιρεῖται δὲ τῇ οὐσίᾳ πρότερον ἂν εἴη. μονὰς μὲν οὖν πάντα ὁρίζει, στιγμὴ δὲ τὰ δια-
20 στατά, γραμμὴ δὲ τὰ ἐπίπεδα καὶ τὰ στερεά, ἡ δὲ ἐπιφάνεια τὰ σώματα· καὶ μονάδος μὲν μὴ οὔσης οὐδέν ἐστι τῶν ἐφεξῆς, οὐδὲ σημείου τῶν δια- 5
στατῶν· σώματος δὲ μὴ ὄντος οὐ κωλύεται εἶναι τὰ πρὸ αὐτοῦ. διὸ εἴτε σώματά ἐστι τὰ ὄντα κατὰ τοὺς φυσικούς, αἱ ἀρχαὶ τῶν σωμάτων οὐσίαι· εἴτε ἀριθμοὶ κατὰ τοὺς Πυθαγορείους, ἥ τε ἀρχὴ τῶν ἀριθμῶν εἴη ἂν
25 οὐσία καὶ τὰ τῇ μονάδι συγγενῆ. τούτων δὲ οὕτω κατεσκευασμένων οὐδέτερον τῶν λόγων φαμὲν ἔχειν ἰσχὺν ἀληθινήν· οὔτε γὰρ τὸ περατοῦν ἀεὶ 10
τοῦ περατουμένου μᾶλλον ὄν, ἀλλ' ὅταν ἐξῃρημένον αὐτοῦ τῆς φύσεως πέρας αὐτῷ ἐπιφέρῃ, ὡς ἡ τέχνη καὶ ἡ φύσις τοῖς τεχνητοῖς καὶ φυσικοῖς σώμασιν, οὐ μὴν ὅταν ἑαυτὸ ἐπιδιδῷ πρὸς τὴν τῶν ὁριζομένων ἀποπερά-
30 τωσιν· οὔτε ἀεὶ τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον μᾶλλον οὐσία τοῦ 15
ἀντικειμένως ἔχοντος, ἐπεὶ οὕτως ἂν καὶ οἱ λίθοι μᾶλλον ἦσαν τῆς οἰκίας καὶ τὰ ξύλα τῆς νεὼς καὶ ὅλως αἱ ὕλαι τῶν εἰδοποιηθέντων, ἀλλ' ὅταν μὴ ἤ τι μέρος τοῦ συναναιρουμένου τὸ ἀναιροῦν μηδὲ στοιχεῖον ἢ πέρας ἢ τῶν ὅλως ἑαυτὰ ἐπιδιδόντων εἰς ⟨τὴν⟩ ἐκείνου σύστασιν. τὰ μὲν οὖν ἀληθῆ 20
35 γένη πρότερα τῶν εἰδῶν καὶ ἡ οὐσία τῶν συμβεβηκότων, ἡ δὲ ἐπιφάνεια ὡς μὲν αὐλοτέρα προτέρα τοῦ σώματος, ὡς δὲ μᾶλλον οὐσία οὐ προτέρα. δῆλον δὲ ὅτι περὶ ἐπιφανείας τῆς ἐνυπαρχούσης τοῖς σώμασιν οἱ λόγοι.

14 ἐν add. Us. 16 στιγμῆς C 29 ἑαυτὸ ἐπιδιδῷ Us.: ἑαυτῷ τι διδῷ C
34 ἑαυτὸ C: corr. Bag. τὴν inserui 36 αὐλοτέρα scripsi: ἀτελεστέρα C

p. 1002ᵃ15 Ἀλλὰ . . . οὐδεμία. 863ᵃ

Εἰ ταῦτα μὲν μᾶλλον οὐσίαι τῶν σωμάτων, οὐκ ἔστι δὲ ταῦτα (οὔτε γὰρ ἐν τοῖς αἰσθητοῖς ἐστι σώμασιν οὔτ' ἐν ἄλλοις· δεῖ δὲ αὐτὰ εἶναι ἐν σώμασιν), πῶς μέν τις ἂν εἴη οὐσία; ῥητέον δὲ ὅτι καὶ ἐν τοῖς αἰσθητοῖς ἐστι σώμασι φυσικῶς τε καὶ ἐνύλως (διὸ καὶ οὐ φυλάττει τὴν φύσιν ἣν ἐπαγγέλλεται, ὡς οὐδ' ἄλλο τι τῶν ἐνύλων εἰδῶν), οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ μαθηματικῷ σώματι, ὃ εἰ καὶ μὴ αἰσθητόν, ἀλλ' οὖν φανταστόν ἐστιν, ἔτι δὲ ἐν τοῖς δοξαστοῖς λόγοις καὶ τοῖς νοητοῖς εἴδεσιν· καὶ ὅμως τοσαυταχῶς αὐτῶν ὄντων οὐ κωλύονται καὶ ἄλλαι εἶναι οὐσίαι καθ' ἑκάστην τάξιν τῶν ὄντων.

p. 1002ᵃ18 Ἔτι . . . μῆκος.

Αἱ διαιρέσεις οὐκ εἰσιν οὐσίαι· διαιρέσεις δὲ μεγέθους ἐπιφάνεια μὲν εἰς βάθος, γραμμὴ δὲ εἰς πλάτος, σημεῖον δὲ εἰς μῆκος· οὐκ ἄρα οὐσίαι ταῦτα. ῥητέον δὲ πρὸς τὴν μείζονα πρότασιν, ὅτι αἱ μὲν ἐνυπάρχουσαι τοῖς σώμασι διαιρέσεις τῶν μοναδικῶν ἀριθμῶν τυχὸν | οὐκ ἂν εἶεν οὐσίαι, 863ᵇ ἡ δὲ πρώτη ἑτερότης πάντα διακρίνουσα καὶ ὅλως τὰ θεῖα γένη, ὅσα τῆς διαιρέσεως ἐπάρχει, πῶς οὐχὶ τὴν κατ' εἶδη καὶ κατ' οὐσίαν ἱσταμένην διαίρεσιν τοῖς ὅλοις ἐπιφέρουσι; πρὸς . . . ἥμισυ. † ὁ λόγος· οὔτε τὰ σχήματα ⟨τὰ⟩ δυνάμενα ἐγγενέσθαι τῷ λίθῳ ἔστιν ἐν αὐτῷ, οὔθ' αἱ διαιρέσεις αἱ μηδέπω ἐνεργείᾳ οὖσαι. † εἰ τοῦτο ἡ ἐπιφάνεια, οὐδ' ἂν ἄλλη εἴη. πρὸς ὃ φαίη τις ἄν, ὅτι [οὐκ] ἀνάγκη τῆς ἐνεργείᾳ οὔσης καὶ τὴν δυνάμει εἶναι ἢ ταύτης μηδέπω οὔσης μηδὲ τὴν ἐνεργείᾳ εἶναι, εἶναι δὲ μίαν ἐνεργείᾳ οἷον τὴν διχοτομοῦσαν τὸν κύβον οὐδὲν κωλύει· αἱ μὲν γὰρ ἄπειροι διαιρέσεις δυνάμει, τῶν δὲ πεπερασμένων † ἐνεργείᾳ οὐδὲν κωλύει καὶ ἐνεργείᾳ θεωρεῖσθαι.

p. 1002ᵃ28 Πρὸς . . . ἄλογα.

Τὸ ἐπιχείρημα τοιοῦτον· πᾶσα οὐσία ἡ ποτὲ μὲν οὖσα ποτὲ δὲ οὐκ οὖσα διὰ γενέσεως μὲν εἰς τὸ εἶναι, διὰ δὲ φθορᾶς εἰς τὸ μὴ εἶναι περιάγεται· ταῦτα δὲ τὰ πέρατα τῶν μεγεθῶν ἢ ἔστιν ἢ οὐκ ἔστιν ἀχρόνως· οὐκ ἄρα οὐσίαι. καὶ δοκεῖ τὸ ἐπιχείρημα ἔχειν ἀλήθειαν, ἐπεὶ καὶ πᾶσα μὲν οὐσία γιγνομένη καὶ φθειρομένη δεῖται ὑλικοῦ αἰτίου, ταῦτα δὲ οὐκ

---

4 ὅπως C: corr. Bonitz; ob μὲν suspiceris ἄπορον vel sim. post οὐσία excidisse
8 δοξαστικοῖς C: corr. Us. 8. 9 εἴδεσιν ἀύλως· τοσαυταχῶς δ' αὐτῶν Us. 15 nempe ⟨ἡ⟩ πάντα 17 sequentia admodum corrupta: ὁ λόγος τοιοῦτος coni. Us. 18 τὰ add. Us. 19 οὔθ' αἱ Us.: οὐδὲ C εἰ τοιοῦτο ἡ Us. pro ἄλλη αὕτη Bonitz 20 οὐκ delevi, τοῦτο μὲν pro οὐκ Us. 23 ἐνεργείᾳ errore repetitum alterum verbum, τινὰ opinor, removit; Us. utrumque ἐνεργείᾳ tolerans ante alterum διαιρέσεις intercidisse putat 24 θ εἴσθαι C cum spatio quattuor litt. 28 ἢ ἔστιν Bonitz: εἰ ἔστιν C

ἔνυλα. τεκμήριον δὲ τοῦ μὴ πρότερον οὖσαν τὴν στιγμὴν καὶ οἷον λανθά- 863 b
νουσαν ὕστερον ἀναφαίνεσθαι τὸ καὶ διαιρεθείσης γραμμῆς δύο σημεῖα
γίγνεσθαι ποιεῖται· οὐ γὰρ δὴ μία, φησίν, οὖσα διηρέθη εἰς δύο ἡ 20
ἀδιαίρετος, ἀλλὰ δηλονότι οὐκ οὖσαι πρότερον ἀχρόνως καὶ ἄνευ γενέσεως
5 ὑπέστησαν ἐκ τῆς διαιρέσεως. παραπλησίως ... χρόνῳ. ὅτι ἔστι
τινά, ἃ μὴ ὄντα πρότερον ἔξω γενέσεως ἀναφαίνεται καὶ χωρὶς φθορᾶς
ἀφανίζεται, καὶ οὐδὲν τούτων οὐσία, μαρτυρεῖν φησι καὶ τὴν χρονικὴν διαί- 25
ρεσιν τὸ νῦν, ᾧ καὶ ἡ στιγμὴ ἀναλογεῖ· οὐδὲν οὖν τούτων οὐσία. πρὸς ὃ φαίης
ἄν, ὅτι καὶ εἰ μὴ οὐσία ταῦτα, ἀλλ' οὖν ὄντα εἶναι οὐ κωλύεται· πολλαχῶς
10 γὰρ τὸ ὄν.

p. 1002 b 12 Ὅλως ... εἴδη.

Τοῦτο ἰδίᾳ μὲν ἐν τοῖς πρώτοις οὐ προὔτεινεν, ἔοικε δὲ μέρος εἶναι
τοῦ πέμπτου (ἀπορεῖ γὰρ ἐν τούτῳ πρὸς τὰς ἰδέας) ἢ τοῦ ἑνάτου· καὶ γὰρ 30
ἐν ἐκείνῳ πρὸς αὐτὰς ἠπόρησεν. ἡ δὲ κατασκευὴ τοῦ παντὸς λόγου τοιαύτη·
15 εἰ διὰ τοῦτο παρὰ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ τίθεμεν εἶναι τὰ εἴδη,
ἐπειδὴ τὰ μὲν αἰσθητὰ πολλά ἐστιν ἕκαστα, οἷον ἵπποι πολλοὶ καὶ βόες
καὶ ἄνθρωποι, ὁμοίως δὲ καὶ τὰ μαθηματικά (πολλὰ γὰρ τρίγωνα καὶ κύκλοι 35
καὶ σφαῖραι καὶ πυραμίδες), χρὴ δὲ ἡμᾶς μὴ στῆναι ἐπὶ τοῦ πλήθους ἀλλ'
ἐπὶ τὰς ἑκάστων ἐλθεῖν μονάδας, τὸν ἕνα ἄνθρωπον τὸ ἓν τρίγωνον τὸν
20 ἕνα κύκλον, ἀνάγκη | ἕκαστον τῶν εἰδῶν ἓν εἶναι τῷ ἀριθμῷ· ἀλλὰ μὴν 864 a
οὐ δύνανται ⟨αἱ⟩ ἀρχαὶ ἓν εἶναι τῷ ἀριθμῷ ὡς δέδεικται ἐν τῷ δεκάτῳ
προβλήματι· οὐκ ἄρα δύναται εἶναι τὰ εἴδη. πρὸς ὃ φαίης ἄν, ὅτι τάχα
μὲν οὐδὲ τὰ ὑλικὰ αἴτια δέδεικται πάντα μὴ δυνάμενα τῷ ἀριθμῷ ὡρίσθαι·
* * * φησὶν ὁ Ἐμπεδοκλῆς. εἰ δ' οὖν ἐπὶ τῶν ἐνυπαρχουσῶν τοῖς ἀποτε- 5
25 λέσμασιν ἀρχῶν ἀδύνατον ἐφάνη τὸ τὰς ἀρχὰς ὅρον ἔχειν ἀριθμητικόν,
οὐ δήπου καὶ ἐπὶ τῶν γεννητικῶν καὶ ὑπερτάτων αἰτίων ἐκεῖνα χώραν ἔχει
τὰ ἐπιχειρήματα· οὕτω γὰρ ἂν οὐδ' οἱ κατ' αὐτὸν χωριστοὶ γίνοιντο ἀρι-
θμοί, εἰ ⟨μὴ⟩ εἶεν ὡρισμένοι. καὶ τοῦτο δὲ ψευδῶς εἴληπται τὸ διὰ ταύτην 10
μόνην τὴν αἰτίαν ἐπὶ τὰ εἴδη δραμεῖν τοὺς τῆς ἀληθείας φιλοθεάμονας.
30 ὅτι μέντοι πᾶν ὃ ἔχει τὰ εἴδη οὐσία ἐστὶ καὶ οὐδὲν κατὰ συμβεβηκός,
ὀρθῶς τε καὶ ἡμεῖς προσιέμεθα.

p. 1002 b 33 Σύνεγγυς ... τρόπον.

Τοῦτο καὶ ἐν τῇ ἐκθέσει τῶν προβλημάτων πεντεκαιδέκατόν ἐστιν. 15
ζητεῖ δὲ ἐν αὐτῷ πότερον αἱ ἀρχαὶ δυνάμει ἢ ἐνεργείᾳ· τὸ γὰρ ἤ τινα

---

2 καὶ om. Bag.: prius membrum fort. omissum esse Us. recte colligit ex verbis Ar. ὁτὲ μὲν μία ἁπτομένων ὁτὲ δὲ δύο διαιρουμένων 6 ἔξω Us.: ἐκ C 7 καὶ τὴν C: κατὰ τὴν cum Bag. Us. 19 fort. ἀνελθεῖν 21 αἱ inserui Ar. p. 999 b 27 22 δύνανται C: corr. H b 23 ὁριεῖσθαι C 24 e. g. οἷον τέσσαρα τῶν πάντων ῥιζώματα deesse putat Us. 28 εἰ μὴ Us.: ἢ C 31 post ὀρθῶς τε olim extitisse αὐτῷ εἴρηται vel sim. conicit Us. 34 an τῷ γὰρ? cf. Alex. 235,10

ἕτερον τρόπον τὸ ἐνεργείᾳ σημαίνει. ἀποκρύψας ἐξεπίτηδες οἶμαι τοῦτο 864ᵃ
τὸ ὄνομα, ἵνα μὴ ἀνέλῃ τὸ ἄπορον τοῦ προβλήματος· τίς γὰρ οὐκ ἂν τὸ
τέλειον τοῦ ἀτελοῦς ἀρχικώτερον ἔφησεν εἶναι; διὰ δὲ τὴν αὐτὴν αἰτίαν
καὶ οὐδὲ αἴτια ἢ ἀρχὰς εἶπεν, ἀλλὰ στοιχεῖα, ἐν οἷς τῷ ὄντι πολὺ τὸ 20
5 ἀτελές. πῶς δὲ ἔχει τὸ πρᾶγμα, εἴπομεν ἐν τοῖς πρώτοις.

p. 1002ᵇ34 Εἰ μὲν . . . ἄλλο.

Ὡς εἰ ἔλεγεν, εἰ μὲν γὰρ ἐνεργείᾳ θήσεταί τις εἶναι τὰς ἀρχάς, ἐπειδὴ
παντὸς τοῦ ἐνεργείᾳ τὸ δυνάμει προηγεῖται, ἔσται τι πρὸ τῶν ἀρχῶν·
ἀπέκρυψεν δὲ καὶ νῦν τὸ τῆς ἐνεργείας ὄνομα, μετὰ τοῦ καὶ λογικὸν εἶναι 25
10 τὸ ἐπιχείρημα· ἐπὶ γὰρ ἑκάστου τῶν γενητῶν πρὸ τοῦ ἐνεργείᾳ τὸ δυνάμει,
οὐκ ἐπὶ τῶν ὅλων οὐδὲ τῶν θείων, ὡς αὐτὸς ἡμᾶς ἐν ἄλλοις ἐδίδαξεν.
τὸ δὲ δυνατὸν . . . ἔχειν. οὐ πᾶν, φησί, τὸ δυνάμει ἀνάγκη ἐνεργείᾳ
γενέσθαι· τὸ δὲ ἐνεργείᾳ νῦν ὂν πρότερον ἦν δυνάμει.

p. 1003ᵃ2 Εἰ . . . ὄντων. 30

15 Εἰς τὸ ἀντικείμενον ἐπιχειρεῖ, ὅτι οὐ χρὴ δυνάμει τὰ στοιχεῖα ὑποτίθε-
σθαι. ἡ δὲ κατασκευὴ τοῦ λόγου τοιαύτη· τὸ δυνατὸν μόνον γίγνεται, οὐ
γὰρ τὸ ἀδύνατον οὔτε τὸ ἤδη ὄν· τὸ γιγνόμενον οὔπω ἔστι· τὸ μήπω ὂν
ἐνδέχεται μὴ γενέσθαι· ὥστε εἰ δυνάμει αἱ ἀρχαί, ἐνδέχεται μηδὲν εἶναι
τῶν ὄντων ἐξ αὐτῶν. ἠρμήνευσε δὲ τὴν ἐλαχίστην πρότασιν οὕτως· οὐδὲν 35
20 γίγνεται τῶν ἀδυνάτων, ᾧ ἰσοδυναμεῖ τὸ μόνον γίγνεσθαι τὸ δυνατόν.
τὴν δὲ μέσην οὕτω· γίγνεται μὲν γὰρ τὸ μὴ ὄν· τὸ γὰρ γιγνό|μενον 864ᵇ
μὴ ὄν ἐστι, διὸ οὐδὲ τὸ ἤδη ἐρεργείᾳ ὂν γιγνόμενον ἄν τις λέγοι. ὅτι δὲ
ἐνδέχεται τὸ μήπω ὂν μηδὲ γενέσθαι ὡς πρόδηλον συνέθηκε ταύταις ταῖς
προτάσεσιν, ἐπεὶ καὶ τοῦτό ἐστιν αὐτῷ τὸ δυνατῷ εἶναι τὸ πεφυκέναι μὲν
25 εἰς ἐνέργειαν προϊέναι, οὐ πάντως μέντοι συμβαίνειν. ταῦτα δὲ πάντα 5
πολλὴν ἰσχὺν ἔχει, ἐὰν πάσας τις τὰς ἀρχὰς δυνάμει λέγῃ εἶναι καὶ μηδε-
μίαν ἐνεργείᾳ.

p. 1003ᵃ5 Ταύτας . . . καθ' ἕκαστα.

Ἔστι μὲν τοῦτο τεσσαρεσκαιδέκατον ἐν τοῖς πρώτοις λόγοις, σχεδὸν
30 δὲ ταὐτόν ἐστι τῷ δεκάτῳ· ζητεῖ γὰρ καὶ ἐνταῦθα εἴτε καθόλου ⟨αἱ⟩ ἀρχαὶ
εἴτε ἄτομοι, ὃ ταὐτόν ἐστι σχεδὸν τῷ εἴτε εἴδει ὡρισμέναι εἴτε ἀριθμῷ. φησὶ 10
δὲ ὅτι ⟨εἰ⟩ καθόλου αὐτὰς ὑποθοίμεθα, τὸ οὐσιῶδες αὐτῶν ἀφαιροῦμεν· τὰ
γὰρ καθόλου οὐκ οὐσίαι· εἰ γὰρ οὐσίαι, τρεῖς τοὐλάχιστον ὁ Σωκράτης
οὐσίαι, ἡ ἄτομος ἡ ἐν εἴδει ἡ ἐν γένει. εἰ δὲ μὴ καθόλου αἱ ἀρχαί, ἢ

9 δὲ scripsi: ὡς C ἀποκρύψας καὶ νῦν Us. 11 Ar. met. Λ 6. 7 21 γίγνεται μὲν Ar.: γιγνόμενον C 25 πάντα C: τότε Us. 'sed videtur gravius peccatum' 30 ἑνδεκάτῳ Us. cf. p. 40,9 αἱ add. Us. εἰ add. AH

ἄγνωστοί εἰσιν ἢ ἔχουσί τι πρὸ αὐτῶν. ὧν ἑκάτερον ἄλογον. εἴτε γὰρ 864b
μὴ γιγνώσκονται * * * αἱ ἀρχαί, διὰ τῶν καθόλου γνωσθήσονται· μόνως 16
γὰρ οὕτω τὰ ἄτομά ἐστιν ἐπιστητά. ἔσται τι οὖν πρὸ αὐτῶν περιληπτικώτερον αὐτῶν. εἴρηται δὲ πολλάκις, ὅτι καὶ ὑπὲρ τὰ ἄτομα καὶ ὑπὲρ
5 τοὺς καθόλου λόγους τούς τε ποιητικοὺς καὶ τοὺς γνωστικοὺς αἱ κυρίως ἀρχαί. οὐδὲ τὰ λεγόμενα δὲ ἀνάγκην οὐδεμίαν ἔχει· οὔτε γὰρ πᾶν τὸ 20
καθόλου ἀνούσιον· οὐ γὰρ ἂν ἦν τι τῶν καθόλου ἀΐδιον καὶ δημιουργικὸν τοῦ καθ' ἕκαστα· οὔτε τὰ τόδε τι διὰ τῶν καθόλου γιγνώσκομεν, εἰς οὐδὲν ὑστερογενὲς καθόλου καταφεύγοντες· καὶ τῶν ἀκινήτων γενῶν αὐτὸς οὐκ ἂν
10 φαίη καθόλου τινὰ ἐπαναβεβηκέναι.

Ἀλλὰ σχεδὸν πάντα ταῦτα διαλεκτικοῖς ἐπιχειρήμασι χρώμενος, ὡς καὶ ὁ ὑπομνηματιστὴς Ἀλέξανδρος ἐπεσημήνατο, διεξῆλθεν ὁ φιλόσοφος. τὸ δὲ ἑκκαιδέκατον ἐν τῇ ἐκθέσει τῶν προβλημάτων σκέμμα, πότερον κινοῦνται ἢ ἀκίνητοί εἰσιν αἱ ἀρχαί, οὐδ' ἐγύμνασεν ἐν τούτοις. προθεὶς
15 τοίνυν ἑπτακαίδεκα προβλήματα καθ' ἣν ἐξεθέμεθα τάξιν, τὸ μὲν ἕκτον 30
καὶ τὸ ἑκκαιδέκατον οὐκ εἰργάσατο κατὰ τὴν εἰς ἑκάτερα ἐπιχείρησιν· τὸ μὲν ἕκτον, ὅτι πρὸς ταῖς ἤδη ῥηθείσαις αἰτίαις καὶ προείληπτο· ζητήσας γὰρ εἰ μὴ μόνων τῶν οὐσιῶν ἀλλὰ καὶ τῶν καθ' αὑτὰ συμβεβηκότων αὐταῖς
ὁ πρῶτος φιλόσοφος ἐπιστήμων ἐστίν, ἐζήτησε τρόπον τινὰ καὶ εἰ περὶ 35
20 ταὐτοῦ καὶ ὁμοίου καὶ ἴσου καὶ τῶν ἀντικειμένων τούτοις διαλήψεται· ταῦτα γὰρ ἦν τὰ καθ' αὑτὸ συμβεβηκότα τῷ ὄντι ᾗ ὄν. τὸ δὲ ἑκκαιδέκατον, ὅτι πανταχοῦ συγχωρήσας τὰ μὲν εἶναι | φθαρτὰ τῶν ὄντων τὰ δὲ ἀΐδια, 865a
εἶχεν ἐξ ἀνάγκης ἑπόμενον τὸ τὰς μὲν τῶν ἀρχῶν κινεῖσθαι τὰς δὲ εἶναι ἀκινήτους· δῆλον δὲ ποτέρας ποτέρων· ὅτι γὰρ ἀμφοῖν οὐχ αἱ αὐταί,
25 μετρίως ἐπέστησε. ταῖς δὲ λοιπαῖς δέκα πέντε προσθεὶς τὸ ἐν τῇ ἐξεργασίᾳ τῶν προβλημάτων τέταρτον ἐπὶ δέκα τὸ πρὸς τὰς ἰδέας ἐνι|στάμενον, τὰ 865b
πάντα δέκα καὶ ἓξ εἰς γυμνασίαν προήγαγε λογικήν. ὧν τὰ μὲν ἐν τῷ Γ 6
διαίτης ἀξιώσει, τὰ δὲ ἐν τῷ Z H Θ I, τὰ πλεῖστα δὲ ἐν τῷ Λ. πρὸς δὲ τὰς ἰδέας καὶ τοὺς ἀριθμοὺς ἐν τοῖς τελευταίοις δύο βιβλίοις, τῷ τε M
30 καὶ τῷ N, διαλεχθῆναι πειράσεται.

2 e. g. Us. explet ὅλως οὐδὲν λείπεται γνωστόν, εἴτε γιγνώσκονται 7 ἀΐδιον] nempe αἴτιον 12 Alex. 336,26 25 ἐξαργασία C 26 ἐπὶ δέκα τὸ Us.: ἐπὶ δεκάτῳ C 29 τε Us.: γε C 30 subscr. rubr. in C † ἐγράφη τὰ εἰς τὸ $\overline{\gamma}$ τῶν μετὰ τὰ φυσικὰ τοῦ συριανοῦ. ὁμοῦ μετὰ τῆς ἐξηγήσεως τοῦ ἀλε(ξάνδρου)· ταύτη ὁμοίως κείμενα ἐν τοῖς περὶ τὸ κείμενον: † sequitur commentarius in libros M et N

ΣΥΡΙΑΝΟΥ ΤΟΥ ΦΙΛΟΞΕΝΟΥ

ΕΙΣ ΤΟ Γ ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ ΕΦΟΔΟΣ.

Ὑφηγηματικὸν μέν ἐστι τοῦτο τὸ βιβλίον καὶ οὐχ ὥσπερ τὸ πρὸ αὐτοῦ 865ᵃ
ἀπορητικόν. λύει δὲ ἐν αὐτῷ πολλὰ τῶν προβλημάτων· καὶ γὰρ ὅτι τὰ
5 αἴτια μιᾶς ⟨ἐστὶν ἐπιστήμης εἰδέναι τῆς⟩ τοῦ ὄντος ᾗ ὄν, καὶ ὅτι τῆς αὐτῆς
τὰς πάσας οὐσίας ἐπεσκέφθαι καὶ τὰ καθ' αὑτὰ ταῖς οὐσίαις ὑπάρχοντα, 10
καὶ ὅτι καὶ περὶ τὰς ἀρχὰς ἔχει τὰς ἀποδεικτικὰς ὁ πρῶτος φιλόσοφος,
ἐν τούτοις ἀναδιδάσκει. διαλέξεται δὲ καὶ περὶ τοῦ κατὰ τὴν ἀντίφασιν
ἀξιώματος ὡς πρωτίστου ὄντος καὶ συνεκτικωτάτου πάντων τῶν ἀποδεικνυ-
10 μένων ἐν ταῖς ἐπιστήμαις, εἰ [δὲ] καὶ αὐτὸ ἀποδεικτὸν ἦν, ἢ καὶ εἰ ἔχει 15
τινὰ πίστιν ἀποδείξεως κρείττονα. ⟨ταῦτα⟩ πειράσεται μὲν ἐν ταύτῃ παρα-
δοῦναι τῇ βίβλῳ, ἣν ἡμεῖς ἱκανῶς ὑπὸ τοῦ φιλοπονωτάτου σαφηνισθεῖσαν
Ἀλεξάνδρου πᾶσαν μὲν οὐκ ἐξηγησόμεθα· εἰ δέ που ἡμῖν δοκοίη λέγειν τι
πραγματειῶδες ἢ ἐξετάσεως πειρασόμεθα κατ' ἐκεῖνο βασανίζειν τὸ μέρος,
15 τὰ ἄλλα πάντα τοῦ συνεχοῦς ἕνεκα τῆς πραγματείας παραφράζοντες. 20

p. 1003ᵃ22 Ἔστιν . . . τῶν ἄλλων ἡ αὐτή.

Ὅτι μὲν εἰ ἔστι τις αὕτη ἐπιστήμη, οὐδεμιᾷ τῶν ἄλλων ἐστὶν ἡ αὐτή,
καὶ ὁ φιλόσοφος ὑπέμνησεν εἰπὼν οὐδεμία . . . συμβεβηκός· καὶ ἡ ἐπα- 25
γωγικὴ πίστις ἀπὸ τῶν μαθημάτων, γεωμετρίας ἀστρολογίας ἀριθμητικῆς.
20 ἀλλὰ τίς ἀνάγκη τοιαύτην εἶναι ἐπιστήμην, ἥτις παντός ἐστι τοῦ ὄντος ᾗ
ὄν; ἢ μάλιστα μέν, ὡς εἴωθε πολλαχοῦ ποιεῖν, ὃ μέλλει δεικνύναι προανα-
φωνεῖ, μετ' ὀλίγα δὲ σαφῶς δείξει, τοῦτο αὐτὸ λαβὼν ὅτι καὶ εἰ μὴ συνω-
νύμως τὸ ὂν κατὰ πάντων λέγεται, ἀλλ' οὖν οὐδὲ ὁμωνύμως, ἀλλ' ἔοικε 30

---

5 μιᾶς ἐστιν ἐπιστήμης εἰδέναι τοῦ Us. 10 δὲ seclusi, δὴ Us. ἀποδεικτικὸν C: corr. Us. 11 ταῦτα add. Us. 14. 15 ἄξιον ἐξετάσεως Us. qui etiam ἐξ ἐπιστάσεως proponit; fort. ἐξετάζειν π. καὶ ἐκεῖνο 18 an ἔστι τοιαύτη? 19 ἐπειπὼν Us. 21 τοιαύτην Us.: τὸ ταύτην C

τοῖς ἀφ' ἑνὸς καὶ πρὸς ἕν. προσθεὶς δὲ ὅτι τούτων μία ἐπιστήμη. ἔπειτα δὲ καὶ ἀπὸ τῶν προκαταβεβλημένων αὐτῷ λόγων τοῦτο συναγάγοις ἄν. 866 εἰ γὰρ τοῦ μάλιστα ὄντος ἡ μάλιστα γνῶσις, καὶ ὅσῳ τιμιότητι διαφέρει τι, τοσούτῳ καὶ ἀληθείᾳ καὶ γνώσεως ἐναργείᾳ, ὡς ἐν τῷ ἐλάττονι τῶν ἃ λέλεκται, εἴη ἂν καὶ τοῦ ὄντος ᾗ ὄν ἐπιστήμη τις, καὶ οὐ μόνον γε ἀλλὰ καὶ ἡ καλλίστη καὶ ἀρίστη τῶν ἐπιστημῶν. οὐ γάρ ἐστι σεμνότερον τοῦ ὄντος οὐδέν· εἴτε γάρ ἐστί τι ὂν οὐκ ἄλλο τι ὄν, οἷον νοῦς ἢ ψυχὴ ἢ οὐρανὸς ἢ κόσμος, ὃ μόνως ὄν ἐστιν αὐτοὸν ὑπάρχον, δηλονότι πάντων ἐστὶ τῶν ἄλλων σεμνότερον, αὐτὸ μὲν οὐ δεόμενον τοῦ εἶναι κόσμος ἢ οὐρανὸς ἢ ψυχή, τῶν δὲ ἄλλων ἁπάντων τὸ εἶναι παρ' αὐτοῦ κομιζομένων· εἴτε [τι] τὸ ὂν ἀνάγκη τι τούτων εἶναι, ἀλλ' οὖν καθὸ ὂν τιμιώτερον ἔσται ἢ καθὸ ἄλλ' ὁτιοῦν. πανταχοῦ γὰρ τὸ ὂν καὶ ἡ οὐσία τὰ πρωτεῖα φέρεται, καὶ ἡ ἑστία τοῦ πράγματος αὕτη. πῶς ἂν οὖν ἢ τοῦτο ἄγνωστον μένοι, πάντων ὂν ἄριστον τῶν ὅπως ποτὲ ὄντων, ἢ περὶ ἄλλο τι ἂν σχοίη ἥ γε ἀληθινὴ φιλοσοφία; ἡ γὰρ πρώτη τῶν ἐπιστημῶν τοῦ πρώτου καὶ ἡ ἀρίστη τοῦ ἀρίστου καὶ ἡ ὅλη τοῦ ὅλου δικαίως ἂν εἶναι νομισθείη. τί δέ; οὐ τἀγαθὸν καὶ τοῦ ὄντος ἐπέκεινα; πῶς οὖν οὐχ ἡ πρωτίστη τῶν ἐπιστημῶν περὶ τἀγαθόν; καθάπερ ὁ Πλάτων ἐν Πολιτείᾳ δοκεῖ λέγειν "ἐπεὶ ὅτι γε ἡ τοῦ ἀγαθοῦ ἰδέα μέγιστον μάθημα, πολλάκις ἀκήκοας ἡ καὶ δίκαια καὶ τὰ ἄλλα προσχρησάμενα χρήσιμα καὶ ὠφέλιμα γίγνεται" ἢ μάλιστα μὲν οὐχ ἕτερον τἀγαθὸν τοῦ ὄντος κατ' Ἀριστοτέλην· τὸ γὰρ πρώτιστον αὐτῷ καὶ ὂν καὶ τἀγαθόν, ὡς ἐν τῷ Ν σαφῶς παραδίδωσιν· ὅθεν καὶ ἐν τοῖς Φυσικοῖς εἰς ταὐτὸν ἄγει τῷ εἴδει τὸ τέλος· ἥκει γὰρ τὸ μὲν εἶδος ἐκ τοῦ ὄντος, τὸ δὲ τέλος ἐκ τοῦ ἀγαθοῦ. ὥστε καὶ οὕτως ἡ πρωτίστη καὶ ἀρίστη τῶν | ἐπιστημῶν περὶ τὸ ὂν ᾗ ὄν διατρίψει κατ' αὐτὸν Ἀριστοτέλην. 866a ἔπειτα δὲ καὶ παρ' οἷς ἐξῄρηται τοῦ ὄντος τἀγαθόν. ἄγνωστόν ἐστι καὶ ὑπὲρ πᾶσαν ἐπιστήμην, ὡς ἐν Παρμενίδῃ σαφῶς ὁ Πλάτων βοᾷ· τὰ δὲ ἐκ τῆς Πολιτείας παρατεθέντα περὶ τῆς ἰδέας τῆς τἀγαθοῦ μᾶλλον διαλέγεται, ἥτις ἐν τοῖς οὖσιν ἐνορᾶται καὶ σὺν τοῖς οὖσι. σύζυγος οὖν πάλιν ἡ πρωτίστη τῶν ἐπιστημῶν τῷ ὄντι ᾗ ὄν καὶ κατὰ τοὺς θεωρητικωτέρους τῶν φιλοσόφων. καὶ τοῦτο μὲν οὐκ ἂν ἄλλως ἔχοι, καὶ αὐτοῦ γε τοῦ Πλάτωνος ἐν τῇ κατατομῇ τῆς ἐν Πολιτείᾳ γραμμῆς ἱκανῶς ἡμῖν αὐτὸ σαφηνίσαντος. εἰ δὲ μὴ μόνον τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ καὶ τῶν καθ' αὑτὰ συμβεβηκότων αὐτῷ εἴη [ἂν] ἡ σοφία γνῶσις, ἵνα καὶ τὸ ἀγαθὸν τὸ ἐν αὐτῷ γιγνώσκῃ καὶ ὅλως τελέαν αὐτοῦ γνῶσιν ἔχῃ, εἴη ἂν καὶ ἀποδεικτική τις, μᾶλλον δὲ ἡ σύμπασα ἀποδεικτική, σύμπασα δὲ οὐχ ἡ ἐκ τῶν μεριωτέρων συντεθεῖσα, ἀλλ' ἡ πρὸ τῶν μερῶν ὅλη· διὸ καὶ τὰς ἀρχὰς τῆς ἀποδείξεως ταῖς ἄλλαις χορηγεῖ. ἀνιοῦσα μὲν οὖν δι' ἀποδείξεως τὰ καθ'

---

4 Ar. met. α 1 p. 993b28 5 post γε ἐπιστήμη addendum putat Us. 7 inter ὄν et οὐκ δὲν est in C 8 ὃ μόνως scripsi: ὅμως C 11 τι del. Us. 18 Plat. VI 505a 19 καὶ ante δίκαια om. Plat. cod. A 22 Ar. metaph. N 4 23 phys. II 7 27 Pl. Parm. 141e sq. 28 ἀγαθοῦ C: corr. Bonitz 31 Pl. resp. VI 509d sqq. 34 ἂν del. Us.

αὐτὰ τοῖς οὖσιν ὑπάρχοντα θεωρεῖ, δι' ὧν ἐπὶ τὴν ἰδιότητα τοῦ ὄντος 866a
ἀνατρέχει. ἄνω δὲ λοιπὸν στᾶσα κατὰ φύσιν ποιεῖται τὴν πρόοδον, διαι-
ρετικῇ μὲν καὶ διοριστικῇ τὰς οὐσίας διαιροῦσα τῶν πραγμάτων, ἀποδεικτικῇ
δὲ τὰ καθ' αὑτὰ ὑπάρχοντα. ζητήσει τοίνυν αὕτη καὶ τὰς πρωτίστας καὶ 20
5 ἀκροτάτας αἰτίας, αἳ οὔκ εἰσι τῶν ἐν ὑποκειμένῳ ἀλλ' αὐτῶν τῶν οὐσιῶν,
αἳ πεφύκασιν ἑαυτῶν εἶναι καὶ καθ' αὑτὰς εἶναι. μήποτε δὲ καὶ οἱ πρε-
σβύτεροι τῶν φιλοσόφων τὰ στοιχεῖα ζητοῦντες τῶν ὄντων τοιαύτας ἀρχὰς
ἠβούλοντο θεωρῆσαι, αἳ οὐ τῶν συμβεβηκότων ἦσαν (ταὐτὸν γὰρ ⟨ἡ⟩ κατὰ 25
συμβεβηκὸς ἀρχὴ καὶ ἡ τῶν συμβεβηκότων ἀρχή), ἀλλὰ τῶν καθ' αὑτὰ
10 καὶ τῶν καθ' αὑτὰς εἶναι δυναμένων οὐσιῶν. ἐκεῖνοι μὲν οὖν εἴτε κεκρα-
τήκασι τῆς προθέσεως εἴτε μή, παρείσθω λέγειν τὰ νῦν· ἑαυτῷ δέ φησιν
ὁ Ἀριστοτέλης ἀναγκαῖον εἶναι τοιαύτας αἰτίας ἐπιζητεῖν. 30

Ὅτι μὲν οὖν οὐ συνωνύμως κατηγορεῖται τὸ ὂν τῶν ὄντων ἁπάντων
οὐδέ ἐστιν ἰσότιμα τὰ ὄντα ᾗ ὄντα, καὶ ἐν ἄλλοις ἔδειξε καὶ νῦν συγχωρεῖ.
15 οὐ μὴν οὐδ' ἁπλῶς ὁμώνυμά φησι τὰ ὄντα, ἀλλ' εἰ καὶ πολλαχῶς λέγεται
τὸ ὄν, ἀλλ' οὖν ὡς πρὸς ἓν καὶ τὴν τῆς οὐσίας ἀναφερόμενον μίαν φύσιν.
ὥσπερ γὰρ οὐ συνωνύμως μὲν τὸ ὑγιεινὸν κατὰ τοῦ γυμνασίου καὶ τοῦ 35
σιτίου καὶ τοῦ χρώματος καὶ τοῦ σώματος, πρὸς ἓν δὲ καὶ ἀφ' ἑνὸς τῆς
ὑγιείας (τὸ μὲν γὰρ ὡς φυλακτικὸν αὐτῆς, τὸ δὲ ὡς ποιητικόν, τὸ δὲ ὡς
20 σημεῖον, τὸ δὲ σῶμα ὡς δεκτικὸν αὐτῆς ὑγιεινὸν λέγεται), καὶ ἰατρικὸν
παιδίον τὸ μὲν λέγεται τῷ μεμαθηκέναι καὶ ἔχειν τὴν ἰατρικήν, τὸ δὲ τῷ
εὐφυὲς εἶναι πρὸς μάθησιν, ἤδη δὲ καὶ ἰατρικὸν κέκληται τὸ ἀπὸ τῆς 40
ἰατρικῆς ἐπιτελεσθέν, καὶ οὔτε συνωνύμως οὔθ' ὁμωνύμως κατὰ | τού- 866b
των τὸ ἰατρικόν, ἀλλὰ πρὸς ἓν καὶ δὴ ἀφ' ἑνός· οὕτω καὶ ἐπὶ ἄλλων
25 πολλῶν, οἷον τοῦ ἀγαθοῦ· καὶ γὰρ ὁ θεὸς καὶ ὁ καιρὸς ἀγαθὸν καὶ ⟨ἡ⟩
ἀρετὴ ἀγαθὸν καὶ τὸ εἶδος. οὕτω δὲ καὶ ἐπὶ τοῦ ὄντος· πολλαχῶς μὲν
γὰρ καὶ τοῦτο λέγεται καὶ οὐ συνωνύμως κατηγορεῖται τῶν πραγμάτων, 5
πρὸς δὲ τὴν οὐσίαν ἀναφέρεται πάντα καὶ ταύτης ἕνεκα λέγεται ὄντα· κυρίως
μὲν γὰρ ὂν ἡ οὐσία καὶ πρώτως καὶ μάλιστα. ἤδη δὲ καὶ τὰ πάθη ταύτης
30 ὄντα προσείπομεν, οἷον θερμότητας ψύξεις ⟨ξηρότητας⟩ ὑγρότητας καὶ πᾶν
τὸ τοιοῦτον γένος. οὐ μὴν ἀλλὰ καὶ τὰς γενέσεις οἷον ὁδούς τινας εἰς
οὐσίαν ἀγούσας θεωρήσαντες ὄντα προσείπομεν, καὶ οὐ τὰς γενέσεις μόνας, 10
ἀλλὰ καὶ τὰς φθοράς, ὅτι δὴ καὶ αὗται οὐσιῶν εἰσι φθοραί· καὶ πηρώσεις
δὲ καὶ κωφότητας ὄντα προσείπομεν, ὅτι περὶ τὴν οὐσίαν στερητικῶς ἐπι-
35 γιγνόμεναι θεωροῦνται· τά τε ποιητικὰ τῶν οὐσιῶν, οἷον τὰς ἐνεργείας τῶν
ποιητικῶν οὐσιῶν ὄντα καλοῦμεν· ὁμοίως δὲ καὶ τὰ ποιητά, οἷον αἰσθό- 15
μενοι κατά τινα σῆψιν ὑγροῦ ζῴων γεννηθέντων καὶ ταῦτα τῶν ὄντων ἔφα-

2. 3 διαιρετικὴ et διοριστικὴ et ἀποδεικτικὴ C 5 τῶν οὐσιῶν repetit C 8 ἡ addidi
13 cf. Alex. 241,9 16 ὡς Us.: ὦ C 20 σῶμα abesse potest 21 τῷ Brandis:
τὸ C τὸ δὲ τῷ Brandis: τῷ δὲ τὸ C 24 ἓν δὴ καὶ coni. Us. 25 ἡ add. Us.
30 προείπομεν Ca: corr. Cb ξηρότητας add. Us. 35 nempe ἐνεργείας τὰς ποιητικὰς
36. 37 αἰσθόμενοι scripsi dubitanter: ἐκθέμ et supra μ duae litterae quarum prior ους vel
η, altera ς esse videtur; ἐκθέμενοι descripsit Brandis (quamquam μ lineam subiunctam non
habet neque οι supra scriptum est), unde ⟨περὶ τῶν⟩ κατά τινα Us. 37 τινας ἢ ψιν
ὑγροῦ C cf. 937a30 Us. γεννηθέντων Ca: corr. Cb

μεν εἶναι· κἂν ποιότητος δέ τι ποιητικὸν ἢ γεννητικὸν ἢ, τῆς τοῦ ὄντος 866b
ἀξιοῦμεν αὐτὸ προσηγορίας, ἐπειδὴ πάντα τὰ συμβεβηκότα πρὸς τὴν οὐσίαν
λέγεται, κἂν σχέσεως μόνης, ἐπειδὴ τὰ πρός τι ταῖς οὐσίαις παραφύεται.
πάντα οὖν πρὸς τὴν οὐσίαν ἀναφέροντες ὄντα προσαγορεύομεν. καὶ τί 20
5 θαυμαστόν, ὅπου καὶ τὰς τῶν συμβεβηκότων ἀποφάσεις καὶ τὰς αὐτῆς τῆς
οὐσίας εἶναί φαμεν; ἔστι γάρ πως καὶ τὸ μὴ λευκὸν καὶ τὸ οὐκ ἄνθρωπος.
οὗ δὴ καὶ θαυμαστή τις καὶ δαιμονία τῷ ὄντι τῆς οὐσίας ἡ δύναμις ἀνα-
φαίνεται· εἰ γὰρ καὶ τοῖς οἷον ἀντικειμένοις αὐτῇ τοῦ εἶναι μεταδίδωσι, 25
πῶς οὐχὶ πάντα τοῦ ὄντος πληροῖ καὶ πᾶσιν ἀφθόνως τὴν παρ' αὐτῆς
10 ὀρέγει βοήθειαν; καθάπερ οὖν τἀγαθὸν καὶ τῶν λεγομένων κακῶν αἴτιον
καὶ τὸ φῶς τοῦ σκότους, οὕτω καὶ ἡ οὐσία τοῦ καὶ τὸ μὴ ὂν εἶναί πως
αἰτία· ὅταν γοῦν λέγωμεν τὸ μὴ ὂν εἶναι μὴ ὄν, ἀληθεύομεν τὸ εἶναι
κατηγοροῦντες αὐτοῦ. τί οὖν ἔτι θαυμαστόν, εἰ πάντων τῶν ὄντων πρὸς 30
ἓν λεγομένων τὴν οὐσίαν, μίαν εἶναί φαμεν ἐπιστήμην παντὸς τοῦ ὄντος
15 ᾗ ὄν; ὡς γὰρ τῶν ὑγιεινῶν ἁπάντων πρὸς ἓν τὴν ὑγίειαν λεγομένων μία
ἐπιστήμη, οὕτω καὶ τῶν ὄντων ἁπάντων μία ἐστὶν ἐπιστήμη· οὐ γὰρ ἐφ'
οἷς μία τέτακταί τις ἐπιστήμη, ταῦτα πάντῃ καὶ πάντως ἐστὶ συνώνυμα, 35
ἀλλὰ καὶ τῶν πρὸς ἓν λεγομένων μία γίγνεται θεωρία· καὶ γὰρ εἰ μεταξὺ
ταῦτα τῶν τε ὁμωνύμων καὶ τῶν συνωνύμων, ἀλλὰ μᾶλλον ἀποκλίνει πρὸς
20 τὰ συνώνυμα. δῆλον οὖν ὅτι καὶ τὰ ὄντα μιᾶς ἐπιστήμης θεωρεῖν ᾗ ἐστιν
ὄντα.

Οὐ μὴν ἐπειδὴ πάντα τὰ ὄντα θεωρεῖ, ἐπίσης ἑαυτὴν ἀπονέμει τοῖς 40
πᾶσιν, ἀλλὰ μᾶλλον διατρίψει περὶ τὰ πρώτως ὄντα οἷον καὶ περὶ τὰς
οὐσίας, ἐξ ὧν καὶ ἤρτηται τἆλλα | καὶ τῆς τοῦ ὄντος προσηγορίας ἠξίωται. 867a
25 ὀρθῶς ἄρα καὶ ταῦτ' εἴπομεν ἐν τοῖς πεπροοιμιασμένοις, ὅτι τὰ αἴτια τῆς
οὐσίας ὁ φιλόσοφος ἔχειν ἐθέλει. καὶ δὴ τριῶν τούτων εἰρημένων ἐν τοῖς
προοιμίοις, ὅτι περὶ πᾶν ἔχει τὸ ὂν ᾗ ὂν ὁ σοφός, καὶ ὅτι περὶ τὰ καθ' 5
αὑτὸ συμβεβηκότα τῷ ὄντι, καὶ ὅτι τῶν τῆς οὐσίας αἰτίων ἐστὶ θεωρός,
τὸ μὲν πρῶτον ἀπεδείξαμεν ἤδη, τὸ ὂν οὐχ ὁμωνύμως εὑρόντες λεγόμενον,
30 ἀλλὰ πᾶν πρὸς μίαν φύσιν τὴν τῆς οὐσίας· τὸ δὲ τρίτον δι' ὧν περὶ τὴν
οὐσίαν ἔφαμεν αὐτὸν μάλιστα σπουδάζειν, ἣν ἑλεῖν οὐκ ἔστι μὴ πάντα τὰ
αἴτια ταύτης ἐπισκεψάμενον. λείπεται δὲ συστῆσαι καὶ τὸ δεύτερον, ὅπερ 10
ὅσον οὐδέπω ποιήσομεν, ταῦτα προσειληφότες, ὅτι τὸ ὁμοειδὲς ὑποκείμενον,
ὃ νῦν κέκληκε γένος, εἰ μὲν αἰσθητὸν εἴη, μιᾷ τῶν αἰσθήσεων συζυγεῖ,
35 ὡς τὰ χρώματα τῇ ὄψει καὶ οἱ χυμοὶ τῇ γεύσει καὶ οἱ ψόφοι τῇ ἀκοῇ·
εἰ δὲ ἐπιστητόν, μιᾷ γίγνεται πάλιν ἐπιστήμῃ περιληπτόν· πάσας γὰρ 15
φωνὰς ὁ γραμματικὸς ἐπισκέψεται καὶ πάντα τὰ σχήματα ὁ γεωμέτρης ⟨καὶ⟩
πάσας τὰς ἁρμονίας ὁ μουσικός. οὕτως οὖν πάσας τὰς οὐσίας ὁ φιλόσοφος,

---

4 τί Us.: τὸ C 6 fort. καὶ ὁ οὐκ 8 εἰ ex ἐὰν C 9 αὐτῆς C
11 τὸ μὴ scripsi: τοῦ μὴ C 16. 17 nempe οὐ γὰρ μόνον ἐφ' οἷς cf. Ar. 1003b12 20 cf. Ar. 1003b15 25 cf. p. 2,6 31 ἔστιν ἢ πάντα C: corr. Us. 33 malim προειληφότες 37 καὶ add. Us. 38 οὐσίας Us. αἰτίας C

καὶ εἰ τῶν οὐσιῶν αἱ μὲν πρὸς τῷ ἀίδιοι εἶναι νοηταί τέ εἰσι καὶ ἀκίνητοι, 867ᵃ
αἱ δὲ ἀίδιοι μὲν κινηταὶ δέ, αἱ δὲ γιγνόμεναι καὶ φθειρόμεναι. καίτοι 20
δόξειεν ἂν πάλιν μηδεὶς περὶ πᾶσαν ἔχειν κατηγορίαν. οὔτε γὰρ ὁ γεω-
μέτρης περὶ πᾶσαν ποιότητα οὔθ' ὁ ἀριθμητικὸς περὶ πᾶν τὸ ποσὸν οὔθ'
5 ὁ ἁρμονικὸς περὶ πᾶν τὸ πρός τι, ἀλλὰ περὶ ἓν εἶδος ἕκαστος αὐτῶν τῶν
ὑπό τινα τῶν κατηγοριῶν ἀναγομένων. αἴτιον δ' ὅτι μηδεὶς αὐτῶν περὶ
ποιὸν ἔχει ᾗ ποιὸν μηδὲ περὶ ποσὸν ᾗ ποσὸν μηδὲ περὶ ἄλλο τι τῶν γενι- 25
κωτάτων ᾗ τοιοῦτον· εἰ γὰρ εἶχε περί τι τοιοῦτον, πᾶσα ἦν ἀνάγκη περὶ
τὴν ὅλην αὐτὸν πραγματεύεσθαι κατηγορίαν. ἢ οὖν ἀπογνῶναι δεῖ, ὅτι
10 ἔστι τις ἐπιστήμη περὶ τὴν οὐσίαν καθό ἐστιν οὐσία σπουδάζουσα, ἢ ἕως
ἂν τοῦτο συγχωρῆται, περὶ πᾶσαν αὐτὴν οὐσίαν διατρίβειν ὁμολογήσομεν. 30
οὐ μὴν ἀλλ' ὥσπερ ἡ μία φιλοσοφία καὶ ὅλη περὶ πάσας ἕξει, οὕτω καὶ
τὰ εἴδη αὐτῆς περὶ τὰ εἴδη τῶν οὐσιῶν. ἔσται οὖν ἡ μὲν πρώτη φιλοσοφία
περὶ τὴν νοητὴν οὐσίαν, ἡ δὲ περὶ οὐρανὸν πραγματευομένη περὶ τὴν ἀίδιον
15 μὲν κινουμένην δέ, ἡ δὲ περὶ τὴν ἐν γενέσει καὶ φθορᾷ. ἔξεστι δὲ καὶ 35
δύο τὰς μερικωτέρας ποιεῖν, τὴν μὲν πρώτην ὀνομάζοντα φιλοσοφίαν, τὴν
δὲ φυσικήν, ὅση περὶ τὸ κινούμενον φθαρτόν τε καὶ ἀίδιον· ὅπως γὰρ ἂν
τὰς οὐσίας διέλωμεν, οὕτω καὶ τὰς γνώσεις αὐτῶν ἀνὰ τὸν αὐτὸν λόγον
διαιρήσομεν. ἀποδείκνυται οὖν καὶ ἄλλο τι νῦν τῶν ἐν τῷ δευτέρῳ βιβλίῳ
20 διαπορηθέντων· ἠπορεῖτο δὲ ἐκεῖ πότερον μία τις ἐπιστήμη περὶ πάσας 40
ἕξει τὰς οὐσίας, ἢ ἄλλη περὶ ἄλλην· ἀναπέφηνε δὲ νῦν, ὅτι ἡ μὲν ὅλη
φιλοσοφία περὶ | πάσας, τὰ δὲ εἴδη αὐτῆς ἕκαστον περὶ μίαν. 867ᵇ

p. 1003ᵇ22 Εἰ δὴ τὸ ὂν καὶ τὸ ἓν τὸ αὐτὸ καὶ μία φύσις.

Βούλεται μὲν ἐντεῦθεν κατασκευάσαι, ὅτι καὶ τὰ καθ' αὑτὰ τῇ οὐσίᾳ
25 συμβαίνοντα τῆς μιᾶς ἐστι καὶ ὅλης φιλοσοφίας θεωρεῖν· μεταχειρίζεται
δὲ τὴν ἀπόδειξιν οὕτω. τὸ ὂν καὶ τὸ ἓν μία φύσις· ὥστε εἰ ὁ φιλόσοφος 5
τὸ ὂν ᾗ ὂν ἐπισκέπτεται, καὶ τὸ ἓν ᾗ ἓν θεωρήσει. ἀλλὰ μὴν τοῦ αὐτοῦ
τὰ ἀντικείμενα θεωρεῖν· θεωρήσει ἄρα καὶ τὰ πολλὰ ὡς τῷ ἑνὶ
ἀντικείμενα. εἰ δὲ τὸ ἓν καὶ τὰ πολλὰ ἐπισκέψεται, πᾶσα δὲ ἐναντίωσις
30 ὑπὸ ταῦτα πίπτει (ταὐτὸ γὰρ καὶ ὅμοιον καὶ ἴσον ἕν πώς ἐστι, θάτερον 10
δὲ καὶ ἀνόμοιον καὶ ἄνισον δυὰς καὶ πλῆθος), καὶ πάντα ἂν τὰ οὕτως
ἀντικείμενα θεωρήσειε· ταῦτα δέ ἐστι τὰ καθ' αὑτὰ ὑπάρχοντα τῇ οὐσίᾳ·
πρώτως τε γὰρ αὐτῇ ὑπάρχει καὶ πάσῃ· ὥστε καὶ τὰ καθ' αὑτὰ ταῖς
οὐσίαις ὑπάρχοντα τοῦ φιλοσόφου γιγνώσκειν ἐστί. τοιαύτης δὲ τῆς μετα-
35 χειρίσεως τοῦ λόγου γεγενημένης, τὸ μὲν τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ ὄντι 15
ἀντικεῖσθαι πρὸς ἄλληλα καὶ τὸ τὰ ἀντικείμενα πάντα [τὸ] ὑπὸ τὸ ἓν ἀνά-
γεσθαι καὶ τὰ πολλά, ταῦτα δὲ μιᾶς εἶναι γνωρίζειν ἐπιστήμης, εὐπαρα-
δεκτότερα τέως ἐστί· καὶ γὰρ ὃ δοκεῖ τούτων εἶναι βιαιότατον, τὸ πάντα
τὰ ἀντικείμενα ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος ἀνάγεσθαι, πολλὴν μὲν καὶ ἐξ 20

---

1 πρὸς τὸ ἀίδιοις εἶναι C: corr. Us. 4 ἀριθμητικὸς Us.: γραμματικὸς C 10. 11 fort. ἢ ἐὰν τοῦτο 11 αὐτὴν τὴν Us. 15 an ἡ δὲ ἐσχάτη? 19 Ar. metaph. B 995ᵇ11. 997ᵃ15 cf. Alex. 246,13 36 τὸ secl. Brandis

ὧν εἶπεν αὐτὸς ἔχει παραμυθίαν. πλείστης δὲ παρρησίας ἐκ τῶν δύο συστοι- 867b
χιῶν τῶν παρὰ τοῖς Πυθαγορείοις μετείληφε.

Τὸ μέντοι τὸ ἓν καὶ τὸ ὂν ταὐτὸν εἶναι καὶ μίαν ἄμφω φύσιν, ὡς τὴν ἀρχὴν καὶ τὸ αἴτιον, καὶ τὸ ἀμερὲς καὶ τὸ ἐλάχιστον, καὶ τἆλλα ὧν αἱ μὲν ἐπιβολαὶ καὶ οἱ λόγοι διάφοροι, τὸ δὲ ὑποκείμενον ἕν, [καὶ] τοῦτο 25 πολλὴν ἀπορίαν ἔχει καὶ παρὰ τοῖς τὰ πράγματα δυναμένοις ὁρᾶν καὶ παρὰ τοῖς τὴν ὁμολογίαν αὐτοῦ [πρὸς] τὴν πρὸς ἑαυτὸν διαφυλάττειν θέλουσιν. οἱ μὲν γὰρ ἴσως ἀξιοῦσι τοῦ ἑνὸς ὄντος ἡνωμένου τὴν ἕνωσιν ἀλλαχόθεν ἥκειν αὐτῷ, καὶ δῆλον ὡς ἀπὸ τοῦ ὑπὲρ οὐσίαν ἑνός, ὃ τοῦ μὲν εἶναι μηδὲν 30 αὐτὸ προσδεῖται, ἓν δὲ καθαρῶς ὂν πᾶσιν ἑνώσεως μεταδίδωσιν, ἧς ἄνευ συστῆναι τὴν ἀρχὴν ἢ συστάντα διαμένειν ἀδυνατεῖ τὰ πράγματα· ὥστε συνοχικὴν αὐτοῖς ταύτην ἐφίστησι καὶ προυρητικὴν δύναμιν ἡ τοῦ πρὸ πάντων ἑνὸς ἀγαθότης. οἱ δὲ διὰ τί φήσουσι τὸ ἓν καὶ τὸ ὂν ταὐτὸν εἶναι; ἆρα διὰ τοῦτο, ὅτι ἓν μὲν καὶ [ὁ] ἄνθρωπος οὐκ ἀεὶ ἄρα, ἀλλ' ὅπου μὲν 35 ἄνθρωπος, καὶ ἕν, ὅπου δὲ ἕν, οὐ πάντως ἄνθρωπος οὐδ' ἥλιος οὐδὲ κόσμος οὐδὲ νοῦς· ὅπου δὲ ὂν ἐκεῖ καὶ ἕν, καὶ ὅπου ἕν, ἐκεῖ καὶ ὄν; ἀλλὰ πρῶτον μὲν οὐδὲ τοῦτο συγκεχώρηται· τὸ γὰρ ἓν καὶ ὑπὲρ τὸ μὴ ὂν καὶ σὺν τῷ ὄντι καὶ ἐπὶ τάδε τοῦ ὄντος, ὡς ἐπὶ τῆς ὕλης καὶ τῆς στερήσεως· ὅμως δὲ τίς ἀνάγκη συνόντα αὐτὰ μὴ ἔχειν πρὸς ἄλληλα διαφορὰν τὴν τοῦ 40 προτέρου καὶ ὑστέρου; πῶς δὲ ⟨εἰ ἓν⟩ ἔσται ἡ οὐσία, οὐχὶ καὶ | ἀριθμὸς 868a
ἔσται οὐσία, καὶ ταῦτα ὁ ἐν τοῖς ἀριθμητοῖς; εἰ γὰρ ὁ Σωκράτης καὶ ἓν καὶ ὂν καθ' αὑτό, καὶ σὺν Πλάτωνι καὶ δύο καὶ ὄντα καθ' αὑτά, καὶ οὕτως ἐφεξῆς. ὥσπερ οὖν αἱ οὐσίαι πλείους γιγνόμεναι οὐ μεταπίπτουσιν εἰς συμβεβηκότα, ἀλλ' εἰσὶ πάλιν [αἱ] οὐσίαι, οὕτω καὶ τὸ ἓν ἑκάστοις ἓν συντι- 5 θέμενον ἀριθμὸν οὐσιώδη ποιήσει· εἰ γὰρ τοῖς δέκα ἀνθρώποις ὁ μὲν ἀριθμὸς συμβέβηκεν, αἱ δὲ οὐσίαι αἱ δέκα οὐ συμβεβήκασιν ἀλλ' εἰσὶν αὐτῶν οὐσίαι, καὶ τῷ ἑνὶ τὸ μὲν ἓν ἔσται συμβεβηκός, τὸ δὲ αὐτὸ οὐσιῶδες· οὐκ ἄρα οὐδ' ἐν Σωκράτει ταὐτὸν ἦν τὸ ὂν τῷ ἑνί, εἴ γε τὸ μὲν συντεθειμένον καὶ πεπολλαπλασιασμένον ὂν μόνον καὶ οὐσία, τὸ δὲ προϊὸν ἀριθμὸς 10 ἀνούσιος ἀναφαίνεται. κατ' ἄλλην δὲ αὖθις ἐπιβολήν, εἰ ταὐτὸν τὸ ἓν τῷ ὄντι κατὰ τὸ ὑποκείμενον, καὶ τὸ ἀντικείμενον τῷ ὄντι τὸ μὴ ὂν τῷ ἀντικειμένῳ τῷ ἑνὶ ταὐτὸν ἔσται· οὐκ ὂν ἄρα τὰ πολλά· ἀλλὰ μὴν καὶ ὄντα· οὐκ ὂν ἄρα τὰ ὄντα. εἰ δέ τις τῇ καταλήξει τῶν φωνῶν ἐπερειδόμενος 15 ὁμόσε χωροῖη λέγων τὰ ὄντα οὐκ ὂν εἶναι, μηδὲ γὰρ εἶναι ὂν ἀλλὰ [τὰ] ὄντα, σοφίζεσθαι ἡμᾶς ἐπιχειρήσει· οὐ γὰρ ὅτι πολλαπλάσιά ἐστι τὰ πολλὰ

---

3 cf. Alex. 247,8 sqq. (qui etiam ἐπιβολή l. 12) 5 καὶ del. Us. 7 πρὸς del. Brandis 8 ἑνός: debebatne ὄντος? 9 ὑπὲρ οὐσίαν scripsi: ὑπερουσία C 14 ὁ del. Us. 16 ὂν prius e corr. C¹ 17 dele μὴ; unum est supra ὄν et cum ὄντι et infra ὄν 18 nempe ὅλως 20 εἰ ἓν inserui, sim. Brandis (ἔσται abesse mavult Diels): πῶς δ' εἰ ἔσται ἓν οὐσία Us. 24 αἱ delevi, ἀεὶ Us. 27 αὐτὸ: nonne requiritur ὄν? 28 ταυτὸν ἢ αὐτὸ ὂν τῷ ἓν εἴ γε C, corr. Us. (nisi quod αὐτοῦ τὸ ὄν) 32 τὸ πολλὰ C 34 τὰ delevi, τινὰ Us.; ἀλλ' ἄττα Diels 35 σοφίζεσθαι ἡμᾶς Kalbfleisch: σοφίζετο δ' ἡμᾶς C

τοῦ ἑνὸς ὄντος οὐκ ὂν λέγεται, ἀλλ' ὅτι τοῦ ὄντος ἐστὶ στέρησις. ἢ πρὸς 868ᵃ
μὲν τοῦτο φαίη τις ἂν ὑπὲρ Ἀριστοτέλους, ὅτι ἀλλ' οὐδὲ τὰ πολλὰ τοῦ
ἑνὸς ἐστέρηται τέλεον, ἀλλ' ἔστιν αὐτοῦ πρόοδος· ἐὰν δὲ στερήσῃς αὐτὰ 20
τοῦ ἑνός, πάντῃ τέλεον οἴχεται τὸ ὂν ἀποδρὰν πρὸς τὸ μὴ ὂν καὶ τὴν τοῦ
5 μηδαμῇ μηδαμῶς ὄντος ἀχανίαν. ἐγὼ δὲ βουλοίμην μὲν ἂν αὐτοὺς ταῦτα
καὶ λέγειν καὶ φρονεῖν· ἔστι γάρ πως Πυθαγορικώτερα καὶ Πλατωνικώτερα
τῷ τε Παρμενίδῃ φίλων φίλτατα, καὶ ἅμα εἰς ἔννοιαν ἄγει πως, ὡς πάντα 25
τῷ ἑνὶ καὶ ἔστι καὶ σώζεται. προσανακρίνω δὲ πάλιν, πότερον τὸν ἕνα
ἄνθρωπον οἴονται σεμνότερον εἶναι ἢ τοὺς δέκα ἀνθρώπους· εἰ μὲν γὰρ
10 τὸν ἕνα ἄνθρωπον, πῶς δεκαπλασιασθὲν τὸ τίμιον τοῦ πράγματος οὐ σεμνότε-
ρον γέγονεν; εἰ δὲ τοὺς δέκα ἀνθρώπους, πῶς ἐστι τὸ μὲν ἓν εἶδος καὶ
ὄν, τὰ δὲ πολλὰ στέρησις καὶ μὴ ὄν; εἰ δὲ τοὺς δέκα ἀνθρώπους κατὰ 30
μὲν τὸν ἀριθμὸν λείπεσθαι φαῖεν τοῦ ἑνὸς ἀνθρώπου, κατὰ δὲ τὸ οὐσιῶδες
τὸ ἐν τῷ ἀνθρώπῳ πλεονεκτεῖν, οὐκ ἦν ταὐτὸν ἐν τῷ ἑνὶ ἀνθρώπῳ τὸ
15 ὂν αὐτοῦ καὶ τὸ ἕν· οὐ γὰρ ἂν τὸ μὲν πολλαπλασιαζόμενον ἐγίνετο σεμνότε-
ρον, τὸ δὲ ἀτιμότερον.

Πάλιν εἰ μὴ ὡς στέρησις τὰ πολλὰ τῷ ἑνί, μᾶλλον δὲ κατὰ τὰ πρός 35
τι ἀντίκειται, καθὰ καὶ αὐτὸς ἐν τῷ I τῆσδε τῆς πραγματείας ἐνέκρινεν,
ἀνάγκη καὶ τοὺς ἀνθρώπους τῷ ἀνθρώπῳ τοῦτον ἀντικεῖσθαι τὸν τρόπον·
20 ἀλλὰ μὴν οὐδὲν ἐκ τῶν ἀντικειμένων ἑαυτῷ σύγκειται, οὔτ' ἄρα οἱ ἄνθρω-
ποι τῷ ἀνθρώπῳ ἀντίκεινται, οὔτε τοιοῦτον τὸ ἕν, ἐξ ὧν σύγκειται τὰ 40
πολλά, τοῖς πολλοῖς. ἔτι ὁ μὲν ἄνθρωπος ᾗ ἄνθρωπος καὶ τὸ ὂν ᾗ ὂν
τῶν ἀνθρώπων καὶ τῶν ὄντων οὐ διαφέρουσι, τὸ δὲ ἓν ᾗ ἓν τῶν πολλῶν
διαφέρει ᾗ πολλά· οὐκ ἄρα ταὐτόν ἐστιν | αὐτῷ ἑνί τε εἶναι καὶ ὄντι· 868ᵇ
25 ἄλλο ἄρα τὸ ἓν καὶ ἄλλο τὸ ὄν, καὶ εἰ συνυπάρχει τῷ ὄντι τὸ ἕν, ἐπεὶ
μηδὲν ἄνευ τοῦ ἑνὸς εἶναι δύναται.

Ἀλλὰ ταῦτα μὲν ἠπορήσθω διὰ τὴν διδασκαλίαν τοῦ δαιμονίου τοῦδε
ἀνδρὸς τὸ διάφωνον ἔχουσαν ἐνιαχοῦ διὰ τὸ ἐγείρεσθαί τε ἅμα πρὸς τὴν 5
πρεσβυτέραν φιλοσοφίαν καὶ ἐποπτικωτέραν, καὶ φυλάττειν τὰ παρὰ τοῖς
30 πολλοῖς διὰ συνήθειαν εὐδοκιμώτερα. καὶ γὰρ νῦν ὁρμήσας ἀνυμνῆσαι τὸ
ἓν Πυθαγορείως τε καὶ Πλατωνικῶς καὶ οὐσιῶδές τε αὐτὸ εἰπὼν καὶ ἡγε-
μονίαν αὐτῷ δεδωκὼς τῆς ἀμείνονος τῶν συστοιχιῶν, ὅμως διὰ τὸ τῆς
ἐξῃρημένης ἁπάντων τῶν ὄντων φύσεως αὐτοῦ μὴ κατακρατῆσαι τὴν πρὸς 10
ἑαυτὸν ἔσχεν ἐναντίωσιν· μόνου γὰρ τοῦ ὑπὲρ τὰ ὄντα ἐστὶ τὸ ὑπερέχειν
35 τοῦ πλήθους, ἐπεὶ τοῦ συντεταγμένου τοῖς οὖσιν ἑνὸς εἰ μὴ κατ' ἄλλο
λείποιτο τὰ πολλά, πῶς ἂν εἴη τοῦ ἑνὸς ἀτιμότερα, εἰ μήτε τίκτεται παρ'
αὐτοῦ μήτε τῶν ἐν αὐτοῖς ἕκαστον ἐκείνου δεύτερόν ἐστιν; ἴωμεν δὲ καὶ 15
ἐπὶ τὰ ἑξῆς.

4 dele πάντῃ aut scr. πάντῃ λοιπὸν ἀποδράντα C: corr. Brandis 7 ὡς πάντα C²: πάντα ὡς (ὡς suprascr.) C¹; fort. del. πως 8 an προανακρίνω? 18 Ar. met. I 6. 1056ᵇ32 21 fort. del. τὸ 30 διὰ repetit C 32 τῆς suprascr. C 36 λείποι τὸ τὰ C

Ἀρέσκει τοίνυν αὐτῷ ταὐτὸν εἶναι τῷ ὑποκειμένῳ ὂν καὶ ἕν, καὶ εἰ 868ᵇ
οἱ λόγοι αὐτῶν ἕτεροι εἶεν· εἰ δέ τις καὶ τὸν αὐτὸν λόγον ἀμφοτέροις ἀπο-
διδοίη, οὔ φησι διοίσεσθαι, μᾶλλον γὰρ αὐτοῦ συνδραμεῖσθαι τοῦτο τῇ ὅλῃ
προθέσει· τὰ γὰρ ὑπὸ τὸ ἓν ἐπὶ πλέον δειχθήσεται προσήκοντα τῷ φιλο- 20
5 σόφῳ ἅτε περὶ τὸ ὂν ᾗ ὄν στρεφομένῳ. τίνες οὖν αἱ κατασκευαὶ τοῦ
ταὐτὸν εἶναι τὸ ἓν καὶ τὸ ὄν; πρῶτον μὲν ὅτι καὶ τὸ ἄνθρωπος καὶ τὸ
εἷς ἄνθρωπος καὶ τὸ ὢν ἄνθρωπος ταὐτὸν δηλοῖ, κἂν εἴπω δὲ εἷς ὢν ἄνθρω-
πος, οὐχ ἕτερον δηλῶ (τὸ γὰρ ἀναδιπλωθὲν κἂν ἀνατριπλωθῇ ταὐτὸν
σημαίνει), δεύτερον δὲ ὅτι ἡ ἑκάστου οὐσία οὐκ ἔστιν ἓν ⟨κατὰ⟩ συμβεβηκός, 25
10 ἀλλ' ὥσπερ ὅπερ ὄν τι, οὕτω καὶ ὅπερ ἕν τι· ὥστε ὁσαχῶς τὸ ἕν, τοσαυ-
ταχῶς καὶ τὸ ὄν, εἴπερ ἄμφω ταὐτόν, * * * τὰς οὐσίας ἐπισκεπτόμενος
καὶ πάντα τὰ ὄντα ὁ φιλόσοφος τὰς διαφορὰς τοῦ ἑνὸς ἐπισκέψεται. δια-
φοραὶ δὲ τοῦ ἑνὸς καὶ ὥσπερ εἴδη τὸ ταὐτὸν τὸ ὅμοιον τὸ ἴσον τὸ εὐθὺ
καὶ ὅλως ⟨ἡ⟩ ἀμείνων συστοιχία, ὥσπερ ἡ καταδεεστέρα τῶν πολλῶν ἐστιν 30
15 ἀκόλουθος. ἐπραγματεύσατο δὲ τοῦτο ἰδίᾳ καὶ αὐτὸς οὗτος ὁ φιλόσοφος
ἐκλογὴν πάντων ποιησάμενος τῶν ἐναντίων καὶ ὑποτάξας τὰ μὲν τῷ ἑνί,
τὰ δὲ τοῖς πολλοῖς. εἰ τοίνυν περί τε τὰς οὐσίας καὶ περὶ τὰς τοῦ ἑνὸς
καὶ τῶν πολλῶν ἕξει διαφορὰς ἡ ὅλη φιλοσοφία, καὶ τὰ μέρη αὐτῆς περὶ 35
τὰ εἴδη τῶν οὐσιῶν διατρίψει· τῶν δὲ οὐσιῶν ἡ μὲν νοητή τε καὶ ἀίδιος,
20 ἡ δὲ αἰσθητή τε καὶ φθαρτή· ὥστε ἡ μὲν ἔσται πρώτη φιλοσοφία ἡ περὶ
τὴν νοητήν τε καὶ ἀκίνητον οὐσίαν στρεφομένη, ἡ δὲ ταύτης ἐχομένη καὶ
δευτέρα ἡ περὶ τὴν φύσιν διατρίβουσα. ὥσπερ γὰρ τὸ ὂν καὶ τὸ ἓν εἴδη
ἔχει, τὸ μὲν πρῶτον τὰ δὲ ἐφεξῆς, οὕτω καὶ αἱ ἐπιστῆμαι τοῖς οὖσιν ἀνά- 40
λογον ταχθήσονται. ἔχει γὰρ ἡ φιλοσοφία τὸ πρότερον ἐν ἑαυτῇ καὶ τὸ
25 ὕστερον, ὥσπερ καὶ ἡ μαθηματική· καθάπερ οὖν πρότερος μὲν | ὁ ἀρι- 869ᵃ
θμητικὸς τοῦ γεωμέτρου, πάλιν δὲ οὗτος τοῦ ἀστρονόμου καὶ οὗτος εἰ τύχοι
τοῦ μηχανικοῦ, οὕτω καὶ τὰ εἴδη τῆς ὅλης φιλοσοφίας τῷ πρώτῳ καὶ
μέσῳ καὶ τελευταίῳ διακεκόσμηται.

Μιᾶς δὲ ἀντικείμενα πάντως ἀλλήλοις θεωρούσης δεῖ τὴν τὸ ἓν
30 εἰδυῖαν καὶ τὰ πολλὰ εἰδέναι· τὰ γὰρ πολλὰ ἤτοι ἀπόφασις τοῦ ἑνὸς ἢ 5
στέρησις. διαφέρουσι δὲ ἀλλήλων αἱ ἀντιθέσεις αὗται, ὅτι ἡ μὲν ἀπόφασις
ἐπὶ πάντων ἀληθεύει τῶν παρὰ τὸ ἓν ἐκεῖνο τὸ ἀναιρούμενον· τὸ γὰρ οὐχ
ἵππος ἐπὶ πάντων ἀληθὲς τῶν παρὰ τὸν ἵππον, ἡ δὲ στέρησις οὐχ οὕτως·
οὐ γὰρ ἁπλῶς ἀπούσης τῆς ἕξεως ⟨ἔννοιαν⟩ παρίστησιν ἡ στέρησις (οὐ γὰρ 10
35 τυφλὸς ὁ μὴ ἔχων ὄψιν, ἐπεὶ καὶ λίθος ἂν ἦν τυφλός), ἀλλ' ἀπούσης τοῦ
πεφυκότος αὐτὴν δέχεσθαι· κωφὸν οὖν οὐχὶ πᾶν ὃ μὴ ἀκούει, ἀλλὰ τὸ
οὗ ἐὰν μὴ ἀκούῃ, ὅτι πέφυκεν ἀκούειν· δεῖ γὰρ ὑποκεῖσθαι μίαν φύσιν

---

2 ἀμφοτέρως C: corr. Us. 5 τίνος C: corr. Us. 9 ἑκάστη C: corr. Brandis. κατὰ add. Brandis ex Ar. 1003ᵇ33 10 ὅν τι ... ἕν τι Us.: ἕν τι .... ὅν τι C 11 aliquid deesse velut δι' οὖν ταῦτα vidit Us. 14 ἡ add. Us. 15 de hoc delectu non plus scit S. quam apud Ar. legit; cf. fr. 118 sqq. Rose 23 τὰ δὲ Us.: τὸ δὲ C 29 ἀντικείμενα C: corr. Us. 33 cf. Alex. 253,25 34 ἀπούσης Us.: ἀπάσης C ἔννοιαν add. Us.

τῇ ἕξει καὶ τῇ στερήσει. καὶ διαφορὰ μὲν αὕτη μεγίστη στερήσεως καὶ 869a
ἀποφάσεως. εἴτε μέντοι στέρησίς ἐστι τοῦ ἑνὸς τὰ πολλὰ εἴτε ἀπόφασις, 15
ἐπειδὴ δι' ἑκατέρας ἔστι τὸ ἓν θεωρῆσαι, τοῦ αὐτοῦ ἐστι τό τε ἓν εἰδέναι
καὶ τὰ πολλά· καὶ γὰρ ὅλως τὰ καθ' οἱανοῦν ἀντίθεσιν ἀλλήλοις ἀντικεί-
5 μενα μιᾶς ἐστιν ἐπιστήμης εἰδέναι. εἰ δὲ ὁ φιλόσοφος τό τε ἓν εἴσεται
καὶ τὰ πολλά, οὐ μόνον τὸ ταὐτὸν καὶ ἴσον καὶ ὅμοιον ἐπισκέψεται δια- 20
φορὰς ὄντα τοῦ ἑνός, ἀλλὰ καὶ τὰ τούτοις ἀντικείμενα, τὸ ἕτερον τὸ ἀνό-
μοιον τὸ ἄνισον, ἅπερ ὑπὸ τὸ πλῆθος ἀνάγεται, καὶ οὐ μόνα γε ταῦτα
ἀλλὰ καὶ ὅσα διὰ τούτων ὑπὸ τὸ ἓν καὶ τὰ πολλὰ τάττεται· καὶ γὰρ τὸ
10 λευκὸν καὶ ⟨τὸ⟩ μέλαν καὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ πᾶν τὸ τοιοῦτον
γένος ὑπὸ τὰ πρώτιστα τῶν ἀντικειμένων τέτακται, ὡς μὲν ἐγὼ νομίζω, 25
τὸ γλυκὺ καὶ τὸ λευκὸν καὶ πᾶν ⟨τὸ⟩ τῷ εἴδει συγγενέστερον ὑπὸ τὸ ἕν,
τὸ δὲ πικρὸν καὶ μέλαν καὶ πᾶν τὸ εἰς τὴν στέρησιν ὑποφερόμενον ὑπὸ
τὰ πολλά· ὡς δὲ ὁ Ἀλέξανδρος ἐξηγεῖται, τὰ μὲν διακριτικὰ [θερμὸν γλυκὺ
15 λευκὸν] ὑπὸ τὰ πολλά, τὰ δὲ τούτοις ἀντίθετα ὑπὸ τὸ ἕν. καὶ τὴν ἐναν- 30
τίωσιν δὲ αὐτὴν ἀνάξομεν ἐπὶ τὰ πολλά, τὴν δὲ φιλίαν ὑπὸ τὸ ἕν· δια-
φορὰ γάρ τις, φησίν, ἡ ἐναντίωσις, ἡ δὲ διαφορὰ ἑτερότης. εὖ
γε σὺ πάντα ταῦτα λέγων ὦ ἄριστε· τί οὖν οὐχὶ καὶ τὸ ἓν καὶ τὴν
ἀόριστον δυάδα παρελαμβάνομεν ἐν ταῖς ἀρχαῖς; τί δὲ τῇ Ἐμπεδοκλέους
20 φιλίᾳ καὶ τῷ νείκει διεμαχόμεθα; τὰ γὰρ αὐτὰ νῦν πράγματα καὶ τὰς αὐτὰς 35
δυνάμεις δι' ἑτέρων ὀνομάτων εἰς τὰς ἀρχὰς εἰσάγομεν, τοῦ μὲν ἑνὸς οὐδ'
ὑπαλλάξαντες τοὔνομα, τὴν δὲ ἀόριστον δυάδα πολλὰ μετονομάσαντες.
ταῦτα μὲν οὖν ὑπέρευ. ἐπειδὴ δὲ τὰς ἀρχὰς ἐξῃρῆσθαι δεῖ τούτων ὧν
εἰσιν ἀρχαί, ἔστω σοι τὸ ἓν καὶ τὸ πλῆθος τοῦ κατὰ μέθεξιν ἑνὸς καὶ τῶνδε
25 τῶν πολλῶν ἐξῃρημένα, καὶ οὕτω τά τε πράγματα σεμνότερα θεασόμεθα 869b
καὶ ἡμεῖς ἡμῖν αὐτοῖς οὐ διαφωνήσομεν. ταῦτα μὲν καὶ εἰσαῦθις, εἰ δοκεῖ.

Τέως δὲ δείξας ἡμῖν, ὅτι μιᾶς ἐπιστήμης τὰ ὄντα πάντα καὶ τὰ ὑπὸ
τὸ ἓν καὶ τὰ πολλὰ ἀναγόμενα θεωρεῖν, λύει τινὰ ἔνστασιν τὴν ἀποροῦσαν, 5
πῶς ἐπεὶ πολλαχῶς τὸ ἓν καὶ τὸ ὄν, ὑπὸ μίαν ἐπιστήμην. ὁ δέ φησιν
30 ὅτι πρὸς ἓν λέγεται. ὥσπερ οὖν τὰ ὑγιεινὰ μιᾶς, οὕτω καὶ ταῦτα μιᾶς·
πρὸς γὰρ τὴν οὐσίαν ἅπαντα τὰ ὄντα καὶ πρὸς τὸ πρώτως ἓν ἀναφέρεται.
οὕτω δὲ καὶ τὸ ταὐτὸν εἰ διαφορὰς ἔχει, πᾶσαι πρὸς τὸ πρώτως ταὐτὸν
ταχθήσονται, τοῦτο δέ ἐστι τὸ τῇ οὐσίᾳ ταὐτόν· οὕτω καὶ τὸ ἕτερον καὶ 10
τὸ ὅμοιον καὶ ἀνόμοιον. δεῖ οὖν διελομένους, ποσαχῶς ἕκαστον τούτων
35 λέγεται, εἴτε δεκαχῶς † ἐπειδὴ παντὶ τῷ ὄντι ὑπάρχει εἴτε κατ' ἄλλον
ἀριθμόν, τὸ ἐν ἑκάστῃ κατηγορίᾳ συντάττειν τῷ ἐν τῇ οὐσίᾳ ταὐτῷ καὶ
ὁμοίῳ καὶ ἑτέρῳ καὶ ἀνομοίῳ· τὰ μὲν γὰρ τῷ ἐκεῖνο τὸ πρῶτον ἔχειν 15

---

8 post ἀνάγεται ἀλλὰ Ca: del. Cb 10 τὸ add. Us. (idem addens v. 13)
12 τὸ addidi 14 Alex. 254,10 14. 15 del. Us.; Alexandro συγκριτικά sunt
λευκόν et γλυκύ 15. 16 ἐναντιότης Ar. 17 δὲ Ar.: γὰρ C 22 ὑπαλ-
ξαντες C 24 τοῦ scripsi: οὐ C 27 ὑπὸ scripsi: ἐπὶ C 30 ἓν Brandis:
ἕνα C μία . . . μία C: corr. Brandis 31 nempe πρώτως ὄν
34 διελομένοις C: corr. Us. 35 ἐπειδὴ delendum puto, ἐκεῖνο Us. 36 ἐν
ἑκάστῃ Us.: ἓν ἑκάστῃ C

αὐτά, τὰ δὲ τῷ ἐκεῖνο τὸ πρῶτον ποιεῖν αὐτά (ἔχει γὰρ ἡ οὐσία καὶ ποιεῖ 869b
ταῦτα ἃ λέγεται εἶναι), τὰ δὲ καὶ κατ' ἄλλους τρόπους· ἤτοι γὰρ σχέσιν
ἔχει πρὸς οὐσίαν ἢ πάθος αὐτῆς ἐστιν ἢ τι τοιοῦτο. λέγεται οὖν κἀκείνη
ἡ ἀπορία, τίνος ἔστι διαλαβεῖν περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ἴσου καὶ ἀνίσου
5 καὶ ὅλως πάντων τῶν καθ' αὑτὰ ταῖς οὐσίαις ὑπαρχόντων· δῆλον γὰρ ἐκ 20
τῶν εἰρημένων ὅτι τοῦ φιλοσόφου· καὶ γὰρ εἰ μὴ οὗτος, τίς ἐστιν ὁ σὺν
ἀποδείξει λέγων εἴτε ταὐτὸν Σωκράτης ⟨καὶ Σωκράτης⟩ φιλοσοφῶν εἴθ'
ἕτερον, εἴτε πῇ μὲν ταὐτὸν πῇ δὲ ἕτερον· ἢ εἰ δυνατὸν ἑνὶ πολλὰ εἶναι
ἐναντία ἢ ἀδύνατον ἀλλ' ἀνάγκη ἓν ἑνί. ἐπεὶ οὖν οὐχὶ τῶν ἀριθμῶν ἢ 25
10 τῶν σχημάτων ταῦτα πάθη, ἀλλὰ τοῦ ὄντος ᾗ ὄν, φανερὸν ὅτι τῆς πρώτης
ἐστὶ φιλοσοφίας ἡ περὶ ταῦτα σχολή· καὶ οὐ διὰ τοῦτο κακίσειεν ἄν τις
τοὺς σοφιστάς, ὅτι περὶ ταῦτα στρέφονται, ἀλλ' ὅτι μηδὲν περὶ οὐσίας ἐπαί-
οντες περὶ ταῦτα σὺν ἀμαθίᾳ πολλῇ διατρίβουσιν. ἔδει δὲ εἰδέναι ὅτι
ὥσπερ ἀριθμοῦ πάθη ἐστὶν ἴδια τὸ ἄρτιον καὶ περιττὸν καὶ κατὰ τὴν πρὸς 30
15 ἀλλήλους παραβολὴν πολλαπλάσιον, ὑποπολλαπλάσιον καὶ ὅλως αἱ δέκα
σχέσεις αἱ ὑπὸ τὴν ὑπεροχὴν καὶ ἔλλειψιν, ὁμοίως δὲ καὶ τῷ στερεῷ
σώματι τῷ τε ὑπὸ τῶν γεωμετρῶν κατανοουμένῳ καὶ ἀκινήτῳ, καὶ τῷ
φυσικῷ καὶ κινητῷ, καὶ τῶν κινουμένων τῷ τε ἀβαρεῖ καὶ οὐρανίῳ καὶ 35
τῷ ἐνύλῳ καὶ βάρος ἔχοντι ἢ κουφότητα, οὕτω δὴ καὶ τῷ ὄντι καθὸ ὄν
20 καθ' αὑτά τινα συμβέβηκε, περὶ ὧν οὐδὲν εἰπεῖν ὑγιὲς ὁ μὴ ἐπεσκεμμένος
δυνήσεται. μόνος οὖν ὁ φιλόσοφος περὶ αὐτῶν ἀξιόχρεως διισχυρίσασθαι·
ὑποδυόμενοι δὲ οἱ διαλεκτικοί τε καὶ σοφισταὶ προσποιοῦνται μὲν καὶ αὐτοὶ
περὶ πάντων τῶν ὄντων διαλέγεσθαι, ἀπολιμπάνονται δὲ αὐτοῦ τε | καὶ 870a
τῆς ἀληθείας, οἱ μὲν διὰ τὸ μὴ ἔχειν αὐτοῦ τὴν ἐπιστήμην ἀλλ' ἐνδόξως 41
25 ἐπιχειρεῖν περὶ ὧν ὁ φιλόσοφος ἀποδείκνυσιν, οἱ δὲ καὶ προαιρέσει μοχθηρὰ
χρώμενοι. σχεδὸν γὰρ ὑπεναντία τοῖς φιλοσόφοις σπουδάζουσιν· οἱ μὲν
γὰρ τῆς τῶν προσιόντων ταῖς ἀκροάσεσι σωτηρίας στοχάζονται, οἱ δὲ 5
πρὸς ἀπάτην ὁρῶσι καὶ τὸ παρὰ τῶν διαστραφέντων χρηματίσασθαι. ἡ
δὲ διαλεκτικὴ βελτίονα μὲν ἔχει τῆς σοφιστικῆς προαίρεσιν καὶ φιλόσοφον
30 ἔχει τὴν γνῶσιν, εἰ καὶ τῶν συνόντων πειραστικός ἐστιν ὁ διαλεκτικός,
οὐ διδασκαλικός, ὥσπερ ὁ φιλόσοφος. ὁ δέ γε σοφιστὴς εἴδωλόν ἐστιν
εἰδώλου· τὴν γὰρ πειραστικὴν μιμεῖται, οὐδ' αὐτὸ τοῦτο δυνάμενος ποιεῖν. 10

Δείξας οὖν ὁ Ἀριστοτέλης ⟨ἐκ τῆς σοφιστικῆς⟩ κἀκ τῆς διαλεκτικῆς
κατὰ μίμησιν τῆς φιλοσοφίας περὶ πάντα τὰ ὄντα ἐχουσῶν, ὅτι ἡ φιλο-
35 σοφία παντὸς τοῦ ὄντος ᾗ ὄν ἐστι γνωστική, χρῆται καὶ ἄλλῳ τινὶ τοιῷδε
ἐπιχειρήματι· πάντες οἵ τε φυσικοὶ καὶ οἱ τούτων ὑπερτέραν θεωρίαν φιλο- 15
φρονούμενοι τὰς ἀρχὰς τοῦ ὄντος ἐναντίας ποιοῦσιν. εἶτα τὰς δόξας παρα-
τίθεται τῶν πρεσβυτέρων· οἱ μὲν γὰρ Πυθαγόρειοι περιττὸν καὶ ἄρτιον,

---

2 ἤτοι Us.: ὅτι C 7 εἴγε C καὶ Σωκράτης ex Ar. add. Us. 14 το περιττὸν Us. 15 cf. Nicom. arithm. I 17 Iambl. in Nic. 37,1 20 μὴ suprascr. C² 22 post σοφισταὶ τὸν φιλόσοφον inseruit Us. 30 εἰ addidi (καίτοι Us.) 33 add. Brandis 38 cf. Alex. 262,4

Παρμενίδης δὲ πῦρ καὶ γῆν. Πλάτων πέρας καὶ ἄπειρον, Ἐμπεδοκλῆς φιλίαν 870a
καὶ νεῖκος· πάντα δὲ ταῦτα καὶ τὰ ἄλλα τὰ ἐναντία εἰς τὸ ἓν καὶ τὸ πλῆ- 20
θος ἀνάγεται· ταῦτα δὲ μιᾶς ἐπιστήμης θεωρῆσαι· ὥστε περὶ πάντα ὁ
τελέως φιλόσοφος, εἴτε συνωνύμως τὸ ἓν καὶ τὸ ὂν κατὰ πάντων τῶν ὄντων
λέγεται, εἴτε, ὅπερ ἐστὶ μᾶλλον ἀληθέστερον, τῶν πολλαχῶς μέν ἐστι λεγο-
μένων, ὡς πρὸς ἓν δὲ καὶ μίαν φύσιν ἀνάγεται τά τε ὑπὸ τὸ ἓν καὶ τὰ
ὑπὸ τὰ πολλά. καὶ οὕτως οὔτε χωριστὸν τὸ ἓν τῶν πάντων ὑποτιθέμεθα 25
εἶναι οὔτε ὁμωνύμως αὐτό φαμεν κατηγορεῖσθαι τῶν πραγμάτων, καὶ ὅλως
ὑπὸ μίαν ἐπιστήμην τὰ πάντα τοῦ ἑνὸς καὶ τοῦ ὄντος ἀνάγομεν πάθη.
τὰ μὲν γὰρ πρὸς ἓν λέγεται, τὰ δὲ τῷ ἐφεξῆς, ὡς οἱ ἀριθμοὶ καὶ τὰ σχή-
ματα· οὐ γὰρ τοῦ γεωμέτρου περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ τελείου διαλαβεῖν, 30
ἀλλὰ κἂν ὀνομάσῃ ποτὲ ὅμοια τρίγωνα, ἐξ ὑποθέσεως αὐτὰ λαμβάνει καὶ
ὁρισμοῦ· ὑποθέμενος γὰρ ὅτι ὅμοιά ἐστι τρίγωνα τὰ ὑπὸ τὰς ἴσας γωνίας
τὰς πλευρὰς ἔχοντα ἀνάλογον, οὕτως ἀποδείκνυσι τάδε τὰ τρίγωνα ὅμοια·
εἴτε δὲ χρὴ τὰ τοιαῦτα ὅμοια καλεῖν εἴτε μή, λέγειν οὐκ ἔχει.

Συμπέρασμα δὴ τούτοις ἐπιτίθησι, δι' οὗ τῆς αὐτῆς ἐπιστήμης εἶναί 35
φησι καὶ πᾶν τὸ ὂν ᾗ ὂν θεωρεῖν καὶ τὰ καθ' αὑτὰ τούτου πάθη· καὶ
προστίθησιν ὅτι καὶ περὶ τοῦ προτέρου καὶ ὑστέρου καὶ περὶ γένους καὶ
εἴδους καὶ ὅλου καὶ μέρους ἡ αὐτὴ γνώσεται· πάντα γὰρ ταῦτα ἀντίκειται
ἀλλήλοις, τὰ δὲ ἀντικείμενα πάντα τῷ ἑνὶ καὶ τοῖς πολλοῖς περιείληπται, 40
περὶ ἃ δέδεικται προηγουμένως ἔχων ὁ φιλόσοφος. ῥητέον οὖν πάλιν πρὸς
αὐτόν, ὡς εἰ τὸ παρὰ τὸ ἓν θάτερον δηλοῖ τῶν ἐναντίων, δεῖ τι πρὸ πάσης
ἐναντιώσεως ἕτερον ἓν εἶναι. οὐ πάντα μεθέξει καὶ τὰ τῆς ἑτέρας συστοιχίας,
ὃ πάντων | ἔσται ἀρχή. δεῖ γὰρ μὴ ἀπὸ διαιρέσεως ἄρχεσθαι τὰς ἀρχὰς 870b
ἀλλ' ἀπὸ τοῦ ἑνός, ἐπειδή, ὡς εὖ φῄς, οὐκ ἀγαθὸν πολυκοιρανίη.
καὶ γὰρ δὴ καὶ τῶν Πυθαγορείων ἀμείνους οἱ μὴ ἀπὸ τῶν ἀντικειμένων
ἀρξάμενοι. προτάξαντες δὲ τῶν δυεῖν στοιχείων ἓν τὸ πάντων ἐξῃρημένον 5
αἴτιον, ᾧ μήτε τι ἀντίκειται μήθ' ὅλως ἰσοσθενὲς εἶναι βούλεται. καὶ περὶ
μὲν τούτων τοσαῦτα καὶ νῦν.

Ἐντεῦθεν δὲ ἤδη ὁ Ἀριστοτέλης μέτεισιν ἐπὶ τὸ ζητεῖν, εἰ τὰς τῆς
ἀποδείξεως ἀρχὰς ὥσπερ τὰς τῆς οὐσίας ὁ φιλόσοφος ἐπιγνώσεται· καὶ
διαρρήδην ἀποφαίνεται τῷ φιλοσόφῳ τὴν τούτων προσήκειν ἐπίσκεψιν. αἱ 10
δὲ κατασκευαὶ τοιαῦται· παντὸς τοῦ ὄντος δι' αὐτῶν ἀποδείκνυται τὰ καθ'
αὑτὰ συμβεβηκότα. ὥστε ὁ ταῦτα δεικνὺς ἕξει τι πλέον εἰπεῖν περὶ αὐτῶν.
ὥσπερ γὰρ εἰ τὰ τοῖς ἀριθμοῖς ὑπάρχοντα μόνα δι' αὐτῶν ἐγνωρίζομεν,
ἀριθμητικῆς ἦν ⟨ἂν⟩ ἡ τούτων θεωρία, ἢ εἰ τὰ τοῖς μεγέθεσι καὶ σχήμασι, 15
γεωμετρίας, οὕτως ἐπειδὴ τὰ τῷ ὄντι παντὶ καθ' αὑτὰ ὑπάρχοντα δείκνυται
δι' αὐτῶν, ὁ περὶ πᾶν τὸ ὂν ᾗ ὂν ἔχων περὶ αὐτῶν διαλήψεται· καὶ γὰρ
μόνος καθολικώτερον αὐτοῖς χρῆται, ἐπεὶ αἱ ἄλλαι τέχναι ἅτε περὶ τὶ ὂν
ἔχουσαι καὶ οὐ περὶ πᾶν τὸ ὄν, τὸ πρόσφορον ἑαυταῖς ἀποδιαλαβοῦσαι δι'

---

7 χωριστὸν scripsi: χωρὶς C 8 συνωνύμως C: corr. Us. ὅμως C: corr. Us.
12 αὐτὰ scripsi: αὐτὸ C 13 cf. Alex. 264,11 16 δὴ C 22 δεῖ τι
Us.: δεῖται C 25 met. Λ extr. 34 ὁ Us.: ὡς C¹ e corr. 36 ἂν add. Us.

αὐτοῦ συλλογίζονται, ὁ μὲν γεωμέτρης· τὰ τῷ αὐτῷ μεγέθει ἴσα καὶ 870ᵇ
ἀλλήλοις ἐστὶν ἴσα, ὁ δὲ ἀριθμητικός· ἐὰν ἀπὸ ἴσων ἀριθμῶν ἴσους ἀφέ- 21
λῃς, οἱ λειπόμενοι ἴσοι. καὶ ἐξ ὧν δὲ μηδεὶς τῶν μαθηματικῶν ἢ τῶν
ἄλλων τεχνιτῶν ἐπιχειρεῖ λέγειν περὶ αὐτῶν, λάβοις ἂν ὅτι τῷ φιλοσόφῳ
5 μόνῳ πρέπουσά ἐστιν ἡ περὶ αὐτῶν σκέψις. εἰ δὲ καὶ οἱ περὶ φύσιν δεινοὶ 25
λέγουσί τι πολλάκις περὶ αὐτῶν, ἐξαπατῶντες ἑαυτούς· οἰόμενοι γὰρ μόνα
εἶναι τὰ σώματα καὶ αὐτοὶ περὶ πᾶν τὸ ὂν ἔχειν οὕτω τι λέγουσι περὶ
τῶν ἀξιωμάτων· οὓς ὑπομνήσομεν ὅτι φιλόσοφοι μέν εἰσι καὶ αὐτοὶ περὶ
τὴν φυσικὴν οὐσίαν διατρίβοντες, οὐ μὴν οἱ πρῶτοι.

10 Εἰ δέ τινες ἄλλοι περὶ τῆς τῶν ἀξιωμάτων ἀληθείας ἐπιχειροῦντες 30
λέγειν ἀποδείξεις αὐτῶν προχειρίζονται, δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν
αὐτὸ ποιοῦσι· δεῖ γὰρ οὐ ζητεῖν τὸν ὁτιοῦν μαθησόμενον τὰ ἀξιώματα,
ἀλλ' ἥκειν αὐτὰ προειληφότα. εἰ δὲ καὶ οἱ ἄλλοι τεχνῖται τὰς βεβαιοτάτας
ἀρχὰς ἴσασι τοῦ γένους περὶ ὃ στρέφονται, πολλῷ δὴ πλέον ἀναγκαῖόν 35
15 ἐστι τῷ φιλοσόφῳ πάντων τῶν ἀξιωμάτων τὰ βεβαιότατα καὶ ἀρχηγικώτατα
κατανενοηκέναι. βεβαιότατον δ' ἐστὶ περὶ ὃ ἀπατηθῆναι οὐχ οἷόν τε, καὶ
ἀρχηγικώτατον εἰς ὃ πάντα ἀναλύεται ὡς εἰς ἀνυπόθετον· ἡ γὰρ ὑπόθεσις
ἀρχὴ μὲν ὡς πρὸς τόδε, ἁπλῶς δὲ οὐκ ἀρχὴ ἀλλ' ἀποδεικτὴ τῷ ἐπαναβε-
βηκότι. δεῖ δὲ τὴν βεβαιοτάτην καὶ ἀρχηγικωτάτην καὶ ἐναργεστάτην 40
20 εἶναι, ἵνα μηδεὶς ἀπατᾶται περὶ αὐτήν. ἔστι δὲ τοιαύτη ἡ κατὰ τὴν ἀντί-
φασιν· οὔτε γὰρ τὸ αὐτὸ τῷ αὐτῷ ἅμα καὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως
ὑπάρχειν δύναται καὶ μὴ ὑπάρχειν· οὔτ' ἔστιν | οὕτω τις διακείμενος, 871ᵃ
κἂν ἕνεκα λόγου θέσει παριστῆται, οὔτε φάντα καὶ ἀποφάντα δυνατὸν ἀλη-
θεύειν ἅμα. ὅτι δὲ ἀπατηθῆναι περὶ ταύτην οὐ δυνατὸν τὴν ἀρχήν, δεί-
25 κνυσιν οὕτως· εἴ τις οἴεται τὸ αὐτὸ τῷ αὐτῷ καὶ ὑπάρχειν καὶ μὴ ὑπάρ- 5
χειν, τὰς ἐναντίας ἔχει δόξας ἐν ἑαυτῷ· ἐναντίαι γὰρ αἱ κατὰ ἀντίφασιν
δόξαι, ὡς ἐν τῷ τέλει τοῦ περὶ ἑρμηνείας ἐρρήθη. ἀλλὰ μὴν ἀδύνατον
ἅμα τἀναντία παρεῖναί τινι, ἀδύνατον ἄρα καὶ ἠπατῆσθαί τινα περὶ ταύτην
τὴν ἀρχήν. διὸ καὶ πάντες ⟨οἱ⟩ ὁτιοῦν ἀποδεικνύντες αὐτῇ κέχρηνται· εἰ
30 δὲ τῶν Ἡρακλειτείων ἢ τῶν ἄλλων φυσικῶν τινες οἴονται καὶ αὐτοὺς οὕτω 10
δοξάζειν καὶ τὰ πράγματα δέχεσθαι κατὰ ταὐτὸ τὸ ταύτῃ μὴ εἶναι ᾗπερ
ἔστι, λόγου μὲν ἕνεκα ποιεῖσθαι αὐτοὺς τὰς τοιαύτας ἀποφάνσεις οἰητέον·
ἡμεῖς γὰρ σαφῶς ὑπεμνήσαμεν, ὅτι τὰς ἐναντίας δόξας τῷ αὐτῷ παρεῖναι
ἀδύνατον. οὐ μὴν διὰ τοῦτο ἀποδεῖξαι τὴν ἀλήθειαν τοῦ ἀξιώματος ἐπι-
35 χειρήσομεν· αὐτὸ γὰρ τοῦτο μεγίστης ἐστὶν ἀψευδίας τεκμήριον, τὸ οἴεσθαι 15
πάντα εἶναι ἀποδεικτά· καὶ γὰρ ὁ τοῦτο λέγων ἀπόδειξιν ἀναιρεῖ, ὥσπερ ὁ
αὐτόθεν μηθὲν εἶναι λέγων ἀποδεικτόν. διχῶς γὰρ ἀναιρεῖται τῶν πρα-

---

4 τεχνητῶν C 6 οἴονται Us. fort. verbum apodoseos ex prodosi desumendum est, cf. ad Procl. in remp. I 218,4 Hartel patrist. Stud. IV 11 Leo anal. Plaut. I p. sqq. 16 βεβαιοτάτη δ' ἐστὶ C 18 τόνδε C: correxi 20 δὲ Us.: γὰρ C 23 tuetur structuram Us. cl. Ar. 1008ᵇ12 et si ὥστε pro οὔτε scriberes, etiam δυνατὸν eiciendum esset 27 cf. Ar. π. ἑρμ. 14 29 οἱ inserui 30 καὶ αὐτοὶ Us., et αὐτοί τε Ar. 1005ᵇ35 31 ᾗπερ Us.: εἴπερ C 36 cf. Alex. 272,22

γμάτων ἕκαστον, ἢ αὐτόθεν ἢ τῶν ἀρχῶν μὴ δοθεισῶν. ὥσπερ οὖν ὁ πάντα 871a
γενητὰ φάσκων εἶναι γένεσιν ἀναιρεῖ, μὴ διδοὺς εἶναι τὴν ἀρχὴν τῶν γενη- 20
τῶν τὸ ἀγένητον, οὕτως ὁ πάντα δείκνυσθαι ἀξιῶν ἀναιρετικός ἐστιν ἀπο-
δείξεως, οὐκ ἐῶν εἶναι τὸ ἀναπόδεικτον, ὅπερ ἐστὶν αἴτιον τοῦ καὶ τὰ μετ'
5 αὐτὸ δείκνυσθαι. εἰ δ' ὅλως ἐστί τι ἀναπόδεικτον, τί ἂν εἴη πρὸ τούτου
τοῦ ἀξιώματος, ὅθεν καὶ τοῖς ἄλλοις πᾶσιν ἀναποδείκτοις δύναμις ἐφήκει;
⟨οἷον⟩ ἐὰν ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενά ἐστιν ἴσα· διὰ τί; ὅτι 25
ἐὰν μὴ ἴσα ᾖ, προστεθέντα τὰ ἀφαιρεθέντα ποιεῖ τὰ ὅλα μὴ ἴσα· τοῖς
γὰρ μὴ ἴσοις ἡ ἴση προσθήκη τῆς ἐξ ἀρχῆς ἀνισότητος γίγνεται τηρητική·
10 ἔσται οὖν τὰ αὐτὰ ἴσα καὶ οὐκ ἴσα. ὅπερ ἄτοπον. καὶ οὐ λέγω ὅτι ἀπό-
δειξίς ἐστιν αὕτη, ἀλλ' ὅτι εἰς ἐναργέστερον ἀπάγοντες ἄτοπον τὸν ἐνιστά- 30
μενον τοῖς ἄλλοις ἀξιώμασιν εἰς τὴν ἀντίφασιν καταντᾶν αὐτὸν παρασκευά-
ζομεν. ὅλως δὲ μὴ συγχωρηθέντων αὐτῶν εἶναι ἴσων αὐτῷ τῷ ὑποθέσθαι
εἶναι μὴ ἴσα τί ἄλλο ἢ κυροῦμεν τὸ τῆς ἀντιφάσεως ἀξίωμα; καὶ οὐχ
15 ἡμεῖς οἱ ὑποτιθέμενοι, ἀλλ' αὐτὸς ὁ ἐνιστάμενος. τί γὰρ ἂν καὶ ἀξιώσειεν 35
ἡμᾶς ἄλλο ὑποθέσθαι, μὴ συγχωρῶν ἴσα αὐτὰ εἶναι, οὐδὲ πλάσαι δυνατόν,
τὰ τῷ αὐτῷ ἴσα. μὴ γὰρ ἀλλ' εἰ δυνατόν, τὸ ᾱ τῷ γ̄ ἔστω μὴ ἴσον,
ἑκάτερον δὲ αὐτῶν τῷ β̄. οὐκοῦν ἐπεὶ τὸ ᾱ οὐκ ἴσον τῷ γ̄, ἡλίκον δὲ τὸ
γ̄, τηλικοῦτον [δὲ] τὸ β̄, οὐδὲ τῷ β̄ ἴσον ἔσται τὸ ᾱ. ἀλλὰ καὶ ἴσον· τὸ
20 αὐτὸ ἄρα καὶ ἴσον τι καὶ οὐκ ἴσον, ὅπερ ἄτοπον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν 40
ἄλ|λων ἀξιωμάτων ὁ ἔλεγχος κατὰ τῶν ἐνισταμένων διὰ τῆς ἀντιφάσεως, 871b
ἐπεὶ καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· καὶ πᾶς μὲν γὰρ ἔλεγχος εἰς ἀντί-
φασιν περιίστησιν, ὁ δὲ τὸ ἀντικείμενον τοῦ ἀληθοῦς ὑποτιθέμενος πολλαχοῦ
χρῆται τῇ ἀντιφάσει καὶ ἐναργέστατα. τοῦτο τοίνυν τὸ ἀξίωμα πῶς ἂν 5
25 ἀποδειχθείη, μηδὲν ἔχον ἑαυτοῦ βεβαιότερον μηδὲ γνωριμώτερον μηδὲ ἀρχη-
γικώτερον;

Οὐ μὴν ἀλλ' εἰ καὶ μὴ ἔστιν αὐτὸ δεῖξαι, ἐπειδὴ τὸ ὃ ἂν λάβωμεν
εἰς τὴν κατασκευὴν αὐτοῦ, ἢ ἰσοδυναμοῦν αὐτῷ λαμβάνομεν ἢ ἀμυδροτέραν
ἔχον γνῶσιν, ὅμως ἔστι τὸν ἐνιστάμενον αὐτῷ περιβάλλειν ἐλέγχῳ, ἐὰν 10
30 μόνον ἐθέλῃ λόγῳ χρῆσθαι. λεγέτω γὰρ ἡμῖν ἐκεῖνος, εἰ μὴ κατὰ ζῷον
ἄλογον ἢ καὶ φυτὸν ἀναίσθητον ἔταξεν ἑαυτόν· ἆρ' οὐχὶ τῶν ὀνομάτων
ἕκαστον σημαίνει τι; σημαῖνον δέ τι οὐχὶ ἓν ἢ πολλὰ ὡρισμένα ἢ πάντα
σημαίνειν πᾶσα ἀνάγκη; ἀλλ' εἰ μὲν πάντα σημαίνει, οὐδὲν σημαίνει· ὃ
γὰρ μηδὲν μᾶλλον τόδε ἢ ὁτιοῦν ἄλλο σημαίνει, οὐδὲν σημαίνει. λείπεται 15
35 δή, εἴπερ τι σημαίνει, ἢ ἓν ἢ πολλὰ καὶ ὡρισμένα σημαίνειν αὐτό. ἀλλ'
εἴτε ἓν εἴτε πολλὰ καὶ ὡρισμένα σημαίνει, ἔστιν ἐφ' ἑκάστῳ τῶν πρα-
γμάτων ἴδιον ὄνομα. εἰ μὲν γὰρ ἓν ἑνός ἐστι σημαντικόν, αὐτόθεν εἰλή-
φαμεν τὸ ζητούμενον. εἰ δὲ ἓν πολλῶν καὶ ὡρισμένων, ληψόμεθα τῶν

---

7 οἷον add. Us. 11 ἐνεργέστερον ut vid. C τὸν Us.: τὸ C 15 ὑμεῖς C: corr. Us. 17 τὰ τῷ αὐτῷ ἴσα post εἶναι transposuit Us. (at offendit αὐτά), insiticia puto; μὴ pro οὐ positum? 19 δὲ del. Us. 21 κατὰ C: γίνεται Us. 22 καὶ πᾶς C: ἅπας Us. 27 τὸ ὃ C: ὅτι Us. 28 λαμβάνωμεν C 29 τὸ ἐνιστάμενον αὐτὸ C: corr. Us. 32 οὐκ ἢ ἓν coni. Us. 33 σημαίνει C: corr. Us.

πολλῶν ἐκείνων καὶ ὡρισμένων τὰ σημαινόμενα. καὶ ἐφ' ἑκάστῳ τάξεται 871
ἴδιον ὄνομα· ὁ γὰρ ἡ διάνοια χωρίσαι τῶν ἄλλων δύναται, τοῦτο καὶ δι' 21
ὀνόματος ἢ λόγου σημήνειεν ἄν· ἓν ἄρα ἑνὸς σημαντικόν, ἐπεὶ κἂν ἓν
πολλῶν, οὐ ποιεῖ ἀντίφασιν τοῦτο· ὥστε μάτην ἂν νῦν παραλαμβάνοιτο τὰ
5 ὁμωνύμως λεγόμενα. εἰ τοίνυν ἑνὸς πράγματος οἷον τοῦ ἀνθρώπου ἓν ὄνομα 25
εἴη τὸ ἄνθρωπος σημαντικόν, οὐδὲν ἄλλο ἢ τὸ εἶναι αὐτοῦ σημαίνει· εἰ
γὰρ καὶ συμβεβηκὸς αὐτοῦ σημαίνοι, οἷον τὸ λευκὸν ἢ μουσικόν, οὐχ ἓν
ἂν ἔτι σημαίνοι, ἀλλ' ὡς ἂν εἴ τις θεῖτο ἵππῳ καὶ ἀνθρώπῳ ἓν ὄνομα,
οὕτως εἰ ἄνθρωπον καὶ λευκὸν ἑνὶ προσερεῖς, οὐκ ἔστιν ἓν ἑνὶ νέμοντος
10 ἔτι. ὅταν τοίνυν ἄνθρωπον τουτὶ καλῶ, οὐδὲν ἄλλο ἢ ζῷον αὐτὸ πεζὸν 30
δίπουν εἶναι δηλῶ. εἰ ἄρα ἀληθεύω λέγων, ὅτι τοῦτό ἐστιν ἄνθρωπος,
ἀνάγκη τοῦτο ζῷον εἶναι πεζὸν δίπουν· ἀλλ' εἰ ἀνάγκη τοῦτο ζῷον εἶναι
πεζὸν δίπουν, ἀδύνατον τοῦτο μὴ εἶναι ζῷον πεζὸν δίπουν· εἰ δὲ ἀδύνατον
μὴ εἶναι, ὁ λέγων μὴ εἶναι ψεύσεται· εἰ ἄρα ἀληθὲς εἰπεῖν τοῦτον ἄνθρω- 35
15 πον εἶναι, ψεῦδος εἰπεῖν τοῦτον μὴ εἶναι ἄνθρωπον. ἐφ' οὗ ἄρα ἡ
κατάφασις ἀληθεύει, ἐπὶ τούτου ψευδὴς ἡ ἀπόφασις.

Ταῦτα λέγοντος Ἀριστοτέλους ἐκπλαγείη μὲν ἄν τις καὶ τὴν ἐπιβολὴν
τῆς κατασκευῆς καὶ τὴν ὅλην μεταχείρισιν τοῦ λόγου σὺν ἀγχινοίᾳ πολλῇ
καὶ δεινότητι γενομένην· ἐπισημήναιτο δ' ἄν τις, ὅτι τοῖς μὲν ἄλλοις ἀντει- 40
20 πεῖν | οὐκ ἂν ἔχοι ὁ ἐνιστάμενος τῇ ἀποφάσει, ἅπαξ ὑπομείνας λόγον, 872ᵃ
ἐκείνῳ δ' ἂν ἴσως καίπερ ὄντι λίαν ἐναργεῖ διαμαχέσαιτο· οὐ γὰρ εἰ ἀνάγκη,
φαίη ἄν, τόδε τὸ ζῷον εἶναι πεζὸν δίπουν, ἀδύνατον εὐθὺς μὴ εἶναι· αὐτὸ
γὰρ τοῦτό ἐστιν ὃ διατελεῖ λέγων, καὶ τοῦτο εἶναι καὶ τὸ ἀντικείμενον ἕκαστον 5
τῶν πραγμάτων· οὐκοῦν φήσομεν αὐτὸν ἀναιρεῖν τι τῶν κειμένων· οὐκέτι
25 γὰρ ἓν ἑνὸς εἶναι σημαντικόν. ὁ δὲ φαίη ἂν ἓν μὲν ἑνός, οὐ μέντοι
παντὸς τοῦ ἑνὸς ἀλλὰ μορίου αὐτοῦ, τοῦ δὲ λοιποῦ τί κωλύει τὸ ἀντικεί-
μενον; καὶ τοῦτο, εἰ ἕστηκεν ἡ φύσις τῶν πραγμάτων καὶ ὥρισται· εἰ δὲ
ῥεῖ καὶ μεταπίπτει ἀεὶ ἕκαστον, ὥσπερ οἱ Ἡρακλειτειοι λέγουσιν, οὐδὲν 10
μᾶλλον οὕτως ἢ οὐχ οὕτως ἔχει τὰ πράγματα. πρὸς ὃν εἴποιμεν ἂν ὅτι
30 τοὺς μὲν Ἡρακλειτείους, εἴπερ οὕτω διενοοῦντο τῷ λόγῳ, νῦν ἐκποδὼν ποιησό-
μεθα· οὗτοι γὰρ ἐπιστήσαντες οἷς λέγουσιν οὐδὲ σημαίνειν τι φήσουσι τὰ
ὀνόματα· ὡς γὰρ τὸν παραρρέοντα ἀέρα πιέσαι ταῖς χερσὶν οὐκ ἔστιν, οὕτως 15
οὐδὲ τὴν ἀστάτως μεταπίπτουσαν τῶν πραγμάτων φύσιν ἔστι δηλῶσαι διὰ
τῶν ὀνομάτων· διὸ καὶ τὸν Κρατύλον ἱστοροῦσί τινες ἀποσχέσθαι μὲν ὕστερον
35 τῆς χρήσεως τοῦ λόγου, κατανεύειν δὲ μόνον καὶ ἀνανεύειν.

Εἰ δ' ὅλως ἔστι τις ὡρισμένη τῶν πραγμάτων ὑπόστασις, ἔστι καὶ
ἐφ' ἑκάστῳ παντὶ πάντως μία τε ἔννοια καὶ ὄνομα ἕν· εἰ δὲ καὶ μὴ ἦν, 20
πολλῶν μὲν ὀνομάτων ἐδεήθη ἂν ἕκαστον, οὐ μέντοι τοῦ τε τὴν ἕξιν δηλοῦντος
καὶ τὴν στέρησιν· τοῦτο γάρ ἐστιν ἀδυνατώτατον· ὡς γὰρ παρούσης ἕξεως

---

5 εἰ τοίνυν scripsi: εἴτε νῦν C (εἴτε οὖν Us.) 7 λευκὸν ἢ μὸν C: μουσικὸν Ar., φρόνιμον Us. 8 ἓν ἑνὶ ὀνόματι Us., fort. ὄνομα ἔτι 13 τοῦτο μὴ Brandis: τοῦ μὴ C 18 μεταχείρησιν C: corr. Us. 24 οὔκουν C 26 μόριον C: corr. Us. 34 cf. Ar. 1010ᵃ12 37 παντὶ cf. p. 72,15 τε scripsi: γε C

ἀδύνατον ὅτι τὴν στέρησιν αὐτῆς ἐνορᾶσθαι τῷ ὑποκειμένῳ, οὕτως ἀμήχανον 872ᵃ
τὸ αὐτὸ διά τε τοῦ τῆς στερήσεως καὶ διὰ τοῦ τῆς ἕξεως ὀνόματος δηλοῦσθαι 25
κατὰ ταὐτόν· εἰ δὲ τοῦτο, οὐδ' ἂν διὰ τῆς καταφάσεως καὶ ἀποφάσεως
ἑρμηνεύοιτο τὸ αὐτό.

Πάλιν οὖν ἀναλαβόντες τὸν λόγον οὕτω συνθήσομεν· εἰ σημαίνει τι
τὸ ὄνομα, ἕν τι σημαίνει· κἂν γὰρ πλείω καὶ ὡρισμένα, ληφθήσεται τὰ
ἕκαστον δηλοῦντα. ἀλλ' εἰ ἓν σημαίνει, τὸ εἶναι αὐτοῦ σημαίνει, τῷ δὲ
εἶναι αὐτοῦ οὐ δήπου σύνεστιν ἡ στέρησις αὐτοῦ (ἡ γὰρ ἀπουσία τοῦ εἶναι 30
τὴν στέρησιν ὑφίστησιν)· ὥστε τοῦτο καταφάσει μὲν ἔστιν ἑρμηνεῦσαι, ἀπο-
φάσει δὲ τῇ ἀντικειμένῃ ἀδύνατον, ἐπειδὴ καὶ ἀδύνατον ἕξιν ἅμα καὶ στέρησιν
τοῦ αὐτοῦ τῷ αὐτῷ παρεῖναι. εἰ γὰρ ἀληθὲς εἰπεῖν τόδε τι καὶ εἶναι
ζῷον καὶ μὴ εἶναι ζῷον, ἔχοι ἂν καὶ τὸ εἶδος τοῦ ζῴου τόδε τι καὶ τὴν 35
στέρησιν τοῦ αὐτοῦ ζῴου· ἀλλὰ μὴν στέρησιν ἔχειν μὴ ἀπολέσαν τὸ εἶδος
οὐ δύναται· οὐδ' ἄρα καταφάσκεσθαι κατὰ ταὐτὸν καὶ ἀποφάσκεσθαι· εἰ
γὰρ μηδὲ ἄνθρωπος καὶ λευκὸν κατὰ ταὐτὸν ἀλλὰ κατὰ ἄλλο καὶ ἄλλο,
πῶς ἄνθρωπος καὶ οὐκ ἄνθρωπος κατὰ ταὐτόν; ὅμοιον γὰρ ὡς εἴ τις τὸ
εἶδος καὶ τὴν στέρησιν τοῦ εἴδους ἓν λέγοι. εἰ δὲ κατ' ἄλλο μὲν ἄνθρωπος, 40
κατ' ἄλλο δὲ οὐκ ἄνθρωπος, οὐκ ἀντίφασις τοῦτο, ἐπεὶ καὶ ὁ Σωκράτης
οὐσία μὲν ὡς ἄνθρωπος, οὐκ οὐσία δὲ ὡς πατὴρ ἢ σιμός.

Ἆρ' οὖν ἀπέδειξεν | αὐτὸς περὶ τοῦ τὴν ἀντίφασιν μὴ συναληθεύειν; 872ᵇ
τοῦτο καὶ πρότερον διεμαρτυράμεθα, ὅτι τοῦτο ἀποδεῖξαι ἀδύνατον· ἀλλὰ
τοῦ Ἀριστοτέλους ἐλεγκτικῶς ἐπιχειρήσαντος ἀποδεῖξαι καὶ τὰ μὲν ἄλλα
συγχωρούμενα λαβόντος, ἐκεῖνο δὲ ἀληθῶς μὲν εἰληφότος ὅτι εἰ ἀνάγκη 5
εἶναι, ἀδύνατον μὴ εἶναι, οὐχ ἱκανῶς δὲ πρὸς τὸν τὴν ἀντίφασιν λέγοντα
συναληθεύειν, ἡμεῖς ὅτι οὐ δύναταί τις ἐνίστασθαι τούτῳ πεπειράμεθα δεῖξαι.
ἵνα μὴ εἰς ταὐτὸν τό τε εἶδος ἀπάγῃ καὶ τοῦ εἴδους τὴν στέρησιν. τοῦτο
δὲ ἀληθὲς μὲν καὶ ἡμεῖς παρελάβομεν, ὅτι μὴ δύναται συνεῖναι τῷ εἴδει
ἡ στέρησις· εἰ δὲ τοῦτο, οὐδ' ἂν ὁ ἄνθρωπος ᾗ ἄνθρωπος οὐκ ἄνθρωπος 10
εἴη· οὐ μέντοι ἐπίσης ἐναργὲς τῷ τῆς ἀντιφάσεως ἀξιώματι· ὥστε κρατεῖν
τὸ τοῦ Θεοφράστου, ὃς ἀγνωμονεστάτους εἶναί φησι καὶ βιαιοτάτους τοὺς
ἀναγκάζοντας λόγον ὑπέχειν τούτου τοῦ ἀξιώματος· αὐτόθεν γὰρ ⟨ὁ⟩ τούτῳ
ἐνιστάμενος λόγου χρείαν ἀναιρεῖ καὶ ἀποδείξεως. εἰ γὰρ μηδὲν μᾶλλον 15
τόδε ἢ τὸ ἀντικείμενον, τίς ἦν χρεία καὶ λόγου καὶ κατασκευῆς καὶ συμπερά-
σματος; τίς δὲ ὁ καρπὸς ταύτης πάσης τῆς πραγματείας, ὅταν ὁ πειρώμενος
αὐτῷ παρίστασθαι τῶν ἡττόνων αὐτοῦ τι πρὸς ἐνάργειαν εἰς κατασκευὴν
αὐτοῦ παραλαμβάνειν ἀναγκάζηται;

Δείξας δ' οὖν ὁ Ἀριστοτέλης, ὅτι τῆς καταφάσεως ἀληθευούσης τὴν 20
ἀπόφασιν ἀληθεύειν οὐχ οἷόν τε, παραπλησίως, φησίν, ἀποδειχθήσεται καὶ
ὅτι τῆς ἀποφάσεως ἀληθευούσης οὐδέποτε ἡ κατάφασις ἀληθεύει· εἰ γὰρ

---

9 ὑφίστη ὅτε τοῦτο C: corr. Us. 13 fort. μὴν τὴν 21 τοῦτο corruptum putat Us., ἀλλὰ requiritur 25 nempe συναληθεύειν ἀντεφηκότος 26 τε Us.: γε C 30 cf. Alex. 273,18 31 ἀξιώματος Us. cf. Alex.: ὀνόματος C αὐτόθεν scripsi: αὐτός τε C ὁ add. Us.

ἀληθὲς εἰπεῖν ὅτι τοῦτο ζῷον οὐκ ἔστιν, ἀδύνατον τοῦτο ζῷον εἶναι· εἰ 872ᵇ
ἀδύνατον τοῦτο ζῷον εἶναι, ἀνάγκη τοῦτο ζῷον μὴ εἶναι· εἰ δὲ ἀνάγκη 25
τοῦτο ζῷον μὴ εἶναι, ψεύσεται ὁ λέγων αὐτὸ ζῷον εἶναι. εἰ ἄρα ἀλη-
θεύει ἡ ἀπόφασις, ψεύσεται ἡ κατάφασις. οὕτω δὲ μεταχειρισάμενος τὴν
5 ἀπόδειξιν ὁ Ἀριστοτέλης καὶ δῆλον ὅτι δυνάμενος καὶ τὰς ἄλλας δύο ὑπο-
θέσεις ὁμοίως μετελθεῖν (εἰ γὰρ ψεύσεται ἡ κατάφασις, ἀληθεύσει ἡ ἀπό-
φασις * * *, συνεῖδεν ὅτι ποτὲ διὰ πανουργίαν ὁ ἐνιστάμενος τῷ ἀξιώματι 30
τῆς ἀντιφάσεως οὐ δώσει τὸ ἕτερον ἀφωρισμένως ἀληθὲς εἶναι ἢ ψεῦδος.
ἵνα μὴ ἀποδειχθῇ θάτερον μόριον τῆς ἀντιφάσεως ἔχον ἀντικειμένως, ἀλλ'
10 ἐρωτώμενος· 'τοῦτο ζῷόν ἐστιν ἢ οὔ;' ἀποκρινεῖται, ὅτι καὶ ζῷον καὶ
οὐ ζῷον· 'τοῦτο ἄνθρωπός ἐστιν ἢ οὔ;' ὁ δὲ φήσει· καὶ ἄνθρωπος καὶ 35
οὐκ ἄνθρωπος. τότε οὖν ἐροῦμεν πρὸς αὐτόν, φησί, πρῶτον μὲν ὅτι τὰ ζητού-
μενα προλαμβάνεις, ἔπειτα συγχεῖς τὰ τῆς διαλεκτικῆς καθήκοντα· ἓν γάρ
15 μου προτείναντος οὐ περὶ αὐτοῦ ποιῇ τὴν ἀπόκρισιν, ἀλλὰ προστίθης ἄλλο τι.
εἰ γὰρ καὶ συγχωρήσειέ τις τὸν ἄνθρωπον καὶ μὴ ἄνθρωπον εἶναι (δύναται γὰρ 40
κατά τι τῶν συμβεβηκότων αὐτῷ εἶναι μὴ ἄνθρωπος), ὅμως ἡ ἐρώτησις περὶ
ἑνὸς γέγονεν. ὥσπερ οὖν εἰ ἐρωμένου μου εἰ Σωκράτης ἄνθρωπός ἐστι.
λέγοις· 'καὶ ἄν|θρωπος καὶ σιμὸς καὶ Ἀθηναῖος' εἶπον ἄν σοι· 'τὸ ἓν 873ᵃ
ἤρκει τὸ πρῶτον· εἰ δὲ τῶν συμβεβηκότων αὐτῷ βούλει ποιήσασθαι τὴν
20 ἀπαρίθμησιν, ὥρα σοι πάντα διιέναι τοῦτό τε ποιοῦντι πάντα μᾶλλον ἢ 5
διαλεκτικὴν συνουσιαν ἀποπληροῦν' οὕτω καὶ τὸ οὐκ ἄνθρωπός σοι προστι-
θέντι καιρὸς ἀκούειν ὅτι περιεργοτέρα γέγονεν ἡ ἀπόκρισις ἢ διαλεκτικωτέρα.

Ἐπὶ τούτοις χρῆται καὶ τοιῷδε ἐπιχειρήματι κατ' αὐτῶν ὁ Ἀριστο-
τέλης· οὐσίαν καὶ τὸ τί ἐστιν ἐοίκασιν ἀναιρεῖν ἐκ τῶν κατηγορουμένων
25 ὅρων οἱ εἶναι καὶ μὴ εἶναι τὸ αὐτὸ λέγοντες. εἴπερ γὰρ ὅλως δύναταί
τι καὶ εἶναι καὶ μὴ εἶναι τὸ αὐτό, ἐπὶ συμβεβηκότων γένοιτ' ἂν τοῦτό 10
ποτε, ἐπὶ δὲ οὐσιῶν ἀμήχανον. τὸ γὰρ ἐνδεχόμενον ὑπάρχειν τινὶ καὶ μὴ
ὑπάρχειν συμβέβηκεν αὐτῷ, καίτοι οὐδὲ αὐτὸ ἀντικειμένως· οὐ γὰρ ὅτε
ὑπάρχει οὐδ' ὡς ὑπάρχει, τότε καὶ τοῦτον οὐχ ὑπάρχει τὸν τρόπον· ἀλλ'
30 ὅμως ἐπειδὴ ποτὲ μὲν ὑπάρχει ποτὲ δὲ οὐχ ὑπάρχει, μᾶλλον ἐπὶ τῆς τῶν 15
συμβεβηκότων κατηγορίας ἔχει χώραν ἡ ἀντίφασις ἢ ἐπὶ τῆς τῶν καθ'
αὑτὰ καὶ κατ' οὐσίαν ὑπαρχόντων. εἰ τοίνυν οὐσίαν ἐκ τῶν κατηγορουμένων
ἀναιροῦσι, καὶ τὴν ἄμεσον ἀναιροῦσι πρότασιν, ἣν καθόλου καλεῖ καὶ ἐν
τούτοις καὶ ἐν τοῖς Ἀποδεικτικοῖς· οὐσίαν δὲ καὶ ἄμεσον πρότασιν ἀναιροῦντες 20
35 κατὰ συμβεβηκός τε τὰς κατηγορίας ποιοῦνται, καὶ ταύτας ἐπ' ἄπειρον.
ἀλλ' ἀδύνατον· διχῶς γὰρ τὰ συμβεβηκότα κατηγορεῖται· ἢ γὰρ οὐσίας
συμβεβηκός, ὡς ὅταν λέγωμεν· 'Σωκράτης μουσικός ἐστιν' ἢ συμβεβηκότος

1 εἰ δ' Us. 6 ἀληθεύει C. corr. Us. 7 'hiatum notavi, intercidit quarta hypothesis καὶ εἰ ψεύσεται ἡ ἀπόφασις, ἀληθεύσει ἡ κατάφασις' Us. 9 ἔχων suprascr. C: corr. Us. 11 cf. Alex. 284,12 13 τοῖς διαλεκτικοῖς coni. Us. 19 αὐτῶν C: corr. Us. 20 τε C: δὲ Us. 28 αὐτὸ C: τοῦτο Us. 33 met. 1007ᵃ34 (ubi καθόλου codd. AᵇE, καθ' οὗ coni. Alex.) 34 Ar. anal. post I 4 p. 73ᵇ26 sqq. cf. Alex. 288,7 35 ταύτας corruptum

συμβεβηκός, ὡς ὅταν λέγωμεν· 'τὸ λευκὸν μουσικόν ἐστιν' ὅτι τῷ αὐτῷ 873a
παιδαρίῳ συμβέβηκεν ἀμφότερα. τοῦτο μὲν οὖν ἐκποδὼν ἡμῖν ἔστω, ἐπεὶ 25
μηδὲ πρόκειταί τι περὶ τούτου σκοπεῖν. τὸ δὲ ἕτερον οὐχ ἕξει πλείω δυεῖν
συμβεβηκότων ἐν τῇ αὐτῇ κατηγορίᾳ· ἐὰν μὲν γὰρ εἴπω· 'Σωκράτης ἰατρός
5 ἐστιν', ἓν ἑνός· ἐὰν δὲ αὐξῆσαι θελήσω, τὴν πρότασιν ποιῶ· 'Σωκράτης
ἄριστος ἰατρός ἐστιν.' ἐπὶ πλέον δὲ ἐκτείνειν οὐκ ἔστιν· οὐ γὰρ ἔτι μένει 30
μία ἡ πρότασις. εἰ τοίνυν ἀντιφάσεως μὲν συναληθευούσης ἄμεσος οὐκ
ἔστι πρότασις (ἐπεὶ μηδὲ ὅλως καθ' αὑτὸ ἕτερον ἑτέρῳ ὑπάρξει), ἀμέσου
δὲ μὴ οὔσης προτάσεως ἐπ' ἄπειρον αἱ κατηγορίαι τῶν συμβεβηκότων·
10 εἰ γάρ τις λέγοι· 'Σωκράτης ἰατρός', ἐρωτῶ διά τί; ὁ δὲ λέγει μοι οὐ 35
τῶν καθ' αὑτό τι ὑπαρχόντων τῷ ἰατρῷ (οὐ γάρ ἐστι ταῦτα), ἀλλ' ὅτι
λευκός, εἰ τύχοι· εἶτα κἀγώ· διὰ τί τοι τοῦτο; — εἰς ἄπειρον ἀνάγκη μὴ
ἵστασθαι τὰς κατηγορίας τῶν συμβεκηκότων. ἀλλὰ μὴν τοῦτο ἀδύνατον·
πλείω γὰρ δυοῖν οὐ πέφυκε κατηγορεῖσθαι τῆς οὐσίας· οὐκ ἄρα συναληθεύσει 40
15 ποτὲ ἡ ἀντίφασις. τί οὖν κωλύει, φαίη τις ἄν, πλείω μὲν δυοῖν ἐν μιᾷ
προτάσει μὴ κατηγορεῖσθαι τῆς οὐσίας συμβεβηκότα, πολλὰ δὲ καὶ ἄπειρα 873b
κατὰ πᾶσαν τὴν ἀπόδειξιν; ἢ ὅτι πᾶσα ἀπόδειξις ὁρισμός ἐστι μετατεθει-
μένου τοῦ μέσου, καθὰ πολλαχοῦ δείκνυσιν Ἀριστοτέλης, ὁ δὲ ὁρισμὸς
ἄμεσος πρότασις ἢ ὅλως πρότασις μετὰ τοῦ ὁριστοῦ· ὥστε πάλιν ἐν μιᾷ
20 προτάσει πλείω τῶν δύο κατηγοροῖτο ἂν τῆς οὐσίας συμβεβηκότα. ταῦτα 5
μὲν ἐπὶ τοσοῦτον.

Δείξας δὲ ὁ Ἀριστοτέλης ὅτι τὰ καθ' αὑτὰ μὲν ὑπάρχοντα καὶ τὰ κατ'
οὐσίαν κατηγορούμενα πειρῶνται διαγράφειν οἱ τὴν ἀντίφασιν λέγοντες συναλη-
θεύειν, μόνας δὲ τὰς διὰ τῶν συμβεβηκότων ἐῶσι κατηγορίας, δείκνυσιν
25 ἐφεξῆς ὅτι τὴν ὕλην ἐοίκασιν οἱ αὐτοὶ οὗτοι περιφαντάζεσθαι, ἀλλ' οὐχὶ 10
τὰ εἰδοποιούμενα καὶ ὅρον καὶ βεβαιότητα παρὰ τῆς φύσεως ὑποδεξάμενα,
πάνυ δαιμονίως καὶ φιλοσόφως τὸ ἄστατον αὐτῶν καὶ ἀβέβαιον τῆς δόξης
ἀπεστράφθαι πρότερον μὲν τὰς οὐσίας, νυνὶ δὲ τὰ εἴδη διισχυριζόμενος.
καὶ γὰρ τῷ ὄντι μᾶλλον ἡ ὕλη δόξειεν ἂν ἐπιδέχεσθαι τὴν ἀντίφασιν ἢ 15
30 ἄλλο τι τῶν ὄντων· δυνάμει μὲν γάρ ἐστι πάντα, ἐνεργείᾳ δὲ οὐδέν· ὥστε
καὶ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, καὶ ἵππος καὶ οὐχ ἵππος, καὶ ἕκαστον
καὶ οὐχ ἕκαστον. οὐ μὴν οὐδ' ἡ ὕλη κατά γε τὸ ἀληθέστατον δέχεται
τὴν ἀντίφασιν ἅμα· κατ' ἄλλο γάρ ἐστιν ἄνθρωπος, ὅτι πέφυκε, καὶ κατ' 20
ἄλλο οὐκ ἄνθρωπος, ὅτι συμβέβηκεν αὐτῇ πρὸ τῆς τοῦ εἴδους παρουσίας
35 ἡ στέρησις. ἀλλ' ὅμως μᾶλλον ἐπὶ τῆς ὕλης ἢ ἐπὶ ἄλλων τινῶν χώραν
ἡ ἀντίφασις ἔχει, ὥσπερ ἐπὶ τῶν κατὰ συμβεβηκὸς κατηγορουμένων ἢ τῶν
κατ' οὐσίαν ὑπαρχόντων.

Πῶς οὖν ἐπὶ ταύτην ὑποφέρονται τὴν δόξαν; εἰ μὲν τὸ Πρωταγόρου 25
λέγοιεν 'ἅπαν ὅπερ ἂν φαίνηται ὁτῳοῦν, τοῦτο καὶ ἔστιν', αὐτόθεν πάντα

---

4 αὐτῇ add. Us. 7 εἰ toleravi anacoluthon sententiam iudicans; ἢ Us. 10 ἐρωτῶ Us.: ἐρῶ C ὁ δὲ Us. (qui οὐχ ὅτι τῶν): ὅτι C 12 μὴ Us.: μοι C; praeterea καὶ μὴ Us. quo recepto possis διὰ τί τοι; τοῦτο εἰς 24 ἐῶσι scripsi: ὁρῶσι C (κυροῦσι Us.) 38 ἐπὶ Us.: ὑπὸ C 39 ἅπαν Us.: καὶ πᾶν C

ἐροῦσιν ἐν πᾶσιν εἶναι, καὶ τὸ τοῦ Ἀναξαγόρου κρατεῖ παρ' αὐτοῖς· "ὁμοῦ 873ᵇ
πάντα χρήματα"· εἰ γὰρ τὸ αὐτὸ λευκὸν καὶ ὠχρὸν καὶ μέλαν, ἐπειδὴ ἄλλῳ
ἀλλοῖον φαίνεται, δέχεται δὲ τὰς ἀποφάσεις τὰς τούτων, τὸ αὐτὸ πάντα
ἔσται· τοῦτο δὲ ἡ ὕλη τῶν ὄντων. εἰ δὲ λέγοιεν ὅτι καθ' οὗ μὲν θάτερον 30
5 μόριον, καὶ θάτερον, οὐ κατὰ πάντα δὲ θάτερον, ἀναγκάζονται καὶ οὕτω
πᾶσαν ἀντίφασιν ἑκάστῳ νέμειν. εἰ γὰρ ὁ ἄνθρωπος οὐκ ἄνθρωπός ἐστι,
πολλῷ πλέον οὐ τριήρης, οὐ τοῖχος, οὐ σίδηρος· αἱ γὰρ τῶν ἄλλων ἀπο-
φάσεις μᾶλλον αὐτῷ προσήκουσι τῆς αὐτοῦ. ὥστε εἰ τὴν ἑαυτοῦ δέχεται, 35
καὶ τὰς τῶν ἄλλων δέξεται. εἰ δὲ καθ' οὗ αἱ ἀποφάσεις, κατὰ τούτου καὶ
10 αἱ καταφάσεις, πάντα ⟨τε⟩ ἔσται ὁ ἄνθρωπος πασῶν ἐπ' αὐτοῦ τῶν κατα-
φάσεων ἀληθευουσῶν καὶ οὐδὲν διὰ τὸ τὰς ἀποφάσεις ἁρμόζειν αὐτῷ τὰς
πάντων· ὥστε πάλιν τὸ τοῦ Ἀναξαγόρου κρατῆσαι "πάντα ὁμοῦ χρήματα," 40
κἀκείνου τοῦτο διὰ τὴν τῆς ὕλης φαντασίαν οὕτως ἀποφθεγξαμένου. ἔτι
δέ φησιν ἀναγκάζεσθαι τοὺς αὐτοὺς ἄνδρας | καὶ πρὸς τὸ ἕτερον ἵστασθαι 874ᵃ
15 τῶν τῆς ἀντιφάσεως ἀξιωμάτων. εἰ γὰρ ἐφ' οὗ ἡ κατάφασις, ἐπὶ τούτου
καὶ ἡ ἀπόφασις, ἀνάγκη λέγειν αὐτοῖς μηδ' ἐπὶ παντὸς θάτερον μόριον τῆς
ἀντιφάσεως πεφυκέναι λέγεσθαι· εἰ γὰρ ὁ αὐτὸς ἄνθρωπός ἐστι καὶ οὐκ
ἄνθρωπός ἐστι, καὶ αἱ τούτων ἀποφάσεις, εἴτε δύο εἶεν αὗται εἴτε μία· 5
τούτων δὲ ἀποφάσεις, ὡς μὲν μία, οὔτε ἄνθρωπός ἐστιν οὔτε οὐκ ἄνθρωπός
20 ἐστιν· ὡς δὲ δύο· ἄνθρωπος οὐκ ἔστιν, οὐκ ἄνθρωπος οὐκ ἔστιν. ὁποτέρως
δ' ἂν κρατῇ, οὔτε ὁ ἄνθρωπος ἐπ' αὐτοῦ, ἐπειδὴ ἄνθρωπος οὐκ ἔστιν,
οὔτε ὁ οὐκ ἄνθρωπος, ἐπειδὴ οὐκ ἄνθρωπος οὐκ ἔστι. 10

Σχεδὸν οὖν ἐνταῦθα τὸ Πρωταγόρειον πάθος ὁ λόγος ὑπέμεινεν. κἀκεῖνος γὰρ πᾶσαν δόξαν βεβαίαν εἶναι καὶ ἀληθῆ διισχυρισάμενος οὐδὲν
25 ἧττον πᾶσαν ψευδῆ λέγειν ἀναγκάζεται διὰ τοὺς ἀντιφάσκοντας ἀλλήλοις. πάντες δὲ οὗτοι τὸν ὅρον τῶν πραγμάτων καὶ τὴν βεβαιότητα σαλεύειν ἐπιχειρήσαντες ἑαυτοῖς περιετράπησαν. οὐ μὴν οὐδὲ ταῦτ' αὐτοῖς Ἀριστοτέλης 15
ἐπιτρέψει. πειρᾶται δὲ προσαναγκάζειν αὐτοὺς ἢ ὅρον τινὰ καταλιπεῖν ἐν τοῖς πράγμασι καὶ μὴ πάντων ἀταξίαν καὶ ἀοριστίαν καταγινώσκειν, ἢ μηδὲ
30 αὐτοὺς λογικοὺς ἢ ὅλως αἰσθητικοὺς εἶναι νομίζειν. ἐρωτᾷ γὰρ αὐτούς, πότερον ἕκαστον τῶν ὄντων πάσας δέχεται τὰς ἀντιφάσεις ἢ οὔ, ἀλλὰ τάσδε 20
μὲν τάδε ἄλλας δὲ ἄλλα; εἰ μὲν γὰρ μὴ ἕκαστον πάσας, ἤδη ἄν τις ὅρος ἐν τοῖς πράγμασι φαίνοιτο· αὐτὸ γὰρ τοῦτο, τὸ τάδε μὲν εἶναι ἐν τοῖσδε τάδε δὲ μὴ εἶναι, ἰδιότητός ἐστιν ἀφωρισμένης. καὶ εἰ μὴ πᾶσαι δὲ αἱ
35 καταφάσεις, ἀλλ' αἱ ἀποφάσεις πᾶσαι κατὰ τοῦ αὐτοῦ, εὑρεθείη ἄν τι βέβαιον 25
ἐν αὐτοῖς μὴ ὄν. καίτοι γελοιότατόν ἐστι στερήσει μὲν βεβαιότητα διδόναι, εἴδει δὲ μὴ διδόναι· τοῦτο δὲ συμβαίνει, ἐὰν πᾶσαν μὲν κατάφασιν σὺν τῇ ἀποφάσει λέγωσι παρεῖναι, μὴ πάσῃ δὲ ἀποφάσει συνεῖναι κατάφασιν· πῶς

---

4 fort. τοιοῦτο 5 possis πάντων 8 αὐτοῦ Us. 10 τε add. Us.
ἐπ' e corr. C 11 ἀληθευουσῶν: ουσ e corr. C αὐτῶν C: corr. Brandis
16 μηδ' ἐπίπαν coni. Us., possis μηκέτι πάντως 19 ἀπόφασις et μιᾶς C: corr. Us.
21 ἀπ' αὐτοῦ C: corr. Us. 27 περιτρέπεις σεαυτόν Ps. Plat. Axioch. 370ᵃ
28 πειρατέον C: corr. Us. 30 αὐτοὺς C 34 ἀφορισμός coni. Us. egregie
37 σὺν tuetur Us. cl. p. 78,5

γὰρ οὐκ ἄτοπον τὴν ἀπόφασιν βεβαιοτέραν εἶναι καὶ ἀμικτοτέραν καὶ γνωρι- 874a
μωτέραν τῆς καταφάσεως; ἀλλ' ὅμως διδόασί τε καὶ ὥρισται εἴτε στέρησις 31
εἴθ' ὅ τι ποτέ. ἂν δὲ κατὰ ταὐτοῦ καὶ τὰς καταφάσεις πάσας ἀληθεύεσθαι
λέγωσι καὶ τὰς ἀποφάσεις, ἐρωτητέον αὐτούς, εἰ καὶ καθ' αὑτὴν ἑκατέρα
5 λεγομένη ἀληθεύει, οἷον· 'ἔστι τουτὶ ἄνθρωπος' καὶ πάλιν· 'οὐκ ἔστι τουτὶ
ἄνθρωπος,' ἢ καθ' ἑαυτὴν μὲν οὐδετέρα τούτων ἀληθεύει, τὸ συναμφότερον 35
δὲ μόνως ποιεῖ τὴν ἀλήθειαν· 'ἔστιν ἄνθρωπος, οὐκ ἔστιν ἄνθρωπος'· ὁπότε-
ρον γὰρ ἂν ἕλωνται, κἂν κοινῇ τῶν διαιρέσεων ἑκατέραν κἂν ἰδίᾳ, συμβήσεται
ἄτοπα. εἴτε γὰρ μὴ ἀληθεύουσιν ἰδίᾳ λεγόμεναι, πρῶτον μὲν οὐδὲν σημαί-
10 νουσι· κατάφασις γὰρ μὴ ἀληθεύουσα ἢ ψευδομένη σημαίνει οὐδέν. ἔπειτα 40
οὐδὲ ἔσται τι ἐν τοῖς πράγμασιν, εἴπερ μήτε καταφῆσαι ἔστι περί τινος
αὐτῶν | ἰδίᾳ μήτε ἀποφῆσαι. εἰ δὲ μὴ ἔστι τι, οὐδ' ἄνθρωπος, εἴπερ γάρ 874b
τι τῶν ὄντων ὁ ἄνθρωπος. ὥστε οὐδὲ τὸ φθεγξόμενον οὐδὲ τὸ βαδίζον
ἀνθρώπου μὴ ὄντος.

15 Ἔτι δὲ τοῦδε παραδοξότερον τὸ πάλιν ἕκαστον πάντα ἓν ἀναφαίνεσθαι·
εἰ γὰρ ταὐτὸν ἄνθρωπος καὶ οὐκ ἄνθρωπος καὶ τοῖχος καὶ οὐ τοῖχος, πάντα 5
ἂν εἴη ἅμα· καὶ οὐδὲν ἄρα ἔσται καὶ πάντα ἕν, εἴπερ ἰδίᾳ μὲν αἱ κατα-
φάσεις μηδὲν σημαίνοιεν μηδ' αἱ ἀποφάσεις, συναφθεῖσαι δὲ ἀλλήλαις μόνως
ἀληθεύοιεν. εἰ δὲ καὶ διαιροῖεν αὐτὰς ἀπ' ἀλλήλων καὶ λέγοιεν ἀληθεύειν,
20 καὶ πάντα ἂν εἴη τὸ αὐτὸ διὰ τὰς καταφάσεις καὶ οὐδὲν διὰ τὰς ἀποφάσεις. 10
ὥστε τοῦτο μὲν κοινὸν τῶν δύο ὑποθέσεων· ἴδιον δὲ τῆς μὲν τὸ τὰς κατα-
φάσεις καὶ τὰς ἀποφάσεις διαιρουμένας λέγειν μηδὲν σημαίνειν, τῆς δὲ τὸ
πάντας λέγειν ἀληθεύειν καὶ πάντας ψεύδεσθαι· εἰ γὰρ πᾶσα κατάφασις
ἀληθὴς καὶ πᾶσα ἀπόφασις ἀληθής, ⟨ὁ⟩ ὁτιοῦν λέγων ἀληθεύει μὲν δι' ὃ 15
25 λέγει, ψεύδεται δὲ ὅτι καὶ τὸ ἀντικείμενον αὐτῷ ἀληθές ἐστιν· ὥστε καὶ
αὐτὸς ἑαυτὸν ὁμολογεῖ ψεύδεσθαι. εἰ γὰρ λέγοι τόδε εἶναι ἄνθρωπον, ὁμο-
λογεῖ δὲ αὐτὸ εἶναι καὶ μὴ ἄνθρωπον, ὁμολογεῖ καὶ ἑαυτὸν ἐψεῦσθαι, ὅτε
τὸν μὴ ἄνθρωπον ἄνθρωπον ἔλεγεν ἀφωρισμένως. καὶ δῆλον εἶναί φησιν
ὁ Ἀριστοτέλης, ὅτι ὁ τοιοῦτος ἀνεπιτήδειος εἰς λόγων κοινωνίαν. ἑαυτῷ 20
30 γὰρ παρὰ πόδας ἀντιφάσκει ἀναιρῶν ἃ τίθησι, καὶ πάλιν καὶ τὴν ἀντίφασιν
αὐτὴν ἀναιρῶν, ἵνα μηδὲν ὡρισμένον ἀπολίπῃ, οὕτως ἑαυτὸν εἰς τὸ ἀόριστον
καὶ σκοτεινὸν καὶ ἄτακτον καὶ ἄγνωστον συνελαύνει. ὅμως ἐρωτᾷ πάλιν
αὐτούς· ἆρα ὁ μὲν διακεῖσθαι νομίζων τοιῶσδε τὸ ὑποκείμενον οἷον τεθερ- 25
μάνθαι ψεύδεται, ὁμοίως καὶ ὁ μὴ τεθερμάνθαι, ὁ δὲ τὸ συναμφότερον καὶ
35 οἰόμενος καὶ φθεγγόμενος οὗτος ἀληθεύει; εἰ γὰρ μηδ' οὗτος ἀληθεύει,
πῶς ἔτι φασὶ τοιαύτην εἶναι τῶν πραγμάτων τὴν φύσιν, ὡς οὕτω τε καὶ

1. 2 κατάφασιν et ἀποφάσεως C: corr. Us. 2 ὥρίσθαι C: correxi: διδόασί τι καὶ ὥρίσθαι Us. (expectares στέρησιν; διδόασι referendum ad διδόναι p. 71,36) 3 κατ' αὐτοῦ C: corr. Us. 8 ἕλωνται καὶ κοινῇ τῶν αἱρέσεων ἑκατέρα καὶ ἰδία C: corr. Us. nisi quod θέσεων: malui διαιρέσεων cl. Alex. 293,35 9 pro altero εἴτε est εἰ δὲ l. 19 12 γὰρ ferri posse monet Diels 13 βαδίσον scripsisse Syr. putat Us. 18 μηδὲν Us.: μὴ C 19 διαιροῖεν: οἷεν e corr. C¹ 22 fort. del. λέγειν 24 ὁ add. Us. malim δι' οὗ vel δι' ὧν 32 om. Ar. 1008a34—b2 quibus ille ipse adversarios refutari non posse concesserat 34 καὶ ὁμοίως Us.

μὴ οὕτως ἔχειν; ἀλλ' ἄρα οὐδέτεροι μὲν ἀληθεύουσιν, ἵνα μὴ σὺν τῇ ἀλη- 874ᵇ
θείᾳ τὸ ὡρισμένον εἰς τὰ πράγματα παρέλθῃ, μᾶλλον μὴν ὁ τὸ συναμ- 30
φότερον λέγων ἢ ὁ τὸ μόριον τῆς ἀντιφάσεως; εἰ γὰρ τοῦτο, ἤδη ἄν τι
φαίνοιτο ἐν τοῖς πράγμασιν ἀφωρισμένον, οὗ ὁ μὲν ἐγγυτέρω χωρῶν μᾶλλον
5 ἀληθεύειν λέγεται. ὁ δὲ ἀποπεπτωκὼς μάλιστα διεψεῦσθαι. εἰ δὲ τολμῷεν
ἅπαντας ὁμοίως μὲν ἀληθεύειν ὁμοίως δὲ ψεύδεσθαι φάσκειν, ἀναιροῦσι 35
λοιπὸν καὶ λόγον καὶ διδασκαλίαν καὶ ἀπόδειξιν· εἰ δὲ καὶ οὕτως ὑπολαμ-
βάνοιεν, οὔτ' ἂν ἄνθρωποι λοιπὸν οὔθ' ὅλως αἰσθητικοὶ φαίνοιντο, τὸν φυτῶν
δὲ βίον ἂν διαζῷεν.

10 Ἀλλ' ἴσως διακεῖσθαι μὲν οὕτως ἀδύνατον, ὡς αἱ ὁρμαὶ καὶ πρά-
ξεις δεικνύουσι, τρεχόντων γὰρ εἰς Μέγαρα τούτων, εἰ τῆς Μεγαρέων δέονται 40
βουλῆς, φυλαττομένων δέ τι φρέαρ ἀλλ' οὐχὶ νομιζόντων αὐτὸ καὶ μὴ φρέαρ
εἶναι, καὶ ὅλως φάραγγας, κρημνοὺς, πάντα τὰ φθαρτικὰ περιισταμένων 875ᵃ
ἀλλ' οὐχὶ νομιζόντων αὐτὰ καὶ σωστικὰ εἶναι, ὥσπερ αὖ πάλιν ἐπιδιωκόντων
15 τὰ σωστικὰ ἀλλ' οὐχὶ φευγόντων ὡς καὶ φθορᾶς αἴτια. ὡς δῆλον ἐκ τού-
των ἅπασι γίγνεσθαι, ὅτι οὐδ' οἱ ἐφεκτικοὶ κληθέντες ὕστερον οὐδ' οἱ πρὸ 5
Ἀριστοτέλους τούσδε χορηγοῦντες τοὺς λόγους περὶ παντὸς ἐπεῖχον ἢ τὰ
ἀντικείμενα ἐδόξαζον, ἀλλὰ περὶ ἐνίων ἀναμφισβητήτως καὶ ἀδιστάκτως
εἶχον, καὶ μάλιστα περὶ τὸ ἄμεινον καὶ χεῖρον, ἴσως δὲ οὐ δι' ἐπιστήμην
20 ἀλλὰ διὰ δόξαν ὀρθήν. διὸ καὶ μᾶλλον ὤφειλον ἑαυτῶν ἐπιμεληθῆναι ὡς
οὔπω τὸ τέλειον ἐχόντων πρὸς ἀλήθειαν· ὡς γὰρ ὁ νοσώδης προσεκτικώτερος 10
εἶναι τοῦ ὑγιαίνοντος ὀφείλει περὶ τὰ ὑγιεινά, εἰ μέλλοι ποτὲ παύσασθαι
τῆς παρὰ φύσιν διαθέσεως, οὕτως ὁ μήπω κτησάμενος ἐπιστήμην συντείνειν
ἑαυτόν ἐστι δίκαιος πρὸς τὴν κτῆσιν αὐτῆς, ἵνα γένηταί ποτε ἀληθευτικός.

25 Ἐπιχειρεῖ δὲ καὶ οὕτω πρὸς τοὺς πάντα ψευδῆ λέγοντας εἶναι. ἔστω, 15
φησί, πάντα ψευδῆ, ἆρα καὶ ὁμοίως πάντα ψευδῆ; καὶ ὁ τὰ δύο λέγων
ἄρτια τῷ τὰ τρία λέγοντι ἄρτια ὁμοίως ψεύδεται, ἢ ὁ τὰ τέσσαρα λέγων
εἶναι πέντε τῷ χίλια εἰπόντι παραπλησίως ἐξαμαρτάνει; ἢ ἐπὶ μὲν τοῦ
προτέρου ὁ μὲν ἀληθεύει ὁ δὲ ψεύδεται, ἐπὶ δὲ τοῦ δευτέρου ὁ μὲν ὀλίγον 20
30 ὁ δὲ πολὺ παρορᾷ; ἀλλ' ὅμως ψευδέσθωσαν μὲν πάντες διὰ τὴν ὑπόθεσιν,
ἀλλ' ἆρα οὐκ ἂν τὸν μὲν ἧττον τὸν δὲ μᾶλλον ἀπεσφάλθαι λέγοι τις ἂν
αὐτοῦ τἀληθοῦς; καὶ μὴν εἰ τοῦτο συγχωρηθείη, τότ' ἤδη εἰπέν τι ὡς
ἀληθές, οὗ ὁ μὲν ἧττον ὁ δὲ μᾶλλον ἀποπέπτωκεν. εἰ δέ τις μηδὲ τοῦτον
ἡμῶν τὸν τρόπον κατασκευαζόντων εἶναι τὸ ἀληθὲς ἀνέχοιτο, ἀλλ' ἐκεῖνό 25
35 γε ἂν κερδάναιμεν ἐκ τοῦ λόγου, τὸ μὴ ὁμοίως πάντα πρὸς ἀλήθειαν ἢ
πρὸς ψεῦδος ἔχειν, ᾧ τὸ μηδὲν ὡρίσθαι παρείπετο. διὸ τῆς ἄγαν ἀκράτου

---

2 μὴν (ex μὲν) C in mg., μὲν in textu 3 ἢ ὁ ἐκείνως apud Ar. 1008ᵇ5 legit Syr. ut Alex. et cod. Aᵇ 3. 4 ἀντιφαίνοιτο C: ἀναφαίνοιτο Us. 4 οὗ addidi, cf. Ar. 1009ᵃ1 7 καὶ ὡς coni. Us. cl. p. 79,2 10 αἱ post καὶ add. Us. 11 γὰρ recte del. Us. δέοιντο coni. Us. 19 ἴσως δὲ οὐδ' ἐπιστήμην C: corr. Brandis 20 καὶ μᾶλλον iterat C 26 δύο Ar.: $\bar{\delta}^{\alpha'}$ (i. e. τέσσαρα C) 32 αὐτοῦ Us.: αὐτὸν C τότ' ἤδη εἰπέν τι Us.: τῷ ἤδη εἰπόντι C 33 οὗ Us.: οὐχ C 34 εἶναι suprascr. C¹ 35. 36 ἢ τὸ ψεῦδος ἐκείνῳ τὸ μηδὲν C: secutus sum Usenerum

παραφροσύνης ἀπαλλαγέντες ἀμυδρὸν μὲν εἰσδέξασθαι τῶν πραγμάτων ὅρον 875a
αὐτοὺς ἠναγκάσαμεν, ὅμως δὲ γέγονέ τι τῶν προὔργου καὶ διὰ ταύτης τῆς 30
ἐρωτήσεως. ταυτὶ δὲ λέγοντος τοῦ Ἀριστοτέλους καὶ διὰ τοῦ μᾶλλον ἀληθοῦς τὸ εἶναι αὐτὸ τἀληθὲς ἐπιχειροῦντος δεικνύναι, θαυμάζω μὲν τῆς
5 ἀγχινοίας καὶ τῆς ἀποδεικτικῆς ἐπιστήμης τὸν ἄνδρα, ἠβουλόμην δὲ καὶ περὶ κύκλου καὶ ἴσου καὶ τῶν παραπλησίων τὰς αὐτὰς ἀφιέναι φωνὰς τὸν φιλόσοφον· εἰ γὰρ ὁ ἐν οὐρανῷ κύκλος καὶ μᾶλλον ἴσον, εἴη ἂν καὶ αὐτο- 35
κύκλος καὶ τὸ αὐτοῖσον. ἀλλὰ ταῦτα μὲν καὶ εἰς ἑτέραν ὑπερτεθείσθω σχολήν.

10 Πάλιν δὲ ὁ Ἀριστοτέλης εἰς ταὐτὸν ἄγει τὴν Πρωταγόρου δόξαν τοῖς τὰ μόρια τῆς ἀντιφάσεως συναληθεύειν λέγουσι. δεῖ δὲ ἐπιστῆσαι, μήποτε 40
τούτοις μὲν καὶ ἡ Πρωταγόρου δόξα καὶ πᾶσα | παραφορὰ παρέπεται 875b
ἅτε σύγχυσιν ἐργαζομένοις τῶν ὅλων, Πρωταγόρᾳ δὲ οὐχ ἕπεται τὸ κατὰ τὴν ἀντίφασιν ἁμάρτημα· εἰ μὲν γὰρ τῷ αὐτῷ καὶ γλυκὺ τὸ αὐτὸ καὶ
15 οὐ γλυκὺ ἔλεγεν εἶναι, σαφῶς περιέπιπτε τῷ κατὰ τὴν ἀντίφασιν ἁμαρτήματι· εἰ δὲ τῷδε μὲν ⟨μὴ⟩ γλυκύ φησιν αὐτὸ εἶναι τῷδε δὲ γλυκὺ καὶ 5
ὅλως τὴν ἀλήθειαν καὶ τὰ πάντα εἶναι πρός τι, οὐκ ἂν ἴσως τὸ κατὰ τὴν ἀντίφασιν ἀξίωμα συνταράττοι. ἔστωσαν δύο οἱ δοκοῦντες ἀντιφάσκειν καὶ ὁ μὲν λεγέτω καὶ νομιζέτω τοῦτ' εἶναι λευκόν, ὁ δὲ μὴ εἶναι λευκόν· ἐπιστὰς
20 αὐτοῖς ὁ Πρωταγόρας ἐρεῖ δηλονότι ταυτὶ μὴ μάχεσθαι πρὸς ἄλληλα, ἑκάτερον 10
γὰρ αὐτῶν ἀληθεύειν, καὶ εἶναι τούτῳ μὲν λευκὸν τὸ ὑποκείμενον τούτῳ δὲ οὐ λευκόν. ταῦτα δὲ οὐκ ἀντίφασιν εἶναι, ὥσπερ οὐδ' εἰ τὸν ὀκτὼ διπλάσιόν τε καὶ μὴ διπλάσιον λέγοι τις, τῶν μὲν τεσσάρων διπλάσιον ἄλλων
25 δέ τινων οὐ διπλάσιον. ταυτὶ μὲν ἐπὶ τοσοῦτον ἠπορήσθω.

Φησὶ δὲ Ἀριστοτέλης τοὺς ἀντιλέγοντας τῷ τῆς ἀντιφάσεως ἀξιώματι 15
διττοὺς εἶναι, καὶ τοὺς μὲν ἀγωνιστικωτέρων χρῄζειν ἐλέγχων, ὅσοι λόγου χάριν καὶ τῆς παρὰ τοῖς πολλοῖς εὐδοκιμήσεως προΐστανται ταύτης τῆς θέσεως, πρὸς οὓς καὶ ἤδη ἀπήντησεν ἱκανῶς, ἑτέρους δὲ διαταραχθέντας ἔκ τινων ἀποριῶν καὶ ὥσπερ παρενεχθέντας τῇ ταραχῇ τῆς διανοίας, οὓς 20
30 καὶ ὑφηγητικωτέρων ἀξιώσει λόγων, λύων αὐτῶν τοὺς διανοητικοὺς δεσμοὺς καὶ ἐπὶ τὰς κατὰ φύσιν ἐννοίας ἀνακαλούμενος. οὔτε δὲ ἰατρὸς ὁ τὴν αἰτίαν τοῦ ἀρρωστήματος ἀγνοῶν ἱκανὸς θεραπεῦσαι τὸν κάμνοντα, οὔθ' ὁ τῆς ψυχῆς κηδεμὼν μὴ διακαθήρας πρότερον τὴν ψυχὴν καὶ τὰς αἰτίας τῆς 25
ψευδοδοξίας ἐπισκεψάμενος δύναιτ' ἂν ἐπὶ τὸ τέλειον ἡμᾶς ἀναπέμψαι. διά
35 τοι τοῦτο καὶ ὁ φιλόσοφος τὰς αἰτίας τῶν κατὰ τοῦτο ψευδοδοξούντων διερευνώμενος ἀπὸ τῆς τῶν αἰσθητῶν μεταπτώσεως καὶ συνεχοῦς μεταβολῆς καὶ τῆς ἐπὶ τἀναντία τροπῆς φησιν αὐτοὺς διεστράφθαι. ὁρῶντες γὰρ ἐκ 30
τῶν αὐτῶν γιγνόμενα θερμὰ ψυχρά, ⟨ὑγρὰ⟩ ξηρά, σκληρὰ μαλακά, καὶ πάσας

7.καὶ τὸ μᾶλλον et καὶ ὁ αὐτοκύκλος coni. Us. 12 τούτους C: corr. anonymus qui haec in Brandisii usum descripsit παραφθορὰ C: corr. Us. 16 μὴ add. Us.; ut vid. μὲν in C corr. in μὴ 17 καὶ τὰ] nempe κατὰ 18 ἔστωσαν ⟨γὰρ⟩ coni. Us. 23 λέγοι scripsi: λέγει C 29 ἐνεχθέντας C: corr. Us.
33 διακαθήρας scripsi (cf. e. g. in Hermog. II 7,15): διὰ θήρας C διαθήρασας Us.
35 possis ψυχὰς pro αἰτίας aut ψευδοδοξιῶν 38 ὑγρὰ add. anonymus

τὰς ἐναντιώσεις, καὶ προειληφότες ὅτι ἐκ μὴ ὄντος οὐδὲν ἂν γένοιτο, ὑπέ- 875b
λαβον τὴν ὑποκειμένην φύσιν καὶ θερμὴν εἶναι καὶ οὐ θερμήν, καὶ ὑγρὰν
καὶ οὐχ ὑγράν· * * * ἔπεισεν ἐν πάσῃ ὁμοιομερείᾳ πάντα λέγειν εἶναι
κατ' ἐνέργειαν, δέον μὴ ὑποτίθεσθαι κατ' ἐνέργειαν ἅμα τἀναντία ἀλλὰ 35
5 δυνάμει· οἱ δὲ ἐνεργείᾳ αὐτὰ ὑπετίθεντο, πρᾶγμα μηδ' ἐπινοηθῆναι σωφρόνως
δυνάμενον. διχῶς τοίνυν λεγομένου τοῦ ὄντος, τοῦ μὲν δυνάμει τοῦ δὲ
ἐνεργείᾳ, μοναχῶς αὐτὸ λέγεσθαι ὑπελάμβανον. καὶ πάλιν τοῦ μὴ ὄντος
διχῶς λεγομένου (μὴ ὂν γὰρ καὶ τὸ μηδαμῇ μηδαμῶς ὂν καὶ τὸ μήπω 40
ὄν, ὃ εἰς ταὐτὸν ἔρχεται τῷ δυνάμει | ὄντι) κατὰ τὸν πρότερον τρόπον 876a
10 μόνως ὑπελάμβανον καὶ τοῦτο λέγεσθαι. φήσομεν οὖν πρὸς αὐτούς, ὅτι
τὸ γιγνόμενον καὶ ἐξ ὄντος γίγνεται καὶ ἐκ μὴ ὄντος, ἐξ ὄντος τοῦ δυνά-
μει, ἐκ μὴ ὄντος τοῦ μήπω ὄντος· ἄνθρωπος γὰρ καὶ ἐξ ἀνθρώπου τοῦ
δυνάμει καὶ ἐξ οὐκ ἀνθρώπου· τοιοῦτον γὰρ τὸ σπέρμα καὶ πολὺ πρὸ 5
αὐτοῦ ἡ ὕλη. τὸ αὐτὸ οὖν καὶ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, ἀλλ' οὐχὶ
15 τὰ ἐνεργείᾳ ἤδη ὄντα, ἀλλὰ τὰ δυνάμει. καὶ ταῦτα περὶ τῶν ἐν γενέσει.

Δεῖ δὲ ἐννοεῖν καὶ τὰ θειότατα τῶν ὄντων καὶ νοητὰ καὶ ἀκίνητα,
ὅπου καὶ τὸ δυνάμει πᾶν διαγέγραπται. καθαραὶ γὰρ ἐνέργειαι τἀκεῖ, ἐφ' 10
ὧν οὐδ' ἄχρις ἐμφάσεως ταὐτὸν καὶ ἔστι καὶ οὐκ ἔστι· πέρατα γὰρ πάντα
καὶ ὅροι, καὶ τὸ ἀόριστον ἐκεῖθεν ἐξελήλαται. δείξας δὲ ὁ φιλόσοφος ἐκ
20 τῶν ἐν γενέσει πραγμάτων διαστραφέντας τοὺς τὴν ἀντίφασιν οἰηθέντας
συναληθεύειν τῷ μὴ τὸ δυνάμει τοῦ ἐνεργείᾳ διαστῆσαι, καὶ τοὺς ἀμφὶ τὸν
Πρωταγόραν ἐκ τῶν αἰσθητῶν φησιν ἄλλοτε ἀλλοίων φαινομένων ταύτην 15
ἔχειν τὴν ὑπόληψιν, ὡς ἄρα τὸ φαινόμενον ἑκάστῳ τοῦτο καὶ ἔστιν· οὔτε
γὰρ πλήθει καὶ ὀλιγότητι τῶν ἀποφαινομένων ἔδει κρίνεσθαι τὰ πράγματα.
25 οὔτε ἄλλη τις αὐτῶν ἐπενοεῖτο διάκρισις. σαφῶς τε τὰ αὐτὰ γλυκέα μὲν
ἡμῖν τοῖς ὑγιαίνουσι φαίνονται, πικρὰ δὲ τοῖς νοσοῦσι, καὶ πικρὰ μὲν ἡμῖν, 20
ἄλλοις δὲ ζῴοις γλυκέα, ὡς ὁ θαλλὸς τῆς ἐλαίας. ὅθεν καὶ ὁ Δημόκριτος
ἀπεφαίνετο μηδὲν εἶναι ἀληθὲς (ἢ ἡμῖν ἄγνωστον. Ἐμπεδοκλῆς τε καὶ Παρ-
μενίδης εἰς ταὐτὸν ἦγον τῷ φαινομένῳ τὸ ἀληθές· Ἀναξαγόρου τε λόγον
30 ἀπομνημονεύει τοιαῦτα ἡμῖν ἔσεσθαι τὰ πράγματα διεχωρισμένων ὁποῖοί
ποτ' ἂν ὦμεν αὐτοί· καὶ Ὅμηρος δέ φησιν τὸν παραφρονοῦντα Ἕκτορα 25
ὁμοίως ἔχειν φρόνησιν εἰ καὶ ἄλλην, ἀλλὰ μὴ τὴν τοῦ ὑγιαίνοντος· "κεῖτο
γὰρ ἀλλοφρονέων." ταῦτα δὲ ὅτι μὲν οἱ παλαιοὶ οὐχ οὕτως εἶπον ὡς νῦν
ὁ Ἀριστοτέλης ἐκλαμβάνει, πρόδηλον. αὐτὸς δὲ ὡς τούτων οὕτω διακει-
35 μένων, οἳ δοκοῦσιν ἡγεμόνες εἶναι τῆς παρ' Ἕλλησι φιλοσοφίας, εἰκότως 30
ἀθυμεῖν φησι τοὺς ἐπὶ ἄγραν τἀληθοῦς ἰόντας, μήποτε τὰ ἀκίνητα διώκουσι.

Πρὸς οὖν πάντας αὐτοὺς οὕτως ἀπαντᾷ· πρῶτον μὲν τὰ ὄντα οὐκ ἔστι
μόνα τὰ αἰσθητά· ἐν γὰρ τούτοις πολὺ τὸ ἐκ τῆς ὕλης ἀόριστον καὶ τὸ

---

3 ἔπεισεν non necessario corruptum; possis τοῦτο οὖν καὶ τοὺς περὶ Ἀναξαγόραν ἔπεισεν ὁμοιομερεῖ C: corr. Brandis 5 ἀπετίθεντο C: corr. Brandis 15 περὶ] ἐπὶ Us.
λ'
27 θα C cf. Alex. 305,27 28 ἢ add. Brandis 29 Anaxagoreum falsum, cf. Ar.b 27 31 ὅμηρον C: correxi (φῆσαι Us.) 32 nempe ὅμως 36 ἄγραν: ᾱ e corr. C
37 πρῶτον (ἔπειτα p. 76,3): Aristotelis ordinem invertit Syr. ὅτι pro τὰ coni. Us.

δυνάμει καὶ ἡ τῶν ἀντικειμένων φανταασία, ὡς καὶ τὸν Κρατύλον δοκεῖν τι 876a
λέγειν ἐγκαλοῦντα τῷ διδασκάλῳ, ὅτι δὶς ἔφη μὴ δύνασθαι ἡμᾶς εἰς τὸν 36
αὐτὸν ἐμπεσεῖν ποταμόν· οὐδὲ γὰρ οὐδὲ ἅπαξ δυνατὸν εἶναι. ἔπειτα δὲ ὅτι
καὶ ἐν αὐτοῖς τοῖς αἰσθητοῖς τὸ μέν τι μεταβάλλει τὸ δὲ μένει· μεταβάλλει
5 μὲν γὰρ ⟨ἡ⟩ ποσότης καὶ τἆλλα πάθη, μένει δὲ τὸ εἶδος τὸ Σωκράτους ἐκ
γενετῆς ἄχρι θανάτου. καίτοι οὐδὲ τὸ μεταβάλλον αὐτοῦ πάντῃ οὐ μένει· 10
οὐ γὰρ μεταβέβληκεν ἀλλὰ μεταβάλλει· σαφῶς δὲ τὸ εἶδος ὑπομένει, ὥστε
μηκέτι χώραν ἔχειν ἐπ' αὐτοῦ τὸ Σωκράτης καὶ οὐ Σωκρά|της. καὶ 876b
ταῦτα μὲν περὶ τῶν ἐνύλων. ἔδει δὲ καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψαι πλήρη
10 ὄντα θείων καὶ ἀπαθῶν οὐσιῶν, καὶ οὔτε αὐτὸν εἰσδεχόμενόν τι ἀόριστον
ἀπὸ τῆς γενέσεως οὔτε τὰ τῇδε πάντῃ πέρατος καὶ συνοχῆς ἔρημα κατα-
λιμπάνοντα· ἔδει δὲ καὶ τῶν νοητῶν καὶ ἀκινήτων αἰτίων εἰς ἔννοιαν ἐλθεῖν, 5
ἐξ ὧν ἁπάντων δυνατὸν ἦν συλλογίσασθαι, ὅτι οὐ πᾶν οὕτω τε καὶ οὐχ
οὕτως ἔχει. ἀλλὰ τὰ μὲν νοητὰ καὶ τὰ οὐράνια ἕστηκεν, ἕνα ὅρον καὶ μίαν
15 ἀεὶ τάξιν διαφυλάττοντα, τὰ δὲ ἐν γενέσει μικρὰ ὄντα καὶ τῷ ὄγκῳ καὶ
τῇ ἀξίᾳ ὡς πρὸς τὸν ὅλον οὐρανὸν ἐνεργείᾳ μὲν οὐ δέχεταί ποτε τἀναντία, 10
δυνάμει δὲ διὰ τὴν ὕλην. ἐπεὶ εἰ ἐνεργείᾳ ἦν ἐν τοῖς γενητοῖς τὰ ἀντικεί-
μενα, οὐδ' ἂν κίνησις ὤφθη ἐν αὐτοῖς οὐδέ τις τρόπος μεταβολῆς· νυνὶ
γὰρ τὸ λευκὸν γέγονέ τε ἐξ οὐ λευκοῦ καὶ μεταβάλλει εἰς μὴ λευκόν. εἰ
20 δὲ κατὰ ταὐτὸν καὶ λευκόν ἐστι καὶ οὐ λευκόν, καὶ ἀγένητόν ἐστι καὶ
ἄφθαρτον καὶ πάντῃ ἀμετάβλητον· εἰς ὃ γὰρ μεταβαλεῖ, οὐκ ἔχει· ὥστε 15
συμβαίνει πάντα ἱστάνειν τοὺς ἐνεργείᾳ τὰ ἀντικείμενα φάσκοντας ἐν τοῖς
γενητοῖς εἶναι. μεταβολῆς δὲ ἀναιρουμένης οὐδ' ἂν γένεσις οὐδ' ἂν γενητόν
τι εἴη· πάντα γὰρ ὑπάρχει πᾶσι.

25 Καὶ Πρωταγόραν δὲ διελέγχει πᾶν τὸ φαινόμενον ἀληθὲς εἶναι διϊσχυρι-
ζόμενον ὡς δύο ψευδεῖς προτάσεις παραλαμβάνοντα· 'πᾶσα φαντασία αἴσθησις, 20
πᾶσα αἴσθησις ἀληθής' δῆλον ⟨τὸ⟩ συμπέρασμα· ἔστι δὲ ἡ μὲν ἐλάττων
ὅλη ψευδής, ἡ δὲ μείζων ἐπί τι ψευδής· τῶν γὰρ ἰδίων ἑκάστη γίγνεται
μᾶλλον ἐγκρατής, ὅταν τὸ μεταξὺ μὴ κωλύῃ. ἔτι δὲ καταγελάστους φησὶν
30 εἶναι τοὺς ἀποροῦντας, πότερον οἱ ἐγγὺς ὄντες τῶν αἰσθητῶν καὶ οἱ ὑγιαί- 25
νοντες καὶ ἐρρωμενέστεροι καὶ ἐγρηγορότες ἄμεινον αὐτὰ κρίνουσιν, ἢ οἱ
πόρρω καὶ νοσοῦντες καὶ ἀσθενεῖς καὶ καθεύδοντες· οὔτε γὰρ οὕτω διάκεινται
(δηλοῦσι δὲ αὐτῶν αἱ πράξεις), καὶ τὰς ἀρχὰς τῆς γνώσεως, ἃς εἰλήφαμεν
παρὰ τῆς φύσεως, αἰσθήσεις τε καὶ κοινὰς ἐννοίας ἀποδεικνύναι ἡμᾶς ἀναγκά- 30
35 ζουσι, περὶ ἃς κρεῖττον ἁπάσης ἀποδείξεως διακείμεθα. ἔσται οὖν ἡ μὲν
τοῦ τεχνίτου δόξα περί τε τῶν ἐνεστώτων καὶ τῶν μελλόντων κυριωτέρα
τῆς τῶν ἰδιωτῶν, κἂν πολλαπλασίους οὗτοι τύχωσιν ὄντες· ἡ δὲ τῆς ὄψεως
κρίσις ἐπὶ χρωμάτων τῆς γεύσεως, ὥσπερ ἡ γεῦσις ἐπὶ χυμῶν κρατεῖ τῆς 35
ὄψεως, καὶ οὕτως ἐφ' ἑκάστων, τὸ οἰκεῖον κριτήριον οὐδέποτέ φησι τὸ
κρινόμενον οὕτως ἔχειν καὶ οὐχ οὕτω. τί οὖν; τὸν αὐτὸν οἶνον οὐ νῦν

3 οὐ γὰρ οὐδὲ Us.: 5 ἡ adieci 11. 12 καταλιμπάνοντας. δεῖ C: corr. Us.
13 τε Us. γε C 18 hic et infra v. 23 οὔτε . . . οὔτε restituere possis 27 τὸ
inseruit Us. 29 ἀκριβής vel κριτής Us.

μὲν γλυκὺν νυνὶ δὲ πικρὸν ἡ γεῦσις ἀποφαίνεται; ἢ πρῶτον μὲν ἐν ἄλλῳ 876b
καὶ ἄλλῳ χρόνῳ (τοῦτο δὲ οὐκ ἀντίφασις), ἔπειτα δὲ οὐδὲ οἴνου ἐστὶ κριτικὴ
καθ' αὑτὸ ἀλλὰ γλυκύτητος, ἣ οὐκέτι προσπίπτει ἤτοι τοῦ οἴνου μεταβάλλοντος 10
ἢ χυμοῦ τινος περὶ τὴν γλῶτταν συμπλεκομένου αὐτῇ καὶ διαφθείροντος
5 αὐτήν· ἐπεὶ ἔστ' ἂν γλυκύτης διαμένουσα προσβάλλῃ τῇ γλώττῃ, | τὴν 877a
αὐτὴν ἡ γεῦσις ἐκφέρει κρίσιν περὶ αὐτῆς. ὅλως δὲ οἱ τὰς θέσεις ταύτας
εἰσηγούμενοι λόγοι τὰς μὲν οὐσίας ἐκ τῶν πραγμάτων ἀναιρεῖν ἐπιχειροῦσι,
τὰς δὲ ἀναγκαίας προτάσεις ἐκ τῶν ἀποδείξεων· οὔτε γὰρ ἐπὶ τῶν κατ'
οὐσίαν ὑπαρχόντων οὔτε ἐπὶ τῶν ἀναγκαίων προτάσεων χώραν ἔχει τὸ 5
10 οὕτω τε καὶ οὐχ οὕτω. πρὸς τούτοις δείκνυσιν, ὅτι οἱ πᾶν τὸ φαινόμενον
ἀληθὲς εἶναι λέγοντες συναπογεννῶσι τὰ αἰσθητὰ ταῖς αἰσθήσεσιν. ἀναιρου-
μένων οὖν ζῴων καὶ αἰσθήσεων οὐδὲ τὰ αἰσθητὰ ἔσται, ὥστε οὐδὲ ἔσται
πάντα κατ' αὐτοὺς αἰσθητά. καίτοι τὰ κινητικὰ τῶν κινητῶν ἔδει πρότερα 10
εἶναι· νῦν δὲ τὰ αἰσθητὰ καὶ συναπογεννᾶται ταῖς αἰσθήσεσι καὶ συνδια-
15 φθείρεται.

Ὅταν δὲ κρατούμενοι τούτοις τοῖς λόγοις ἐρωτῶσι, τίς οὖν ἔσται ὁ
κρίνων τὸν ὑγιαίνοντα καὶ μή, τὸν φρόνιμον καὶ μή, εἰ μὲν τῶν ἀπορούντων
εἶεν, ἐροῦμεν πρὸς αὐτοὺς ὅτι τῶν μὲν κατὰ φύσιν κριτικοί ἐσμεν ὡς γευ-
στικοὶ τῶν γλυκέων, τῶν δὲ τὴν κρίσιν τοῖς ἐπιστήμοσι καταλείψομεν, οὓς
20 ἐκ τῶν ἔργων ἔγνωμεν ἐπιστήμονας ὄντας, ἔχομεν δὲ καὶ κοινὰς ἐννοίας,
δι' ὧν πολλὰ δυνάμεθα συνορᾶν, καὶ οὐ χρὴ τὰς ἀρχὰς τῆς γνώσεως ἀπο-
δεικτὰς ποιεῖν· εἰ δὲ τῶν ἐριστικωτέρων, τἀληθῆ καὶ πρὸς τούτους δικαιο-
λογησόμεθα· φήσομεν γὰρ αὐτοὺς ἀδύνατα παρ' ἡμῶν ἐπιζητεῖν· ἃ γὰρ 20
ἐμέλλομεν αὐτοὺς ὁρᾶν εἰς ἀντίφασιν περιιστάντες, ταῦτα προλαμβάνοντες
25 αὐτοὶ κατεδέξαντο. καθάπερ οὖν τοὺς ἑαυτοὺς κατακρημνίζοντας ἢ ἄλλως
πως ἀποκτιννύντας οὐκ ἔστιν οὐκέτι διὰ κολάσεως ἐπανορθώσασθαι, τὸν
αὐτὸν τρόπον οὐδὲ τοὺς λέγοντας ἐν ἀρχῇ τὰ τῶν παραλογωτάτων ἀφρονέ- 25
στατα δυνατὸν περιτρέψαι· φθάσαντες γὰρ ἃ ἔμελλεν αὐτοῖς ὁ ἔλεγχος
εἰς θεραπείαν προσφέρειν, ἐπὶ τὸ ἀνίατοι γενέσθαι προσήλαντο, καὶ τοῦτο
30 τῆς πολυαράτου σοφίας ἀπολελαύκασι τὸ δυνατώτεροι γενέσθαι τῶν ἐπιχει-
ρούντων αὐτοὺς ἰάσασθαι. πλὴν τά γε * * * ἐγχωροῦντα λέγεσθαι πρὸς 30
αὐτοὺς τοιαῦτά ἐστιν· εἰ πᾶν τὸ φαινόμενον ἀληθές ἐστι, πρός τί ἐστι τὰ
πάντα, ἵνα τόδε ᾖ ἀληθὲς καὶ τότε καὶ διὰ τῆσδε τῆς αἰσθήσεως τοιῶσδε
ἐνεργοῦντι· εἰ δὲ μή, οὐδὲν μᾶλλον ἀληθὲς ἢ ψεῦδος εὑρεθήσεται. εἰ τοίνυν
35 πάντα τὰ φαινόμενα ἀληθῆ, πάντα τὰ φαινόμενα πρός τι, καὶ εἰ μὴ πάντα
πρός τι, ἀλλ' ἔστι τι καὶ ἀληθὲς καθ' αὑτὸ καὶ ὡρισμένην ἔχον φύσιν, οὐ πᾶν 35
τὸ φαινόμενον ἀληθές· τὸ γὰρ αὐτὸ τῷδε μὲν λευκὸν τῷδε δὲ οὐ λευκὸν
φαίνεται· εἰ μὲν οὖν ἑκάτερος αὐτῶν ἀληθεύσει, πρός τι ἂν εἴη τὰ πράγματα.
δῆλον γὰρ ὅτι οὐχ ἁπλῶς ἐστι λευκὸν τὸ ὑποκείμενον, ἀλλὰ τῷδε μὲν λευκὸν
τῷδε δὲ οὐ λευκόν· εἰ δὲ ὡρισμένην ἔχοι φύσιν τινὰ καὶ εἴη καθ' αὑτὸ 40

---

3 καθ' αὑτὴν Us. 13 τὰ πάντα et εἰ (vel ᾖ) αἰσθητά Us. 27. 28 ἀφρονέστατα scripsi: ἐμφρονέστατα C 29 ἐπὶ τὸ Us.: ἐπὶ τῷ C προσήλαντο scripsi: προσήκαντο C (tuetur Diels): προσίκοντο Us. 31 spatium 10-12 litt. in C

λευκὸν ἢ μὴ λευκόν, δῆλον ὅτι ὁ ἕτερος διέψευσται. ἀληθὴς οὖν ὁ λόγος 877ᵃ
ὁ συνημμένος· εἰ γὰρ πᾶν τὸ φαινόμενον ἀληθές, πάντα πρός τι· ἀλλὰ
μὴν οὐ πάντα πρός τι, ὡς ἐπιδείξω, οὐκ ἄρα πᾶν τὸ φαινόμενον ἀληθές.

Ὅτι δὲ μὴ πάντα πρός τι, δείκνυσιν οὕτως· εἰ | τὰ δοξαστὰ αὐτὰ 877ᵇ
5 πάρεστι κατὰ τὸ ὑποκείμενον σὺν τῇ δόξῃ, οὔτ' ἂν ἀποσδόκητόν τι προσ-
πέσοι οὔτ' ἂν δοξασθὲν ἀτελεύτητον μένοι. ἀλλὰ μὴν ἑκάτερον ἐναργές·
τά τε γὰρ δοκηθέντα οὐκ ἐτελέσθη καὶ τῶν ἀδοκήτων πόρος εὑρέθη· οὐκ ἄρα
συναποτίκτεται τῇ δόξῃ τὸ δοξαστόν· εἰ ⟨δὲ⟩ τοῦτο, οὐ πάντα πρός τι. ἔτι 5
εἰ πάντα πρός τι, οὐκ ἔσται ὁ ἄνθρωπος καὶ δοξάζον καὶ δοξαζόμενον·
10 τὸ γὰρ πρός τι ἑτέρου ἐστίν. εἰ οὖν ⟨τὸ⟩ αὐτό ἐστι δοξαζομένῳ εἶναι καὶ
ἀνθρώπῳ εἶναι (τοῦτο γὰρ ἔχει ἡ ὑπόθεσις καὶ δοξάζοντι καὶ ἀνθρώπῳ
εἶναι), οὐ πρὸς ἕτερον ῥηθήσεται· ὃ καὶ τῆς ὑποθέσεώς ἐστιν ἀνατρεπτι- 10
κώτατον καὶ τῇ ἀληθείᾳ μαχόμενον. ἔτι τῶν πρός τι ὃ ἂν λάβῃς, πρὸς
ἓν εὑρήσεις λεγόμενον ἢ πάντως γε πρὸς ὡρισμένα· τὸ δὲ δοξάζον πρὸς
15 τὸ δοξαζόμενον εἰ λέγοιτο, πρὸς ἄπειρα ῥηθήσεται· δοξάζεται γὰρ ἵππος
κύων ἔλαφος καὶ πᾶν φυτόν. εἰ μὲν οὖν ἄλλο ἦν ἑκάστῳ τὸ εἶναι, πάθημα
δὲ κοινὸν αὐτῶν τὸ δοξάζεσθαι, πρὸς ἓν ἐλέγετο τὸ δοξάζον· πρὸς γὰρ τὸ 15
κοινὸν πάθημα τῶν ζῴων καὶ τῶν φυτῶν. εἰ δὲ ταὐτὸν ἑκάστῳ αὐτῶν
τό τε εἶναι καὶ τὸ δοξάζεσθαι, εἴγε συναποτίκτεται τῇ δόξῃ τὸ εἶδος αὐτῶν,
20 εἴη ἂν πρὸς ἀόριστα λεγόμενον τὸ δοξάζον· οὐκ ἄρ' ἅπαντα πρός τι, οὔτε
πᾶν τὸ φαινόμενον ἀληθές.

Τοσαῦτα πρὸς τὰς θέσεις εἰπὼν ταύτας ὁ φιλόσοφος οὐ τὰ περὶ τῆς 20
ἀντιφάσεως μόνα βεβαιοῖ, ἀλλὰ καὶ περὶ ἄλλων ἀξιωμάτων διαλέγεται, οἷον
ὅτι τἀναντία τῷ αὐτῷ παρεῖναι κατὰ ταὐτὸν καὶ ὡσαύτως ἀδύνατον, καὶ
25 ὅτι μεταξὺ ἀντιφάσεως οὐδέν· εἰ γάρ ἐστι τί, ἀληθεύσει πάντως ἢ ψεύσεται· 25
παντὶ γὰρ ἀποφαντικῷ λόγῳ τοῦτο ὑπάρχει· ἀλλ' οὐδὲν ἄλλο πέφυκεν ἀλη-
θεύειν ἢ ψεύδεσθαι πλὴν φάσεως καὶ ἀποφάσεως· οὐκ ἄρα ἔστι τί. πῶς
δὲ αὗται μόναι ἀληθεύουσι; πᾶς ὁ ἀληθεύων ἢ τὸ ὂν εἶναί φησιν ἢ τὸ μὴ
ὂν μὴ εἶναι· τοῦτο δὲ φάσις καὶ ἀπόφασις. πῶς δὲ καὶ ψεύδονται; πᾶς
30 ὁ ψευδόμενος ἢ τὸ μὴ ὂν εἶναί φησιν ἢ τὸ ὂν μὴ εἶναι. ἔστι δὲ τὸ μὲν
πρότερον κατάφασις ψευδής, τὸ δὲ δεύτερον ἀπόφασις ψευδής· οὐδὲν ἄρα
μεταξὺ καταφάσεως καὶ ἀποφάσεως, οὔθ' ὡς τὸ φαιὸν λευκοῦ καὶ μέλανος 30
εἶναι λέγεται μεταξύ, οὔθ' ὡς ἵππου καὶ ἀνθρώπου τὸ μηδέτερον ὄν.
ὁμοίως δέ φησι χρῆναι καὶ πρὸς τὰς ἄλλας ἵστασθαι θέσεις· μοναχῶς γὰρ
35 κατὰ πάντων οὐδὲν πέφυκε τῶν ὄντων λέγεσθαι· οὔτε ἄρα πάντα ἀληθῆ
οὔτε πάντα ψευδῆ, εὖθ' Ἡράκλειτος καὶ Ἀναξαγόρας προΐσταντο τῶν λόγων 35
εἴτ' ἄλλοι τινές· πρὸς γὰρ τῇ ἄλλῃ τερατολογίᾳ καὶ ἑαυτοὺς ἀνατρέπουσιν
οἱ τοιοῦτοι τῶν λόγων. εἰ γὰρ πάντα ἀληθῆ, καὶ ἃ φάσκονταί σε ψεύδεσθαι
πάντως ἀληθῆ. καὶ εἰ πάντα ψευδῆ, καὶ τὸ σὸν δὴ τοῦτο δόγμα ψεύδεται.

---

5 πάρεστι Us.: ἅπερ ἐστι C 5.6 προσπέση et μένει C 7 cf. Eur. Med. 1417 sq. etc. 8 δὲ inserui Ar. 1011ᵇ9 ante ᵇ7 tractat Syr. 10 τὸ addidi 13 ὃ ἐὰν C: corr. Brandis 20 οὐκ ἄρ' Us.: οὐ γὰρ C 31 ἀπόφασις . . . κατάφασις C, mutavi 35 οὔτε γὰρ C: corr. Us. 38 φάσκονται suspectum, ἔφασκον Us.

εἰ δὲ πάντες μὲν ἀληθεύσουσι παρὰ τὸν ἀντιλέγοντα τῷ θαυμαστῷ τούτῳ 877ᵇ
λόγῳ, πάντες δὲ ψεύσονται πλὴν αὐτοῦ, πολλοὶ καὶ ὡς ἔσονται κατὰ μὲν 40
τὸν εἰπόντα πάντα ἀληθῆ οἱ ψευδόμενοι· οὐ γὰρ μόνος ὁ ἀντιλέγων αὐτῷ,
ἀλλὰ καὶ ὁ τοῦτον ἀποδεχόμενος καὶ ὁ τὸν ἀποδεχόμνον ἐπαινῶν, καὶ τοῦτο
5 εἰς ἄπειρον· ὥστε πολλοὶ ψεύσονται. κατὰ δὲ τὸν εἰπόντα πάντα ψευδῆ
πάλιν οἱ ἀληθεύσοντες πολλοί· | αὐτός τε γὰρ οὗτος καὶ οἱ τούτου θια- 878ᵃ
σῶται καὶ οἱ τῶν ἐπαινετῶν ἐπαινέται, καὶ χορὸς οὐκ ὀλίγος ἕψεται τῶν
ἀληθευσόντων. ἀλλ' οὐδ' εἴ τις πάντα κινεῖσθαι ἢ πάντα ἠρεμεῖν φήσει,
ἐφησόμεθα, οὐδ' εἴ τις τὰ πάντα νῦν μὲν ἠρεμεῖν νῦν δὲ κινεῖσθαι λέγοι.
10 καὶ γὰρ ἐροῦμεν πρὸς αὐτόν, ὅτι ἕνα λόγον κατὰ πάντων εἰπεῖν τῶν ὄντων 5
ἀληθῶς οὐχ οἷόν τε. τούτων οὖν τὰ μὲν ἀκίνητα φήσομεν εἶναι, ὡς τὰ
νοητὰ αἴτια καὶ τοὺς πόλους καὶ εἴ τι τοιοῦτον, τὰ δὲ ἀεικίνητα, ὡς τὰ
κατ' οὐρανόν, τὰ δὲ ποτὲ μὲν κινεῖσθαι ποτὲ δὲ ἠρεμεῖν, ὡς τὰ ἐν γενέσει.

Τοσαῦτα κατὰ ταύτην διαλεχθεὶς τὴν βίβλον ὁ Ἀριστοτέλης καταπαύει 10
15 τὴν περὶ τούτων διδασκαλίαν, διδάξας μὲν περὶ ἃ | στρέφεται ὁ πρῶτος 878ᵇ
φιλόσοφος, παραστὰς δὲ καὶ τοῖς περὶ τῆς ἀντιφάσεως ἀξιώμασιν, ἔτι δὲ
ἄλλας ἀρχὰς διαλεκτικάς τε ἅμα καὶ φυσικὰς ὡς οἷόν τε ἦν συγκροτήσας,
καὶ ἐπὶ πᾶσιν ἐκεῖνο παρεγγυησάμενος, μηδένα λόγον ἕν τι τοῖς οὖσι πᾶσιν
ἀποκληροῦντα προσίεσθαι πλὴν εἰ μὴ ὁμωνύμως λέγοι· 'πάντα ἐφίεται τἀγαθοῦ' 5
20 δεῖ συγχωρεῖν, ὁμώνυμον γὰρ τὸ τῆς ἐφέσεως· 'πάντα τὰ ὄντα ἔστι' ⟨οὐ⟩
δεῖ συγχωρεῖν· οὐ γὰρ ταὐτὸν τοῖς πᾶσι τὸ εἶναι· συνώνυμον δὲ κατηγορίαν
ἐπὶ πάντων οὐδεμίαν προσίεσθαι δεῖ, πολυειδῶν ὄντων οὕτω τῶν τε ἐγκο-
σμίων καὶ τῶν ὑπερκοσμίων. | 10

---

2 ψεύδονται C: corr. Us. 9 ἐφησθησόμεθα C: corr. Us. 18 πᾶσιν Us.: πάλιν C
19 ⟨οἷον⟩ πάντα coni. Us. recte 20 δεῖ] οὐ δεῖ Us. 20. 21 οὐ δεῖ scripsi: δὴ C
(δεῖ Us.) 21 οὐ γὰρ C: τοῦτο γὰρ Us. 22 προίεσθαι C: correxi

ΣΥΡΙΑΝΟΥ ΤΟΥ ΦΙΛΟΞΕΝΟΥ

ΕΠΙΣΚΕΨΕΙΣ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΑΠΟΡΙΩΝ ΠΡΟΣ ΤΑ ΜΑΘΗΜΑΤΑ ΚΑΙ ΤΟΥΣ ΑΡΙΘΜΟΥΣ ΤΩΝ ΕΝ ΤΩΙ Μ ΚΑΙ Ν ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΠΡΑΓΜΑΤΕΙΑΣ.

Οὔκ εἰμι τῶν φιλαπεχθημόνων, οὐ μὴν οὐδὲ τῶν ἐν ὀλίγοις ἢ τοῖς 878a
τυχοῦσι τὸν Ἀριστοτέλη διδάσκαλον ἐπιγραφομένων, ἀλλὰ τῶν τάς τε λογικὰς
αὐτοῦ μεθόδους ὡς ἐπὶ πᾶν τεθαυμακότων καὶ τῶν τὰς ἠθικάς τε καὶ
φυσικὰς πραγματείας ὑπερφυῶς ἀποδεχομένων. καὶ ἵνα μὴ νῦν πάντα διαρι-
θμούμενος, ὅσα κάλλιστα καὶ ἄριστα τῷ ἀνδρὶ τῷδε πεφιλοσόφηται, μακρὸς
εἶναι δόξω, τί οὐ πᾶς τῶν εὖ φρονούντων τὰ ἐν τῇ τελεωτάτῃ πραγματείᾳ
ταύτῃ περί τε ἐνύλων εἰδῶν καὶ ὁρισμῶν εὐστόχως εἰρημένα περί τε τῶν
θείων καὶ ἀκινήτων ἐξῃρημένων κόσμου τοῦ σύμπαντος αἰτίων σὺν ἀπο-
δείξεσι ταῖς ἐγχωρούσαις παραδοθέντα, καίπερ ὄντα πάσης συνθέσεως καὶ
διεξόδου πυκνοτέρας ὑπέρτερα, δικαίως ἂν ἀγασθείη καὶ τὸν ἡγεμόνα τῆς
τοιαύτης θεωρίας εὐεργέτην τοῦ τῶν ἀνθρώπων βίου κατονομάσειε; τούτων
μὲν οὖν αὐτῷ πολλὴ χάρις παρά τε ἡμῶν παρά τε πάντων τῶν συνῃσθη-
μένων αὐτοῦ τῆς ἀγχινοίας ὀφείλεται. ἐπειδὴ δὲ συμβέβηκε δι' ἅς τινάς
ποτ' αἰτίας καὶ ἐν ἄλλοις μὲν μέρεσι τῆς θεολογικῆς πραγματείας, διαφερόν-
τως δὲ ἐν τοῖς τελευταίοις δύο βιβλίοις, τῷ Μ καὶ τῷ Ν, πολλήν τινα
καταδρομὴν αὐτὸν ποιήσασθαι κατὰ τῶν Πυθαγορείων καὶ Πλατωνικῶν ἀρχῶν
οὐδὲν μὲν ἐχέγγυον οὐδὲ | ἱκανὸν πρὸς αὐτὰς λέγοντα, τὰ πολλὰ δὲ οὐδὲ 878b
πρὸς αὐτάς, εἰ χρὴ τἀληθὲς ἀπροφασίστως εἰπεῖν, ἀπαντῶντα, ἰδίαις δὲ
ὑποθέσεσι τὰς ἀντιλογίας προσάγοντα, εὔλογον ὤφθη φειδοῖ τῶν ἁπλουστέρων
ἀκροατῶν, ὡς ἂν μὴ τῇ δόξῃ τῇ δικαίᾳ κατεχόμενοι τἀνδρὸς εἰς κατα-
φρόνησιν ὑπενεχθῶσι τῶν θείων πραγμάτων καὶ τῆς ἐνθέου τῶν πρεσβυτέρων
φιλοσοφίας, βασανίσαι τὰ ῥηθέντα κριτικῶς ἅμα καὶ ἀδεκάστως εἰς δύναμιν,
καὶ ἐπιδεῖξαι τάς τε Πυθαγόρου καὶ Πλάτωνος περὶ τῶν ἀρχῶν θεωρίας
ἀνελέγκτους καὶ ἀπτώτους διαμεμενηκυίας, ⟨καὶ τὰς⟩ Ἀριστοτέλους κατὰ
τούτων ἐπιχειρήσεις τὰ πολλὰ μὲν παρὰ θύρας ἀπαντώσας καὶ οὐδὲν τοῖς
θείοις ἀνδράσιν ἐκείνοις προσήκοντα σκέμματα διερευνωμένας, ὀλιγάκις δὲ

6 τῶν abundat 9 τί Us.: τίς C 17 nempe θεολογικῆς ταύτης 18 τῶν
μ̄ καὶ τῶν ν̄ C 20 αὐτὰ C: corr. AH 22 ἐφάνη coni. Us. 27 add. Us.

λέγειν μέν τι πρὸς αὐτὰς καὶ ἀποτείνεσθαι προθυμουμένας, ἔλεγχον δὲ οὔτε 878ᵇ
ἐλάττονα οὔτε μείζονα προσφέρειν δεδυνημένας. καὶ τοῦτο ἀναγκαίως συμ- 25
βέβηκεν· οὔτε γὰρ τὸ ἀληθὲς ἐλέγχεταί ποτε κατὰ τὸν θεῖον ἐκεῖνον καὶ τοὺς
περὶ τῶν ἀρχῶν λόγους ἐξομοιοῦντες τοῖς πράγμασιν οἱ πατέρες αὐτῶν
5 μονίμους καὶ ἀμεταπτώτους καθ' ὅσον προσήκει λόγοις εἶναι κατεστήσαντο.
φροιμίων μὲν οὖν ἅλις.

Ἐπειδὴ δὲ τὴν προαίρεσιν καὶ τὴν ἐπαγγελίαν τοῦ συγγράμματος 879ᵃ
εἴπομεν, καιρὸς αὐτῶν ἔχεσθαι τῶν ἀγώνων. πάντως ⟨γὰρ⟩ εἴτε ἀγωνιστάς
τις ἡμᾶς ἀποκαλεῖν θελήσειεν ὡς ἀπολογουμένους πρὸς τὰ κατὰ τῆς καλλίστης
10 καὶ ἀρίστης τῶν φιλοσοφιῶν ἐγκλήματα, εἴτε διαιτητὰς τῶν τε ἁπλουστέρων 5
καὶ νοερωτέρων ἐπιβολῶν τῆς ἐποπτικῆς τῶν ἀπὸ Πυθαγόρου θεωρίας καὶ
τῶν λογικωτέρως πρὸς αὐτὰς ἠπορημένων ὑπὸ τοῦ δεινοτάτου τῶν πώποτε
ἱστορηθέντων Ἀριστοτέλους, οὐ φευξόμεθα τὴν θέσιν τοῦ ὀνόματος· μόνον
εἴη δικαίως καὶ ἐμφρόνως καὶ φιλαλήθως ἐν αὐτοῖς διαγίγνεσθαι.

15 Ἀρκτέον δὲ ἐντεῦθεν. προειπὼν ὁ Ἀριστοτέλης, ὡς χρὴ περὶ τῶν 10
ἀρχῶν τῶν ἀκινήτων τὰ ἑτέροις δεδογμένα βασανίσαι καὶ διερευνήσασθαι,
δύο μέν φησιν εἶναι δόξας περὶ ἀρχῶν, τήν τε τὰ μαθήματα πρεσβεύουσαν
καὶ χωριστὴν οὐσίαν αὐτοῖς ἀπονέμουσαν, τήν τε τὰς ἰδέας ἐκτιμῶσαν καὶ
πάντα κατ' ἐκείνας καὶ πρὸς ἐκείνας τὴν ὑπόστασιν ἔχειν ὑπολαμβάνουσαν·
20 αὐτῷ δὲ τρία προκεῖσθαι σκέμματα, πρῶτον μὲν εἰ ἔστι τὰ μαθηματικὰ 15
καὶ πῶς ἐστι· δεύτερον δὲ εἰ εἰσὶν αἱ ἰδέαι καὶ ὁ εἰδητικὸς ἀριθμός· τρίτον
εἰ ἀρχαὶ τῶν ὄντων ἀριθμοί εἰσι καὶ ἰδέαι. ἐπὶ τούτοις ἀναλαβὼν λέγει
περὶ τοῦ πρώτου, διελέγχων μέν, ὡς οἴεται, τοὺς τοῖς μαθήμασιν ⟨οὐσίαν⟩
ἀπονέμοντας, κυρῶν δὲ τὴν περὶ τούτων ἑαυτοῦ δόξαν, ἣ ἐξ ἀφαιρέσεως 20
25 τῶν αἰσθητῶν διαστημάτων καὶ σχημάτων παρέχει τὴν οἵαν ποτὲ τοῖς
μαθήμασιν ὑπόστασιν. πρὶν δὲ αὐτῶν ἅψασθαι τῶν κατὰ τῆς ἀληθεστέρας
αὐτοῦ δόξης ἐπιχειρήσεων βέλτιον ἴσως τὴν ἀληθῆ παραδοῦναι περὶ τού-
των τῆς ἀρχαίας φιλοσοφίας διάνοιαν, ἵνα καὶ σχῶμεν συνιδεῖν, εἴτε πρὸς 25
αὐτὴν τὴν θεωρίαν τῶν θείων ἀνδρῶν ὁ φιλεγκλήμων διαμάχεται λόγος εἴτε
30 πρὸς οἰκείας ὑποθέσεις ἱστάμενος τὰ λεχθέντα μοχθηρῶς ἀναφέπειν ἐπιχειρεῖ.

Πυθαγόρας ὁ θεῖος καὶ πάντες οἱ γνησίως τἀκείνου δόγματα τοῖς καθα-
ρωτάτοις κόλποις τῆς ἑαυτῶν διανοίας ὑποδεξάμενοι πολλὰς μὲν ἔλεγον εἶναι 30
τάξεις οὐσιῶν καὶ νοητῶν καὶ νοερῶν ⟨καὶ⟩ διανοητικῶν καὶ φυσικῶν ἢ
ὅλως ζωτικῶν καὶ ἔτι σωματοειδῶν· ἡ γὰρ τῶν πραγμάτων πρόοδος καὶ ἡ
35 συμφυὴς ταῖς προόδοις ὕφεσις κατά τινα τάξιν ἐπιτελουμένη θείαν καὶ τὸ
τῆς ἑτερότητος ἐν τοῖς γένεσι τοῦ ὄντος κράτος τὸ πλῆθος τὸ τεταγμένον
καὶ συνεχὲς ἅμα καὶ διωρισμένον ὑφίστησι τῶν τε ἀσωμάτων καὶ τῶν 35
τὴν αἴσθησιν πληττουσῶν οὐσιῶν. τὰς δ' οὖν ὡς ἐν πλάτει τρεῖς | ἔλεγον 879ᵇ

---

3. 4 Plat. Gorg. 473ᵇ πλάτωνα φησι C in mg., quod in apographorum textum irrepsit 6 cf. Plat. Tim. 29ᵇ 8 γὰρ addidi 12 λογικωτέρων Cᵃ: corr. Cᵇ 16 τὰ suprascr. C² 22 fort. αἱ ἀρχαὶ cl. Ar. 1076ᵃ30 23 οὐσίαν add. Bonitz 33 καὶ add. Us. 36 τὸ πλῆθος del. Us. 37 ὑφίστη C: corr. AH

τάξεις τῶν ὄντων, νοητὴν διανοητὴν αἰσθητήν, εἶναι δὲ καθ' ἑκάστην τὰ 879b
εἴδη πάντα μέν, οἰκείως δὲ ἀπανταχοῦ τῇ τῆς ὑπάρξεως ἰδιότητι. καὶ τὰ
μὲν νοητὰ παρὰ θεοῖς εἶναι καὶ αἴτια τῶν ἐφεξῆς ποιητικά τε καὶ παρα-
δειγματικὰ καὶ τελικά· εἰ γάρ ποτε τὰ τρία ταῦτα συντρέχει καὶ ἑνοῦται 5
5 πρὸς ἄλληλα, καθά φησι καὶ Ἀριστοτέλης, οὐκ ἐν τοῖς ἐσχάτοις ἔργοις τῆς
φύσεως τοῦτ' ἂν ὀφθείη γιγνόμενον, ἀλλ' ἐν τοῖς πρωτίστοις καὶ καλλίστοις
καὶ ἀρίστοις αἰτίοις τῶν πάντων, ἃ διὰ μὲν τὸ γόνιμον καὶ δημιουργικὸν
τῶν πάντων ἐστὶ γεννητικά, διὰ δὲ τὸ ⟨τὰ⟩ γεννηθέντα πρὸς ἑαυτὰ ἐπι- 10
στρέφειν καὶ ἑαυτοῖς ἐξομοιοῦν πάντων ἐστὶ παραδείγματα. δι' ἑαυτὰ δὲ
10 ποιοῦντα καὶ τὴν ἑαυτῶν ἀγαθότητα, καθά φησιν ὁ θεῖος Πλάτων, πῶς
οὐχὶ τὴν τελικὴν αἰτίαν ἐπιδείκνυται; τὰ μὲν οὖν νοητὰ εἴδη τοιαῦτα ὄντα
καὶ τοσούτων ἀγαθῶν ἐξηγούμενα τοῖς ὅλοις τὰς θείας συμπληροῖ διακο-
σμήσεις, θεωρεῖται δὲ τὰ πολλὰ περὶ τὴν δημιουργικὴν τάξιν τὴν νοεράν. 15
τὰ δὲ διανοητὰ μιμεῖται μὲν τὰ πρὸ ἑαυτῶν καὶ ἐξομοιοῖ τὸν ψυχικὸν διά-
15 κοσμον τῷ νοητῷ, περιέχει δὲ πάντα δευτέρως καὶ δημιουργεῖ μὲν καὶ
αὐτὰ παρὰ ταῖς θείαις ψυχαῖς καὶ δαιμονίαις θεωρούμενα, γνωστικὰ δὲ
μόνον ἐστὶ παρ' ἡμῖν τοῖς τὰς θεωρίας οὐκέτι δημιουργικὰς ἔχουσι διὰ 20
τὴν πτερορρύησιν· ἐπεὶ ὅτι καὶ τὸ ἡμέτερον τελειωθὲν καὶ ἐπτερωμένον
μετεωροπολεῖ τε καὶ πάντα τὸν κόσμον συνδιοικεῖ τοῖς θείοις, μαρτυρεῖ καὶ
20 ὁ ἐν Φαίδρῳ Σωκράτης. ταῦτα δὴ τὰ διανοητὰ εἴδη ἐν μὲν Τιμαίῳ σαφῶς
ὁ Πλάτων ἐντιθέναι φησὶ τὸν δημιουργὸν ταῖς ψυχαῖς, δι' ἀναλογιῶν γεω-
μετρικῶν τε καὶ ἀριθμητικῶν καὶ ἁρμονικῶν αὐτὰς διακοσμοῦντα· ἐν δὲ 25
τῇ κατατομῇ τῆς ἐν Πολιτείᾳ γραμμῆς εἰκόνας μὲν εἶναι τῶν νοητῶν (καὶ
διὰ τοῦτό ποτε νοητὰ καλεῖν οὐκ ἀπηξίωσε), προεστάναι ⟨δὲ⟩ παραδειγματικῶς
25 τῶν αἰσθητῶν· ἐν δὲ Φαίδωνι τῆς ἀναμνήσεως ἡμῖν αἴτια γίγνεσθαι· οὐ
γὰρ ἄλλων τινῶν αἱ μαθήσεις ἀναμνήσεις ἢ τῶν μέσων εἰδῶν, ταὐτὸν δὲ 30
εἰπεῖν τῶν ἑστώτων καθόλου λόγων, οὐ τῶν ὑστερογενῶν ἀλλὰ τῶν κατ'
οὐσίαν προϋπαρχόντων ταῖς ψυχαῖς, ὑφ' ὧν καὶ οἱ τῆς φύσεως ἐμπνεόμενοι
λόγοι καὶ ποδηγετούμενοι τὰ καθ' ἕκαστα δημιουργεῖν δύνανται. ἐν μὲν
30 γὰρ τῇ οὐρανίᾳ φέρε ψυχῇ τὸ πάντας τοὺς ἐν σφαίρᾳ μεγίστους κύκλους
διχοτομεῖν ἀλλήλους προὔπαρχει δραστηρίως καὶ δημιουργικῶς, ὥσπερ ἐν 35
ἡμῖν γνωστικῶς μόνον, ἐν αὐτῷ δὲ τῷ οὐρανῷ ὁ ζῳδιακὸς | καὶ ὁ 880a
ἰσημερινὸς καὶ ὁ μεσημβρινὸς εἰ τύχοι καὶ οἱ ὁρίζοντες διχοτομοῦσιν ἀλλή-
λους, τῆς μὲν ψυχῆς ἑνιαίως τὰ πάντα καὶ περιλαβούσης ταῖς ἑαυτῆς δια-
35 νοήσεσι καὶ δημιουργούσης, τοῦ δὲ οὐρανίου σώματος μεμερισμένως ὧν δεῖται
μόνον ὑποδεξαμένου. διὸ καὶ ⟨αἱ⟩ ἀποδείξεις τοῖς ἀστρονόμοις ἐκ καθόλου 5
καὶ μερικῶν προτάσεων γίγνονται, τῆς μὲν καθόλου τὴν αἰτίαν ἐχούσης διὰ
τὸ ἐν ψυχῇ τῇ τὸ πᾶν ὑφιστανούσῃ προϋπάρχειν, τῆς δὲ μερικῆς ἐκ τῶν

---

1 cf. Iambl. ap. Stob. I 365,12 Procl inst. theol. 103 in Crat. 67 etc. 3 ἑξῆς AH non male 5 cf. Ar. phys. II 7 p. 198a24 8 τὰ add. A 10 Plat. Tim. 29e 18 cf. Plat. Phaedr. 248b 20 Plat.. Phaedr. 246bsqq. Plat. Tim. 34c sqq. 22 αὐτὰ C: corr. Bag. 23 Plat. resp. VI 509dspq. 24 προεστάναι C: corr. Brandis δὲ add. Us. 25 Plat. Phaed. 72e 28 fort. ἐν ταῖς 36 αἱ addidi

αἰσθητῶν εἰλημμένης· ἀπέθετο γὰρ δὴ καὶ ἐν τοῖς αἰσθητοῖς τὰ πάντα. 880a
ὡς ἐνῆν, ὁ μέγας Ἥφαιστος κατασκευάσας, ὥς φησιν ἡ θεία ποίησις, 10

"πόρπας τε γναπτάς θ' ἕλικας κάλυκάς τε καὶ ὅρμους
ἐν σπῆι γλαφυρῷ."

καὶ ταῦτά ἐστι τὰ τριττὰ εἴδη, ἃ οἱ Πυθαγόρειοι τῶν αἰσθητῶν ἀχώριστα αἴτια ᾤοντο εἶναι, τελευταίας εἰκόνας ὄντα τῶν χωριστῶν εἰδῶν, καὶ διὰ τοῦτο τοῖς αὐτοῖς ὀνόμασιν οὐκ ἀπαξιοῦντες αὐτὰ προσαγορεύειν. ὑπὸ δὴ τούτων ἡ πεσοῦσα εἰς γένεσιν ψυχὴ διεγειρομένη καὶ ἀνακινουμένη εἰς ἀνάμνησιν μὲν ἔρχεται τῶν [ἐκ τῶν] μέσων εἰδῶν, ἀνάγει δὲ τοὺς οἰκείους λόγους ἐπὶ τὰ νοητὰ καὶ πρῶτα παραδείγματα· καὶ οὕτως ὄρεξις καὶ ἀκοὴ συντελοῦσιν εἰς φιλοσοφίαν καὶ τὴν περιαγωγὴν τῆς ψυχῆς. 20

Τούτων οὕτω προειλημμένων οὐ διαφωνοῦσι Πλάτων καὶ Πυθαγόρας καὶ οἱ ἀπ' αὐτῶν πρὸς ἀλλήλους περὶ τὴν τῶν εἰδῶν ὑπόθεσιν, ὥς φησιν Ἀριστοτέλης, ἀλλ' οἱ μὲν Πυθαγόρειοι περὶ τῶν αἰσθητῶν πρῶτον διαλεγόμενοι τοῖς αὐτοῖς ὀνόμασιν ἐχρῶντο κατ' ἀναλογίαν αὐτὰ μεταφέροντες ἐπί τε τὰ μέσα καὶ τὰ πρώτιστα τῶν πραγμάτων, ὅθεν καὶ ἔδοξαν, οὐκ Ἀριστοτέλει φαίην (ἄν), ἀλλὰ τοῖς ἐπιπολαιότερον τἀκείνων ἱστορήσασι, περὶ μόνων τῶν ἀχωρίστων εἰδῶν διαλέγεσθαι. τινὲς δὲ περὶ τοὺς μέσους λόγους τῆς ψυχῆς διατρίψαντες ἀπ' αὐτῶν ὡς εἰκόνων μὲν περὶ τῶν νοητῶν ἐνεδείκνυντο, ὡς δὲ παραδειγμάτων περὶ τῶν ἐν αἰσθήσει φερομένων εἰδῶν· οἳ καὶ δοκοῦσι τοῖς πολλοῖς μόνην πρεσβεύειν τὴν μαθηματικὴν οὐσίαν, ἐπειδὴ μαθηματικοῖς ὀνόμασι τὰ πρῶτα καὶ μέσα καὶ τελευταῖα τῶν εἰδῶν παρεδίδοσαν· ἄλλοις δὲ διαστροφωτέροις ἔδοξάν τινες τούτων καὶ συγχεῖν εἰς ταὐτὸ καὶ συμφύρειν τὰ νοητὰ καὶ διανοητὰ τῶν εἰδῶν, οὐδὲν μὲν τῶν διδασκάλων τῆς τοιαύτης θεωρίας τοιοῦτο πεπονθότων, ὑπολήψεως δὲ ψευδοῦς τισιν ἐγγενομένης διὰ τὴν τῶν ὀνομάτων κοινότητα. Πλάτων δὲ κἀν τούτοις τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδεικνύμενος καὶ τοῖς ὀνόμασι διέκρινε τήν τε | νοη- 880b
τὴν καὶ τὴν διανοητὴν οὐσίαν, ἵνα μηδὲ οἱ καθεύδοντες αὐτοῦ παρακοῦσαι δυνηθῶσι. διὸ καὶ ὁ Ἀριστοτέλης ὡς δύο χωριστὰς αὐτὸν οὐσίας ὑποτιθέμενον εὐθύνει· πότερον δὲ δικαίως ἢ οὔ, σαφὲς μὲν ἤδη πᾶσι τοῖς ἔμφροσι, δείξει δὲ οἶμαι σαφέστερον ὁ λόγος τὰ μέτρια βασανισθείς. 5

Τοσοῦτον οὖν προειπόντες, ὅτι οὐδὲ περὶ τὰς ὑποθέσεις τῶν εἰδῶν διαφωνοῦσιν οἱ ἄνδρες, εἰ καὶ ἄλλοι ἄλλως περὶ αὐτῶν ἐνεδείξαντο, καὶ ὅτι ὁ πρὸς ὀντιναοῦν αὐτῶν ἕνα διαμαχόμενος πρὸς ἅπαντας τοὺς τῶν εἰδῶν ἀντιλέγει φίλους, κατακολουθήσωμεν λοιπὸν τῇ τε διαιρέσει καὶ τῇ τάξει τῆς Ἀριστοτέλους ἀντιλογίας. καὶ προκείσθω μὲν αὐτῷ τὰ τρία προβλήματα, εἰ ἔστι τὰ μαθήματα καὶ πῶς ἐστιν, εἰ εἰσὶν αἱ ἰδέαι καὶ ὁ τῶν ἰδεῶν ἀριθμός, εἰ ἀρχαὶ ταῦτα τῶν ὄντων. διαλεγέσθω δὲ ἐν μὲν τῷ M περὶ τῶν προτέρων δύο, ἐν δὲ τῷ N περὶ τοῦ τρίτου. τῶν δὲ δύο τὸ περὶ τῆς 15

2 Il. Σ 401 cf. Procl. in Plat. remp. I 141,8 3 γναστάς θ' C: ergo γναπτάς legit Syr. ut Homeri cod. Townl., non γναμπτάς 5 τρίτα necessarium 7 ἀπὸ C: corr. Us. 9 ἐκ τῶν del. Bag. 14 Ar. 1076a16 πρῶτοι C: corr. Us. 16 ἔδοξεν C 17 ἂν add. Us. 23 διαστρεφοτέροις C: corr. Us. (διαστροφωτέρως Bag.) 37 εἰδῶν AH at cf. Alex. 722,11

ὑπάρξεως ἢ ἀνυπαρξίας τῶν μαθημάτων ἡγείσθω. σκεψώμεθα δὲ εἰ πρὸς 880b
τὸ χωριστὸν τῆς τῶν μαθημάτων οὐσίας ἱκανῶς ἵσταται, μέρους μὲν οὔσης
τῶν καθόλου λόγων καὶ τῶν μέσων εἰδῶν τῆς ψυχῆς, εἰς ἔνδειξιν δὲ τῆς
νοητῆς πάσης φύσεως εἰωθυίας ὑπὸ τῶν θείων ἀνδρῶν παραλαμβάνεσθαι.
χρῆται τοίνυν Ἀριστοτέλης ἐλέγχων αὐτῶν τὴν ὑπόστασιν διαιρετικῷ μὲν 20
τοιῷδε· εἰ γάρ ἐστι. φησί. τὰ μαθήματα, ἢ ἐν τοῖς αἰσθητοῖς
ἀνάγκη αὐτὰ εἶναι, καθάπερ λέγουσί τινες, ἢ κεχωρισμένα τῶν
αἰσθητῶν (λέγουσι δὲ καὶ οὕτω τινές)· εἰ δὲ μηδετέρως, ἢ οὐκ
εἰσὶν ἢ ἄλλῳ τρόπῳ εἰσί· τῷ τε διαιρετικῷ χρησάμενος ὀρθῶς, πλὴν 25
ὅσον ὑπέθετό τινας καὶ ἐν τοῖς αἰσθητοῖς ἀπολείπειν αὐτά, τό τε ἑπόμενον
τῇ ὑποθέσει ἄριστα καὶ συνεωρακὼς καὶ εἰπών· εἰ γὰρ μήτε ἀχώριστα μήτε
χωριστὰ τῶν αἰσθητῶν ἐστιν, ἀνάγκη ἢ μηδαμῇ μηδαμῶς εἶναι, ἢ ἄλλῳ
τρόπῳ τὴν οἵαν ποτὲ ὑπόστασιν αὐτὰ λαμβάνειν, τουτέστιν ἐξ ἀφαιρέσεως 30
ἐν ἡμῖν γεννᾶσθαι, καθάπερ αὐτῷ καὶ δοκεῖ. μάχεται δὲ τῷ τε ἀχώριστα
αὐτὰ εἶναι τῶν αἰσθητῶν καὶ τῷ χωριστὴν ἔχειν οὐσίαν, ἵνα ἢ μηδαμῇ
μηδαμῶς ἢ ὡς ὁ πολυθρύλλητος σκινδαψὸς ἢ τὸ αὐτοῦ δὴ τοῦτο κρατῇ
τὸ ἐξ ἀφαιρέσεως αὐτὰ τῶν αἰσθητῶν λαμβάνεσθαι. συμπλέκεται δὲ πρώ-
τοις τοῖς μὴ χωρίζουσιν αὐτὰ τῶν αἰσθητῶν, ταῦτα πρὸς αὐτοὺς γράφων· 35

p. 1076ª38 Ὅτι μὲν τοίνυν . . . ἢ οὐδὲ αἱ αἰσθηταί.

Ἐν τούτοις εἴτε ἰσχυρῶς εἴτε μαλακῶς διαγίγνοιτο, πρὸς ἔπος οὐδέν· 20
οὔτε γὰρ τῶν Πυθαγορείων τις οὔτε Πλάτων αὐτὸς οὔτε τῶν κατ' | αὐτὸν 881ª
Πλατωνικῶν τις τὰ γεωμετρούμενα σχήματα καὶ μεγέθη τοῖς αἰσθητοῖς
ἐναπέθετο· εἰ δὲ Σεβῆρος ἢ ἄλλος τις τῶν ὕστερον ἐξηγησαμένων τὰ Πλά-
τωνος ἐκ τῆς παρ' αὐτῷ τῷ Ἀριστοτέλει κατηχήσεως τοῖς μαθήμασι κατα-
χρῶνται πρὸς τὰς ἀποδείξεις τῶν φυσικῶν αἰτίων, οὐδὲν τοῦτο πρὸς τοὺς 5
ἀρχαίους, ὧν νῦν ἐπιχειρεῖ τὰ δόγματα διελέγχειν· ὥστε παρ' ἐκείνων οὐδὲν
περὶ τούτων ῥηθήσεται πρὸς αὐτόν. ἐπειδὴ δὲ ἀνέπεμψεν ἡμᾶς καὶ εἰς
τὰς ἐν τῷ B τεθείσας ἀπορίας, ῥητέον πρὸς τἀκεῖ ῥηθέντα, ὅτι οὐδὲ δύο
ἅμα στερεὰ κατὰ πάντας εἶναι ἀδύνατον· καὶ οὐκ εἰς τοὺς Στωϊκοὺς ἀπο- 10
βλέπων ἐπιστήσειεν ἄν τις τῷ λόγῳ, οἳ καὶ τοὺς ἐνύλους ὄγκους χωρεῖν
δι' ἀλλήλων οὐκ ἀπέγνωσαν, ἀλλὰ μᾶλλον εἰς ἐκείνους, οἳ τὸ διάστημα
διὰ παντὸς φοιτᾶν ὑποθέμενοι τοῦ κόσμου καὶ δεδέχθαι πᾶσαν εἰς ἑαυτὸ
τὴν σώματος φύσιν, οὔτε τέμνειν αὐτό φασιν οὔτε τέμνεσθαι τῷ ἀέρι καὶ
τοῖς ἄλλοις συνδιαιρούμενον σώμασιν, ἀλλ' ἀκλινὲς καὶ βέβαιον καὶ ἀκίνητον 15
καὶ πάσης μεταβολῆς ἐξῃρημένον τετάσθαι διὰ παντὸς τοῦ κόσμου, χώραν
καὶ ὑποδοχὴν καὶ ὅρον καὶ περιγραφὴν καὶ πᾶν τὸ τοιοῦτον ἐπιφέρον τοῖς
τοῦ φαινομένου κόσμου πληρώμασιν. οὗτοι δὴ μαθηματικὸν μὲν ἄντικρυς

6 Ar. verba paulum immutavit Syr. εἰ γάρ ἐστι C: εἴπερ ἔστι Ar. 10 ἀπολείπει C 14 cf. Alex. 725,4 16 cf. Wachsmuth ad Timonem p. 106 Syncell. 56,15 Bonn. Theognost. in Crameri An. Ox. II 15,8 20 διαγίγνεται coni. Us. 28 ῥηθέντα del. Us. 31 fort. respicit explicationem, qua φῶς mythi Platonici (resp. X 616c) διάστημα esse dicebatur; cf. Procl. in remp. II 196,22 sqq.

οὔ φασιν εἶναι σῶμα τὸν τοιοῦτον τόπον καὶ τὸ διάστημα, ἐοικέναι μέντοι 881ᵃ
τῷ μαθηματικῷ κατά τε τὸ ἄυλον καὶ τὸ ἀκίνητον καὶ τὸ ἀναφὲς καὶ ⟨τὸ⟩ 21
ἀντιτυπίας ἐλεύθερον καὶ τὸ πάσης ἅμα καθαρεύειν παθητικῆς ποιότητος· ἔτι δὲ ὥσπερ τὸ μαθηματικὸν σῶμα τοῦ λόγου προβληθέντος ἐν διανοίᾳ
5 κατὰ τὸ πνεῦμα καὶ τὴν ἐν τῷ πνεύματι φαντασίαν ὑφίσταται (ἅμα τε γὰρ 25
ὁ λόγος τῆς σφαίρας εἰ τύχοι πρόχειρος γέγονε καὶ ἡ φαντασία σὺν ἀύλῳ τῷ ὄγκῳ τὴν μαθηματικὴν σφαῖραν ἐθεάσατο), οὕτω δὴ καὶ τῇ βουλήσει τε καὶ νοήσει τῆς κοσμικῆς ψυχῆς τοῦτο τὸ σφαιρικὸν ἐν τῷ παντὶ διάστημα σύνδρομον σχεῖν τὴν ὑπόστασιν, τῆς ψυχῆς διὰ μὲν τὸ πρὸς νοῦν ὁρᾶν
10 σφαιρικὸν αὐτὸ ποιούσης, διὰ δὲ τὸ πάντα θεωρεῖν τὰ εἴδη χωρητικὸν τῶν 30
πάντων σωμάτων καὶ ἰδίᾳ ἑκάστου καὶ τῶν ὅλων ὡς ἑνός, ἐπεὶ καὶ αὐτῆς αἱ νοήσεις καὶ συνεχεῖς εἰσι καὶ μεταβατικαί, ἐπειδὴ τὰ νοητὰ εἴδη τὰ ἐν τῷ παντελεῖ ζῴῳ καὶ ἥνωται καὶ διακέκριται, καίπερ ὑπὸ μιᾶς φύσεως περιεχόμενα· ὧν δὴ μιμήματα φέρων ὁ κόσμος διαστατῶς αὐτὰ καὶ οὐκ 35
15 ἀμεγέθως ὑπεδέξατο. — ἀλλ' οὐ χάριν ὁ σύμπας οὗτος ἀνακεκίνηται λόγος, ὅτιπερ οὔτε κατὰ τούτους τοὺς ἄνδρας οὔτε κατὰ τοὺς τὰ ἄυλα καὶ ἁπλᾶ τῶν σω|μάτων χωρεῖν δι' ἀλλήλων ἀδιαιρέτως ὑπολαμβάνοντας 881ᵇ
ἀδύνατόν ἐστι δύο ἅμα στερεὰ γίγνεσθαι σώματα, ἀλλὰ δύο μὲν ἔνυλα καὶ ἀντίτυπα τὸν αὐτὸν κατέχειν τόπον ἀδυνατώτατον εἶναί φασι, τὰ δὲ ἄυλα
20 τοῖς φωσὶν ἐοικέναι τοῖς ἀπὸ διαφόρων λαμπάδων πεμπομένοις καὶ διὰ παντὸς 5
τοῦ αὐτοῦ οἰκήματος κεχωρηκόσι καὶ δι' ἀλλήλων ἀσυγχύτως καὶ ἀδιαιρέτως πεφοιτηκόσι· καὶ γὰρ ταῦτα, εἰ καὶ ἀσώματά τις βούλοιτο λέγειν, ἀλλ' οὖν συνδιαστάντα τοῖς σώμασι καὶ συνεκταθέντα κατὰ τὰς τρεῖς διαστάσεις οὐ κωλύεται τὸν αὐτὸν ἔχειν τόπον ἀλλήλοις τε καὶ τοῖς σώμασι δι' οὐδὲν
25 ἕτερον ἢ ὅτι ἁπλᾶ ἐστι καὶ ἄυλα καὶ οὐ μερίζεται διαιρούμενα, τῇ δὲ 10
ἀρχῇ τῇ ἑαυτῶν συνημμένα καὶ ταύτης ἐξηρτημένα πάρεστι μὲν ἐκείνης ἐλλαμπούσης, ἀπιούσης δὲ συναπέρχεται· ἃ δὴ καὶ τὰ ἄυλα σώματα ⟨τὰ⟩ τῶν ψυχῶν ἐξηρτημένα ποιεῖν οὐ κωλύεται. Ταῦτα μὲν οὖν, ἵνα μὴ μορμολύττωσί τινες ἡμᾶς οἱ θαυμαστοὶ τῶν φυσικῶν λόγοι, τὰ ἴδια τῶν ἐνύλων 15
30 καὶ παθητικῶν καὶ ἀντιτύπων σωμάτων ἐπὶ πᾶσαν τὴν διαστατὴν φύσιν μεταφέροντες· ὅτι γὰρ τῇ ἐξ ἀρχῆς προαιρέσει τοῦ συγγράμματος οὐδὲν συντελεῖ, προειρήκαμεν. οὔτε γὰρ παρὰ τῶν Πυθαγορείων ἢ Πλατωνικῶν λεχθήσεταί τι πρὸς αὐτὸν περὶ τούτων, ἐπεὶ μηδὲ τῶν [ἐν] ἐκείνοις τι δεδογμένων εὐθύνειν ἐπιχειρεῖ, οὔτε αὐτὸς ὁ Ἀριστοτέλης πρὸς τοὺς τὸ 20
35 διάστημα νῦν πρεσβεύοντας διαμάχεται, ἀλλὰ πρὸς τοὺς ἐν τοῖς αἰσθητοῖς ἀποτιθεμένους ἕτερα σώματα στερεὰ μὲν διὰ τὸ τριχῇ διεστάναι, μαθηματικὰ δέ· ἧς ὑποθέσεως οὐδένα ἴσμεν τῶν εὐδοκίμων προεστάναι φιλοσόφων· τά τε γὰρ ἐν Τιμαίῳ ῥηθέντα σχήματα πέντε τὰ [τε] πρὸς τὴν τῶν κοσμι- 25

2 τὸ add. Us. 3 πάσης ἀνακαθαρεύειν C, corr. Us. καθαρεῦον Bag. fort. recte 6. 7 aut ser. ἀύλῳ τῳ aut dele τῷ 11 ἰδέαι C: correxi 15 ἀλλὰ τοῦ χάριν . . . λόγος; Us. 21 οἴκου μετακεχωρηκόσι C: correxi 22 ἀλλ' οὐ C: corr. Bonitz 27 τὰ inserui 29 τινες om. Bag. 30 παθητῶν C: corr. AH 33 ἐν del. Us. 36 μὲν Brandis: δὲ C 37 διεστάναι C: corr. Bonitz 38 Plat. Tim. 58ᶜ sqq. τε del. Us.

κῶν στοιχείων εἰδοποιίαν παραληφθέντα μαθηματικοῖς μὲν ὀνόμασιν ἡρμή- 881b
νευται, δραστικὰς δὲ καὶ δημιουργικὰς δυνάμεις τῆς φύσεως αἰνίττεται· τό τε
αὐγοειδὲς ἐν ἡμῖν ὄχημα τριχῇ διαστατὸν εἴ τις ἀπεφήνατο εἶναι καὶ οὐκ
ἀντίτυπον, οὐ γεωμετρούμενον ἄντικρυς εἶναι σῶμα τοῦτο διισχυρίζεται· πῶς 30
γὰρ τό γε ζωῆς καὶ κινήσεως πλῆρες καὶ πάντων ⟨ἐν⟩ ἡμῖν εὐκινητότατον κατὰ
τὴν συνεγνωσμένην Ἀριστοτέλει κίνησιν ὡς ἀκίνητον ἄν τις ἐν τοῖς γεω-
μετρουμένοις κατατάξειεν; ἀλλὰ δῆλός ἐστιν αὐτὸς ὁ δαιμόνιος Ἀριστοτέλης
μαχθηρὰν ὑπόθεσιν ἐλέγχειν πειρώμενος. ὁ δὲ ἡμέτερος λόγος ἑνὶ τῶν ὑπ'
αὐτοῦ ῥηθέντων ἐπιστήσας ὡς οὐκ ὄντι κατὰ πάντα ἁπλῶς καὶ ἄνευ προσδιο- 35
ρισμῶν ἀληθεῖ ⸗ ἐπεὶ καὶ τὸ ἐφεξῆς τούτῳ ῥηθέν, ὅτι τοῦ αὐτοῦ λόγου
καὶ τὰς ἄλλας δυνάμεις καὶ φύσεις | ἐν τοῖς αἰσθητοῖς εἶναι 882a
καὶ μηδεμίαν κεχωρισμένην. ἄλλας μὲν δυνάμεις βούλεται δηλοῦν τὰ
πέρατα τούτων, οἷον ἐπίπεδα καὶ γραμμάς, εἰ μὴ ἄρα καὶ τὰ τῇ ὀπτικῇ
καὶ τῇ ἁρμονικῇ καὶ ταῖς συστοίχοις ἐπιστήμαις ὑποβεβλημένα περιλαμβάνει·
ἀνάγκην δὲ οὐδ' ἡντινοῦν αὐτοῖς ἐπιφέρει τοῦ μηδεμίαν κεχωρισμένην τού- 5
των ὑποτίθεσθαι φύσιν. εἰ μὴ ἄρα ἐν μόνοις τοῖς αἰσθητοῖς ὑπετίθεντο
ταῦτα εἶναι, ἀλλ' οὐχὶ καὶ ἐν τοῖς * * καὶ ἔξω τῶν φαινομένων ἔν τισι
λόγοις τούτων ἀποτελεστικοῖς. καὶ ταῦτα μὲν εἰρῆσθαι καὶ πρότερον ἐν τῷ
B φησὶ πρὸς αὐτούς. ὃ δὲ νῦν ἐγκαλεῖ, τοιοῦτόν ἐστιν· εἰ γάρ, φησί, τὸ 10
ἐν τῷ αἰσθητῷ στερεὸν διαιρεθείη, πάντως ἐπιπέδῳ διαιρεθήσεται, οὐκοῦν
καὶ τὸ ἐπίπεδον γραμμῇ καὶ ἡ γραμμὴ σημείῳ. ἀλλ' εἰ μὲν ἦν ἀκίνητα ταῦτα,
καθάπερ ἐστὶ παρὰ τοῖς γεωμέτραις, οὐδὲν ἂν ἠκολούθησεν ἄτοπον· νυνὶ
δὲ ἐπειδὴ ἐν αἰσθητοῖς καὶ φυσικοῖς ὑπόκειται σώμασιν ὄντα, κινουμένης 15
τῆς γραμμῆς κατὰ τὴν διαίρεσιν ἀνάγκη καὶ τὸ σημεῖον διαιρεῖσθαι· δια-
φέρει δὲ οὐδὲν ἢ αὐτὰ τὰ φυσικὰ σημεῖα καὶ ἀμερῆ λέγειν εἶναι καὶ ἀδιαί-
ρετα ἢ ἐν αὐτοῖς εἶναι τοιαῦτα σημεῖα. δῆλον γὰρ ὅτι τὸ ἕν τινι οὐ διαι-
ρεῖται ἄνευ τοῦ ὑποκειμένου, ὅταν ὡς ἐν ὑποκειμένῳ ἕν τινι λέγηται. ταῦτα
μὲν ὁ Ἀριστοτέλης πρὸς ἀπίθανόν τε ἅμα καὶ ψευδῆ μαχόμενος ὑπόθεσιν 20
καὶ διελέγχων αὐτὴν ἀνδρείως καὶ ἀποδεικτικῶς. ἡμεῖς δὲ ὑπονοοῦμεν, μὴ
παρά τινι τῶν πρεσβυτέρων τὸν ἀμερῆ μὲν ὄντα τῆς φύσεως λόγον, μεριζό-
μενον δὲ περὶ τοῖς σώμασι πάντῃ τε ἀδιάστατον ἅμα καὶ ἔτι ἀμερῆ λεγό-
μενον εὑρὼν ἀφορμὴν ἔσχε τοῦ πλάσαι ταύτην τὴν ὑπόθεσιν, εἰ μὴ ἄρα 25
καὶ τοῦ τελείως ἐπεξελθεῖν τῷ διαιρετικῷ παντὶ χάριν εἵλετό τι καὶ πρὸς
ταύτην εἰπεῖν τὴν δόξαν.

Ἀλλ' ἐπειδὴ πρὸς τοὺς ἐν τοῖς αἰσθητοῖς ἀποτιθεμένους τὰ τῇ γεω-
μετρίᾳ καὶ ταῖς ἄλλαις μαθηματικαῖς ὑποβεβλημένα διείλεκται, ἴδωμεν ὅπως
καὶ τοῖς χωρίζουσιν αὐτὰ τῶν αἰσθητῶν προσφέρεται. 30

2 cf. Kroll de orac. Chald. 47 5 ἐν addidi 10 ἐπεὶ] ἐπισκοπείτω Us. 12—14 Alex. 725,21—23 16 ἀποτίθεσθαι C: corr. Bag. 17 spatium duodecim fere litt. in C, excidit διανοητοῖς (Us.) vel φανταστοῖς 26 τοιαῦτα Us. (cf. Ar. 1076b9): ταῦτα C

p. 1076ᵇ11 Ἀλλὰ . . . δυνατὸν ἕως τοῦ ὥστε ἔσται γένη τῶν μαθη- 882ᵃ
ματικῶν ἀριθμῶν.

Ἐν δὴ τούτοις πειρᾶται μὲν ὑπόθεσιν ἀρέσκουσαν τοῖς αὐτοῦ πρεσβυτέροις φιλοσόφοις διελέγχειν, λέγει δὲ πρὸς αὐτὴν ἀποδεικτικὸν μὲν οὐδέν. ὅσα δ' ἂν τὸν ἰδιώτην καὶ μὴ παρεπόμενον ταῖς ἐκείνων διανοίαις ὑπορρήσειεν. εἰ γάρ, φησίν, ἔσται σώματα παρὰ τὰ αἰσθητά, ἔσται καὶ ἐπίπεδα διττά, τά τε ἐν τοῖς σώμασιν ἐκείνοις καὶ τὰ καθ' αὑτά· καὶ γραμμαὶ τριτταί, αἵ τε ἐν τοῖς στερεοῖς καὶ ⟨αἱ⟩ ἐν τοῖς ἐπιπέδοις καὶ αἱ καθ' ἑαυτάς· καὶ κατὰ τὸν αὐτὸν λόγον στιγμαὶ μὲν | τετραπλαῖ, μονάδες δὲ αἱ πρὸ τῶν 882ᵇ στιγμῶν πενταπλαῖ. καὶ ὅλως ἀεὶ τὰ πρῶτα καὶ ἁπλούστερα πολλαπλασιώτερα. ταῦτα δὲ διαβολὴν μὲν ἐργάζεται παρὰ τῷ πολλῷ συρφετῷ τοῦ δόγματος. εἰς ἄτοπον δὲ οὐκ ἔστιν ἀπαγωγή· δέξονται γὰρ οἱ ἄνδρες ἐν τοῖς οὐσιώδεσι λόγοις τῆς ψυχῆς καὶ διακεκριμένως ὑπάρχειν ταῦτα καὶ ἡνωμένως, καὶ οὐδὲν ἄτοπον τὴν στιγμήν, μᾶλλον δὲ τὸν τῆς στιγμῆς λόγον καὶ ἀμιγῆ εἶναι πρὸς τὰ ἕξῆς καὶ συντελεῖν εἰς τὴν τῆς γραμμῆς καὶ τοῦ ἐπιπέδου καὶ τοῦ τριχῇ διεστῶτος οὐσίαν· τὴν γὰρ τῶν ἀσωμάτων εἰδῶν ἕνωσίν τε καὶ διάκρισιν ἁπανταχοῦ σχεδὸν οἱ ἄνδρες βεβαιοῦσι καὶ πρεσβεύουσι. καὶ ταὐτὸν ἓν καὶ πλῆθος εἶναι τάχα μὲν καὶ ἐν τοῖς αἰσθητοῖς συγκεχώρηται, διαφερόντως δὲ ἐν τοῖς διανοητοῖς εἴδεσι καὶ ἔτι πολὺ πρότερον ἐν τοῖς νοεροῖς ἀποδέδεικται λίαν ἐναργῶς παρὰ τοῖς πρεσβυτέροις, ὑπέμνησται δὲ μετρίως καὶ παρ' ἡμῶν ἐν τοῖς εἰς τὸ Β γραφεῖσιν, οὗ δὴ καὶ ποῖον μὲν σημεῖον γραμμῆς καὶ ἐπιπέδου καὶ τιμιώτερόν ἐστι καὶ τελειότερον. ποῖον δὲ ἀτελέστερον καὶ καταδεέστερον, εἰπεῖν ἐπειράθημεν· κωλύει γὰρ οὐδὲν τὸ μὲν ὡς ἁπλούστερον εἶναι σεμνότερον καὶ ἀρχηγικώτερον, τὸ δὲ ὡς συντελοῦν εἰς ὅρον τοῦ συνθετωτέρου καὶ περιγραφὴν ὑπάρχειν καταδεέστερον· ὥσπερ δὴ καὶ μονὰς ἡ μέν ἐστι παντὸς ἀριθμοῦ περιέχουσα ἐν ἑαυτῇ παραδειγματικῶς πάντα τὰ εἴδη τῶν τε ἀρτίων καὶ τῶν περιττῶν, ἡ δὲ μόριον εἰ τύχοι πολλοστὸν τῆς ὑποβεβλημένης τοῖς ἀριθμοῖς ποσότητος.

Εἴρηται μὲν οὖν περὶ αὐτῶν τὸ ἀληθές· εἰ δέ τις καὶ πέρα τοῦ μέτρου τὴν παρὰ τοῖς ἰδιώταις διαβολὴν εὐλαβούμενος μὴ διδοίη πολλαχῶς εἶναι τοὺς τῶν διαστατῶν καὶ ἀδιαστάτων λόγους ἐν τῇ ψυχῇ, δύναιτο ἂν καὶ αὐτὸς λέγειν πρὸς αὐτόν, ὅτι οὐκ ἀνάγκη τέτταρα μὲν εἶναι σημεῖα, τρεῖς δὲ γραμμάς, ἐπίπεδα δὲ δύο. ἀλλ' ὥσπερ τὸ ᾱ στοιχεῖον καὶ ἐν συλλαβῇ καὶ ἐν λέξει καὶ ἐν λόγῳ ἓν ὂν τῷ εἴδει καὶ ταὐτὸν θεωρεῖται καὶ τὴν αὐτὴν ἔχει φύσιν ἁπανταχοῦ, οὕτω καὶ ἡ στιγμὴ καὶ ἡ γραμμὴ καθ' ἑαυτάς τε καὶ μετὰ τῶν συνθετωτέρων ἓν καὶ τὸ αὐτὸ εἶδος διασώζουσι· καὶ ὥσπερ ἡ γραμματικὴ τὴν τοῦ καθ' αὑτὸ δύναμιν ᾱ κατανοήσασα οἶδε καὶ τὸ ἐν

1 ἄπειρα γένη in Ar. vulg., ut Syr. om. codd. 8 αἱ add. Bag. 10 πρότερα Bag. 11 cf. Plat. Theaet. 152ᵉ 16 οὐσίαν Us.: αἰτίαν C 18 cf. p. 45,20 20 nempe νοητοῖς cf. p. 96,23. 963ᵃ31 etc. ὑπεμνημάτισται Us., at cf. e. g. Procl. in remp. I 20,11 II 316,27 21 cf. p. 12,28. 50,4 26 fort. πάντων ἀριθμῶν 29 μετρίου A fort. recte 37 δύναμιν ἄλφα C: ᾱ δύναμιν Us.

συλλαβῇ καὶ τὸ ἐν λόγῳ, τοῦτον τὸν τρόπον καὶ τῶν ἐπιστημῶν αἱ μαθη- 882b
ματικαὶ τὰ καθ' ἑαυτὰ ἐπιστάμεναι καὶ τὰ μεθ' ἑτέρων γινώσκουσιν. 35

Ἀποκεκρίσθω οὖν αὐτῷ καὶ πρὸς τὴν ἄφυκτον ὡς οἴεται πρότασιν· ἠρώτησε γὰρ περὶ ποῖα τούτων ἔχουσιν αἱ ἐπιστῆμαι. πόθεν δὲ καὶ γένη πολλὰ εἶναι τῶν μαθηματικῶν ἀριθμῶν συλλογίζεται; γένη μὲν γὰρ ἀριθμῶν πολλὰ συγχωρητέον εἶναι, | παρ' ὅσον ἑκάστη τάξις τῶν ὄντων 883a οἰκείοις ἀριθμοῖς διακεκόσμηται· μαθηματικῶν δὲ γένη, εἰ μόνους τοὺς μοναδικοὺς μαθηματικούς τις λέγοι ἀλλὰ μὴ καὶ τὴν αἰτίαν αὐτῶν τὴν ἐν διανοίᾳ. πῶς ἂν εἴη πολλά; εἰ μὴ ἄρα καὶ τὰς στιγμὰς μονάδας εἶναι 5
βούλοιτο καὶ τετραχῶς αὐτῶν ὁρωμένων ἐκ πασῶν αὐτῶν ἀριθμοὺς πλέκοι· τοῦτο δὲ σκῶμμα ἂν εἴη μᾶλλον ἢ ἔλεγχος.

p. 1076b39 Ἔτι ἅπερ . . . κίνησιν.

Πάντων ἔν τε ταῖς θείαις καὶ οὐρανίαις ψυχαῖς καὶ ἔτι ἐν ταῖς ἡμετέραις οἰκείως παρ' ἕκαστα [ὡς] περιεχομένων τῶν εἰδῶν καθόλου, πρὶν καὶ τὸ σωματοειδὲς τοῦ κόσμου μερικῶς αὐτῶν ἀντιλάβῃται, γελοῖον ἐφ' ἑκάστῳ 10
ζητεῖν, ποῦ ἔσται ἄλλος οὐρανὸς ἢ ποῦ ἔσται ἄλλος ἥλιος ἤ τι τῶν εἰς τὴν ἐμφανῆ συντελούντων διακόσμησιν. ὅτι δὲ ταῦτα οὐ μοναχῶς ἀλλ' ὀλίγου δέω λέγειν ἀπειραχῶς ἐν τοῖς οὖσιν ἔστι, πάλαι καὶ πρόπαλαι θεολόγων τε καὶ φιλοσόφων διισχυριζομένων οὐδὲ ἀκολουθεῖν ἐθέλει, ἀλλ' ὡς 15
ἄτοπον προφέρει τὸ καὶ ἕνα μόνον οὐρανὸν ὑπὲρ τοῦτον εἶναι τὸν αἰσθητόν. ἐὰν δέ τις οὐρανοῦ τε ὕπερ ἀστρονομεῖν λέγῃ τὴν τοῦ μὴ πλαστῶς φιλοσοφοῦντος ψυχὴν καὶ πάντα τὰ ὄντα νοητῶς θεωρεῖν, ἴσως ἀγανακτήσει, μήτε ταῖς ἰδέαις τιθέμενος μήτε ἐνεργείᾳ τὴν διανοητικὴν ψυχὴν ἔχειν τὰ εἴδη 20
βουλόμενος, ἀλλ' εἴπερ ἄρα, δυνάμει. πῶς οὖν ἔτι αἱ ἀποδείξεις ἐκ τῶν πρώτων καὶ οἰκείων [καὶ] αἰτιῶν ἔσονται τοῖς ἀστρονόμοις, εἰ μὴ ἐκ τῶν καθόλου λόγων, οὓς ἔχουσιν αἱ μὲν ἡμέτεραι γνωστικῶς, αἱ δὲ θεῖαι γνωστικῶς τε ἅμα καὶ δημιουργικῶς, προίοιεν; ἢ γὰρ τοῦ ἀποδεικνύναι τι τοὺς ἀστρονόμους καὶ τοὺς μαθηματικοὺς πάντας καὶ πρὸς τούτοις τοὺς φυσικοὺς 25
ἀπογνωστέον, καὶ τοῦ τὰς ἀποδείξεις ἐξ αἰτίας γίγνεσθαι οὐ τῆς τοῦ συμπεράσματος μόνης, ἀλλὰ καὶ τῆς τοῦ πράγματος ἀποστατέον, ἢ μέχρι περ ἂν ἀμφότερα ταῦτα μένῃ, δεῖ καὶ τὰς αἰτίας ἐν καθόλου τισὶ λόγοις προϋπάρχειν τῶν κατ' οὐρανὸν καὶ κατὰ πᾶσαν τὴν φύσιν ἐπιτελειουμένων. ὅλως 30
δὲ οἱ τὰ μὲν αἰσθητὰ συγχωροῦντες εἶναι καὶ ὄντως εἶναι λελήθασι τὴν ψυχὴν ἀτιμοτέραν τῆς ὕλης ἀποφαίνοντες, ὥς πού φησι καὶ ὁ γενναῖος Ἀμέλιος. ὁμοίως . . . ἕκαστα. καὶ οὐδὲν ἄτοπον ἐν λόγοις εἶναι πάντα ταῦτα καὶ ἐν τοῖς εἰδώλοις τῶν λόγων, τοῖς φαντάσμασιν, οὐ μόνον πρὸ τῶν αἰσθητῶν, 35

14 ὡς del. Bag.; ὡς προείρηται vel sim. fuisse putat Us. (nolui ἑκάστας) 23 προστιθέμενος Us., at cf. Soph. Phil. 1448 Cornut. 28,2 Lucian. bis accus. 18 Bekker in Zosimi indice p. 429 Hermipp. de astrol. 54,10 25 καὶ del. H αἰτίων C, corr. Us. 26 ψυχαί non modo subaudiendum, sed etiam addendum puto 33 ὄντως Us.: οὕτως C 34 alterum membrum huic respondens excidisse recte suspicatur Us.

ἀλλὰ καὶ πρὸ τῶν φυσικῶν λόγων τῶν διαμορφούντων τὰ αἰσθητά. ὁ 883b
δὲ τούτων συγχωρουμένων ἐπάγει ὥς τι τῶν ἀτοπωτάτων τὸ καὶ ζῷα ἄλλα
ἔσεσθαι, εἴπερ καὶ αἰσθήσεις· ὅτι δὲ τὸ αὐτοζῷον πάντα ὅσα νοητὰ ζῷα
ἐν αὑτῷ περιέχον αἴτιόν ἐστι τῶν τε ἐν τῷ ψυχικῷ διακόσμῳ ζῴων καὶ
5 τῶν ἐν τῷ αἰσθητῷ, πάλαι λέγοντος αὐτῷ τοῦ διδασκάλου ὡς μηδὲ ἀκη- 5
κοώς [εἶναι] τι περὶ τῶν τοιούτων προσπεποίηται. δυνατὸν μὲν οὖν καὶ
τοῖς συνημμένοις αὐτοῦ μὴ ἐπιτρέπειν· οὐ γὰρ εἰ τὰ αἰσθητὰ αἰτίας ἔχει
προϋπαρχούσας, ἤδη συζυγεῖ ταῖς αἰτίαις τῶν αἰσθητῶν ἡ αἴσθησις, οὐδ'
εἰ αἴσθησίς ἐστιν ἑτέρως ἐν ψυχῇ καὶ νῷ δημιουργικῷ, ἤδη τοῦτο καὶ 10
10 ζῷον ἀποφαίνεται τὸ αἰσθανόμενον· οὐ γὰρ ἴσως πᾶν αἰσθητικὸν ζῷον,
ἀλλὰ τὸ ἔξωθεν πᾶν ἅμα κινούμενον· οὐδὲ πᾶσα αἰτία αἰσθητοῦ αἰσθήσει
ληπτή, ἀλλ' ἥτις ἄτομός ἐστι καὶ σύνεστι τῷ οἰκείῳ ἀποτελέσματι. δυνατὸν
δὲ καὶ συγχωρήσαντα πᾶσι τούτοις (ἐπειδὴ καὶ αἴσθησιν οὐ κατὰ τὴν λογι- 15
κὴν ἐπιτελεῖσθαι μόνην τοῦ παντὸς ψυχήν, ὡς ὁ Τίμαιος παραδίδωσιν, ἀκη-
15 κόαμεν, ἀλλὰ γὰρ καὶ δημιουργικήν τινα παρὰ τοῖς θεολόγοις αἴσθησιν ὑμνου-
μένην πεπιστεύκαμεν εἶναι, ἧς καὶ οἱ κατ' οὐρανὸν εἴδωλον ἔχουσιν, αἴσθησιν
καὶ αὐτοὶ τοῖς κόσμοις ἐπάγοντες κατὰ τὸ λόγιον) δέχεσθαι τὸ ἑπόμενον,
τὸ καὶ ζῷα ἕτερα εἶναι. καὶ ἵνα μὴ νῦν τὰ παρ' ἄλλοις εἰρημένα μαρτύρω- 20
μαι, αὐτὸς ἐν τῷ Κ τὸν πρῶτον νοῦν ζῷον ἐκάλεσε· δῆλον οὖν ὅτι καὶ
20 τῶν ἄλλων ἡμῖν ἕκαστον εἰ καὶ μὴ πρῶτον, ἀλλ' οὖν ζῷον νοερὸν καλεῖν
οὐκ ἂν ἴσως ἀπαξιώσειε. καὶ ἐν τοῖς Ἠθικοῖς δὲ τὸν κυρίως ἄνθρωπον
νοῦν εἶναι σαφῶς ἠβουλήθη. εἰ τοίνυν ὁ μὲν νοῦς ὁ ἐν ἡμῖν ἄνθρωπός 25
ἐστιν ὁ κυρίως, πᾶς δὲ ἄνθρωπος ζῷον, οὐκ ἄδηλον τὸ συναγόμενον. δεδέ-
γμεθα οὖν πάλιν τὸ εἶναι καὶ ἄλλα ζῷα παρὰ τὰ αἰσθητά. ἑτέρως μέντοι
25 εἶναι καὶ οὐχ οὕτως ὡς τὰ αἰσθητά· ὧν εἴ τις τὰς γνώσεις αἰσθήσεις
ἐθέλει καλεῖν καὶ τὰ γνωστὰ αἰσθητά, ὡς αἴτια μέντοι τῶν κυρίως αἰσθη-
τῶν, φθόνος οὐδεὶς τῶν ὀνομάτων· μόνον δηλούσθω σαφῶς, ἐφ' ὧν ἑκάστοις 30
αὐτῶν κεχρήμεθα.

p. 1077a9 Ἔτι γράφεται . . . αἰσθητῶν.

30 Τὸ μὲν γράφεται δείκνυται δηλοῖ· τὸ δὲ ἐπιχείρημα πᾶν τοιοῦτον·
εἰ δείκνυταί τινα παρὰ τοῖς μαθηματικοῖς καὶ τοῖς φυσικοῖς διὰ τῶν καθόλου
λόγων καὶ διά τινων ἀξιωμάτων (οἷον διὰ τοῦ 'ἐὰν ἀπὸ ἴσων ἴσα ἀφέλῃς, 35
τὰ καταλειπόμενά ἐστιν ἴσα' καὶ διὰ τοῦ | 'ἐὰν τέτταρα ᾖ ἀνάλογον, τὸ 884a
ὑπὸ τῶν ἄκρων ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων' καὶ ἄλλων πολλῶν τοιούτων),
35 ἀνάγκη, φησίν, ὄντων μεγεθῶν καὶ ἀριθμῶν χωριστῶν καὶ τὰ ἀπὸ τῶν
τοιούτων ἀξιωμάτων δηλούμενα εἶναι χωριστά, ὑπέρτερα μὲν ὄντα τῶν

4 αὐτῷ C 5 Plat. Tim 30c 6 εἶναι delevi, εἰδέναι Us. 7 post οὐ δὲ Ca: del. Cb
9 ἑτέρα Us. 10 πᾶν τὸ αἰσθητικὸν coni. Us. 11 cf. Ar. phys. Θ 2. 253a9
καὶ post ἅμα inser. Bonitz 13 Plat. Tim. 37a sq. 17 de orac. chaldaicis
p. 14 18. 19 μαρτυρῶμαι C 19 est Λ 7. 1072b29 πρῶτον ⟨νοῦν⟩
opinor 21 eth. Nic. Z 2. 1139b4. c. 6. 1141a5 30—36 = Alex. 729,21 sqq.
31 εἰ C: ἐπεὶ Alex. 35 ἀπὸ etiam in Alex. edendum. cuius codd. ὑπὸ exhibent

μεγεθῶν καὶ τῶν ἀριθμῶν τῶν μαθηματικῶν, ἡ κοιλότερα δὲ τῶν ἰδεῶν, 884a
ὡς μεταξὺ τετάχθαι τοῦ τε αὐτομεγέθους καὶ τοῦ μαθηματικοῦ μεγέθους. 6
τοῦτο δὲ αὐτὸς μὲν ὡς ἀδύνατον ἀποδοκιμάζει, ἵνα τὸ ἡγούμενον ἀνέλῃ,
τὸ εἶναι χωριστὰ τὰ μαθηματικά. ἔστι δέ πως ἀληθές· τῶν γὰρ ἐν ψυχῇ
5 λόγων οἱ μέν εἰσιν ἁπλούστεροι καὶ καθολικώτεροι καὶ τῶν ἄλλων περι- 10
ληπτικώτεροι καὶ διὰ τοῦτο νῷ προσεχέστεροι καὶ τῶν περικωτέρων σαφέστεροι
καὶ γνωριμώτεροι, οἱ δὲ πᾶσι τούτοις ἀπολειπόμενοι καὶ ὑπὸ τῶν πρεσβυτέ-
ρων συνεχόμενοι καὶ συντιθέμενοι καὶ πληρούμενοι· τί οὖν ἄτοπον, μᾶλλον
δὲ πῶς οὐκ ἀναγκαῖον, εἴπερ τότε ἀληθεύουσιν αἱ ἔννοιαι ὅταν ἐφαρμόζωσι 15
10 τοῖς πράγμασιν, ἀληθοῦς ὄντος τοῦ ἀξιώματος τοῦ λέγοντος 'ἐὰν ἀπὸ ἴσων
ἴσα ἀφέλῃς, τὰ ὑπολειπόμενα ἔσται ἴσα' εἶναί τινα λόγον ᾧ τοῦτο πρώτως
ὑπάρχει, ὃς οὔτε μεγέθους ἐστὶ λόγος οὔτε χρόνου, περιεκτικὸς δὲ τούτων
ἁπάντων καὶ τῶν ἄλλων, ὅσοις ὑπάρχειν τὸ ἀξίωμα πέφυκεν, εἶναι μέντοι 20
οὐκ ἐν τόπῳ οὐδ' ὅλως ἐν τοῖς αἰσθητοῖς: πῶς γὰρ τό γε καθόλου καὶ
15 ἁπλούστατον καὶ διὰ τοῦτο ἀναπόδεικτον εἴη ἂν ἐν ὕλῃ τῇ τὴν ἄτομον τῶν
εἰδῶν ἔμφασιν ἀγαπητῶς ἐπιδεχομένῃ; εἰ γὰρ δὴ μὴ τοῦτο καταδεξαίμεθα,
πῶς ἂν ἔτι σωθείη τὸ πᾶσαν αἰτίαν ἀποδεικτικὴν πρώτως ὑπάρχειν τινί,
ᾧ καὶ συνεξισοῦται καὶ καθόλου ἐστίν, ὡς εἴωθας· αὐτὸς ἐν τοῖς Ἀποδεικτι- 25
κοῖς τὸ καθόλου θεωρεῖν; διὰ ποίαν δὲ αἰτίαν ἔτι σαφέστερα ἔσται καὶ
20 γνωριμώτερα τῶν περικωτέρων καὶ ἀποδεικτῶν τὰ ἀξιώματα, εἴπερ ἀπὸ
τῶν τελευταίων αὐτὰ δι' ἐπαγωγῆς ἡμεῖς ὑφίσταμεν οὐκ ὄντα πρότερον;
πῶς δὲ συμφωνοῦμεν κατ' αὐτά, εἰ μὴ κατ' οὐσίαν ἡμῶν ἐν ταῖς ἐννοίαις 30
προείληπτο; ἃ γὰρ δὴ λαμβάνομεν ἐκ τῶν αἰσθητῶν, περὶ ταῦτα οὐκ ἀνάγκη
ἡμᾶς ὁμογνωμονεῖν, οἷον ὡς εἰ ἐγὼ μὲν τὸ τοῦ Σωκράτους ἔχοιμι φάντασμα,
25 ὁ δὲ ⟨τὸ⟩ τοῦ Ἀλεξάνδρου· πῶς δέ, τὸ σὸν δὴ τοῦτο καὶ πάντων ὡς
εἰπεῖν ἀληθέστατον, ἡ κατ' ἐνέργειαν ἐπιστήμη ἡ αὐτὴ τῷ ἐπιστητῷ, εἰ 35
μὴ πάσῃ γνώσει σύστοιχον εἴη τὸ γνωστόν, καὶ διαφερόντως τῇ τῶν ἀξιω-
μάτων ἐννοίᾳ συνυπάρχοι καθολικώτατος λόγος, πρῶτος δεχόμενος τὴν τοῦ
ἀξιώματος ἐπιβολὴν | καὶ περίληψιν; ὡς γὰρ αὐτὸ τἀγαθὸν τὴν νόησιν 884b
30 καὶ ὑφίστησι καὶ ἑνοῖ πρὸς τὸ νοητόν, καὶ ὡς ⟨ὁ⟩ τἀγαθοῦ τόκος τε καὶ
ἔκγονος ὅρασιν καὶ ὁρατὸν ὑφίστησί τε κατὰ ταὐτὰ καὶ συντάττει πρὸς ἄλληλα,
οὕτω καὶ ὁ τὸ μέσον ἀμφοῖν ἀναπληρῶν πλάτος, ὁ πολυτίμητος νοῦς, ἐπι- 5
στήμην καὶ ἐπιστητὸν παράγει καὶ εἰς ταὐτὸν ἄγει καὶ πρὸς ἄλληλα συμπλέκει,
οὐδαμοῦ θάτερα πρὸ τῶν ἑτέρων ὑφιστάς, ἵνα μὴ καὶ τὰ ὑποστάντα κολοβὰ
35 ᾖ καὶ ἀτελῆ καὶ διάκενα. ἀλλ' ἵνα μὴ περὶ ταῦτα διατρίβοντες ἔξωθεν
ἄλλην θεωρίαν συνεπεισφέρωμεν, πῶς ἔτι, τὸ ὑπὸ σοῦ διαρρήδην συγχωρού-
μενον, νοῦς τὰς ἀρχὰς ἐνδίδωσι τῆς ἀποδείξεως τῇ ψυχῇ, εἰ μὴ κατ' οὐσίαν 10
αὐτὰς ⟨ἐν ταῖς⟩ ἐννοίαις ἡμῶν εἴημεν προειληφότες; οὐ γὰρ δὴ ὧν ἡ γένεσις
κάτωθεν, τούτων ὁ νοῦς ἡμῖν χορηγὸς γίγνεται. ἢ οὖν κύκλῳ ἡ ἀπόδειξις

1 κατώτερα Diels; κυλλότερα Us. 11 ἀπολειπόμενα C: correxi τούτω C: corr. Bag. 18 cf. anal. post. I 4 p. 73b 39 19 τὸ Bag.: τοῦ C 25 τὸ add. Us. 30 ὁ addidi Solem dicit Platonis verbis usus reip. VI 507a 31 ἔγγονος C ὄρεξιν καὶ ὀρεκτὸν Bonitz falso 32 μέσου C 36 συνεπφέρωμεν Ca: corr. Cb 38 ἐν ταῖς inserui 39 ἡ suprascr. Cb

ἀπὸ μὲν τῶν μερικωτέρων λαμβανόντων ἡμῶν καὶ ὑφιστάντων τὰ ἀξιώ- 884b
ματα. ἀπὸ δὲ τῶν ἀξιωμάτων ἀποδεικνύντων τὰ μερικώτερα· ἢ ἐπεὶ ἐκ 15
προτέρων αἱ ἀποδείξεις, ἀπὸ νοῦ μὲν αἱ ἁπλούστεραι τῶν ἀξιωμάτων ἔννοιαι,
ἀπὸ τούτων δὲ συντιθεμένων ἡ ποικιλία τῶν εἰδῶν ἐν ἡμῖν ὑφίσταται·
5 πάλιν μὲν καὶ αὕτη κατὰ νοῦν καὶ ἀπὸ νοῦ (τί γὰρ ὧν ἔχομεν κατ' οὐσίαν
οὐκ ἐκεῖθεν;), ἀλλὰ γὰρ καὶ διὰ τῶν ἁπλουστέρων εἰδῶν καὶ λόγων τῶν
μερικωτέρων παραδεχομένων τὴν ὑπόστασιν. καὶ οὕτω λέγοντες μόνως 20
ἡμῖν αὐτοῖς συμφωνήσομεν, ὅταν ἀπ' αἰτίων τῶν πρώτων τὰς ἀποδείξεις
ἐπιτελεῖσθαι λέγωμεν.

10 p. 1077a14 Ὅλως δὲ . . . ἐμψύχου.

Ἐκεῖνοι μὲν οὔτε ἑαυτοῖς οὔτε τοῖς πράγμασιν ἀσύμφωνοι· οὔτε γὰρ
ἀτελὲς τὸ ἐν τῇ διανοίᾳ εἶδος τοῦ μεγέθους οἴονται εἶναι ἢ τὸ ἐν τῇ φαντα-
σίᾳ τῷ εἴδει τούτῳ μέγεθος συνυφιστάμενον οὔτε ἄψυχον· πῶς γάρ, ὅ γε 25
ἐν ψυχῇ ἵδρυται; ἡμεῖς δὲ πῶς ἡμῖν αὐτοῖς συνῳδὰ πρεσβεύσομεν, ὅταν
15 καὶ αἴτια λέγωμεν εἶναι τῶν πραγμάτων, δι' ὧν αἰτίων καθ' αὑτὰ ὑπαρ-
χόντων ἀποδείξεις, καὶ μὴ διδῶμεν οὐσίαν τούτοις (εἰ μὴ ἄρα τὸ ἀνούσιον
τῆς οὐσίας αἴτιον), ὅταν τε πρότερα μὲν τῇ φύσει τὰ καθόλου πολλάκις 30
ἀποφαινώμεθα εἶναι ὡς συναναιροῦντα μὲν οὐ συναναιρούμενα δέ, καὶ πάλιν
αὐτὰ ταῦτα ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν τὴν ὑπόστασιν ἔχειν διισχυριζώ-
20 μεθα; εἰ μὲν γὰρ διττὸν τὸ καθόλου, τὸ μὲν αἴτιον τοῦ αἰσθητοῦ τὸ δὲ
ὑστερογενές, φίλα ἂν λέγοις καὶ τῷ πατρὶ καὶ πᾶσι τοῖς ἀπὸ Πυθαγόρου·
καὶ δέχου καὶ τὸ μέγεθος εἶναι διττόν, τὸ μὲν ἐν λόγῳ διανοητικῷ, ᾧ καὶ 35
τὸ φανταστὸν εἶδος αὐτοῦ συνυφίσταται. τὸ δὲ ἐξ ἀφαιρέσεως τοῦ αἰσθητοῦ,
καὶ περὶ μὲν τὸ ἐξ ἀφαιρέσεως μὴ λέγε διατρίβειν τὴν γεωμε|τρίαν· 885a
25 οὐδὲν γὰρ ἔχει ἀκριβὲς μετὰ τοῦ μηδὲ ἑωρακέναι ἡμᾶς ποτε μήτε πολύ-
γωνα τοσαῦτα καὶ τοιαῦτα, οἷα ἐπίπεδα ἡ γεωμετρία θεωρεῖ, μήτε πολύ-
πλευρα οὕτω ποικίλα ⟨οἷα⟩ ἡ στερεομετρία ἐπισκέπτεται, ἢ γωνιῶν διαιρέσεις
ἢ πλευρῶν ἢ ἐμβαδῶν καὶ ὅσων λόγοι μέν εἰσι πλήρεις θεωρημάτων, ὕλη 5
δὲ ἀνεπίδεκτος· περὶ δὲ τὰ φανταστὰ διατρίβειν φαθί, καθόσον ταῦτα τοῖς
30 οὐσιώδεσι λόγοις τῆς διανοίας παρυφίσταται, ἐξ ὧν καὶ τὴν ἀποδεικτικὴν
αἰτίαν κομίζεται, μᾶλλον δὲ τὴν μὲν γεωμετρίαν αὐτοὺς τοὺς ἀμερεῖς λόγους
τῆς ψυχῆς βούλεσθαι θεωρεῖν, ἀσθενοῦσαν δὲ χρῆσθαι ταῖς ἀφαντάστοις 10
νοήσεσιν ἐκτείνειν τοὺς λόγους εἰς φανταστὰ καὶ διαστατὰ σχήματα καὶ
μεγέθη, καὶ οὕτως ἐν ἐκείνοις αὐτοὺς θεωρεῖν· καθάπερ καὶ μὴ ἀρκούσης
35 αὐτῇ τῆς φαντασίας καὶ ἐπὶ τὸ ἀβάκιον ἔρχεται κἀκεῖ καταγράφει τὸ θεώ-

6 ante ἀλλὰ lacunam esse putat Us. At sententia haec: ideae quidem omnes a mente animis nostris inseruntur, ita tamen ut ipsarum quoque quae sunt simpliciores alias gignant minus late patentes 11 οὔτε ἑαυτοῖς Us.: ὅτι ἑαυτοῖς C 12 οἴονται A: οἷόν τε C 13 γε Bonitz: τε C 16 δίδομεν C 16. 17 fort. ⟨τὸ⟩ τῆς 21 λέγοι C: corr. Bag. 26 nempe del. ἐπίπεδα 28 καὶ Us.: ἢ C 29 φασὶ C: corr. Us. 34 αὐτοὺς H: αὐτὸς C 35 αὐτῆς C: correxi καὶ fort. del.

ρημα καὶ οὐ δήπου τότε προηγούμενος αὐτῇ λόγος τὸ αἰσθητὸν καὶ ἔξω 885a
κείμενον ἑλεῖν, ἀλλὰ τὸ ἔνδον τὸ φανταστόν, οὗ μίμημα ἄψυχον τὸ ἔξω· 15
οὕτως οὖν καὶ ὅταν περὶ τὸ φανταστὸν διατρίβῃ, οὐ κατὰ προηγούμενον
λόγον περὶ αὐτὸ στρέφεται, ἀλλὰ δι' ἀσθένειαν νοήσεως οὐ δυναμένη τὸ
5 ἀφάνταστον εἶδος ἑλεῖν ἐν τῷ φανταστῷ τοῦτο θεωρεῖ. τεκμήριον δὲ
μέγιστον τὸ τοῦ καθόλου μὲν εἶναι τὴν ἀπόδειξιν, πᾶν δὲ τὸ φανταστὸν 20
μερικὸν ὑπάρχειν· οὐδὲ ἡ σπουδὴ ἄρα ἡ προηγουμένη περὶ τὸ φανταστὸν
ἦν, ἀλλὰ περὶ τὸ καθόλου καὶ πάντῃ ἄυλον. εἰ δὲ μόνως τὸ καθόλου,
πῶς καὶ ὑστερογενὲς καὶ αἴτιον τοῦ μερικωτέρου, δυσχερῶς ἄν τις ἀπο-
10 δείξειεν, εἰ δεῖ δυσχερὲς λέγειν τὸ ἀδύνατον.

p. 1077a20 Ἔτι τίνι . . . συμμένειν.

Τοῦτο διὰ μέσου μὲν ἔοικεν εἰρῆσθαι· ἀναδραμεῖται γὰρ πάλιν ἐπὶ 25
τὸ πρότερον ἑαυτοῦ ἐπιχείρημα, ἐν ᾧ ἐζήτει πῶς ἀτελέστερά τε ἅμα καὶ
πρότερα τῶν αἰσθητῶν τὰ μαθηματικά. ζητεῖ δὲ ἐν αὐτῷ, τί τὸ αἴτιον
15 τοῖς μαθηματικοῖς μεγέθεσι τῆς ἑνώσεως· τοῖς μὲν γὰρ αἰσθητοῖς φύσις ἢ
ἔνυλον εἶδος ἢ κόλλα ἢ δεσμός, τοῖς δὲ μαθηματικοῖς τί; ῥητέον οὖν πρὸς 30
αὐτόν, ὅτι οἱ μὲν ἀμερεῖς λόγοι τῶν μεγεθῶν κρείττους * * * † εἰ συνυφιστά-
μενα φανταστὰ μεγέθη τῆς ἑαυτῶν αἰτίας τῆς ἀμεροῦς ἐξῃρημένα οὐ μήποτε
διασκεδασθῇ, καὶ ἔτι ἐν ψυχῇ ὄντα συνέχεται ὑπ' αὐτῆς μᾶλλον ἢ τὰ
20 αἰσθητά.

p. 1077a24 Ἔτι αἱ γενέσεις . . . μᾶλλον.

Ἄνεισι μὲν ἐπὶ τὸ ἐξ ἀρχῆς, ἐν ᾧ τὸ αἰσθητὸν πρότερον ἐδείκνυ τοῦ 35
μαθηματικοῦ τῇ οὐσίᾳ. δείκνυσι δὲ οὐ τὸ προκείμενον ἑαυτῷ, γένεσιν
παραλαμβάνων ὅλως ἐπὶ τῶν ἀγενήτων (ἀγένητα γὰρ τὰ μαθηματικά), ἀλλ'
25 εἴπερ ἄρα, ὅτι τοῦ ἐν τοῖς αἰσθητοῖς ἐπιπέδου τὸ σῶμα καὶ πρότερον τῇ
οὐσίᾳ καὶ | τελειότερον. καὶ ὅτι ἔμψυχον . . . ἀξίωμα. ὁρᾷς γὰρ τὴν 885b
ἐν τῷ ἀβακίῳ γραμμὴν καὶ τὸ ἐν τῇ τέφρᾳ ἐπίπεδον· ἐπεὶ τί ἂν εἴη τῶν
ἐν ψυχῇ κειμένων ἐμψυχότερον;

p. 1077a31 Ἔτι τὸ μὲν . . . πάσχειν.

30 Καὶ τοῦτο κατασκευαστικὸν τοῦ δευτέρας εἶναι τὰς γραμμὰς καὶ τὰ 5
ἐπίπεδα τῶν σωμάτων· εἰ μὲν γὰρ οὐσίαι, φησί, καὶ αἱ γραμμαί, πῶς οὐσίαι,

---

8 μοναγῶς coni. Us. egregie 15 cf. Alex. 731,4 (ex quo ψυχή pro φύσις Us.) 17 hiatum notavit Us. (supple e. g. κρείττους εἰσὶ παντὸς ὑλικοῦ δεσμοῦ, τὰ δὲ τῷ εἴδει συνυφ.) εἰ] εἴδει Us. probabiliter cl. p. 91,13 18 ἑαυτῶν scripsi: τε δι' αὐτῶν C (δι' del. Us.) 22 ὂν post πρότερον add. Us. 24 ὅλως: opinor ἀλόγως vel sim. 25 post ἐπιπέδου καὶ Ca: del. Cb 26 καὶ non habet neque unquam habuit Ar., qui verba ὅτι ἔμψυχον γίνεται cum eis quae antecedunt coniungi voluit 30 τοῦ Brandis Bonitz cl. Alex. 731,36: τὸ C

ὡς εἶδος ἢ ὡς ὕλη; εἰ δὲ ἀνούσιοι, δεύτεραι τῶν οὐσιῶν. ῥητέον οὖν ὅτι 885ᵇ
αἱ μὲν ἀδιάστατοι ὡς λόγοι καὶ εἴδη οὐσίαι, αἱ δὲ ἐν τῇ φαντασίᾳ αἱ διασταταὶ ὡς ὕλαι τῶν εὐθειῶν ἢ τῶν περιφερειῶν. εἰ δὲ καὶ ὅλην τὴν φανταστὴν οὐσίαν ὡς ἐν ὑποκειμένῳ φαίη τις εἶναι τῇ φαντασίᾳ ἢ τῷ πνεύματι, ἐκείνων μὲν ἂν αὐτῶν ἀναγκάζοιτο δευτέραν αὐτὴν ἀποφαίνεσθαι καὶ ἀτελεστέραν, οὐ μέντοι τῆς αἰσθητῆς οὐσίας· οὐ γὰρ πᾶν τὸ ἐν ὑποκειμένῳ ὂν δεύτερον ἡστινοσοῦν οὐσίας (ἐπεὶ οὕτω καὶ αἱ ἀρεταὶ τῆς ψυχῆς αἵ τε ἐπιστῆμαι καὶ λίθων καὶ τῶν ἄλλων ἐνύλων σωμάτων ἂν εἶεν δεύτεραι), ἀλλ' ἐκείνης μὲν ἐν ᾗ ἔχει τὸ εἶναι δεύτερον, ἄλλης δὲ καταδεεστέρας οὔτε δεύτερον οὔτ' ἀτελέστερον, εἰ μή τις ὁμόσε χωρῶν ὡς οὐδὲν ἄτοπον ὂν καὶ ἐπιστήμην καὶ ἀρετὴν ἀντιδιαταττόμενος τῷ θείῳ Πλάτωνι σώματος εἶναι φαίη καταδεεστέρας· ἀλλ' οἶμαι ψυχὴ μὲν καὶ τὰ ψυχῆς πάντα πρεσβύτερα σώματος καὶ τῶν τοῦ σώματος, αὐτῶν δὲ τούτων ψυχὴ μὲν τῶν ἐν ἑαυτῇ ποτὲ μὲν ὄντων, ποτὲ δὲ μὴ ὄντων ἐνεργείᾳ πρεσβυτέρα, σῶμα δὲ τῶν συμβεβηκότων αὐτῷ σεμνότερον· τὰ δὲ ἐν ψυχῇ ὄντα ἢ ἀεὶ ἢ ποτὲ τῷ σώματι παραβάλλειν μὴ πλημμελὲς ᾖ. καὶ ἔτι τοῦδε πλημμελέστερον τὸ παραβάλλοντα προτιθέναι τῶν ἐν ψυχῇ τὴν ὑπόστασιν ἐχόντων τι ἔνυλον σῶμα ὡς τελειότερον αὐτῶν καὶ ἐμψυχότερον· τοῦτο γάρ ἐστι τὸ πάντων θαυμαστότατον, εἰ ἐμψυχότερόν ἐστι τὸ σῶμα τούτων, οἷς τὸ εἶναι ἐν ψυχῇ ἐστιν εἶναι.

p. 1077ᵃ36 Τῷ μὲν οὖν . . . λέγεται.

Ἐν τούτοις τῷ μὲν λόγῳ συγχωρεῖ εἶναι πρότερα τὰ μαθηματικὰ τῶν αἰσθητῶν, ἐπειδὴ τὸ αἰσθητόν τις ὁριζόμενος σῶμα δεῖται τῶν διαστάσεων αἳ ὁρίζουσι τὸ μαθηματικόν, τῇ οὐσίᾳ δὲ οὐκέτι. καίτοι κατὰ τοὺς κανόνας αὐτοῦ τοὺς ἐν τῷ Z παραδοθέντας ἐπὶ τῶν ἁπλῶν οὐσιῶν (ἁπλᾶς δὲ λέγω τὰς ἄνευ τῶν συμβεβηκότων θεωρουμένας) τὸ τῷ λόγῳ πρότερον καὶ τῇ οὐσίᾳ πρότερον ὂν ἀποδείκνυται· τὰ γὰρ τῷ λόγῳ πρότερα τῷ εἴδει πρότερα ἐν ἐκείνοις εἶναι ἐλέγετο, τὰ δὲ τῷ εἴδει πρότερα τῇ οὐσίᾳ πρότερα· ἐξ ὧν ἀμφοτέρων οὐκ ἄδηλόν ἐστι τὸ συναγόμενον. καὶ ὁ ἐν τούτοις δὲ τοῖς ῥητοῖς αὐτοῦ κανὼν δείκνυσιν, ὅτι τὰ μαθηματικὰ | πρεσβύτερά ἐστι τῶν 886ᵃ αἰσθητῶν οὐ τῷ λόγῳ μόνῳ (τοῦτο μὲν γὰρ συγκεχώρηκε καὶ αὐτός), ἀλλὰ καὶ τῇ οὐσίᾳ· τῷ γὰρ εἶναι ὑπερβάλλει. ὄντος μὲν γὰρ τοῦ τριχῇ διαστατοῦ μετὰ ἀντιτυπίας ἀνάγκη εἶναι καὶ προεῖναι τὸ τριχῇ διαστατὸν καὶ ἔτι τὸ διχῇ καὶ πολὺ πρότερον τὸ μίαν ἔχον διάστασιν· τούτων δὲ ὄντων οὐκ ἀνάγκη τὸ αἰσθητὸν εἶναι. ἀλλ' ἵνα ταῦτα παρῶμεν, τί ἐστι τὸ καὶ ἐκ τῶν παραδειγμάτων αὐτῷ συναγόμενον; τί δὲ ἄλλο γε ἢ ὅτι τὸ

2. 3 φαντασίᾳ καὶ διασταταὶ coni. Us. 3 περιφερῶν Bag. 4 οὐσίαν Us.: αἰτίαν C 10 ὡς Us.: εἰς C 11 verba ἀντιδ. τῷ θ. Πλάτωνι del. Us. glossema putans 12 καὶ τὰ Cᵇ (idem in mg.): κατὰ Cᵃ 20 εἶναι del. Bag. 21 cf. Alex. 732,19 25 met. Z 10 32. 33 haec certe turbata; Us. post διαστατοῦ add. τοῦ, post διαστατὸν vel τὸ μαθηματικὸν vel τὸ διανοητόν; fort. praestat ante τριχῇ inserere αἰσθητοῦ 36 αὐτῶν C: corr. Us.

τῷ λόγῳ πρότερον οὐ πάντως καὶ τῇ οὐσίᾳ πρότερον, οὐ μὴν ὅτι καὶ 886a
ὕστερον· τὸ γὰρ λευκὸν πρότερον ὂν τῷ λόγῳ τοῦ λευκοῦ ἀνθρώπου ⟨οὐ⟩ 10
πρότερόν ἐστι κατ' αὐτὸν τῇ οὐσίᾳ. καίτοι φαίη τις ἂν ὅτι εἰ καὶ μὴ
ἀνθρώπου πρότερον, ἀλλ' οὖν λευκοῦ ἀνθρώπου πρεσβύτερον εἶναι ὀφείλει·
5 ὅμως τοῦτο μὲν συγκεχωρήσθω καὶ κείσθω εἶναί τινα, ἃ τῷ λόγῳ πρότερα
ὄντα τῇ οὐσίᾳ σύνδρομά ἐστι τούτοις ὧν ἦν τῷ λόγῳ πρότερα. τί οὖν
ἐκ τούτων συνάγομεν; ἢ ὅτι τὰ γεωμετρούμενα πρότερα ὄντα τῷ λόγῳ τῇ 15
οὐσίᾳ οὔτε πρότερά ἐστιν οὔθ' ὕστερα τῶν αἰσθητῶν; καίτοι πᾶς ὁ λόγος
ἐπικεχείρηται ὡς ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν λαμβανομένης τῆς μαθη-
10 ματικῆς ὕλης· διὸ καὶ τοιούτῳ ἐχρήσατο συμπεράσματι 'ὥστε φανερὸν ὅτι
οὔτε τὸ ἐξ ἀφαιρέσεως πρότερον οὔτε τὸ ἐκ προσθέσεως ὕστερον.' ἀλλ' 20
ὅμως καὶ τοῦτο προαρπάσας ψεῦδός τε ὂν καὶ τῶν ἐν ἀρχῇ προκειμένων
εἰς ζήτησιν ἢ ὁρῶμεν ὅσον συνήγαγεν· εἰ δέ γε τὰς διαστάσεις, περὶ ἃς τῷ
ὄντι ἡ γεωμετρία τετεύτακεν, ἠβούλετο σκοπεῖν ὀρθῶς, κατὰ πάντα ἂν αὐτὰς
15 εὗρε πρεσβυτέρας τοῦ ἐνύλου σώματος, εἰ τὰ ἄυλα τῶν ἐνύλων καὶ τὰ 25
καθόλου τῶν ἐν μέρει καὶ τὰ ἀΐδια τῶν φθαρτῶν πάντες ὁμολογοῦμεν εἶναι
πρεσβύτερα.

p. 1077b12 Ὅτι μὲν οὖν . . . ἱκανῶς.

Αὐτὸς μὲν ὡς ἐπὶ δεδειγμένοις τούτῳ χρῆται τῷ συμπεράσματι. ἡμεῖς
20 δέ, ὅτι οἱ μὲν λόγοι αὐτῶν οὐσίαι ἀμερεῖς καὶ αἰτίαι τῶν φανταστῶν καὶ
τῶν αἰσθητῶν διαστάσεων, εἰς δύναμιν ἡμετέραν ἐπεδείξαμεν· αἱ δὲ ἐν τῇ 30
φαντασίᾳ τοῖς ἀμερέσι λόγοις μορφαὶ καὶ διαστάσεις συνυφιστάμεναι ὅτιπερ
ὡς ἐν ὑποκειμένῳ εἰσὶ τῇ ψυχῇ πρεσβύτεραι οὖσαι καὶ αὐταὶ σώματος
καὶ τῶν τοῦ σώματος παθημάτων, καὶ τοῦτο μετρίως συνεστήσαμεν· ἐπεὶ
25 δὲ καὶ τὸ ἔναγχος εἰρημένον αὐτῷ περίληψιν ἐποιήσατο κατὰ | τὸ συμ- 886b
πέρασμα, ὑπομνηστέον ὡς αἱ ἐν τοῖς αἰσθητοῖς διαστάσεις πρότεραι μὲν
τῷ λόγῳ τῶν σωμάτων ἐδείχθησαν, τῇ δὲ οὐσίᾳ οὐχ ὕστεραι, ταύτας δὲ
καὶ ἀνουσίους λέγειν ἄτοπον ἴσως οὐδέν.

p. 1077b14 Ἐπεὶ δ' οὐδ' ἐν . . . ἡ ὁμαλής.

30 Εἰπὼν πῶς οὐκ οἴεται εἶναι τὰ μαθηματικά, νῦν πειρᾶται λέγειν ποίαν 5
ἄν τις αὐτὰ νομίσειεν ἔχειν ὑπόστασιν. ἀρέσκει οὖν αὐτῷ μήτε καθ' αὑτὰ
ὑφεστάναι τὰ μαθηματικὰ μεγέθη καὶ σχήματα μήτε ἐν τοῖς αἰσθητοῖς εἶναι
ἄλλα ὄντα παρὰ τὰ αἰσθητά, ἀλλ' ἐκ τῶν αἰσθητῶν κατὰ ἀφαίρεσιν ἐπι-
νοεῖσθαι· ὥσπερ γὰρ καὶ τὸ καθόλου, φησίν, ἐν τοῖς μαθήμασιν 10

1 ὅτι Bonitz: ἔτι C 2 οὐ add. Us. 3 ἂν add. Us. 12. 13 τῶν — ὅσον] fort. emendandum τῷ . . . προκειμένῳ . . . χρώμενος; quod si verum, scr. γε pro τε 14 ad τετεύτακεν schol. in mg. C: πραγματεύεται διατρίβει ἢ φροντίζει· παρὰ δὲ Φερεκράτει ἡσυχάζει· σημαίνει δὲ καὶ σκεωρεῖται (sic) C cf. Phot. Suid. Et. M. et supra p. 26,20 24. 25 ἐπεὶ δὲ H: ἐπειδὴ C 25 πρόληψιν coni. Us. recte 29 ὁμαλής ut E Alex.: ὁμαλή Ab 34 τὸ ut Alex.: τὰ Ar. codd.

οὐ περὶ κεχωρισμένων ἐστὶ παρὰ τὰ μεγέθη καὶ τοὺς ἀριθμούς. 886b
ἀλλὰ περὶ τούτων μέν, οὐχ ᾗ δὲ τοιαῦτα (οἷον ὅταν λέγωμεν 'ἐὰν
πρῶτον πρὸς δεύτερον καὶ τρίτον πρὸς τέταρτον τὸν αὐτὸν ἔχῃ λόγον, καὶ
ἐναλλὰξ ληφθέντων σωθήσεται τὸ ἅμα τὸν αὐτὸν ⟨ἔχειν⟩ λόγον'), οὕτω,
5 φησί. καὶ περὶ μεγεθῶν ἡ μαθηματικὴ διαλεγομένη περὶ αἰσθητῶν μὲν 15
διαλέγεται, οὐχ ᾗ δὲ αἰσθητά. ἡμεῖς δὲ καὶ πρότερον μὲν ἐνέστημεν πρὸς
τοῦτο τὸ ἐπιχείρημα εἰπόντες, ὅτι καὶ τοῦτο δεῖ περιληπτικώτερον εἶναι
τῶν μεγεθῶν καὶ τῶν ἀριθμῶν, καὶ νῦν δὲ τὸ αὐτὸ τοῦτο λέγομεν. εἴπερ
γὰρ τὸ καθόλου ἐστὶν ᾧ πρώτῳ ὑπάρχει, ἀνάγκη ἐκεῖνο εἶναι παρὰ τὰ 20
10 εἰδικώτερα αὐτοῦ· οὐ γὰρ δὴ τῷ μὴ ὄντι πρώτως τι ὑπάρχει. εἰ δὲ τὸ
καθόλου φησί τις ἐν αὐτοῖς εἶναι τοῖς εἰδικωτέροις, τὸ κατατεταγμένον ὁρᾷ,
ὃ μόριόν ἐστι τοῦ ὑποκειμένου, καὶ οὐ τὸ ἀκατάτακτον, ὃ παντὸς τοῦ εἴδους
κατηγορεῖται. πλὴν ἀγασθείη ἄν τις τὸν Ἀριστοτέλην καὶ ἐν τούτοις τῆς
ἀκολουθίας συντάττοντα τὰ καθόλου τοῖς μαθηματικοῖς· ὡς γὰρ τὰ καθόλου 25
15 ἐστίν, οὕτω καὶ τὰ μαθηματικά. ἔστι δὲ κατὰ μὲν τὸ ἀληθὲς ἄμφω ⟨ἐν⟩
τοῖς οὐσιώδεσι λόγοις τῆς ψυχῆς, κατ' αὐτὸν δὲ ἐν τοῖς αἰσθητοῖς καὶ ἐν
ἐπινοίαις ἀφαιρούσαις τῶν αἰσθητῶν τὰς κοινότητας. ἐπεὶ δὲ καὶ κινήσεως
ἐμνημόνευσε λέγων, ὅτι πολλοὶ περὶ κινουμένων εἰσὶ λόγοι οὐκ οὔσης κινή- 30
σεως κεχωρισμένης (ὅταν γὰρ λέγωμεν 'τὰ ἰσοταχῶς κινούμενα ἐν ἴσῳ
20 χρόνῳ τὸ αὐτὸ διάστημα διέξεισιν', οὐδὲν μὲν ἁπτόμεθα τῶν ὑποκειμένων
πραγμάτων, ἀλλὰ περὶ τῆς κινήσεως αὐτῶν διαλεγόμεθα μόνης, οὐ μὴν
διὰ τοῦτο καὶ κίνησιν εἶναι κεχωρισμένην ὑπολαμβάνομεν)· | ῥητέον οὖν 887a
ὅτι πρῶτον μὲν οὐχ ὅμοιόν ἐστι τὸ περὶ τὴν κίνησιν τοῖς σχήμασιν· ὁ
μὲν γὰρ μὴ βουλόμενος εἶναι κίνησιν ἔξω τῶν αἰσθητῶν οὐκ ἐννοεῖ τὴν ἐν
25 τοῖς ἀκινήτοις ἀκριβεστέραν, ὁ δὲ γεωμέτρης ἐπινοεῖ τῶν φαινομένων σχη- 5
μάτων ἀκριβέστερα· ἔπειτα δὲ ὅτι καὶ τὸ πᾶν λαμβάνεται ψευδῶς· ἔστι
γὰρ καὶ κίνησις ἐν ἀσωμάτοις καὶ σχῆμα καὶ μέγεθος, οὐ τοιαῦτα δὲ οἷα
ἐν τοῖς αἰσθητοῖς.

Ἁπλῶς δὲ πρὸς ἅπασαν αὐτοῦ τὴν δόξαν τοῦτο ῥητέον, ὅτι μήτε τεθεά-
30 μεθα πάντα τὰ σχήματα ἢ πάντας τοὺς ἀριθμοὺς ἐν τοῖς αἰσθητοῖς, περὶ
ὅσα καὶ ὅσους αἱ μαθηματικαὶ διατρίβουσι, μήτε δυνατόν ἐστιν ἀκριβείᾳ 10
τοσαύτῃ χρῆσθαι τὰ ἐκ τῶν αἰσθητῶν εἰλημμένα. εἰ δὲ ὅτι ἡμεῖς αὐτοῖς
προστίθεμεν τὸ ἐνδέον καὶ ἀκριβέστερα ποιοῦμεν καὶ οὕτω θεωροῦμεν, ἀπο-
φαίνοιτο, πρῶτον μὲν πόθεν δυνάμεθα αὐτὰ τελειοῦν, ἀναγκαῖον εἰπεῖν·
35 οὐ γὰρ ἂν ἄλλην αἰτίαν ἀληθεστέραν εὕροιμεν τῆς ὑπὸ τῶν παλαιῶν εἰρη- 15
μένης, ὅτι κατ' οὐσίαν ἡ ψυχὴ προεῖληφε πάντων τοὺς λόγους. ἔπειτα
δὲ ἐάν τι προσθῶμεν τοῖς ἀφαιρεθεῖσιν ἐκ τῶν αἰσθητῶν, οὐκ ἀκριβέστερον
αὐτὸ καὶ ἀληθέστερον ἀλλὰ πλασματωδέστερον ἀποτελοῦμεν. τὸ γοῦν εἶδος
τὸ Σωκράτους ἀναμαξάμενός τις εἰ μὲν οἷον ἐκ τοῦ αἰσθητοῦ Σωκράτους
40 ἐδέξατο, διαφυλάττοι τῇ φαντασίᾳ. μᾶλλον ἂν αὐτοῦ τυγχάνοι τῆς γνώσεως· 20

---

1 κεχωρισμένον C 4 ἔχειν praebet Alex. 734,21; ἅμα etiam Alex., praestatne ἀνά? 7 ὅτι καὶ κατ' αὐτὸν δεῖ τι π. Us. cl. 885b29 9 malim πρώτως 15 ἐν add. Bag. 38 αὐτῷ C: corr. A 39 malim ἀναμαξόμενος

εἰ δὲ ἐπὶ τὸ εὐπρεπέστερον μεταρρυθμίζειν αὐτὸ θελήσειε, πᾶν μᾶλλον ἂν 887a
ἢ τὸ Σωκράτους εἶδος ἔτι παρ' ἑαυτῷ θεωρήσειεν. ἐπὶ δὲ τῶν ἴσων καὶ
ὁμοίων ἀριθμῶν καὶ σχημάτων οὐ ταὐτὸν τοῦτο πεπόνθαμεν, ἀλλ' ὅσῳ
ἂν ἐπὶ τὸ ἀκριβέστερον καὶ τελειότερον αὐτὰ περιάγωμεν, τοσούτῳ μᾶλλον
ἐγγυτέρω τοῦ ἀμεροῦς αὐτῶν εἴδους ἐρχόμενα σαφέστερα ἡμῖν καὶ εὐγνω-
στότερα γίγνεται. ὅλως δὲ ἀναμιμνήσκεσθαι μὲν ἀπὸ τῶν αἰσθητῶν συγχω-
ρητέον ἡμῖν τὴν διάνοιαν, μόρφωμα δὲ ἀπ' αὐτῶν εἰσθέχεσθαι μὴ οὐδὲ
θεμιτὸν ἢ λέγειν· ἄχρι γὰρ φαντασίας χωρεῖν δύναται τὰ δι' αἰσθήσεως
εἰς ἡμᾶς εἴδη παραπεμπόμενα, ἃ δὴ καὶ ἐν αὐτῇ τῇ φαντασίᾳ ἄτομα μένειν
ἐθέλει καὶ τοιαῦτα οἷα εἰσελήλυθεν· ὅταν δὲ ἡ ἔννοια λοιπὸν ἀπὸ τούτων
ἐπὶ τὸ καθόλου καὶ ἐπὶ τὰ τῷ ἀκριβεῖ λόγῳ θεωρητὰ μεταβαίνῃ, δήλη
ἐστὶ τὰ ἑαυτῆς ἐπισκεπτομένη. διὸ καὶ ζηλωτὴ αὕτη ἡ ἐνέργεια καὶ οὐ
πολυπράγμων καὶ διεγερτικὴ τοῦ τῆς ψυχῆς ὄμματος τυφλουμένου καὶ κατο-
ρυττομένου διὰ τῶν πολλῶν ἐπιτηδευμάτων· ὃ περὶ τὰ ἐξ ἀφαιρέσεως διατρί-
βουσα πότ' ἂν κατεπράξατο; τοὐναντίον μὲν οὖν ἐποίησεν ἄν· ἐτύφλωσε
καὶ τὸ | βλέπον τῆς διανοίας καὶ προσήλωσε τῷ σώματι καὶ κατέχωσεν 887b
ἂν αὐτῆς τὴν ἐπὶ τὰ ὄντως ὄντα μεταβατικὴν ὁρμήν, εἰ καθάπερ φησὶν ὁ
Ἀφροδισιεὺς Ἀλέξανδρος, νοητὰ ἄττα ἑαυτῇ ἀναπλάσασα, οὐκ ὄντα τῇ
οἰκείᾳ φύσει νοητά, περὶ αὐτὰ ταῦτα μάτην ἐσκιαμάχει. εἰ μὲν γὰρ ἀνού-
σια μὲν ἐοικότα δὲ τοῖς νοεροῖς εἴδεσιν αὐτὰ εἶναι ὑπετίθεντο, μάλιστα
μὲν καὶ αὐτὸ τοῦτο θαυμαστὸν ἦν, πῶς ἐκείνοις ἔοικεν ἃ μὴ ἔστιν οὐσιώδη.
οὐ μὴν ἀλλ' ὑπελείπετο λέγειν αὐτοῖς, ὅτι γυμνασαμένη περὶ αὐτὰ ἡ διάνοια
συνάπτεσθαι δυνήσεταί ποτε καὶ τοῖς νοητοῖς εἴδεσι, καθάπερ οἱ ῥήτορες
μελετήσαντες πλασματώδεις τινὰς λόγους πρὸς τοὺς ἀληθινοὺς ἀγῶνας παρα-
σκευὴν ἴσχουσι διὰ τὸ ἐοικέναι τὰ πλάσματα ταῖς δικανικαῖς περιστάσεσιν.
ἐπειδὴ δὲ οὔτε ἰδέας εἶναι βούλονται οὔτε τὰ μαθηματικὰ τῶν θείων εἰδῶν
εἰκόνας εἶναι οὔθ' ὅλως εἶναι πλὴν ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν, οὐχ ὁρῶ
πῶς ἂν πρὸς ἀναγωγὴν ψυχῆς ἡμῖν ἔτ' ἂν συντελέσειε κατὰ ταύτας τὰς
ὑποθέσεις ἢ γεφύραις ἀναλογήσειε μεθιστάσαις ἡμᾶς ἀπὸ τῶν αἰσθητῶν
ἐπὶ τὴν ἀληθινὴν νόησιν, πῶς τε οὐκ ἄμεινον τὸ αἰσθητὸν μέγεθος, ὡς
πέφυκε, δι' αἰσθήσεως καταλαμβάνειν, ἢ ὑποσυλήσαντας αὐτὸ τοῦ ὑποκει-
μένου προστιθέναι μὲν αὐτῷ τὴν μήτε ὑπάρχουσαν μήτε ὑπάρξαι δυναμένην
ἀκρίβειαν, ἐπισκέπτεσθαι δὲ αὐτὸ οὐχ ᾗ ὑφέστηκεν ἀλλ' ᾗ μήτ' ἔστι μήτ'
εἶναι δύναται. διὸ καὶ αὐτὸς ὁ Ἀριστοτέλης τοῦθ' ὑφορώμενος, μὴ περὶ
αἰσθητὰ φὰς διατρίβειν τὴν γεωμετρίαν χείρονα τῆς αἰσθήσεως αὐτὴν ὁμο-
λογεῖν ἀναγκασθῇ, οὐ περὶ αἰσθητά φησι διατρίβειν αὐτὴν ἀλλ' ἢ κατὰ
συμβεβηκός· ὥσπερ οὐδὲ τὸν ἰατρὸν περὶ τὰ λευκά, κἂν πάντα τὰ ὑγιεινὰ
λευκὰ ᾖ, ἀλλὰ περὶ τὰ ὑγιεινά, οὕτω καὶ τὴν γεωμετρίαν περὶ τὰ μεγέθη
καὶ σχήματα, κἂν μηδὲν ἔξω τῶν αἰσθητῶν μέγεθος ἢ σχῆμα τὴν ὑπό-

11 τὰ καθόλου Us. 13 cf. Plat. resp. VII 533d 18 ad Alex. 735,30 sqq. refert Us., non recte opinor 19 αὐτὰ malim abesse 20 ἐοικέναι C: corr. Bag. 28 ἔτ' ἂν] coniecerunt ἔτι vel ὁτιοῦν (Us.) 29 ἀναλογήσει C 31 cf. 909b18 37 ὥσπερ γὰρ Us.

στασιν ἔχῃ. ἀλλὰ πρῶτον μὲν οὐδ' ἂν περὶ τὰ ὑγιεινὰ διέτρεχεν ἰατρικὴ 887b
μὴ προσποιουμένη τὰ ἐν οἷς ἔστιν, εἰ μὴ ἑκάστου εἴδους λόγον εἶχεν ἡ 30
ψυχή, ὃν ἀνελίττουσα ὑφίστη τὴν περὶ αὐτὸ ἐκεῖνο ἐπιστήμην· πόθεν γὰρ
οἱ καθόλου λόγοι καὶ παρὰ τοῖς ἰατροῖς καὶ παρὰ τοῖς ἄλλοις ἐπιστήμοσιν,
5 εἰ μὴ ἐκ τῆς τοῦ θεωρητοῦ αὐτοῖς εἴδους ἀνελίξεως; ἔπειτα δὲ οὐδὲ ὅμοιόν
ἐστι πάντῃ τὸ παράδειγμα. ἡ μὲν γὰρ ἰατρικὴ ποιητική τις οὖσα τέχνη 35
καὶ αἰσθητὸν ἔχουσα τέλος ἀναγκαίως περὶ αἰσθητὰ τετάτακεν, ἡ δὲ γεω-
μετρία θεωρητική τις οὖσα φιλοσοφία καὶ κατ' αὐτόν, εἰ μὴ περὶ ὄντα
στρέφεται | καὶ κρειττόνως ὄντα ἢ κατὰ τὰ αἰσθητά, οὐδὲν ἂν σπουδαῖον 888a
10 διαπράττοιτο. ἐπὶ τούτοις ἡ μὲν τῶν ὑγιεινῶν ἐπιστήμη οὐδὲν ἔχει περὶ
τῶν λευκῶν ὅσον ἐπὶ τοῖς ἑαυτῆς θεωρήμασι διισχυρίσασθαι, γεωμετρία δὲ
δὲ περὶ τῶν κατ' οὐρανὸν ἀποδείκνυσιν — οὐκ ἄν, εἴ γε μὴ περὶ τοὺς 5
τελειοτέρους λόγους καὶ περιληπτικωτέρους αὐτῶν ἀνεστρέφετο· πόθεν γὰρ
διὰ τοῦ καθόλου τὸ ἐν οὐρανῷ μερικὸν ἀποδείκνυται, εἰ μή τι τῶν καθόλου
15 τῶν ἐν οὐρανῷ τὴν αἰτίαν εἶχεν, ἣ ἔστι μὲν καὶ ἐν ταῖς ἡμετέραις ψυχαῖς
θεωρητικῶς, ἐν δὲ ταῖς οὐρανίαις καὶ δημιουργικῶς. καὶ τοσαῦτα μὲν καὶ
πρὸς τοῦτο τὸ ἐπιχείρημα. 10

Ἐπειδὴ δὲ περὶ τὰ καθ' αὑτὰ τοῖς μεγέθεσιν ὑπάρχοντα πραγματευο-
μένης τῆς γεωμετρίας φησὶν ὅτι δύναται, καὶ εἰ μὴ χωριστὰ εἴη τῶν αἰσθη-
20 τῶν τὰ μεγέθη, περὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα τοῖς ἀχωρίστοις διατρίβειν
(καὶ γὰρ ἄλλοις ἀχωρίστοις, φησί, καθ' αὑτά τινα ὑπάρχει· τὸ γὰρ θῆλυ
καὶ τὸ ἄρρεν ἀχώριστα μὲν τῶν ζῴων, ἴδια δέ τινα ἔχει πάθη, οἷον τὸ 15
μέν ἐστι γεννητικόν, τὸ δὲ θρεπτικὸν καὶ ὑποδεκτικὸν τῶν σπερματικῶν
λόγων), ῥητέον ὅτι πρῶτον μὲν καὶ τὸ θῆλυ καὶ ἄρρεν πανταχοῦ ἐστι
25 καὶ οὐκ ἐν τοῖς αἰσθητοῖς μόνοις ζῴοις· καὶ γὰρ ἐν θεοῖς καὶ ἐν τοῖς
κρείττοσιν ἡμῶν γένεσι, καὶ οὐδ' ἂν ἡ θνητὴ φύσις αὐτὰ ἔσχε σύν τινι 20
ἰδιότητι μὴ ἄνωθεν προελθόντα. ἔπειτα τί ἀποδείκνυται τῶν κατ' οὐρανὸν
ἢ τῶν θείων διὰ τῆς ἀκριβοῦς τῶν τῇδε ἀρρένων ἢ θηλέων κατανοήσεως,
ὥσπερ διὰ τῶν γεωμετρουμένων τὰ κατ' οὐρανόν; εἰδὼς δὲ πάλιν, ὅσον
30 διαφέρουσι κατ' ἀκρίβειαν αἱ γεωμετρικαὶ μέθοδοι, ⟨αἳ⟩ τοῦτο οὐκ ἂν ἔσχον,
εἰ μὴ περὶ σπουδαῖα καὶ καθαρὰ διέτριβον ὑποκείμενα, τὸ ἁπλούστερον 25
αἰτιᾶται τῶν ὑποκειμένων τῆς ἀκριβείας. πρὸς ὃ εἴποιμεν ἂν ὅτι εἰ μὲν
τὸ ἁπλούστερον τοῦτο καὶ τῇ οὐσίᾳ εἴη πρότερον καὶ τιμιώτερον τοῦ συν-
θετωτέρου, δέχοιτ' ἂν ἀκριβῆ θεωρίαν, ὥσπερ ἡ ὁμαλὴς τῶν οὐρανίων
35 κίνησις τῆς σκολιωτέρας καὶ πολυσυνθέτου τῶν θνητῶν ζῴων μεταβάσεως 30
μᾶλλον γιγνώσκεται· εἰ δὲ τὸ ἁπλούστερον τοῦτο ἀτελέστερον εἴη τοῦ συν-
θετωτέρου, πῶς ἂν ἐπιδέξαιτο πλείους καὶ σεμνοτέρους καὶ ἀληθεστέρους
λόγους; οὔτε γὰρ περὶ λευκότητος οὔτε περὶ εὐωδίας τοιαύτας ἀποδείξεις
ἔστι ποιήσασθαι· καίτοι πᾶσαι μὲν ποιότητες, πᾶσαι δὲ σχέσεις ἁπλούστεραί

1 nempe διέτριβεν 8 φιλοσοφία suspectum habet Us. 9 κατὰ om. Bag.
12 οὐ γὰρ ἄν Us., at cf. Damasc. I 23,4. 54,16 II 6,14. 92,26. 191,6 Philop. in phys. 40,7 23 ὑποδεικτικὸν C: corr. H cf. Alex. 737,9 24 τὸ ante ἄρρεν add. AH 30 αἳ addidi (ὡς ante ὅσον add. Us.)

εἰσι τῶν πεποιωμένων καὶ τῶν τὴν σχέσιν ἀναδεξαμένων σωμά|των. 888b
ὥστε τῶν δύο τὸ ἕτερον ἢ οὐκ εἰσι τῶν φυσικῶν λόγων αἱ μαθηματικαὶ
δείξεις ἀκριβέστεραι ἢ περὶ μᾶλλον ὄντα διατρίβουσιν αἱ μαθηματικαὶ τῆς
φυσικῆς· οὐ γὰρ ἔχει λόγον τὸ μᾶλλον ὂν ἀμυδρότερον εἶναι πρὸς γνῶσιν
5 οὐδὲ τὸ ἧττον ὂν ἐναργέστερον γιγνώσκεσθαι· ἀλλὰ καὶ ὅτε τοῦτο συμβαίνει 5
περί τι τῶν νοητῶν, διὰ τὴν ἡμετέραν ἀσθένειαν γίγνεται, οὐ διὰ τὴν τοῦ
πράγματος ἰδιότητα· τὸ γὰρ τοῦ θείου Πλάτωνός ἐστι κἂν τούτοις ἀλη-
θέστατον, ὅτιπερ ὡς ἕκαστον ἀληθείας τε μετέχει καὶ τοῦ ὄντος, οὕτω
καὶ σαφηνείας καὶ γνώσεως. ταὐτὸν δὲ τούτῳ καὶ ἐν τῷ ἐλάττονι ᾗ σαφῶς 10
10 εἴρηται τούτῳ τῷ φιλοσόφῳ· ὥστε χρὴ τῶν κοινῶν δογμάτων αὐτοῦ τε
καὶ Πλάτωνος μὴ κατὰ τὸ σμικρότατον ἡμᾶς ἀφίστασθαι.

p. 1078a14 Ὁ δ' αὐτὸς . . . ὡσαύτως.

Ὅτι μὲν οὐ περὶ τοῦ τῆς ὄψεως εἴδους ὁ ὀπτικὸς οὐδὲ περὶ τοῦ τῆς φωνῆς
ὁ ἁρμονικὸς ἐπισκέπτονται, ἀλλ' ὁ μὲν περὶ ἀκτίνων, ὁ δὲ περὶ τῶν πρός τι 15
15 ἀριθμῶν, ἅ πέρ ἐστι καθ' αὑτὰ πάθη τῆς ὄψεως καὶ τῶν φωνῶν, συγκεχω-
ρήσθω. ἀλλ' ὅμως ἐκεῖνό γέ ἐστιν ἀληθές, ὅτι ἡ μὲν ὀπτικὴ τὰς ἀκτῖνας τὰς
περιπομένας ἀπὸ τοῦ αὐγοειδοῦς ἡμῶν πνεύματος ἐπὶ τὰ ὁρατὰ ἀφομοιοῖ ταῖς
γραμμαῖς ταῖς ἐν τῇ φαντασίᾳ καὶ ἐν αὐτῷ τῷ πνεύματι τὴν ὑπόστασιν
ἐχούσαις· διὸ καὶ αὐτὸς ἐν ἄλλοις ὁ Ἀριστοτέλης ταῖς φυσικαῖς γραμμαῖς 20
20 ὡς μαθηματικαῖς ἔφη κεχρῆσθαι τὸν ὀπτικόν, ὀρθῶς γε τοῦτο ποιοῦντα.
καὶ ἐπὶ τὰ προσεχῆ παραδείγματα τὰς εἰκόνας ἐπανάγοντα, ἐπεὶ μηδὲ ἄλλως
ἦν γνῶναι τὸ ἀπεικασθέν, εἰ μὴ τῇ πρὸς τὸ αἴτιον τὸ παραδειγματικώτερον
ἀναφορᾷ. ὁ δέ γε ἁρμονικὸς καὶ αὐτὸς τοὺς ἐν ὑποκειμένῳ καὶ ἐν ἄλλοις 25
τὴν ὑπόστασιν ἔχοντας ἀριθμοὺς ἐπὶ τοὺς χωριστοὺς ἀναπέμπει, καὶ ποιη-
25 τικοὺς αὐτῶν ὄντας καὶ παραδειγματικούς, ὡς ἐκεῖθεν ἀκριβείας καὶ οὐκ
ἀλλαχόθεν μετασχεῖν δυναμένους. ὁμοίως καὶ ὁ μηχανικὸς τὴν ὕλην σχη-
ματίζων ἐπανάγει πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἐπὶ τὰ ἄυλα σχήματα καὶ ἐν 30
φαντασίᾳ μὲν διαστατῶς, ἐν διανοίᾳ δὲ ἀμερῶς τὴν ὑπόστασιν ἔχοντα·
πᾶσαι γὰρ αὗται αἱ μέθοδοι. καὶ εἰ τῇ ὕλῃ προστρέχουσι καὶ πρὸς τὰ
30 ἔξω ῥέπουσιν, ἀλλ' οὖν ὑπὸ τὰς μαθηματικὰς πράττουσαι πρὸς ἐκείνας ἀνα-
φέρονται καὶ παραδείγμασι κέχρηνται τοῖς ἐκείνων θεωρήμασιν.

p. 1078a17 Ὥστε εἰ . . . ψεύσεται.

† Ἐν τούτῳ τοῦτο συμβαίνειν φαμὲν οὐ δι' ἣν αὐτὸς αἰτίαν | ἐπι- 889a
φέρει, ἀλλ' ἐπειδὴ μέτεισιν ἀπὸ τοῦ κατατεταγμένου σχήματος ἐπὶ τὸ ἀκατά-
35 τακτον, καὶ ἀπὸ τοῦ μερικοῦ ⟨καὶ⟩ ἐνόλου ἐπὶ τὸ καθόλου καὶ ἄυλον, ἐν

---

7 Plat. resp. VI extr. 9 ταὐτὸν δὲ τοῦτο coni. Us. Ar. met. α 1. 993b30
11 τοῦ Πλάτωνος AH an μηδὲ? 13 cf. Alex. 738,2 19 cf. anal.
post I 7 p. 75b15 21 ὅλως Us. 25 ὡς scripsi: καὶ C 30 usitatum
τελοῦσαι vel οὖσαι 33 εὖ γε τοῦτο· συμβαίνειν δέ φαμεν coni. Us.; sufficitne καὶ
ponere pro ἐν? 35 καὶ add. Us.

ᾧ καὶ ἡ ποικιλία τῶν λόγων καὶ τῶν θεωρημάτων ἀναφαίνεται τὸ πλῆθος. 889a
ὥσπερ . . . ψεῦδος. οὐχ ὅμοιον τοῦτο ἐκείνῳ· τῆς μὲν γὰρ καταγραφείσης 5
τὸ ποσὸν εἰς τὴν πρότασιν οὐ παραλαμβάνεται, τῶν δὲ καθόλου μέμνηται
καὶ ἐκ τῶν καθόλου πλέκεται ἡ ἀπόδειξις· ὥστε περὶ αὐτῶν ἐστιν ὁ προηγού-
5 μενος λόγος τῷ μαθηματικῷ καὶ οὐχὶ περὶ τῶν ἐν τοῖς αἰσθητοῖς μεγεθῶν
τε καὶ σχημάτων.

p. 1078a21 Ἄριστα δ' ἂν . . . χωρίσας.

Τοῦτο οὔ τι πάντως ἀληθές· τὸ γὰρ ἐν ὑποκειμένῳ ἔχον τὸ εἶναι 10
καὶ μίαν αἰτίαν μὴ ἔχον χωριστὴν ἐν τῷ ὑποκειμένῳ ἂν μᾶλλον ἄριστα
10 ὀφθείη· οἷον ἡ Σωκράτους μορφὴ ἐν τῷ Σωκράτους σώματι μᾶλλον ἂν
ὀφθείη καὶ ἐναργέστερον ἤ εἴ τις ἀποδιαλαβὼν αὐτὴν καθ' αὑτὴν ἐπισκέ-
πτοιτο. καὶ ὅτε δὲ τοῦτο συμβαίνει (συμβαίνει γὰρ ἐπὶ πασῶν ἐν τοῖς σώμασι 15
κοινοτήτων), δι' οὐδὲν ἄλλο ἡ ἀρίστη κατανόησις αὐτῶν γίγνεται χωριζομένων
ἢ διότι ἔχομεν ἑκάστων εἴδη παρ' ἡμῖν αὐτοῖς, ἅπερ ἀνελίττοντες τὰς περὶ
15 ἕκαστον ἐπιστήμας ἀπογεννῶμεν.

p. 1078a22 Ὅπερ ὁ ἀριθμητικὸς . . . τὸ δ' ὑλικῶς.

Ἔνστασιν ἐνταῦθα κομιζομένην πρὸς τὴν ἑαυτοῦ δόξαν ἐθέλει δια- 20
λῦσαι· εἰ γάρ, φασί, μὴ συγχωρεῖς εἶναι χωριστοὺς ἀριθμοὺς μηδὲ σχή-
ματα, περὶ μὴ ὄντων οἱ μαθηματικοὶ διαλέγονται· οὔτε γὰρ περὶ τῶν ἐν
20 τοῖς σώμασι τοῖς αἰσθητοῖς, ἐπειδὴ τὰ τοιαῦτά ἐστιν ἔνυλα, οὔτε περὶ
χωριστῶν, ἐπεὶ μηδ' ὅλως χωριστά· περὶ μὴ ὄντων ἄρα. ὁ δέ φησι περὶ
μὴ ὄντων μὲν ἐνεργείᾳ, δυνάμει δ' ὄντων. πῶς οὖν δυνάμει ἐστὶ ταῦτα 25
καὶ οὐκ ἐνεργείᾳ, διδάσκων τῷ ἀνθρώπῳ χρῆται παραδείγματι, καί φησιν
ὅτι ἓν μὲν καὶ ἀδιαίρετον ὁ ἄνθρωπος ἐνεργείᾳ, τουτέστιν ἓν τῷ ὑποκειμένῳ·
25 ἀλλ' ὁ μὲν ἀριθμητικὸς προσελθὼν αὐτῷ τὸ μοναδικὸν αὐτοῦ καὶ τὸ ἄτομον
θεωρεῖ. ὁ δὲ γεωμέτρης τὸ στερεὸν αὐτοῦ καὶ τὸ πάντῃ διαστατὸν ἐπισκέπτε- 30
ται· ὑπάρχει γὰρ αὐτῷ καὶ ταῦτα· οὐ προσποιεῖται οὖν αὐτοῦ ὁ γεωμέτρης
τὸ ἀδιαίρετον, ἀλλὰ ταῦτα ἃ ὑπάρχει μὲν αὐτῷ μετὰ τοῦ ἀδιαιρέτου, ὑπάρ-
ξειε δ' ἂν καὶ εἰ μὴ ἦν ἀδιαίρετος· ὥστε ὀρθῶς ἀποφαίνεται τριχῇ αὐτὸν
30 εἶναι διαστατὸν καὶ ἐπ' ἄπειρον τμητὸν καὶ ὅσα ὅλως περὶ τῶν στερεῶν 35
ὁ γεωμέτρης λέγει τε καὶ δείκνυσι. πρὸς ἃ ῥητέον, ὅτι πρῶτον μὲν τί
τὸ ἀπὸ τοῦ δυνάμει εἰς ἐνέργειαν ἄγον τὸ σχῆμα καὶ τὸ μέγεθος; οὐ γὰρ
δὴ τὸ δυνάμει φυλάξας δυνάμει νοεῖ ὁ | γεωμέτρης. ἀλλ' ἐνεργείᾳ αὐτὸ 889b
ποιήσας· εἰ δὲ τοῦτο, μορφοῖ αὐτὸ καὶ ἀκριβέστερον ποιεῖ κτὶ τελειοῖ. πῶς
35 ἂν οὖν δύναιτο ταῦτα ποιεῖν μὴ ἔχων τὰ ἐνεργείᾳ ἐν ἑαυτῷ; σὸν γάρ ἐστιν,
ὦ Ἀριστότελες, ὅτι ὑπὸ μόνου τοῦ ἐνεργείᾳ τὸ δυνάμει τελειοῦται καὶ εἰς

9 μίαν: nempe ἰδίαν 12 ὅτε Us.: ὅτι C πασῶν τῶν Us. 14 ἐν ἑκάστω
εἴδει C: corr. Bag. 15 malim ἑκάστων 17—31 = Alex. 738,24—739,12
20 τὰ Alex.: μὴ C 21 ἐπεὶ μηδ' ὅλως δίδως εἶναι χωριστά Alex. 28. 29 ὑπάρξει C
29 ἀδιαίρετος Alex.: ἀδιαίρετα C 35 nempe τὸ ἐνεργείᾳ

ἐνέργειαν ἄγεται. ἔπειτα δὲ οὐδὲ πάντα ἀπὸ τῶν αἰσθητῶν δύναται λαμ- 889ᵇ
βάνειν ἡ γεωμετρία· πολλὰ γὰρ σχήματα καὶ πάθη θεωρεῖ σχημάτων, ἃ 6
ὁ αἰσθητὸς κόσμος οὐχ ὑποδέδεκται. εἶτα ⟨εἰ⟩ ἐνεργείᾳ μέν ἐστιν ἐν τοῖς
αἰσθητοῖς ταῦτα (οὕτω γὰρ ὁ Ἀφροδισιεὺς τοῦτο τὸ ῥητὸν ἐξηγεῖται). δυνάμει
5 δὲ θεωρεῖται καθ' ἑαυτά, πῶς ἀκριβέστερόν ἐστι τὸ δυνάμει τοῦ ἐνεργείᾳ: 10
ὃ δὴ καὶ εὐλαβηθεὶς ὁ νεώτερος Ἀριστοτέλης ὁ ἐξηγητὴς τοῦ φιλοσόφου
Ἀριστοτέλους, ἀνάπολιν ἔφη λέγειν τὸν φιλόσοφον, δυνάμει μὲν εἶναι ἐν
τοῖς αἰσθητοῖς τὸ ἕν, ὃ ἐπισκέπτεται ὁ ἀριθμητικός, καὶ τὸ σχῆμα τὸ γεω-
μετρικόν, ἐνεργείᾳ δὲ ὑπὸ τῶν ἐπιστημῶν θεωρεῖσθαι. καὶ ἠβουλόμην ἐγὼ 15
10 μᾶλλον οὕτως εἰρῆσθαι τῷ φιλοσόφῳ ὡς ⟨ὁ⟩ Ἀφροδισιεὺς ἐδοκίμασεν, ἵνα
τά τε ἄλλα καθαρωτέρα γίγνηται αὐτῷ ἡ δόξα καὶ σὺν πλείονι παρρησίᾳ
λέγειν αὐτὸν ἀπαιτῶμεν, τί τὸ τελειῶσαν τὴν δύναμιν καὶ εἰς ἐνέργειαν
περιστῆσαν.

p. 1078ᵃ31 Ἐπεὶ δὲ . . . τρόπον τινά.

15 Ἐν τούτοις ἀποτείνεται μὲν πάνυ δεόντως πρὸς Ἀρίστιππον καὶ εἴ τις 20
ἄλλος ἀπεσκορδάκιζε τὰ μαθήματα μηδενὸς αὐτὰ καλοῦ ἢ ἀγαθοῦ νομίζων
στοχάζεσθαι. καί φησι τοῦ χρησίμου μὲν καὶ συμφέροντος τοῦ ἐν τοῖς
πρακτοῖς (τοῦτο γὰρ νῦν ἀγαθὸν καλεῖ) μὴ μετεῖναι τοῖς μαθήμασιν, ἐπεὶ
μηδὲ τὴν ἀρχὴν πολιτική τις ἕξις ἦν ἡ μαθηματική· τοῦ μέντοι καλοῦ
20 μάλιστα τοὺς μαθηματικοὺς ἔχεσθαι περὶ τὰ σύμμετρα καὶ ὡρισμένα καὶ
εὔτακτα διατρίβοντας· κἂν γὰρ μὴ ὀνομάζωσι τὸ καλὸν ἐν τοῖς συμπερά-
σμασιν, ἀλλ' οὖν δῆλη ἐστὶν αὐτῶν ἡ πραγματεία πᾶσα συμμετριῶν καὶ
ὁμοιοτήτων καὶ ἀναλογιῶν καὶ τάξεων στοχαζομένη· πολλὰ δὲ καὶ ἐν τῇ 30
φύσει τέλος ποιεῖται τὸ καλὸν καὶ τὸ εὔτακτον καὶ τὸ ὡρισμένον. ταῦτα
25 τοίνυν ἀποδεξάμενοι τοῦ Ἀριστοτέλους πρῶτον ἀξιώσομεν αὐτὸν εἰπεῖν,
πόθεν τὸ καλὸν καὶ τὸ σύμμετρον καὶ τὸ ὡρισμένον ἐπιπρέπει τοῖς μαθή-
μασι; τὰ μὲν γὰρ αἰσθητά, κἂν οὐράνια ᾖ, μερικώτερον τούτων μετέχει
καὶ οὐ σὺν ἀκριβείᾳ τοιαύτῃ, τὰ δὲ νοητὰ κρείττονά ἐστι ταύτης τῆς διαι- 35
ρέσεως καὶ ἀνελίξεως τῶν λόγων. λείπεται δὴ οἶμαι μέσην αὐτὰ φύσιν
30 ἔχοντα τῶν τε νοητῶν εἰδῶν καὶ τῶν ἐνύλων μεμερίσθαι μὲν μᾶλλον τῶν
νοητῶν καὶ διῃρῆσθαι καὶ πεπλη|θύνθαι, ἡνῶσθαι δὲ τῶν αἰσθητῶν ἐπὶ 890ᵃ
πλέον καὶ τετάχθαι καὶ μεμετρῆσθαι, καθολικοῖς τισι λόγοις καὶ ἀόλοις
εἴδεσι διαπρέποντα καὶ τοῖς αἰσθητοῖς τὴν προσεχῆ διακόσμησιν ἐπιφέροντα.
ἐφ' ἅπασι δὲ τούτοις παρρησιασόμεθα πρὸς αὐτόν, οὐκ ἀλλαχόθεν εὐτέλειαν 5
35 ⟨ἐγκαλεῖν⟩ τοῖς μαθήμασι φήσαντες τοὺς ὑπεριδόντας αὐτῶν ἢ ἐκ τοῦ μὴ
δοῦναι αὐτοῖς οὐσίαν ἀφωρισμένην, ἀλλὰ φαντασίας ἀθύρματα τῶν αἰσθητῶν
αὐτὰ παρασπωμένης ὑπολαβεῖν εἶναι· ἣν εἰ ἀκυρώσειεν αὐτὸς ὑπόληψιν,
κατεγνωκὼς ἔσται τῶν ἀνεπαισθήτως μὲν ἐσχηκότων τοῦ κάλλους τῶν μαθη-

3 εἰ add. A 4 nil tale personatus Alexander 5 καθ' ἑαυτὸ C: corr. Us.
6. 7 ὁ ἐξηγητὴς τοῦ φιλοσόφου Ἀριστοτέλους mihi suspecta 10 ὁ add. Us.
15—24 = Alex. 739,21—740,1 35 ἐγκαλεῖν inseruit Us. 37 κυρώσειεν C: corr. Us.

μάτων, ἀκολουθότερον δὲ ταῖς ἑαυτοῦ ὑποθέσεσι περὶ αὐτῶν δοξασάντων· 890a
περὶ ἀνούσια γὰρ πράγματα καὶ ὑστερογενῆ καὶ τῶν αἰσθητῶν ἀφομοιώματα 11
τί ἂν εἴη κάλλους ἢ τάξεως ἐχόμενον; τὴν γὰρ τῶν εἰκαστῶν ἀμυδρότητα
καὶ οὐδένειαν καὶ ἀγνωσίαν εἰς πάντα πάντως, εἰ καὶ μὴ ἀλλαχόθεν, ἀλλ'
5 οὖν ἐκ τῶν ἐν τῇ Πολιτείᾳ διαιρέσεων τῆς γραμμῆς ἀκριβῶς κατανενοήκαμεν· 15
εἰς ἃ εἴ τις ἀποπέμψαιτο τὰ μαθήματα ὡς τῶν αἰσθητῶν εἰκόνας ὄντα,
ποίαν ἔτ' ἀνάπόδειξιν ἢ τάξιν ἢ ὅρον ἢ κάλλος ἀπονείμειε τῆς πρὸς ἑαυτὸν
συμφωνίας ἀντεχόμενος; δῆλη μὲν οὖν ἡ ἀνάγκη τοῦ λόγου, κἂν ἡμεῖς
μηδὲν ἐπιφέρωμεν· ὅμως δὲ ῥηθεῖσα μᾶλλον ἢ σιωπηθεῖσα γενήσεται 20
10 σαφεστέρα. εἰ μὲν γὰρ ἐκ τῶν αἰσθητῶν τὸ ὑποκείμενον τοῖς μαθήμασιν,
οὐδὲν ἔχει κάλλος οὐδὲ εὔτακτον οὐδὲ ὅροις διακεκοσμημένον· τὸ γὰρ ἔσχατον
κάλλος καὶ ἡ ἀμυδροτάτη τάξις καὶ οἱ τελευταῖοι ὅροι ἐν τοῖς αἰσθητοῖς
ὑπῆρχον· μετὰ δὲ τὴν αἰσθητὴν φύσιν εἴ πέρ τί ἐστιν, ἀκαλλὲς αὐτὸ εἶναι
καὶ ἄτακτον ἀνάγκη καὶ ἀόριστον καὶ ἀνούσιον. εἰ δὲ κάλλους καὶ ὅρου 25
15 καὶ ἀναλογιῶν παντοδαπῶν καὶ ποικιλίας θεωρημάτων καὶ θαυμαστῆς τάξεώς
ἐστιν ὑποδοχή, κρεῖττόν τε ἂν εἴη καὶ πρεσβύτερον τῶν αἰσθητῶν καὶ τῷ
παντὶ τιμιώτερον, ὅσῳ τὸ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον τῶν ποτὲ
μὲν ὧδε ποτὲ δὲ ἑτέρως διακειμένων· καὶ γὰρ εἴ τι ἐν τοῖς αἰσθητοῖς ἀεὶ 30
ὡσαύτως, οὐκ ἀλλαχόθεν ἢ ἐκ τῶν μέσων λόγων τῆς ψυχῆς προσεχῶς
20 παραγέγονε.

p. 1078b7 Περὶ μὲν οὖν . . . εἰρήσθω.

Εἶναι μὲν αὐτὰ δέδωκεν αἰδούμενος καὶ τὰς ἐν αὐτοῖς ἀποδείξεις καὶ
τὴν κοινὴν καὶ ἀδιάστροφον περὶ αὐτῶν ἔννοιαν, ἐξ ἀφαιρέσεως δὲ εἶναι,
ὃ ταὐτὸν τῷ ἀμυδρότερον εἶναι καὶ εἰδωλικώτερον τῶν αἰσθητῶν, πρότερα 35
25 δὲ τῷ λόγῳ τῶν αἰσθητῶν, οὐ μέντοι γε τῇ οὐσίᾳ. καὶ περὶ μὲν ὧν αὐτὸς
εἶπε, δῆλον οἶμαι γεγενῆσθαι πᾶσι τοῖς ἀγχινουστέροις· εἰ δέ τις αὐτοῖς
(τοῖς) γνησίοις τῶν Πυθαγορείων συγγένοιτο δόγμασιν, εἴσεται λαμπρῶς καὶ
τῆς μαθηματικῆς ἁπάσης ἐπιστήμης τήν τε οὐσίαν καὶ τὴν δύναμιν καὶ 890b
τὰς ἐνεργείας, καὶ τίς μὲν αὐτῆς ἡ κοινὴ θεωρία καὶ ἐπὶ πόσα διατείνουσα
30 γένη· τίνες δὲ ἀρχαὶ τῶν οἷον μαθημάτων, καὶ τίνι διαφέρουσι τῶν ἄλλων
ἀρχῶν οἷαι ἑτέρων οὐσιῶν ἀρχαί, πῶς τε κοινὴν τὴν αἰτίαν αἱ τοιαῦται 5
παρέχονται πρὸς ὅλα τὰ μαθήματα· τίνες δὲ πάλιν αἱ ἴδιαι ἑκάστων ἀρχαὶ
τῶν μαθημάτων, οἷον ἀριθμῶν σχημάτων ἁρμονίας, καὶ τίνα ἔχουσαι τὴν
καθ' ἑαυτὰς ἰδιότητα καὶ τὴν πρὸς ἀλλήλας διαφορὰν καὶ τὴν πρὸς πάσας
35 τὰς ἄλλας ἀρχὰς τῶν ὅπως ποτὲ ὄντων· τίνα κοινῶς ὑπόκειται τοῖς μαθή-
μασι, περὶ ἃ ποιοῦνται τὴν πραγματείαν οἱ Πυθαγόρειοι, καὶ πῶς ἔνεστι 10
περὶ αὐτὰ καθόλου τὴν θεωρίαν ποιεῖσθαι· τίς ἀρίστη χρῆσις τῆς περὶ τὰ

1 ἑαυτοῦ Us.: ἑαυτῶν C 4 εἰς πάντα πάντως suspectum 5 Plat. resp. VI 509 dsqq. 17 *ex tanto praestantior quanto* Bag. 27 τοῖς add. AH 30 fort. αἱ ἀρχαὶ οἷον opinor in ὅλων mutandum 37 possis καθολικὴν θεωρίαν

μαθήματα σπουδῆς καὶ πρὸς τί τέλος ἀναφέρειν δεῖ τὴν ἀρίστην περὶ αὐτὰ 890b
πραγματείαν καὶ τί ἑκάστῃ τῶν μαθηματικῶν ἐπιστημῶν ὑπόκειται οἰκεῖον
ἐπιστητόν· τί τὸ κοινὸν κριτήριον τῶν μαθημάτων πάντων, καὶ πῶς ἀπὸ 15
τῆς τομῆς εὑρίσκεται τῆς γραμμῆς, ἣν Ἀρχύτας παραδίδωσι, πότερον ἐν
5 ψυχῇ πρώτῃ τῶν μαθημάτων ἡ ὡρισμένη οὐσία ἢ καὶ πρὸ ψυχῆς. ἐπειδὴ
ψυχὴ μὲν κίνησις, ταῦτα δὲ ἀκίνητα· ὅτι τοὺς κυρίους μαθηματικοὺς λόγους
ἡ τῆς ψυχῆς οὐσία πλήρωμα ἑαυτῆς ποιεῖται, καθὰ καὶ Πλάτων καὶ πρὸ 20
Πλάτωνος Τίμαιος ὁ Πυθαγόρειος ἀνέδειξε· τί τὸ ἔργον τῆς μαθηματικῆς
θεωρίας καὶ πῶς παραγίγνεται καὶ πῶς σύμφωνόν ἐστι καὶ τῷ τῆς μαθη-
10 ματικῆς ὀνόματι, ἅτε τὴν ὅλην ἀνάμνησιν ἡμῖν τῶν εἰδῶν ἐμποιοῦν· τίνες
αἱ δυνάμεις τῆς μαθηματικῆς ἐπιστήμης καὶ τίνας ἔχουσι τάξεις ἐν ἑαυταῖς
καὶ κατὰ πόσας διαφορὰς διαιροῦνται καὶ ποσαχῶς νοοῦνται· τίνα στοιχεῖα 25
καὶ γένη τῆς μαθηματικῆς ἐπιστήμης, καὶ πῶς μὲν στοιχεῖα πῶς δὲ γένη
τὰ αὐτὰ καθ' ὁμοιότητα τῶν τοῦ ὄντος γενῶν, τίνι τε διέστηκε ταῦτα τῶν
15 τε νοητῶν καὶ τῶν γενητῶν οὐσιῶν· περὶ ὁμοιότητος καὶ ἀνομοιότητος τῆς
μαθηματικῆς τίνες τέ εἰσι καὶ ἐπὶ πόσον διατείνουσι πῇ τε διαφέρουσι τῶν 30
τε νοητῶν καὶ αἰσθητῶν ὁμοιοτήτων τε καὶ ἀνομοιοτήτων· πῶς διήκει πρὸς
πᾶσαν φιλοσοφίαν ἡ τῶν μαθημάτων γνῶσις· πόσα ταῖς τέχναις ἀγαθὰ
συμβάλλεται ταῖς τε ὅλαις καὶ ταῖς κατὰ μέρος διωρισμέναις, ὥσπερ ταῖς
20 θεωρητικαῖς καὶ νοητικαῖς καὶ πρακτικαῖς· τίς ἡ τάξις τῆς ἐν τῇ μαθη- 35
ματικῇ ἀγωγῆς. καὶ εἰ τήν τε κατὰ φύσιν ἔχει τάξιν καὶ τὴν πρὸς μάθησιν,
καὶ εἰ συμφωνεῖ ἑκατέρα τάξις πρὸς τὴν ἑτέραν· τίνες οἱ ἴδιοι τρόποι τῆς
Πυθαγορικῆς παραδόσεως τῶν μαθημάτων, καὶ πῶς αὐτοῖς ἐχρῶντο καὶ
πρὸς τίνας, καὶ ὅτι τὸ οἰκεῖον προσέφερον ἀεὶ τοῖς τε πράγμασι καὶ τοῖς
25 μανθάνουσι· τίς ἡ κατὰ τοὺς Πυθαγορείους διαίρεσις τῆς ὅλης μαθη- 891a
ματικῆς ἐπιστήμης εἰς γένη τε καὶ εἴδη τὰ κυριώτατα· τίς ἡ ὁριστικὴ τῆς
μαθηματικῆς μέθοδος καὶ πῶς γιγνομένη, τί τε ὄφελος εἰς ἐπιστήμην συμ-
βάλλεται. (καὶ) τίς ἡ ἀποδεικτική, καὶ πότερον ἀφ' ἑαυτῆς ἢ ἄλλοθεν ταύ- 5
την κομίζεται· τίνες ἀρχηγέται τῆς κατὰ Πυθαγόραν μαθηματικῆς προηγή-
30 σαντο· τίς ἡ ἰδιάζουσα κατ' ἐκεῖνο τὸ διδασκαλεῖον ἐγένετο μελέτη τῆς
μαθηματικῆς· τί ἀπαιτεῖν χρὴ παρὰ τοῦ μαθηματικοῦ τοῦ ὄντως πεπαιδευ-
μένου, καὶ πῶς δεῖ κρίνεσθαι αὐτοῦ τὴν θεωρίαν καὶ ἐκ τίνων ὅρων τὴν 10
ὀρθότητα παραλαμβάνεσθαι· πῶς ἐνίοτε καὶ περὶ τῶν πρώτων νοητῶν καὶ
περὶ τῶν αἰσθητῶν μαθηματικῶς διαλεγόμεθα καὶ διὰ τί τοῦτο πέφυκε
35 γίγνεσθαι.

Ταῦτα δὴ πάντα καὶ πρὸς ἔτι τούτοις τὰς καθ' ἑκάστην θεωρίαν τῶν
μαθημάτων ἀποδείξεις παρ' αὐτῶν τις τῶν ἡγεμόνων τῆς μαθηματικῆς
ἐπιστήμης ὑποδεξάμενος καὶ πεῖρα μαθών, ὅπως ἐξ αὐτῶν ὄργανόν τι τῆς 15
ἑκάστου ψυχῆς ἐκκαθαίρεταί τε καὶ ἀναζωπυρεῖται, ἀπολλύμενον καὶ τυφλού-

4 cf. Zeller V³ 105 7. 8 Plat. Tim. 35a sqq. 'Tim. Locr.' 96a sqq. 18 πόσα τε ταῖς Us. 20 νοητικαῖς] ποιητικαῖς coni. Us. 24 προέφερον C: corr. Bag. 28 καὶ add. Us. 31 ὄντος C: corr. Us. 36 πρὸς ἐπὶ coni. Us. cl. Jacobs ad Aelian. II 572 39 possis ἑαυτοῦ

μενον ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων, κρεῖττον ὂν σωθῆναι μυρίων ὁμμάτων. 891ᵃ
αἰσχυνθείη ἂν τὸ σῶζον ἡμᾶς καὶ οὕτω γλαφυρὸν καὶ λόγοις ἐπιστημονικοῖς
καὶ νοεροῖς [καὶ] διαπεποικιλμένον τῆς θεωρίας εἶδος εἰς ἀνούσιον καθέλκειν 20
ὑποκείμενον. εἰ δέ τινι καὶ τῆς ἀνελίξεως καὶ διεξοδικωτέρας ὑφηγήσεως
5 ὧν ἀνεγράψαμεν προβλημάτων ἔρως ἐνέστακται φιλομαθής, ἐντυχὼν οὗτος
ταῖς τε Νικομάχου συναγωγαῖς τῶν Πυθαγορείων δογμάτων καὶ ταῖς τοῦ
θείου Ἰαμβλίχου περὶ αὐτῶν τούτων πραγματείαις ἀποπλήσει τὸν ἔρωτα, 25
τοῦ μὲν ἱστορικῶς ἅπαντα καὶ φιλαλήθως ἀφηγουμένου, τοῦ δὲ κατασκευαῖς
καὶ ἀποδείξεσι καὶ νοερωτέραις ἐπιβολαῖς αὐτὰ διακοσμήσαντος. δῆλον δὲ
10 ποτέρου ποτέρως. καὶ περὶ μὲν τῶν μαθημάτων ἅ τε εἶπεν Ἀριστοτέλης
καὶ ἃ πρὸς αὐτὸν ἡμεῖς διομολογούμεθα, μέχρι τούτων ἀρκέσει πρὸς τὸ 30
παρόν· λοιπὸν δὲ ὡς πρὸς τὰς ἰδέας ἠπόρησεν ἐπισκεψώμεθα.

Ο ΠΕΡΙ ΤΩΝ ΙΔΕΩΝ ΛΟΓΟΣ.

p. 1078ᵇ9 Περὶ δὲ τῶν ἰδεῶν . . . εἶναι.

15 Ἐπειδὴ καὶ ἀριθμοὺς εἰδητικοὺς ὁ Πλάτων ἐκάλει τὰς ἰδέας ἑπόμενος 35
τοῖς Πυθαγορείοις, πρότερον, φησίν, ὡς ἰδέας αὐτὰς ἐξετάσωμεν, μηδὲν |
ἐπιμεμιγμένοι τῶν ἀριθμῶν, εἴτε εἰσὶ τοιοῦτοι ἀριθμοὶ εἴτε μή, ἀλλ' εἰς 891ᵇ
αὐτὴν τὴν ἔννοιαν ἀνελθόντες τῶν πρώτων θεμένων τοῖς χωριστοῖς εἴδεσι
ταύτην τὴν προσηγορίαν. καίτοι μέλλοντι τὰ ὑπ' ἐκείνων νοηθέντα δικαίως
20 βασανίζειν οὐδὲν ἔδει τῆς τοιαύτης διαιρέσεως· οὐ γὰρ κατ' ἄλλο μὲν ἰδέα 5
κατ' ἄλλο δὲ ἀριθμὸς εἰδητικὸς κατονομάζεται, ἀλλ' εἴπερ ὑγιὲς τὸ "ἀριθμῷ
δέ τε πάντ' ἐπέοικεν", οὐκ ἄδηλον ὅτι κατὰ τὸ παραδειγματικὸν ἰδίωμα
καὶ ὁ ἀριθμὸς κέκληται καὶ μάλιστα πάντων ὁ εἰδητικός. εἰ δὲ καὶ ἀπὸ
τῆς τῶν ὀνομάτων δυνάμεως ἐθέλοι τις αὐτὸ συνιδεῖν, παντὶ προῦπτον ὡς 10
25 ἥ τε ἰδέα συνεξομοιοῦσα ἑαυτῇ τὰ μετέχοντα καὶ εἴδους καὶ τάξεως καὶ
κάλλους καὶ ἑνώσεως αὐτοῖς μεταδιδοῦσα τούτου τετύχηκε τοῦ ὀνόματος,
ἅτε τὸ αὐτὸ μὲν εἶδος ἀεὶ διασώζουσα, ἐπὶ πλεῖστα δὲ ὅσα τὴν ἑαυτῆς
ἐφαπλοῦσα δύναμιν καὶ τὸ αὐτὸ εἶδος διαιωνίως τοῖς μετέχουσιν ἐπιφέρουσα·
ὅ τε ἀριθμὸς ἁρμονίας καὶ φιλίας τοῖς πᾶσιν ἐξηγούμενος ταύτης τετύχηκε 15
30 τῆς προσρήσεως· ἄρσαι μὲν γὰρ τὸ ἁρμόσαι καλοῦσιν οἱ παλαιοί ("ἐν δὲ
σταθμοὺς ἄρσε") καὶ ἀνάρσιον τὸ ἀνάρμοστον, καὶ ἀρθμὸν τὴν φιλίαν·
"ἀλλὰ καὶ ἀρθμὸν ἔθεντο μετὰ σφίσιν". ἐξ ὧν ἁπάντων ὁ ἀριθμὸς κέκληται

---

3 καὶ delevi cum Bag. (cf. 931ᵇ16 Us.), post καὶ lac. statuit Us. 4 τινι A: τι C καὶ τῆς διεξ. AH 5 ἐνέστακται C in textu, ἔνεστι κατά τι C in mg. 11 διαμιλλώμεθα Us. 12 ὡς: expectas ἃ 15—24 = Alex. 740,14—18 16 ἐξετάσωμεν Alex.: ἐξετάσομεν C 17 ἀριθμῶν e corr. C¹ 18 πρῶτον C: corr. AH (οἱ πρῶτοι φήσαντες Ar.) 21 ex Orphico in numerum hymno, cf. infra ad 1080ᵇ16 Orphica Abelii fr. 141 sqq. 22 ἐπεποίηκεν C: corr. A 23 expectas τέτακται 30. 31 Odyss. φ 45 (cf. Ps. Plut. ap. Stob. I p. 16 W.) 31 ἄρσε Hom.: ἄροις C τὸ AH: τὸν C καὶ ἀρθμὸν Us.: ἀριθμὸν καὶ C 32 Apoll. Rh. II 755 ἀρθμὸν] ἀριθμὸν C

μετρῶν πάντα καὶ ἁρμόζων καὶ φίλα ποιῶν, ὅπερ τῆς εἰδητικῆς αἰτίας 891b
ἴδιον εἶναι φαμεν. ἀλλὰ ταῦτα μὲν ἔξωθεν προσπαρειλήφθω, τοσοῦτον δὲ 21
προειπόντες, ὅτι πλειόνων ἐγκλημάτων ἀφορμὰς ἑαυτῷ προπαρασκευάζων
προδιεῖλε τὰ σκέμματα, κατακολουθήσωμεν οἷς ἐφεξῆς ἀναγράφει περὶ τῶν
5 ἰδεῶν.

p. 1078b 12 Συνέβη . . . ἰδέας προσηγόρευσαν. 25

Ἐν τούτοις τὸ μὲν ἐκ τῆς τῶν Ἡρακλειτείων δόξης ἐπὶ τὴν περὶ ἰδεῶν
ὑπόληψιν ἐλθεῖν τοὺς θείους ἄνδρας ψευδῶς εἴρηται· οὔτε γὰρ Ἡρακλείτῳ
τέλεον ὁμογνωμονοῦσι περὶ τῶν αἰσθητῶν οἱ ἀμφὶ Σωκράτη καὶ Πλάτωνα,
10 ὡς δηλοῖ καὶ ὁ Θεαίτητος καὶ τὰ ἐν Κρατύλῳ ῥηθέντα· οὔτε διὰ τὸ ταῦτα 30
ῥεῖν ἐπὶ τὰς ὡρισμένας τῶν ὄντων ἦλθον αἰτίας, ἀλλὰ τοὐναντίον καὶ τὸ
τούτων συγκεχυμένον καὶ ἄστατον καὶ ἀβέβαιον καὶ πλημμελὲς ἐκ τῆς οὐσίας
ἐκείνης ὑπελάμβανον διακρίσεως καὶ ταὐτότητος καὶ μονίμου καταστάσεως
καὶ εὐταξίας μεταλαγχάνειν, καθ' ὅσον αὐτῷ θέμις ἦν ὑπ' ἐκείνης κοσμεῖσθαι
15 τῆς αἰτιωτάτης τῶν ὅλων ἀρχῆς. τὸ δὲ μὴ εἶναι τῶν ῥεόντων ἐπιστήμην 35
οὐ μόνον Πλάτωνι καὶ Σωκράτει καὶ τοῖς Πυθαγορείοις, ἀλλὰ καὶ αὐτῷ
δοκεῖ | τῷ ταῦτα γράφοντι· ἀλλὰ μηδὲ τῶν καθ' ἕκαστα· ⟨ἃ⟩ εἴτε ῥέοι 892a
κατὰ πᾶν, ὡς ὁ Ἡρακλείτου λόγος, εἴτε γίγνοιτο μὲν ἀεὶ καὶ φθείροιτο,
διαμένοι δὲ κατὰ τὸ ἑαυτῶν ὅλον διὰ τὴν εἰδητικὴν αἰτίαν, ὡς Πλάτων
20 ἐθέλει. εἴτε καὶ ὄντα τις αὐτὰ καλοίη, ὡς Ἀριστοτέλης εἴωθεν, εἴτε καὶ 5
μόνα εἶναι λέγοι, ὡς οἱ Στωικοί φασιν, ὅμως τό γε ἐπιστήμην εἶναι τῶν
ἀτόμων παρὰ πᾶσίν ἐστιν ἀπεγνωσμένον, εἰ μή τις ἐπιστήμην ἐθέλοι καλεῖν
τὴν αἴσθησιν.

Ἀλλ' ἵνα τὰ πολλὰ παρῶ, τὸ Δημόκριτον μὲν μόνον ἐπὶ βραχὺ
25 τῆς ὁριστικῆς ἥφθαι, τοὺς δὲ Πυθαγορείους ἀντὶ τῶν ὅρων ὀνόματι 10
τίθεσθαι τοῖς πράγμασιν ἀριθμῶν, τὸν μὲν καιρὸν ἑπτάδα, τὸ δὲ δίκαιον
πεντάδα, τὸν δὲ γάμον ἑξάδα καλοῦντας, τὸ Σωκράτει τὴν μὲν ἀρχὴν
τῆς ἀποδεικτικῆς ἐπιστήμης ἀπονεῖμαι, μὴ πᾶσαν δὲ τὴν θείαν καὶ
ἀναγωγὸν τῶν ψυχῶν διαλεκτικήν, τὸ τὴν κατ' αὐτὸν διαλεκτικὴν * *
30 ὁ Πλάτων καλεῖ μὴ ἔχειν ἐπὶ Σωκράτους καὶ Πλάτωνος ἰσχὺν τῶν πάντας 15
καταγωνισαμένων τοὺς παραλογιστικοὺς καὶ διαστρόφους σοφιστάς — ἵν'
οὖν ταῦτα παρῶ, ἐπεὶ μηδ' αὐτὸς προηγούμενον νυνὶ περὶ αὐτῶν λόγον
κατεβάλλετο, τὸ ἐπὶ πᾶσι τούτοις ῥηθέν, λέγω δὲ τὸ Σωκράτη μὲν διὰ
τοὺς ὁρισμοὺς ἐπὶ τὰ καθόλου ἐλθεῖν καὶ ταῦτα ποιεῖν ἀχώριστα, Πλάτωνα 20
35 δὲ τὴν Σωκράτους ἀγνοήσαντα ἢ παραβαίνοντα τῶν καθόλου χρῆσιν ἐξῃρη-
μένην αὐτοῖς οὐσίαν παρασχεῖν, τῶν εἰρημένων ἁπάντων εἶναί μοι δοκεῖ
τὸ σχετλιώτατον· οὔτε γὰρ Σωκράτης τὰ ὁριστὰ μόνα ᾤετο εἶναι καθόλου,
ἀλλὰ πρὸ τούτων ἔτι τοὺς ἐν τῇ ψυχῇ λόγους, ὡς δηλοῖ Πλάτων ἔν τε

---

1 ἰδιτικῆς C 8 οὔτε H: οὐδὲ C 17 ἃ add. Us. 19 διαμένει] corr. Bonitz 26 fort. ἀριθμούς cf. theol. arithm. 53,13. 27,18. 33,10 Ast 29 ἦν ἐριστικὴν suppl. Us. 33 κατεβάλετο Ca: corr. Cb

Φαίδρῳ καὶ Φαίδωνι καὶ ποῦ γὰρ οὐχί, δίκαιος ὢν καὶ ἀξιοπιστότατος ἀν- 892a
θρώπων ἁπάντων τὰ Σωκράτους ἡμῖν ἀπαγγέλλειν· οὐδ' ὁ παρ' ἐκείνου τὴν 26
φιλοσοφίαν ὑποδεξάμενος ἢ παρέβη ἄν τι τῶν ὑπὸ τοῦ διδασκάλου διατεταγμένων ἢ παραβαίνων αὐτῷ ἐκείνῳ περιετίθει τὰ μηδὲν αὐτῷ προσήκοντα
5 δόγματα, μᾶλλον δὲ τὰ ὑπεναντίως ἔχοντα πρὸς τὴν ἐκείνου πραγματείαν. 30
νυνὶ δὲ καὶ ἐν Πολιτείᾳ κατὰ τὸ δέκατον βιβλίον παραδέδωκεν αὐτὸν τὰ χωριστὰ εἴδη τὰ ἐν τῷ θείῳ κείμενα πρεσβεύοντα, καὶ ἐν Φαίδρῳ καθορᾶν τὰς ἀναγομένας ψυχὰς λέγοντα αὐτὴν μὲν δικαιοσύνην, αὐτὴν δὲ σωφροσύνην καὶ ἔτι αὐτὴν ἐπιστήμην, καὶ ἐν | Φαίδωνι διὰ τῆς τῶν εἰδῶν ὑποθέσεως 892b
10 τῶν χωριστῶν τὴν ἀθανασίαν τῆς ψυχῆς κατασκευάζοντα. καὶ οὐδὲ ἀπὸ Σωκράτους ἤρχθαι ταύτην τὴν θεωρίαν φησὶν ὁ φιλόσοφος, ἀλλ' ἄνωθεν ἀπὸ Πυθαγόρου καὶ τῶν ἀρχηγετῶν τοῦ Ἐλεατικοῦ διδασκαλείου. ὅ τε γὰρ 5
Τίμαιος Πυθαγόρειος ὢν οὐκ ἀλλαχόθεν διακοσμεῖ τὴν γένεσιν ἢ ἀπὸ τῶν εἰδῶν τῶν χωριστῶν, κατασκευάζων καὶ ὅτι ἔστι καὶ ὅτι αἴτια τῶν τῇδε·
15 ὅ τε Παρμενίδης οὐδ' ὅποι τις τρέψει τὴν διάνοιαν ὑπολελεῖφθαί φησι μὴ ὄντων τῶν εἰδῶν. ἔν τε τῷ Σοφιστῇ τοὺς πρὸς τοὺς τῶν εἰδῶν φίλους ἀποτεινομένους Γίγασιν ἀφομοιοῖ ὡς Ὀλυμπίαις δηλαδὴ ψυχαῖς καὶ μετεωροπο- 10
ρούσαις ἀνθισταμένους.

Ἀλλ' ἵνα μὴ νῦν περὶ τὴν ἱστορίαν φανερὰν οὖσαν διατρίβωμεν, ῥητέον
20 ἕνα λόγον περὶ Σωκράτους καὶ Πλάτωνος καὶ τῶν Παρμενιδείων τε καὶ Πυθαγορείων πρὸς αὐτόν, ὡς ἄρα τὰ εἴδη παρὰ τοῖς θείοις τούτοις ἀνδράσιν οὔτε πρὸς τὴν χρῆσιν τῆς τῶν ὀνομάτων συνηθείας παρήγετο, ὡς Χρύσιππος 15
καὶ Ἀρχέδημος καὶ οἱ πλείους τῶν Στωικῶν ὕστερον ᾠήθησαν (πολλαῖς γὰρ διαφοραῖς διέστηκε τὰ καθ' αὑτὰ εἴδη τῶν ἐν τῇ συνηθείᾳ λεγομένων),
25 οὔτε τοῖς λεκτοῖς τοῖς πολυθρυλήτοις ἀνάλογον τῷ νῷ παρυφίσταται, ὡς ἤρεῖτο Λογγῖνος πρεσβεύειν· οὐδὲν γὰρ ὅλως παρυφίσταται τῷ νῷ, εἴπερ 20
ἀνούσιόν ἐστι τὸ παρυφιστάμενον· πῶς δ' ἂν τὸ αὐτὸ νοητόν τε εἴη καὶ παρυφίσταιτο; οὐ μὴν οὐδ' ἐννοήματά εἰσι παρ' αὐτοῖς αἱ ἰδέαι, ὡς Κλεάνθης ὕστερον εἴρηκεν, οὐδ', ὡς Ἀντωνῖνος μιγνὺς τὴν Λογγίνου καὶ Κλεάνθους
30 δόξαν, τῷ νῷ παρυφίστανται κατὰ τὰς ἐννοητικὰς ἰδέας. οὐ μὴν οὔτε ὁ 25
ὁριστικὸς λόγος οὔτε τὸ ἔνυλον εἶδος καὶ τὸ ὁριστόν ἐστιν ἡ ἰδέα, ὡς ἐν τούτοις καὶ ἐν ἄλλοις ὁ Ἀριστοτέλης φησὶν οἰηθῆναι τὸν Σωκράτην· τὰ μὲν γάρ ἐστιν ἐν συνθέσει καὶ διαιρέσει καὶ πλήθει καὶ ῥέπει πρὸς τὴν γένεσιν καὶ τὴν ὕλην, τὰ δὲ εἴδη τελέως ἁπλᾶ καὶ ἀμερῆ καὶ μονοειδῆ καὶ ἀγένητα
35 καὶ ἄυλα. καὶ τί θαυμαστόν, εἰ τὰ τοσοῦτον ἀλλήλων διεστῶτα χωρίζομεν 30
ἀπ' ἀλλήλων; ὅπου γε μηδὲ Πλούταρχον καὶ Ἀττικὸν καὶ Δημόκριτον τοὺς Πλατωνικοὺς κατ' αὐτὸ τοῦτο ζηλοῦμεν, ὅτι γε τοὺς καθόλου λόγους τοὺς ἐν οὐσίᾳ τῇ ψυχικῇ διαιωνίως ὑπάρχοντας ἡγοῦνται εἶναι τὰς ἰδέας· εἰ γὰρ καὶ χωρίζουσιν αὐτὰς τῶν ἐν τοῖς αἰσθητοῖς κοινο|τήτων, ἀλλ' ὅμως οὐ 893a
40 χρὴ συμφύρειν εἰς ταὐτὸ τοὺς τῆς ψυχῆς λόγους καὶ τὸν ἔνυλον καλού-

6 Plat. resp. X 596a sqq. 7 Plat. Phaedr. 247a 9 Plat. Phaed. 100b sqq.
13 Plat. Tim. 27d sqq. 15 Plat. Parm. 135b ὅπη τις τρέψη C
16 Plat. Soph. 246a cf. 248a 20 παρμενιδίων C 22 ῥῆσιν C
cf. Petersen de Chrysipp. 80 26 οὐδὲ Us. cf. Zeller V³ 464 40 χρῆν coni. Us.

μενον νοῦν τοῖς παραδειγματικοῖς καὶ ἀύλοις εἴδεσι καὶ ταῖς δημιουργικαῖς 893a
νοήσεσιν· ἀλλ' ὥσπερ ὁ θεῖος Πλάτων τὸ μὲν ἡμέτερον εἰς ἓν λογισμῷ
συναιρεῖσθαί φησι καὶ ἀνάμνησιν εἶναι ὧν ἐθεασάμεθά ποτε συμπορευθέντες 5
θεῷ, τὸ δὲ θεῖον ἀεὶ κατὰ τὰ αὐτὰ ὡσαύτως ἔχειν, οὕτω καὶ αὐτοὺς διαι-
ρεῖν, ἔστ' ἂν ἐθέλωσιν εἶναι Πλατωνικοί. παραφέρεται δὲ καὶ Βοηθὸς ὁ
περιπατητικὸς ἐκ τῶν παρὰ τῷ Ἀριστοτέλει κατηχήσεων εἰς ταὐτὸν ἄγων
τοῖς γενικοῖς τὰς ἰδέας· ᾧ καὶ τὸν Κορνοῦτον συντάττειν εὔλογον, οὐ πόρρω 10
καὶ αὐτὸν ταύτης ὑπενεχθέντα τῆς δόξης· εἴτε γὰρ πρότερα τὰ γενικὰ τῶν
καθ' ἕκαστα, οὐχ οὕτω πρότερα ὡς ἐξῃρημένα τῆς πρὸς αὐτὰ σχέσεως
οὐδ' ὡς τῆς οὐσίας αὐτῶν αἴτια, ἅπερ ὑπάρχει ταῖς ἰδέαις· εἴτε δεύτερα,
καθάπερ καὶ οἱ πολλοὶ λέγειν εἰώθασι, πότε τὰ ὑστερογενῆ καὶ ἀνούσια 15
καὶ ἐν ψιλαῖς ἐπινοίαις γιγνόμενα τὴν τῶν δημιουργικῶν καὶ ἀγαθουργῶν
εἰδῶν ἀξίαν ὑπενεγκεῖν δυνήσεται;

Πῶς οὖν κατ' αὐτοὺς ὑφέστηκε τὰ εἴδη τοὺς ⟨τῆς⟩ ἀληθείας φιλοθεά-
μονας; νοητῶς μὲν καὶ τετραδικῶς ἐν τῷ αὐτοζῴῳ, νοερῶς δὲ καὶ δεκα- 20
δικῶς ἐν ⟨τῷ⟩ δημιουργικῷ νῷ· "πρόεισι" γὰρ ὁ θεῖος ἀριθμὸς

"μουνάδος ἐκ κευθμῶνος ἀκηράτου, ἔστ' ἂν ἵκηται
τετράδ' ἐπὶ ζαθέην, ἣ δὴ τέκε μητέρα πάντων
πανδεχέα πρέσβειραν ὅρον περὶ πᾶσι τιθεῖσαν
ἄτροπον ἀκαμάτην· δεκάδα κλείουσί μιν ἄγνὴν
ἀθάνατοί τε θεοὶ καὶ γηγενέες ἄνθρωποι."

λέλεκται μὲν οὖν πᾶν τὸ ἀληθὲς Πυθαγορείως τε καὶ Ὀρφικῶς· εἰ δὲ χρὴ 25
συνηθέστερον εἰπεῖν, νοῦς αὐτάρκης καὶ παντελὴς αἴτιος τῶν ὅλων προτε-
τάχθω· τούτου δὲ τὸ θειότατον καὶ ἄχραντον τῶν ἐνεργειῶν ἀκήρατον
φυλαττέσθω πρός τε δημιουργίαν καὶ τὴν ἀγαθουργὸν πρόνοιαν τῶν ἐγκο-
σμίων πραγμάτων. οὗτος οὖν κατὰ τὰς νοήσεις πλήρης ὢν τοῖς εἴδεσιν 30
ἐξορίζει μὲν τὸ ἀναίτιον καὶ τὸ αὐτόματον τῆς ἑαυτοῦ ποιήσεως, πάντων
δὲ ἀγαθῶν καὶ καλῶν τοῖς δημιουργήμασι μεταδιδοὺς πρὸς ἑαυτὸν ἐπιστρέφει
τὸ πᾶν καὶ ἑαυτῷ συνεξομοιοῖ καὶ τοιαῦτα καὶ τοσαῦτα δημιουργεῖ, οἷα
καὶ ὅσα νοεῖ· νοεῖ δὲ πάντα παντελὴς ὤν. οὐδὲν ἄρα τῶν ὄντως ὄντων
ἀπολείπεται τῆς οὐσίας τοῦ νοῦ, ἀλλ' ἱδρύει ἀεὶ τὰ εἴδη ἐν αὐτῷ | οὐχ 893b
ἕτερα ὄντα παρ' αὐτὸν καὶ τὴν οὐσίαν αὐτοῦ, ἀλλὰ συμπληροῦντα αὐτοῦ
τὸ εἶναι καὶ τὴν ποιητικὴν αἰτίαν ὁμοῦ καὶ παραδειγματικὴν καὶ τελικὴν
τοῖς πᾶσιν ἐπιφέροντα· καὶ γὰρ ποιεῖ ὡς νοῦς, καὶ παραδείγματά ἐστιν ὡς

1 cf. Procl. in Tim. 187b 2 Plat. Phaedr. 249b sq. 5 πλατωνικὸν C: corr. AH 11 καὶ οἱ Us.: ὡς οἱ C 13 ἀπενεγκεῖν coni. Us. (usitatum ἀποφέρεσθαι) 14 τῆς add. AH 15 de numero quaternario cf. Hierocl. 464b4. 465b 14 Procl. in remp. II 136,21 de αὐτοζῴῳ Procl. in Tim. 130b sqq. de denario Procl. in Tim. 140e (Plut. de E 8—10 Nicom. ap. Phot. cod. 187 p. 145a5 Priscillian. 78,15) 16 τῷ addidi 17 versus sunt hymni Pythagorei vel Orphici (fr. 143 Abel), cf. Procl. in remp. II 169,24 in Tim. 155c. 269b. 331e 19 πᾶσιν C 24 an καὶ ἀκήρατον? 25 τὴν pro τε Us. 31 ἐν αὐτῷ C 33 ante παραδειγματικὴν littera deleta in C

εἴδη, καὶ δι' ἑαυτὰ ποιεῖ καὶ τὴν ἑαυτῶν ἀγαθότητα. πρὸς οὖν τὰ τοιαῦτα 893b
χρὴ διαμάχεσθαι τὸν ἀληθῶς ἀντιλέγοντα τοῖς τῶν εἰδῶν ἐρασταῖς. ἀλλὰ 6
μὴ κενὰς αἰτίας καὶ ὑποθέσεις ἀναπλάττοντα πρὸς ταύτας σκιαμαχεῖν.

p. 1078b 32 Ὥστε συνέβαινεν . . . λεγομένων.

Αἱ μὲν ἰδέαι καθόλου τέ εἰσιν, εἰ δεῖ καθόλου λέγειν τὰς τῶν εἰδικωτά-
των λόγων αἰτίας, καὶ ἐπὶ πᾶν ἀμερίστως φθάνουσι ταῖς δημιουργίαις. οὐ 10
μὴν πάντων τῶν ἐν ἐπινοίαις ὄντων καθόλου φασὶν ἰδέας οἱ ἄνδρες εἶναι·
οὔτε γὰρ τῶν κακῶν ἢ αἰσχρῶν, ἐπειδὴ στερήσει μᾶλλον καὶ ἀποστάσει
τῶν εἰδῶν ταῦτα παρυφίσταται τῇ φύσει, διὸ καὶ παρὰ φύσιν ἔχειν λέγεται·
οὔτε τῶν ἀποφάσεων, ἀναιρετικὰ γὰρ ταῦτα τοῦ ὅρου καὶ τοῦ πέρατος τοῦ 15
παρὰ τῶν εἰδῶν ἐνδιδομένου τοῖς πᾶσι, καὶ ἅμα ὁλικόν ἐστι μᾶλλον τὸ τῆς
ἀοριστίας πάθος ἤπερ εἰδητικόν· οὔτε τῶν ἄλλοτε ἄλλως ἐχόντων· ταῦτα
γὰρ ἐκ κινουμένης αἰτίας τὸ τρεπτὸν καὶ μεταβλητόν, ἀλλ' οὐκ ἐκ τῆς
ἀκινήτου καὶ σταθερᾶς τῶν εἰδῶν ἐλλάμψεως ὑποδέχεται. ἀλλ' οὐδὲ τῶν
μερῶν ὅσα μὴ καὶ ὅλα ἐστὶν ἰδέας ἀπολιμπάνουσιν, οἷον χειρὸς ἢ κεφαλῆς 20
ἢ δακτύλων ἢ ῥινός· ὁλοτελεῖς γὰρ οὖσαι τῶν πραγμάτων αἰτίαι τὰ ὅλα
εἴδη παράγουσιν οὐ διῃρημέναι περὶ τὰ τούτων μόρια κατὰ τοὺς τῆς φύσεως
λόγους. οὐ μὴν οὐδὲ τῶν πρώτως τοῖς σώμασι συμβεβηκότων ἐν νῷ τὰς
διωρισμένας αἰτίας ἀπεπίθεντο. γλυκύτητος φέρε καὶ λευκότητος· ἀρκεῖν 25
⟨γὰρ⟩ ᾤοντο τοὺς φυσικοὺς λόγους πρὸς τὴν τῶν συμβεβηκότων τοῖς σώμασιν
ποίησιν. οὐ μὴν οὐδὲ τῶν συνθέτων, οἷον ἀνθρώπου σοφοῦ· ἁπλᾶ γὰρ
ὄντα τὰ εἴδη ἁπλῆς ἕκαστον οὐσίας ἐξηγεῖται, τὸ δὲ μετασχὸν διαφόρων
εἰδῶν κινεῖ τὴν διάνοιαν ἡμῶν εἰς τὸ συντιθέναι τόδε τῷδε ἢ διαιρεῖν 30
ἀπὸ τοῦδε τόδε· περὶ ὃ τοίνυν κατάφασις καὶ ἀπόφασις, περὶ τοῦτο καὶ
σύνθεσις καὶ διαίρεσις· τὰ δὲ εἴδη καὶ ἡ τοῖς εἴδεσι σύστοιχος νόησις ἁπάν-
των τούτων ἐξῄρηται δι' ἁπλότητος ὑπερβολήν. οὐ τοίνυν οὐδὲ τῶν ἐξ
ἀνομοιογενοῦς συμπλοκῆς ἐχόντων τὴν γένεσιν, οὐδὲ τούτων εἴδη θετέον
εἶναι, οἷον γίννων καὶ ἡμιόνων καὶ τῶν ἀπὸ διαφόρων δένδρων συμφυο- 35
μένων· ὑστερογενῆ γὰρ πάντα ταῦτα καὶ ἐπεισοδιώδη καὶ οὐ μόνης φύσεως 894a
ἔργα, οὐδ' ὅλως κατὰ τοὺς ἑαυτῆς ὁδευούσης λόγους, ἀλλ' οἷον ἀδικου-
μένης καὶ ⟨ἡ⟩ μετευομένης καὶ πολυπραγμονεῖν ἀναγκαζομένης. δῆλον
τοίνυν ἐκ τούτων, ὅτι καὶ πᾶσα τέχνη μιμουμένη τὴν φύσιν καὶ πρὸς μόνον 5
τὸν θνητὸν βίον συντέλειάν τινα παρεχομένη τῆς τῶν εἰδῶν αἰτίας ἀπο-
λείπεται. οὐ μὴν οὐδ' ὅσα ψυχικῆς ἔχεται προαιρέσεως ἔργα οὐδ' ὅσα
κατὰ συνδρομὴν πλειόνων αἰτίων ἀποτελεῖται, ἃ δὴ κατὰ τύχην ὀνομάζειν
εἰώθαμεν, οὐδὲ ταῦτα τῆς τῶν εἰδῶν αἰτίας ἐξάπτομεν· τὰ γὰρ ἐκεῖθεν ἀπο-
τελούμενα ἀεί τέ ἐστι καὶ ὡσαύτως ἔχει καὶ τῆς τῶν ἐνδεχομένων ἐξῄρηται 10
φύσεως. λείπεται τοίνυν τῶν καθόλου καὶ τελείων οὐσιῶν εἶναι τὰς ἰδέας

1 ποιεῖ] possis ποθεῖται (explicat enim cur τελικὴ αἰτία sint εἴδη) 6 δημιουργίαις: γίαις in ras. C¹ 20 γὰρ add. Bag. 25. 26 ἁπάντων scripsi: οὐ πάντων C (συμπάντων Us.) 31 μεταιρομένης Us.; ματαιουμένης Diels probabiliter

καὶ τῶν συντελούντων πρὸς τὴν κατὰ φύσιν διάθεσιν τούτων τῶν οὐσιῶν, 894a
οἷον ἀνθρώπου καὶ εἴ τι ἀνθρώπου τελειωτικόν, σοφίας φέρε καὶ ἀρετῆς· αἰτίαι γὰρ οὖσαι γεννητικαὶ καὶ τελεσιουργοὶ πάντων αἱ ἰδέαι καὶ ὑφιστᾶσι τὰς οὐσίας καὶ τελειοῦσι πρὸς ἑαυτὰς ἐπιστρέφουσαι. δῆλον ἄρα ὅτι καὶ τῆς οὐσίας αὐτῶν καὶ τῆς τελειότητος τὴν αἰτίαν ἐν ἑαυταῖς προειλήφασιν. ἔχομεν οὖν ὡς ἐν ἐλαχίστοις, τίνων μέν εἰσι παρ' αὐτοῖς ἰδέαι, τίνων δὲ οὔκ εἰσι, καὶ ὅτι οὐ πάντων εἰσὶ τῶν οὕτω καθόλου καθάπερ ὁ κατήγορός φησι.

p. 1078b34 Καὶ παραπλήσιον . . . προῆλθον.

Τὸ μὲν πρότερον σκῶμμά ἐστι καὶ οὐκ ἔλεγχος, τὸ δὲ δεύτερον εἴρηται μὲν ὡς ἐκείνων ἰδέας διδόντων καὶ τοῖς συμβεβηκόσιν· εἰ οὖν ἑκάστῳ ἡμῶν πολλὰ συμβέβηκε, πλείω τῶν καθ' ἕκαστα τὰ εἴδη. ψεῦδος δέ ἐστι τὸ ῥηθέν· οὔτε γὰρ τῶν καθ' ἕκαστα εἴδη ἐστὶ κατὰ τοὺς ἀκριβεστέρους τῶν Πλατωνικῶν οὔτε τῶν συμβεβηκότων τοῖς σώμασι. ῥητέον δὲ καὶ πρὸς τὸ σκῶμμα, ὅτι μηδὲ τοὺς ἵππους ἀριθμῆσαι δυνατόν, εἰ μὴ τὸν μοναδικὸν ἀριθμὸν ἀναλογισαίμεθα ἕτερον ὄντα παρὰ τὸν τῶν ἀριθμητῶν. ὅλως δὲ εἰ μὴ μέλλοιμεν ὑλικὰς αἰτίας * * ἀλλὰ τὰς πρωτουργοὺς καὶ τῶν ἀποτελεσμάτων ἐξῃρημένας, ἀνάγκη μεταβαίνειν ἐφ' ἑτέρας φύσεις, αἳ διαιωνίως καὶ ἀκινήτως καὶ αὐτῷ τῷ εἶναι τὰ πάντα κόσμου καὶ τάξεως πληροῦσαι τὴν αἰτίαν τῶν γιγνομένων ἐν ἑαυτοῖς περιέχουσιν, ἐλάττους μὲν ἀριθμῷ τῶν ἐγκοσμίων οὖσαι πραγμάτων, ἅτε τῷ ἑνὶ γειτνιῶσαι καὶ προσεχῶς ἀπὸ τῆς μονάδος προελθοῦσαι, δυνάμει δὲ ἀφράστῳ τήν τε τοῦ σύμπαντος χρόνου καὶ τὴν τῶν ἐν αὐτῷ φυομένων ἀπειρίαν περιλαμβάνουσαι κατά τινα ὑπεροχὴν ἐξῃρημένην αὐτῶν καὶ ἀσύντακτον.

p. 1079a2 Παρ' ἕκαστον . . . οὐσίας. 894b

Εἴρηται τίνων εἰσὶν ἰδέαι, ὅτι τῶν τε καθόλου οὐσιῶν καὶ τῶν τελειωτικῶν αὐτῶν· ψεῦδος οὖν τὸ παρ' ἕκαστον εἶναι ὁμώνυμον· πλὴν τό γε τοσοῦτον αὐτός τε ὀρθῶς εἴρηκε νῦν καὶ ἡμᾶς χρὴ μεμνῆσθαι, ὅτι τὰς ἰδέας ὁμωνύμους φησὶν εἶναι τῶν αἰσθητῶν, ἀλλ' οὐχὶ συνωνύμους, ὡς Ἀλέξανδρος αὐτόν φησιν ὑπολαμβάνειν.

p. 1079a3 Τῶν τε ἄλλων . . . τοῖσδε καὶ ἐπὶ τοῖς ἀιδίοις.

Πολλῶν ὄντων περὶ τὰς ἰδέας προβλημάτων τέτταρά ἐστιν τὰ πλείστης ἄξια σπουδῆς, εἰ εἰσὶ καὶ τίνες εἰσὶ καὶ ὁποῖαι καὶ διὰ τί (ταῦτα δὴ πάντα ὡς ἓν πρόβλημα λέγω· περὶ γὰρ αὐτὴν τὴν ὕπαρξιν αὐτῶν πάντα ταῦτα στρέφεται)· δεύτερον τίνων εἰσὶν αἱ ἰδέαι· τρίτον τίνα τὰ μετέχοντα τῶν

5 an αὐτῆς? 15 nempe ἅμα λογισαίμεθα 16 excidit v. g. ἀνερευνῆσαι (etiam de μετίοιμεν cogitat Us.) 24 καθ' ἕκαστον Arist. 29 Alex. 77,12
31 τὰ ex ἃ C¹

ἰδεῶν, πότερον τὰ γενητὰ μόνα ἢ καὶ τὰ ἀίδια, καὶ πότερον πάντα τὰ 894b
ἀίδια ἢ τινά, καὶ εἰ τινά. πότερον τῶν ἀιδίων τὰ σωματοειδῆ μόνα, οἷον
τὰ οὐράνια, ἢ καὶ τῶν ἀσωμάτων ἔνια· τέταρτον δέ, πῶς μετέχει τῶν
ἰδεῶν τὰ μετέχοντα. δοκεῖ τοίνυν τοῦτο τὸ ἐπιχείρημα τοῦ τρίτου προβλή- 15
5 ματος εἶναι, εἴ τι κοινὸν εἶδος καὶ ἐπὶ τοῖς γενητοῖς καὶ ἐπὶ τοῖς ἀιδίοις
ἀπολείπουσιν οἱ ἄνδρες, οἷον τὸ τῆς ὁμοιότητος ἢ ἰσότητος ἢ ταυτότητος
εἶδος, οὗ μετέχει μὲν καὶ ὁ οὐρανός, μετέχει δὲ καὶ τὰ τῇδε. καὶ τοῦτο
οὐδὲν ἄτοπον συνάγει· κἂν γὰρ ταὐτὸν ᾖ τὸ μετεχόμενον, ἀλλ' ἥ γε μέθεξις 20
ἔχει τὸ διάφορον· ἕκαστον γὰρ οἰκείως τῇ ἑαυτοῦ τάξει τῶν ἀρχικῶν αἰτίων
10 μεταλαμβάνει· ἵνα δὲ μὴ ταραττώμεθα πρὸς τὰ τοιαῦτα τῶν ἐπιχειρημάτων
αὐτοῦ, ληπτέον τὰ δοκοῦντα περὶ τῶν μετεχόντων τοῖς ἀρίστοις τῶν Πλα-
τωνικῶν. Νουμηνίῳ μὲν οὖν καὶ Κρονίῳ καὶ Ἀμελίῳ καὶ τὰ νοητὰ καὶ
τὰ αἰσθητὰ πάντα μετέχειν ἀρέσκει τῶν ἰδεῶν, Πορφυρίῳ δὲ μόνα τὰ 25
αἰσθητά, * * * ἀλλὰ τὰ μὲν πρῶτα καὶ ἄριστα τῶν νοητῶν αὐτὰ εἶναι
15 τὰ μετεχόμενα, τὰ δ' ἐκεῖθεν ἀπογεννώμενα ταῦτ' εἶναι τὰ τῶν εἰδῶν
μετέχοντα, τόν τε ψυχικὸν δηλαδὴ διάκοσμον καὶ τὸν αἰσθητόν. καὶ ἄτοπόν
γε οὐδὲν τῆς ἰδέας τοῦ ἀνθρώπου καὶ τοῦ ἴσου καὶ τοῦ ὁμοίου ἄλλως μὲν 30
τὴν ψυχὴν μετέχειν, ἄλλως δὲ τὴν φύσιν καὶ ἄλλως μὲν τὸν αἰθέρα, πάλιν
δὲ ἄλλως τὸν γενητὸν τόπον· καὶ εἶναι μὲν συντάξεις τούτων καὶ συμπαθείας
20 καὶ οἰκειότητας κατὰ τὴν μέθεξιν τῆς μιᾶς ἰδέας, ἐξηρτῆσθαί γε μὴν ἀεὶ
τὰ δεύτερα τῶν προτέρων, καὶ οὕτω τὴν μὲν ἰδέαν ἑαυτῆς οὐκ ἐξισταμένην
ἀμερίστως πᾶσι παρεῖναι τοῖς μετέχειν αὐτῆς δυναμένοις, τὰ δὲ μετέχοντα 35
διὰ τῶν πρὸ ἑαυτῶν ἀεὶ κοσμεῖσθαι καὶ πρὸς αὐτὴν ἀνάγεσθαι τὴν ἰδέαν,
σῶμα μὲν διὰ φύσεως, ταύτην δὲ διὰ ψυχῆς, τὴν δὲ διὰ νοῦ τοῦ ἑαυ|τῆς, 895a
25 ὃς ἀνεκφοίτητος λοιπόν ἐστι τῶν ἐκεῖ καὶ κρειττόνως ἥνωται τοῖς θείοις
εἴδεσιν ἢ κατὰ τὴν τῶν μετεχόντων ἑτερότητα.

p. 1079a4 Ἔτι καθ' οὗς . . . γίγνεται.

Ἐνίοτε μὲν καὶ ἐπιβολαῖς ἐχρῶντο νοεραῖς οἱ ἄνδρες, καὶ εἰκὸς ὅτι
διὰ ταύτας οὔ φησιν αὐτούς ποτε συλλογίζεσθαι· ἐνίοτε δὲ καὶ δι' ἀπο- 5
30 δείξεως ἐπειρῶντο πιστοῦσθαι τὰ περὶ τῆς τῶν εἰδῶν οὐσίας, ἀβουλήτῳ δὲ
οὐδενὶ περιέπιπτον. ὅτι δὲ οὐκ ἀληθεύει ὁ κατήγορος λόγος, δῆλον ἐξ ὧν
πολλοί εἰσι τρόποι παρ' αὐτοῖς, δι' ὧν καὶ δεικνύουσιν εἶναι τὰ εἴδη καὶ
μόνων τούτων ὧν βούλονται. ὧν εἷς οὕτως ἠρώτηται· ὁ τὸ πᾶν ὑφιστὰς
θεός ἐστι, πᾶς θεὸς αὐτῷ τῷ εἶναι ποιεῖ, πᾶς ⟨ὁ⟩ αὐτῷ τῷ εἶναι ποιῶν 10
35 ὁμοίωμα ἑαυτοῦ ποιεῖ· ὁ τὸ πᾶν ὑφιστὰς εἰκόνα ἑαυτοῦ τὸν κόσμον ποιεῖ·
εἰ τοῦτο, ἔχει ἐν ἑαυτῷ παραδειγματικῶς τὰς αἰτίας τοῦ παντός, αὗται δέ
εἰσιν αἱ ἰδέαι. πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ παρ' αὐτοῖς λόγοι ὅ τε τὸ τέλειον
τοῦ ἀτελοῦς προτάττων, τὴν μονάδα τοῦ πλήθους, τὸ ἀμερὲς τοῦ μεριστοῦ, 15

14 Us. ex Procl. in Tim. 249a recte concludit, excidere fere Ἰαμβλίχῳ δὲ οὔτε μόνα τὰ νοητὰ οὔτε μόνα τὰ αἰσθητά 24 τὴν δὲ Brandis Bonitz: τῆς δὲ C 33 ἠρώτηται] cf. p. 1,21 34 ὁ inserui

τὸ ἀεὶ κατὰ τὰ αὐτὰ ἔχον τοῦ μεταπτώτου· ἐν οἷς δεικνύουσιν, ὅτι μὴ 895a
ἀπὸ τῶν χειρόνων ἄρχεται τὰ πράγματα, ἀλλ' εἰς ταῦτα μὲν λήγει, ἄρχεται
δὲ ἀπὸ τῶν τελειοτάτων καὶ ἀρίστων καὶ καλλίστων· οὐ γὰρ δήπου αἱ
μὲν ἔννοιαι ἡμῶν δύνανται τῷ κυρίως ἴσῳ καὶ κυρίως ὁμοίῳ καὶ πᾶσι 20
5 τοῖς τοιούτοις ἐπιβάλλειν, ὁ δὲ δημιουργικὸς νοῦς οὐκ ἔχει ἐν ἑαυτῷ τὸ
αὐτοΐσον καὶ τὸ αὐτοδίκαιον καὶ τὸ αὐτοκαλὸν καὶ ἀγαθὸν ὁμοίως καὶ πάντα
τὰ τοιαῦτα.

p. 1079a7 Κατά τε γὰρ . . . εἰσίν.

Ἐλέγετο μὲν ὑπὸ τῶν ἀνδρῶν καὶ τοῦτο· εἰ περὶ ὄντα αἱ ἐπιστῆμαι,
10 ἔστι τὰ καθόλου· τῶν γὰρ καθόλου αἱ ἐπιστῆμαι· ὡς εἶναι τὸν συλλογισμὸν 25
ἐν τρίτῳ σχήματι· τὰ ἐπιστητὰ καθόλου, ⟨τὰ ἐπιστητὰ ὄντα⟩, τινὰ καθόλου
ὄντα· οὐ γὰρ πάντα τὰ καθόλου, οὐ γὰρ δὴ καὶ τὰ ὑστερογενῆ ἢ τὰ ἐν
τοῖς ἀτόμοις. ἄτοπον δὲ οὐδὲν πάντα τὰ ἐπιστητὰ ὄντα εἶναι, εἰ τὰ κυρίως
ἐπιστητὰ λαμβάνοιτο, ἀλλὰ μὴ τὰ ἰατρικὰ ἢ τεκτονικά· οὐ γὰρ ἐπιστῆμαι
15 κυρίως αὗται, μόναι δὲ δικαίως οὕτως ἂν προσαγορεύοιντο αἱ περὶ τὰ ἀίδια 30
καὶ καθ' αὑτὰ ὄντα καὶ ἀεὶ ὡσαύτως διακείμενα πραγματευόμεναι.

p. 1079a9 Καὶ κατὰ . . . ἀποφάσεων.

Ὅτι μὲν τὸ ἓν | τοῦ πλήθους προέταττον, δῆλον· ἀλλὰ τὸ οὐσιῶδες 895b
καὶ γεννητικὸν τοῦ πλήθους, οὐ τὸ τῇ στερήσει οἰκεῖον· ὑστερογενὲς γὰρ
20 τοῦτο, καὶ ἡ ψυχὴ τὴν κοινὴν στέρησιν ἰδοῦσα τῶν μὴ ἀνθρώπων ὑπέστησε
παρ' ἑαυτῇ τὸ οὐκ ἄνθρωπος· οὐ γὰρ ὥσπερ εἰδητική τίς ἐστι καὶ ὡρι-
σμένη αἰτία ἐν τῷ παντὶ ἡ τοὺς ἵππους ἵππους ἀποτελοῦσα καὶ ἄλλη ἡ 5
τοὺς κύνας κύνας καὶ ἄλλη ἡ τοὺς κύκνους κύκνους, οὕτως τίς ἐστι καὶ ἡ μὴ
ἀνθρώπους ποιοῦσα πάντα ταῦτα· εἰ γὰρ ἦν, εἴπομεν ἂν καὶ τοῦ οὐκ ἄνθρω-
25 πος ἰδέαν εἶναι· νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατὰ τὸ ἐν ἑαυτῇ θάτερον τὴν ἐν
τούτοις στέρησιν τοῦ ἀνθρωπείου εἴδους κατανοήσασα κοινὸν τὸ οὐκ ἄνθρω- 10
πος ἐπ' αὐτοῖς ἔταξεν. οὔκουν τὰς στερήσεις τοῖς ἀμερέσιν ἐξομοιώσομεν·
οὐδὲ γὰρ ⟨τὰ⟩ προηγουμένως ὑπάρχοντα τοῖς πράγμασι καὶ κατ' ἐπίνοιαν
ψιλὴν ἐπ' αὐτῶν θεωρούμενα μιᾶς καὶ τῆς αὐτῆς αἰτίας ἐξήρτηται.

30 p. 1079a10 Κατὰ δὲ . . . φθαρτῶν.

Ἐλέγομεν ὅτι οἷς ὁ νοῦς ἐπιβάλλει, ταῦτα ὄντα ἐστίν· οὐ γὰρ ἀνούσιοι 15
τοῦ ἀληθινοῦ νοῦ αἱ νοήσεις· ὁ δὲ ἐπὶ τὴν φαντασίαν ἑλκύσας τὸν νοῦν
(καλεῖ γὰρ καὶ ταύτην ἐν ἑτέροις παθητικὸν νοῦν) οὕτως ἄν, φησί, καὶ
τῶν ἐφθαρμένων οὐσία εἴη· φαντασθείη γὰρ ἄν τις καὶ τὸ ἐφθαρμένον.

---

11 suppl. Bonitz 13 ἄτοπον Cb: ἄτομα Ca 14 cf. Alex. 79,24 16 διακείμεναι C
25 cf. Plat. Tim. 36c 27 an ἐπ' αὐτῶν? ἐν αὐτοῖς coni. Us. οὔτ' οὖν C: corr. Bag. 28 οὐδὲ γὰρ τὰ Us.: οὔτε γὰρ C 33 ταύτην Bag.: ταῦτα μὲν C

καὶ ἔξεστι κἀκ τούτων συνορᾶν, εἰς ποίας ἐπιχειρήσεις ἐκτρέπεσθαι κατα- 895b
ναγκάζονται οἱ τοῖς εἴδεσιν ἀντιλέγοντες, ἀπὸ μὲν τῶν ὄντων ἐπὶ τὰς στερή- 20
σεις ὑποφερόμενοι, ἀπὸ δὲ τοῦ νοῦ τοῦ κατ' ἐνέργειαν ἐπὶ φαντασίαν καὶ
δόξαν· φαντασθῆναι μὲν γὰρ καὶ δοξάσαι ἔστι καὶ τὸ μὴ ὄν, οὔτε δὲ νοῆσαι
5 οὔτε ἐπίστασθαι τὸ μὴ ὂν θέμις. τὸ δὲ καὶ φάντασμά τι τοῦτ' ἔστιν
εἰ μὲν ἐπὶ τοῦ νοήματος τέθειται, παιδιᾷ μᾶλλον ἔοικεν ἢ σπουδῇ· οὐ γὰρ 25
καθαρεύειν ἐθέλει ὁ ἡμέτερος νοῦς, τοῦτό φησιν εἶναι τὸ τοῦ θείου νοῦ
κίνημα· εἰ δὲ ἐπὶ τοῦ πλασματώδους κινήματος τῆς φαντασίας, ὅταν περὶ
τὸ μηκέτι ὂν γίγνηται, ἀναπεφώνηται μὲν ἀληθῶς, οὐδὲν δὲ προσήκει ταῖς
10 κατ' ἐνέργειαν ἑστώσαις ἀεὶ νοήσεσιν.

p. 1079a 11 Ἔτι δὲ . . . λέγουσιν.

Τῶν μὲν ἀνουσίων σχέσεων οὔ φαμεν ἰδέας εἶναι οὐδὲ τῶν ἐν κινήσεσιν 30
ἢ τῶν κατά τινα θέσιν οὐ φυσικὴν ἐπιτελουμένων, οἷον τοῦ ἀνωτέρω ἢ
κατωτέρω, δεξιοῦ ἀριστεροῦ, γείτονος τῶν τοιούτων. ὅσα | δὲ κατά τινος 896a
15 εἴδους μέθεξιν ἐγένετο πρός τι, οἷον ὅμοια ἢ ἴσα ἢ ἕτερα, τούτων τὰ μὲν
τῶν γενῶν τοῦ ὄντος μετασχόντα, τὰ δὲ πάντως ἑνός γέ τινος τῶν εἰδῶν
τὴν πρὸς ἄλληλα δέχεται σύνταξιν. καὶ τί θαυμαστόν, εἰ τῶν παρ' ἡμῖν
ἔνια πρός τι κατ' ἐκεῖνα λέγομεν ἐπιτελεῖσθαι, ὅπου γε κἀκεῖ ταύτην ἀπο- 5
λιμπάνομεν τὴν σχέσιν. οὐσιώδη μέντοι, καὶ οὐχ ἡμεῖς μόνοι ἀλλὰ καὶ
20 αὐτὸς ὁ Ἀριστοτέλης; ὅταν γὰρ τὸ μὲν αἴτιον ἢ ἀρχὴν λέγωμεν εἶναι ἢ
πρῶτον ἢ περιέχον, τὸ δὲ αἰτιατὸν ⟨ἢ ἐξ ἀρχῆς ἢ δεύτερον ἢ περιεχόμενον,
τί ἄλλο ποιοῦμεν ἢ τὴν τάξιν ἣν ἔχει τὰ θεῖα πρὸς ἄλληλα δηλοῦν ἐπι- 10
χειροῦμεν; ἀρέσκει δὲ καὶ αὐτῷ Ἀριστοτέλει τῶν χωριστῶν εἰδῶν, εἰς ἃ
25 τὰς σφαίρας ἀναρτᾷ τοῦ παντός, τὰ μὲν εἶναι πρῶτα τὰ δὲ μέσα τὰ δὲ
τελευταῖα, καὶ τὰ μὲν περιεκτικώτερα τὰ δὲ μερικώτερα, εἴ γε ταύτην ἔχει
κἀκεῖνα πρὸς ἄλληλα τὴν τάξιν, ἣν καὶ τοῦ αἰθέρος αἱ σφαῖραι περὶ ἀλλήλας 15
ἐκφαίνουσι. πῶς δὲ καὶ τὸν τρίτον εἰσάγουσιν ἄνθρωπον; εἰ μὲν γὰρ ὅτι
καθ' ἑκάστην τῶν ὄντων τάξιν ἐστὶ πάντα τὰ εἴδη, οὐ τρεῖς μόνοι, πολλοὶ
δὲ οἱ ἄνθρωποι, ἐπεὶ καὶ πάντα πολλαπλᾶ· καὶ γὰρ ἐν νῷ καὶ νοῖς καὶ ἐν ψυχῇ
30 τῇ μιᾷ καὶ ψυχαῖς καὶ φύσει τῇ ὅλῃ καὶ φύσεσι μερικωτέραις· ἐν οὐρανῷ
τοίνυν καὶ γῇ καὶ σχεδὸν ἐν ἁπάσαις μερίσι τοῦ παντὸς οἰκείως ταῖς ὑπο- 20
δεχομέναις χώραις τοῦτο ἂν εἴη τὸ εἶδος· ὥστε οὐ τρεῖς, ἀλλὰ τῷ γε
ἡμετέρῳ λογισμῷ ἀπερίληπτοι. εἰ δ' ὅτι συνώνυμος μὲν ὁ αὐτοάνθρωπος
τοῖς τῇδε, καθά φησιν ἐξηγούμενος τὸ ῥητὸν ὁ Ἀλέξανδρος, πάντα δὲ τὰ
35 συνώνυμα μετουσίᾳ τινὸς εἴδους συνώνυμα γίγνεται, τρίτος ἀναφανήσεταί 25
τις ἄνθρωπος τῆς ἰδέας καὶ τῶν τῇδε κατηγορούμενος, γελοῖον γίγνεται τὸ
ἐπιχείρημα· οὔτε γὰρ συνώνυμα τὰ τῇδε τῇ ἰδέᾳ· πότε γὰρ αἱ εἰκόνες
συνώνυμοι τῷ σφετέρῳ γένοιντ' ἂν παραδείγματι; οὔθ' ὅλως μετέχειν τινὸς

---

5 φάντασμα γάρ τι τοῦτ' (sic cod. E, τούτων Ab) ἐστίν Ar. 6 παιδιὰ C
14 post γείτονος excidisse oppositum putat Us. 21 ἢ add. Us. 22 ποιοῦμεν fort. del putat Us. 23 τῷ post αὐτῷ add. Us. 26 περὶ] nempe πρὸς
34 Alex. 83,34

τὴν ἰδέαν οἰητέον· αὐτὴ γὰρ ἔκκειται πᾶσιν εἰς μετοχὴν τὸ πρώτιστον εἶδος 896a
οὖσα. εἰ δὲ ὁμωνύμως κατηγορεῖται αὐτῶν ὁ ἄνθρωπος, ἐν δὲ ταῖς ὁμωνύ- 30
μοις κατηγορίαις οὐδέν ἐστι πρᾶγμα συνεισφερόμενον ὑπὸ τῆς φωνῆς παρὰ
τὰ ὑποκείμενα καὶ ὁμώνυμα λεγόμενα, πῶς ἂν ἔτι χώραν ὁ τρίτος ἄνθρωπος
5 ἔχοι. τῆς φωνῆς οἱονεὶ δαπανωμένης καὶ διαιρουμένης εἴς τε τὸν αὐτὸ καὶ
τὸν θνητὸν ἄνθρωπον;

p. 1079a 14 Ὅλως τε . . . εἶναι. 35

Βούλεται μὲν λέγειν, ὅτι τὰς ἀρχὰς τῶν ὄντων μᾶλλον ἐθέλουσι
σώζειν οἱ προστάται ταύτης τῆς θεωρίας ἤπερ τὸ περὶ τῶν ἰδεῶν δόγμα,
10 σπουδάζοντες δὲ περὶ ὃ ἧττον εἶναι θέλουσιν ἀναιροῦσι τὰς ἀρχάς. καὶ
τῷ ὄντι, εἰ τοῦθ' οὕτως | ἔχοι, περιπίπτοιεν ⟨ἂν⟩ ἀβουλήτῳ πράγματι. 896b
ἀλλ' ἴδωμεν εἴ τι τοιοῦτον πάσχουσι.

p. 1079a 15 Συμβαίνει . . . ἀρχαῖς.

Ἔλεγον μὲν οἱ ἄνδρες μετὰ τὴν μίαν τῶν πάντων ἀρχήν, ἣν τἀγαθὸν
15 καὶ τὸ ὑπερούσιον ἓν ἠξίουν καλεῖν, δύο εἶναι τῶν ὅλων αἰτίας, μονάδα
καὶ τὴν ἀπειροδύναμον δυάδα, καὶ ταύτας τὰς ἀρχὰς καθ' ἑκάστην τῶν 5
ὄντων τάξιν οἰκείως ἀπετίθεντο· ἔστι γὰρ καὶ τὸ ἀναλογοῦν τἀγαθῷ καθ'
ἑκάστην διακόσμησιν καὶ τὰ πρὸς τὴν μονάδα καὶ τὴν δυάδα τὴν πρώτην
ᾠκειωμένα. φησὶ δὲ οὗτος, ὅτι ποιοῦντες αὐτοδυάδα ἐν τοῖς εἴδεσι καὶ
20 αὐτομονάδα, πρῶτον μὲν ἐπειδὴ τὰ πρεσβεῖα πανταχοῦ ταῖς εἰδητικαῖς 10
αἰτίαις ἀπονέμειν εἰώθασι, πρώτας λέγοντες εἶναι ταύτας ἀναιροῦσι τὴν ἐν
ταῖς ἀρχαῖς μονάδα καὶ δυάδα (τῆς γὰρ πρώτης δυάδος ἢ μονάδος τίς ἂν
εἴη πρεσβυτέρα μονὰς ἢ δυάς;), ἔπειτα δὲ καὶ ἐπειδὴ διπλασία μέν ἐστιν
ἡ αὐτοτετρὰς τῆς αὐτοδυάδος, ἡ δὲ αὐτοδυὰς τῆς αὐτομονάδος, ἀριθμοὶ δὲ 15
25 πάντα ταῦτα, οὐ μόνον ὁ καθ' αὑτὸ ἀριθμὸς πρεσβύτερος τῶν ἀρχῶν ἀλλὰ
καὶ ὁ πρός τι· καὶ ὅλως πολλά φησιν εἶναι τοιαῦτα, δι' ὧν φυλάττειν ἐθέ-
λοντες τὴν περὶ τὰ εἴδη θέσιν ἔλαθον ἑαυτοὺς ἐναντιωθέντες ταῖς οἰκείαις
ἀρχαῖς. ταῦτα δὲ ὅτι φορτικῶς εἴρηται καὶ παρὰ θύρας ἀπαντᾷ πρὸς τὰ 20
ὑπὸ τῶν θείων ἀνδρῶν εἰρημένα, δῆλα μὲν καὶ πρὸ παντὸς λόγου τοῖς
30 ἀγχινουστέροις· οὐ μὴν ἀλλὰ καὶ παρ' ἡμῶν ἐπιζητήσειεν ἄν τις τῆς παρα-
λογιστικῆς ἐπιχειρήσεως τὴν διάλυσιν. φαμὲν τοίνυν ὡς ἄλλη μὲν τῶν
ἀρχῶν ἡ φύσις, ἄλλη δὲ ἡ τῶν ἰδεῶν, κἂν ὁμωνύμως τι περὶ αὐτὰς ἐπι-
συμβῇ, μᾶλλον δὲ οὐ περὶ αὐτάς (τί γὰρ τοῖς θειοτάτοις τῶν ὄντων ἐπι- 25
συμβῆναι δυνήσεται;), ἀλλὰ περὶ τὴν ἡμετέραν περὶ αὐτὰς πραγματείαν.
35 αὐτίκα δυὰς μὲν ἡ ἀρχηγικὴ γονίμου δυνάμεως καὶ προόδου καὶ πλήθους
καὶ πολλαπλασιασμοῦ τοῖς πᾶσιν ἐξηγεῖται, διεγείρει τε πάντα καὶ κινεῖ

---

1 αὕτη C 5. 6 αὐτὸ scripsi (subaudiendum ἄνθρωπον): αὐτὸν C: αὐτοάνθρωπον cum Bag. Us. 11 ἂν add. Bag. 26 δι' ὧν οἱ coni. Us. 32 τι Bag.: τίς C

πρὸς ἀπογέννησιν τῶν δευτέρων καὶ προμηθίαν καὶ φυλακήν, ἔτι δὲ πληροῖ 896ᵇ
πάντας τούς τε θείους διακόσμους καὶ τοὺς νοεροὺς καὶ τοὺς ψυχικούς τε 31
καὶ φυσικοὺς καὶ αἰσθητοὺς τῶν ἑκάστοις προσηκόντων ἀριθμῶν· ἓν δὲ
οὐδὲν ὁτιοῦν ἀγένητον εἶναι συγχωρεῖ τῶν πεφυκότων ὅπως ποτὲ παρελθεῖν
5 εἰς ὑπόστασιν· ἡ δέ γε αὐτοδυὰς πᾶσι τὸ ἑαυτῆς εἶδος ἐπιφέρει καὶ ψυχαῖς 35
καὶ φύσεσι καὶ σώμασιν· ὥστε εἴτε ὁ κόσμος εἰς δύο διῄρηται εἴτε καὶ
μόνος ὁ οὐρανὸς εἴτε τῆς ψυχῆς οἱ λόγοι ἢ καὶ πρὸ τῶν λόγων οἱ κύκλοι
(πρῶτοι γὰρ οὗτοι τῶν μετεχόντων χρῶνται τῇ εἰς δύο διαιρέσει) εἴτε τι
τῶν μερικῶν | ζῴων ἢ ὀφθαλμοὺς ἔχει δύο ἢ χεῖρας ἢ πόδας ἢ ἄλλο τι 897ᵃ
10 τῶν τῆς φύσεως ἀποτελεσμάτων σὺν τῷ ἑαυτοῦ εἴδει τὴν δυάδα διὰ παντὸς
ἔχει. οὐκ ἀπ' ἄλλης αἰτίας φήσομεν [ἢ] τῆς ἀνωτάτω τοῦτο παραγίγνεσθαι
τοῖς πράγμασιν ἢ ἐκ τῆς αὐτοδυάδος, ἥτις πρωτίστη μέν ἐστι τῶν ἐν εἴδεσι 5
δυοειδῶν καὶ αἰτία, οὐ μὴν διὰ τοῦτο καὶ τῆς ἀρχικῆς δυάδος, ὑφ' ἧς
καὶ αὕτη καὶ πᾶς ὁ νοῦς ὑπέστη. τὰ αὐτὰ δὲ καὶ περὶ μονάδος φαμέν·
15 ἄλλη γὰρ ἡ ἀρχικὴ ἡ σὺν τῇ δυάδι τὰ πάντα ὑφιστᾶσα, ταὐτότητος καὶ
βεβαιότητος καὶ συνοχῆς καὶ διαιωνίας ζωῆς ἐξηγουμένη τοῖς ὅλοις, ἄλλη
δὲ ἡ αὐτομονὰς ὡς ἐν τοῖς εἴδεσι τὸ πρωτεῖον ἔχουσα, ἧς μετασχόντα τὰ 10
πεποιημένα ἑνίζεται καὶ τῇ ἕξει τῇ οἰκείᾳ συνέχεται. ὅταν οὖν τὴν ἐν ταῖς
ἰδέαις μονάδα καὶ δυάδα πρεσβεύωσιν οἱ ἄνδρες, οὐκ ἐπὶ ἀναιρέσει τῶν
20 οἰκείων ἀρχῶν ταύτας προτάττουσι (πῶς γὰρ ἅς γε καὶ αὐτὰς μετὰ τοῦ
σύμπαντος νοῦ καὶ τοῦ νοητοῦ φασιν ἐκ τῶν ἀρχῶν ὑποστῆναι;), ἀλλ' ὅτι 15
τῶν ἐγκοσμίων πραγμάτων ἐξηγοῦνται, καὶ παρ' ἧς μὲν τῷ τε σύμπαντι
κόσμῳ ⟨καὶ⟩ ψυχαῖς καὶ σώμασιν ἡ ὁλότης καὶ τὸ μονοειδές, παρ' ἧς δὲ
ἡ πρώτη διαίρεσις καὶ τὸ δυοειδές, δῆλον δὲ πότερον παρὰ ποτέρας. τὸ
25 δὲ καὶ ἀριθμὸν ἐν ἐκείνοις τὸν μοναδικὸν εἰσάγειν καὶ διὰ τοῦτο διπλασίαν 20
ποιεῖν τὴν αὐτοδυάδα τῆς αὐτομονάδος, σφόδρα ἐστὶν ἐπιπόλαιον· οὐ γὰρ
διὰ ποσότητα μονάδων ἕκαστος τῶν ἐκεῖ ἀριθμῶν ἔχει τὴν ἐπωνυμίαν ἣν
εἴληφεν, ἀλλὰ κατά τινα χαρακτῆρα θειοτάτης καὶ ἁπλουστάτης οὐσίας.
μετέχει δὲ αὐτῶν ὡς πέφυκεν ἕκαστα· καὶ ὥσπερ τοῦ αὐτοανθρώπου ἀχρω-
30 μάτου ὄντος καὶ ἀσχηματίστου καὶ ἀμόρφου καὶ ἀμεροῦς ὁ τῇδε ἄνθρωπος 25
ἐσχηματισμένως καὶ κεχρωσμένως καὶ μορφωτικῶς καὶ μεριστῶς μετείληφεν.
οὕτω καὶ [τὸ] τῆς αὐτοτριάδος οὐδεμίαν ἐμφαινούσης ποσότητα σὺν ποσότητι
μετέχει τὰ αἰσθητά. ὅμοιον οὖν μοναδικὸν πλῆθος ἐπιζητεῖν ἐν τοῖς εἰδητι-
κοῖς ἀριθμοῖς καὶ ἧπερ ἡ σπλῆνα σπλάγχνων τε τῶν ἄλλων ἕκαστον ἐν 30
35 τῷ αὐτοανθρώπῳ. οὔτ' ἄρα τὰς ἀρχὰς ἑαυτῶν ἀναιροῦσιν οἱ ἄνδρες διὰ
τῶν εἰδητικῶν ἀριθμῶν οὔτε τὸν κατὰ σχέσιν ἀριθμὸν εἰσάγουσιν εἰς τὰ νοητά.

1 προμιθίαν (ι prius dubium) C: προμήθειαν Us. cf. ad Procl. in remp. I 98,15
7 cf. Plat. Tim. 36ᶜ 11 ἢ del. Us. 13 δύο εἰδῶν C: coniunxi κάκ τῆς Us.; immo τῆς ἀ. δυάδος pendet a πρωτίστη, ex quo desumendum προτέρα
16 ὅλως C: corr. A 17 an ἡ ὡς? 18 εἰδοπεποιημένα Us. 23 καὶ add. Us. 32 τὸ del. Bag.

p. 1079a19 Ἔτι . . . πολλῶν.

Ἐν τούτοις δὴ μᾶλλον ἐμβριθῶς ἠπόρησεν. εἴρηται δὲ καὶ παρὰ τῶν 897a
πρεσβυτέρων καὶ παρ' ἡμῶν ἐν τοῖς ἔμπροσθεν, τίνων εἰσὶν ἰδέαι καὶ τίνων 35
οὔ· καὶ ὅτι οὐσιῶν τῶν καθόλου, οἷον ἀνθρώπου, ἵππου, καὶ εἴ τι τελειοῖ
5 τὰς οὐσίας, οἷον ἀρετῆς, ἐπιστήμης, καὶ εἴ τι ψυχαῖς καὶ σώμασι | καὶ 897b
φύσεσι παραγίγνεται, οἷον ὁμοιότης ἰσότης μέγεθος καὶ εἴ τι τοιοῦτον· τὰ
δὲ μόνοις τοῖς σώμασι συμβεβηκότα ἐν τοῖς τῆς φύσεως λόγοις διωρισμένας
αἰτίας ἔχει κατὰ τὸν Ἰάμβλιχον. ἐπεὶ ὅ γε θεῖος Πλωτῖνος ἐφίστησι, μὴ
καὶ λευκότητος εἶδος ἐν νῷ θετέον εἶναι. οὐκ εἴ τι οὖν ἓν ἐπὶ πολλῶν 5
10 νόημα, τούτου ἐστὶν ἰδέα (οὕτω γὰρ ἂν καὶ τῶν παρὰ φύσιν ἦσαν ἰδέαι).
ἀλλ' ὧν μὲν ἰδέαι, τούτων εἰσὶ καὶ καθόλου λόγοι, οὐ μὴν ἀντιστρέφει.
οὐ μὴν οὐδ' ὅσων εἰσὶν ἐπιστῆμαι αἱ μὴ κυρίως λεγόμεναι, τούτων ἁπάν-
των ἐστὶν εἴδη. — τὸ μέντοι οὐσιῶν οὐσῶν αὐτῶν τὰ τῆδε μετέχειν, εὖ 10
εἴρηται· οὐ μὴν εἴ τι οὐσίας μετέχει, τοῦτο οὐσία ἐστί· τὴν γοῦν αὐτοεπιστή-
15 μην καὶ τὴν αὐτοδικαιοσύνην οὐσίας εἶναί φαμεν, ἀλλ' αἱ παρ' ἡμῖν ἕξεις
οὐκ οὐσίαι. κἀκεῖνο δὲ ῥητέον, ὅτι ταῖς ἰδέαις οὐδέν ἐστιν ἐν ὑποκειμένῳ,
ἀλλὰ πάντα εἰς οὐσίαν τελεῖ· καὶ γὰρ τῷ αὐτοδιπλασίῳ τὸ ἀίδιον οὐ συμ-
βέβηκεν οὐδὲ κατ' αὐτὸν τὸν Ἀριστοτέλην· σαφῶς γοῦν ἀπέδειξεν ἐν τῷ 15
| τῆσδε τῆς πραγματείας, ὅτι μηδέν ἐστι φθαρτὸν ἢ ἄφθαρτον κατὰ συμ-
20 βεβηκός. μᾶλλον οὖν ὧδε ῥητέον, ὅτι πᾶν ἄυλον εἶδος καὶ θεῖον ἐν ἀπλη-
θύντῳ καὶ μονοειδεῖ καὶ ἁπλουστάτῃ οὐσίᾳ πολυδυναμώτατόν ἐστι καὶ μετέ-
χεται οὐ κατὰ πάσας ἑαυτοῦ δυνάμεις ὑπὸ τῶν τῆδε. τὸ οὖν αὐτοδιπλάσιον 20
ἔχει μὲν κατ' οὐσίαν καὶ τὸ ἀμέριστον καὶ τὸ νοερὸν καὶ τὸ δημιουργικὸν
καὶ τὸ ἀίδιον, καὶ οὐδὲν τούτων ὡς ἐν ὑποκειμένῳ· μετέχεται δὲ ὑπὸ μὲν
25 ψυχῆς τῆς ἄνω κατὰ πλείους ἑαυτοῦ δυνάμεις, ὑπὸ δὲ τῆς ἡμετέρας κατὰ
ἐλάττους, ὑπὸ δὲ σωμάτων ἢ δυνάμεων σωματικῶν ἀγαπητῶς κατὰ μίαν 25
ἢ δύο. τὰ μέντοι μετέχοντα τῶν οὐσιῶν οὐκ ἀνάγκη πάντα οὐσίας εἶναι
(καὶ περὶ τούτου πολλάκις ὑπεμνήσαμεν), ἀλλ' ὥσπερ ἀμερῶν [οὐσῶν]
μετέχει τινὰ μεριστῶς καὶ νοερῶν ἀνοήτως, οὕτως οὐσιῶν ἀνουσίως· τὸ
30 γὰρ λέγειν ἐν ἐπὶ πολλῶν οὐ τοῦτο ἐδήλου ὡς τοῦ ἑνὸς ὑπὸ τὴν αὐτὴν
ὄντος ἐκείνοις κατηγορίαν, ἀλλ' ὡς ἐξῃρημένης ἐκείνης τῆς ἑνάδος ἀφάτοις 30
τισὶν ὑπερβολαῖς τοῦ ἐξ αὐτῆς προϊόντος καὶ πρὸς αὐτὴν ἀπεικασθέντος καὶ
εἰς αὐτὴν ἀνηρτημένου πλήθους.

p. 1079a33 Καὶ εἰ μὲν . . . αὐτῶν.

35 Ἀλλ' οὔτε συνώνυμοι τοῖς τῆδε αἱ ἰδέαι (γελοῖον γὰρ καὶ τὸ διαπορεῖν
περὶ τούτων, ἵνα μὴ πρὸς τοῖς ἄλλοις καὶ ὁ τρίτος ἄνθρωπος ὥς φασιν 35

---

2 δὴ Us.: ἢ C 4 εἴ τι Us.: ὅτι C 9 dubito de εἶναι γρ. οὐκ εἴ τι οὖν ἓν in mg. C¹: οὐκ ἔστιν οὖν ἓν C¹ in textu; οὐκέτι οὖν οὗ ἐστιν ἓν C² 10 τοῦτο Us. probabiliter 12 cf. p. 110,13 17 τὸ αὐτοδιπλάσιον C 20 met. I 10. 1050a 1 22 an πάσας τὰς? 27 μὲν τοίνυν Us. 28 οὐσῶν delevi 33 εἰς ἑαυτὴν C

ἐπεισίῃ) οὔθ' οὕτως ὁμώνυμοι ὡς τὰ ἀπὸ τύχης, ἀλλ' ὡς τὸ παράδειγμα 897b
τῇ εἰκόνι, καὶ μάλισθ' ὅταν αὐτῷ τῷ εἶναι τὸ παράδειγμα τὰς εἰκόνας
ὑφιστὰν ἐπιστρέφῃ πρὸς ἑαυτό. |

p. 1079b 3 Εἰ δὲ . . . δίπουν. 898a

Τὸ μὲν λεγόμενον τοιοῦτόν ἐστιν· εἰ δέ τις μήθ' ἁπλῶς συνωνύμως λέγοι τὰς ἰδέας τοῖς τῇδε μήθ' ἁπλῶς ὁμωνύμως, ἀλλὰ τὸν αὐτὸν μὲν ἐφαρμόζοι λόγον καὶ τῇ ἰδέᾳ καὶ τῷ πρὸς αὐτὴν ἀπεικασμένῳ, προστιθείη δὲ ἐπὶ μὲν τῆς ἰδέας τὸ νοητὸν εἰ τύχοι, ἐπὶ δὲ τῶν τῇδε τὸ αἰσθητόν, οἰήσεται μέν τι λέγειν, οὐδὲν δὲ κατά γε τὸ ἀληθὲς ἐρεῖ· τίνι γὰρ τῶν ἐν τῷ ὁρισμῷ τὸ νοητὸν ἢ τὸ αἰσθητὸν προσνέμοι; οἷον εἰ κυκλος μὲν εἴη φανταστός, εἴη δὲ καὶ αὐτὸς κύκλος ὁ νοητός, λέγοι δέ τις ἑκάτερον μὲν αὐτῶν σχῆμα εἶναι ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι [πρὸς τὴν περιφέρειαν] ἴσαι ἀλλήλαις εἰσίν, ἀλλὰ τὸν μὲν αὐτοκύκλον σχῆμα λέγοι νοητόν, τὸν δὲ παρ' ἡμῖν σχῆμα φανταστὸν ἢ αἰσθητόν. σκοπεῖν δεῖ, φησί, μὴ οὐδὲν ᾖ τὸ λεγόμενον· τίνι γάρ, φησί, τὸ νοητὸν ἢ τὸ αἰσθητὸν συντάξει; τῷ σχήματι ἢ τῷ ἐπιπέδῳ ἢ τῇ γραμμῇ ἢ τῷ σημείῳ; πάντα γὰρ οὐσίαι τὰ εἰς τὸν ὁρισμὸν παραλαμβανόμενα. ὡς ἐπὶ ἀνθρώπου· καὶ γὰρ τὸ ζῷον καὶ τὸ δίπουν. χρὴ δὲ πρὸς αὐτὸν φιλαλήθως μὲν ἀπαντῶντα λέγειν, ὅτι μηδὲ τὴν ἀρχὴν ὅρον ἔδει τῆς ἰδέας ἀποδιδόναι (τὰ γὰρ ἀμέριστα καὶ ἁπλᾶ εἴδη καὶ νοερὰ καὶ τῶν ὁριστικῶν λόγων ἐξῄρηται καὶ πάντων τῶν κατὰ διέξοδον καὶ ἀνέλιξιν θεωρεῖσθαι πεφυκότων, ὡς ἐν ταῖς Ἐπιστολαῖς ὁ θεῖος Πλάτων περὶ τοῦ οὐσιώδους κύκλου διείλεκται, ἄλλο τι αὐτὸν εἶναι λέγων παρὰ τὸν ὁριστὸν καὶ ἐπιστητόν· καὶ αὐτὸς ὁ δαιμόνιος Ἀριστοτέλης ἐν τῷ Η ταύτης τῆς πραγματείας ἐδικαίωσε τῶν πάντῃ καὶ τελέως ἁπλῶν εἰδῶν μηδ' ὁρισμὸν εἶναι), συγκαθιέντα δὲ αὐτῷ καὶ εἰς τὰς καθ' ἕκαστον ἐπιχειρήσεις εἰπεῖν, ὅτι εἰ καὶ ὁριστὰ ἦν τὰ εἴδη, οὐκ ἀνάγκη τοῖς αὐτοῖς ἦν ὁρισμοῖς ἡμᾶς ἐπί τε τῶν τῇδε κεχρῆσθαι καὶ ἐπὶ τῶν παραδειγμάτων· οὐ γὰρ δὴ τῆς εἰκόνος τοῦ Σωκράτους ὁ αὐτὸς λόγος καὶ τοῦ Σωκράτους, καίτοι γεγονυίας τῆς εἰκόνος πρὸς τὸ Σωκρατικὸν εἶδος. εἰ δέ τις καὶ τὸν αὐτὸν ὁρισμὸν ἀμφοῖν ἀπεδίδου, τί ἐκώλυε καθ' ἕκαστον τῶν λεγομένων ἐφ' ὧν μὲν τὸ νοητὸν ἀκούειν, ἐπὶ δὲ τῶν τῇδε τὸ αἰσθητόν; νοητῶς γὰρ πάντα ὑπάρχειν, εἴπερ ὅλως ὑπῆρχεν, εὔλογον ἦν τῇ ἰδέᾳ, φυσικῶς δὲ τοῖς πρὸς αὐτὴν ἀπεικασθεῖσιν. οὔτ' οὖν ὁριστὴ ἡ ἰδέα κατά γε τὸ ἀληθές, οὔτε εἰ ἦν ὁριστή, τῷ αὐτῷ ἂν ὅρῳ τοῖς ἀποτελέσμασιν ἐκρατήθη, οὔτε εἰ τούτοις τις συνεχώρησε πᾶσιν, ἐκω|λύετο 898b νοητῶς μὲν αὐτὰ τοῖς παραδείγμασιν ἀπονέμειν, φανταστικῶς δὲ ἢ φυσικῶς

10 an προσνεμεῖ? cf. Alex. 742,11 11 αὐτοκύκλος νοητός Us. probabiliter, nam sic dicere solent posteriores; at Ar. ipse αὐτὸς κύκλος sim. haud raro 14 del. Bag. 20 μήτε C: corr. Bag. 21 λόγος C 23 Plat. epist. VII 342 b sq. 24 τὸν Us.: τὸ C 25 Ar. met. H 3. 1043 b 25 35 γε Bonitz: τε C 36 οὔτε Bonitz: εἴτε C ἐκωλύετ' ἂν Us.

ταῖς εἰκόσιν· οὐδὲ γὰρ τοῦτο ἦν ἄτοπον τὸ πᾶσι τοῖς χωριστοῖς εἴδεσι τὸ 898ᵇ
νοητὸν ὑπάρχειν ὥσπερ τοῖς ὑπὸ τὸ αὐτὸ γένος οἷον τοῖς τισὶν ἐπιπέδοις
τὸ γενικὸν ἐπίπεδον.

p. 1079ᵇ12 Πάντων . . . αἴτια αὐτοῖς.

Περὶ τοῦ χρησίμου τῶν ἰδεῶν ἐπιζητεῖ, μὴ ἄρα οὐδὲν συμβάλλονται
τοῖς αἰσθητοῖς καὶ ὑποτεθεῖσαι εἶναι. ῥητέον οὖν ὡς πάντα μὲν τὰ θεῖα
διὰ τὰς ἀρχὰς τὰς ἑαυτῶν καὶ δι' ἑαυτὰ καὶ ἔστι καὶ τοιαῦτά ἐστιν· οὐ
μὴν ἀλλ' ἐπειδὴ γεννητικὴ καὶ προνοητικὴ αὐτῶν ἐστιν ἡ ὕπαρξις, εἰ καὶ
μὴ τῶν δευτέρων ἕνεκεν ὑπέστη, ἀλλ' οὖν καὶ οὐσίας καὶ δυνάμεως καὶ
τελειότητος ἁπάσης μεταδίδωσι τοῖς μεθ' ἑαυτά. καὶ δὴ καὶ διὰ τὰ εἴδη
τά τε ἀίδια τῶν αἰσθητῶν καὶ ὑπέστη καὶ ἀίδια μένει, τοιαῦτα ὄντα τῷ
ἐκείνων ἔρωτι πρὸς ἄπαυστον ζωὴν καὶ κίνησιν ἀνεγειρόμενα, τά τε θνητὰ
καὶ ἔνυλα τῆς φύσεως δημιουργήματα πότ' ἂν τὴν εἰς τὰ ὄντα πάροδον
ἐδέξατο, μὴ τῆς φύσεως καὶ τῶν χρωμένων τῇ φύσει δημιουργικῶν αἰτίων
πρὸς ὡρισμένα ἄττα καὶ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχοντα τὴν ποίησιν
ἀναφερόντων; διὰ τί γὰρ μὴ ἐκ τῆς τυχούσης μεταβολῆς ἡ τυχοῦσα παρήγετο,
ἀλλ' ὡρισμέναι τῆς φύσεως αἱ μεταβάσεις καὶ αἱ δίοδοι φαίνονται, εἰ μή
τις ἦν τάξις μὲν ἐν τοῖς τῆς φύσεως λόγοις προϋπάρχουσα, [τὸ] πρὸ τάξεως
δὲ ἀμερὲς αἴτιον τῷ δημιουργοῦντι τὰ ὅλα συνυφιστάμενον; καὶ αὐτῷ δὲ
ἀρέσκει τῷ Ἀριστοτέλει τὸ πρώτιστον αἴτιον ἀκίνητον ὂν τῆς ὅλης περι-
κοσμίου κινήσεως εἰ καὶ μὴ [ὡς] παραδειγματικὸν ἀλλ' οὖν αἴτιον εἶναι τελικόν.

p. 1079ᵇ15 Ἀλλὰ . . . δόξαν.

Ὅτι μὲν πρὸς ἐπιστήμην τῶν πραγμάτων ἡ τῶν ἰδεῶν θεωρία μεγάλα
συμβάλλεται, δηλοῖ πολλαχοῦ μὲν ὁ θεῖος Πλάτων, μάλιστα δὲ ἐν Παρ-
μενίδῃ, οὐδὲ ὅποι τις τρέψει τὸ τῆς διανοίας ὄμμα καταλελεῖφθαι φάς, εἰ
μὴ τὴν ὡρισμένην τῶν εἰδῶν αἰτίαν ἐπισκέπτεσθαι δύναιτο. καὶ ἐν Φαίδωνι
δὲ αἱ κυριώταται τῶν τῆς ψυχικῆς ἀθανασίας ἀποδείξεων τῇ τῶν ἰδεῶν
ἀρχῇ καὶ ὑποθέσει κέχρηνται· οὐ μὴν ἀλλὰ καὶ πρὸ παντὸς λόγου τοῦτο
ἄν τις οὐ χαλεπῶς θεωρήσειεν· εἰ γὰρ αἰεὶ τὰς εἰκόνας ἐκ τῆς ἐπὶ παρα-
δείγματα γιγνώσκομεν ἀναφορᾶς, πῶς ἔνεστιν εἰκόνα ὄντα τόνδε τὸν αἰσθητὸν
κόσμον τοῦ νοητοῦ μὴ διὰ τοῦτον καὶ ἐκεῖνον γνωρίζεσθαι; τὸ δὲ μὴ διὰ
τοῦτο συντελεῖν ἡμῖν τὴν τῶν ἰδεῶν θεωρίαν εἰς τὴν ἐπιστήμην τῶν τῇδε,
ὅτι μήτε οὐσίαι τούτων ἐκεῖναι μήτε | συμβεβηκότα. παντὶ μᾶλλον ἔπρεπε 899ᵃ
λέγειν ἢ ἀνδρὶ ἀποδεικτικῷ· εἴπερ γὰρ ἐκ προτέρων αἱ ἀποδείξεις καὶ αἰτιω-
τέρων, οὔτε διὰ τῶν ἑαυτοῦ στοιχείων ἐπιστητὸν ἄν τι γένοιτο (οὐ γὰρ

6 καὶ ὑποτ. εἶναι paululum offendit; latetne εἰς τὸ εἶναι? 10 possis ἅπασι
11 τοιαῦτα ὄντα nexu caret 18 τὸ delevi 20 Ar. met. Λ 6 21 ὡς
delevi 23 ἰδῶν C 24 Plat. Parm. 135ᵇ sq. 25 Plat. Phaed. 100ᵇ sq.
29 nempe ἐπὶ τὰ (εἰς τὰ AH) 31 μὴ δι' ἐκεῖνον καὶ δι' ἐκεῖνον γν. C¹ corr. C²
32 ἰδεῶν Us.: εἰδῶν C (possis servato εἰδῶν ἐκεῖνα in v. 33)

αἴτια κυρίως ταῦτα, εἰ μὴ ὡς δουλεύοντα τοῖς ἀληθεστέροις αἰτίοις εἰς 899a
γένεσιν). οὔτε πολλῷ πλέον διὰ τῶν ἐνυπαρχόντων αὐτῷ συμβεβηκότων. 5
τὰ μὲν οὖν Ἀναξαγόρᾳ περὶ τῶν ὁμοιομερῶν εἰρημένα καὶ τὰ Εὐδόξῳ
περί τινων τοιούτων ἠπορημένα ἔστω λίαν εὐκίνητα· τὰ δέ γε εἴδη τῆς
5 οὐσίας αἴτια ὄντα τοῖς τῇδε καὶ τοῦ εὖ καὶ τῆς μονῆς ἀναγκαίως καὶ τῆς
ἐπιστήμης αὐτῶν τὴν πᾶσαν ἐπιφέρει τελείωσιν. 10

p. 1079 b 23 Ἀλλὰ μὴν . . . λέγεσθαι.

Ὅτι μὲν οὔτε ὡς ἐξ ὕλης οὔτε ὡς ἐκ στερήσεως οὔτε κατὰ τὸν συγκειμένων τρόπον οὔτε ὡς ἐξ εἴδους ἐνύλου φαμὲν ἐκ τῶν ἰδεῶν τὰ τῇδε συνί-
10 στασθαι, πρόδηλον, ἐπεὶ μηδὲν τούτων ἀληθές ἐστιν αἴτιον, τὰ δέ γε εἴδη τὰς κυριωτάτας αἰτίας καὶ πάντων περιληπτικωτάτας καὶ ἐξῃρημένας περιέχει 15
τῶν ἐγκοσμίων ἁπάντων, τὰς ποιητικὰς τὰς παραδειγματικὰς τὰς τελικάς.

p. 1079 b 24 Τὸ δέ γε λέγειν . . . ἀποβλέπον.

Φανταστῶς γὰρ αὐτῶν ἀκούομεν καὶ μορφωτικῶς· διὸ καὶ δοκοῦσιν
15 αἱ φωναὶ μετενηνέχθαι ἀπὸ τῶν παρ' ἡμῖν ζωγράφων ἢ τῶν ἄλλων
χειροτεχνῶν, ἐπεὶ νοῦν τις δημιουργικὸν ὑποστάτην καὶ αἴτιον τῶν ὅλων 20
ἐνθυμηθείς, αὐτῷ τῷ εἶναι κατὰ τὴν αὐτοῦ ἰδιότητα τὰ πάντα γεννῶντα
καὶ ἀξιοῦντα προνοίας ὑποθέμενος, οὐκ ἂν ἐπιζητήσειεν οὔτε τὸ ποιητικὸν
αἴτιον τῶν πάντων οὔθ' ὅπως παράδειγμα λέγομεν εἶναι τὸ ποιοῦν καὶ τὰ
20 ἐν αὐτῷ τῆς διακοσμήσεως. πῶς δὲ καὶ διαρρήδην εἰπόντος τοῦ Πλάτωνος 25
"ἥπερ οὖν νοῦς ἐνούσας ἰδέας ἐν τῷ ὅ ἐστι ζῷον, ὅσαι τε καὶ οἷαι, καθορᾷ,
τοσαύτας καὶ τοιαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν," ὡς μηδενὸς τοιούτου
ῥηθέντος ἐπιζητεῖ. τί τὸ ποιοῦν πρὸς τὸ παράδειγμα· ἔδει γὰρ μὴ κατα-
νωτίζεσθαι τὰ ῥηθέντα σαφῶς, ἀλλ' εἴπερ εἶχέ τι πρὸς αὐτὰ λέγειν, μνη-
25 μονεύσαντα τῆς δόξης τοῖς ἐγχωροῦσιν ἐλέγχοις κατ' αὐτῆς χρήσασθαι· ὁ 30
δὲ τοσοῦτον ἀπέχει τοῦ δύνασθαί τι πρὸς τὴν ἀληθῆ τοῦ Πλάτωνος θεωρίαν
εἰπεῖν, ὡς ἀναγκάζεσθαι κἂν τε συγχωρῇ κἂν τε ἀπαγορεύῃ, τὰ αὐτὰ τρόπον
ἕτερον ἐκείνῳ φθέγγεσθαι. τὰ γὰρ | χωριστὰ εἴδη τὰ παρ' αὐτῷ τελικὰ 899b
μέν ἐστιν αἴτια καὶ ἐφετὰ τοῖς ὅλοις καὶ τοῦ εὖ καὶ τῆς τάξεως τῆς ἐγκο-
30 σμίου κατ' αὐτῶν αἴτια· δῆλον δὲ τῷ μετὰ συνέσεως ἐπισκεπτομένῳ τὰ
ῥηθέντα, ὅτι καὶ ποιητικὰ ἂν εἴη τῶν τῇδε· οὐ γὰρ ἄλλο μὲν τῆς οὐσίας
καὶ τοῦ εἴδους αἴτιον, ἄλλο δὲ τῆς τελειότητος. εἰ δὲ καὶ ἀπειροδύναμά 5
ἐστι τὰ οὐράνια σώματα διὰ τὴν ἐκείνων ἔφεσιν, ἤτοι ἀφ' ἑαυτῶν ἔχει τὴν

1 εἰς Bag.: ἐν C 2 συμβεβηκότα C: corr. Us. 5. 6 ταῖς ἐπιστήμαις Us. (τῇ ἐπιστήμῃ verum puto) 8 ὅτι C²: οὔτε C¹ ὡς ἐκ: ω ἐκ C 8. 9 συγκείμενον C: corr. Us. 13 δέ γε C: δὲ Arist. 17 αὐτοῦ] αὐτοῦ C 20 Plat. Tim. 39e 21 ἐν om. Plat. 21. 22 οἷά τε ἔνεισι καὶ ὅσαι, κ., τοιαύτας καὶ τοσαύτας Plat. 24 σαφῶς ex corr. C¹ 27 τε prius: τι C 29 τοῖς ἐγκοσμίοις coni. Us. 30 κατ' αὐτῶν haud sanum; κατ' αὐτὸν Bag., καὶ τοῦ ἀϊδίου Us. cl. p. 118,13 (an κατὰ ταὐτόν?) 33 ἔφεσιν e corr. C¹ ἑαυτῆς C²: corr. C¹

ἔφεσιν καὶ τὴν δύναμιν τὴν ἄπειρον ἢ ἀπ' ἐκείνων ἄμφω ἢ τό γε δεύτερον 899ᵇ
χορηγεῖται. ἀλλ' ἑαυτοῖς μὲν ἀπείρου δυνάμεως οὐκ ἂν εἴη αἴτια· παντὸς
γὰρ πεπερασμένου καὶ ἡ δύναμις πεπέρανται. εἴτε δὲ ἄμφω εἴτε τὸ δεύτερον 10
μόνον ἐκεῖθεν, δυνάμεως ὄντα τῆς κατὰ φύσιν καὶ τῆς ἀιδίου χορηγὰ καὶ
5 τοῦ εἶναι [καὶ] τοῖς δυναμουμένοις αἴτια, οἷς ὑπῆρξεν ἂν καὶ μηκέτ' εἶναι,
εἰ μὴ τὴν δύναμιν ἐκεῖθεν ὑπεδέχετο. διὸ καὶ ὁ Πλάτων πάντα τε οὐρανὸν
πᾶσάν τε γένεσιν ἔφη συμπεσοῦσαν στήσεσθαι, εἰ μὴ εἴη τὸ ἀσώματον εἶδος 15
τὸ εἰς ἑαυτὸ συννεῦον, καὶ πρώτως μὲν εἰς ἑαυτὸ ἐνεργοῦν, δευτέρως δὲ
καὶ τὰ ἐξηρτημένα τῆς αὐτοῦ καλλονῆς διεγεῖρον καὶ κινοῦν. οὕτω μὲν
10 οὖν καὶ τὴν ποιητικὴν αἰτίαν ἔχοντα φανεῖται τὰ παρ' αὐτῷ χωριστὰ εἴδη,
κἄν τε ὁμολογῆται τοῦτο παρ' αὐτοῦ κἄν τε ἀπαγορεύηται. ἔστ' ἂν γὰρ
ἢ καὶ ἐφέσεως καὶ δυνάμεως αὐτόθεν ὑπάρχῃ χορηγὰ ἢ δι' ἐφέσεως δυνά- 20
μεως ἢ δυνάμεως μόνης, ὑπάρχῃ δὲ πρὸς τούτῳ καὶ τοῦ εὖ καὶ τῆς τάξεως
καὶ τῆς ἀιδιότητος αἴτια, πῶς οὐχὶ καὶ τοῦ εἶναι τὴν πρωτουργὸν αἰτίαν
15 εἴη ἂν προειληφότα; ὅτι δὲ καὶ παραδείγματα ἔσται τῶν τῇδε κατὰ τὰς
αὐτοῦ ὑποθέσεις, φανερὸν ἐντεῦθεν· ἀρέσκει αὐτῷ τὰ χωριστὰ εἴδη τοῦτον 25
ἔχειν διαιωνίως τὸν λόγον πρὸς ἄλληλα, ὃν καὶ τοῦ αἰθέρος αἱ ἐμφανεῖς
σφαῖραι· οὐκοῦν ἤτοι ἀπὸ τύχης ἡ ὁμοιότης ἢ ἕν τι πρὸ τούτων ἀμφοῖν
αἴτιον τῆς μιᾶς τάξεως ἢ τὰ ἕτερα τοῖς ἑτέροις τῆς ἑαυτῶν μεταδίδωσι
20 τάξεως. ἀλλ' οὔτε εἰκαῖον οὐδὲν ἐν τοῖς ἀρχηγικοῖς αἰτίοις οὔθ' ὑπέρτερόν 30
τι παρ' αὐτῷ τῶν χωριστῶν εἰδῶν· τὸ γὰρ ἓν καὶ ἀπλήθυντον καὶ ὑπερού-
σιον ἀρνεῖται· λείπεται ἄρα θάτερα τοῖς ἑτέροις μεταδιδόναι τῆς ἑαυτῶν
τάξεως. καὶ δῆλον ὅτι τὰ χωριστὰ τοῖς αἰσθητοῖς· οὐ γὰρ δὴ ἀνάπαλιν
θέμις, οὐδ' | ἂν αὐτὸς ὅλως συγχωρήσειεν ἀπὸ τῶν τελευταίων ἐκεῖνα 900ᵃ
25 χραίνεσθαι. παραδείγματα ἄρα τῶν τῇδε τἀκεῖ καὶ ποιητικὰ αἴτια, εἴπερ
καὶ τελικὰ καὶ χορηγὰ δυνάμεως καὶ ἀιδιότητος· πῶς ἂν οὖν ἐλέγχοι τὸν
διδάσκαλον, ὃς ἐξ ὧν δίδωσιν, εἰς ταὐτὸν ἐκείνῳ δόγμα καὶ ἑκὼν καὶ ἄκων 5
καταναγκάζεται;

p. 1079ᵇ27 Ἐνδέχεται . . . ἀίδιος.

30 Ἀλλ' ἡ μὲν ἀπὸ τύχης ὁμοιότης ἐν τοῖς φθαρτοῖς μόνοις ἐπισυμβαίνουσα
σπανιωτάτη ἐστί· τὸ δὲ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως τὰ μὲν ἀίδια ἔχειν,
τὰ δὲ γενητὰ παρὰ τῆς φύσεως δημιουργεῖσθαι οὐκ ἀσκόπῳ ἔοικεν ἔργῳ
οὐδὲ ἀναιτίως τὴν ταὐτότητα καὶ τὴν ὁμοιότητα διασώζοντι· ἐπεὶ καὶ ἐνταῦθα 10
μὲν κινηθείη ἄν τις καὶ ἑαυτῷ καὶ ἄλλῳ παραπλησίως οὐ διὰ τὴν αὐτὴν
35 αἰτίαν, ἀλλ' οὕτω συμβάν, ἡ δὲ ἁπλανὴς καὶ ἕκαστον τῶν αἰθερίων ἀεὶ κατὰ
ταὐτὰ καὶ ὡσαύτως κινεῖται. οὐ χρὴ οὖν τὰ ὀλιγάκις τοῖς τελευταίοις τῶν
ὄντων ἐπισυμβαίνοντα πρὸς ἀνατροπὴν τῆς τῶν ὄντων τάξεως παραλαμβάνειν. 15

3 πεπέρασται C 5 καὶ del. Bag. 6 Plat. Phaedr. 245ᵉ 12 ἢ καί e corr. C¹ 16 Ar. met. Λ 8 (p. 1073ᵇ2) 24 ὑπὸ Us. 26 ἐλέγχῃ C 30 μόνως C: corr. Us. 32 ἀσκόπως C: corr. Bonitz 36 κινεῖσθαι C: corr. Bonitz Brandis 37 ὄντως ὄντων coni. Us., possis etiam ὅλων

p. 1079ᵇ31 Ἔσται τε πλείω . . . αὐτοάνθρωπος. 900ᵃ

Οὐχ ὅσα φαίνεται ἐν τοῖς τῇδε δημιουργήμασι, ταῦτα χρὴ διῃρημένως ἀναπέμπειν καὶ ἐπὶ τὰς πρωτουργοὺς αὐτῶν καὶ νοητὰς αἰτίας· ἀλλ' ὁ μὲν ἐνταῦθα ἄνθρωπος καὶ ζῷον ἔσται [καὶ δίπουν καὶ λογικὸν καὶ θνητὸν καὶ ἄλλα μυρία, ὁ δὲ αὐτοάνθρωπος τούτων μὲν οὐδέν, ἀμερῆ δὲ τήν τε τῶν ψυχικῶν καὶ φυσικῶν καὶ αἰσθητῶν ἀνθρώπων αἰτίαν ἐν ἑαυτῷ περιείληφε καὶ ἐξαρκεῖ τῷ τῇδε ἀνθρώπῳ δημιουργουμένῳ κατ' ἐκεῖνον πάντα χορηγεῖν, ὅσα αὐτῷ συντελεῖ πρὸς τὴν ἐνθάδε ὑπόστασιν. οὐδὲ οὖν δεῖ τὸν τῇδε ἄνθρωπον πολλῶν ἰδεῶν μετέχειν, καθό ἐστιν ἄνθρωπος· ἀλλ' εἰ μέν, ὅτι αἰσθητὸς ὢν καὶ τῆς ἐν τῇ φύσει μετέχων τοῦ ἀνθρώπου αἰτίας καὶ τῆς ἐν τῇ ψυχῇ καὶ τῆς ἐν νῷ, ταύτῃ πλειόνων ἰδεῶν λέγοιτο μεταλαγχάνειν, συγχωρεῖν χρή· καὶ οὐδὲν ἄτοπον τὰ τελευταῖα πάντων μετέχειν τῶν πρὸ αὐτῶν, εἰ καὶ τῶν μὲν φύσεως λόγων κυρίως μεταλαμβάνειν ἂν λέγοιτο κατὰ τὸν ἐλλογιμώτατον Ἀμέλιον, τῶν δὲ τῆς ψυχῆς εἰδῶν ἐμφάσεις ὑποδέχεσθαι, πρὸς αὐτὰ δὲ τὰ νοητὰ αἴτια μᾶλλον ὁμοιοῦσθαι. εἰ δὲ ὅτι καθὸ τόδε τὸ εἶδος ἔχει, πλειόνων ἐστὶν εἰδῶν ἀποτέλεσμα διὰ τὴν ἐν αὐτῷ τῶν λόγων διαίρεσιν, οὐκ ἐπιτρεπτέον τῷ τὰ αὐτὰ τοῦτον τὸν τρόπον ὑπολαμβάνοντι, ἀλλὰ τὴν μὲν διαίρεσιν καὶ τὸν κατακερματισμὸν τῶν λόγων ἐν τοῖς 900ᵇ ἀποτελέσμασιν ἀπολειπτέον, τὴν δὲ ἀμερεστάτην τῶν ὅλων περιοχὴν τοῖς ἐξῃρημένοις αἰτίοις ἀπονεμητέον.

p. 1079ᵇ33 Ἔτι οὐ μόνον . . . εἰκών.

Εἶναι μὲν ὁλικωτέρας αἰτίας καὶ ἄλλας μερικωτέρας ἐν νῷ θετέον, ἐπεὶ καὶ αὐτὸς ὁ Ἀριστοτέλης τὴν αὐτὴν ταῖς φαινομέναις σφαίραις τοῦ αἰθέρος τάξιν ὁμολογῶν ἔχειν καὶ τὰ νοερὰ τοῦ παντὸς αἴτια, δῆλός ἐστι συγχωρῶν τὰ μὲν αὐτῶν εἶναι περιληπτικώτερα τὰ δὲ μερικώτερα. οὐ μὴν διὰ τοῦτο ἢ αὐτῷ ἕπεται ἢ ἡμῖν τὸ εἰκόνας τὰ δεύτερα τῶν προτέρων λέγειν. ὅλως δὲ ἡνῶσθαι μὲν ἀλλήλοις καὶ χωρεῖν δι' ἀλλήλων καθαρῶς καὶ ἀσυγχύτως τὰ θεῖα εἴδη καὶ νοερὰ λέγοιτ' ἄν, μετέχειν δὲ καθάπερ αἱ δεύτεραι καὶ πολλοσταὶ φύσεις αὐτῶν μετέχουσιν οὐδαμῶς ἂν ἀλλήλων λέγοιντο. πάντα οὖν πρῶτα τάκεῖ καὶ ἀληθῆ καὶ τῶν μεθ' ἑαυτὰ παραδείγματα καὶ [τὸ] τῆς εἰκόνος οὐδεμίαν ἐν ἑαυτοῖς παρείσδυσιν ἐπιδέχεται.

p. 1079ᵇ35 Ἔτι . . . πραγμάτων οὖσαι χωρὶς εἶεν.

Τὰ μὲν ἔνυλα εἴδη ἀχώριστά ἐστι τῶν ὑποκειμένων· ἀλλ' οὐχ οὕτως αἱ ἰδέαι οὐσίαι ἐλέγοντο τῶν πραγμάτων, ἀλλ' ὅτι κατ' αὐτὰς καὶ δι' αὐτὰς

2 possis ὅσα ⟨μεριστὰ⟩ 5 ἀμερῆ Us.: ἐν ἀμερεῖ C 8 οὐδὲν C: corr. Us. 9 μετέχει AH 16 ἀποτελέσματα C: corr. Bonitz ἐν ἑαυτῷ C 17 τῷ πάντα τὸν αὐτὸν τρόπον Us., satis est τὰ αὐτὰ in ταῦτα mutare 19 ἀποληπτέον C: corr. Us. (ὑποληπτέον H) 26 καὶ παραδείγματα καὶ ante εἰκόνας ex Arist. add. Us. 31 τὸ del. Bag.

καὶ ὑπ' αὐτῶν τὰ τῇδε τὴν ὑπόστασιν ἔχει· ὥστε ἀνάγκη αὐτὰς εἶναι 900b
χωριστὰς τῆς γενέσεως. 21

p. 1080a2 Ἐν δὲ . . . κινῆσον.

Δεῖ μὲν ἀεὶ τὰς ὅλας ποιήσεις τῶν θείων εἰδῶν ἐνεργείᾳ εἶναι (καὶ
5 διὰ ταύτην τὴν αἰτίαν οὐδέποτε εἶδος ὅλον ἐκλείπειν τὸν κόσμον δυνήσεται·
ἀπειροδυνάμου γὰρ ὄντος τοῦ αἰτίου διὰ τὴν ἁπλότητα αὐτοῦ καὶ τὴν ἀμέρειαν
ἀνάγκη μὴ διαλείπειν τὰ ἀποτελέσματα)· τὸ δὲ μερικὸν οὐκ ἂν μετάσχοι 25
τῆς ἰδέας, εἰ μὴ ὅλην ἔχοι [ἤ] πρὸς τὴν μετάληψιν αὐτῆς ἐπιτηδείαν. ἡ
τοίνυν προπαρασκευὴ τῶν ἐν κινήσει φερομένων ὑλικῶν αἰτίων τὸν ὧν οὐκ
10 ἄνευ λόγον ἐπέχει.

p. 1080a4 Καὶ πολλὰ . . . εἴδη.

Εἴδη μὲν δημιουργικὰ τῶν μήτε ὄντων ἐν τῇ φύσει μήτε ὑπὸ τῆς
φύσεως δημιουργουμένων οὐκ ἀπελίμπανον οἱ ἄνδρες· καὶ τοῦτό γε ὀρθῶς 30
ἱστορεῖ, ὅτι τῶν τεχνητῶν εἴδη οὐκ ᾤοντο εἶναι νοερὰ καὶ θεῖα· λόγους
15 δὲ παραδειγματικωτέρους τῶν ἀποτελεσμάτων τεχνικοὺς οὐκ ἐκείνοις ἤρεσκε
μόνοις ἐνυπάρχειν ἐν τῇ ψυχῇ τῶν τεχνιτῶν, ἀλλὰ καὶ αὐτῷ Ἀριστοτέλει
πολλαχοῦ δεδογμένον ἐστίν. ὃ καὶ μάλιστα | δίκαιον ἂν εἴη λέγειν τοὺς 901a
τῶν εἰδῶν φίλους πρὸς αὐτόν· πῶς γὰρ τὰ τεχνητὰ διὰ παραδειγμάτων
ἐπιτελεῖσθαι συγχωρῶν καὶ ἐν τούτοις οὐκ ἀποδοκιμάζων τὴν παραδειγματικὴν
20 αἰτίαν τὰ τῆς φύσεως ἔργα, ἃ δὴ μιμεῖται καὶ ἡ τέχνη, ἀσκόπως ἐπιτε- 5
λεῖσθαί φησι πρὸς οὐδὲν ὡρισμένον αἴτιον ἀναφερομένης τῆς φυσικῆς ποιή-
σεως; καίτοι γε ἐνιαχοῦ λέγει καὶ αὐτὸς τὴν φύσιν τοῦ εἴδους ἐφίεσθαι,
ἀλλὰ τὸν λόγον οὐ διαρθροῖ· ποίου γὰρ εἴδους; πότερον τοῦ ἐν κινήσει
φερομένου καὶ ἐνύλου; ἀλλὰ τοῦτο οὔ πω πεποίηκε καὶ δεύτερόν ἐστι τῆς
25 φύσεως καὶ τῷ ἀνειδέῳ καὶ ἀμόρφῳ συμπλέκεται· καὶ ἄτοπον τὴν φύσιν 10
τοῦ τε μηδέπω ὄντος ἐρᾶν καὶ τοῦ μεθ' ἑαυτὴν καὶ τοῦ στερήσει συναναφερομένου καὶ διὰ τοῦτο ἀκαλλοῦς γιγνομένου καὶ ἀνεράστου. εἰ δὲ τοῦ χωριστοῦ, ἵνα καὶ τοῦ ἀληθινοῦ καὶ τοῦ πρὸ αὐτῆς καὶ θείου κατὰ τὸ ἀληθὲς εἴδους ἔχῃ τὸν ἔρωτα, πᾶσα ἀνάγκη τοῦτο νοερὸν εἶναι καὶ ἄυλον
30 καὶ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχειν, ἵνα καὶ τῆς φύσεως ὅ τε ἔρως 15
ἄσβεστος ᾖ καὶ ἀνέκλειπτος ἡ ποίησις.

p. 1080a9 Ἀλλὰ . . . πρώτας.

Ὅτι μὲν οὐδὲν τούτων πλέον εἰπεῖν ἔχει πρὸς τὴν τῶν εἰδῶν ὑπόθεσιν, δηλοῖ καὶ τὸ πρῶτον ταύτης τῆς πραγματείας βιβλίον καὶ τὰ Περὶ

1 τῇδε Bonitz: εἴδη C 8 ἤ del. Bag. (nolui σχοίη) 9 ὧν Kalbfleisch: τῶν C 16 τεχνητῶν C τῷ post αὐτῷ add. Us. 22 cf. Zeller III³ 423 24 πεποίηκε] expectes πέφηνε aut tale quid 26. 27 an συναναφυρομένου? 29 τοῦτον C

τῶν εἰδῶν αὐτῷ πεπραγματευμένα δύο βιβλία· σχεδὸν γὰρ αὐτὰ ταῦτα 901a
πανταχοῦ τὰ ἐπιχειρήματα μεταφέρων καὶ ποτὲ μὲν αὐτὰ κατακερματίζων 21
καὶ ὑποδιαιρῶν, ποτὲ δὲ συντομώτερον ἀπαγγέλλων πειρᾶται τοὺς πρε-
σβυτέρους ἑαυτοῦ φιλοσόφους εὐθύνειν. ὅτι δὲ κἂν πολλαπλασιασθῶσι τοιοῦτοι
5 ὄντες οἱ ἐπιχειρηματικοὶ τόποι, πόρρω τῆς περὶ τῶν θείων ἐπιστήμης
ὑποφέρονται περὶ ἑαυτοὺς καλινδούμενοι, οἶμαι μὴ λεληθέναι τοὺς ἀγχινου-
στέρους. ἀλλ' ἐπειδὴ μεταβαίνειν ἐπαγγέλλεται καὶ ἐπὶ τὴν τῶν ἀριθμῶν
ὑπόθεσιν, ὑπισχνούμενος ἀπελέγξαι τοὺς οὐσίαν αὐτοῖς ἀπονέμοντας νοητήν,
ἴδωμεν καὶ τὰ πρὸς τοὺς ἀριθμοὺς τἀνδρὸς ἐπιχειρήματα.

10 p. 1080a15 Ἀνάγκη . . . εἰρημένους.

Ἡ μὲν πρώτη διαίρεσις ἐλλιπῶς μὲν εἴρηται, ἀληθῶς δέ· ἀνάγκη
γάρ, εἰ ἔστιν αὐτοαριθμὸς καὶ μὴ φύσις ἄλλη ὧν ἀριθμεῖται, ἤτοι τὸν ἐχό-
μενον τοῦ προτέρου κατ' εἶδος διαφέρειν ἢ μὴ διαφέρειν. τοῦτο δὲ τὸ "ἢ
μὴ διαφέρειν" παρεῖσθαι δοκεῖ. αἱ δὲ ἑξῆς διαιρέσεις αἱ κατὰ τὰς μονάδας
15 περιτταὶ πᾶσαι καὶ παρὰ θύρας ποιούμεναι τὴν ζήτησιν· εἰ μὲν γὰρ τοὺς
χωριστοὺς ἀριθμοὺς ἐν ποσότητι μονάδων ἔχειν ὑπετίθεντο τὴν ὑπόστασιν
οἱ ἄνδρες, καλῶς εἶχε πρὸς αὐτοὺς | ἀπορεῖν, πότερον πᾶσαι αἱ μονάδες 901b
ἀσύμβλητοί εἰσι καὶ αἱ ἐν τῷ αὐτῷ ἀριθμῷ πρὸς ἀλλήλας καὶ αἱ ἐν
ἑτέρῳ πρὸς τὰς ἐν ἑτέρῳ, ἢ πᾶσαι ἀδιάφοροι ὡς αἱ ἐν τῷ μαθηματικῷ
20 ἀριθμῷ, ἢ αἱ μὲν ἀδιάφοροι αἱ ἐν τῷ αὐτῷ πρὸς ἀλλήλας, αἱ δὲ διάφοροι 5
καὶ ἀσύμβλητοι ⟨αἱ⟩ ἐν ἄλλῳ καὶ ἄλλῳ. ἐπειδὴ δὲ ἀμερεῖς καὶ ἄποσοι
παρ' αὐτοῖς οἱ ἀριθμοὶ καὶ ἐν εἴδεσι θείοις ἀφοριζόμενοι, ὅσοι γε αὐτῶν
εἰσι τοῦ κόσμου χωριστοί, παρέλκειν ἡγούμεθα πᾶσαν τὴν τοιαύτην τοῦ
λόγου πολυπραγμοσύνην. τὴν μέντοι μετὰ ταῦτα διαίρεσιν πάλιν ὡς πρα-
25 γματειώδη προσιέμεθα, καθ' ἣν ἐπιζητεῖ πότερον χωριστοὺς ὑπετίθεντο 10
τοὺς ἀριθμοὺς εἶναι ἢ ἀχωρίστους τῶν σωμάτων, ὡς πληροῦντας μέντοι
τὴν αἰσθητὴν φύσιν, ἢ τοὺς μὲν χωριστοὺς τοὺς δὲ ἀχωρίστους. ἐπεὶ οὖν
ἥ τε πρώτη καὶ ἡ τελευταία διαίρεσις γέγονεν αὐτῷ πραγματειώδης, αἱρού-
μεθα τῆς μὲν πρώτης τὸ τοὺς διαφόρους ἀριθμοὺς ἑτέρους εἶναι τῷ εἴδει, 15
30 μᾶλλον δὲ ἕτερα εἶναι εἴδη· εἴδη γὰρ καθαρὰ καὶ ἄχραντα τῶν ἀριθμῶν
οὐ χωριστά· τῆς δὲ δευτέρας τὸ εἶναι καὶ χωριστοὺς καὶ ἀχωρίστους τῶν
αἰσθητῶν ἀριθμούς. διὸ καὶ οἱ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος τοὺς
ἑκασταχοῦ γεννῶντες ἀριθμοὺς εἰκότως αὐτῷ δοκοῦσι τούτοις κεχρῆσθαι
τοῖς τρόποις· οἱ μὲν γὰρ περὶ τῶν ἀχωρίστων μόνων τὸν πολὺν ποιοῦνται 20
35 λόγον ἀπὸ τῶν ἡμῖν προσεχεστέρων περὶ τῶν ὑπερτέρων αἰτίων αἰνιττόμενοι,
οἱ δὲ περὶ τῶν χωριστῶν, ἐν οἷς παραδειγματικώτερον ἑώρων καὶ τοὺς ἐκ
τῆς φύσεως προελθοῦσας περιεχομένους, οἱ δὲ περὶ ἀμφοῖν διακρίνοντες
σαφεστέραν τὴν ἑαυτῶν καὶ τελειοτέραν ἀπέφαινον διδασκαλίαν. εἰ δὲ δεῖ 25

8 ἀπελέγξειν coni. Us. 12 aliquid turbatum; fort. καινὴ pro καὶ μὴ ponendum ('τῶν ἀριθμητῶν pro ὧν ἀριθμεῖται Us.) 13 post prius διαφέρειν παρεῖσθαι Ca: del. Cb 21 αἱ inserui 33 an ⟨πᾶσι⟩ τούτοις? 37 προσεληλυθότας C: corr. Us.

τι καὶ περὶ τῆς διαφορᾶς ἢ περὶ τῆς ἀδιαφορίας τῶν μονάδων εἰπεῖν, μονάδας μὲν τὰς κατὰ τὸ ποσὸν οὐχ ὑποβλητέον οὐδαμῇ οὐδαμῶς τοῖς οὐσιώδεσιν ἀριθμοῖς· αὐτοὺς δὲ μονάδας εἶναι λέγοντες καὶ διαφέρειν πάντας ἀλλήλων φήσομεν διὰ τὴν ἑτερότητα καὶ ἀδιαφόρους εἶναι κατὰ τὴν ταυτότητα καὶ τὸ συναμφότερον ἐπιδείκνυσθαι δι' ἄμφω ταῦτα τὰ γένη τοῦ ὄντος. δῆλον δὲ ὅτι καὶ οἱ μὲν ἐν τῇ αὐτῇ τάξει ταυτότητι μᾶλλον ἢ ἑτερότητι κατὰ τὴν πρὸς ἀλλήλους παραβολὴν κατέχονται, οἱ δὲ ἐν ἑτέραις καὶ ἑτέραις πολλῷ τῷ διαφέροντι κέχρηνται διὰ τὴν τῆς ἑτερότητος ἐπικρατειαν.

p. 1080b11 Οἱ μὲν . . . αἰσθητῶν.

Ἐνταῦθα Πλάτωνα δῆλός ἐστι τάττων, ὡς καὶ ὁ ὑπομνηματιστὴς αὐτοῦ φησιν Ἀλέξανδρος. καὶ δεχόμεθα Πλάτωνα ταῦτα λέγειν, καὶ μὴ μόνον ταῦτα· εἶναι γὰρ καὶ εἰδητικὸν ἀριθμὸν ὑπετίθετο. τάξιν ἐχόντων 902a ἐν αὐτῷ τῶν εἰδῶν, εἶναι δὲ καὶ τὸν μαθηματικὸν πρεσβύτερον μὲν ὄντα τοῦ φυσικοῦ, καταδεέστερον δὲ τοῦ εἰδητικοῦ, ὥσπερ δὴ καὶ ψυχὴ φύσεως μέν ἐστιν ὑπερτέρα, νοῦ δὲ δευτέρα.

p. 1080b14 Οἱ δὲ . . . αἰσθητῶν.

Τοὺς περὶ Ξενοκράτην φησὶν αὐτὸν Ἀλέξανδρος αἰνίττεσθαι, οἳ χωρίζουσι μὲν τὸν μαθηματικὸν τῶν αἰσθητῶν, οὐ μέντοι μόνον εἶναι νομίζουσι (πῶς γὰρ ἂν Πλατωνικοί γε ὄντες καὶ πυθαγορίζειν βουλόμενοι [τῆς] τῶν ἀμερεστέρων καὶ ἐξῃρημένων τῆς ψυχικῆς οὐσίας ἀριθμῶν τῆς θεωρίας ἀπελείφθησαν;), ἀλλὰ δῆλοί εἰσι διὰ τῶν μαθηματικῶν ὀνομάτων καὶ τὰ περὶ τοὺς πρεσβυτέρους ἀριθμοὺς πραγματευόμενοι.

p. 1080b16 Καὶ οἱ Πυθαγόρειοι . . . ἐοίκασιν.

Ὅτι μὲν καὶ τὰ αἰσθητὰ κατὰ τοὺς ἀριθμοὺς ἔλεγον δημιουργεῖσθαι παρὰ τῆς φύσεως οἱ ἄνδρες, ὁμολογητέον· οὐ μὴν κατὰ τοὺς μαθηματικοὺς ἀλλὰ κατὰ τοὺς φυσικούς. συμβολικῶς δὲ ἑρμηνεύοντας οὐδὲν ἦν ἀπίθανον καὶ διὰ μαθηματικῶν ὀνομάτων περὶ τῆς ἑκάστου τῶν αἰσθητῶν ἰδιότητος ἐνδείκνυσθαι. τὸ δὲ μόνων αὐτοῖς ἀνατιθέναι τῶν αἰσθητῶν ἀριθμῶν τὴν κατανόησιν, μὴ πρὸς τῷ καταγελάστῳ καὶ λίαν ἀσεβὲς ᾖ· τοὺς γὰρ ὑποδεξαμένους μὲν παρ' Ὀρφέως τὰς θεολογικὰς ἀρχὰς τῶν νοητῶν καὶ νοερῶν ἀριθμῶν, ἐπὶ πλεῖστον δὲ αὐτὰς προαγαγόντας καὶ τὴν ἄχρι τῶν αἰσθητῶν ἐπικράτειαν αὐτῶν ἀναφήναντας καὶ πρόχειρον ἔχοντας ἐπίφθεγμα τὸ "ἀριθμῷ δέ τε πάντ' ἐπέοικε" πῶς οὐκ ἄτοπον περὶ τὰ σώματα μόνον καὶ τοὺς

3 αὐτοὺς corruptum, an ἄὐλους? 12 Alex. 742,22. 29 16 νοῦ δὲ C^2: οὐδὲ C^1 18 Alex. 742,34 20 utrum τῆς hic an in v. 21 deleas nihil refert 21 ἀμερεστάτων Us. 31 ὀρφέως in ras. C^1 33. 34 cf. ad p. 103,21

συνόντας τοῖς σώμασιν ἀριθμοὺς διατετριφέναι λέγειν; πῶς δ' ἂν αὐτὸς μὲν 902a
Πυθαγόρας ἐν τῷ Ἱερῷ λόγῳ διαρρήδην μορφῶν καὶ ἰδεῶν κράντορα τὸν 25
ἀριθμὸν ἔλεγεν εἶναι, καὶ θεῶν ⟨καὶ⟩ δαιμόνων αἴτιον καὶ τῷ πρεσβίστῳ
καὶ κρατιστεύοντι τεχνίτᾳ θεῷ κανόνα καὶ λόγον τεχνικόν, "νοῦν τε καὶ
5 στάθμαν ἀκλινεστάταν τὸν ἀριθμὸν ὑπεῖμεν συστάσιός τε καὶ γενέσιος τῶν
πάντων·" Φιλόλαος δὲ τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν "κρατι- 30
στεύοισαν" καὶ αὐτογενῆ συνοχὴν ἀπεφαίνετο εἶναι τὸν ἀριθμόν· Ἵππασος
δὲ καὶ οἱ ἀκουσματικοὶ πάντες κριτικὸν ὄργανον κοσμουργοῦ θεοῦ καὶ παρά-
δειγμα κοσμοποιίας βούλονται εἶναι τὸν ἀριθμόν —, εἰ μὴ τὴν χωριστὴν
10 αὐτοῦ τῶν σωμάτων καὶ δημιουργικήν τε ἅμα καὶ παραδειγματικὴν ἐθεώρουν
ὑπεροχήν;

p. 1080b21 Ἄλλος . . . ἕνα εἶναι. 35

Μήποτε καὶ οὗτος ἐν τῷ εἰδητικῷ πάντας ἑώρα, τοὺς μὲν πρὸ αὐτοῦ
ὡσανεὶ προελθόντας ἐπὶ τὸ ἐμφανέστερον, τοὺς δὲ μετ' αὐτὸν ὡς κατ'
15 αἰτίαν περιεχομένους παραδειγματικήν. Ἔνιοι . . . εἶναι. [μόνον δὲ 902b
τοῦτον καὶ πάντως χωριστόν, εἶναι δὲ καὶ τὸν μαθηματικὸν τὸν αὐτὸν
τούτῳ]. ἔνιοι, φησί, τὸν μὲν συνεγνωσμένον μαθηματικὸν ἀνήρουν, ἕνα
δὲ ποιοῦντες ἀριθμὸν τὸν εἰδητικὸν τὸν αὐτὸν τοῦτον ἐκάλουν καὶ μαθη-
ματικόν. μήποτ' οὖν ἐπειδὴ διττὸς ὁ μαθηματικός, ὁ μὲν μοναδικὸς ὁ 5
20 δὲ οὐσιώδης, ᾧ τὴν λογικὴν ψυχὴν ὁ δημιουργὸς διακοσμεῖν εἴρηται, τὸν
μὲν τοῖς πολλοῖς συνεγνωσμένον ὡς ἀνούσιον οὐκ ἠξίουν εἰδητικὸν καλεῖν,
τὸν δὲ κατ' οὐσίαν ὑπάρχοντα ταῖς ψυχαῖς, ὃς καὶ τοῦτον αὐτοφυῶς ἀπο-
γεννᾷ τὸν μοναδικόν, εἰς ταὐτὸν μὲν οὐκ ἦγον τῷ τῶν ἰδεῶν, εἰδητικὸν δὲ 10
καὶ αὐτὸν οὐκ ἀπηξίουν καλεῖν, καθ' ὅσον καὶ τοὺς μέσους λόγους τῆς
25 ψυχῆς εἴδη προσαγορεύειν εἰώθαμεν.

p. 1080b23 Ὁμοίως . . . πρότερον.

Τὰ αὐτὰ λέγομεν καὶ περὶ τῶν γεωμετρικῶν ὀνομάτων· ἄλλως γὰρ
τὰ σχήματα [τὰ] ἐν νῷ, ἄλλως ἐν ψυχῇ, πανταχοῦ δὲ ἀδιαστάτως καὶ 15
ἀσχηματίστως, εἴ τῳ κατὰ τὴν τῶν πραγμάτων ἰδιότητα μετιόντι τὴν θεω-
30 ρίαν ἀλλὰ μὴ τὴν τῶν ὀνομάτων συνήθειαν σχήματα ἀσχημάτιστα καὶ
ἀμερῆ μεγέθη † πρὸς συμπάθειαν εὐπαράδεκτον εἶναι φαίνεται. ἀμέλει
τῶν θείων ἀνδρῶν ἐκείνων τινὲς ἀτόμους γραμμὰς διὰ ταύτην τὴν αἰτίαν
εἰσηγούμενοι καὶ ἄποσον δυάδα αἰτίαν ἔσχον ἀλλαχοῦ μὲν ὡς ἀδύνατα 20
λέγοντες, ἐν τούτοις δὲ ὡς περὶ μαθηματικῶν οὐ μαθηματικῶς ἀναδιδάσκοντες.

2 cf. ad p. 911b3 6 cf. Boeckh Philol. p. 137 Iambl. in Nicom. 10,22 15—17 del. Bag. 17—19 = Alex. 746,13 17 τὸν ex τὴν C¹ 20 Plat. Tim. 35b 21 συνεγνωσμένην C^a: corr. C^b 28 τὰ del. Bag. 30 μὴ ex corr. C¹ μὴ κατὰ τὴν coni. Us., at cf. ad Procl. in remp. II 134,13, Raderm. ad Demetr. p. 67 adn., infra p. 929b4 31 προὐπάρχειν coni. Us. 33 αἴτιον ἔχεν C¹; corr. C²

καὶ ἔχομεν καὶ ἐκ τῶν τοῦ κατηγόρου λόγων τὴν ὑπὲρ Ξενοκράτους ἀπο- 902ᵇ
λογίαν, ὃς τὴν αὐτογραμμὴν οὐκ ἠνείχετο τέμνεσθαι οὐδὲ τὰς κατὰ τοὺς
μέσους λόγους τῆς ψυχῆς ὁρωμένας γραμμάς· ἀφ' ἧς αἰτίας καὶ τοὺς ἀρι- 25
θμοὺς ἐν λόγοις ὁρῶν καὶ εἴδεσιν ἀδιαιρέτους ἐφύλαττε· καὶ γὰρ τοὺς μαθη-
5 ματικοὺς κατὰ τὸ εἶδος ἑώρα μᾶλλον, ἀλλ' οὐχὶ κατὰ τὴν ὑποκειμένην
τῶν μονάδων χύσιν. τὸ δὲ πάντας πλὴν τῶν Πυθαγορείων μοναδικοὺς
λέγειν τιθέναι τοὺς ἀριθμούς, μόνους δὲ τοὺς Πυθαγορείους διάστημα
ἔχοντας καὶ μέγεθος. ψεῦδός ἐστι καθ' ἑκάτερον· οὔτε γὰρ πάντας ἀριθμοὺς 30
οἱ ἄλλοι μοναδικοὺς εἶναί φασιν. ἀλλὰ μόνον τὸν μαθηματικόν. οὔτε Πυθαγό-
10 ρειοι μέγεθος ἐδίδοσαν τῷ ἀριθμῷ. ἀλλ' ἐγέννων μὲν ἐκ τῶν τελευταίων
ἀριθμῶν καὶ τὰ μεγέθη, αὐτοὺς δὲ ἀμερεῖς εἶναι ὑπετίθεντο τούς τε τῶν
σωμάτων ποιητικοὺς τούς τε τῶν φυσικῶν λόγων ἐξῃρημένους. αὐτὸς δὲ 35
ὡς κατασκευαστικὸν τοῦ παρὰ τοῖς ἄλλοις μοναδικοὺς εἶναι τοὺς ἀριθμοὺς
τὸ ἀπὸ τοῦ ἑνὸς αὐτοὺς ὑφιστάνειν παρέλαβεν, οὐ προσποιούμενος ὅτι τὸ
15 ἓν ᾖ παρ' αὐτοῖς οὐ τὸ μονάδων ἐστὶ γεννητικὸν τῶν μαθηματικῶν, ἀλλ' 903ᵃ
ἡ τοῦ ἀγαθοῦ καὶ παναρίστου τῶν ὄντων αἰτία.

p. 1080ᵇ33 Ὀσαχῶς . . . ἑτέρων.

Τὰ μὲν εὐφορητότερα μᾶλλον εἶναί φησι, τὰ δὲ ἀδυνατώτερα. ῥητέον
δὲ ὅτι εἰ μὲν πάντας ὑπετίθεντο μοναδικοὺς εἶναι τοὺς ἀριθμοὺς οἱ ἄνδρες, 5
20 τελείως ἄν σοι τὰ τῆς διαιρέσεως προῆει· νυνὶ δὲ τὰ μὲν παρέλκει, τὰ
δὲ ἐπὶ τὸ χεῖρον ὑποτέθειται, ἐν ἐνίοις ⟨δὲ⟩ θεάσαιτο ἄν τις καὶ τῆς ἀλη-
θοῦς ἐκείνων ὑπολήψεως ζώπυρον.

p. 1080ᵇ37 Πρῶτον . . . ἀλλήλας.

Πάντα ταῦτα ῥάτην σπαθᾶται· τῶν γὰρ θείων καὶ νοητῶν ἀριθμῶν
25 οὐδείς ἐστι μοναδικός. Εἰ μὲν οὖν . . . εἰδῶν. εἰ πᾶς ἀριθμὸς μονα- 10
δικός, πᾶσαι δὲ αἱ μονάδες ἀδιάφοροι, ἕπεται τὰ εἰρημένα· οὔτε γὰρ
εἰδητικὸς ἔσται ἀριθμός (οὐ γὰρ δύναται οὗτος εἶναι μοναδικός· πόσαι γὰρ
μονάδες ταύτην συνιστᾶσι τὴν ἰδέαν ἢ τήνδε, χαλεπὸν καὶ πλάσαι) οὔθ'
ὅλως ἄλλος τίς ἐστιν ἀριθμὸς πλὴν τοῦ μαθηματικοῦ. εἰ δὲ ψεύδεται ἡ 15
30 ὅλη ὑπόθεσις ἡ λέγουσα πάντα ἀριθμὸν εἶναι μοναδικόν, οὐδὲν ἂν ἐξ αὐτῆς
ἀποδεικνύοιτο. μᾶλλον δὲ τοὐναντίον ἔστιν ἐκ τῶν εἰρημένων συναγαγεῖν·
εἰ γὰρ ἀληθὲς τὸ συνημμένον κατά τε τοὺς Πυθαγορείους καὶ κατ' αὐτὸν
τὸ λέγον, ὅτι εἰ πᾶς ἀριθμὸς μοναδικός, οὐκ ἔστιν εἰδητικὸς ἀριθμός, ἐπειδὴ
ἔστιν εἰδητικὸς ἀριθμός, ὡς ἐκεῖνοι διὰ πλειόνων ὑπεμίμνησκον, οὐκ ἂν εἴη 20

1 Xenocr. fr. 46 Heinze 6 σύγχυσιν coni. Us. cl. p. 128,3; at cf. Porph. de abst. 187,7 Damasc. I 43,5 12 φυσικῶν Us.: σοφῶν C (possis ποσῶν) 14 ante τὸ prius littera erasa in C 15 γεννητικὸν C 18 cf. Alex. 747,16 εὐφορητότερα Alex. cod. M: εὐφωρατώτερα C (et Alex. cod. SA) 21 δὲ add. Us. 24 εἰκῆ λέγεται in mg. C cf. Phot. lex. s. σπαθᾶν 24 νοερῶν Us. 29 fort. del. ἔστιν 33 λέγειν C: corr. Us.

πᾶς ἀριθμὸς μοναδικός. ἀλλ' ἡ μὲν πρόσληψις καὶ παρ' Ἀριστοτέλει τὸ 903a
ἡγούμενον τιθεῖσα καὶ παρ' ἐκείνοις τὸ ἑπόμενον ἀναιροῦσα πλείονος δεῖται
συστάσεως. ἓν δὲ τοῦτο παρ' ἀμφοῖν ὁμολογεῖται, ὅτι ὁ εἰδητικὸς ἀριθμὸς
οὐκ ἔστι μοναδικός, καὶ δεῖ τούτῳ διὰ παντὸς ἐμμένειν. εἴτε γὰρ ἔστιν ὡς 25
5 ἐκεῖνοί φασιν, οὐκ ἔστι μοναδικός, εἴτε μὴ ἔστιν, ὡς οὗτος ἀξιοῖ, οὐδ'
ὅλως ἐστὶ μοναδικός. ὁ ἄρα ἢ δεικνύναι θέλων αὐτὸν μοναδικὸν ἢ εὐθύνων
ὡς ⟨μὴ⟩ μοναδικὸν τὰς κοινὰς ὁμολογίας οὐ διαφυλάττει.

p. 1081a9 Ἰδέα . . . ὁποιαοῦν.

Καὶ ταῦτα κατασκευαστικὰ τοῦ μὴ εἶναι μοναδικοὺς ἀριθμοὺς τὰς 30
10 ἰδέας, εἴπερ αἱ μονάδες ἀδιάφοροι. εἰ γάρ ἐστι, φησίν, ἐν τῇ ἐννεάδι
πρώτη καὶ μέση καὶ τελευταία τριάς, εἰ τύχοι ὁ αὐτοάνθρωπος οὐ μᾶλλον
ἡ πρώτη ἔσται τῆς ἐννεάδος ἢ ἡ μέση ἢ ἡ τρίτη. οὐ δεῖ δὲ πολλὰς ἰδέας
εἶναι τοῦ αὐτοανθρώπου· ὥστε ἢ οὐδεμία ἢ πᾶσαι· εἰ δὲ ἀδύνατον πάσας, 903b
οὐδεμία· οὐκ ἄρα μοναδικὸς ἀριθμὸς ἡ ἰδέα, εἴπερ ἀδιάφοροι αἱ μονάδες.
15 καὶ οὐδέν γε ἄτοπον φήσομεν ἕπεσθαι ταῦτα· οὔτε γὰρ ἄτοπά ἐστιν, οὔτε
εἰ ἦν ἀδύνατα, παρ' ἄλλο τι συνέβαινεν ἢ παρὰ τὴν τῶν ὑποθέσεων 5
μοχθηρίαν.

p. 1081a12 Εἰ δὲ . . . ὑστέρας.

Ὅτι μὲν εἰ μή εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, οὐδ' ὅλως εἰσίν, εὖ μοι δοκεῖ
20 λαμβάνειν· ὅτι δὲ οὐκ εἰσίν, οὔτ' ἔδειξεν οὔτ' ἂν ἐνδέχοιτο δειχθῆναι. ἀλλ'
ὅτι μὲν [οὐκ] εἰσὶν αἱ ἰδέαι μοναδικοὶ ἀριθμοί, τοῦτο πάλαι μὲν αἰτεῖται, κατα-
σκευάσαι δὲ οὐ βούλεται. ἔστιν οὖν ὁ διὰ τριῶν τοιοῦτος· εἰ μὴ μονα- 10
δικοί εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, μονάδων διαφόρων μὴ οὐσῶν, οὐδ' ὅλως εἰσὶν
ἀριθμοί· εἰ μὴ ἀριθμοί εἰσιν αἱ ἰδέαι, οὐδ' ἂν εἶεν ὅλως. κατασκευάζει
25 δὲ τὸ δεύτερον συνημμένον οὕτω· τὰ ὄντα ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου
δυάδος παρ' αὐτοῖς ὑφίσταται, πάντα τὰ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου 15
δυάδος ὑφιστάμενα ἀριθμοί, τὰ ὄντα ἄρα ἀριθμοί. καὶ ὑγιαίνουσι μὲν ἄμφω
αἱ προτάσεις καὶ τὸ συμπέρασμά ἐστιν ἀληθές· οὔτε δὲ τὸ ἓν οὔτε τὴν
δυάδα οὔτε τὸν ἀριθμὸν κατὰ βούλησιν ἐκλαμβάνει τῶν ἀνδρῶν. οἱ μὲν
30 γὰρ ὁρῶντες ἄμφω τὰς συστοιχίας περὶ ἕκαστον τῶν ὄντων τὴν μὲν ἀμείνω
παρὰ τοῦ ἑνὸς ἐφήκειν αὐτοῖς ἔλεγον, τὴν δὲ καταδεεστέραν παρὰ τῆς 20
δυάδος· ὁ δὲ συνήθως καὶ μαθηματικώτερον, μᾶλλον δέ, εἰ χρὴ τολμήσαντα
λέγειν, ἀγοραιότερον ἀκούει τῶν ὀνομάτων. πάλιν ἐκεῖνοι τὰ ἀπογεννώμενα

---

5. 6 fort. οὐδ' οὕτως 7 μὴ addidi 9 cf. Alex. 748,8 14 διάφοροι C: corr. Bag. 16 ἦν scripsi: ἢ C, εἴη AH 21 οὐκ delevi e praecedentibus illatum; cf. ad Syr. 1082b22; εἰ μὴ aut πλὴν ante μοναδικοὶ inserendum putat Us. πάλιν Us. αἰτεῖται] cf. Bonitz ind. Arist. 22a60 Philop. de aet. 393,26. 394,9 24 εἰ μὴ ἀριθμοί εἰσιν αἱ ἰδέαι in spatio a C¹ relicto suppl. C² fort. non recte; et deesse videri alterum membrum monuit Us. (velut εἰ εἰσὶν αἱ ἰδέαι, εἰσὶν ἀριθμοί); quod tamen ipse Ar. omisit 24—27 cf. Alex. 748,20

τοτὲ μὲν καὶ τριάδα ἐκάλουν διὰ τοῦ τρία τὸ ἀρχοειδὲς ἐκείνων τῶν ἀρι- 903ᵇ
θμῶν ἐνδεικνύμενοι, τοτὲ δὲ ἁπλῶς ἀριθμόν· ὁ δὲ ἐπὶ τὸν μοναδικὸν ἕλκει 25
τὴν χρῆσιν τοῦδε τοῦ ὀνόματος. † ἐπεὶ οὔτε τὸν κατηγορικὸν ἀποποιούμεθα
συλλογισμὸν πάντων μάλιστα δεικνύντα, ὅτι καὶ εἰσὶν αἱ ἰδέαι καὶ ἀριθμοί
5 εἰσι νοεροὶ καὶ ἀμερεῖς, εἴ τις τῶν ὅρων τῶν ἐν ταῖς προτάσεσιν ἀκούοι
δεόντως, οὔτε τὸν διὰ τριῶν, εἴ τις ἀναιρέσει τοῦ ἑπομένου τὴν μοχθηρὰν 30
ὑπόθεσιν διελέγχοι, ἐπειδὴ μὴ δύναται κατασκευασθῆναι τὸ ἡγούμενον. εἰ
τοίνυν εἰσὶν αἱ ἰδέαι, ὡς διὰ πλειόνων ἔδειξαν οἱ θεῖοι ἄνδρες καὶ ἡμεῖς
δὲ μετρίως ὑπεμνήσαμεν, οὐκ ἂν εἶεν αἱ ἰδέαι μοναδικοὶ ἀριθμοί, τῶν
10 μονάδων | ἀδιαφόρων οὐσῶν· οἶμαι δὲ ὅτι οὐδὲ διαφόρων ὑποτεθεισῶν, 904ᵃ
εἰ μή τις ἕτερον μοναδικοῦ σημαινόμενον ἐπινοήσειεν. — εὖ δέ πως δόξειεν
ἂν εἰρῆσθαι καὶ τὸ μὴ ἐνδέχεσθαι μήτε προτέρας μήθ' ὑστέρας αὐτὰς τῶν
ἀριθμῶν ⟨τάξαι⟩, εἴπερ μή εἰσιν αἱ ἰδέαι ἀριθμοί· ἄμφω [αἱ ἰδέαι καὶ οἱ 5
ἀριθμοὶ] γὰρ πρῶτα καὶ προσεχῶς ἐκ τῶν ἀρχῶν· ὥστε εἰ μὴ εἶεν ἄμφω.
15 θάτερον οὐκ ἂν εἴη. οὐ μὴν ἀλλὰ τῷ γε παρηκολουθηκότι τοῖς θεολογικοῖς
δόγμασι τῶν Πυθαγορείων καὶ τῷ Παρμενίδῃ τοῦ Πλάτωνος δῆλον γέγονεν,
ὅτι καὶ πρὸ τῶν ἰδεῶν εἰσιν ἀριθμοί, ὅ τε ἑνιαῖος καὶ ὁ οὐσιώδης, καὶ 10
ὅτι ἐν πάσαις τάξεσιν οὗτοι τῶν θείων ἀναφαίνονται· αἱ γὰρ ἰδέαι αἱ
δημιουργικαὶ οὔτε ἁπλῶς πρῶται τῶν πάντων (οὐ γὰρ δὴ καὶ πρὸ τῶν
20 γενῶν τοῦ ὄντος), ἀλλὰ πρὸ τῶν ἐγκοσμίων μὲν εἶναι λέγονται, οὐ μὴν τὸ
πρώτιστον εἶναι ἐν τοῖς οὖσι· καὶ [τὰς] προσεχεῖς ἀρχὰς οὐ τὴν πρώτην
ἔχουσι μονάδα καὶ τὴν πρωτίστην δυάδα, ἀφ' ὧν ὁ τριαδικὸς καὶ κρύφιος 15
ἀριθμὸς προῆλθεν, ἀλλὰ τὰς ἐν τῇ ἁπλουστάτῃ ἐννοίᾳ τοῦ δημιουργοῦ,
"ἀφ' ὧν ἰδέαι προέθρωσκον ἴχνη σώματος οὖσαι". καὶ ταῦτα μὲν ἑτέρας
25 ἥρτηται θεωρίας· τὰ δὲ νῦν πάντα ὑπὲρ ἡμῶν μὲν εἴρηται, εἰ δεικθεῖεν
οὖσαι αἱ ἰδέαι, ὑπὲρ δὲ Ἀριστοτέλους, εἰ πᾶς ἀριθμὸς εἴη μοναδικὸς ἀδια- 20
φόρων οὐσῶν τῶν μονάδων.

p. 1081ᵃ17 Εἰ δὲ . . . ἄλλως.

Ὅτι μὲν εἰ ἀσύμβλητοι ἀλλήλαις αἱ μονάδες πᾶσαι αἵ τε ἐν τῷ αὐτῷ
30 ἀριθμῷ καὶ ⟨αἱ⟩ ἐν ἑτέροις καὶ πρὸς τούτῳ πᾶς ἀριθμὸς μοναδικὸς εἴη,
οὔτε ὁ μαθηματικὸς ἔσται ἀριθμὸς οὔτε ὁ εἰδητικός, ἀκολούθως λαμβάνει·
ὅ τε γὰρ μαθηματικὸς ⟨μοναδικὸς⟩ μέν, ἀλλ' ἐξ ἀδιαφόρων μονάδων (οὕτω 25
γὰρ τὰς διαιρέσεις καὶ τὰς συνθέσεις καὶ τοὺς πολλαπλασιασμοὺς καὶ πάσας
ἐπ' αὐτοῦ τὰς σχέσεις ἐπινοοῦμεν)· ὅ τε εἰδητικὸς οὐ δύναται ἐκ μονάδων

3 ante ἐπεὶ nonnulla deesse putat Us. 11 μοναδικὸν C: corr. Bag. 13 τάξαι addidi ex Ar. (εἶναι suppl. Us.) 13. 14 glossema del. Us. 16 cf. Plat. Parm. 144ᶜ Procl. theol. Plat. 229 in Tim. 185ᵇ Damasc. II 6,27. 7,8. 71,17. 94,11. 107,4. 24 18 ὅτι A: ἔτι C 21 τὰς del. Us. 22 κρύφιος] cf. Procl. in Tim. 160ᵈ. 162ᵉ Damasc. I 41,12 24 versus sunt oraculorum Chaldaicorum, cf. de or. Chald. 23 πρόσθρωσκον sine acc. C his verbis ad lectiones de oraculis habitas relegat 29 μὲν εἰ post μὲν εἰ Cᵃ del. Cᵇ 30 αἱ add. Bag. 32 μοναδικὸς add. Us.

ἀσυμβλήτων ἑαυταῖς συνεστάναι, κατὰ μὲν τὰληθές, ὅτι μηδ' ὅλως μονα- 904a
δικός ἐστι, κατ' αὐτὸν δέ, ὅτι δεῖ μὲν ἐκ τῶν ἀρχῶν ἅμα γεννᾶσθαι τὰς 30
δύο μονάδας τῆς δυάδος καὶ τὰς γ τῆς τριάδος, τὰ δὲ ἐκ τῶν ἀρχῶν ἅμα
γεννώμενα, φασίν, ἀδιάφορά ἐστιν. ἐφ' οἷς μέμνηται καὶ ῥημάτων τοῦ
5 Πλάτωνος, δεικνὺς ὅτι καὶ κατ' ἐκεῖνον ἕκαστος τῶν ἀριθμῶν ἅμα πᾶς
γεννᾶται ὑπὸ τῶν ἀρχῶν ἐξ ἀνίσων ἰσασθείς. ὁ μὲν οὖν Πλάτων ἠνίττετο
διὰ τούτων, ὅτι ἕτερα μέν ἐστιν ἀλλήλων καὶ ἄνισα τὰ θεῖα διὰ τὴν δυάδα 35
καὶ τὴν ἐκ τῆς δυάδος πρόοδον, τὰ αὐτὰ δὲ καὶ ἴσα διὰ τὴν μονάδα καὶ |
τὴν ἐκ τῆς μονάδος ἐπιστροφήν, εἴτε καὶ μονὴν πρὸ τῆς προόδου καὶ 904b
10 τῆς ἐπιστροφῆς φίλον τῷ προσαγορεύειν. οὗτος δὲ ὡς πάλαι μὲν ἀνίσων
ὄντων τῶν ἀριθμῶν ἢ τῶν μονάδων τῶν ἐν τοῖς ἀριθμοῖς, νυνὶ δὲ ἰσα-
σθέντων ἢ ἰσασθεισῶν μνήμην πεποίηται. χρὴ δὲ τὸ μὲν μοναδικὸν ἐκεῖθεν 5
ἐξορίζειν, τὸ δὲ ἄνισον καὶ ἴσον καὶ ταὐτὸν καὶ ἕτερον καὶ μένον καὶ προϊὸν
ἅμα καὶ ἐν ἑνὶ παρ' αὐτοῖς θεωρεῖν. καὶ ταῦτα μὲν ἕπεται ταῖς ὑποθέσεσι·
15 πόθεν δὲ ὅτι πάντες οἱ ἀριθμοὶ μοναδικοί; τοῦτο γὰρ ἀεὶ μὲν διατελεῖ
λαμβάνων, ἀποδεικνύει δὲ οὐδαμῶς.

p. 1081a25 Ἔπειτα . . . ὕστερον.

Καὶ τοῦτο πρὸς ἀπόδειξιν τοῦ μὴ εἶναι ἀσυμβλήτους τὰς ἐν τῷ 10
εἰδητικῷ ἀριθμῷ μονάδας· εἰ γάρ εἰσιν ἀσύμβλητοι αἱ ἐν τῇ δυάδι δύο
20 μονάδες, ἡ μέν ἐστιν αὐτῶν προτέρα ἡ δὲ δευτέρα· οὐ γὰρ δὴ ἅμα διά-
φοροι οὖσαι ἀπὸ τῶν ἀρχῶν προΐασιν. ἀλλ' εἰ τοῦτο, καὶ ἡ αὐτοδυὰς
προτέρα μὲν ἔσται τῆς νεωτέρας, νεωτέρα δὲ τῆς προτέρας. μῖξις γάρ ἐστι 15
τῶν δύο μονάδων· ὥσπερ γὰρ τὸ οἰνόμελι τοῦ μὲν οἴνου γλυκύτερον τοῦ
δὲ μέλιτος ἀγλευκέστερον, οὕτω καὶ ἡ δυὰς ὑστέρα μὲν τοῦ προτέρου
25 μέρους ἑαυτῆς, πρεσβυτέρα δὲ τοῦ δευτέρου. ὅτι δέ παίζοντός ἐστι μᾶλλον
καὶ ἀπάγοντος ταῦτα ἢ σπουδάζοντος καὶ πραγματειώδη ποιουμένου τὴν
ἐξήγησιν τοῦ δόγματος, οἶμαι συνορᾶν τοὺς ἀγχινουστέρους.

p. 1081a29 Ἔτι . . . τούτους.

Τὸ μὲν λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι μετὰ τὸ ἓν τὸ ἀρχηγικὸν καὶ
30 γεννητικὸν τῶν ὅλων ἐὰν τὴν προτέραν μονάδα τῆς δυάδος ἐπινοήσωμεν,
ἔσται δυὰς ἔκ τε τοῦ ἑνὸς ⟨τοῦ⟩ ἀρχηγικοῦ καὶ τῆς μονάδος ταύτης, πρὶν
γένηται δυάς. καὶ πάλιν ἐὰν τὰς δύο μονάδας τῆς δυάδος τῷ πρώτῳ ἑνὶ 25
συντάξωμεν, ἔσται τριὰς πρὶν ὁποστῇ τὰ τρία· καὶ ἀεὶ ἡ ποσότης τῶν
μονάδων προλήψεται τοὺς οἰκείους ἀριθμούς. ταῦτα δὲ ὅτι παίζοντός ἐστι

1 συμβλητῶν C: corr. Us. 3 legisse igitur vid. apud Arist. αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ καὶ τῇ τριάδι 4 cf. Alex. 750,19 φασίν ex Alex. 750,5 Us.: φησὶν C 5 καὶ post ὅτι del. Us. 8 δυάδος Bonitz: μονάδος C 9 expectas εἰς τὴν μονάδα ἐπιστροφὴν e corr. C¹ 19—25 = Alex. 750,27 sqq. 22 νεωτέρας μονάδος Alex. 26 καὶ prius e corr. C¹ παράγοντος coni. Us., fort. ἀπαπῶντος 31 τοῦ add. Us.

μᾶλλον ἢ σπουδαιολογουμένου. πολλάκις ἐνεδειξάμεθα· πράγμασι γὰρ ἀμε- 904b
ρίστοις καὶ ἀπόσοις καὶ κατὰ πάντα ἀδιαιρέτοις τοιοῦτον μερισμὸν καὶ
ὁλικὴν ἐπιφέρειν διαίρεσιν σύγχυσίν τε αὐτῶν καὶ μετάθεσιν ἐργάζεσθαι 30
καὶ ἐκ τῶν πρώτων καὶ τῶν δευτέρων καὶ πάντων τῶν ἐφεξῆς ἕν τι
κατ' ἐπισύνθεσιν ὑφιστάνειν καὶ ἀπογεννᾶν παντάπασιν ἔστιν ἀνδρὸς μὴ
προσποιουμένου τὴν τῶν ὄντως ὄντων ἀληθῆ θεωρίαν. διὸ καὶ αὐτὸς 35
ἐπισημαίνεται, [καὶ] ὅτι παρὰ τὰ δοκοῦντα ἐκείνοις φθέγγεται δι' ὧν [ταῦτα]
ἐπιφέρει·

p. 1081 a 35 Οὐδεὶς . . . ἐφεξῆς.

Ὁμολογεῖ καὶ αὐτὸς μηδένα τὰς ἀσυμβλήτους ταύτας | μονάδας 905a
παραδεδωκέναι· καὶ γὰρ κατὰ μὲν τὰς ἐκείνων ἀρχὰς ὑπάρχειν, φησίν,
εὔλογον, κατ' ἀλήθειαν δὲ ἀδύνατον. ὅτι δὲ ταῖς ἐκείνων ὑποθέσεσιν ἀκολού-
θως λαμβάνονται, πειρᾶται κατασκευάζειν τοῦτον τὸν τρόπον· εἰ ἔστιν ἓν
πρῶτον κατ' αὐτοὺς καὶ πρώτη μονὰς καὶ δυὰς πρώτη, πᾶσα ἀνάγκη καὶ 5
δεύτερον ἓν εἶναι καὶ μονάδα δευτέραν καὶ δυάδα δευτέραν· ὅπου γὰρ τὰ
πρῶτα, ἐκεῖ καὶ τὰ δεύτερα, καὶ ὅπου ταῦτα, ἐκεῖ καὶ τὰ τρίτα, καὶ οὕτως
ἐφεξῆς. ἀλλὰ μὴν εἰ ταῦτα οὕτως ἔχει, ἀνάγκη καὶ τὰς μονάδας διαφόρους
ἀλλήλαις εἶναι καὶ ἀσυμβλήτους· ἄλλη γὰρ ἡ τρίτη παρὰ τὴν δευτέραν 10
καὶ ἡ τετάρτη παρὰ τὴν τρίτην. καὶ δῆλος ὁ τόπος τῆς παιδιᾶς· εἰ μὲν
γὰρ μονάδας ἐκάλει τῶν νοητῶν οὐσιῶν ἑκάστας ἢ ἀριθμοὺς οἰκείους αὐταῖς,
οὐδὲν ἦν ἄτοπον τάξεως οὔσης ἐν τοῖς θείοις πράγμασι τὰ μὲν εἶναι πρῶτα,
τὰ δὲ τούτοις ἐφεξῆς ὑφεστάναι λέγειν. ἐπειδὴ δὲ μαθηματικὰς τῷ ὑποκει-
μένῳ μονάδας ἐπισκεπτόμενος πάλιν αὐτῶν τὸ ἴδιον ἀναιρεῖ, ἀσυμβλήτους 15
ὑποτιθέμενος εἶναι, καὶ περὶ τὰ θεῖα διὰ τῶν ὑποθέσεων τούτων ἀθύρει,
πῶς οὐκ ἄν τις παιδιὰν μᾶλλον ἢ σπουδὴν ὑπονοήσειεν εἶναι τὸ γιγνόμενον;

p. 1081 b 6 Ἅμα . . . ἀδύνατον.

Τοῦτο διὰ μέσου προσέρριψε ὡς καὶ περὶ τὰς ἀρχὰς ἀνακολούθως
αὐτῶν διαγιγνομένων· οὐ γὰρ οἴεται δυνατὸν εἶναι καὶ μονάδα καὶ δυάδα 20
τὴν πρώτην ἔχειν τάξιν μετὰ τὸ ἕν· εἰ γὰρ ἡ μονὰς πρώτη ἐστί, κατὰ
τὸν αὐτὸν λόγον καὶ ἡ δυάς. εἴρηται δὲ ἐν τοῖς προάγουσιν, ὅπως ἑκατέραν
τῶν ἀρχῶν πρώτην ἔλεγον οἱ ἄνδρες, ὡς ἐξηγουμένην καὶ ἄρχουσαν τῆς
ἑαυτῇ προσφόρου συστοιχίας.

p. 1081 b 8 Οἱ δὲ . . . οὐκέτι.

Τοῦτό ἐστιν ὃ ἔλεγεν ἕπεσθαι μὲν αὐτοῖς ἐξ ἀνάγκης, οὐ μέντοι 25
λέγεσθαι ὑπ' αὐτῶν. καὶ ὅτι μὲν οὐ λέγεται, καὶ παρ' αὐτοῦ ληπτέον·

3 ἐπιφέρει C: corr. A 7 καὶ del. Bag. ταῦτα del. Us. 11 καίτοι pro καὶ γὰρ postulat Us. cf. Alex. 752,5 sqq. 25 τὸ λεγόμενον coni. Us. 27 cf. Alex. 752,17 27 παρέρριπται Alex. ὡς καὶ τῶν περὶ τὰς ἀρχὰς ἀνακολούθως ἑαυτοῖς (scr. αὐτοῖς?) γινομένων Alex.

ὅτι δὲ οὐδὲ ἕπεται, συνίδοι τις ἂν ἐπιστήσας. ὅπου γὰρ τῷ πρώτῳ τὸ 905ᵃ
δεύτερον καὶ τῷ δευτέρῳ τὸ τρίτον καὶ τούτῳ τὰ ἐφεξῆς ἀκολουθεῖ, συν-
τέτακται πάντα ἀλλήλοις καὶ ὁμοφυῆ ἐστι, καὶ ἡ τάξις ὡς ἐν ὁμοουσίοις 30
τὰ πρεσβεῖα παρέχει τοῖς πρώτοις. ταῖς δὲ ἀρχαῖς τῶν ὅλων οὐδὲν ἐσάξιον·
5 ἄλλο γὰρ ἀρχὴ καὶ ἄλλο τὸ ἐκ τῆς ἀρχῆς· ὥστε ὀρθῶς πρῶτον ἓν καὶ
πρώτην μονάδα καὶ πρώτην δυάδα ἐν ταῖς ἀρχαῖς ὑποθέμενοι, τῇ τε μιᾷ
καὶ ταῖς δύο, δεύτερα καὶ τρίτα τοιαῦτα οὐκέτι παραλαμβάνειν ἠξίουν. ἀλλ' 35
εἴ ποτε καὶ τοιοῦτό τι λέγοιεν, τὰ τούτοις ἀνάλογον μὲν προ|ελήλυθότα, 905ᵇ
τῶν δὲ μέσων καὶ τῶν τελευταίων οὐσιῶν προσεχῶς αἴτια παραδιδόντες
10 φαίνονται, ἅπερ οὐκ ἐπ' ἄπειρον προσαγορεύειν ⟨ἠξίουν⟩, ἀλλ' ἐφ' ὅσον ἡ
κατὰ τὴν πρόοδον ὕφεσις τῶν πραγμάτων τὴν ἐξαλλαγὴν τῶν ὄντων ποιῆσαι
δεδύνηται, ὡς τελευταίας ἀρχὰς εἶναι τὰς ἐν τῇ φύσει τῶν αἰσθητῶν καὶ 5
τῆς ὕλης ὑποστατικάς, εἴδωλα οὔσας τῶν πρωτίστων ἀρχῶν τὰ ἔσχατα.

p. 1081ᵇ10 Φανερὸν . . . ἐχομένων.

15 Οὐ δύναται, φησίν, εἶναι ὁ εἰδητικὸς ἀριθμός, τουτέστιν ἡ αὐτοδυὰς
καὶ ἡ αὐτοτριάς, ἀσυμβλήτων ὑποτεθεισῶν τῶν μονάδων· ᾧ ἕπεται ⟨τὸ⟩
μὴ εἶναι τὸν ἀριθμὸν τὸν εἰδητικόν. ⟨ἀλλὰ⟩ τοῦτο μὲν ἀφῆκεν· ἐπήνεγκε 10
δὲ ὅτι κἄν τε συμβληταὶ ὦσι κἄν τε ἀσύμβλητοι αἱ μονάδες, δεῖ μὴ εἶναι
τὴν αὐτοτριάδα τῷ πάντα μὲν ἀριθμὸν κατὰ πρόσθεσιν ἀριθμεῖσθαι καὶ
20 ἀποτελεῖσθαι (οἷον τὴν δυάδα προσλαβοῦσαν μονάδα τριάδα γίγνεσθαι, καὶ
διὰ τοῦτο πολλὰς εἶναι δυάδας ἔν τε τῇ ἑξάδι καὶ ὀκτάδι καὶ δωδεκάδι, 15
μόριόν τε εἶναι δυάδα τριάδος μὲν τὸ ἥμιστον, τετράδος δὲ τὸ ἥμισυ), τοῦ
δὲ εἰδητικοῦ ἀριθμοῦ μηδὲν εἶναι [τι] τοιοῦτον· (γεννᾶται γὰρ παρ' αὐτοῖς
ἐκ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος, καὶ ἕκαστος αὐτῶν εἷς ἐστι
25 καὶ εἷς οὐδεὶς ἄλλου μόριον)· τὰ μὲν ὑπάρχοντα τῷ εἰδητικῷ λέγων ὀρθῶς,
οὐκ ὀρθῶς δὲ προειληφώς, ὅτι πᾶς ἀριθμὸς μετρεῖται κατὰ πρόσθεσιν καὶ 20
ἀποτελεῖται· τὰ γὰρ τοῦ μοναδικοῦ ἀριθμοῦ ἴδια μεταφέρειν οὐκ ἐχρῆν ἐπὶ
πάντας ἀριθμούς. οὐδὲν οὖν ἄλλο ἐστὶ καὶ ἐν τούτοις τὸ συναγόμενον ἢ
ὅτι μοναδικὸν εἶναι ἀριθμὸν τὴν αὐτοδυάδα τῶν ἀδυνάτων ἐστίν, ὃ πρὸ
30 παντὸς λόγου παρὰ πᾶσιν ὡς εἰπεῖν συγκεχώρηται. 25

p. 1081ᵇ21 Ἀλλ' ἐκ . . . τετρᾶς.

Τοῦτο ὡς ἐνιστάμενος πρὸς ἑαυτὸν λέγει. ἀλλ' ἐκεῖνοι, φησίν, ἐκ
τῆς αὐτοδυάδος (ταύτην γὰρ πρώτην καλεῖ δυάδα) καὶ τῆς ἀρχικῆς δυάδος,
ἣν ἀόριστον καλεῖ δυάδα, ἀπετέλουν τὴν τετράδα, οὐ συντιθέντες αὐτὰς
35 οὐδὲ κατὰ πρόσθεσιν αὔξοντες, ἀλλὰ τῆς ἀορίστου δυάδος διπλασιασάσης 30
τὴν αὐτοδυάδα καὶ οὕτως ἀποτελούσης τὴν τετράδα· ὥστε οὐκ ἂν τὸν ἐκεῖ

---

10 ἠξίουν addidi 11. 12 ὀνομάτων π. δεδύνηται Us. 15—25 = Alex. 752,33 sqq. 16 τὸ ex Alex. add. Us. 17 ἀλλὰ ex Alex. add. Bonitz 20 γίνεσθαι Alex. cod. L, γενέσθαι AM 22 τὴν δυάδα Alex. 23 τι om. Alex. 25 εἷς om. Alex., at cf. Plat. leg. V 747ᵇ Thuc. II 51 etc. 26 προειληφὼς Us. 32—36 = Alex. 753,9 sqq. 34 τετράδα: τριάδα C

ἀριθμὸν κατὰ πρόσθεσιν ἀποτελοῖεν. ταῦτα δὲ ἑαυτῷ ὥσπερ ἀντιτιθεὶς 905b
ὁμολογεῖ μέν τι τῶν ἀληθῶν, ὅτι οὐ κατὰ πρόσθεσιν ἐποίουν τὸν ἐκεῖ ἀρι-
θμόν, καὶ ὅτι δυοποιός ἐστι καὶ γεννητικὴ πλήθους καὶ πολλαπλασιασμῶν
αἰτία τῶν ἀρχῶν ἡ ἑτέρα ἡ πάντα εἰς ἑαυτὰ ἐπιστρέφουσα τὰ θεῖα καὶ 35
5 εἰς | ἀπογέννησιν δευτέρων καὶ τρίτων εἰδῶν διεγείρουσα. λύει δὲ τὴν 906a
ἔνστασιν ὡς μὲν οἴεται γοργῶς, παντὶ δὲ δῆλον ὅτι παραλογιστικῶς·

p. 1081b22 Δύο δυάδες . . . ὡρισμένην.

Εἰ καὶ μὴ κατὰ πρόσθεσιν, φησίν, αἱροῦνται τὸν ἀριθμὸν ἀποτελεῖν,
ἀλλ' οὖν ἐν τῇ τετράδι δύο δυάδας ὁμολογήσουσιν εἶναι παρὰ τὴν αὐτο- 5
10 δυάδα· εἰ δὲ τοῦτο φεύγοιεν, πάλιν ὁμολογήσουσι μόριον εἶναι τὴν αὐτο-
δυάδα τῆς αὐτοτετράδος, καὶ κατὰ πρόσθεσιν ἔσται ὁ ἀριθμὸς ἑτέρας δυάδος
τῇ αὐτοδυάδι προστεθείσης καὶ οὕτως ἀποτελεσάσης τὴν τετράδα· εἰ δὲ ⟨ἡ⟩
τετρὰς ἔσται ἐκ τῆς αὐτοδυάδος καὶ ἄλλης δυάδος, κατὰ τὴν αὐτὴν ἀνα- 10
λογίαν καὶ ἡ δυὰς ὑποστήσεται ἐκ τοῦ ἀρχηγικοῦ ἑνὸς καὶ ἄλλου ἑνός. εἰ
15 δὲ τοῦτο, οὐχ οἷόντε τὴν ἑτέραν ἀρχὴν ἀόριστον εἶναι δυάδα· τὸ γὰρ γεννώ-
μενον ὑπὸ τῆς ἀορίστου δυάδος δυὰς ὤφειλεν εἶναι· νῦν δὲ οὐ δυὰς γεννᾶται
ἀλλὰ μονάς, ἥτις σὺν τῷ ἑνὶ τὴν ὡρισμένην ἀποτελεῖ δυάδα. ἐὰν οὖν, 15
φησί, μὴ δέξωνται ἐν τῇ αὐτοτετράδι δύο εἶναι δυάδας παρὰ τὴν αὐτο-
δυάδα, ἕπεται αὐτοῖς ταῦτα πάντα, κατὰ πρόσθεσίν τε εἶναι τὸν ἀριθμὸν
20 καὶ ἀνῃρῆσθαι τὴν ἑτέραν τῶν ἀρχῶν. ταῦτα δὲ ὅτι προλαμβάνων ἀεὶ
μοναδικὸν εἶναι τὸν τῶν εἰδῶν ἀριθμὸν οὕτω συνάγει τὰ ἄτοπα, πολλάκις
ὑπεμνήσαμεν.

p. 1081b27 Ἔτι . . . ἀδύνατον. 20

Ἔταττον μὲν οἱ ἄνδρες μετὰ τὸν νοερὸν ἀριθμὸν καὶ τὸν ψυχικὸν καὶ
25 τὸν μαθηματικὸν καὶ τὸν φυσικὸν ἀριθμόν, οὐ μὴν μοναδικοὺς αὐτοὺς
ἔλεγον οὐδὲ προτέρας καὶ ὑστέρας μονάδας ἐκάλουν ὡς ὑποβεβλημένας αὐτῶν
τῇ ποσότητι. ἄποσοι γὰρ ἦσαν παρ' αὐτοῖς ἅπαντες πλὴν τοῦ μαθηματικοῦ·
τριάδας δὲ καὶ πεμπάδας καὶ δεκάδας ἐν αὐτοῖς ἐθεώρουν κατὰ τὰς δυνά- 25
μεις αὐτῶν καὶ τὰς οἰκειώσεις τὰς πρὸς τοὺς θείους ἀριθμούς. πεμπάδα
30 γὰρ λέγοντες εἰ τύχοι τὴν ἐν ἡμῖν δικαιοσύνην οὐκ ἐκ πέντε μονάδων
αὐτὴν ἔλεγον συγκεῖσθαι δευτέρων μὲν τῶν ἐν νῷ, πρεσβυτέρων δὲ τῶν
ἐν τῇ φύσει, ἀλλὰ κατ' ἄλλας ἐπιβολὰς τὸ μὲν τῆς πεμπάδος εἶδος συνέταττον 30
τῷ τῆς δικαιοσύνης εἴδει, τὸ δὲ τῆς ἑπτάδος τῷ τοῦ καιροῦ, τὸ δὲ τῆς
ἑξάδος αὐτό τε καὶ τὸν ἀπ' αὐτοῦ κόβον τῷ τῆς ψυχῆς· ὃ κατὰ βούλησιν

---

3 γενητικὴ Ca: corr. Cb 6 sine dubio scribendum ὡς Ἀλέξανδρος μέν, cf. Alex. p. 753,17 Us. 8—20 cf. Alex. 753,21 sqq. 9 αὐτοτετράδι Alex. (idem v. 12. 13 et αὐτοδυὰς v. 14) 9. 10 αὐτοφυάδα C 12 ἡ Alex. cod. L: om. C Alex. A 13 ἐστιν Alex. 14 ἀρχικοῦ Alex. 20 προσλαμβάνων Us. 21 συνάγειν C: corr. Bonitz Brandis 28 πεμπάδας Cb: πεντάδας Ca 29 πεμπάδα Cb: πεντάδα Ca 31 δευτέρων et πρεσβυτέρων locos mutare velim 32 cf. ad p. 104,26 Procl. in remp. II 68,28 theol. arithm. 34,29 34 ἀ Bag.

τὴν ἐκείνων θεωρῆσαι τῷ νῷ τις δυνηθεὶς οὔτε πλασματώδη οὔτε ἀδύνατα. 906ᵃ
πάντων δὲ τῶν ὅπως ποτὲ ὄντων ὑπολήψεται πρὸς τὸ εἶναι δυνατώτατα· 35
διὸ καὶ αὐτός φησιν, ὅτι | ἀνάγκη μὲν εἶναι προτέρας καὶ δευτέρας τριάδας 906ᵇ
καὶ δυάδας, εἴπερ ἐκ τοιούτων ἀρχῶν ἐπιτελοῦνται· ἀδυνάτου δὲ ὄντος τοῦ
5 ἑπομένου ἀναιρεῖσθαι βούλεται καὶ τὰς ἀρχάς. ἡμεῖς δὲ τὸ μὲν συνεισιέναι
ταῖς ἀρχαῖς ταύταις πολλὰς ἀριθμῶν τάξεις προσιέμεθα, τὸ δὲ ἀδύνατον 5
τῆς τῶν διαφόρων ἀριθμῶν ὑπάρξεως οὔτε εἴδομεν συναγόμενον οὔτε ἐγχωρεῖ
ποτε θεάσασθαι. τό τε γὰρ ἀληθὲς ἀνέλεγκτον καὶ τὸ ψεῦδος ἀναπόδεικτον.

p. 1081ᵇ35 Εἰ δ' αἱ . . . δυοποιός.

10 Δείξας ὅτι εἰ πᾶσαι ἀδιάφοροι αἱ μονάδες, οὐκ ἔσται ὁ εἰδητικὸς ἀρι-
θμός, ὑποκειμένου τοῦ πάντα ἀριθμὸν εἶναι μοναδικόν, καὶ εἰ πᾶσαι διά- 10
φοροι, ὅτι οὔτε ὁ μαθηματικὸς ἔσται οὔτε ὁ εἰδητικός, εἴπερ πᾶς ἀριθμὸς
μοναδικός, νῦν ἐπὶ τὸ λειπόμενον ἔρχεται τῆς διαιρέσεως καὶ δείκνυσιν, ὅτι
κἂν αἱ μὲν ἀδιάφοροι τῶν μονάδων ὑποτεθῶσιν ὅσαι τοῦ αὐτοῦ εἰσιν ἀρι-
15 θμοῦ, αἱ δὲ διάφοροι, ὅσαι ἑτέρους καὶ ἑτέρους συμπληροῦσιν, οὐδ' ὡς ἔσται
ὁ εἰδητικὸς ἀριθμός, ὑποκειμένου πάλιν τοῦ πάντα ἀριθμὸν εἶναι μοναδικόν. 15
ταύτης γὰρ τῆς ὑποθέσεως ψευδοῦς οὔσης καὶ καταγελάστου παρὰ τοῖς
τἀκείνων ἐπεσκεμμένοις ἀποστῆναι οὐ βούλεται, δι' ἧς οὐ χαλεπῶς πολλὰ
καὶ ἄτοπα συνάγειν δύναται συμπεράσματα, ὅμοιον ὡς εἰ καὶ τὸν αὐτοάνθρω-
20 πον καὶ τὸ αὐτοζῷον τὸ μὲν ἐκ ψυχῆς ᾤετο εἶναι καὶ σώματος, τὸν δὲ 20
ἐκ τοίας ψυχῆς καὶ τοίου σώματος μετὰ τοῦ καὶ γελαστικὸν εἶναι· ὧν ποῖα
ἂν εὑρεθείη πρὸς γέλωτα μᾶλλον εὐδοκιμώτερα; τὰ μὲν οὖν πολλὰ τῶν
ἀναγραφέντων, δι' ὧν πολλὰς μὲν ποιεῖ πεντάδας πολλὰς δὲ δεκάδας,
ἀφείσθω· πάντως γὰρ ἐξ ὧν ἤδη προείπομέν ἐστι πρόδηλα· τὸ δὲ πρὸς 25
25 τῷ τέλει ῥηθέν, ὅτι "ἡ ἀόριστος δυὰς λαβοῦσα τὴν ὡρισμένην δυάδα δύο
δυάδας ἐποίησε, τοῦ γὰρ ληφθέντος δυοποιὸς ἦν", εἴληπται μὲν ἐκ τῶν
εἰωθότων παρ' αὐτοῖς λέγεσθαι, χραίνεται δὲ μεταξὺ σοφίσματι ὡς ἡ ἀπο-
κείμενον νοεῖ δὲ παρὰ τοῖς πρεσβυτέροις αὐτοῦ φιλοσόφοις τὸ τὴν δυάδα
τὴν ἀόριστον κινητικὴν οὖσαν ἀρχὴν πάντα τὰ εἴδη γονίμου πληροῦν δυνά- 30
30 μεως καὶ πληθύειν καὶ προάγειν εἰς ἀπογέννησιν τῶν δευτέρων καὶ τρίτων
αὐλῶν εἰδῶν· δυοποιὸς δὲ εἴρηται, παρ' ὅσον ἐν τῇ προόδῳ τὸ μὲν πλῆθος
ἐπιδίδωσιν ὥσπερ διπλασιαζόμενον, ἡ δὲ δύναμις ὑφίησιν, ἅμα δὲ ὅτι καὶ
ἡ τοῦ μαθηματικοῦ ἀριθμοῦ ἀρχὴ πάντας τοὺς περιττοὺς καὶ τοὺς ἀρτίους 35
διπλασιάζουσα τὸν | ἄρτιον ὑφίστησι· καὶ γὰρ εἰ πάντων ἀριθμῶν ἥ τε 907ᵃ
35 μονὰς καὶ ἡ δυὰς ἀρχαί, ἀλλ' ἴσμεν ὅπως ἀρρενωπὸς μὲν ἡ μονὰς καὶ
διὰ τοῦτο περιττοποιὸς ἄλλου, θηλυπρεπὴς δὲ ἡ δυὰς καὶ διὰ τοῦτο τοῦ
ἀρτίου προστάτις καὶ ἡγεμών. ἔξεστιν οὖν κατ' ἀναλογίαν καὶ ἐπὶ τῶν 5
πρεσβυτέρων αὐτὰ θεωρεῖν ἀριθμῶν, τὰς μὲν μονάδας καὶ τὴν ποσότητα

8 cf. p. 81,3 10 cf. Alex. 754,24 20 τὸ δὲ C: corr. Us. 21 de γελαστικόν cf. Arist. de part. an. III 10 27. 28 ὡς ὑποκείμενον * *· νοεῖται Us. infinitivum deesse ratus 36 dele ἄλλου

παραιτουμένους, τὰ δὲ εἴδη καὶ τὰς δυνάμεις ἐπισκεπτομένους τῶν χωρι- 907a
στῶν ἀριθμῶν.

p. 1082a15 Ἔτι . . . αὐτῶν.

Ταῦτα πρὸς μὲν τοὺς θείους ἀριθμοὺς οὐδ' ἠπόρηται τὸ παράπαν· οὐ γάρ εἰσιν οὗτοι μοναδικοί, ἵνα ζητῶμεν ἐπ' αὐτῶν τί ἐστιν ἕκαστος παρὰ τὰς ὑποβεβλημένας αὐτῷ μονάδας· πρὸς δὲ τὸν μαθηματικὸν λέγοιτ' ἂν οἰκειότερον. ἐροῦμεν οὖν καὶ ὑπὲρ τοῦ μαθηματικοῦ πρὸς αὐτόν, ὅτι ἐπειδὴ ἐν παντὶ καὶ κατὰ σὲ τὸ μὲν ὅλῃ ἔοικε τὸ δὲ εἴδει, καὶ ἐν τῇ πεντάδι αἱ μὲν πέντε μονάδες καὶ ὅλως ἡ ποσότης καὶ τὸ ὑποκείμενον τοῖς ἀριθμοῖς ἀπὸ τῆς δυάδος, τὸ δ' εἶδος οἷον ἡ πεντὰς ἀπὸ τῆς μονάδος· πᾶν γὰρ εἶδος αὐτό τε μονάς ἐστι καὶ τὴν ὑποκειμένην ὁρίζει ποσότητα, οἷον ἡ πεντὰς αὐτή τε μονάς τίς ἐστι, διὸ πρόεισιν ἀπὸ τῆς ἀρχηγικῆς μονάδος, καὶ τὴν ὑποβεβλημένην ἑαυτῇ ποσότητα καὶ μορφοῖ τέως ἀνείδεον οὖσαν καὶ τῷ ἑαυτῆς εἴδει συνδεῖ. νοῆσαι γὰρ χρὴ δύο πάλιν ἀρχὰς τῶν μαθηματικῶν ἀριθμῶν ἐν ταῖς ψυχαῖς ἡμῶν οὔσας, παρ' αἷς καὶ τίκτεται πᾶς ὁ μαθηματικὸς ἀριθμός, τὴν μὲν μονάδα πάντα τὰ εἴδη τῶν ἀριθμῶν ἐν ἑαυτῇ περιέχουσαν καὶ ἀναλογοῦσαν τῇ ἐν τοῖς νοητοῖς μονάδι, τὴν δὲ δυάδα γεννητικήν τινα δύναμιν καὶ ἀνείδεον καὶ ἀπειροδύναμον, καὶ διὰ τοῦτο κατ' εἰκόνα τῆς ἀνεκλείπτου καὶ νοητῆς δυάδος ἀόριστον καὶ αὐτὴν κληθεῖσαν. ταύτης οὖν ἐπὶ πᾶν δραμούσης καὶ ποῖ γὰρ οὐ προελθούσης οὐκ ἀπολείπεται ἡ μονάς, ἀλλ' ἀεὶ τὸ παρ' αὐτῆς προϊὸν ἀόριστον ποσὸν διαρθροῖ καὶ διαμορφοῖ καὶ εἰδοποιεῖ πάσας αὐτῆς τὰς προόδους ἐφεξῆς καὶ ἀπαραλείπτως τοῖς εἴδεσι διακοσμοῦσα. καὶ ὥσπερ ἐν τοῖς ἐγκοσμίοις πράγμασιν οὔτε ἀνείδεον οὐδὲν οὔτε κενὸν μεταξὺ τῶν εἰδοπεποιημένων παρεμπίπτει διὰ τὴν τοῦ δημιουργοῦ πρόνοιαν, οὕτω κἀν ⟨τῷ⟩ μαθηματικῷ ἀριθμῷ οὔτε ἀρρύθμιστόν τι καταλείπεται ποσόν (ἐνικήθη γὰρ ἂν οὕτως ἡ τῆς μονάδος εἰδοποιὸς δύναμις ὑπὸ τῆς ἀορίστου δυάδος), οὔτε μεταξὺ τῶν ἐφεξῆς ἀριθμῶν ἄλλο παρεμπίπτει διὰ τὴν ἀκατάληκτον καὶ εὔτακτον τῆς μονάδος ἐνέργειαν. οὔτ' οὖν ἐξ οὐσίας καὶ συμβεβηκότος ὑφέστηκεν ὁ πέντε, ὡς ὁ λευκὸς ἄνθρωπος, | οὔτε ἐκ γένους καὶ διαφορᾶς, ὡς ὁ 907b
ἄνθρωπος ἐκ ζῴου καὶ δίποδος, οὔτε τῶν πέντε μονάδων ἁπτομένων ἀλλήλων, ὡς ἡ δέσμη τῶν ξύλων, οὔτε μιγνυμένων, ὡς τὸ οἰνόμελι, οὔτε θέσιν ὑπομεινασῶν, ὡς οἱ λίθοι τὴν οἰκίαν ἀποτελοῦσιν. οὐ μὴν οὐδ' ὡς τὰ ἀριθμητὰ οὐδέν ἐστι παρὰ τὰ καθ' ἕκαστα· συγκεχωρήσθω γὰρ αὐτῷ πρὸς τὸ παρὸν τοὺς δύο ἀνθρώπους μηδὲν εἶναι παρ' ἑκάτερον (καίτοι Πλάτωνι πάντα ταῦτα μεθέξει τινὸς εἴδους δοκεῖ τοὺς διαφόρους ἀριθμοὺς καὶ αὐτὰ δέχεσθαι, ὡς ἐν τῷ Φαίδωνι γέγραπται· ἀλλ' οὖν μὴ ὑπαρχέτω τοῦτο τοῖς ἀριθμητοῖς πρὸς τὸ παρόν)· ἀλλ' οἵ γε ἀριθμοὶ οὐχ ὅτι ἐξ ἀδιαιρέτων

1. 2. χωριστῶν e corr. C¹ 6. 7 λέγοιντ' ἂν C: corr. AH 12 διότι Us. recte 15 οὔσαις C παρ' ἃς Us. 23 ἀπαλείπτως C: corr. Bonitz 25 τῷ addidi 26 an ἀεὶ pro ἂν? 28 ἀκατάληπτον C: corr. A 32 cf. Alex. 757,14 35 Plat. Phaed. 101c

σύγκεινται τῶν μονάδων, διὰ τοῦτο ἕτερόν τι ἔχουσι παρὰ τὰς μονάδας 907b
(καὶ γὰρ τὰ πολλὰ σημεῖα ἀδιαίρετα, ἀλλ' ὅμως οὐ δοκεῖ τι αὐτά γε συμπληροῦν ἄλλο παρ' αὐτὰ τὰ ὑποκείμενα), ἀλλ' ὅτι ἔστι τι ἐν αὐτοῖς τὸ μὲν ὕλη τὸ δὲ εἶδει ἀναλογοῦν. ἀμέλει ὅταν τὸν τρία τῷ τέσσαρα συντιθῶμεν 15
5 καὶ ποιῶμεν τὸν ἑπτά, λέγομεν μὲν οὕτως, οὐ μήν ἐστι τὸ λεγόμενον ἀληθές· ἀλλὰ γὰρ αἱ μονάδες ταῖς μονάσι συμπλακεῖσαι τὸ ὑποκείμενον ποιοῦσι τοῦ ἑπτὰ ἀριθμοῦ, γίγνεται δὲ ὁ ἑπτὰ ἐκ μονάδων τοσῶνδε καὶ τῆς ἑπτάδος. τίς οὖν ὁ τὴν ἑπτάδα ταῖς μονάσιν ἐπιφέρων; τίς δὲ ὁ τὸ εἶδος τῆς κλίνης 20
τῇ τοιᾷδε συνθέσει τῶν ξύλων; ἢ δῆλον ὅτι ψυχὴ μὲν τεκτονικὴ τῷ ἔχειν
10 τὴν τέχνην εἰδοποιεῖ τὰ ξύλα πρὸς κλίνης ἀπογέννησιν· ψυχὴ δὲ ἀριθμητικὴ τῷ ἔχειν ἐν ἑαυτῇ τὴν ἀρχηγικὴν μονάδα πάντας εἰδοποιεῖ καὶ ὑφίστησι τοὺς ἀριθμούς. διαφέρει δὲ τοσοῦτον, ὅτι ἡ μὲν τεκτονικὴ οὔτε φύσει ἡμῖν 25
ὑπάρχει καὶ δεῖται χειρουργίας διὰ τὸ περὶ ὕλην αἰσθητὴν ἀναστρέφεσθαι, ἡ δὲ ἀριθμητικὴ καὶ φύσει πάρεστιν ἡμῖν (διὸ καὶ πᾶσιν ὑπάρχει) καὶ
15 διανοητὴν ἔχει τὴν ὕλην, ὅθεν αὐτὴν καὶ ῥᾳδίως καὶ ἀχρόνως μορφοῖ. καὶ ἴσως δι' αὐτὸ τοῦτο καὶ ἠπατήθησαν οἱ πολλοί, μηδὲν εἶναι νομίσαντες τὰ ἑπτὰ παρὰ τὰς τοσάσδε μονάδας· ἡ γὰρ τῶν ἰδιωτῶν φαντασία ἐὰν μὴ 30
πρότερον ἴδῃ τὸ ἀκόσμητον, εἶτα τὴν εἰς αὐτὸ παρατεταμένην τοῦ κοσμοῦντος ἐνέργειαν, εἶτα ἐπὶ πᾶσι τὸ πρᾶγμα ὅ τι ποτ' ἂν ᾖ τελειωθὲν καὶ εἰδοπεποιη-
20 μένον, οὐ πείθεται δύο φύσεις ὁρᾶν, τὴν μὲν ἀνείδεον τὴν δὲ εἰδητικήν, καὶ ἔτι τούτων ἔξωθεν τὴν τὸ εἶδος ἐπιφέρουσαν. ἀλλ' ἕν τε τὸ ὑποκείμενον 35
λέγει καὶ ἀγένητον, αἰτίαν δὲ αὐτοῦ οὐδαμῶς ἐπινοεῖ. διό μοι δοκοῦσιν οἵ τε θεολόγοι καὶ ὁ Πλάτων τῶν τε ἀγενήτων ἀπὸ χρόνου γενέσεις παραδιδόναι | τῶν τε ἀεὶ κεκοσμημένων τὴν ἀρχαίαν ἕξιν ἄτακτον εἶναι καὶ 908a
25 πλημμελῆ καὶ ἀόριστον ἀποφαίνεσθαι, ἵνα τῆς τε εἰδητικῆς αἰτίας καὶ τῆς ποιητικῆς εἰς ἔννοιαν τοὺς ἀνθρώπους ἀναπέμψωσι. θαυμαστὸν οὖν οὐδέν, εἰ καὶ μηδέποτε αἱ ἑπτὰ μονάδες ἄνευ τῆς ἑπτάδος εἰσίν, ὅμως τόν γε 5
ἑπτὰ σύνθετόν τε ὑπὸ τῆς ταῦτα διαρθρούσης ἐπιστήμης ἀποπεφάνθαι καὶ ἔχειν τὸ μέν τι ὕλῃ καὶ ὑποκειμένῳ ἀναλογοῦν, τὸ δὲ εἴδει καὶ μορφῇ.

30 p. 1082a26 Ἀλλὰ μὴν . . . ἀριθμούς.

Ἐλλιπῶς εἴρηκε διὰ συντομίαν, τὸ δὲ τέλειον τοῦ λόγου τοιοῦτόν ἐστιν· ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ λανθάνειν, ὅτι συμβαίνει κατὰ ταύτην τὴν ὑπό- 10
θεσιν δυάδας δυάδων εἶναι προτέρας καὶ ἄλλους ἀριθμοὺς ἄλλων ἀριθμῶν, οἷον τριάδας τριάδων προτέρας φαίνεσθαι. πῶς οὖν τοῦτο παρ'
35 αὐτῷ δείκνυται, κατακούσωμεν.

6 μόνον post ὑποκείμενον add. Us. 23 sc. Orpheus, cf. fr. 50. 52 (Procl. in remp. II 138,14) 27 αἱ ἑπτὰ Us.: αἰσθητὰ C 31—34 = Alex. 758,3 sqq.
31 εἴρηται Alex. 34 τριάδων Alex.: τριάδος C

p. 1082a28 Αἱ μὲν γὰρ . . . ἔσονται. 908a

Ταῦτα εἴρηται μὲν ἀπὸ τῆς ἐννοίας ἐκείνης, καθ' ἣν δυοποιὸς οὖσα τῶν ἀρχῶν ἡ ἑτέρα διπλασιάζειν ἕκαστον ἐλέγετο τῶν ἀριθμῶν. ἔστι δὲ οὐδὲν οὐ μόνον πρὸς τὸν εἰδητικὸν ἀναφερόμενα καὶ τελέως ἀμερῆ καὶ ἄποσον ἀριθμόν, ἀλλ' οὐδὲ πρὸς τὸν μαθηματικὸν καὶ μοναδικόν· αἱ γὰρ ποσότητές εἰσι τῶν ἀριθμῶν τῶν ἐλαττόνων αἱ ἐπισυντιθέμεναι καὶ ὑποβαλλόμεναι τῷ εἴδει τοῦ μείζονος ἀριθμοῦ, καθάπερ εἴρηται, ἀλλ' οὐκ αὐτοὶ οἱ ἀριθμοί. ὥσπερ οὖν ὅταν τὸ ὕδωρ εἰς ἀέρα μεταπίπτῃ, οὐ τὸ ὕδωρ ἀὴρ γίγνεται ἢ [τὸ] ὑποκείμενον τοῦ ἀέρος, ἀλλ' ὃ ἦν ὕδατος ὑποκείμενον, ἀέρος γίγνεται ὑποκείμενον· οὕτω καὶ ὅταν ὁ τρία τὸν δύο προσλάβῃ, οὐ τὰ εἴδη μίγνυται τῶν ἀριθμῶν, εἰ μὴ ἐν τοῖς ἀόλοις αὐτῶν λόγοις, ἐν οἷς καὶ διακρινόμενα ἐνοῦσθαι οὐ κωλύεται, ἀλλ' αἱ μονάδες εἰσὶ καὶ ἡ ὅλη ⟨ἡ⟩ ἐπισυντιθεμένη. μία οὖν καὶ ἡ τριὰς καὶ ἡ τετρὰς καὶ [ἡ] ἐν τῷ μαθηματικῷ ἀριθμῷ· κἂν γὰρ ἐν τῇ ἐννεάδι τὴν μὲν πρώτην τὴν δὲ μέσην τὴν δὲ τελευταίαν ἐννοῇ τριάδα, μίαν ὁρᾷς καὶ ἀδιάφορον τρίτον παραλαμβανομένην· καὶ ὅλως ἐν μὲν τῷ ἐννέα οὐδὲν ἄλλο ὁρᾷς ἢ τὸ τῆς ἐννεάδος εἶδος ἐπὶ τῇ ποσότητι, ἐὰν δὲ τῇ διανοίᾳ μερίσῃς αὐτῆς τὸ ὑποκείμενον (τὸ γὰρ εἶδος ἀμέριστόν ἐστιν), εὐθέως αὐτὸ καὶ μορφοῖς οἰκείοις εἴδεσι τοῦ μερισμοῦ· τὸ γὰρ ἀνείδεον ἀκόσμητον [μὲν] οὐκ ἀνέχεται ἡμῶν ὁρᾶν ἡ ψυχή, ἄλλως τε κἂν αὐτὴ κυρία ᾖ τοῦ κοσμεῖν αὐτό.

p. 1082a32 Ὁ δ' αὐτὸς . . . εἰσιν. 35

Οὐδέ γε τούτων οὐδὲν πρὸς τὴν τῶν παλαιῶν θεωρίαν ἀποτείνεται· οὔτε γὰρ μοναδικὸς ὁ τῶν ἰδεῶν ἀριθμός, εἰ καὶ μονὰς | λέγεται· ἀριθμὸς μὲν ὡς εἶδος καθαρὸν ἐξομοιοῦν ἑαυτῷ τὰ μετέχοντα, μονὰς δὲ ὡς τῶν εἰδῶν τῶν ψυχικῶν καὶ τῶν φυσικῶν καὶ τῶν αἰσθητῶν μέτρον οὖσα καὶ πρόμετρον· οὔτε σύγκεινται κατ' αὐτοὺς ἰδέαι ἐξ ἰδεῶν, τοῦ ἵππου εἰ τύχοι ἐκ τῆς τοῦ ἀνθρώπου καὶ τοῦ κυνός, ἵνα καὶ ὁ τῇδε ἵππος ἐκ τῶν τῇδε φύσεων ἀνομοίων οὐσῶν σύνθετος ᾖ. πάντα γὰρ ταῦτα κωμῳδοῦντός ἐστι μᾶλλον ἢ σπουδάζοντος. ἀλλ' οὐδὲ ἐν τῷ μαθηματικῷ ἀριθμῷ διάφοροί εἰσιν αἱ μονάδες, ἀλλὰ πᾶσαι ἀδιάφοροι αἱ ὑποκείμεναι τοῖς ἀριθμοῖς, ἐξῃρημένης ἐκείνης ἥτις ἀρχὴ πάντων οὖσα καὶ πηγὴ καὶ μήτηρ τοσοῦτον ἀποδεῖ τοῦ δεῖσθαι τῶν εἰδοποιησόντων αὐτήν, ὡς τὰ εἴδη πάντα προϊέναι παρ' αὐτῆς ἅπασι τοῖς ἀριθμοῖς. ὁμώνυμοι δὲ οὐ τῇ μονάδι μόνῃ αἱ πολλαὶ μονάδες, ἀλλὰ καὶ ἡ τῶν μαθηματικῶν ἀριθμῶν ὡρισμένη δυὰς τῇ ἀορίστῳ δυάδι· ἡ μὲν γὰρ ἀόριστος ἀρχὴ παντὸς μέν, μάλιστα δὲ τοῦ

908b

---

9 τὸ del. Us. 13 ἡ add. Us. ἡ del. Us. 15 διάφορον Ca: corr. Cb τρίτον 'ter' cf. Menand. rhet. 131,13. 138,17 Burs., Geop. 39,7. 94,3. 176,5 etc.
19 μὲν del. Bag. post μὲν ὁρᾶν Ca: del. Cb 21 εἰσιν Ca: ἔσονται Cb
29 ἐστι Us.: ἔσται C 32 ποιεῖσθαι τῶν εἰδοποιησάντων C: corr. Us. 33 παρ' αὐτοῖς C: corr. Bonitz

ἀρτίου, ἡ δὲ ὡρισμένη ἄλλως ἀρχὴ οὐχ ὡς γεννητική, ἀλλ' ὡς τὸ πρῶτον 908b
τοῦ πράγματος ἀρχὴν αὐτοῦ λέγομεν εἶναι, ὡς τῆς Πολιτείας τὸ ''κατέβην 16
χθὲς εἰς Πειραιᾶ''.

p. 1082b1 Ὅλως . . . μονάδος.

Εὖ ταῦτα λέγεται πρὸς τὰς μονάδας τὰς ὑποβεβλημένας τῷ ἀριθμῷ· οὔτε γὰρ ποσῷ διοίσουσιν, ἐλάχισται οὖσαι πᾶσαι, οὔτε ποιῷ, ἀνείδεοι γάρ. 20 εὖ δὲ καὶ τὸ πλασματῶδες ὡρίσατο.

p. 1082b5 Ἀνάγκη . . . μοναδικόν.

* * καὶ τὸ εὖ· ἡ γὰρ ἰσότης καὶ ἀνισότης χωρεῖ διὰ παντὸς ἀριθμοῦ φυσικοῦ τε καὶ ὑπερφυοῦς καὶ μαθηματικοῦ. προσεκτέον δὲ τούτῳ τῷ ῥητῷ, ἐν ᾧ σαφῶς ὁμολογεῖ καὶ αὐτὸς μὴ πάντας ἀριθμοὺς εἶναι μοναδικούς. τὸ γὰρ ἀλλὰ μάλιστα τὸν μοναδικὸν βεβαίωσίς ἐστιν ἐναργὴς τοῦ δόγματος τῶν παλαιῶν· οὐκ ἄρα τι ἀποδέδεικται ἡμῖν κατὰ τῶν ⟨μὴ⟩ μοναδικῶν ἀριθμῶν, ἐπειδὴ ἐκ μονάδων ἐλαμβάνετο πάντα τὰ ἐπιχειρήματα.

p. 1082b7 Ὥστε εἰ . . . εἶναι.

Καὶ ταῦτα εὖ πάνυ λέλεκται περὶ τῶν πολλῶν μονάδων, καὶ οὐ μόνας αὐτὰς ἀδιαφόρους δείκνυσιν, ἀλλὰ καὶ τοὺς ἴσους ἀριθμούς· ὥσθ' ὅπερ 30 ἐλέγομεν, ἕνα εἶναι τὸν τρία, κἂν πολλάκις λαμβάνηται ἐν τῷ τριάκοντα· τὰ γὰρ ἴσα ἐν ἀριθμοῖς ταὐτά. ἀδιάφοροι οὖν καὶ ⟨αἱ⟩ ἐν τῇ δεκάδι δυάδες, οὐχ ὅτι αἱ μονάδες αὐτῶν ἀδιάφοροι (καὶ τοῦτο μὲν γάρ), ἀλλ' ὅτι τὸ εἶδος ἕν· ἓν δὲ οὐχ ὡς εἰς ἀδιάφορα ὑποκείμενα δεδωκὸς ἑαυτό (μίαν γὰρ μόνην 35 ποιεῖ τῷ ἀριθμῷ δυάδα), ἀλλ' ὡς ἐκ μονάδος τῆς ἀρχηγικῆς προελθὸν 909a καὶ μεῖναν καθαρῶς ἕν. εἰ μὲν γὰρ καὶ ἡμεῖς συνεχωροῦμεν ἐκ δυάδων πέντε συγκεῖσθαι τὴν δεκάδα, ὥσπερ ἔχειν δέκα μονάδας, ἀναγκαῖον ἦν ὁμολογεῖν πολλὰς μὲν εἶναι τῷ ἀριθμῷ δυάδας, μίαν δὲ τῷ εἴδει· ἐπειδὴ δὲ οὐ τὰς δυάδας φαμὲν συντιθεμένας ποιεῖν τὴν δεκάδα (τὰ γὰρ εἴδη 5 τῶν ἀριθμῶν ἁπλᾶ ἐστι καὶ ἐκ τῆς μονάδος πρόεισιν, ὥστε καὶ τὸ τῆς δεκάδος), οὔτε τὰς μονάδας τὰς ὑποκειμένας τῇ δυάδι ⟨ἐπὶ⟩ πλέον προαχθείσας ὑποκείμενον γενέσθαι τῆς δεκάδος, προϊούσης μὲν ἀπὸ τῆς οἰκείας ἀρχῆς, ἀποτελούσης δὲ τὸν δέκα μετὰ τοῦ ὑποκειμένου, οὐκ ἀναγκαζόμεθα 10 πολλὰς τῷ ἀριθμῷ δυάδας ὑποτίθεσθαι, ἵνα μὴ ἀριθμητὰς αὐτὰς ἀντὶ ἀριθμῶν ποιήσωμεν· ἐπεὶ καὶ εἰ πολλαὶ εἶεν δυάδες, ὡς αὐτὸς ἀξιοῖ, καὶ πολλαὶ

5 εὖ Us.: οὐ C 6 ἐλάχιστοι C 9 spatium sex litt. in C: fort. satis est cum Bag. scribere καὶ τοῦτο εὖ 13 μὴ addidi; μοναδικῶν del. et μονάδων in μοναδικῶν mutat Us. 17 post ἀδιαφόρους verba εἶναι καὶ ταῦτα usque ad μονάδων καὶ v. 15. 16) repetit Ca: del. Cb 19 αἱ add. Us. 21 διάφορα C: corr. Us. 22 nempe δεκάδα, cf. v. 29 23 συγχωροῦμεν C: corr. Bag. 26 aut scr. οὔτε pro οὐ aut in v. 28 οὐδὲ pro οὔτε 28 οὔτε Us.: οὕτω C οὐ τῷ Bag. ἐπὶ add. Us.

τριάδες καὶ δεκάδες πολλαὶ καὶ ἁπλῶς ἕκαστος τῶν μοναδικῶν ἀριθμῶν 909a πολὺς εἴη καὶ ἄπειρος, ἀνάγκη καὶ τὸν σύμπαντα μαθηματικὸν ἀριθμὸν μὴ ἕνα εἶναι, ἀλλ' ἀπείρους εἶναι μαθηματικοὺς ἀριθμούς· δοκεῖ δὲ εἷς εἶναι μαθηματικός, καθόλου γάρ· ὥστε καὶ ὅδε ὁ μαθηματικὸς εἷς, οἷον ὁ τρία καὶ ὁ τέσσαρα καὶ τῶν ἄλλων ἕκαστος, ἵνα καὶ ὁ σύμπας εἷς μείνῃ ὁ ἐξ αὐτῶν συγκείμενος. ἐὰν γάρ τις καὶ τὸν σύμπαντα πολλαχῶς εἶναι λέγῃ καὶ ἀπειραχῶς ὡς τὰ ὁμοειδῆ τῶν καθ' ἕκαστα, πάλιν ἐπὶ τὸ ἓν εἶδος ἀναδραμούμεθα, ὃ ἐπισκέπτεται ἡ μαθηματική· καὶ εὑρήσομεν ἓν μὲν εἶδος τοῦ σύμπαντος μαθηματικοῦ ἀριθμοῦ, μίαν δὲ περιέχον δυάδα καὶ μίαν τριάδα καὶ οὐ πολλάς, ἵνα μὴ πάλιν καὶ ὁ σύμπας πολλαπλοῦς γένηται καὶ τοῦτο ἐπ' ἄπειρον προέλθῃ. οὔτ' οὖν διαιροῦμεν τὸν δέκα εἰς πέντε δυάδας, ἀλλὰ πεντάκις [τὸ ὑποκείμενον τῇ δεκάδι καὶ] τὸ ὑποκείμενον τῇ δυάδι παραλαμβάνεσθαι λέγομεν. οὔτε συντίθεμεν τὴν δεκάδα ἐκ πέντε δυάδων, ἵνα μὴ σύνθετον αὐτῆς τὸ εἶδος ἀποφήνωμεν, ὅπερ οὐδὲ ἐπὶ τῶν αἰσθητῶν εἰδῶν ὑπὸ τῆς φύσεως ὁρῶμεν γιγνόμενον· οὔθ' ὅλως ἀρίθμὸν πολὺν εἶναί φαμεν συνδιαιρούμενον τῷ ὑποκειμένῳ, ἀλλ' ἕκαστον πολλαχῶς ὑφεστάναι, εἰ μέλλοι καθαρῶς ἀριθμὸς εἶναι καὶ μὴ ἀριθμητόν.

p. 1082b 11 Ἔτι . . . μονάδων.

Ταῦτα περὶ μὲν τῶν εἰδητικῶν ἀριθμῶν καὶ ἐν τοῖς φθάσασι καὶ νῦν γελοίως λέγεται· οὔτε γὰρ δύο μονάδες ὑποβέβληνται τῇ αὐτοδυάδι οὔτε τρεῖς τῇ αὐτοτριάδι, οὔτ' εἰ ἦσαν ὑποβεβλημέναι, δυνατὸν ἦν ἀφαιρεῖν ἐξ ἑκατέρας καὶ ἄλλο τι ποιεῖν, ἐπεὶ καὶ ταυτότης καὶ ἑτερότης ἐν ἑκατέρᾳ αὐτῶν | καὶ οὐ δήπου ἀφελὼν ἑκατέρας τὴν ἑτερότητα ἢ τῆς μὲν ⟨τὴν⟩ 909b ἑτερότητα τῆς δὲ τὴν ταὐτότητα, τρίτον τι μικτὸν ἐξ αὐτῶν ἀποτελέσεις καὶ ζητήσεις, πότερον ἀμφοῖν ἐστιν ὕστερον ὡς ἐξ ἀμφοῖν ὑποστάν, ἢ τοῦ μὲν προτέρου αὐτοῖν ὕστερον, τοῦ δὲ δευτέρου πρότερον, ὃ μᾶλλον ἀναγκαῖον εἶναί φησι. πάντα γὰρ ταῦτα ἐκ τῶν ἐνύλων καὶ ὅλως μεριστῶν εἴληπται τὰ ζητήματα, καὶ ἀναξίως ταῖς νοεραῖς καὶ ἁπλαῖς καὶ παντελῶς ἀμερίστοις οὐσίαις προσφέρεται. εἰ δὲ περὶ τοῦ μαθηματικοῦ αὐτὰ προτείνειν ἤθελεν ἀριθμοῦ, μᾶλλον μὲν ἂν ἐκίνησεν ἀπορίαν τὸ προταθέν, οὐ μὴν ἀλλ' ἐκ τῶν προαγόντων εἶχε καὶ τοῦτο τὴν λύσιν· οὔτε γὰρ ἐκ τοῦ δύο οὔτε ἐκ τοῦ τρία δεόμεθα μονάδας ἀφαιρεῖν, ἵνα ποιήσωμεν ἄλλον δύο (ταῦτα γὰρ περὶ τὰ ἀριθμητὰ συμβαίνει, οἷον ἐκ δύο ἵππων καὶ τριῶν ἀνθρώπων· ἐὰν οὖν ἀφ' ἑκατέρων λάβωμεν, δυάδα ποιοῦμεν ἐξ ἀνομοίων μονάδων) οὔθ' ὅλως ἐν ὅσῳ δύο ἐστὶν ὁ δύο καὶ τρία ὁ τρία, εἰ [δὲ] ἔστιν ἑκάτερος αὐτῶν ὅ ἐστι, μονάδα δυνήσεται ἀποβάλλειν. ἀλλὰ πάντα ταῦτα τὰ φαντάσματα οἱ ὑστερογενεῖς ἀποφηνάμενοι εἶναι τοὺς ἀριθμοὺς καὶ ἐκ τῶν αἰσθητῶν

---

4 ὁ ante μαθηματικός add. Us. 12 del. Us. (καὶ suprascr. C) 23 τὴν add. Us. 24 ἀπολέσεις C: corr. Bag. 27 φῆς coni. Us. 31 οὔτε . . . οὔτε Bag.: εἴτε . . . εἴτε C 34 possis ⟨ἐν⟩ ἀφ' 35 δὲ seclusi (nolui δὴ) οὐδ' εἰ ἔστιν Us.

ἀποσυλᾶσθαι καὶ πολλαπλοῦν ἕκαστον εἶναι παρεισκυκλοῦσι τῇ καθαρᾷ 909b
θεωρίᾳ.

p. 1082b 16 Καὶ ἡμεῖς . . . μονάδας.

Οὗτός τε γὰρ ὡς ἀριθμητοῖς προσβάλλει τοῖς πράγμασι καὶ διὰ τοῦτο
5 μέτρῳ χρῆται περὶ αὐτὰ τῷ μοναδικῷ ἀριθμῷ· ἐκεῖνοί τε εἰ τὰς μονάδας
τὰς ὑποκειμένας τῷ μοναδικῷ ἀριθμῷ διαφόρους εἶναι λέγουσι, δικαίως
ἐγκαλοῦνται· εἰ δὲ ἕκαστον τῶν εἰδῶν μονάδα καλοῦσιν ὡς πρόμετρον τῶν
τῇδε πραγμάτων, πῶς οὐκ ἀνάγκη, διαφόρων ὄντων τῶν εἰδῶν, διαφόρους
μονάδας αὐτοὺς λέγειν; καὶ εἶεν ἂν καὶ αἱ ἐν νῷ διάφοροι ἀλλήλων διὰ
10 τὴν ἐν αὐταῖς ἑτερότητα καὶ πολλῷ πλέον αἱ ψυχικαὶ τῶν νοερῶν, ὅσῳ
πλείων ἡ ἀπόστασις, καὶ πάλιν πᾶσαι συμβληταὶ διὰ τὴν ἐκ τἀγαθοῦ τοῖς
πᾶσιν ἐφήκουσαν ἕνωσιν καὶ διὰ τὴν τῆς ταυτότητος ἐν τοῖς ἄυλοις εἴδεσιν
ἐπικράτειαν. ἀλλ' οὗτος μὲν ὁ τόπος ἑτέρᾳ θεωρίᾳ προσήκει. τῶν δὲ
μονάδων, ὧν νῦν ἐξεταστὴς ὁ Ἀριστοτέλης γίγνεται, οὔτε ἀνῆγόν τινας εἰς
15 τοὺς εἰδητικοὺς ἀριθμοὺς οὔτε διαφορὰς παρεδίδοσαν οἱ Πυθαγόρειοι.

p. 1082b 19 Εἴτε δὲ μὴ . . . τῇ δυάδι.

Πρῶτον μὲν μὴ θαυμάσῃς, εἰ αὐτὴν δυάδα καὶ αὐτὴν τριάδα φάσκοντες
εἶναι μήτε πλείω φασὶ τὸν τρία τοῦ δύο μήτε ἐνυπάρχειν τὸν δύο τῷ τρία·
οὔτε γὰρ ποσό|τητος οὗτοι μετέχουσιν οἱ ἀριθμοί, οὔτε ⟨τὸ⟩ τῆς ἰσότητος 910a
20 καὶ ἀνισότητος εἶδος οὕτως ἐστὶν ἐν αὐτοῖς ὡς ἐν τοῖς μοναδικοῖς ἀριθμοῖς·
ἐν ἐκείνοις μὲν γὰρ οὐδέποτε οἱ ἴσοι καὶ ἄνισοι οὐδ' οἱ ἄνισοι ⟨ἴσοι⟩ εἰσίν·
ἐν δὲ τοῖς εἰδητικοῖς οἱ αὐτοὶ καὶ ἴσοι καὶ ἄνισοι ἀλλήλοις, ὥσπερ ταὐτοὶ
καὶ ἕτεροι διὰ τὴν τῶν γενῶν τοῦ ὄντος καὶ τῶν περιληπτικωτάτων εἰδῶν
εἰς αὐτοὺς παρουσίαν, καὶ οὐχὶ ἡ ἀντίφασις ἐπ' αὐτῶν διὰ τοῦτο· οὐ γὰρ
25 ᾗ ἴσοι, ταύτῃ ἄνισοι, οὐδ' ᾗ ὅμοιοι, ταύτῃ ἀνόμοιοι, οὐδ' ᾗ ταὐτοί, ταύτῃ
ἕτεροι, ἀλλ' ὅμοιοι μὲν καὶ ἴσοι καὶ ταὐτοὶ δι' ὁμοιότητα καὶ ἰσότητα καὶ
ταυτότητα, ἀνόμοιοι δὲ καὶ ἄνισοι καὶ ἕτεροι διὰ τὰ ὡς ἀντικείμενα τοῖς
προτέροις εἴδεσιν εἴδη. ἀμήχανον γὰρ ἦν ἐν ταῖς ἀρχαῖς μονάδος οὔσης
καὶ τῆς ἀορίστου δυάδος μὴ οὐχὶ καὶ τὰ παρ' αὐτῶν ὑποστάντα ἀμφοτέρων
30 δυνάμεις ὑποδεδέχθαι. ἐπὶ δὲ τούτοις ἐχρῆν ἐννοεῖν, ὡς οὗτος οὐ τὸν ἐν
τοῖς εἴδεσιν ἀδιάφορον ποιεῖ (τί γὰρ εἰ καὶ ἰσότητος καὶ ἑτερότητος τὰ
εἴδη μετέχει), ἀλλ' εἰ ἄρα, ⟨τὸν⟩ ἐν τοῖς μοναδικοῖς ἀριθμοῖς.

4 οὗτός τε Us.: οὔτε C 5 εἰ ex οἳ C1, etiam in marg. οἳ Ca: del. Cb εἰ μὲν τὰς coni. Us. 7 μονάδας C: corr. Us. 16 δὲ Ca: δὴ Cb 19 τὸ add. Us. 20 οὗτός ἐστιν C: corr. Bonitz 21 ἴσοι add. Brandis 22 ταὐτὸν Us. hic et infra (v. 25. 26) 24 οὐχὶ Bonitz: οὐχ ἢ C 27 post ὡς ἂν Ca: del. Cb 30. 31 οὕτως . . . ποιεῖς coni. Us. 31 dicere solent πῶς γὰρ 32 τὸν add. Us.

p. 1082b22 Ἀλλ' οὐκ . . . ἀριθμοί. 910a

Ὅτι μὲν οὐκ ἐνδέχεται δύο δυάδας ἀδιαφόρους εἶναι ἐν τῷ εἰδητικῷ ἀριθμῷ, οὐ λέγει· ὅτι δὲ τῇ αὐτοῦ ὑποθέσει ἠκολούθησε, ποσότητος μοναδικῆς μεταδούσῃ τοῖς νοεροῖς εἴδεσιν, ὁμολογεῖν οὐκ ἐθέλει.

p. 1082b24 Τοῦτο μὲν γάρ . . . ἀναιροῦσιν.

Λέγουσι μέν, φησίν, ἑαυτοῖς ἀκόλουθα οἱ τῶν ἰδεῶν τὸν ἀριθμὸν ἐκ διαφερουσῶν μονάδων συνεστάναι φάσκοντες, ἵνα μὴ πολλὰς ἰδέας τοῦ αὐτοῦ ποιεῖν ἀναγκασθῶσι καὶ ἀπολιμπάνειν δυάδας καὶ ἐν τετράδι καὶ πεντάδι καὶ ἑξάδι καὶ ὅλως ἐν πᾶσιν ἀριθμοῖς ἀδιαφόρων οὐσῶν τῶν μονάδων. ἔτι δὲ κἀκεῖνο κατ' αὐτὸν λέγουσιν ὀρθῶς πρός γε τὴν ἑαυτῶν ὑπόθεσιν, ὅτι οὐ χρὴ τῷ δύο προστιθέντας μονάδα τὸν τρία ποιεῖν ἐκεῖ. οὐ γὰρ ἀδιάφοροί εἰσιν αἱ ἐν τῷ δύο καὶ ἐν τῷ τρία μονάδες ἀλλ' ἀσύμβλητοι· ὥστε χρὴ χωρίζειν ἕκαστον τῶν ἀριθμῶν καὶ ἀεὶ ἀπ' ἄλλης ἀρχῆς ἐπὶ τὰς ἑξῆς μεταβαίνειν. εἰ γὰρ οἱ μὲν ἀριθμοὶ ἰδέαι, αἱ δὲ ἰδέαι οὐ περιέχονται ὑπ' ἄλλων ἰδεῶν ὥστε μέρος εἶναι τῶν περιεχουσῶν, οὐδ' ἂν ἀριθμοὶ μέρη εἶεν ἄλλων ἀριθμῶν· ὑπάρξει δὲ αὐτοῖς τοῦτο, εἰ διάφοροι εἶεν αἱ ἐν αὐτοῖς μονάδες. ταῦτα | δέ, φησίν, καὶ εἰ σώζει τὴν αὐτῶν ὑπόθεσιν, ἀλλ' 910b ἀνατρέπει πολλὰ τῶν ἀριθμητικῶν θεωρημάτων· διὸ πρὸς μὲν τὴν ἑαυτῶν ὑπόθεσιν ὀρθῶς λέγουσιν, ἁπλῶς δὲ οὐκ ὀρθῶς. ὅτι δὲ οἱ ἄνδρες ἐκεῖνοι τοιαύτας μονάδας οὐκ ᾤοντο εἶναι καθάπαξ ἐν τῷ εἰδητικῷ ἀριθμῷ, ἄλλως δὲ αὐτοὺς τοὺς ἀριθμοὺς μονάδας λέγοντες διαφόρους πρός τε ἑαυτοὺς καὶ πρὸς τὴν φύσιν ὡμολόγουν τὴν τῶν πραγμάτων, οὐ θέλει προσποιεῖσθαι.

p. 1082b34 Ἐπεὶ . . . διαφοράν.

Εἰώθασι, φησίν, ἀπορεῖν, πότερον ἀπὸ τοῦ δύο ἐπὶ τὸν τρία δεῖ μεταβαίνειν καὶ τέσσαρα καὶ πέντε καὶ ὅλως κατὰ σύνθεσιν ἀριθμεῖν, ἢ κατὰ διαίρεσιν ἀπὸ τῆς δεκάδος λαμβάνειν ἓν δύο τρία τέσσαρα· αὐτοῖς μὲν γὰρ οὐδέτερον τούτων ἀρέσκει. ἡμῖν δέ, φησί, ῥητέον ὅτι γελοῖον ἐξ οὕτως ἐπιπολαίου ζητήματος ἕκαστον τῶν ἀριθμῶν αὐτὸ ποιεῖν καὶ ἰδέαν. ἀποκριτέον τε πρὸς αὐτοὺς ὅτι ἀμφοτέρως ποιοῦμεν· ὡρισμένου μὲν γὰρ τοῦ μεγίστου διαιροῦμεν, ἀορίστου δὲ ὄντος συντίθεμεν. ταῦτα δὲ ὅτι πρὸς μὲν τὸν εἰδητικὸν ἀριθμὸν οὐδαμῶς ἀνάγεσθαι δύναται, πρὸς μέντοι τὸν μαθηματικὸν πῇ μὲν πῇ δὲ οὔ, πολλάκις ἐπεσημηνάμεθα· ὡς καὶ τὴν ἀπορίαν

---

3 εὖ Us.: οὐ C 4 μεταδούσης C: corr. Us. 6 cf. Alex. 761,20 sqq.
10 γε scripsi: τε C 12 αἱ post καὶ add. Us. 14 malim τὰ ἑξῆς
14—19 = Alex. 762,3 sqq. 15 οἱ ἀριθμοὶ Alex. 16 ὑπάρξοι C εἰ διάφοροι Alex.: ἀδιάφοροι C 17 εἰ καὶ A Alex. 24—30 = Alex. 762,17 sqq.
27 ἀρέσκειν C: corr. Us. 28 αὐτὸ: οὐσίαν Us. ex Alex. 763,3 καὶ Us.: κατ' C

τῶν πρεσβυτέρων λίαν ἐπιστήμονα φαίνεσθαι καὶ τὴν ἀπάντησιν τοῦ Ἀριστο- 910b
τέλους μὴ πάντῃ ψευδῆ· ὁ μὲν γὰρ ἐνεργείᾳ τρία ὁ τὸ εἶδος καταδεξάμενος 20
τῆς τριάδος εἷς ἐστι καὶ οὐκ ἂν μονάδα προσλαβὼν τέσσαρα γένοιτο (πῶς
γὰρ τὸ τῆς τριάδος εἶδος εἰς τὸ τῆς τετράδος μεταπεσεῖν δυνήσεται;)· ὁ
5 δὲ δυνάμει τρία ὁ ἐν ταῖς τρισὶ μονάσι θεωρούμενος, ὁ ἄνευ τοῦ εἴδους
⟨τῆς⟩ τριάδος ἐπινοούμενος, εἰ μονάδα λάβοι, ποιήσειεν ἂν τὸ ὑποκεί- 25
μενον τοῦ τέσσαρα, ὃ ἐν ὅσῳ μέν ἐστιν ἄμορφον οὐκ ἀδυνατεῖ μονάδα
προσλαβὸν ποιῆσαι τὸ ὑποκείμενον τοῦ πέντε, κρατηθὲν δὲ τῷ τῆς τετράδος
εἴδει τὸν τέσσαρα μόνως ποιεῖ. αἱ οὖν διαιρέσεις καὶ οἱ πολλαπλασιασμοὶ
10 κατὰ τὴν ὕλην καὶ τὴν ποσότητα τῶν ἀριθμῶν ἐπιτελοῦνται, οὐ κατὰ τὰ
εἴδη· ταῦτα γὰρ οὐ μόνον αὐτὰ ἀκίνητα, ἀλλὰ καὶ οἷς ἂν ἐπιγένηται, τού- 30
τοις μίαν ἐπιφέρει μορφὴν τὴν ἑαυτῶν.

p. 1083a1 Πάντων . . . μονάδων.

Προείρηται πολλάκις, ὅτι ἄλλως μὲν ἐκεῖνοι μονάδας ἔλεγον καὶ ἀρι-
15 θμοὺς αὐτὰ τὰ εἴδη, ἄλλως | δὲ οὗτος προτείνει οἰκεῖα ὄντα μοναδικοῦ 911a
ἀριθμοῦ τὰ προβλήματα, ἐφ᾽ οὗ καὶ διεῖλεν εὖ καὶ ἐπέκρινε· τῷ γὰρ ὄντι
εἰ αἱ μονάδες αἱ ὑποβεβλημέναι τῷ μαθηματικῷ ἀριθμῷ διάφοροι εἶεν,
καὶ πολλαχῶς ὁ τρία καὶ πέντε καὶ ἕκαστος ὑποστήσεται καὶ διοίσει ὁ ἐν 5
τῷ ἑπτὰ δοκῶν εἶναι τρία τοῦ ἐν τῷ πέντε καὶ τοῦ ἐν τῷ δέκα.

20 p. 1083a6 Ἔτι πότερον . . . ποσοῦ.

Καὶ ταῦτα ὡς πρὸς τὰς συνήθως λεγομένας μονάδας κάλλιστα εἴρηται.
καὶ μέντοι εἰ γιγνομένους τις ἐπινοεῖ τοὺς μοναδικοὺς ἀριθμούς, τὸ εἶδος
τὸ τὴν ποιότητα ἐπιφέρον ὕστερον ὄψεται μορφοῦν τὴν ὑποβεβλημένην αὐτῷ 10
ποσότητα.

25 p. 1083a11 Ἔτι οὔτ᾽ ἂν . . . λέγουσιν.

Ὅτι μὲν εἴ τί ἐστιν ἐν τοῖς μετὰ τὰς ἀρχάς, ἀπὸ τῶν ἀρχῶν ὀφείλει
παραγίγνεσθαι, λέγει μετρίως· καὶ ὅτι ταῖς συνεγνωσμέναις μονάσιν αἱ
ἀριθμητικαὶ ἀρχαὶ τὸ διάφορον οὐκ ἐμποιοῦσιν, ἐπεὶ μηδ᾽ ὅλως εἰσὶ διά-
φοροι, καὶ τοῦτο καλῶς· ὅτι δὲ τὸ ἕν, ὅπερ ἀντὶ τῆς ἀρχηγικῆς παρείληφε 15
30 μονάδος, καὶ εἰ βούλεται μὴ εἶναι ποιόν, οὐ συγχωρεῖ ποιότητος αἴτιον εἶναι,
διαφέρεται καὶ πρὸς ἐκείνους καὶ πρὸς ἀλήθειαν, ἐπεὶ καὶ δυὰς ἡ ἀόριστος
ποσότητος ἂν εἴη μᾶλλον αἰτία, οὐ ποσοῦ καὶ ποιοῦ. ἥκει δὲ πάλιν αὕτη
ἡ ὑπόληψις ἀπὸ τοῦ νομίζειν μηδὲν εἶναι τὸν τρία παρὰ τὰς τρεῖς μονάδας·
τῷ γὰρ ὄντι εἰ τοῦτ᾽ εἶχεν οὕτως, ἡ τὸ ποσὸν γεννῶσα δυὰς καὶ τὸ ποιὸν 20

2 post post τρία ὁ δὲ Ca: del. Cb 5 μονάσι Bonitz Us.: μόναις C 6 τῆς addidi 8 τριάδος C 15 fort. ὄντα τοῦ 16 διεῖδεν C: corr. AH εὖ Us.: οὖ C 18 καὶ ὁ πέντε Us. 26 εἴ τι C1 e corr. 32 οὐ ποσὸν ἢ ποιόν postulat Us. (ποσὸν ποιὸν in Ar. legit Syr.)

παρῆγε· νυνὶ δὲ ἡ μὲν τὰς ἀπείρους γεννᾷ μονάδας, ἡ δὲ κρείττων ἀρχὴ 911ᵃ
τοῖς εἴδεσιν αὐτὰς καταλαμβάνει καὶ διαμορφοῖ. εὖ δὲ αὐτοὺς ἀπαιτεῖ λέγειν
μὴ μόνον ὅτι διαφέρουσιν αἱ μονάδες, ἀλλὰ τίς ἡ μονάδος διαφορά. καὶ
εἰρήκασί γε οὐ τῶν ὑποβεβλημένων τῷ ἀριθμῷ μονάδων διαφοράν (οὐδὲ 25
γὰρ εἶναι βούλονται), ἀλλὰ τούτων τε καὶ τῆς ἀρχηγικῆς αὐτῶν αἰτίας.
ὅταν μὲν γὰρ λέγωσι μονάδα εἶναι ποσοῦ τὸ ἐλάχιστον ἢ ποσοῦ τὸ πρῶτον
καὶ κοινὸν μέρος, τὴν συνεγνωσμένην ὁρίζονται· ὅταν δὲ λέγωσι μονάδα
εἶναι εἰδῶν εἶδος, τὴν ἀρχηγικὴν αὐτῶν αἰτίαν ἐνδείκνυνται τὴν πάντων 30
ἐν ἑαυτῇ τὰ εἴδη τῶν ἀριθμῶν προειληφυῖαν, ἣν καὶ οἱ ἀπὸ τῆς Στοᾶς
ἓν πλῆθος οὐκ ὤκνουν καλεῖν· ἐπεὶ καὶ ὅταν περὶ τῶν θείων μονάδων δια-
λέγωνται, ἄλλως μὲν τὴν νοητὴν ἀφορίζονται μονάδα, ἀφ' ἧς ὁ πρώτιστος
πρόεισιν ἀριθμὸς "μονάδος ἐκ κευθμῶνος ἀκηράτου", ἄλλως δὲ τὴν νοερὰν 35
καὶ δημιουργικήν, ἣν καὶ Δία καλεῖν ἠξίουν, περὶ ὧν πολλοὶ μὲν τῶν πρε-
σβυτέρων, πολλοὶ δὲ καὶ τῶν νεωτέρων διελέχθησαν. | σαφέστατα δὲ ὁ 911ᵇ
θεῖος Ἰάμβλιχος ἐν ἑβδόμῃ βίβλῳ τῆς τῶν Πυθαγορείων δογμάτων συναγωγῆς.
εἰ δέ τις αὐτῷ τῷ Πυθαγόρου Ἱερῷ λόγῳ παρακολουθεῖν δύναιτο, πάσας
εὑρήσει τάξεις ἐκεῖ τῶν τε μονάδων καὶ τῶν ἀριθμῶν ἀπαραλείπτως ὑμνου- 5
μένας. ἔχομεν οὖν παρ' αὐτοῖς καὶ τὴν ἀνάγκην τοῦ διαφέρειν ἀλλήλων
τὰς μονάδας (καθ' ἑκάστην γὰρ πρόοδον ἀνάγκη τὴν ἐξηγουμένην τῆς τάξεως
ἐκείνης μονάδα πληθύνεσθαι μᾶλλον τῶν πρὸ ἑαυτῆς), καὶ τίνας αὐτῶν
οἴεσθαι χρὴ τὰς διαφορὰς εἶναι· ὅσαι γὰρ καὶ οἷαι τῶν ὄντων, τοσαῦται
καὶ τοιαῦται καὶ τῶν ἀρχηγικῶν μονάδων αἱ διαφοραί. 10

p. 1083ᵃ17 Ὅτι μὲν οὖν . . . τῶν τρόπων.

Εἰ μὲν ἀριθμοὶ μοναδικοὶ εἶεν αἱ ἰδέαι, πᾶσαι τῶν μονάδων αἱ ὑπο-
25 θέσεις ἐπ' αὐτῶν ἐλέγχονται· κἂν τε γὰρ ἀδιάφοροι ὦσιν αὐτῶν αἱ μονάδες,
πολλὰ τὰ ἄτοπα (οὐδὲν γὰρ διοίσει τοῦ μαθηματικοῦ ἀριθμοῦ ὁ εἰδητικός),
κἂν τε διαφέρουσαι, πλασματώδης ὁ λόγος, κἂν αἱ μὲν οὕτως αἱ δὲ ἐκείνως 15
ἔχειν ὑποτεθῶσιν. εἰ δὲ μὴ μοναδικὸν εἶναί τις λέγοι τὸν τῶν ἰδεῶν
ἀριθμόν, ὑπ' οὐδενὸς τῶν ὑπ' αὐτοῦ ῥηθέντων ἐνοχληθήσεται· οὐδὲν γὰρ
30 ὅλως εἴρηται πρὸς αὐτόν.

p. 1083ᵃ20 Ἀλλὰ . . . τὸ ἕν.

Εἴπερ εἶέν τινες ταῦτα λέγοντες, δικαίως ὑπ' αὐτοῦ κακίζονται. ἀλλὰ
μήποτε τῷ μὲν τῶν ἰδεῶν ὀνόματι οὐ κατεχρῶντο, διὰ δὲ τῶν μαθηματικῶν 20
ὀνομάτων περὶ τῶν θείων οὐσιῶν ἠνίττοντο· πῶς γὰρ ἂν τὸ ἓν καὶ τὸν
35 ἀριθμὸν προέταττον τῶν ὅλων, εἰ μὴ τὸ ὑπερούσιον ἓν καὶ τὰ ὄντως ὄντα
καὶ τὸν τῶν ἰδεῶν προσεκύνουν διάκοσμον; ὁ δ' οὖν Ἀριστοτέλης ἀκόλουθα

3 διότι Ar. (τὴν αἰτίαν δι' ἣν αὐτὰς ἀνάγκη διαφέρειν Alex. 764,26) 9 cf. ad p. 45,20 Jambl. in Nicom. 11,8 12 μονάδος Cᵃ: corr. Cᵇ 23 τῶν τρόπων Cᵇ: τρόπον Cᵃ 27 διαφέρουσα C: corr. A an κἂν ⟨τε⟩? 29 οὐδὲν Bag.: οὐδὲ C (quo servato εἴρηταί τι Us.) 32 an τινες ⟨οἱ⟩?

τῇ ἑαυτοῦ ὑποθέσει καὶ ταῦτα γράφει· ἄτοπον . . . πάντα ἐστίν. καλῶς 911ᵇ
ὁρᾷ τὴν πρὸς ἑαυτὸ τοῦ δόγματος συμφωνίαν· εἰ γὰρ εἶεν ἑνάδες καθ' 26
ἑκάστην τάξιν τῶν ὄντων ἡγεμονικὴν ἀξίαν ἔχουσαι καὶ πᾶσαι προεληλύθασιν
ἀπὸ τοῦ ἑνὸς τοῦ ὑπερουσίου καὶ πάντων ἐξῃρημένου, δεῖ τὸν εἰδητικὸν
5 εἶναι ἀριθμόν.

p. 1083ᵃ27 Εἰ μὲν . . . ἀλλήλους.

Ὁ μὲν οὖν πᾶς λόγος τοιοῦτος· εἰ ὁ μαθηματικός ἐστι μόνος ἀριθμός, 30
οὐκ ἂν εἴη τὸ ἓν ἀρχὴ τῶν πάντων· εἰ δ' ἔστι τὸ ἓν ἀρχή, κρατεῖ Πλάτων
καὶ ἔστιν ὁ εἰδητικὸς ἀριθμὸς καὶ διαφέρει ἕτερος ἑτέρου τῇ οὐσίᾳ. ἡμέτερον
10 δὲ λοιπὸν ἂν εἴη δεικνύναι, ὅτι τὸ ἓν ἀρχὴ τῶν ὅλων, ὃ μήτε νοῦς μήτε
ὂν μήτε ἀριθμὸς ὑπάρχον μήθ' ὅλως ὑπάρχον, ἀλλ' ἐξῃρημένον καὶ αὐτῆς 35
τῆς ὑπάρξεως καὶ τοῦ εἶναι πάντων ἐστὶν αἴτιον ἀγαθῶν καὶ πᾶσιν οὐσίαν
καὶ ἕνω|σιν χορηγεῖ· τούτου γὰρ ἱκανῶς κατασκευασθέντος ἔοικε συγχω- 912ᵃ
ρήσειν ὁ Ἀριστοτέλης πᾶσι τοῖς γνησίοις τοῦ Πυθαγόρου καὶ τοῦ Πλάτωνος
15 δόγμασιν. ἂν δ' αὖ . . . συμβαίνει. οὐδὲν μὲν οὖν, εἰ ὀρθῶς τις αὐτὰ
καὶ κατὰ νοῦν ὑπόθοιτο τῶν ἀρχαίων φιλοσόφων. ἀλλὰ μὴν . . . χωριστόν. 5
εἰ χωριστός, φησίν, ἐστὶν ἀριθμός, ἀνάγκη ἢ τὸν μαθηματικὸν εἶναι πρῶτον
ἢ τὸν εἰδητικόν· εἰ δὲ μηδετέρως ἐγχωρεῖ, ἀναιρεῖται καὶ τὸ ἡγούμενον.
ἀλλ' οὔτε τὸ συνημμένον ὑγιὲς πάντῃ (εἰσὶ γὰρ καὶ πρὸ τοῦ εἰδητικοῦ
20 ἄλλοι ἀριθμοί), οὔθ' ἡ πρόσληψις ἀποδέδεικται οὐδ' ἂν ἀποδειχθείη ποτέ. 10

p. 1083ᵇ1 Φανερὸν . . . λέγειν.

Τοὺς μὲν δύο φησὶ ποιεῖν ἀριθμοὺς καὶ διακρίνειν αὐτούς, ὥσπερ
Πλάτων (σαφῶς γὰρ τὸν μαθηματικὸν ἕτερόν φησιν εἶναι τοῦ εἰδητικοῦ),
τοὺς δὲ ἕνα τὸν μαθηματικόν, ὥς τινας τῶν Πυθαγορείων, τοὺς δὲ γιγνώσκειν
25 ἀμφοτέρους, ἕνα δὲ ποιεῖν αὐτούς· αἰνίττεται δὲ Σπεύσιππον ἴσως καὶ 15
Ξενοκράτην, οὓς καὶ χειρίστης ὑποθέσεώς φησι προεστάναι, καὶ δι' ἃς
αἰτίας σαφῶς λέγει. προείπομεν δὲ καὶ ἡμεῖς περὶ τούτων, ὅτι εἰ καὶ
τοῖς αὐτοῖς ὀνόμασιν ἐκέχρηντο, ἀλλ' οὖν ᾔδεσαν ⟨τὴν⟩ κατ' εἶδη διάκρισιν
τῶν διαφόρων ἀριθμῶν, ἐπεὶ καὶ ἄλλως ὁ τοὺς ἀριθμοὺς τούτους μὴ δια-
30 κρίνων ἀλλὰ συγχέων τόν τε εἰδητικὸν ἀριθμὸν ἔχοντα ἐν ἑαυτῷ τὸν μαθη- 20
ματικὸν ἀριθμὸν ὑποστάτην τῶν ὅλων ποιεῖ [ἑκτὸν τὸν μαθηματικόν] τῷ
τε ⟨πατρὶ⟩ καὶ ποιητῇ τῶν πάντων ἀριθμητικὴν ἕξιν περιτίθησιν· ὧν τί
ἂν εἴποι τις ἀπιθανώτερον;

7—9 = Alex. 765,34 sqq. 9 ἕτερος Alex.: ἕτερον C 16 ὑποθεῖτο C
17 cf. Alex. 765,31 sqq. 22 cf. Alex. 766,4 28 τὴν addidi 31 del. AH
32 πατρὶ addidi cf. Plat. Tim. 28ᶜ Procl. in Tim. 95ᶜ

p. 1083ᵇ8 Ὁ δὲ . . ἀδύνατόν ἐστιν. 912ᵃ

Κατὰ μὲν τὸ ἀληθὲς θεωρία Πλάτωνός ἐστι καὶ Πυθαγόρου καὶ τῶν γνησίως τὰ παρ' αὐτῶν ὑποδεξαμένων δόγματα περὶ τῶν ἀριθμῶν· οὗτος δὲ ὑποδιαιρεῖ, καὶ περὶ ὃ διέτριψαν ἕκαστοι, τοῦτο μόνον αὐτούς φησι πρεσβεύειν. ἀμέλει τοὺς Πυθαγορείους ὡς μὲν ἀχωρίστους τῶν αἰσθητῶν φάσκοντας εἶναι τοὺς ἀριθμοὺς ἐπαινεῖ· ὅτι δὲ συγκεῖσθαί φασι καὶ δημιουργεῖσθαι τὰ σώματα ἐξ αὐτῶν, ταύτῃ μέμφεται. ἔστι δὲ ὁ ἔπαινος ψευδὴς καὶ χείρων τῆς μέμψεως· μᾶλλον δὲ ἄμφω μὲν ψευδεῖς, καὶ ὁ ἔπαινος καὶ ὁ ψόγος, | ἀλλ' ὁ μὲν ἐπὶ μηδὲν αὐτοῖς προσηκούσῃ γέγονεν ὑποθέσει, 912ᵇ ὁ δὲ ἐπὶ ἀληθεῖ· δῆλον δὲ πότερος ἐπὶ ποτέρᾳ. τίς γὰρ οὐκ ἂν γελάσειεν ἀκούων, ὅτι οἱ Πυθαγόρειοι χωριστοὺς ἀριθμοὺς οὐκ ᾔδεσαν; αὐτοῦ μὲν Πυθαγόρου διχῶς εἰωθότος ὁρίζεσθαι τοὺς ἀριθμούς, καὶ δι' ἑκατέρου μὲν τῶν ὅρων τὸ πάντῃ χωριστὸν αὐτῶν καὶ ἄχραντον ἐνδεικνυμένου, διὰ δὲ τοῦ ἑτέρου καὶ τὸ δημιουργικὸν αὐτῶν καὶ προνοητικόν τε καὶ φρουρητικὸν τῶν ὅλων ἀναδιδάσκοντος (ὅταν μὲν γὰρ ἕκτασιν καὶ ἐνέργειαν τῶν ἐν μονάδι σπερματικῶν λόγων εἶναι φῇ τὸν ἀριθμόν, τὸν ἀπὸ τῆς οἰκείας ἀρχῆς αὐτογόνως καὶ αὐτοκινήτως προεληλυθότα καὶ τὸν ἐν ἑαυτῷ ἱδρυμένον καὶ ἐν εἴδεσι παντοίοις ἀφωρισμένον παραδίδωσιν· ὅταν δὲ τὸ πρὸ πάντων ὑποστὰν ἐν θείῳ νῷ, ἀφ' οὗ καὶ ἐξ οὗ πάντα συντέτακται καὶ μένει τάξιν ἄλυτον διηρθρωμένα, τὸν παραδειγματικὸν καὶ ποιητὴν καὶ πατέρα θεῶν τε καὶ δαιμόνων καὶ τῶν θνητῶν πάντων ἀριθμὸν ἀνυμνεῖ)· τῶν δὲ περὶ Ἵππασον ἀριθμὸν εἶναι λεγόντων παράδειγμα πρῶτον κοσμοποιίας, καὶ πάλιν κριτικὸν κοσμουργοῦ θεοῦ ὄργανον, Φιλολάου δὲ διισχυριζομένου τὸν ἀριθμὸν εἶναι συνοχὴν τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν αὐτογενῆ καὶ κρατιστεύουσαν, ἁπάντων δὲ ὡς εἰπεῖν τῶν ἄλλων Πυθαγορείων κατ' ἴχνη ταύτης τῆς θεωρίας τὴν περὶ τῶν ἀριθμῶν ὑπόληψιν διαρθρωσάντων. εἰ δὲ ὅτι καὶ τὰ σώματά φασιν ἐκ τῶν φυσικῶν ἀριθμῶν ἐσχηκέναι τὴν ὑπόστασιν, διὰ τοῦτο ἢ περὶ μόνων ἀχωρίστων αὐτοὺς οἴοιτό τις διαλέγεσθαι ἢ καὶ μεγέθη διδόναι τοῖς ἀριθμοῖς, δῆλός ἐστιν ἑκὼν ἢ ἄκων τὴν μὲν ὅλην αὐτῶν διδασκαλίαν παρατρέχων, τὰ δὲ τελευταῖα τῆς ἀριθμητικῆς αὐτῶν θεωρίας ἐπὶ τὸ χεῖρον ἐκλαμβάνειν πειρώμενος· οὔτε γὰρ περὶ μόνων τῶν φυσικῶν ἀριθμῶν οἱ ἄνδρες διαλέγονται οὔτε φύρουσιν εἰς ταὐτὸν ⟨τὸν⟩ φυσικὸν καὶ μαθηματικὸν οὔτε μέγεθος διδόασι τοῖς τῶν μεγεθῶν αἰτίοις ἀριθμοῖς. ὁ δὲ ὡς τούτων οὕτως ἐχόντων καὶ τὰ ἑξῆς περαίνει.

Schol. ad v. 1 in C adscr.: Ἐκ τῶν Ἰαμβλίχου περὶ τῆς κατὰ Νικόμαχον ἀριθμητικῆς εἰσαγωγῆς ὁρισμὸς Πυθαγόρου ᾱ· ἀριθμός ἐστιν ἕκτασις καὶ ἐνέργεια τῶν ἐν μονάδι σπερματικῶν λόγων. β̄ ἢ τὸ πρὸ πάντων ὑποστὰν ἐν θείῳ νῷ, ἀφ' οὗ καὶ ἐξ οὗ πάντα συντέτακται καὶ μένει τάξιν ἄλυτον διηριθμημένα.

2 ἡ αὐτὴ ante θεωρία excidisse putat Us. 12 δι' ἑκατέρου Cᵃ: διὰ τοῦ ἑκατέρου Cᵇ (voluitne ἑτέρου?) 15 cf. Iambl. in Nicom. 10,12 sqq. 33 τὸν add. Us. 36 ἐκ μονάδος C: corr. ex Iambl. p. 10,12 38 διηριθμημένην C: διηρθρωμένα in Iambl. legisse vid. Syr.

p. 1083b 13 Οὔτε γὰρ ἄτομα . . . ἀριθμῶν. 912b

Ἃ μὲν λέγουσιν οἱ ἄνδρες, ἀνέλεγκτά ἐστι καὶ διαμένει τὸν σύμπαντα χρόνον· τὸ γὰρ ἀληθὲς οὐκ ἐλέγχεται κατὰ τὸν θεῖον Σωκράτην. τὰ δὲ νῦν ἐλεγχόμενα παντὶ μᾶλλον ἢ τοῖς Πυθαγορείοις προσήκει· οὔτε γὰρ τὸν ἀριθμὸν δι' οὗ μετροῦμεν τὰ αἰσθητὰ τῶν αἰσθητῶν αἴτιον εἶναι λέγουσιν, εἰ καὶ θεωροῖεν εἰκόνας | ἐν αὐτῷ τοῦ φυσικοῦ ἀριθμοῦ (ὥσπερ ἐν τῷ 913a βωμίσκῳ τῷ διακόσια δέκα σώματος ἰδέαν ἐμφαίνεσθαι διισχυρίζοντο, ἐν δὲ τῷ ᾱ πυρὸς ἰδέαν, ἀέρος δὲ ἐν τῷ γ̄ καὶ τῆς γῆς ἐν τῷ ζ̄ καὶ ὕδατος ἐν τῷ θ̄· ταῦτα γὰρ κατά τινα ἀναλογίαν αὐτοῖς ἐλαμβάνετο πρὸς ἔνδειξιν δυνάμεων φυσικῶν)· οὔτε τὰς μονάδας τὰς ἐν αὐτῷ ἢ μέγεθος ἔχειν ᾤοντο ἀδιαίρετον ἢ ὅλως ἐνυπάρχειν τοῖς αἰσθητοῖς· ἀλλ' ὅταν μὲν ἀδιαίρετα μεγέθη λέγωσιν, ἐπὶ τοὺς αἰτίους τῶν μεγεθῶν ἡμᾶς λόγους ἀναπέμπουσι καὶ ἐπὶ τὴν παραδειγματικὴν αἰτίαν τῶν μεγάλων, ἣν αὐτομέγεθος εἴωθε καλεῖν ὁ μέγας τῷ ὄντι Πλάτων· ὅταν δὲ τὰς μονάδας μέγεθος ἔχειν, τὴν ἐπὶ πάντα διατείνουσαν δύναμιν τῶν δημιουργικῶν ἀνυμνοῦσι μονάδων· ὅταν δὲ μέγεθος ἐξ ἀδιαιρέτων ὑφίστασθαι, οὐχ ὅτι συνελθόντα τὰ ἄτομα καὶ οἱονεὶ συμπαγέντα ποιεῖ τὰς διαστάσεις φασί (τοῦτο γὰρ τὸ Δημοκρίτειον δόγμα καὶ ταῖς γεωμετρικαῖς καὶ πάσαις ὡς εἰπεῖν ταῖς ἐπιστήμαις ἀντιφθέγγεται), ἀλλ' ὅτι τῶν ἀδιαιρέτων ὅσα μέν ἐστιν εἴδη νοερὰ καὶ ἄχραντα δημιουργικά τε καὶ ζωογόνα, ταῦτα μὴ ἐξιστάμενα ἑαυτῶν τά τε ἄλλα καὶ τὸν τῶν σωμάτων ὄγκον ἐν ἐσχάτοις ὑφίστησιν· ὅσα δὲ φυσικὰ καὶ ῥέπει ταῖς ἐνεργείαις εἰς ὕλην, ταῦτα καίπερ ἄογκα καὶ ἀσώματα ὄντα ὅμως τῆς σωματικῆς ἐπισυστάσεως αἴτια τρόπον τινὰ συνόντα τοῖς σώμασι καὶ διὰ τοῦτο καὶ ἀχώριστα τῶν σωμάτων δυνάμενα λέγεσθαι. ἐκ δὲ σωμάτων σῶμα δημιουργεῖσθαι ἀπεγήνωσκον διὰ πολλὰς αἰτίας· ὥστ' εἴπερ ἀληθὲς τοῦτο, πᾶσά ἐστιν ἀνάγκη τὰ σώματα ἐξ ἀδιαιρέτων ἔχειν τὴν ὑπόστασιν. οὐ μέντοι συγκεῖσθαι ἐξ ἀδιαιρέτων οὐδ' ἀναλύεσθαι εἰς ἀδιαίρετα εἰ μὴ ἄρα τῷ λόγῳ.

p. 1083b 19 Εἰ τοίνυν . . . αὐτόν.

Ἡ μὲν ἀγωγὴ συλλογιστική, τὸ δὲ συνημμένον οὐχ ὑγιαίνει· πάντας γὰρ μοναδικοὺς ὑπεθέμεθα τοὺς | ἀριθμοὺς καὶ τὰ ἑνὸς ἴδια ἐπὶ πάντας 913b ἠνέγκαμεν, εἶθ' οὕτως ἐδόξαμέν τι λέγειν πρὸς αὐτούς. καὶ οἱ μὲν παλαιοὶ καὶ μακάριοι ἄνδρες καὶ τὰ ἄτακτα διὰ τῶν ἀριθμῶν ἔλεγον τάττεσθαι· ἡ

---

3 cf ad p. 81,3 6 cf. Alex. 767,11 sqq. 7 διακόνου δέκα codd. Alex., σῶν infra Syr. ad 1092b8 (210 = 2. 3. 5. 7.) διισχυρίζετο C: corr. Us.
7. 8 ἐν δὲ τῷ πυρὸς οἷον τῷ ᾱ ἰδέαν C corr. Us. ἐκ δὲ τοῦ ἕνδεκα τὸ πῦρ, ἐκ δὲ τοῦ τρισκαίδεκα τὸν ἀέρα καὶ ἐκ τοῦ ἐννέα τὸ ὕδωρ Alex. (nil de terra): de igni theol. ar. 7,2 cft. Us., cf. Doxogr. 558,17 Dls 8 ζ̄ C: κζ Us. 9 cf. theol. ar. 57,18 Nicom. ap. Phot. 144b39 14 Plat. Parm. 150e 17 ποιεῖν C: corr. Us.
23 an ἐστι συστάσεως? 28 ἄρα scripsi: παρὰ C 31 ὑποθέμενος et ἐνεγκάμενος et ἔδοξεν coni. Us.

δὲ πρὸς αὐτοὺς ἀντιλογία καὶ τὰ περὶ τῶν ἀριθμῶν θεῖα νοήματα συγχεῖ 913b
καὶ ἐπιταράττει. 6

p. 1083b 23 Ἔτι . . . μονάδος.

Ὃ ἀπορεῖ τοιοῦτόν ἐστιν. ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος τά
5 τε ἄλλα γεννῶσι καὶ τὰς μονάδας. ἐπεὶ οὖν * * ἐν τῇ ἀορίστῳ δυάδι,
λέγω δὴ τοῦ τε μεγάλου καὶ τοῦ μικροῦ, ἢ αἱ μὲν ἐκ τοῦ μεγάλου αἱ δὲ
ἐκ τοῦ μικροῦ, οὐκ ἀπὸ πάντων ἑκάστη τῶν στοιχείων οὐδ' ἴσαι αἱ μονάδες, 10
ἀλλὰ πρὸς τῷ διάφοροι εἶναι καὶ ἐναντίωσιν ἕξουσι πρὸς ἀλλήλας, εἴ γε
αἱ μὲν μεγάλαι αἱ δὲ μικραὶ ἔσονται. ἥ τε τριὰς πόθεν ἕξει τὴν τρίτην
10 μονάδα, ἀπὸ τοῦ μεγάλου ἢ ἀπὸ τοῦ μικροῦ; εἰ μὴ ἄρα διὰ ταύτην, φησί,
τὴν ἀπορίαν τὸ ἓν ἐν τῇ τριάδι καὶ παντὶ τῷ περιττῷ μέσον ποιοῦσιν, ἵνα
ἴσαι ὦσιν αἵ τε ἐκ τοῦ μεγάλου γιγνόμεναι καὶ αἱ ἐκ τοῦ μικροῦ μὴ μόνον 15
ἐν ἀρτίῳ, ἀλλὰ καὶ ἐν περιττῷ ἀριθμῷ. εἰ δὲ ἑκάστη μονὰς ἐκ [τῆς]
τοῦ μεγάλου καὶ τοῦ μικροῦ ἴσων ἀλλήλοις γενομένων τῇ κράσει, πρῶτον
15 πῶς ἔσται μία φύσις αὐτὴ ἡ δυὰς ἡ ἐκ τοῦ μεγάλου καὶ τοῦ μικροῦ;
δῆλον γὰρ ὅτι ⟨εἰ⟩ καὶ ἡνώθη ὕστερον ἰσασθέντα, ἀλλ' οὖν ἦν πρὸ τῆς
ἑνώσεως δύο. ἔπειτα δὲ τί διοίσει μονὰς δυάδος; εἰ γὰρ ἐν τῇ μονάδι 20
δυὰς ἐστιν ἰσασθεῖσα καὶ ἡ δυὰς αὐτὸ τοῦτο λέγεται δυὰς εἶναι, τί διοίσουσιν
ἀλλήλων; τοιαῦτα δὴ προτείναντος τοῦ Ἀριστοτέλους τὴν μὲν ἀόριστον
20 δυάδα, εἴτε τὴν πρώτην εἴτε τὴν ψυχικὴν εἴτε τὴν φυσικὴν εἴτε καὶ αὐτὴν
τὴν ἐν τῇ ὕλῃ θεωρουμένην τις ἐπισκέπτοιτο, οὐδέποτε φήσομεν μεμερισμένως
ἐνεργεῖν ἢ πάσχειν κατὰ τὸ μέγα καὶ τὸ σμικρόν, ἀλλ' ἑκάστῳ τῶν γεννω- 25
μένων ὑπ' αὐτῆς καὶ τὸ μέγα συνεισφέρειν καὶ τὸ σμικρὸν οἰκείως ἐν
ἑκάστῃ τάξει τῶν ὄντων· τὰς δὲ μονάδας, εἰ μὲν τὰς ἐν τῷ μαθηματικῷ
25 σκέπτοιτο νῦν ἀριθμῷ, ἐπεὶ μηδὲ | ἄλλας ἐθέλει προσποιεῖσθαι, παρά- 914a
γεσθαι μὲν ἀπὸ πασῶν τῶν ἀρχῶν καὶ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος,
οὐ μέντοι διῃρημένως ⟨ἔχειν ἐν⟩ ἑαυτοῖς τὸ μέγα ἢ τὸ μικρὸν οὐδ' ἐσχη-
κέναι ποτέ, ἵνα καὶ διαπορήσωμεν τί διοίσει μονὰς ἑκάστη τῆς αὐτοδυάδος,
ἀλλ' εἶναι ὡς μὲν πρὸς τοὺς ἀριθμοὺς τούς τε ἄλλους καὶ τὴν δυάδα ἀνει- 5
30 δέους καὶ ἀπείρους, κατέχεσθαί γε μὴν ἰνδάλματι καὶ αὐτὰς τοῦ ἑνός· εἰ
δὲ περὶ μονάδων λέγοι τῶν ἀύλων (ἔξεστι γὰρ οὐ μόνον ἀριθμούς, ἀλλὰ
καὶ μονάδας τὰ εἴδη καλεῖν τὰ νοερά), πολλῷ πλέον ἐροῦμεν ἕκαστον ἀπὸ
πασῶν εἶναι τῶν ἀρχῶν. καὶ ἔχειν ἐκ μὲν τοῦ ἑνὸς αὐτὸ τὸ ἑνιαῖον εἶδος 10
καὶ τὸ μοναδικόν, ἐκ δὲ τῆς δυάδος τῆς ἀορίστου τό τε ἀμερὲς καὶ τὸ ἐπὶ
35 πάντα διῆκον ταῖς δημιουργίαις καὶ προνοίαις καὶ ταῖς φρουρητικαῖς δυνά-

---

4 cf. Alex. 767,31 sqq. 5 hiatum notavit Us.; exple ex Alex.: ἢ ἐξ ἀμφοῖν ἐγένοντο τῶν 6 δὴ Alex.: δὲ C ἢ: εἰ Us., sed ex Alex. concludendum Syrianum olim pleniorem fuisse aut quae ab auctore acceperat non diligenter transscripsisse; sic enim ille pergit post μικροῦ v. 7: εἰ μὲν γὰρ δὴ οὕτω, τουτέστιν εἰ μὲν γὰρ αἱ μὲν ἐκ τοῦ μεγάλου αἱ δὲ ἐκ τοῦ μικροῦ, οὐκ ἀπὸ etc. 13 τῆς non habet Alex.; sed posssis etiam ἔκ τε τοῦ 16 εἰ add. ex Alex. 27 ἔχειν ἐν add. Us. 32 an ἑκάστην? 34 'ἀμερὲς corruptum videtur; num πλῆρες?' Us.

μεσι· τοιαῦτα γὰρ οἶμαι τὰ σμικρὰ καὶ μεγάλα παρὰ τοῖς θείοις ὑποτίθε- 914a
σθαι χρή.

p. 1083b32 Ἔτι προτέρα . . . δυοποιὸς ἦν.

Ἡ μονὰς ἢ προτέρα τῆς αὐτοδυάδος * *. εἰ δὲ ἡ αὐτοδυὰς ἰδέα, 15
5 καὶ ἡ πρεσβυτέρα ταύτης ἡ μονὰς ἰδέα· ἐκ τίνος οὖν προῆλθεν; οὐ γὰρ
δὴ ἐκ τῆς ἀορίστου δυάδος· ἐκείνη γὰρ καὶ τὰ ἁπλᾶ διπλασιάζει. ἐν δὴ
τούτοις οὐ διορίζει μὲν περὶ ποίας λέγει μονάδος, δῆλος δέ ἐστι περὶ τῆς
συνεγνωσμένης προτείνων τὴν ἀπορίαν, ἥτις οὔτε ἔστιν ἐν τῷ εἰδητικῷ 20
ἀριθμῷ καὶ ἐν ὑστάτοις τῶν μαθηματικῶν ἀπέρριπται, οὐδὲ τῆς μοναδικῆς
10 δυάδος ἁπλῶς οὖσα πρεσβυτέρα, ἀλλ' ἴσως μὲν γενέσει, οὐσίᾳ δὲ οὐδαμῶς·
τοιαῦτα γὰρ τὰ ὑλικὰ αἴτια. παράγεται δὲ καὶ αὕτη καὶ πᾶν τὸ ὑποκεί-
μενον τῶν μαθηματικῶν ἀριθμῶν ἀπὸ πασῶν μὲν τῶν ἀρχῶν, μάλιστα δὲ 25
ἀπὸ τῆς οἰκείας ἑαυτοῖς δυάδος· αὕτη γὰρ διαιρουμένων τῶν ἀριθμῶν εἰς
εἶδος μὲν καὶ ὕλην τῆς ὕλης ἐστὶ μᾶλλον ἀρχή, εἰς δὲ ἄρτιον καὶ περιττὸν
15 τοῦ ἀρτίου μᾶλλον ἐξηγεῖται· ταῦτα δὲ ποιοῦσα καὶ πρὸς τούτοις ἄλλα πολλὰ
καὶ θαυμαστὰ περὶ τοὺς ἀριθμοὺς εἰκότως δυοποιὸς κέκληται· δυὰς γάρ πως
πᾶσα ὕλη καὶ πᾶς ἄρτιος καὶ πᾶς ἑτερομήκης καὶ εἴ τι ταύτῃ προσήκει 30
τῇ συστοιχίᾳ.

p. 1083b36 Ἔτι ἀνάγκη . . . ἀριθμόν.

20 Ἄφυκτος ἡ διαίρεσις καὶ ἡ αἰτία πάνυ ἐμβριθής· ἐπὶ μὲν γὰρ τῶν
αἰσθητῶν οὐδέτερον ἀφωρισμένως ἔστιν εἰπεῖν, ἀλλ' ὅτι τὰ μὲν ἐν ἑνὶ
χρόνῳ πεπέρανται, τὰ δὲ ἐν τῷ ἀπείρῳ ἄπειρά ἐστιν· ἐπὶ | δὲ τῶν ἀεὶ 914b
κατὰ ταὐτὰ καὶ ὡσαύτως ἐχόντων, ἐφ' ὧν οὐδὲν δρᾷ χρόνος, ἀνάγκη ⟨ἢ⟩
τὸ ἄπειρον ἢ τὸ πεπερασμένον παραλαμβάνειν. ῥητέον οὖν ὅτι δυνάμει
25 μὲν ἄπειρα τὰ θεῖα, ἀριθμῷ δὲ χρῆται μὲν πεπερασμένῳ· πόσῳ δέ, οὐκ
ἂν εἴποι μερικὴ ψυχή, πλὴν ὅτι τοσοῦτός ἐστιν ὅσον ἴασιν αἱ τούτων ἀρχαὶ 5
καὶ βούλονται παράγειν ἄλλον κατ' ἄλλην τάξιν τῶν ὄντων. εἰ δ' ὅπου
μὲν τριαδικὸν ἢ τετραδικὸν ἀριθμὸν ὑποθοίμεθα, ὅπου δὲ ἑβδομαδικὸν ἢ
δεκαδικόν, οὐ δήπου κατὰ τὰ ἄλλα τῶν ἀριθμητῶν οὕτως ἀριθμήσαντες
30 τἀκεῖ θεῖα τοσαῦτα εἶναι ἀπεφηνάμεθα, ἀλλ' ἐπειδὴ πάντα τέλειά ἐστι καὶ 10
ἀρχοειδῆ καὶ ἀγένητα καὶ τῶν ὅλων προληπτικά, διαπρέπει δὲ ἄλλη ἰδιότης
ἐν ἄλλοις, εἰ καὶ πάντα ἐν πᾶσιν, ἐν οἷς μὲν τὸ πρώτως τέλειον ἐθεωρήθη,
τὸν τούτων ἀριθμὸν τριαδικὸν εἶναι λέγομεν· ἐν οἷς δὲ ἀρχοειδῶς πάντα

---

4 cf. Alex. 768,26 sqq. ἢ C: φησί Us. spatium sex litt. in C; Alex. 768,27 haec habet: ἀναιρουμένης γὰρ τῆς μονάδος ἀναιρεῖται καὶ ἡ δυάς· τὸ δὲ συναναιροῦν πρότερον τοῦ συναναιρουμένου 13 αὐτοῖς coni. Us. 20 cf. Alex. 768,37 22 πεπέραται C 23 κατὰ ταὐτὰ Us.: τὰ αὐτὰ C ἢ add. Us. 26 ἐφ' ὅσον coni. Us. 28 ἑβδοματικὸν C 31 προσληπτικὰ C: corr. Us. 32 numerus ternarius primus perfectus: theol. ar. 13,4

τὰ ἐγκόσμια περιείληπται, τετραδικόν· ἐν οἷς δὲ ἀγενήτως τὰ γενητὰ 914b
προνοίας ἀξιοῦται, ἑβδομαδικόν· ἐν οἷς δὲ διακεκριμένως μᾶλλον καὶ ἤδη 16
νοερῶς πάντα προείληπται, δεκαδικόν. καὶ αὕτη μέν ἐστιν, ὡς ἐν ἐλαχίστοις
περὶ μεγίστων εἰπεῖν, ἡ σύμπασα αὐτῶν θεωρία. ὁ δὲ Ἀριστοτέλης μιγνὺς
πάλιν τὰς μονάδας τὰς συνεγνωσμένας τοῖς ἐκεῖ θείοις ἀριθμοῖς χαίρει
πάντα κυκῶν καὶ ταράττων.

p. 1084a2 Ὅτι μὲν . . . ἀεί ἐστιν.

Πρὸς τὸν μαθηματικὸν ἄν τις μᾶλλον ἀπορήσειε ταῦτα δικαίως ἀριθμόν, οὐ πρὸς τὸν θεῖον καὶ εἰδητικόν· ἐκεῖ γὰρ ἄλλως τὸ ἄρτιον καὶ τὸ περιττόν. οὐχ ὡς νῦν οὗτος λαμβάνει, ἀλλὰ μᾶλλον ὡς εἰώθασιν οἱ ποιηταὶ θεοὺς λέγειν καὶ θεάς·

"κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι"·

κἀκεῖ γὰρ ἡ δημιουργικὴ μονὰς τὰς δύο συστοιχίας τῆς θείας καὶ προνοητικῆς ἀποπληροῖ νοήσεως. πρός γε μὴν τὸν μαθηματικὸν οἰκειότερον ἦν ταῦτα διαπορεῖν· εἴτε γὰρ πεπερασμένος ὁ ἀριθμός, στήσεται αὐτοῦ ἡ πρόοδος καὶ οὕτω πᾶς ἀριθμὸς ἄρτιος ἢ περισσός, ἢ ἔσται τις ἄρτιος ἢ περισσὸς ἄπειρος. ῥηθήσεται δὲ καὶ πρὸς τὸν οὕτως ἀποροῦντα περὶ τοῦ μαθηματικοῦ ἀριθμοῦ τἀληθῆ, ὅτι πᾶς μὲν ὁ λαμβανόμενος καὶ πεπερασμένος ἐστὶ καὶ ἢ περιττὸς ἢ ἄρτιος, ὁ δὲ μήπω ληφθεὶς ἄγνωστός τέ ἐστι καὶ ἀνείδεος καὶ ἄπειρος καὶ δυνάμει μὲν τοιοῦτος, ἐνεργείᾳ δὲ οὔτε ἄρτιος οὔτε περιττός. ταῦτα μὲν ἐπὶ τοσοῦτον. | ἴδωμεν δὲ πῶς ὁ Ἀριστοτέλης 915a
τὴν γένεσιν παραδίδωσι τοῦ ἀριθμοῦ, καθ' ἣν ἀνάγκη πάντα ἢ ἄρτιον ἢ περιττὸν γίγνεσθαι.

p. 1084a4 Ὧδὶ μὲν . . . ὁ ἄλλος ἄρτιος.

Τὸ μὲν ἓν ἐμπεσὸν τῇ δυάδι κατ' αὐτὸν ποιεῖ τὸν τρία, ἡ δὲ δυὰς ἐπὶ μὲν τὸ ἓν ἐλθοῦσα ποιεῖ τὸν δύο, ἐπὶ δὲ τοῦτον γιγνομένη καὶ ὁμοίως ὁδεύουσα τὸν ἀρτιάκις ἄρτιον, τῷ δὲ τρία καὶ τοῖς ἄλλοις περιττοῖς ἐπιγιγνομένη τὸν ἀρτιοπέρισσον, ᾧ πάλιν ἐπεμπεσοῦσα ποιεῖ τὸν περισσάρτιον. ταῦτα ὡς τοῖς πρεσβυτέροις ἀρέσκοντα λέγει ἀπορεῖ τε ὀρθῶς· ἡ εἴπερ μὴ ὀρθῶς ἱστόρηται κατ' οὐδὲν προσήκει τῷ εἰδητικῷ ἀριθμῷ.

---

1 numerus quaternarius gignit denarium qui est ἐγκόσμιος: theol. ar. 16,29 cf. p. 106,15 cum adn. et p. 150,31 τετραδικά C: corr. Bag. 2 ἀξιοῦνται C . numerus septenarius deorum νοερῶν proprius: Procl. theol. Plat. 249 3 cf. ad p. 106,15 6 κυκλῶν C: corr. AH 8 μᾶλλον ἄν τις μᾶλλον Ca: prius μᾶλλον del. Cb 13 καὶ geminat C 25 cf. Alex. 769,23 sqq. 30 post ἱστόρηται fort. ἃ tantum excidisse putat Us.; plura intercidisse opinor et μὴ in δὴ mutari debere

p. 1084a7 Ἔτι εἰ . . . ἰδέας. 915a

Τοῦτο μᾶλλον πραγματειῶδες τὸ ἐπιχείρημα. φασὶ δὲ καὶ πρὸς τοῦτο οἱ προϊστάμενοι τῆς ἀπειρίας τῶν παραδειγμάτων οὐχ ἅμα πάντα τὰ εἴδη τὸν αἰσθητὸν ὑποδέχεσθαι κόσμον, ἔνιοι δὲ αὐτῶν οὐδὲ ἐν τῷ ἀπείρῳ χρόνῳ φασὶ πάντων τῶν εἰδητικῶν αἰτίων εἰκόνας ὑποδέχεσθαι τὸν κόσμον· τοιαῦτα γὰρ οἱ περὶ Ἀμέλιον τὸν Πλωτίνειον νεανιεύονται. ἔοικε δὲ μᾶλλον ὁ Ἀριστοτέλης τῆς τῶν πρεσβυτέρων διανοίας ἐν τούτοις ἐστοχάσθαι· διὸ καὶ ἐπήγαγεν οὔτε κατὰ τὴν θέσιν ἐνδέχεται, τὴν αὐτῶν ἐκείνων δόξαν οὕτω καλῶν τάχα ὡς ἔχουσάν τι παράδοξον. καὶ τοῦτο μέντοι ζηλωτὸν ἐν τοῖς ἐκκειμένοις τοῦ Ἀριστοτέλους, ὅτι τὰς ἰδέας οὐ πρώτων εἶναι τῶν αἰσθητῶν ἔφη λέγειν αὐτούς, ἀλλ' † ἑαυτῶν μέν, εἶναι δὲ καὶ παραδείγματα τῶν τε ψυχικῶν εἰδῶν καὶ τῶν φυσικῶν καὶ [τῶν] τελευταίων τῶν αἰσθητῶν, ἅπερ ᾠνίξατο διὰ τοῦ ἤ ἄλλου τινός. ἔστω δ' οὖν δεδειγμένον αὐτῷ, ὅτι οὐκ εἰσὶν ἄπειροι οἱ νοητοὶ ἀριθμοὶ τῇ οἰκείᾳ ἑαυτῶν φύσει, καίτοι παρ' ἡμῖν ἄγνωστοι καὶ ἀπερίληπτοι ὄντες· εἰ γὰρ καὶ μὴ δι' ἃς αἰτίας εἴρηκε παραιτήσαιτο ἄν τις ἐπ' αὐτῶν τὸ ἄπειρον, ἀλλ' οὐν ἱκανῶς ὁ Φιλόλαος τοῦτο ἀποδείκνυσιν. "ἀρχὰν γάρ, φησίν, οὐδὲ τὸ γνωσούμενον ἐσσεῖται, πάντων ἀπείρων ἐόντων". εἰ τοίνυν οἶδεν ἑαυτὸν ὁ θεῖος ἀριθμός, πάντως ὅτι ἑαυτῷ πεπεράτωται· καὶ εἰ τοσοῦτός ἐστιν ὅσον ἠβουλήθησαν αἱ ἀρχαί, πάντως ὅτι τὸ μέτρον αὐτοῦ προείληπται παρὰ τῇ βουλήσει τῶν ἀρχῶν· ὥστε οὐκ ἂν εἴη ἄπειρος, εἰ μὴ ὡς ἀπειροδύναμος ἢ καὶ πρὸς ἡμᾶς. ἴδωμεν δὲ τῷ εἶναι αὐτὸν πεπερασμένον τί ἄτοπον ἕψεται.

p. 1084a10 Εἰ δὲ πεπερασμένος . . . διότι. 35

Ὡς μὲν σὺ ζητεῖς, οὐκ ἔστιν | εἰπεῖν· οὐ γὰρ ἀριθμητὰ τῇ ἡμετέρᾳ 915b φύσει τὰ θεῖα· ὅταν μέντοι τριάδας ποιῶσι καὶ τετράδας καὶ ἑβδομάδας καὶ δεκάδας, οὐκ ἀποροῦσι λόγων πρεπόντων τούτοις τοῖς σκέμμασι, καθάπερ ἐν τοῖς ὀλίγον ἔμπροσθεν ἐπεσημηνάμεθα.

p. 1084a12 Ἀλλὰ μὴν . . . ὑπερέξει. 5

Τῶν θείων ἀνδρῶν δεκάδα τὸν εἰδητικὸν εἰπόντων ἀριθμὸν ὡς κοσμικὸν παράδειγμα καὶ "ὅρον περὶ πᾶσι τεθέντα", καὶ ὅτι ὥσπερ ἡ δεκὰς ἐντὸς ἑαυτῆς ἔχει πάντα τὸν ἀριθμὸν οὐκέτι κρυφίως ὡς ἡ μονὰς οὐδ' οὐσιωδῶς ὡς ἡ τετράς, ἀλλ' ἤδη σὺν ἑτερότητι πλείονι καὶ διαιρέσει, τοῦτον τὸν τρόπον καὶ ἡ νοερὰ δημιουργία πάντα προείληφεν ἐν ἑαυτῇ τὰ τῶν κόσμων 10

---

2 supra πραγματειῶδες rubro φροντίδος ἄξιον C 7 εὐστοχᾶσθαι C: unde εὐ ἐστοχάσθαι Us. 8 cf. Alex. 770,8 10 ἐγκειμένοις C: corr. Us. 11 ἑαυτῶν μὲν ⟨εἶναι⟩, εἶναι Us.; verum puto ἀλλὰ καὶ αὐτῶν μέν. εἶναι 12 utique τῶν prius cum Us. delendum, fort. etiam τελευταῖον scribendum 14. 15 καίπερ ἡμῖν coni. Us. 15 δι' ἃς ⟨αὐτὸς⟩ Us. 16 cf. Boeckh de Philolao p. 48 29 cf. p. 106,15. 150,28 30 fort. τιθέντα cf. supra p. 106,19 33 κοσμικῶν coni. Us. recte

εἴδη. καὶ ταύτην τὴν δόξαν ἀπό τε Ὀρφέως καὶ Μουσαίου καὶ τῶν ἐκεῖθεν 815ᵇ
καταγομένων ὑποδεξαμένων ὁ Ἀριστοτέλης ὡς δέκα τῷ ἀριθμῷ ἰδέας αὐτῶν
ὑποτιθεμένων οὕτως εὐθύνει τὰς δόξας. καίτοι εἰ δέκα τῷ ἀριθμῷ ὑπετί-
θεντο, ἑκάστη δὲ δυνάμεις ἔχει ὡρισμένας μὲν ἡμῖν δὲ ἀγνώστους, οὐδ' 15
5 ὡς τῶν εἰδῶν τοῦ ζῴου οὐδ' ὅλως τῶν τῇδε εἰδῶν ἐλάττους ἂν ἦσαν αἱ
παραδειγματικαὶ αἰτίαι, εἰ τῇδε μὲν τῇ δυνάμει τῆς τριάδος τόδε τῇδε δὲ
τόδε τὴν ὑπόστασιν ἔχειν ἐλέγομεν. ἀλλὰ ταῦτα μὲν ἀφείσθω. δῆλος δὲ
πάλιν ἡμῖν γέγονεν ὁ ἀνὴρ ὡς μοναδικῇ προσελθὼν τῇ παρὰ τῶν πρε- 20
σβυτέρων ἀνυμνηθείσῃ δεκάδι· ὥσπερ οὖν καὶ τὰ ἑξῆς αὐτῷ κατὰ τὴν αὐτὴν
10 ὁδεύει μοῦσαν.

p. 1084ᵃ18 Ἅμα . . . ἄνθρωποί γε.

Εἴρηται ὅτι οὐ τῶν εἰδητικῶν μόνων ἕκαστος εἷς, ἀλλὰ γὰρ καὶ τῶν
μαθηματικῶν, εἴπερ ὁ ἐνεργείᾳ καὶ ὁ σὺν τῷ ἑαυτοῦ εἴδει θεωρούμενος
λαμβάνοιτο, ἡ δὲ αὐτοτριὰς οὔτε ἀνθρώπου οὔτ' ἄλλου τινὸς παράδειγμα 25
15 ἂν εἴη, ἀλλὰ τῶν μετ' αὐτὴν ἁπασῶν τριάδων· ὥστε μία πολλῶν αἰτία
τῶν μὲν αὐτῇ προσεχεστέρων τῶν δὲ ἐν ἐσχάτοις κειμένων.

p. 1084ᵃ21 Καὶ εἰ . . . ἄνθρωπος.

Γελοίως δὲ καὶ ταῦτα ⟨καὶ⟩ φορτικῶς ἀναγέγραπται καὶ μόνως ἂν ἔχοι
χώραν, εἰ μοναδικὸν οἱ ἄνδρες ἐποίουν τὸν τῶν εἰδῶν ἀριθμὸν καὶ ἕκαστον 30
20 τῶν μοναδικῶν πολλαχῶς ἔλεγον ὑφεστάναι, οὐκ ἐν ἑαυτῷ μόνον ἀλλὰ καὶ
ἐν πᾶσι τοῖς ἑαυτοῦ μείζοσι θεωρούμενον.

p. 1084ᵃ25 Ἄτοπον . . . ἀριθμῶν.

Οὐκ ἄτοπον, εἰ ἐνθυμηθείης ὅτι τῶν ἁπλῶν εἰσι φύσεων αἱ ἰδέαι καὶ
οὐ τῶν ἐκ στοιχείων ἐπισυντιθεμένων ὁμοφυῶν, ὅθεν καὶ πάντα μὲν τὸν
25 ἀριθμὸν τὸν εἰδητικὸν δεκάδα προσηγόρευον διὰ τὰς προειρημένας αἰτίας, 35
οὐ μὴν | ἀλλὰ καὶ ἑκάστου τῶν μοναδικῶν ἀριθμῶν τῶν ἄχρι δεκάδος 916ᵃ
ἰδέαν ἀπετίθεντο· ἁπλούστατοι γὰρ οὗτοι καὶ εἰδικὴν ἔχοντες πρὸς ἀλλήλους
διαφοράν· ἡ δὲ ἑνδεκὰς σύνθεσίς ἐστι δυοῖν προϋπαρχόντων ἀριθμῶν.

p. 1084ᵃ27 Ἔτι δὲ καὶ . . . τὰ εἴδη ἐστίν.

30 Οὕτω καὶ οἱ τῇ τύχῃ καὶ τῷ αὐτομάτῳ τὸ πᾶν ἐπιτρέποντες ἐπι- 5
χειρεῖν ἠδύναντο· ἐπεὶ γὰρ ἔνια γίγνεται ἐκ ταὐτομάτου καὶ κατὰ σέ, τί
κωλύει πάντα γίγνεσθαι τυχαίως; ἀλλ' οἶμαι φαίης ἂν πρὸς αὐτούς, ὅτι

2 δέκα Us.: δεκάδα C 9 post οὖν lacunam statuit Us., at cf. Plat. Phaed. 242ᵉ Arrian. Ind. 5,10. 9,4 infra p. 941ᵃ35 Rhein. Mus. LI 465 etc. 12 γὰρ del. Us., at cf. Callinic. vit. Hypat. 66,25 16 ἑκάστοις C: corr. Us, 18 καὶ add. Bonitz 24 ἐπιτιθεμένων Cᵃ: συν suprascr. Cᵇ 27 ἰδικὴν C 32 κωλύει Us.: λυπεῖ C

ταῦτα μὲν τῶν ἐπ' ἔλαττόν ἐστιν ἐνδεχομένων, ὅσα δὲ ὡς ἐπὶ τὸ πλεῖστον 916ᵃ
ἢ ἀεὶ οὕτως ἐπιτελεῖται, ταῦτα φύσεώς ἐστιν ἔργα καὶ νοῦ πρός τι τέλος 10
ὁρώντων. τοιαῦτα οὖν ἀκούειν καὶ παρ' ἐκείνων τὴν πρώτην ὑπολάμβανε.
ποῖα δὲ καὶ φῆς ἄνευ εἰδῶν γίγνεσθαι; τῶν τε γὰρ φύσει πρώτων τὰ εἴδη
5 οὐσιώδη καὶ ἐν νῷ, τῶν τε ἐσχάτων ⟨καὶ⟩ ἀνουσίων οὐδὲν ὅτι μὴ κατὰ
λόγους ἐπιτελεῖται φυσικούς, τά ⟨τε⟩ τεχνητὰ κατὰ τὰ ἐν τῇ τέχνῃ εἴδη
καὶ αὐτὸς συγχωρεῖς δημιουργεῖσθαι, ὡς πολλαχοῦ μέν, σαφέστατα δὲ ἐν 15
τῷ Z τῇδε τῆς πραγματείας συγκεχώρηται. εἰ μὴ ἄρα ἢ τὰ πρακτὰ
λέγοις ἢ τὰ ἀπὸ τύχης καὶ ταὐτομάτου· τούτων δὲ τὰ μὲν οὐκ ἔστιν οὕτως
10 ὡς εἴωθε παρ' ἡμῖν θρυλεῖσθαι· οὐδὲν γὰρ ἀναιτίως ὑφίσταται· τὰ δὲ
πρακτὰ καὶ εἰ μὴ ἀεὶ κατὰ τὰ αὐτὰ προϋπάρχοντα εἴδη ἔχοι, ἀλλ' οὖν 20
τῶν πράξεων προϋπάρχοντα· προανεγείρασα γὰρ ἐν τῇ φαντασίᾳ ἢ τῇ
δόξῃ τὴν ὅλην διάθεσιν ⸗ τῷ ἐν ἡμῖν κυρίως τῶν πράξεων.

p. 1084ᵃ29 Ἔτι ἄτοπον . . . περιττόν.

15 Λείπει τῷ λόγῳ, τὸ γὰρ τέλειον ἦν· ἔτι ἄτοπον εἰ ὁ ἀριθμὸς οὐ μέχρι
τῆς ἑνδεκάδος, ἐπεὶ καὶ τὸ ἓν μᾶλλον τῆς δεκάδος ὂν καὶ εἶδος αὐτῆς, καὶ τὰ 25
ἑξῆς. εἶδος μὲν οὖν εἴρηται τῆς δεκάδος παρ' αὐτοῖς οὐ τὸ τυχὸν ἕν, ἀλλ'
ἡ ἀρχηγικὴ μονάς, ἣν ὁριζόμενοι καὶ εἶδος εἰδῶν ἔλεγον εἶναι, ὅτι πάντων
ἔχει τῶν ἀριθμῶν ἐν ἑαυτῇ τὰ εἴδη. ἀλλ' ὅμως καὶ εἰ πάντων εἶδός ἐστι
20 τῶν ἀριθμητικῶν εἰδῶν, μάλιστα τῆς δεκάδος ἂν ῥηθείη· μιμεῖται γὰρ 30
αὐτὴν ἡ δεκάς, ὅπερ ἐστὶν ἡ μονὰς πρὸς πάντας ἁπλῶς τοὺς ἀριθμούς,
τοῦτο καὶ αὐτὴ ταῖς μεθ' ἑαυτὴν δεκάσι καὶ ἑκατοντάσι καὶ χιλιάσι γιγνο-
μένη· διὸ καὶ "δευτερῳδουμένα μονὰς" ὠνομάζετο. καθάπερ οὖν ὁ νοῦς
εἶδος μέν ἐστι πάντων, μάλιστα δὲ τῆς ψυχῆς, οὕτω καὶ ἡ μονὰς εἰ καὶ 35
25 πάντων, ἀλλὰ μάλιστα τῆς δεκάδος. τῇ δὴ τοιαύτῃ μονάδι | καὶ τὸ ἀγένη- 916ᵇ
τον ἂν μάλιστα πρέψειεν, οὐχὶ τῇ ἐν τοῖς ἕνδεκα. οἶδε δὲ καὶ αὐτὸς δι' ἣν
αἰτίαν ἄχρι τοῦ δέκα προῆγον τὸν ἀριθμόν· ἡ γὰρ ὑστάτη τελειότης αὐτὸς
ἦν ἡ πᾶν περιέχουσα ἐν ἑαυτῇ. τοῦ δὲ κενοῦ παράδειγμα μὲν ἐν τοῖς 5
ἀριθμοῖς οἱ ἀκριβέστεροι τῶν λόγων οὐκ ἀπολιμπάνουσιν, ἐπεὶ μηδ' ἐν τοῖς
30 οὖσιν ἔστι κενόν, ὡς ἐν ε βίβλῳ τῆς τῶν Πυθαγορείων δογμάτων συναγωγῆς
δείκνυσιν Ἰάμβλιχος. τὰς δὲ χώρας τῶν ἀριθμῶν καὶ μάλιστα τὰς ἁρμονίας,
αἳ καὶ αὐταὶ συμπληροῦνται πάντως ὑπὸ τῶν ἀριθμῶν, ὑπόμνησιν ἔλεγον
φέρειν τῆς χώρας τῶν ὅλων ὡς κενῆς μὲν ὑπαρχούσης τῷ οἰκείῳ λόγῳ, 10
συμπληρωθείσης δὲ ὑπὸ τῆς νοερᾶς δημιουργίας καὶ τῆς περιφορᾶς τοῦ
35 αἰθέρος, ᾗ πάντα σφίγγουσα καὶ συνάγουσα πρὸς ἑαυτὰ κενὴν οὐδεμίαν ἐᾷ

1 cf. Alex. in anal. pr. 163,4 in top. 177,23 2 οὕτως C: ὡσαύτως coni. Us. 5 καὶ add. Us. 6 τε add. Us. 8 met. Z 7 p. 1032ᵃ32 sqq. 10 οὐδὲ C: corr. Us. 13 τῶν ἐν ἡμῖν AH post κυρίως excidisse fere putat Us. ἀρχή ἐστιν ἡ βούλησις 15 cf. Alex. 771,12 22 αὐτὴν C 23 δευτερο-δουμένα Us. Astium secutus (ad theol. ar. p. 171), at cf. Procl. in remp. II 67,9. 10 et ind. 24 post πάντων Cᵃ scripsit ἀλλὰ — μονάδι (v. 25), del. Cᵇ 26 τρέψειεν C: corr. Bonitz 29 noli μηδὲν ἐν 31 ἁμαρτί(ας) C: corr. Us.

χώραν ἐν τῷ παντί, συμπαθῆ δὲ πρὸς ἑαυτὸν διόλου καὶ ἀλληλουχούμενον 916b
ἀποφαίνει τὸν κόσμον· ὥσπερ οὐδ' ἡ μονὰς ἡ τῶν ἀριθμῶν ὑποστατικὴ 15
χώραν κενὴν ἀπολείπειν ἠνέσχετο, συμπληρώσασα τοῖς ἐφεξῆς ἀριθμοῖς
ἀπαραλείπτως πάσας τὰς ἀριθμητικὰς ὑποδοχάς. ἀναλογία δὲ πᾶσα ὅτι
5 ἐντὸς δεκάδος θεωρεῖται, πρόδηλον· καὶ γὰρ ἡ ἀριθμητικὴ ἐν τῇ κατὰ
φύσιν προόδῳ τοῦ ἀριθμοῦ, καὶ ἡ γεωμετρικὴ ἐν τῷ ᾱ β̄ δ̄, ᾱ γ̄ θ̄, καὶ
ἡ ἁρμονικὴ ἐν τοῖς β γ τ. γ δ τ. πάντα οὖν, φησίν, ἀπεδίδοσαν ταῖς
ἀρχαῖς, τουτέστι τῇ τε μονάδι καὶ τῇ δυάδι, στάσιν μὲν καὶ τὸ ἀγαθὸν
μονάδι, κίνησιν δὲ καὶ τὸ κακὸν δυάδι. δύναιντο δ' ἂν ἀρχὰς λέγειν καὶ
10 τὰς δύο συστοιχίας ἐν τοῖς ἄχρι δεκάδος ἀριθμοῖς, καὶ μάλα εὖ, ἐπειδὴ
κἀν τοῖς οὖσι τὰ μὲν τῶν ἀρχῶν ἐξήρτηται μόνων, τῆς τε μιᾶς καὶ τοῖν 25
μετ' αὐτὴν δυοῖν, τὰ δὲ καὶ εἰδητικὴν αἰτίαν προσείληφε· διότι δέ, λόγος
πλείων. Ὃ δὲ ἀντιτίθησιν αὐτοῖς πρὸς τῷ τέλει, λίαν εὐδιάλυτον. εἰ γάρ,
φησί, διὰ τὸ ἓν ἡ τριάς, πῶς οὐχὶ διὰ τὴν τριάδα καὶ ἡ πεντὰς καὶ πᾶς
15 ὁ περιττός, ὥσπερ ὁ ἄρτιος πᾶς διὰ τὴν δυάδα; ἐροῦμεν δὲ ὅτι πρῶτος 30
καὶ ἀσύνθετος ἀριθμὸς μονάδι ἔοικεν εἰδοποιεῖσθαι μόνῃ, δεύτερος καὶ σύνθετος
πρὸς τῇ μονάδι καὶ ἄλλο ἔχει μέτρον· διὸ πάντων τῶν περιττῶν ἡ μονὰς
εἶδος, ὥσπερ ἡ δυὰς τῶν ἀρτίων. ὅλως γὰρ ἀναλογεῖν οὐ τὴν τριάδα χρὴ
τῇ δυάδι κατὰ τὸ ἀρχικόν, ἀλλὰ μᾶλλον τὴν μονάδα. διὰ τούτων δὴ τῶν 35
20 ἐκείνου λέξεων πέφηνε καὶ κατ' αὐτὸν ἑτέρα τις αἰτία, | δι' ἣν ἄχρι δεκάδος 917a
τὰ παραδείγματα προάγουσι τῶν ἀριθμῶν· εἰ γὰρ τὰ αἴτια πάντων θεωρεῖν
ἐν αὐτοῖς βούλονται, πάντων δὲ ὁρῶσιν αἰτίας ἐν τοῖς ἄχρι δεκάδος, περίεργον
ἂν εἴη τῶν ἑξῆς ἀποτίθεσθαι παραδείγματα· καὶ ἔτι τὰ ἕνδεκα οὐ τὴν
μονάδα ἔχειν λέγοιτ' ἂν ὀρθῶς πρὸς τῇ δεκάδι τὴν αἰτίαν τῆς δεκάδος, 5
25 ἀλλὰ τὸ ἓν τὸ οἱονεὶ μόριον τῆς δεκάδος καὶ τῆς δυάδος καὶ ἑκάστου τῶν
ἄλλων ἀριθμῶν.

p. 1084a37 Ἔτι τὰ . . . μέχρι δεκάδος.

Ἔτι, φησί, καὶ ἐκ τῶν μεγεθῶν ἐδείκνυον, ὅτι μέχρι δεκάδος προάγειν
χρὴ τὸν ἀριθμόν. ἔλεγον γὰρ ὅτι ἡ μονὰς ποιεῖ τὸ σημεῖον, ὅπερ οὗτος 10
30 ἄτομον καλεῖ γραμμήν, ἡ δυὰς τὴν γραμμήν, ἡ τριὰς τὸ ἐπίπεδον, ⟨ἡ
τετρὰς τὸ σῶμα⟩, καὶ τούτοις ἀρκεῖται ⟨τὸ πᾶν· ὥστε εἰ ταῦτα τῆς δεκάδος
οὐσία (συντεθέντα γὰρ ἀποτελεῖ τὴν δεκάδα), τὸ πᾶν ἀρκεῖται⟩ τῇ δεκάδι.
κείσθω οὖν καὶ αὕτη ἡ αἰτία, εἰ καὶ ἐλαφροτέρα ἐστὶ κατὰ τὸν μαθηματικὸν
μόνον ἐξεταζομένη [εἰ] καὶ πολλοστὴν ἔχει τάξιν ἀπὸ τῶν ἐμβριθεστέρων, 15
35 ἀλλ' οὖν εἰωθυῖα πρός τινων λέγεσθαι. τέτταρες μὲν ⟨γὰρ⟩ αἱ ἀρχαὶ τῆς

6 post ἀριθμοῦ excidisse ἐν τοῖς ᾱ β̄ γ̄, ᾱ γ̄ ε̄ putat Diels τῷ] τοῖς Diels 7 cf. Alex. 772,11 9 δύναιτο Us. 10 τὰς ante ἐν add. Us. 11 cf. p. 112,14. 160,18 Damasc. I 95,14 τοῖν Bonitz: τὸ C 12 προείληφε C: corr. Us. 13 cf. Alex. 772,16 sqq. 14 φησί Bonitz: φύσει C 16 nempe δεύτερος ⟨δὲ⟩ 20 ἐκείνων C: corr. Bag. 21. 22 ἐν ἀριθμοῖς β., πάντων δὲ ἀριθμῶν αἴτια ἐν τοῖς coni. Us. 23 ἔτι Us.: ὅτι C 28—32 = Alex. 772,22 sqq. 30. 31 add. ex Alex. 31. 32 add. ex Alex. 34 εἰ del. Us. 35 πρὸς AH: πρὸ C γὰρ add. Us.

ὅλης δημιουργίας, ὡς ἐν ἑτέροις ἀποδείκνυται· παράγεται δὲ τὸ τῆς δεκάδος 917a
εἶδος ἐκ τῆς τετρακτύος ἁπανταχοῦ.

p. 1084b2 Ἔτι εἰ ἔστι . . . ὕστερον.

Εὖ καὶ ἠπόρησε καὶ ἔλυσεν ἐκ τῶν παρ' ἐκείνοις εἰωθότων λέγεσθαι· 20
ἡ μὲν γὰρ ἀρχηγικὴ μονὰς καὶ ἀνάλογον οὖσα τῷ θείῳ, ἣν καὶ πάντων
μὲν εἰδῶν πάντων δὲ σχημάτων "κορυφὰν" ἔλεγον οἱ ἀπὸ τοῦ διδασκαλείου,
κατὰ πάντα πρώτη τῶν ἀριθμῶν· ἡ δὲ τὸ ὑποκείμενον συμπληροῦσα τῶν
ἀριθμῶν, ἣν καὶ ὡρίζοντο ποσοῦ τὸ ἐλάχιστον, γενέσει μὲν πρώτη οὐσίᾳ 25
δὲ οὔ. ὁ δὲ καίπερ εἰδὼς ταῦτα καὶ οὕτω χρώμενος αὐτοῖς δεξιῶς οὐκ
ἐπιτρέπει μεταφέρειν αὐτὰ καὶ ἐπὶ τοὺς ἀριθμούς, ἀλλὰ τῇ ὁμωνυμίᾳ τῆς
μονάδος ἀποχρώμενος ταράττειν ἐπιχειρεῖ θεωρίαν ἄριστα τοῖς ἑαυτῆς μέρεσι
συμπληρουμένην· ἄκουε γὰρ οἷα τούτοις ἐπισυνάπτει·

p. 1084b13 Πῶς οὖν . . . ἀρχή.

Ὥσπερ οὖν σὺ ταῦτα διαιρεῖς, καὶ τὸ μὲν εἶδος ἢ τὸ καθόλου κατὰ 30
λόγον φῆς ἀδιαίρετον εἶναι τὸ δὲ στοιχεῖον κατὰ χρόνον, ἐπειδὴ τῆς |
γενέσεως ὁ χρόνος ἀπ' αὐτοῦ ἄρχεται, οὕτω νόμιζε κἀκείνους προτείνειν· 917b
ποῖον ἓν ἐρωτᾷς; τὸ ἀρχηγικὸν ἢ τὸ ὡς ἐν μορίοις ἐλάχιστον; ὅλως δὲ
διαφορᾶς οὔσης παρ' αὐτοῖς ἑνὸς καὶ μονάδος, περὶ ἧς καὶ τῶν πρεσβυτέρων
Πυθαγορείων πολλοὶ διελέχθησαν, ὥσπερ Ἀρχύτας, ὃς φησιν ὅτι τὸ ἓν καὶ 5
ἡ μονὰς "συγγενῆ ἐόντα διαφέρει ἀλλάλων", καὶ τῶν νεωτέρων δὲ Μοδέ-
ρατος καὶ Νικόμαχος, διά τί μεταπηδῶμεν ἀπὸ τῆς μονάδος ἐπὶ τὸ ἕν,
εἰ μὴ ἄρα μὴ δυσφωρατότερον τὸ ἐκείνων γένηται βούλημα.

p. 1084b16 Ὥσπερ . . . μία.

Οὕτως οὖν καὶ ἡ μονὰς ἡ τὸ ὑποκείμενον συμπληροῦσα τῶν ἀριθμῶν, 10
ἀνάλογον τῇ ὀξείᾳ παραλαμβανομένη, καὶ προτέρα καὶ ὑστέρα τῶν ἀριθμῶν,
λόγῳ μὲν ὑστέρα γενέσει δὲ πρεσβυτέρα. ἀμφοτέρως δὴ ποιοῦσι τὸ
ἓν ἀρχήν. ἀλλ' οὐ τὸ αὐτό, ὦ θαυμάσιε, ἀλλὰ τὸ μὲν ἀρχηγικὸν κατὰ
πάντας τρόπους ὡς αἴτιον τῶν ὅλων, τὸ δὲ τῶν μορίων ἐλάχιστον ὡς τὴν
ὀξεῖαν τῆς ὀρθῆς. ἔστι δὲ ἀδύνατον. τὸ αὐτό, ὦ θαυμάσιε· διὸ καὶ 15
τὰ ἑξῆς προσιέμεθα μέν, οὐ φαμεν δὲ κατὰ τῶν ἀνδρῶν εἶναι. τὸ μὲν . . .
ὡς ὕλη. ὁ μὲν ἀριθμὸς πρότερός ἐστιν ὡς εἶδος καὶ ὡς οὐσία, ἡ δὲ
μονὰς ὡς μέρος καὶ ὡς ὕλη· πρόσθες ὅτι ἡ ὑποκειμένη τοῖς ἀριθμοῖς.

---

6 *ex Pythagorae doctrinario* Bag.; Syrianum dedisse ἀπὸ τούτου τοῦ recte suspicatur Us.
7 πρώτην C 9 δεξιῶς C: sub δεξι puncta 11 πράττειν C: corr. Bonitz
14 ὥσπερ οὖν σὺ C: περ οὖν σ- in ras. Cb 20 δὲ ὁ δέρατος C: corr. Us.
22 δυσφωρατώτερον C pro ἄρα μὴ necesse esse ἄρα ἵνα vidit Us. τόκείνων C
24 cf. Alex. 774,18 sqq. 31 ὡς οὐσία C: ἡ οὐσία Us. ex Arist.

p. 1084ᵇ20 Ἔστι γάρ πως . . . ἑκατέρα. 917ᵇ

Τὸ μὲν ἓν ἑκάτερον καὶ ἑκατέρα ὡς ἐπὶ τῶν τῆς δυάδος λέγει μονάδων. φησὶ δὲ ὅτι καθ' ἑαυτὴν ἀποδιαληφθεῖσα τούτων ἑκατέρα δυνάμει ἐστὶ καὶ οὐκ ἐνεργείᾳ, κατά τε τὴν ἀλήθειαν καὶ κατὰ τὴν τῶν πρεσβυτέρων δόξαν· εἰ γὰρ μὴ ἔστι σωρὸς μονάδων ⟨ὁ⟩ ἀριθμός, ἀλλ' ἕκαστος ἐξ ὑποκειμένων μέν ἐστι τοσῶνδε μονάδων, κατὰ τὸ εἶδος δὲ συνέστηκε τὸ ἑαυτοῦ, οὐδὲν ἂν εἴη ἡ ἐν τῇ δυάδι μονὰς ἐνεργείᾳ, πρὶν ἂν κοσμηθῇ τῷ εἴδει τῷ οἰκείῳ. τούτοις οὖν προσέχειν δεῖ, ὅτι οὔτε σύστημα μονάδων ἐθέλει τὸν ἀριθμὸν εἶναι οὔθ' ὅλως εἶναί τι τὰς μονάδας ἐνεργείᾳ, πρὶν ὑπὸ τῶν εἰδῶν κοσμηθῶσιν· εἰ γὰρ καὶ ἄλλου χάριν αὐτὰ παρείληφεν ἐνδείξασθαι βουληθείς, ὅτι τὸ δυνάμει οὐ γενέσει μόνῃ καὶ χρόνῳ τοῦ ὅλου καὶ εἰδοποιημένου προτιθέασιν, | ἀλλὰ καὶ λόγῳ καὶ οὐσίᾳ [καὶ] (πρὸς ὃ καὶ φθάσαντες 918ᵃ ἀπηντήσαμεν, ἄλλην τὴν παρ' αὐτοῖς ἀρχηγικὴν μονάδα λέγοντες εἶναι καὶ ἄλλην τὴν ὑλικήν), ἀλλ' οὖν ἱκανὴν ἔχει πρός τε τἀληθὲς καὶ πρὸς τοὺς πρεσβυτέρους συμφωνίαν.

p. 1084ᵇ23 Αἴτιον δὲ . . . ταῦτα δ' ἅμα τῷ αὐτῷ ἀδύνατον ὑπάρχειν.

Ὅτι μὲν ἀδύνατον τῷ αὐτῷ ταῦτα ἅμα ὑπάρχειν, εὖ λέγεις. οὐκοῦν οὐδ' ἐκεῖνοι τὴν αὐτὴν μονάδα πάντων τε ἀριθμῶν εἶναι περιληπτικὴν ἔλεγον καὶ μόριον ἑκάστου τὸ ἐλάχιστον, ἀλλ' εἴρηται ὅτι τὴν μὲν ἀρχηγικὴν τὴν δὲ ὑλικὴν ᾤοντο εἶναι. οὔτ' οὖν ἐξ ἀμερῶν καὶ ἀτόμων τὰ πράγματα συνετίθεσαν, ὡς οἱ περὶ Δημόκριτον, οὔτε μαθηματικῶς μὲν ἀναστρεφόμενοι μικρὰ περὶ τῆς μονάδος ἐφρόνουν, διαλεκτικῶς δὲ μεγάλα, ἀλλ' ὡς εἴρηται, περὶ ἑτέρας ἐκεῖνα καὶ περὶ ἑτέρας ταῦτα μονάδος ἔλεγον. ὅρα δὲ μή σύ, ὦ θαυμάσιε, τούτοις εἶ περιπετής, τὸ ζῷον καὶ ὅλως τὸ γένος νυνὶ μὲν μέρος λέγων τοῦ εἴδους καὶ τοῦ ἀτόμου, νυνὶ δὲ πρότερόν τε τῇ φύσει καὶ περιληπτικώτερον· κἂν γὰρ διαιρῇτε πολλάκις καὶ τὸ μὲν γενικὸν καλῇτε τὸ δὲ γένος, ἔστ' ἂν μὴ καὶ τῷ γένει διδῷτε ὑπόστασιν, οὐκ ἔνεστιν αὐτὰ μὴ συγχεῖσθαι πρὸς ἄλληλα.

p. 1084ᵇ32 Εἰ δὲ τὸ ἓν . . . γεννῶσι γοῦν τὴν δυάδα πρῶτον.

Ἐπειδὴ ⟨αὐτῷ⟩ τῷ ἑνί, φησί, ταὐτὸν δὲ εἰπεῖν τῇ ἀρχηγικῇ μονάδι, ὁμοιοτέρα ἐστὶν ἡ ἐν τῇ δυάδι μονὰς ἤπερ ἡ δυάς (ἡ μὲν γὰρ διαιρετή, ἡ δὲ ἀδιαίρετος), τὸ δὲ τῇ ἀρχῇ ὁμοιότερον πρότερον, προτέρα ἂν εἴη ἡ

2 cf. Alex. 774,37 ἑκατέρα scripsi ex Arist.: ἑκατέραν C (μονάδα add. Us.) 5 ὁ add. A et habet Alex. 6 τῶν τοσῶνδε Alex. 7 οὐδὲν C: οὐκ Alex. 9 πρίν sine ἄν ne offendat, cf. 88,14. 127,33. 931ᵃ2 Procl. in remp. II 151,27 cum adn. Dürr Philol. suppl. VIII 41 10—12 = Alex. 775,8 sqq. 12 καὶ del. Us. 17 οὐκοῦν C 21 μαθηματικοῖς Cᵃ: corr. Cᵇ 26 διαιρῆται et καλῆται C: correxi (διαιρῇ τε et καλῇς Us.) 27 δίδωτε C: διδῶς Us. 30—33 Alex. 776,11 sqq. 30 αὐτῷ addidi ex Ar. et Alex.

μονὰς ἡ ἐν τῇ δυάδι τῆς δυάδος· οὔ φασι δὲ ἐκεῖνοι. καὶ εὖ γε, ὦ 918a
θαυμάσιε. οὕτω γὰρ ἄν τις καὶ τὴν ὕλην πρεσβυτέραν ἀπέδειξε τοῦ σύμ- 25
παντος κόσμου, ἐπειδὴ ἁπλῆ ἐστι καὶ ἀνείδεος, ὑπάρχει δὲ ταῦτα τῇ μιᾷ
τῶν πάντων ἀρχῇ. ἀλλ' οἶμαι τὴν τῶν ὑστάτων πρὸς τὰς ἀρχὰς ἀντικει-
5 μένως παραλαμβανομένην ὁμωνυμίαν καὶ κατὰ τὴν θρυληθεῖσαν ἀνόμοιον
ὁμοιότητα θεωρουμένην οὐ χρὴ ποιεῖσθαι πρόφασιν εἰς μετάθεσιν τῆς εὐτα-
ξίας τῶν πραγμάτων. 30

p. 1085a1 Ἔτι εἰ . . . ἡ δυάς.

Δῆλον ὅτι ἐκ τῶν δύο ἰδεῶν· ἔστι γὰρ παρ' ἡμῖν κατὰ τὸν μοναδικὸν
10 ἀριθμὸν ὑφισταμένη. εἰ δέ, ὅτι καὶ ἕκαστον τῶν εἰδῶν ἑκάστῳ τε τῶν
ἄλλων καὶ πᾶσιν ἅμα συντάττεται, καὶ ἐν αὐτῇ τῇ φύσει τῶν ὄντων θέλοι
τις εἶναι σύνταξιν τῆς αὐτοδυάδος πρὸς τὸ τριαδικὸν παράδειγμα, καὶ ζητοίη 35
πῶς τὰ συναμφότερα δύο, χαρακτῆρι φήσομεν τῆς | αὐτοδυάδος κατε- 918b
χόμενα· παντὶ γὰρ ἑνὶ τῷ πρὸς αὐτὴν συνταττομένῳ μεταδίδωσιν ἡ δυὰς
15 τοῦ ἑαυτῆς ἰδιώματος, ὥσπερ αὖ πάλιν καὶ ἡ τριὰς τοῦ ἑαυτῆς τρισὶ πᾶσι
συμφύεσθαι πρὸς ἄλληλα βουλομένοις. οὐ μὴν οὕτω μετέχει τὰ πρῶτα
τῶν ὄντων τοῦ εἰδητικοῦ μέτρου τῶν ἀριθμῶν ὡς τὰ ἐγκόσμια πράγματα, 5
ἀλλ' ὥς φαμεν ἡνῶσθαι πρὸς ἄλληλα καὶ μετέχειν ἀλλήλων τὰ θεῖα τῷ
πάντα εἶναι ἐν πᾶσι. ταυτὶ μὲν οὖν παρὰ τῶν πρεσβυτέρων οἰητέον λέγε-
20 σθαι. ἀπόκριναι δὲ καὶ αὐτὸς πρὸς ὁμοίαν ἐρώτησιν· εἰ τὸ κινοῦν τὴν
ἀπλανῆ χωριστὸν αἴτιον ἓν καὶ τὸ τὴν Κρονίαν σφαῖραν ἕν, ἄμφω δυάς·
ἐκ τίνος οὖν αὕτη ἡ δυάς; οἶμαι ὅτι φαίης ἄν 'ἐκ τῶν δύο νῶν· ἡμεῖς
γὰρ αὐτοὺς ἔξωθεν ἀριθμοῦμεν οὐχ ὡς ἀριθμοῖς, ἀλλ' ὡς ἀριθμητοῖς λοιπὸν
προσιόντες'. οὕτως οὖν καὶ ἐὰν καὶ αὐτὸς ἀριθμῇς δύο ἢ τρεῖς τῶν ἰδεῶν,
25 ἀριθμητὰς μὲν αὐτὰς ποιεῖς, ἐρεῖς δὲ συγκεῖσθαι ἐξ ἰδεῶν. ἑκάστῃ τῶν 15
ἰδεῶν ὡς μονάδι χρώμενος.

p. 1085a3 Ἀπορήσειε . . . ὁποτεραοῦν.

Ἃ μὲν ἐν τούτοις ἀπορεῖ, τοιαῦτά ἐστιν. ἆρα τοῦ ἑνὸς τοῦ πρώτου
τὴν πρώτην τῆς δυάδος μονάδα τακτέον ἐφεξῆς ἢ οὔ; εἴτε γὰρ τάξαιμεν,
30 ἔσται δυὰς πρὸ δυάδος· εἴτε μή, τίς ἂν εἴη τούτου αἰτία; καὶ ὅλως πότερον 20
τὴν δυάδα φήσομεν αὐτὴν ἐφεξῆς εἶναι τῷ ἑνὶ ἢ τὴν ἐν τῇ δυάδι μονάδα
ὡς ὁμοιοτέραν οὖσαν τῷ ἑνί; ῥητέον δὲ ὅτι πρὸς μὲν τὸν εἰδητικὸν ἀριθμὸν
οὐδ' ἀπορεῖσθαι χρὴ τὰ περὶ τῶν τοιούτων μονάδων, καθὰ πολλάκις ἐπεση-
μηνάμεθα· πρὸς δὲ τὸν μαθηματικὸν εἰ λέγοιτο, φήσομεν τὰς ἐν ἑκάστῳ
35 μονάδας τῶν ἀριθμῶν καθ' ἑαυτὰς μηδενὶ εἶναι ἐφεξῆς, ὅπου γε οὐδὲ 25
ἐνεργείᾳ εἰσὶ καθ' ἑαυτάς· ὅταν δὲ κρατηθῶσι τῷ εἴδει τοῦ οἰκείου ἀριθμοῦ,

9 aliquid turbatum; ὑμῖν coni. Us. (an ἡ παρ' ὑμῖν?) 18 ἔφαμεν et ἥνωται et μετέχει Us. 22 ὅτι del. aut οἶμαι mutat Us. 28—32 = Alex. 776,31 sqq. 31 τῷ πρώτῳ ἑνί Alex.

τότε ἀλλήλαις μέν εἰσιν ἐφεξῆς, ταῖς δὲ ἐν ἄλλῳ ἀριθμῷ οὐκ ἂν ἐφεξῆς 918b
εἶναι λέγοιντο, ἀλλὰ μᾶλλον οἱ κατὰ τὴν φυσικὴν ἕκθεσιν ἐκκείμενοι ἀριθμοὶ
οὗτοι λέγοιντ' ἂν ἐφεξῆς ἀλλήλοις κεῖσθαι. 30

p. 1085a7 Ὁμοίως . . . εὐλόγοις.

Βουλόμενοι, φησί, καὶ τὰ μεγέθη παράγειν ἀπὸ τῶν δύο ἀρχῶν τοῦ
τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἐκ μὲν τῆς δυάδος φασὶ τήν τε γραμμὴν
τὸ μακρὸν καὶ βραχὺ λαβεῖν, τό τε ἐπίπεδον τὸ στενὸν καὶ πλατύ, τό τε
στερεὸν τὸ βαθὺ καὶ ταπεινόν· ταῦτα γὰρ εἴδη ἐκάλουν τοῦ μεγάλου καὶ 35
μικροῦ τοῦ ἐν τῇ ἀορίστῳ δυάδι. τὴν δὲ | κατὰ τὸ ἕν, φησίν, ἀρχὴν 919a
οὐχ ὁμοίως εἰσῆγον ἅπαντες, ἀλλ' οἱ μὲν αὐτοὺς τοὺς ἀριθμοὺς τὰ εἴδη
τοῖς μεγέθεσιν ἔλεγον ἐπιφέρειν, οἷον δυάδα μὲν γραμμῇ, τριάδα δὲ ἐπιπέδῳ,
τετράδα δὲ στερεῷ (τοιαῦτα γὰρ ἐν τοῖς περὶ φιλοσοφίας ἱστορεῖ περὶ 5
Πλάτωνος)· οἱ δὲ μεθέξει τοῦ ἑνὸς τὸ εἶδος ἀπετέλουν τῶν μεγεθῶν. ταῦτα
δὲ οὔτε πάντα ψευδῶς λέγει περὶ αὐτῶν οὔτε διηρθρωμένως παραδέδοται.
ἀλλ' ὅμως ἴδωμεν τίνα φησὶν ἀδύνατα τούτοις ἕπεσθαι.

p. 1085a16 Ἀπολελυμένα . . . ἐπίπεδον.

Εἴτε, φησί, μὴ σύνεισιν ἀλλήλαις αἱ ἀρχαὶ τῶν μεγεθῶν, ἀπολελυμέναι
ἀλλήλων αἱ διαστάσεις ἔσονται (τὰ γὰρ ἐκ διαφόρων ἀρχῶν ὑποστάντα 10
οὐκ ἀναγκάζεται ἅμα εἶναι), ὥστε ἐπίπεδον ἔσται ἄνευ γραμμῆς· εἴτε σύνεισι,
ταὐτὸν ἔσται ἡ γραμμὴ τῷ ἐπιπέδῳ καὶ τῷ στερεῷ τὸ ἐπίπεδον. ταῦτα
δὲ γράφων ὅτι μὲν καὶ αὐτὸς ἑαυτοῦ συναισθάνεται, πάνυ πέπεισμαι· οὐ
μὴν ἀλλὰ καὶ παρ' ἐκείνων ὑπολαμβανέτω λέγεσθαι, ὡς οὐκ ἔστιν ἀνάγκη 15
ἢ ταὐτὰ εἶναι ἢ κεχωρίσθαι ἀλλήλων, ἀλλ' ἔστι τι μεταξὺ τὸ συνεῖναι μὲν
ταυτότητι, ἑτερότητι δὲ διακεκρίσθαι ἀπ' ἀλλήλων. ὅλως δὲ τὰς μὲν ἀρχὰς
ἅμα οὔσας εὔλογον ἑτερότητι διαφέρειν, ὥσπερ καὶ τοὺς τῆς φύσεως λόγους
ἅμα ὄντας καὶ πάντας ἐν ἀμερεῖ διέκρινεν ἡ ἑτερότης· τὰ δὲ ἐκ τῶν ἀρχῶν 20
ἁπλᾶ μὲν ὄντα καὶ ἄνευ τῶν συνθέτων ὁρᾶται, προϊόντα δὲ εἰς τὸ πρόσω
καὶ συνθετώτερον δεῖται πάντως τῶν ἁπλουστέρων. διὰ τοῦτο γραμμὴ μὲν
ἄνευ ἐπιπέδου καὶ τοῦτο χωρὶς στερεοῦ θεωρεῖται, ἐν δὲ τῷ τελείῳ μεγέθει
πάντα χρὴ παραλαμβάνεσθαι.

p. 1085a19 Ἔτι δὲ γωνίαι . . . ἀποδοθήσεται.

Πῶς ἔτι ταῦτα, φησίν, ἐκ τῶν πολυθρυλήτων ἀρχῶν δύνανται ποιεῖν;
τί γὰρ ἐν τούτοις τὸ ὑπερέχον καὶ ⟨τί⟩ τὸ ἐλλεῖπον; τὸ μὲν οὖν περὶ τῶν
γωνιῶν καὶ πρόχειρόν ἐστιν· ὅτι γὰρ ἡ ὀρθὴ κατὰ τὴν μονάδα μᾶλλον,

---

5—13 = Alex. 777,11 sqq. 14 λέγεται coni. Us. recte 17—20 cf. Alex. 777,23—33 19 καὶ στερεὸν χωρὶς ἐπιπέδου add. Alex. 23 μεταξὺ Bonitz: μετὰ C 25 εὔλογον scripsi: λόγω C λέγε Us. 26 aliquid turbatum, fort. satis est καὶ delere 32—155,4 = Alex. 778,8 sqq. 33 τί add. ex Alex.

ὀξεῖα δὲ καὶ ἀμβλεῖα κατὰ τὴν ἀόριστον δυάδα, ἀφ' ἧς τό θ' ὑπερέχειν 919a
καὶ ὑπερέχεσθαι, πρόδηλον. καὶ τῶν σχημάτων δὲ τὰ μὲν τῇ ἰσότητι καὶ 30
ταυτότητι κατεχόμενα καὶ ὁμοιότητι πρὸς τὴν μονάδα μᾶλλον ὁρᾷ, τὰ δὲ
ἀνισότητι καὶ ἑτερότητι καὶ ἀνομοιότητι πρὸς τὴν δυάδα. λέγω δὲ οὐχ
5 ὅτι καὶ ἕκαστον οὐκ ἐκ τῶν δύο ἀρχῶν· καὶ γὰρ ἡ σφαῖρα καὶ ὁ κύκλος
καὶ τὸ ἰσόπλευρον τρίγωνον καὶ τετράγωνον καὶ κύβος μετέχουσι δυάδος
κατὰ τὸ ἑαυτῶν ποσὸν καὶ οἱονεὶ διαστατόν, καὶ πάλιν δοκίδες καὶ βωμίσκοι | 35
καὶ σκαληνὰ τρίγωνα καὶ ἑτερομήκη προσήκουσι μονάδι. τὸ εἶδος ἐξ αὐτῆς 919b
ὑποδεχόμενα· ἀλλ' ὅμως ὅπερ ἐπὶ τῶν ἀριθμῶν εἰώθαμεν λέγειν, ὡς
10 ἕκαστος μὲν ἐκ τῶν δυοῖν, μᾶλλον μὴν ὁ μὲν περιττὸς κρατεῖται τῷ τῆς
μονάδος ἰδιώματι, ὁ δὲ ἄρτιος τῷ τῆς δυάδος, οὕτω καὶ ἐπὶ τῶν γωνιῶν 5
καὶ τῶν σχημάτων φαμὲν πάντα μὲν ἐκ τῶν δυεῖν ἀρχῶν, μᾶλλον μὴν
ἑτέρων ἕτερα τῇδε ἢ τῇδε προσωμοιῶσθαι.

p. 1085a20 Ταὐτό τε . . . στερεά.

15 Ὅτι μὲν ὥσπερ τὸ περιττὸν καὶ τὸ ἄρτιον ἀριθμῶν πάθη καθ' αὑτά,
οὕτω καὶ μήκους μὲν τὸ περιφερὲς καὶ εὐθύ, πλάτους δὲ τὸ στενὸν καὶ
πλατύ, βάθους δὲ τὸ ταπεινὸν καὶ ὑψηλόν. δεῖ συγχωρεῖν. ἀλλ' ἐπειδὴ 10
ταῦτα οὐκ ἀναιτίως ἐν αὐτοῖς, δῆλον ὡς ἀπὸ τῆς ἀρχῆς αὐτοῖς ἥκει τῆς
οἰκείας, καὶ εἰ μὲν ὀρθοῦ καὶ στάσεως αὐτοῖς μεταδίδωσι, μᾶλλον ἀπὸ
20 τῆς μονάδος εἰς αὐτὰ πρόεισιν, ὡς ἡ ὀρθὴ κατὰ τὰς γωνίας· εἰ δὲ καθ'
ὑπεροχὴν ὁρᾶται καὶ ἔλλειψιν τῷ τε μᾶλλον καὶ ἧττον συνοικεῖ, [καὶ] παρὰ 15
τῆς δυάδος αὐτὰ δέχεται. οὐδ' ἐκεῖνοι οὖν τὰ ἐν τοῖς μεγέθεσι πάθη
τῶν μεγεθῶν ἀρχὰς ἔλεγον, ἀλλὰ τὰ ἐξ ὧν ταῦτα τοῖς μεγέθεσι παραγίγνεται,
ὧν μίαν εἶναι πηγὴν τὴν οἰκείαν αὐτῶν ἀόριστον δυάδα.

25 p. 1085a23 Πάντων . . . τὸ ἀδύνατον.

Ὅτι μὲν εἰ τὰ καθόλου χωριστά ἐστι, καὶ οἱ ἀριθμοί, συγχωρεῖ, 20
ἀπογιγνώσκει δὲ καὶ τούτων κἀκείνων τὸ χωριστόν, ἀδύνατα λέγων ἕπεσθαι
πολλὰ τοῖς χωρίζουσιν αὐτὰ τῶν αἰσθητῶν. ἡμεῖς δὲ οἰόμεθα μὲν εἶναι
καὶ τὰ τῶν αἰσθητῶν ἀχώριστα· καὶ γὰρ ἐν ἐμοὶ τὸν κατατεταγμένον εἶναι
30 τἀνθρώπου λόγον καὶ ἐν σοὶ καὶ ἐν παντὶ τῷ ὁμοειδεῖ, ἔτι δὲ τὸ ζῷον ἐν 25
λέοντι καὶ ἵππῳ καὶ ἀνθρώπῳ καὶ κυνί, τόν τε πέντε ἐν τοῖς δακτύλοις
καὶ τὴν δυάδα ἐν μυκτῆρσι καὶ ὀφθαλμοῖς καὶ χερσὶν εἰ τύχοι καὶ ποσίν.
ἀλλ' ἐπειδὴ οὐκ ἀναιτίως ταῦτα, ἀλλὰ κατά τινας ὡρισμένας ἐπιτελεῖται
φύσεις (ἀεὶ γὰρ οὕτω τά γε μὴ πεπηρωμένα), πᾶσά ἐστιν ἀνάγκη εἶναί
35 τι καὶ ἐν τῇ ὅλῃ φύσει ζῷον χωριστὸν τῶν αἰσθητῶν, καθ' ὃ τοῦτο τὸ 30
φαινόμενον δημιουργεῖται, καὶ ἔτι ἐν τῇ ἀνθρώπου φύσει πεντάδα, καθ'

1 ἀφ' ἧς Alex.: ἐφ' ἧς C 6 κύβοι C: correxi 15—17 = Alex. 778,14 sqq.
15 post πάθη τὰ Ca: del. Cb 21 καὶ del. Us. 32 τοῖς post ἐν Ca: del. Cb
33 ⟨αἰτίας⟩ ἐπιτελεῖται φύσει Us.

ἢν ἡ χεὶρ ἀεὶ τοιούτοις ἄκροις ἐπικοσμεῖται, καὶ δυάδα καθ' ἣν οἱ ὀφθαλμοὶ 919b
δύο καὶ οἱ μυκτῆρες· εἰ δὲ μηδὲ ἡ φύσις ἀφ' ἑαυτῆς ἔχει ταῦτα, ἥκει
δὲ ἐξ ἑτέρας εἰς αὐτὴν αἰτίας, ὥσπερ καὶ ἀπ' αὐτῆς εἰς τὴν ὕλην, καὶ πρὸ 35
φύσεως εἶναι τά τε καθόλου καὶ τοὺς ἀριθμούς, οὐχ οὕτω δὲ ὡς ἐν 920a
5 φύσει· οὐδὲ γὰρ ἡ φύσις εἶχεν ὡς ἰδίδου τῇ ὕλῃ, ἀλλ' ἀμερῶς καὶ δραστικῶς.
ψυχὴ δὲ ἔτι ἁπλούστερον καὶ αὐλότερον, καὶ τὸ ψυχῆς ὑπέρτερον κατὰ τὴν
ὑπεροχὴν τῆς οὐσίας καὶ τὴν τῶν εἰδῶν ἔχει σύζησιν. ἐκεῖνό γε μὴν παρα- 5
φυλακτέον ὡς εὖ παρ' αὐτῷ λεγόμενον τὸ ἢ ἅμα εἶναι χωριστὰ τοὺς ἀριθμοὺς
καὶ τὰ καθόλου ἢ ἅμα ἀχώριστα· ἐξ ὧν συναγάγοις μὲν ⟨ἂν⟩ πολλὰ καὶ ἄλλα
10 (κἂν γὰρ ὁποτερονοῦν αὐτῶν κατασκευάσῃς, συναγάγοις ⟨ἂν⟩ καὶ θάτερον),
οὐ μὴν ἀλλὰ κἀκεῖνο, ὅτι εἰ εἰσὶν ἰδέαι, ἀριθμοί εἰσιν αἱ ἰδέαι· αὐτοῦ γὰρ 10
ὁ λόγος, ὅτι εἰ ἔστι τὰ καθόλου, εἰσὶ καὶ ἰδέαι. καὶ δεχόμεθα τὸ συνημ-
μένον, οὐχ ὅτι ⟨τὰ⟩ καθόλου ἰδέαι (πῶς γάρ, ὅπου τὰ μὲν ἐν ψυχῇ, αἱ δὲ
ἐν νῷ;), ἀλλ' ὅτι τῶν ἀνεπτυγμένων εἰδῶν ὄντων ἔστι καὶ τὰ τούτων ἀμε-
15 ρέστερα καὶ ἀρχηγικώτερα. εἰ τοίνυν οἱ ἀριθμοί εἰσι χωριστοί, ἔστι τὰ
καθόλου· εἰ δ' ἔστι τὰ καθόλου, εἰσὶν ἰδέαι· εἰ ἀριθμοί εἰσι χωριστοί, εἰσὶ 15
καὶ ἰδέαι. ὥσπερ οὖν ὁ εἶδη καταδεξάμενος εἶναι χωριστὰ οὐ πρότερον
λήψει τῆς ἀνόδου, πρὶν ἂν ἐπὶ τὰ ἁπλούστατα ἔλθῃ, οὐκέτι παρ' ἄλλων
καὶ δεύτερα, παρ' ἑαυτῶν δὲ καὶ πρῶτα· οὕτως ὁ χωριστὸν ὑποθέμενος
20 ἀριθμὸν οὐ λήξει πρότερον ἀνιών, πρὶν ἂν ἐπὶ τὰς ἰδέας ἐλθὼν τὴν ἕνωσιν 20
αὐτῶν ἴδῃ τὴν πρὸς τοὺς ἀριθμούς· οἱ μὲν γὰρ μοναδικοὶ κεχωρισμένην
ἔχουσι τοῦ εἴδους τὴν ποσότητα, οἱ δὲ θεῖοι τὸ πᾶν ἑαυτῶν εἶδος ἔχουσιν.

p. 1085a29 Ὅταν γὰρ . . . ἕτερον.

Τῆς μὲν ἀρχηγικῆς μονάδος ἕτερον, ἄλλης δὲ ὑλικῆς οὐχ ἕτερον·
25 ἀδιάφοροι γὰρ πρὸς ἀλλήλας αἱ ὑλικαὶ μονάδες. οἱ μὲν οὖν . . . ὕλης. 25
ἐκ τῆς ἀντικειμένης, φησί, δυάδος, οἷον μακροῦ βραχέος, στενοῦ πλατέος,
ἣν ἡμεῖς ἐκ τῆς ἀρχηγικῆς δυάδος ἤγομεν ἐπὶ τὰ μεγέθη. ἕτεροι . . .
ἀπορεῖν. ἕτεροι δέ, φησίν, οὐ τὰς ἀριθμητικὰς ἀρχὰς καὶ τῶν μεγεθῶν
ἀρχὰς ἔλεγον εἶναι, ἀλλ' ἀνάλογον ταῖς ἀριθμητικαῖς ἀρχαῖς ἵστασαν τὰς
30 γεωμετρικάς. σημεῖον ἀντὶ τοῦ ἑνὸς παραλαμβάνοντες, οὐκ ὂν μὲν ὅπερ τὸ 30
ἕν, ⟨ἀλλ' ἀνάλογον τῷ ἑνὶ ταττόμενον, καὶ ἄλλο τι οὐκ ὂν μὲν ὅπερ δυάς,⟩
ἀνάλογον δὲ τῇ ἀρχῇ ταύτῃ παραλαμβανόμενον, ⟨ὃ⟩ καλεῖ οἷον πλῆθος.
ὅτι μὲν οὖν καὶ οὗτοι ταὐτὰ τοῖς προτέροις ἔλεγον, εἰ καὶ μὴ τοῖς αὐτοῖς
ὀνόμασιν ἐχρῶντο πρὸς δήλωσιν, παντὶ πρόδηλον. ἴδωμεν δὲ ποῖα καὶ 920b
35 τούτοις φησὶν ἕπεσθαι ἄτοπα.

3 δεῖ καὶ πρὸ Bag. 7 σύζησιν scripsi: (διάζησις Porph. ap. Stob. II 167,10): συζήτησιν C
συζυγίαν Us. 9 ἂν addidi 10 ἂν add. Us. 13 τὰ add. Us.
18 fort. post ἄλλων participium excidit velut γεννώμενα 22 possis ⟨ἅμα⟩ ἔχουσιν
23 ἕτερον Arist., ἑτερόν τι ex Alex. ed. Christ 26 cf. Alex. 779,27
28—32 = Alex. 779,29 sqq. 30 τὸ habet C, sed fort. delere voluit Cb
31 ἀλλ'—δυάς add. ex Alex. 32 post ταύτῃ ὑπ' αὐτῶν ex Alex. add. Us.
ὃ addidi; ὅπερ οἷον πλ. ἐκάλουν ex Alex. Bonitz

p. 1085ᵃ35 Εἰ μὲν . . . ἔσται γραμμή. 920ᵇ

Πρῶτον μὲν ἡ ἑτέρα τῶν ἀρχῶν οὐχ ὡς ὕλη τῶν μεγεθῶν ἀλλ' ὡς τῆς ὕλης ὑποστατική, εἴπερ ἀνάλογον ἕστηκε τῇ ἀορίστῳ δυάδι. ἔπειτα τίς ἀνάγκη τῆς αὐτῆς ὕλης οὔσης τὰ αὐτὰ ἄντικρυς ἀποτελεῖσθαι; γένοιτο γὰρ ἂν διαφορὰ παρὰ τὸ εἰδοποιὸν αἴτιον, ὥσπερ ἐπὶ τῶν κοσμικῶν στοιχείων· πῦρ γὰρ καὶ ἀήρ. ὕδωρ τε καὶ γῆ τῇ αὐτῇ μὲν ὕλῃ χρῆται, ταὐτὰ δὲ ἄντικρυς ἀλλήλοις οὐκ ἔστιν. ἀλλὰ καὶ συλλαβὴ καὶ λέξις καὶ λόγος τοῖς αὐτοῖς ὑποκειμένοις χρῶνται (τὰ γὰρ στοιχεῖα τῆς φωνῆς ὕλη πάντων ἐστὶ τούτων), ἀλλ' ὅμως τὰ μέν ἐστιν αὐτῶν ἁπλούστερα τὰ δὲ συνθετώτερα· καὶ τῶν μὲν συνθετωτέρων οὐδὲν ἄνευ τῶν ἁπλουστέρων εἶναι δύναται, ὥσπερ οὐδὲ σῶμα χωρὶς ἐπιπέδου καὶ γραμμῆς, τὰ δὲ ἁπλούστερα καὶ καθ' ἑαυτὰ θεωρεῖται, ὥσπερ δὴ καὶ ἡ γραμμή. εἰ δὲ καὶ διάφοροι μὲν αἱ ὕλαι, ἔποιντο δὲ αἱ μὲν τῶν ἁπλουστέρων ταῖς τῶν συνθετωτέρων, αἱ δὲ τῶν πολυσυνθετωτέρων μηκέτι ταῖς τῶν ἁπλουστέρων, οὐχ ὁρῶ πῶς ἢ τὰ αὐτὰ ἔσται τὰ ἀποτελούμενα ἢ πάντῃ διεζευγμένα ἀλλήλων. τὸ μὲν οὖν διαιρετικὸν αὐτοῦ δεχόμεθα, τὰ δὲ ἑπόμενα ταῖς διαιρέσεσιν οὐδεμίαν ἔχειν ἀνάγκην φήσομεν.

p. 1085ᵇ4 Ἔτι πῶς μὲν . . . τοιαῦτα.

Καὶ οἱ πλῆθος ποιοῦντες τῶν ἀρχῶν τὴν ἑτέραν καὶ οἱ δυάδα ταὐτὰ διανοούμενοι διαφόροις ὀνόμασι κέχρηνται· οὔτε γὰρ πλῆθος οἷον τὸ ἀπογεννώμενον οὔτε δυάδα πλῆθός τι οὖσαν ἐθέλουσιν αὐτὴν εἶναι, ἀλλὰ ποσότητος γεννητικὴν εἰδοποιουμένης ἀπὸ τῆς μονάδος. τὸ δὲ περὶ ἀθέτων καὶ ἀναφῶν καὶ ἀόλων πραγμάτων ὄντος τοῦ λόγου πυνθάνεσθαι, πότερον μίξει ἢ θέσει ἢ κράσει ἢ γενέσει τὴν συνέχειαν τῶν ἀριθμῶν ἀνατίθεμεν, ἀτεχνῶς εἰς σώματα βλεπόντων ἀνθρώπων καὶ οὐδὲ τῶν σωμάτων τὰ συνεχέστερα φήσομεν εἶναι ταῦτα προβλήματα· δῆλον γὰρ ὅτι ἕκαστος τῷ ἑαυτοῦ εἴδει καὶ διὰ τὸ ἑαυτοῦ εἶδος εἴς τέ ἐστι καὶ ὡμοίωται τῇ ἀρχῇ τῇ μοναδικῇ τῶν ἀριθμῶν.

p. 1085ᵇ12 Μάλιστα . . . καὶ ἑνός.

Εὖ μὲν ζητεῖ πόθεν ἑκάστη τῶν ὑλικῶν μονάδων, εὖ δὲ καὶ ἀπογιγνώσκει μὴ εἶναι τὴν ὑλικὴν ὅπερ τὴν ἀρχηγικήν, ἣν αὐτό γε τὸ ἓν κέκληκε· τοῦτο γὰρ καὶ ἡμεῖς | διαμαρτυρόμενοι διατετελέκαμεν. οὐκέτι 921ᵃ μέντοι τὰ ἑξῆς ἀναγκαῖον ἕπεσθαι· οὔτε γὰρ ἐκ μορίου τῆς δυάδος φαμὲν αὐτὴν ὑφίστασθαι (ἅπασα γὰρ ἀρχὴ πλήθους ἀδιαίρετος), οὔτε εἰ ἐκ τῆς δυάδος ὑφίσταιτο, πλῆθός ἐστιν ἤδη· οὔτε γὰρ ἡ δυὰς πλῆθος οὔθ' ὅμοια ἑαυτῇ γεννᾷ. ῥητέον οὖν πρὸς τὴν πρώτην ἐρώτησιν, ὅτι αὕτη ἡ μονὰς

2 πρώτη C: corr. Us. 23 πότερον Us.: τοῦτο C 25 σώματα μεταβλεπόντων C: correxi συναγέστερα C: corr. Bonitz 27 εἴς τέ Us.: ειτ C 31 γε Arist.: τε C 35. 36 ὅμοια ἑαυτῇ corrupta putat Us.

ὑφίσταται μὲν ἐκ τῆς τὸ ὑποκείμενον γεννώσης αἰτίας τῶν ἀριθμῶν, ἔσχε 921ᵃ
δέ τι καὶ τῆς ἀρχικῆς μονάδος, ὡς καὶ αὐτὸς νῦν τε συγχωρεῖ * * * *
καὶ ἐκ τῶν ἀρχῶν ὑφίσταται, καὶ οὐ μερίζεται ἡ δυάς, οὐδὲ ἀριθμὸς ἔσται
ἐν αὐτῇ πρὸ ἀριθμῶν, ἀλλ' αἰτία τῆς τῶν ἀριθμῶν ὕλης. τὰ δὲ αὐτὰ 10
5 δύναιτ' ἄν τις καὶ περὶ τῆς ὕλης ἀπορῆσαι τῶν γενητῶν καὶ λῦσαι τὰς
ἀπορίας ταῖς ἀνὰ λόγον ἀποκρίσεσιν. εἰ γὰρ ζητοίη πότερον ἐκ τοῦ πλήθους
ἢ ἐξ ἑνὸς ὑπέστη, ἐροῦμεν προελθεῖν μὲν αὐτὴν ἐκ τῆς αὐτῆς αἰτίας τῆς
δυοποιοῦ καὶ ἀπειροδυνάμου. καταδέξασθαι δὲ αὐτὴν καὶ τῆς σεμνοτέρας 15
ἀρχῆς ἴνδαλμα, καθὸ καὶ ἓν ἀμηγέπη λέγεται εἶναι, ἕτερον μὲν ἔχουσαν
10 τὸ ἓν καὶ τὸ ἀνείδεον καὶ τὸ ἀνούσιον παρὰ τὰ ἐν τῷ ἀρχηγικῷ ἑνί, καὶ
μᾶλλον ἀντικειμένως· ἰνδάλματα δ' οὖν ἐκείνων ἔσχατα δέχεσθαι, καθὰ
καὶ ἀνομοίως ὁμοιοῦται πρὸς αὐτό.

p. 1085ᵇ23 Ἔτι ζητητέον . . . καὶ τὸ ἕν.

Οὐ περὶ τῶν ἀριθμῶν ἐπιζητεῖ νῦν εἴτε πεπεράτωνται εἴτε μή (τοῦτο 20
15 γὰρ προὔτεινε πρότερον), ἀλλὰ περὶ τοῦ πλήθους τοῦ ἐν τῇ δυάδι, οὐ τῷ
μερισμῷ γεννᾶσθαι τὰς μονάδας ὑπέθετο. φανερὸν δὲ γέγονεν αὐτοῦ τὸ
βούλημα διὰ τοῦ συμπεράσματος· λέγει γάρ· ποῖον οὖν [ὅτι] πλῆθός
ἐστι στοιχεῖον καὶ τὸ ἕν; ῥητέον οὖν ὅτι μηδ' ὅλως ἐστὶ πλῆθος ἐν 25
δυάδι διακεκριμένον, κἂν πλῆθος ὀνομάζηταί ποτε ὡς αἰτίαν ἔχουσα καὶ
20 περιέχουσα γεννητικὴν τοῦ πλήθους ἐν ἑαυτῇ.

p. 1085ᵇ27 Ὁμοίως . . . μεγέθη οὔ.

Τὸ μὲν ζητεῖν πόθεν αἱ πολλαὶ στιγμαὶ τὴν ὑπόστασιν ἔσχον καὶ τὰ
μεγέθη, φιλόσοφον, τὸ δὲ τοιαύτας ἀποκρίσεις ἑαυτῷ διδόναι, τὰς ὑποθέσεις
ἐστὶ τῶν ἀνδρῶν σπουδάζοντος εἰς ἀπορίαν καταβαλεῖν ἐκ παντός. εἰσὶν 30
25 οὖν αἱ μὲν πολλαὶ στιγμαὶ ταῖς ὑλικαῖς ἀναλόγον μονάσιν, ὥστε ἔχουσιν
αἰτίαν μὲν τὴν ὑλοποιόν, ἴνδαλμα δὲ καὶ αὗται τῆς ἀρχῆς τῆς εἰδοποιοῦ
καταδέχονται· τὰ δὲ μεγέθη τὰς μὲν διαστάσεις ἐκ τῆς ἑτέρας ἔχουσι τῶν
ἀρχῶν τῆς ὑλοποιοῦ, τοὺς δὲ λόγους ἐκ τῆς μοναδικῆς. οὔτε οὖν διάστημα 35
χρὴ καλεῖν τὴν τοῦ διαστήματος γεννητικὴν ἀρχὴν οὔτε μόρια τοῦ δια- 921ᵇ
30 στήματος ἐπινοεῖν, ἀφ' ὧν αἱ στιγμαί· οὐ μόνον ὅτι μόρια διαστήματος
οὐκ ἔστιν ἀμερῆ, ἀλλ' ὅτι μήτε διάστημά ἐστιν ἡ ἑτέρα τῶν ἀρχῶν μήτ' 5
ἐπὶ τῆς τὸ πλῆθος ὑφιστάσης δυάδος μονάδας λέγομεν αἰτίας εἶναι τὰς ἐν
αὐτῇ τῶν ἔξω προελθουσῶν μονάδων. ταῦτα γὰρ πάντα δριμέως ἐπινενόηται
παρ' αὐτοῦ διασύρειν τὰς τῶν Πυθαγορείων ἀρχὰς προθυμουμένου.

---

2 fort. ⟨ἀπὸ⟩ τῆς lacunam indicavit Us.; amissum est initium eorum quibus πρὸς τὴν δευτέραν ἐρώτησιν (p. 157,36) oblocutus est Syr. 7 αὐτὴν delere nolui 9 ad ἀμηγέπη C in mg. ὅπως δήποτε καθοτιοῦν· λέγεται δὲ καὶ ἀμωσγέπως 11 ἐκείνου Bag. 14—16 = Alex. 781,20 sqq. 15 οὖ Alex.: ὃ C 18 στοιχεῖόν ἐστι Arist. 19. 20 καὶ περιέχουσα fort. insiticium esse iure suspicatur Us.

p. 1085ᵇ34 Πάντα . . . μεγέθη. 921ᵇ

Ὅτι μὲν τούτων οὐδὲν ὤφθη πρὸς ἔλεγχον ἐκείνων ἀξιόχρεων, μετρίως οἶμαι δεδεῖχθαι. δῆλον δὲ ὅτι οὐδὲ τὰ τοιαῦτα, κἂν μυριάκις μυρία τις ἐπισωρεύῃ, σαλεῦσαι δυνήσεται τἀληθὲς ἐκ τῆς τῶν ἐμφρονεστέρων διανοίας. ἔτι δὲ τὸ . . . αὐτοῖς. μήποτε οὐκ αὐτοὶ διαφωνοῦσιν, ἀλλ' οἱ μετ' αὐτοὺς τὰ μὲν ἠγνόησαν ὅπως εἴρηται, τὰ δ' οὐ προσεποιήσαντο· δρῶσι δὲ αἱ ὁμωνυμίαι εἰς ἄμφω. οἱ μὲν γὰρ . . . ἐποίησαν. εἴρηται ὅτι καὶ οὗτοι τὸν εἰδητικὸν ἔσεβον ἀριθμόν, εἴπερ ὅλως προσήκειν ἐσπούδαζον τοῖς Πυθαγορείοις, μαθηματικοῖς ⟨δ'⟩ ὀνόμασι καὶ ἐπ' αὐτοῦ χρώμενοι παρέσχον ἀφορμὴν τοῖς βουλομένοις λέγειν, ὅτι τοῦ πρώτου καὶ κρείττονος ἀποστάντες περὶ τὸν δεύτερον καὶ καταδεέστερον πᾶσαν τὴν σπουδὴν κατεβάλλοντο. οἱ δὲ . . . λέγουσι. ταῦτα πρὸς ἐνίους μὲν ἀπορρίπτει τῶν ἀπὸ Πλάτωνος· εἴρηται δὲ ἐν τοῖς ἔμπροσθεν ὅπως οἱ ἄνδρες καὶ εἰ ὀνόμασιν ἐχρῶντο τοῖς αὐτοῖς ἐπὶ τῶν διαφόρων λέξεων, ἀλλ' οὖν ἐπρέσβευον αὐτῶν ⟨τὴν⟩ διάκρισιν.

p. 1086ᵃ11 Ὁ δὲ πρῶτος . . . τἀναντία.

Ἐπαινεῖ Πλάτωνα διακρίναντα τῶν εἰδῶν τὰ μαθήματα, καθάπαξ δέ φησι πάντας ὀρθῶς λέγειν κατά τι, κατὰ δὲ τὸ ὅλον διαμαρτάνειν· οἵ τε γὰρ πρῶτοι μὴ προσιέμενοι τὸν εἰδητικὸν ἀριθμὸν ἀρέσκουσιν αὐτῷ οἵ τε μέσοι ἕνα μόνον εἰπόντες εἶναι (εἰ καὶ τὰ μάλιστα προσποιοῦνται δύο λέγειν) οἵ τε διακρίναντες τὸν εἰδητικὸν ἀπὸ τοῦ μαθηματικοῦ· πάντας δὲ οἴεται διαμαρτάνειν τἀληθοῦς, ὅτι περ ὅλως χωριστοὺς ἀριθμοὺς ὑπέθεντο. ῥητέον οὖν ὅτι οὔθ' ἱστόρηται τὰ κατ' αὐτοὺς ὑγιῶς οὔτε ἐγκεκωμίασται οὔτε πολλῷ πλέον ἐγκέκληται. αἴτιον δ' ὅτι . . . Ἐπίχαρμον. δῆλος ἦν εἰς κωμῳδίαν ὁρῶν πρὶν καὶ Ἐπιχάρμου μνησθῆ. ἀρτίως . . . ἔχον. πᾶν μὲν οὖν τοὐναντίον· βαθέως τε γὰρ καὶ σὺν πολλῇ βασάνῳ τἀκείνων εἴρηται καὶ μόγις ἐλαχίστοις ἐν πολλῷ χρόνῳ τὸ | παρ' αὐτοῖς ἀληθὲς ἀναφαίνεται. 922ᵃ

p. 1086ᵃ18 Ἀλλὰ . . . οὐθὲν μᾶλλον.

Εὖ πάνυ κατεστοχάσατο ἡμῶν ὁ φιλόσοφος, ὅτι κἂν μυριάκις τοσαῦτα συνθῇ παίγνια πρὸς τοὺς ἀλόντας τῷ θαύματι τῆς παλαιᾶς φιλοσοφίας, οὐδὲν ἀνύτει· πάσας γὰρ ἐποιήσατο τὰς ἐπιχειρήσεις ὡς πρὸς μοναδικοὺς ἀριθμούς, τῶν δὲ θείων οὐδεὶς τοιοῦτος, ἀλλὰ μόνος εἴπερ ὁ μαθηματικός. ἐπεὶ ὅτι καὶ αὐτὸς ὁμολογεῖ μηδὲν εἰρηκέναι πρὸς τὰς ἐκείνων ὑποθέσεις μηδ' ὅλως παρακολουθεῖν τοῖς εἰδητικοῖς ἀριθμοῖς, εἴπερ ἕτεροι τῶν μαθηματικῶν εἶεν, μαρτυρεῖ τὰ ἐν τῷ δευτέρῳ τῶν Περὶ τῆς φιλοσοφίας ἔχοντα

---

1 μεγέθη χωριστά Arist. 8 ἐσέβοντ' Us. 9 δ' add. Bonitz 11 an τὸ δεύτερον? 14 nempe τάξεων 15 τὴν inserui 18 μὲν ante λέγειν add. Us. 23 αὐτοὺς Bonitz: αὐτὸ C 25 μνησθῆναι Us. 32 εἴπερ ἄρα coni. Us. 35 fr. 9 Rose

τοῦτον τὸν τρόπον· "ὥστε εἰ ἄλλος ἀριθμὸς αἱ ἰδέαι, μὴ μαθηματικὸς δέ, 922a
οὐδεμίαν περὶ αὐτοῦ σύνεσιν ἔχομεν ἄν· τίς γὰρ τῶν γε πλείστων ἡμῶν
συνίησιν ἄλλον ἀριθμόν;" ὥστε καὶ νῦν ὡς πρὸς τοὺς πολλοὺς τοὺς οὐκ
εἰδότας ἄλλον ἢ τὸν μοναδικὸν ἀριθμὸν πεποίηται τοὺς ἐλέγχους, τῆς δὲ
5 τῶν θείων ἀνδρῶν διανοίας οὐδὲ τὴν ἀρχὴν ἐφήψατο. 15

Μέχρι τούτων ἔνιοι τὸ M προάγουσι, τὰ δὲ ἑξῆς τοῦ τρίτου προβλή-
ματος ὄντα τῷ N προσνέμουσι· ζητήσει γὰρ λοιπόν, εἰ ἀρχαὶ τὰ εἴδη καὶ
οἱ ἀριθμοί. τὰ μέντοι πολλὰ τῶν βιβλίων κατὰ τὴν τοῦ Ἀλεξάνδρου διαίρεσιν
ἐν τοῖς ἑπομένοις ἔχει τὴν τῶν βιβλίων τομήν. διαφέρει δὲ ἡμῖν οὐδὲν 20
10 πρὸς τὸ προκείμενον οὔθ' οὕτως οὔτ' ἐκείνως τὰ βιβλία διαιρούμενα, μέχρι
γε μηδὲν τῶν λεγομένων ἀνῶμεν ἀνεξέταστον.

p. 1086a21 Περὶ δὲ . . . τῆς νῦν.

Περὶ μὲν γὰρ τῶν φυσικῶν ἀρχῶν ἔν τε τῇ Φυσικῇ τὰ δοκοῦντα
ἑαυτῷ λέγει κἀν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς πρὸς πολλοὺς τῶν πρε- 25
15 σβυτέρων ἀποτείνεται· περὶ δὲ ἠθικῶν ἀρχῶν ἢ λογικῶν οὐ τῆς παρούσης
εἰπεῖν προθέσεως, εἴρηκε δὲ καὶ περὶ τούτων ἐν Ἠθικοῖς καὶ ἐν Ἀπο-
δεικτικοῖς κἀν τῷ Γ τῆσδε τῆς πραγματείας. ὅσα δὲ οἱ . . . λέγουσι.
προείρηται πολλάκις, ὅτι πανταχοῦ μὲν ἀρχαὶ τὸ ἓν καὶ μετ' αὐτὸ μονὰς
καὶ ἡ ἀόριστος δυάς, οἰκείως δὲ καθ' ἑκάστην τῶν ὄντων τάξιν αὗται 30
20 θεωροῦνται. προσεκτέον δὲ οἷς λέγει καὶ θεωρητέον, εἴ τι τούτων | τῶν 922b
ὑποθέσεων ἀνατρεπτικὸν λέγεται.

p. 1086a29 Οἱ μὲν οὖν . . . πρότερον.

Εἰκότως οὕτω σοι φαίνονται λέγειν, ἐπειδὴ μόνας οὐσίας εἶναι τὰς
ἀτόμους τίθεσαι· οἱ δὲ μᾶλλον μὲν καθ' ὑπερβολὴν δυσεπινόητον τῶν σῶν
25 οὐσιῶν οὐσίας εἶναι τὰ εἴδη τίθενται, μᾶλλον δὲ περιληπτικὰ τῶν καθόλου 5
ἑνιαίως τε προειληφέναι καὶ τῶν καθόλου καὶ τῶν ἀτόμων τὰς αἰτίας, οὔτε
καθόλου ὄντα κατὰ τοὺς τῆς ψυχῆς λόγους οὔτε ἄτομα καὶ ἓν ἀριθμῷ κατὰ
τὰ ἐν τῇ ὕλῃ τῶν ἐσχάτων εἰδώλων φαντάσματα.

p. 1086a35 Αἴτιον δὲ . . . ἐστί.

30 Καὶ ἡμεῖς εἴπομεν ἐν τοῖς ἔμπροσθεν, ὡς οὔτε ἡρακλειτίζοντες ἦλθον 10
ἐπὶ τὰ εἴδη οὔτε Σωκράτης ὑγιῶς ἐπαινεῖται διὰ τὸ μὴ χωρίσαι τῶν αἰσθη-
τῶν τὰ καθόλου· οὐ γὰρ ἀχώριστα μόνα ᾤετο εἶναι [τὰ] καθόλου, ἀλλὰ
καὶ τοιαῦτα μὲν οἷα δή ἐστι καὶ τὰ ἀόριστα. οὐ μὴν ἀλλὰ καὶ χωριστά,

6 προάγουσι C: corr. Bag. 10. 11 μόνον γε coni. Us. cl. p. 81,13. 89,27
13—16 cf. Alex. 725,8 sqq. 14 κἀν Us.: καὶ C 32 οὐ γὰρ ἀχώριστα edidi: οὔτε ἀχώριστα C ὃς ἀχ. Us. qui μὲν scribit pro μόνα et καὶ delet post ἀλλὰ et lacunam statuit ante οὐ μὴν v. 33 τὰ delevi; quod si servare velis, pro μόνα μόνως scribere possis

ὡς ὁ περὶ τῆς ἀναμνήσεως δηλοῖ λόγος προχειρότατος ὢν αὐτῷ Σωκράτει, 922b
"ὃν σύ, φησίν, εἴωθας θαμὰ λέγειν", καὶ πολλῷ δικαιότερός ἐστιν ἐπαινεῖ- 15
σθαι διὰ τὴν ὑπεροψίαν μὲν τῶν αἰσθητῶν, ἐνθεαστικὴν δὲ περὶ τὰ θεῖα
τῶν εἰδῶν ἀναστροφήν. ἀλλὰ ταῦτα μὲν προείρηται. ἐπειδὴ δὲ σαφῶς
5 ὁμολογεῖ μὴ εἶναι λαβεῖν ἐπιστήμην ἄνευ τῶν καθόλου, ποίων καθό-
λου, ζητήσομεν παρ' αὐτοῦ μαθεῖν. ἆρα τῶν ἀχωρίστων; ἀλλὰ ταῦτα 20
μόριά ἐστι τῶν αἰσθητῶν καὶ ὅλης ἐπέχει λόγον ὡς πρὸς αὐτὰ καὶ οὔτε
πρότερα αὐτῶν ἐστιν οὔθ' ὕστερα· τὰς δὲ ἀποδείξεις καὶ τὰς ἐπιστήμας ἐξ
αἰτίων καὶ προτέρων καὶ οἰκείων παραγίγνεσθαι πολλάκις διισχυρισάμεθα·
10 καὶ μὴν καὶ τοῦτο παρ' αὐτοῦ λαβόντες ἔχομεν οὐ μόνον ἐν ἄλλαις πρα- 25
γματείαις, ἐν αἷς προηγουμένους τοὺς περὶ τούτων ποιεῖται λόγους, ἀλλὰ
κἀν τοῖς ὀλίγον ἔμπροσθεν εἰρημένοις, ὅτι τὸ κατηγορούμενον καθόλου ἕτερόν
τί ἐστι τοῦ ὡς μέρους ὑπάρχοντος τῷ ἀτόμῳ καὶ εἰς ταὐτὸν αὐτῷ συνδρα-
μεῖν οὐκ ἄν ποτε δύναιτο. εἰ τοίνυν αἱ ἀποδείξεις πᾶσαι ἐκ τῶν καθόλου
15 κατηγορουμένων, οὐκ ἂν εἶεν ἐκ τῶν ὑπαρχόντων τοῖς πράγμασιν. ἔπειτα 30
εἰ διὰ τῶν καθόλου τῶν ἀχωρίστων αἱ ἀποδείξεις, πρῶτον | μὲν οὐ κατὰ 923a
παντὸς τοῦ ἀνθρώπου τὸ ζῷον εἰρήσεται· τὸ γὰρ ἐν τῷ ἀνθρώπῳ ζῷον
οὐ δήπου καὶ τὸ λογικὸν ἢ τὸ γελαστικὸν ἢ τὸ θνητὸν περιέχει. καθόλου
δὲ καταφάσεως ἀνῃρημένης ἴσμεν ὅτι κινδυνεύουσι καὶ συλλογισμοὶ πάντες
20 ἀνῃρῆσθαι. μήτοι γε δὴ ἀποδείξεις περιλείπεσθαι. εἶτα τίνα ἔσται τὰ ἀπο- 5
δεικτά, εἰ δι' ὧν αἱ ἀποδείξεις, ταῦτα καθόλου καὶ ἀχώριστα; οἱ μὲν γὰρ
χωριστὰ ποιοῦντες τὰ δι' ὧν αἱ ἀποδείξεις ἅμα μὲν ἐξ αἰτίων τὰ αἰτιατὰ
δεικνύουσιν, ἅμα δὲ τὰ ἀποδεικτὰ δύνανται δεικνύναι, καὶ ἐν χωρισταῖς ὄντα
οὐσίαις, καὶ ἐν ἀχωρίστοις μὲν καθολικώτερα δέ. ἀλλὰ χωριστὰ μὲν ποιήσο- 10
25 μεν τὰ δι' ὧν αἱ ἀποδείξεις, ὑστερογενῆ δὲ καὶ ἀνούσια, ὥσπερ ὁ κατ'
ἐπίνοιαν ἄνθρωπος ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν ἐν ταῖς φαντασίαις ἡμῶν
ἢ ταῖς δόξαις τὴν ὑπόστασιν εἰληφώς; ἀλλ' οὕτω πάλιν οὔτε ἐκ προτέρων
οὔτε ἐξ αἰτίων αἱ ἀποδείξεις ἔσονται, ἐξ ὑστέρων δὲ καὶ αἰτιατῶν, καὶ
ἔτι διὰ τῶν μὴ ὄντων τὰ ὄντα γνωριοῦμεν, ὃ πάντων ἐστὶν ἀλογώτατον. 15
30 εἰ ἄρα καὶ πρὸς ἡμᾶς αὐτοὺς καὶ πρὸς τὰ πράγματα συμφωνήσομεν, τῶν
μὲν αἰσθητῶν τοὺς φυσικοὺς λόγους προθήσομεν, τούτων δὲ τὰς ἐννοίας
ἡμῶν τὰς θεωρούσας τὰ ὄντα διὰ τῆς τῶν καθόλου λόγων ἀναπλώσεως,
ἐξ ὧν καὶ ἀπόδειξις φύεται καὶ πᾶν ἐπιστήμης γένος, αὐτῶν δὲ πάλιν τού- 20
των τὴν ἐν νῷ κρατιστεύουσαν τῶν ὅλων εἰδητικὴν οὐσίαν. αἱ δὲ πρὸς
35 τὰ θεῖα ταῦτα δόγματα τῶν ἐνστάσεων ἀπαντῶσαι αἱ μὲν τυφλῶν εἰσιν
ἀνθρώπων, αἱ δὲ οὐ χαλεπῶς διελέγχονται.

1 τῷ post αὐτῷ add. Us. Plat. Phaed. 72e 2 σὺ Plat. οὐ C
5 τῶν καθόλου legit apud Arist. 1086b6 ut Alex., non τοῦ κ. 6 μὲν post ταῦτα add. AH 8 δὲ Us.: τε C 9 οἰκείων] an ὁλικωτέρων? 15 ἐνυπαρχόντων coni. Us. recte 18 λογικὸν ἢ C: λογικὸν καὶ AH ἢ τὸ θνητὸν insiticium putat Us. 22 αἰτιατὰ Bag.: αἴτια C 23. 24 καὶ ἐν . . . καὶ ἐν C: an ἢ ἐν . . . ἢ ἐν? 24 καθολικώτεραι C: corr. Bag.

p. 1086ᵇ7 Οἱ δ' ὡς . . . ἐξέθεσαν.

Ἐξέθεσαν μὲν εἶπεν οἷον μερικὰς ἐποίησαν· τοιαύτη γὰρ ἡ ἔκθεσις. 923ᵃ
ὅτι δὲ καίπερ πλουτοῦντες νοήμασιν οἱ περὶ Πλάτωνα ὅμως διὰ τὸ τὴν τῶν 26
ὄντων πρόοδον εἰκόνας ἔχειν ἐν ταῖς τελευταίαις τάξεσι τῶν πρώτων ἦλθον
5 ἐπὶ τὸ κυρίως μὲν τοῖς θείοις ἐφαρμόζειν ταῦτα τὰ ὀνόματα, δευτέρως δὲ
καὶ πολλοστῶς τοῖς αἰσθητοῖς, δῆλόν ἐστι τοῖς συνετωτέροις. ὥστε συμ- 30
βαίνειν . . . τῶν εἰρημένων. οὔτε γὰρ πάντα ὅσα ἐστὶν ἐν νῷ δεδύνηται
τὸ αἰσθητὸν ἔχειν, καὶ ἔνια ⟨ἐκ⟩ τῶν τῇδε συνεισῆλθε τῇ τῶν πραγμάτων
προόδῳ, ὥσπερ διάστημα καὶ τόπος προαίρεσίς τε ἡ ἀμφίβολος περὶ τὴν
10 ἡμετέραν οὐσίαν. διό μοι δοκεῖ | καὶ αὐτὸς τὸ σχεδὸν προσθεῖναι. ῥητέον 923ᵇ
δὲ ὅτι οὐδ' ὧν εἰκόνας ἔχει νοητῶν τὸ αἰσθητόν, οὐδὲ τούτοις εἰς ταὐτὸν
ἔρχεται· ἄλλο γὰρ αἰτία ποιητική τε καὶ παραδειγματική, καὶ ἄλλο τὸ ὑπ'
αὐτῆς καὶ κατ' αὐτὴν ἀποτελούμενον· εἰ δὲ ὡμοίωται τὰ τελευταῖα τοῖς
μέσοις καὶ τοῖς πρώτοις, τί ἂν ἄτοπον εἴη τοῖς αὐτοῖς ὀνόμασιν ἐπὶ πάντων 5
15 κεχρῆσθαι; καὶ γὰρ σὺ ζῷον εἶναι φῂς τόν τε πρῶτον θεὸν τό τε αἰσθητὸν
καὶ τὸ γεγραμμένον, καὶ οὐδεὶς ἐπ' αὐτῷ τούτῳ δυσχεραίνει.

p. 1086ᵇ14 Ὃ δὲ καὶ τοῖς λέγουσι . . . ἔστι δ' ὡς οὔ.

Χαλεπὸν μὲν ἀπαντῆσαι πρὸς τὰ ῥηθέντα διὰ τὴν ἐν τοῖς ὀνόμασι 10
σύγχυσιν· ἀρχάς τε γὰρ καὶ στοιχεῖα τὰ αὐτὰ μεταλαμβάνων καλεῖ, καὶ
20 ἔτι ὄντα πότερον τὰ νοητὰ † σώματα δηλοῖ ἢ τὰ ὅπως ποτὲ ὄντα, διστά-
σειεν ἄν τις ἴσως. εἰ μὲν γὰρ περὶ τῶν ὄντως ὄντων οἱ λόγοι, τὰ κυρίως
στοιχεῖα οὐκ ἂν ἐν αὐτοῖς περιλαμβάνοιμεν, ἀλλ' ἀρχὰς μὲν ἔχειν φήσομεν 15
τελικὰς καὶ ποιητικάς, τὰ δὲ κυρίως λεγόμενα στοιχεῖα οὐκ ἔστιν ἐν τοῖς
ἁπλουστάτοις εἴδεσιν. εἰ δὲ καὶ τὰ αἰσθητὰ περιλαμβάνει, δοτέον μὲν ἐν
25 τούτοις εἶναι καὶ ⟨τὰ⟩ στοιχεῖα καὶ τὰς ἄλλας ἀρχάς· ὅμως δὲ οὐχ εἷς ὁ
λόγος περὶ πασῶν ἀρχῶν, ἀλλ' αἱ μὲν στοιχειώδεις ἀχώριστοι, αἱ ⟨δὲ⟩
κυρίως ἀρχαὶ χωρισταί. εἰ δὲ χρὴ πρὸς τὴν διάνοιαν ἀπιδόντας ἡμᾶς 20
τὴν τοῦ φιλοσόφου τῆς ἀμφιβολίας τῶν ῥημάτων ὑπεριδεῖν, δοκεῖ μοι τὴν
μὲν ἀναίρεσιν τῶν χωριστῶν οὐσιῶν παραιτήσασθαι, μὴ πᾶσα ἄρδην ἀφανι-
30 σθεῖσα συνανέλῃ καὶ τὴν φαινομένην οὐσίαν (καὶ τοῦτο λίαν ἐμφρόνως καὶ
ἑαυτῷ συμφώνως· καὶ γὰρ ἀλλαχοῦ ἔδειξεν, ὅτι ἐὰν μή τι ἀπειροδύναμον 25
ᾖ * * * καὶ πεπερασμένην ἔχει τὴν δύναμιν)· πάλιν δὲ προσέσθαι τὴν
χωριστὴν οὐσίαν ἄπορον αὐτῷ καταφαίνεται, ἐπειδὴ τὰς ἀρχὰς αὐτῆς εἰ
μὲν ἀτόμους ὑποθοῖτο, τοσαῦτα οἴεται ἔσεσθαι τὰ ὄντα ὅσαι αἱ ἀρχαί (ὁρᾷ

2 = Alex. 786,33 3 καὶ περιπλουτοῦντες C. correxi 8 ἐκ inserui
10 dubito de ἡμετέραν οὐσίαν 11 ἔχειν C: corr. Brandis 20 νοητὰ καὶ ἀσώματα Us.; placeret μόνα 22 παραλαμβάνοιμεν C: corr. H ἔχειν C: nempe ἐκεῖ (ἐνεῖναι Us.) 25 τὰ add. Us. 26 δὲ add. Bag. 29 τῆς χωριστῆς οὐσίας Us. 31 cf. Arist. phys. III 4 p. 203ᵇ20 32 optime Bag.: *nisi sit aliquid quod infinitae virtutis sit, nihil fere quod et finitam virtutem habeat;* de verbis ipsis despero

γὰρ αὐτὰς ὡς στοιχεῖα νῦν) καὶ ἐπιστήμην αὐτῶν οὐ καταλείψειν (τῶν 923ᵇ
γὰρ ἀτόμων οὐκ ἔστιν ἐπιστήμη, ὡς αἱ ἀποδείξεις καὶ οἱ ὁρισμοὶ δηλοῦσιν)· 30
εἰ δὲ καθόλου, [τὸ] μὴ εὔλογον εἶναι τῆς οὐσίας ἀτόμου οὔσης ἀρχὴν εἶναι
ἀνούσιον· δοκεῖ γὰρ αὐτῷ τὸ καθόλου ἀνούσιον εἶναι. εἴπωμεν οὖν τέως
5 πρὸς ταῦτα, ὅτιπερ αἱ ἀρχαὶ τῶν | ἰδεῶν οὔτε ἄτομοί εἰσιν οὔθ' οὕτω 924ᵃ
καθόλου, ὡς τὰ ἐν ψυχῇ εἴδη ἢ τὰ ἐν τῇ φύσει ἢ τὰ ἐν τοῖς αἰσθητοῖς
ἢ τὰ ὑστερογενῆ φαντάσματα. ἃ δὴ μόνα τῶν καθόλου καὶ ἀνούσιά τις ἂν
φαίη δικαίως· ἀλλ' εἰσὶ πρὸ πάντων τούτων αἰτίαι μὲν οὖσαι τῶν ὅλων,
οὐδὲν δὲ ὧν ἐστι τὰ ἐξ αὐτῶν ἀπογεννώμενα, ὅπου γε οὐδὲ αἱ ἰδέαι αἱ 5
10 ἀπ' αὐτῶν προελθοῦσαι ἄτομοι ἢ καθόλου. ἀλλὰ τὸ ἐξῃρημένον τούτων
εἶδος καὶ νοερόν· ὥσπερ γὰρ τὸ μὲν ἄτομον ὑλικόν (ἐν γὰρ τῇ ὕλῃ μόνῃ
μερίζονται καὶ ὥσπερ ἀποτεμαχίζονται οἱ λόγοι), τὸ δὲ καθόλου ψυχικόν,
οὕτω τὸ ἀμέριστον πάντῃ νοερόν. διὰ τί δὲ καὶ τὸ καθόλου πᾶν ἀνούσιον 10
εἶναί φαμεν;

15 Τῶν οὖν ἀπορηθέντων τὰ μὲν † ἂν ἐμφρόνως εἴρηται, τὰ δὲ πρὸς
τοὺς θεμένους οὐδεμίαν ἰσχὺν οὐδὲ ἀλήθειαν ἔχει· λοιπὸν δὲ ἡ ἐπίκρισις
αὐτοῦ λίαν ἔχει τὸ βίαιον· ἀξιοῖ γάρ, ὥσπερ τὰ στοιχεῖα τῆς φωνῆς ἀπείρους
ποιεῖ φωνάς, οὐκ ὄντα χωριστὰ τῶν φωνῶν, οὕτω καὶ τὰς ἀρχὰς τῶν 15
ὄντων ἀχωρίστους οὔσας τῶν ἀτόμων * * τῇ αἰσθητῇ οὐσίᾳ. ἀλλὰ πρῶτον
20 μὲν οὐ τοιαύτας ἐκεῖνοι τὴν μονάδα καὶ τὴν δυάδα· ἔπειτα ὥσπερ ἐνταῦθα
ἡ διάνοιά ἐστι καὶ ἡ λεκτικὴ φαντασία ἡ μετατιθεῖσα τὰ στοιχεῖα καὶ τῇ
ποιᾷ μεταθέσει τὰς διαφόρους ἀποτελοῦσα φωνάς, οὕτω καὶ ἐν τῷ παντὶ
τί ἐστι τὸ μετατιθὲν τὰ στοιχεῖα καὶ τὴν ἀειγενεσίαν διασῴζον; εἰ μὲν γὰρ 20
χεῖρον διανοίας, ὅρα μὴ τὰ μέρη τῶν ὅλων σεμνότερα ποιῶμεν καὶ τὰ
25 συμβεβηκότα τῶν οὐσιῶν καὶ τὰ θνητὰ τῶν θείων καὶ τὰ ἀεὶ ὡσαύτως
ἐνεργοῦντα τῶν ὀλιγάκις κατορθούντων, εἴ γε τὰ μὲν περὶ ἡμᾶς διανοίᾳ,
τὰ δὲ ὅλα μηδὲ λόγῳ κυβερνᾶσθαι φήσομεν. εἰ δὲ νοῦς τις καὶ ταῦτα 25
μετατίθησιν ὁ δυνάμει ἢ ὁ ἐνεργείᾳ ἢ καὶ ὁ συναμφότερος, δῆλον ὡς εἰ
μὲν αὐτῷ τῷ εἶναι δημιουργοίη, τήν τε αἰτίαν ἔχει τῶν ἀποτελουμένων
30 ἐν ἑαυτῷ καὶ εἰκόνας ὑφίστησιν ἑαυτοῦ (τοιαῦτα γὰρ πάντα ἐστὶ τὰ τῷ
εἶναι ποιοῦντα)· εἰ δὲ προαιρέσει καὶ μεταβατικῇ νοήσει, πάλιν εἰς τί τῶν
ἐν ἑαυτῷ τεταγμένων καὶ ὡρισμένων ἀφορῶν ταῦτα δημιουργήσει; οὐ γὰρ 30
δὴ ἐμπλήκτως οὐδὲ ἀσταθμήτως κατὰ τοὺς παρ' ἡμῖν ὅ τι ἂν τύχωσι δια-
πραττομένους. ἀμφοτέρως δὲ τὰ εἴδη τῶν δημιουργημάτων ἕξει ἐν ἑαυτῷ· 924ᵇ
35 οὐδὲ γὰρ ἂν οὐδ' ἡμεῖς ἐξ ὡρισμένων στοιχείων τῶν κὸ ἀπείρους ἠδυνά-
μεθα φωνὰς ὑφιστάνειν, εἰ μὴ καὶ ἑκάστου αὐτῶν τὸ εἶδος εἴχομεν ἐν ἡμῖν

1 καταλείψει C: corr. Us. 3 τὸ del. Bag.., possis transferre ante τῆς
4 εἴπομεν C: corr. Bag. 8 nempe ⟨ἄλλαι⟩ αἰτίαι 9 ὧν αἴτια τὰ coni. Us.; immo ad οὐδὲν cogitando supplendum οὖσαι 10 fort. τούτων ⟨ἔχουσιν⟩
12 ἀποτεμμαχίζονται C 15 λίαν Us., possis etiam πάνυ 19 excidisse v. g. ἐνυπάρχειν recte putat Us. 20 ὑπέθεντο post ἐκεῖνοι add. Bag. 23 praestaret τί ἐστι, nisi γὰρ esset post μέν 27 μηδὲ scripsi: μὴ C 34 malim δὴ

αὐτοῖς καὶ πάντων αὐτῶν τῆς συνθέσεως τοὺς λόγους. διὰ τί γὰρ τὰ μὲν 924b
ἄλογα βραχείας ἔχει τὰς τῶν οἰκείων παθῶν ἐξαγγελτικὰς φωνάς, ὁ δὲ 5
ἄνθρωπος μυριάκις μυρίαις ἐξαλλαγαῖς χρώμενος οὐ λήγει ποτὲ τὰς καθ'
ἕκαστα τεκταινόμενος; τὸ δὲ καὶ τὴν μὲν τῶν καθόλου ἐπιστήμην δυνάμει
5 λέγειν εἶναι, τὴν δὲ τῶν καθ' ἕκαστα ἐνεργείᾳ, φανερῶς ἀνατρέποντός ἐστι
διὰ τὴν πρὸς τοὺς παλαιοτέρους φιλονεικίαν τά τε ἐν τοῖς Ἀποδεικτικοῖς 10
αὐτῷ ῥηθέντα, ὅτι τῶν καθ' ἕκαστα οὐκ ἐγχωρεῖ γίγνεσθαι ἐπιστήμην,
μήτοι γε δὴ ἀμείνω καὶ τελειοτέραν τῆς τῶν καθόλου. καὶ ὡς ἔοικεν ὁ
πρῶτος τρόπος τοῦ πρώτου σχήματος ὁ ἐκ δύο καθόλου καταφατικῶν
10 συνάγων, ὃν ἐν ἄλλοις ἀποδεικτικώτατον εἶναι λέγει, οὐ ποιεῖ συμπέρασμα 15
τέλειον οὐδ' ἐπιστημονικὸν ἐνεργείᾳ, ἀλλ' ἔσονται οἱ ἐκ καθόλου καὶ μερικῆς
τελειότεροι, μάλιστα ἐὰν ᾖ τῶν καθ' ἕκαστα ἡ ἐλάττων. τὸ μὲν οὖν τὴν
αἴσθησιν προηγουμένως μὲν τοῦ ἀτόμου εἶναι, κατὰ συμβεβηκὸς δὲ τοῦ ἐν
τῷ ἀτόμῳ κοινοῦ συγχωρείσθω· τὸ δὲ διὰ τοῦτο καὶ τὴν γραμματικὴν
15 ἀξιοῦν προηγουμένως μὲν εἶναι τοῦδε τοῦ ᾱ, κατὰ συμβεβηκὸς δὲ τοῦ κοινῶς 20
α ψευδές ἐστι. μᾶλλον γὰρ τῶν καθόλου εἰσὶν αἱ τέχναι· γεννῶσι δὲ καὶ
κρίνουσι καὶ τὰ καθ' ἕκαστα τῷ ἔχειν τοῦ κοινοῦ τὰς αἰτίας· οἶδε μὲν
γὰρ ὑγιάζειν ὁ ἰατρὸς ἄνθρωπον καὶ οὐχὶ Καλλίαν· ὅταν δὲ μετὰ τῆς ὕλης
ἐνεργῇ, τὸ ἄτομον ὑγιάζει διὰ τὸ τοὺς περὶ ὑγιείας λόγους προειληφέναι. 25
20 καὶ ὁ γραμματικὸς οἶδε μὲν τὴν δύναμιν τοῦ ᾱ ψιλουμένου τε καὶ δασυνο-
μένου, βραχυνομένου τε καὶ παρατεινομένου, καθ' ἑαυτό τε λεγομένου καὶ
σὺν ἄλλοις ταττομένου, προτακτικῶς μὲν ἐν τοῖς φωνήεσι, προτακτικῶς δὲ
καὶ ὑποτακτικῶς ἐν τοῖς συμφώνοις· ὅταν δὲ ἐκφωνεῖν ἐθελήσῃ ἢ κρῖναι 30
τὴν ἑτέρου προφοράν, τότε περὶ τὸ ἄτομον ἐνεργεῖ τῷ προειληφέναι τοῦ
25 καθόλου τοὺς λόγους. καὶ ταῦτα μὲν περὶ τῶν τεχνῶν, αἳ τούτῳ διαφέρειν
εἴρηνται τῶν ἐμπειριῶν τῷ τὴν αἰτίαν | εἰδέναι τῆς ἑαυτῶν ἐνεργείας, 925a
συμφωνότατα ὄντα καὶ αὐτῷ Ἀριστοτέλει σαφῶς καὶ ἐν ταῖς Ῥητορικαῖς
τέχναις κηρύττοντι ὡς "οὐδεμία τέχνη ἐπισκοπεῖ τὸ καθ' ἕκαστον, ὥσπερ,
φησίν, ἡ ἰατρική· οὐ γὰρ τί Σωκράτει ὑγιεινόν ἐστιν ἢ Καλλίᾳ, ἀλλὰ τί 5
30 τῷ τοιῷδε ἢ ⟨τοῖς⟩ τοιοῖσδε· τοῦτο γάρ ἐστιν ἔντεχνον, τὸ δὲ καθ' ἕκαστον,
φησίν, ἄπειρον καὶ οὐκ ἐπιστητόν." ὅταν δὲ εἰς τὰς ἐπιστήμας ἀνέλθωμεν,
αἳ οὐδενὸς αἰσθητοῦ προσάπτονται, μόνων δέ εἰσι τῶν ἀφεριστων καὶ ἀύλων
εἰδῶν, πῶς ἔστιν ἐπὶ τούτων ἐννοῆσαι τὸ μὴ εἶναι προηγουμένως αὐτὰς
τῶν ὅλων ἀλλὰ τῶν ἀτόμων; 10
35 Ἀλλὰ μὴν οὐδὲ τὸ πρὸς τῷ τέλει ῥηθὲν ἁπλῶς ἄν τις καὶ ἄνευ προσ-
διορισμοῦ καταδέξαιτο. εἰ γάρ, φησί, καθόλου αἱ ἀρχαί, καθόλου καὶ τὰ
ἐξ αὐτῶν, ὥσπερ ἐπὶ τῶν ἀποδείξεων. ἀλλ' ἐπὶ μὲν τῶν ἀποδείξεων, φαίη

3 τὰς Us.: τοὺς C (mutata tamen sententia olim fuisse τούς τε καθόλου λόγους καὶ τοὺς καθ' ἕκ. putat Us.) 6 τά τε] 'apparet alterius loci (velut met., B 4 p. 999a26) mentionem alicubi intercidisse' Us. Sed potest etiam alterum membrum inesse in enuntiato sequenti (v. 8 sqq.) structura immutata cf. Arist. anal. post. I 24 p. 86a5. I 31 10 cf. Arist. anal. post. I 8 etc. 14 συγχωρήσθω Ca: corr. Cb 22 σὺν τοῖς coni. Us. 25 τούτῳ Bag.: τούτων C 27 Ar. rhet. I 2 p. 1356b29 cuius verba immutavit 29 καλία C 30 ἢ pro ἢ C τοῖς add. ex Arist.

ἄν τις, ὑλικαὶ ἦσαν αἱ προτάσεις ἀρχαὶ καὶ οὐ μένουσαι ἐφ' ἑαυτῶν ὑφίστων 925a
τὸ συμπέρασμα, ἀλλ' ἑαυτὰς ἐπιδιδοῦσαι πρὸς τὴν τοῦ προβλήματος κατα- 15
σκευήν· ἐπὶ δὲ τῶν ποιητικῶν ἀρχῶν οὐκ ἀνάγκη τὰ γεννώμενα συμπαρεκ-
τείνεσθαι τοῖς αἰτίοις. αὐτίκα ὁ ἥλιος εἷς ὢν πάντα δημιουργεῖ τὰ ζῷα
5 καὶ οὐδὲν αὐτοῦ τὴν πᾶσαν δύναμιν καταδέχεται· μήποτε δὲ καὶ προσεχῶς
ἐκ τῶν καθόλου ἀρχῶν — λέγω δὲ καθόλου οὐ τὰς ἐν νῷ (αὗται γὰρ 925b
καὶ πρὸ τοῦ καθόλου καὶ αὐτοαρχαί), ἀλλὰ τὰς ἐν ψυχῇ — μήποτε οὖν
αὗται προηγουμένως μὲν τῶν τῆς φύσεώς εἰσι λόγων γεννητικαί, δευτέρως
δὲ διὰ τῶν τῆς φύσεως λόγων εἰς τὴν ὕλην προϊόντων καὶ τῶν ἀτόμων 5
10 εἰσὶν ὑποστατικαί, καθάπερ καὶ αἱ καθόλου προτάσεις προηγουμένως μὲν
συνάγουσιν, ὅτι παντὸς τριγώνου φέρε δύο ὀρθαῖς αἱ γωνίαι ἴσαι, δευτέρως
δὲ καὶ ὅτι τοῦ σκαληνοῦ, πολλοστῶς δὲ καὶ ἐσχάτως καὶ ὅτι τοῦδε τοῦ
σκαληνοῦ. "τοιγὰρ περὶ τῶ καθόλω, φησὶν Ἀρχύτας, καλῶς διαγνόντες
ἔμελλον καὶ περὶ τῶ κατὰ μέρος οἷον ἐντὶ καλῶς ὀψεῖσθαι." προσεκτέον 10
15 οὖν ὅτι καίπερ ὢν ἀγχινούστατος ἀνθρώπων καὶ γονιμώτατος ὧν ἴσμεν ὁ
θαυμαστὸς Ἀριστοτέλης οὐ πρότερον ἡδυνήθη τῶν καθόλου καταφρονῆσαι,
πρὶν ἀναγκασθῆναι τὰ ἑαυτῷ καὶ τῇ ἐναργείᾳ πολεμοῦντα φθέγξασθαι·
ταῦτα δέ ἐστι τὸ τὰς ἐπιστήμας τὰς ἐνεργείᾳ τῶν καθ' ἕκαστα εἶναι καὶ 15
μὴ τῶν καθόλου, καὶ τὸ τοὺς τεχνίτας προηγουμένως μὲν εἰδέναι τὸ ἄτομον,
20 κατὰ συμβεβηκὸς δὲ τὸ κοινόν· "ἄνω ποταμῶν ἱερῶν" τοῦτο δὴ τὸ μυριόλεκτον.

Μέχρι τούτων ὁ Ἀφροδισιεὺς τὸ M προάγει, τὰ δ' ἑξῆς ἀπονέμει τῷ N. | 925a

Περὶ . . . φυσικοῖς ἕως τοῦ οὐθὲν . . . ἀλλ' ἑτέρα. δι' ὧν μάχεται
25 τοῖς τὰς τῶν ἀκινήτων ἀρχὰς ἐναντίας ποιοῦσι, καθάπερ αὐτὸς εἰς τὰς τῶν
αἰσθητῶν ἀρχὰς τἀναντία σὺν τῷ ὑποκειμένῳ αὐτῶν οὐκ ἀπηξίωσε παρα-
λαβεῖν. συλλογίζεται δὲ συνήθως ἑαυτῷ· τἀναντία ἐν ὑποκειμένῳ, αἱ ἀρχαὶ 25
οὐκ ἐν ὑποκειμένῳ, ἵνα μὴ πρὸ οὐσίας τὸ ἀνούσιον. δῆλον τὸ συμπέρασμα·
τἀναντία, φησίν, οὔκ εἰσιν ἀρχαί, καὶ εἰ ἀρχαί, ἀλλ' οὐχ ᾗ ἐναντία ἀλλ'
30 ᾗ ἕτερά τινά ἐστιν, οἷον νοῦς ἢ σῶμα ἢ ὅ τι ἂν ᾖ τὸ ὑποκείμενον αὐτοῖς.
πρὸς ἃ ῥητέον, ὅτι τοιαῦτα ἐναντία | ἐκεῖνοι ἐν ταῖς ἀρχαῖς οὐ παραλαμ- 925b
βάνουσιν, ἅ ἐστιν ἀνούσια κατὰ τὸ χεῖρον τοῦ οὐσιώδους, ἀλλ' εἰ ἄρα,
κατὰ τὸ κρεῖττον· τὰς γὰρ τῶν οὐσιῶν ἀρχὰς ὑπερουσίους εἶναι χρή. ὅλως
δὲ οὐδὲ ἀπὸ τῶν ὡσανεὶ ἀντικειμένων οἱ ἄνδρες ἤρχοντο, ἀλλὰ καὶ τῶν
35 δύο συστοιχιῶν τὸ ἐπέκεινα ᾔδεσαν, ὡς μαρτυρεῖ Φιλόλαος τὸν θεὸν λέγων 25

5 ante μήποτε hiare orationem existimavit Us. 7 πρὸ τῶν Bag. 11 γωνίαι Bag.: γ̄ C 13 ex Iambl. in Nicom. 6,20 hausit Syri., cf. Iambl. vit. Pyth. 29 Porphyr. in Ptol. (op. math. ed. Wallis III 326) Nicom. I 3,4 τῶν Iambl. 14 τῶ Us.: τῶν C ceterique testes οἷα ceteri testes 15 γονιμώτατος e corr. C¹: nolui φρονιμώτατος 20 Eur. Med. 410 Zenob. II 56 Suid. s. v. etc. 22 sq. suntne haec ab ipso S. scripta? cf. p. 922a 16 τῶ μ̄ προσάγει C, corr. Bag. 24 τὸ v̄ rubr. praescribit C 24 aut δι' ὧν corruptum (διαμάχεται Us.) aut prima verba perierunt 27. 28 fuisse ἀρχαὶ ⟨οὐσίαι, αἱ ἀρχαὶ⟩ οὐκ coni. Us. ob p. 166,10 28 nolui μὴ ᾗ; cf. Raderm. Demetr. p. 86 sq. 35 cf. Boeckh de Philolao 54. 148.

πέρας καὶ ἀπειρίαν ὑποστῆσαι, διὰ μὲν τοῦ πέρατος τὴν τῷ ἑνὶ συγγενεστέραν 925ᵇ
ἐνδεικνύμενος πᾶσαν συστοιχίαν, διὰ δὲ τῆς ἀπειρίας τὴν ταύτης ὑφειμένην,
καὶ ἔτι πρὸ τῶν δύο ἀρχῶν τὴν ἑνιαίαν αἰτίαν καὶ πάντων ἐξῃρημένην
προέταττον, ἣν Ἀρ|χαίνετος μὲν αἰτίαν πρὸ αἰτίας εἶναί φησι, Φιλόλαος 926ᵃ
5 δὲ τῶν πάντων ἀρχὰν εἶναι διισχυρίζεται. Βροτῖνος δὲ ὡς νοῦ παντὸς καὶ
οὐσίας δυνάμει καὶ πρεσβείᾳ ὑπερέχει· ἀφ' ὧν ὁρμώμενος καὶ ὁ θεῖος
Πλάτων ἔν τε Ἐπιστολαῖς καὶ ἐν Πολιτείᾳ καὶ ἐν Φιλήβῳ κἀν Παρμενίδῃ 5
τὰς αὐτὰς περὶ τῶν αὐτῶν φωνὰς ἀφίησιν. οὔτ' οὖν αἱ προτάσεις ὑγιεῖς,
ἐπεὶ καὶ ἡ λέγουσα 'τὰ ἐναντία ἐν ὑποκειμένῳ' ψεύδεται (τὰ γὰρ ὑπερφυῆ
10 ὅλως εἰ ἐναντία χρὴ καλεῖν, οὐδαμῶς ἀνούσια), καὶ ἡ λέγουσα 'αἱ ἀρχαὶ
οὐσίαι' (αἱ γὰρ κυρίως ἀρχαὶ καὶ αἱ πάντων ἀρχαὶ ὑπερούσιοι)· οὔτε τὸ
συμπέρασμα τῶν ἀρεσκόντων τι τοῖς ἀνδράσι διελέγχει· οὐ γὰρ ἀπὸ τῶν 10
ὡσανεὶ ἀντικειμένων ἤρχοντο, προὔταττον δὲ τὸ ἓν τὸ ἐξῃρημένον ἀμφοῖν
ταῖν τε ἀρχαῖν καὶ ταῖν συστοιχίαιν.

15 p. 1087ᵇ4 Οἱ δὲ τὸ ἕτερον . . . ἀμφοῖν.

Οὔτε τὴν δυάδα τὴν πρὸ πάντων τῶν ἀριθμῶν ὁλικὸν αἴτιον εἶναί
φασιν (οὐδὲ γὰρ ὅλως οἱ θεῖοι τῶν ἀριθμῶν ὅλης προσδέονται), οὔτε Πλάτων 15
τὴν ἀόριστον δυάδα διὰ τῆς ἀνισότητος δηλῶν ἀφίσταται Πυθαγόρου διὰ
τοῦ πλήθους αὐτὴν ἐνδεικνυμένου· ἑκάτερος γὰρ αὐτῶν ἐκ τῶν δι' αὐτὴν
20 ὑπαρχόντων τοῖς ἀριθμοῖς ὀνομάζειν αὐτὴν ἐπιχειρεῖ· εἴρηται δὲ ὅτι πλήθους
ἐστὶν αἰτία καὶ προόδου καὶ γονίμου δυνάμεως καὶ ἑτερότητος. ὥσπερ τὸ 20
ἓν ταυτότητος αἴτιον τοῖς θείοις εἴδεσι καὶ τοῦ μένειν αἰωνίως καὶ τοῦ
ἔχειν ὡς ἔχει· μένοντος γάρ φησιν αἰῶνος ἐν ἑνί, τὴν αἰτίαν τοῦ μένειν
ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως τὴν θείαν οὐσίαν ἐνδεικνύμενος.

25 p. 1087ᵇ9 Καὶ γὰρ . . . ἀριθμῷ δ' οὔ.

Ἔδει γάρ, φησί, τὸν Πλάτωνα λέγειν, ὅτι ταῦτα λόγῳ μὲν δύο ἀριθμῷ 25
δὲ ἕν· οὕτω γὰρ ἄμεινον ἐξηγεῖσθαι ἢ ὡς ὁ Ἀλέξανδρος ὑπέλαβεν αὐτὸν
λέγειν. ἀλλ' ὦ θαυμάσιε, φήσομεν, οὐχ οὕτω λέγει Πλάτων τὴν ἑτέραν
τῶν ἀρχῶν ἄνισόν τε καὶ δυάδα καὶ μέγα καὶ σμικρὸν ὡς σὺ νῦν ἐκλαμ-
30 βάνεις. ἀλλ' ὅτι πλήθους οὖσα καὶ προόδων αἰτία καὶ πάντα γεννῶσα καὶ
μεγάλα καὶ σμικρά, ὡς εἴωθεν † ἐκεῖ λέγεσθαι, † ταὐτὸ τούτοις ἐστὶν 30

4 Ἀργαίνετος servavi cl. Phot. cod. 167 p. 114ᵃ22, quamvis probabiliter Boeckh l. c. 54 coniecerit Ἀρχύτας cf. Iambl. in Nicom. 77,10 5 de forma Βροτῖνος (acc. om. C) cf. Nauck ad Iambl. v. Pyth. 96,9 νοῦς C 6 cf. Plat. resp. VI 509ᵇ 7 Plat. ep. II 312ᵉ resp. VI 503ᵇ sqq. Phileb. 26ᵉ sqq. Parm. 137ᶜ sqq. (141ᵉ) κἀν Us.: καὶ C 13 ἐξηριθμημένον C: corr. Bag. 14 ταῖν συστοιχίαιν Us.: ταῖν στοιχείοιν Cᵃ τοῖν στοιχείοιν Cᵇ 16 sqq. cf. Alex. 796,23. 31 sq. 20 cf. p. 112,20. 113,22 23 Plat. Tim. 37ᵈ 27 Alex. 797,16 οὐ διορίζει, ὅτι τῷ μὲν ἀριθμῷ καὶ τῷ ὑποκειμένῳ ἓν εἰσι, τῷ δὲ λόγῳ πολλά 31 locus desperatus; ἐκεῖνα λ., καὐτὴ τούτοις coni. Us.

ἀξία δηλοῦσθαι καὶ τοῖς ὀνόμασιν. ὅλως δὲ εἰ μὲν ἕτερον ἦν αὐτῆς τὸ 926ᵃ
ὑποκείμενον, ἕτεροι δὲ οἱ ἐν αὐτῇ λόγοι, ὥσπερ Σωκράτης ἕτερός ἐστι τοῦ
σιμοῦ καὶ προγάστορος, ἢ εἰ κατά τι μὲν ὑπῆρχε μεγάλη κατά τι δὲ σμικρά,
ἐνῆν τῷ μὲν λόγῳ δύο ποιεῖν αὐτήν, τῷ δ' ὑποκει|μένῳ μίαν· εἰ δὲ καθ' 926ᵇ
5 ὑπεροχὴν ἄφραστον τῶν ἀπ' αὐτῆς γεννωμένων μεγάλων τε καὶ μικρῶν
ἐξήρηται καὶ παντός ἐστιν ὑποκειμένου κρείττων, ποίαν ἔχει χώραν ἡ τοιαύτη
τῶν λόγων ἐπιδιόρθωσις;

p. 1087ᵇ12 Ἀλλὰ μὴν . . . τὸ ἕν.

Πάντες οὗτοι κατ' αὐτὸν τὴν μὲν θειοτέραν ἀρχὴν καὶ πατρικὴν τῶν 5
10 ἀριθμῶν ἓν καλοῦσιν, τὴν δὲ μητρικὴν οἱ μὲν μέγα καὶ σμικρόν, ὡς
Πλάτων, οἱ δ' ὀλίγον καὶ πολύ, ἐπιδιορθούμενοι, οἱ δὲ ὑπερέχον καὶ ὑπερε-
χόμενον. ἐπὶ τὸ γενικώτερον ἀνατρέχοντες. οἱ δὲ ἄλλο. οἱ δὲ πλῆθος. ὅτι
δὲ πάντες οὗτοι ταὐτὸν ἐνδείκνυνται, πολλάκις ὑπεμνήσαμεν. ἀλλ' εἰ ἐκεῖνό 10
φησιν ἕπεσθαι τοῖς τὰ γενικώτερα παραλαμβάνουσιν ἐναντία πρὸ τῶν
15 εἰδικωτέρων, τὸ καὶ τὸν ἀριθμὸν γένος ὄντα τῶν δύο πρεσβύτερον ποιεῖν
τοῦ δύο, ὅπερ οὐ βούλονται, ποίου δύο φήσομεν ἢ ποῖον ἀριθμόν; εἰ μὲν
γὰρ τὴν ἀόριστον λέγεις δυάδα, πῶς γένος αὐτῆς ὁ ἀριθμὸς ὁ ἐξ αὐτῆς
ἀπογεννώμενος; εἰ δὲ τὴν αὐτοδυάδα, ὁ πρῶτος ἐν τοῖς εἰδητικοῖς ἀριθμὸς 15
οὗτος.

20 p. 1087ᵇ27 Εἰ δέ ἐστιν . . . ἀντίκειται.

Ὁ μὲν σκοπὸς δῆλος, προκρῖναι ἕνα ἐκ πάντων καὶ τοῦτον κακίσαι,
ἵν' ἐκ περιουσίας ὦσιν οἱ ἄλλοι καταγνωσθέντες. ῥητέον δὲ ὅτι μήτε κριτοῦ
δέονται οἱ ἄνδρες (οὐδὲ γὰρ ὅλως διαφωνοῦσιν) οὔτε κατ' αὐτὸν ἐλέγχονται 20
οἱ τῷ ἑνὶ τὸ πλῆθος ἀντιτιθέντες ὡς τὸ ἓν ὀλίγον ποιοῦντες· εἰ γάρ τι τῶν
25 ἐν τῷ I μεμνήμεθα, σαφῶς ἐν ἐκείνοις ἐλέγετο μήτε τῷ πλήθει παντὶ
τὸ ὀλίγον ὑπάρχειν ἐναντίον, ἀλλὰ τῷ ὑπεροχὴν ἔχοντι, μήτε τὸ ἓν ἐναντίον
εἶναι τῷ πλήθει καὶ τῷ ἀριθμῷ, ἀλλὰ μᾶλλον ὡς τὰ πρός τι ἀντικεῖσθαι. 25
ὥστε ψευδεῖς εἰσιν αἱ δύο προτάσεις καὶ κατ' αὐτόν, δι' ὧν συνάγει τὸ
ἐλέγχον αὐτοὺς συμπέρασμα, ἥ τε λέγουσα τὸ ἓν ἐναντίον εἶναι τῷ πλήθει
30 καὶ ἡ τιθεμένη πᾶν τὸ ἐναντίον τῷ πλήθει ὀλίγον εἶναι, καὶ οὐκ ἄλλων
τινῶν δεησόμεθα τῶν ἀντερούντων ταῖς προτάσεσιν, ἀλλὰ τῶν αὐτῷ γεγραμ-
μένων ἐν τῷ I τὴν ἀνάγνωσιν ποιησόμεθα. καίτοι τί περὶ τούτων διατείνομαι
μάτην; οὔτε γὰρ τὸ ἓν τὸ ἐκείνων ὁ ἀνὴρ οὗτος εὐθύνει οὔτε τὸ πλῆθος
ὡς ἔλεγον ἐκλαμβάνει· δηλώσει δὲ καὶ τὰ ἑπόμενα τὴν παρὰ θύρας τἀνδρὸς
35 ἀπάντησιν.

3 μεγάλα C: correxi 9. 10 πατρικὴν et μητρικὴν] cf. Xenocr. fr. 15 Heinze Procl. in Crat. 69. 89 theol. Plat. 195. 227 doxogr. 556,11 D. 22 ἵν' C: ι e corr.
22 οὔτε pro μήτε postulat Us., at cf. Dürr Philol. Suppl. VIII 46 Galen. de an. vit. 71.13
24 τι Cᵇ: τοι Cᵃ 25 Ar. met. I 6 29 αὐτοὺς Us.: αὐτοῦ C τὸ πλῆθει C
33 τὸκείνων C

p. 1087ᵇ33 Τὸ δὲ ἓν . . . τοιαύτης προσηγορίας. 926ᵇ

Τῶν θείων ἀνδρῶν ἐκείνων | ἓν μὲν λεγόντων τὸν θεὸν ὡς ἑνώσεως 927ᵃ
τοῖς ὅλοις αἴτιον καὶ παντὸς τοῦ ὄντος καὶ πάσης ζωῆς καὶ νοῦ τοῦ παντελοῦς
ἐπέκεινα, μέτρον δὲ τῶν πάντων ὡς πᾶσι τὴν οὐσίαν καὶ τὸ τέλος ἐπι-
5 λάμποντα καὶ ὡς πάντα περιέχοντα καὶ ὁρίζοντα ταῖς ἀφράστοις αὐτοῦ καὶ
παντὸς ὑπερηπλωμέναις πέρατος ὑπεροχαῖς, ὁ δαιμόνιος οὗτος ἀνὴρ τὸ 5
ἐλάχιστον ἐν ποσῷ καὶ τὸ διὰ σμικρότητα κοινὸν μέτρον τῶν ὁμογενῶν
ἀναφαινόμενον ἐκλαβὼν διεχωρίζεται μηδὲν εἶναι μήτε μέτρον μήτε ἕν, ὃ
μὴ ἔστιν ἐν ὑποκειμένῳ. καὶ πρόδηλον ὅπως ἀπὸ τῆς μιᾶς τῶν ὄντων
10 ἀρχῆς ἢ τῆς ἐκείνῃ συνημμένης μονάδος ὥσπερ ἀπό τινος ῥηλοῦ θεσπε- 10
σίου τῷ ὄντι καταπεσὼν ὁ λόγος πάσης μὲν ἀπώλισθε τῆς ἀσωμάτου τῶν
οὐσιῶν ἢ διαλέξεως. παντὸς δὲ τοῦ ἐγκοσμίου πλάτους, εἰς δὲ τὰ τελευταῖα
τῶν σωμάτων κατενεχθεὶς ὕπτιος ἔρριπται, τοὺς διὰ σμικρότητα καὶ εὐτέλειαν
ἐλαχίστους τῶν ὄγκων πολυπραγμονῶν καὶ διὰ τοῦτο τῶν μὲν ὁμοειδὲς ἀπο- 15
15 φαινόμενος εἶναι τὸ μέτρον ὥσπερ ἐπὶ τῶν ἵππων, τῶν δὲ ὁμογενὲς ὡς
ἐπὶ ἀνθρώπου ἵππου θεοῦ, τῶν δὲ οὐκ οἶδ' ὅ τι φῶ· καὶ γὰρ αὐτὸς
ἠπόρησε, πῶς τὸν ἐκ διαφόρων κατηγοριῶν ἀριθμὸν ὀνομάσειε, πλὴν ὅτι
γενῶν ἀριθμὸν αὐτὸν καλεῖν ἐνέκρινεν. ἄξιον δὴ τούτοις ἢ τὰ Κλεινίου
τοῦ Πυθαγορείου παραβάλλειν, ὃς ἐξῃρῆσθαι βούλεται πανταχοῦ τὸ ἓν καὶ 20
20 τὸ μέτρον οὐ μόνον σωμάτων οὐδὲ τῶν ἐγκοσμίων πραγμάτων, ἀλλὰ καὶ
αὐτῶν τῶν νοητῶν, ἡνίκα ἂν αὐτὸ σεμνύνων ἀρχὰν εἶναι τῶν ὄντων λέγῃ
καὶ νοατῶν μέτρον καὶ ἀγένητον καὶ ἀίδιον καὶ μόνον καὶ κυριῶδες, αὐτὸ
ἑαυτὸ δηλοῦν· ἢ τὰ τοῦ θείου Πλάτωνος, ἐν οἷς τὸν θεὸν μέτρον εἶναι 25
τῶν πάντων ἀπεφήνατο ὡς ἀρχάς τε καὶ τέλη καὶ μέσα τῶν ὄντων ἐν
25 ἑαυτῷ περιέχοντα. ταῦτα γάρ τις ἐννοήσας οὐ χαλεπῶς οἶμαι συνορᾷ, πόσον
ἀποπέπτωκε τἀληθοῦς μέτρου τὸ νῦν ὑπ' αὐτοῦ παραδιδόμενον ἕν τε καὶ
μέτρον, ἅπερ ἀγαπητῶς οὕτω μετρεῖν ἐνίοτε δύναται ὡς τὰ δι' ὧν ἡ
μέτρησις γίγνεται· οὐ γὰρ ὁ ἵππος ἐστὶν ὁ μετρῶν τοὺς δέκα ἵππους ἀλλ' 30
ἡ διάνοια ἡμῶν. εἰ ἄρα τῷ ἵππῳ προσχρωμένη, κατὰ δὲ τὸ ἀκριβὲς οὐδὲ
30 τῷ ἵππῳ, ἀλλὰ τῷ μοναδικῷ ἑνὶ καὶ τῷ μονα|δικῷ ἀριθμῷ· τὰ δέ γε 927ᵇ
ἀληθινὰ μέτρα ⟨ὡς⟩ τὴν οὐσίαν καὶ τὰς δυνάμεις καὶ τὰ τέλη τῶν μετρη-
τῶν ἀφορίζοντα τῆς τῶν μέτρων οὕτως ἐπωνυμίας ἠξίωται. καὶ ταῦτα
οὐδὲ αὐτὸν λέληθεν Ἀριστοτέλην· γράφει γοῦν ἐν δευτέρῳ τοῦ Πολιτικοῦ
βιβλίῳ περὶ τούτων τὰ αὐτὰ τοῖς πρὸ αὐτοῦ φιλοσοφήσασι καὶ λέγει διαρρήδην 5
35 οὕτω· "πάντων γὰρ ἀκριβέστατον μέτρον τἀγαθόν ἐστιν". ὥστε δῆλον ὅτι
λογικώτερον αὐτῷ νῦν καὶ φιλονεικότερον οἱ λόγοι προβαίνουσι, καὶ δίκαιον
ἡμᾶς καθ' ἕκαστον τῶν τοιούτων τὸ Ὁμηρικὸν ἐπιφθέγγεσθαι πρὸς αὐτόν·
"οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι." 10

3 nempe νοῦ παντελῶς 10 Il. A 591 12 διατάξεως opinor; διελίξεως Us.
18 cf. Zeller V³ 101 23 Plat. leg. IV 715ᵉ 26 τε scripsi: τι C om. Bag.
27 ὅπερ coni. Us. 29 fort. ⟨ἡ⟩ εἰ ἄρα 31 ὡς add. Us. 33 Ar. fr.
79 Rose 34 βιβλίου C 36 φιλονεικώτερον C 38 Il. H 358 M 232

p. 1088ᵃ15 Οἱ δὲ . . . μόνον κατηγορεῖται. 927ᵇ

Τὸ ἓν καὶ τὸ ἴσον ἐπὶ τῆς πατρικωτέρας ἀρχῆς παραλαμβανόμενον οὔτε πρός τι ἐστὶν οὔθ' ὅλως συμβεκηκός, ἀλλ', εἰ χρὴ τἀληθῆ φάναι, πρᾶγμα ὑπερούσιον ἑνώσεως καὶ ἰσότητος τοῖς πᾶσιν αἴτιον. τό τε μόνιμον καὶ τὸ βέβαιον καὶ τὸ ἀκλινὲς καὶ τὸ ἄχραντον τοῖς πᾶσιν ἐπιλάμπον· ὥσπερ καὶ τὸ ἄνισον, ὃ ποτὲ μὲν εἰς μέγα καὶ μικρὸν οὗτος διαιρεῖ, ποτὲ δὲ εἰς πολὺ καὶ ὀλίγον, ἔστι δὲ ὅτε εἰς ὑπερέχον καὶ ὑπερεχόμενον, ὅταν ἐπὶ τῆς πρώτης δυάδος παραλαμβάνηται, συμβολικῶς μὲν τὴν αὐξητικὴν αἰτίαν τῶν ὅλων ἐνδείκνυται, κρεῖττον δὲ οὐχ ὅτι μόνων συμβεβηκότων ἀλλὰ καὶ τῶν ἐξ αὐτῆς ἀπογεννωμένων οὐσιῶν καθέστηκε. παγγέλοιον οὖν ἐπὶ τὰ συνηθέστερα τοῖς πολλοῖς σημαινόμενα τῶν ὀνομάτων φερόμενον οὕτως εὐθύνειν τὰ τῶν πρεσβυτέρων δόγματα. ἡμεῖς δὲ οὐχ ὅτι μὴ ποιοῦσι συμβεβηκὸς πρὸ οὐσίας μόνον διισχυριζόμεθα, ἀλλ' ὅτι μηδὲ δευτέραν ἢ πολλοστὴν ἀπονέμουσι τάξιν ἐν ταῖς ἀρχαῖς καὶ τοῖς θείοις εἴδεσι τῷ συμβεβηκότι· ὅλως γὰρ οὐδὲν τοῖς ἀκινήτοις συμβέβηκε κατ' αὐτούς, ἀλλὰ καὶ ἡ αὐτοϊσότης ἐκεῖ καὶ ἡ αὐτοεπιστήμη· ταυτότης τοίνυν, ὁμοιότης, ἑτερότης, πάντα ταῦτα οὐσίαι καὶ ἑαυτῶν καὶ οὐχ ἑτέρων· τοιαῦτα γὰρ πολλαχοῦ μέν. ἀτὰρ δὴ καὶ ἐν Φαίδρῳ τοῦ θείου Πλάτωνος ἀναγράψαντος ἀκηκόαμεν· "καθορᾷ μὲν αὐτὴν [τὴν] δικαιοσύνην. καθορᾷ δὲ σωφροσύνην. καθορᾷ δὲ ἐπιστήμην. οὐχ ἥ γένεσις πρόσεστιν. οὐδ' ἥ ἐστί που ἑτέρα ἐν ἑτέρῳ οὖσα ὧν νῦν ἡμεῖς | ὄντων καλοῦμεν, ἀλλὰ τὴν ἐν τῷ ὅ ἐστιν 928ᵃ ὄν ὄντως ἐπιστήμην οὖσαν". διὸ καὶ αὐτὸ ἕκαστον τῶν ἐκεῖ καλεῖν εἴωθεν, ὃ κατά τινας τῶν ἀκριβεστέρων καὶ τοῦ ἑαυτοῦ καὶ μὴ ἄλλου εἶναι κρεῖττόν ἐστιν· ὥστε κἂν αἴτιον ᾖ, τὸ δὲ αἰτιατόν, οὐ συμβεβηκότως ἐκεῖ τοῦτο, κατ' οὐσίαν δέ. καὶ καθάπαξ περὶ πασῶν τῶν ὡσανεὶ σχέσεων ὁ αὐτὸς λόγος· ὥστε τὰ μὲν ὑπερούσια τῶν ἐκεῖ τὰ δ' οὐσίαι, συμβεβηκὸς δὲ εἰ ἄρα περὶ τὴν ἐν γενέσει ψυχὴν καὶ αὐτὴν τὴν γένεσιν. ταῦτα μὲν οὖν πρὸς πᾶσαν αὐτοῦ τὴν ἐπιχείρησιν εἰρήσθω. κατηγορεῖν δὲ ἢ τῆς ἐκεῖ δυάδος τὸ ὀλίγον ἢ τῆς δεκάδος τὸ πολὺ οὐδενὶ τό γε ἡμέτερον ἐπιτρέψει· ὁ γὰρ μοναδικός ἐστιν ἀριθμός, ᾧ ταῦτα συμβαίνειν ἢ ἄλλως ὑπάρχειν δύναται.

p. 1088ᵇ14 Ἁπλῶς δὲ δεῖ . . . ἐνυπαρχόντων.

Καὶ πρὶν αὐτὸς ἐπιστήσῃ τούτῳ, προείπομεν ἡμεῖς, μᾶλλον δὲ οὐχ ἡμεῖς ἀλλ' οἱ πρεσβύτατοι καὶ ἄριστοι τῶν φιλοσοφησάντων, ὅτι ἐξ ὑλικῶν στοιχείων ἢ ὅλως ἐκ στοιχείων, ἃ οὕτω λέγεται στοιχεῖα ὡς εἰς σύστασιν ἑτέρου παραλαμβανόμενα. τὰ θεῖα εἴδη οὐχ ὑφέστηκε· τὸ μὲν γὰρ ἐξ ὑλικῶν

---

18 αὐτὰρ C: corr. Us. Plat. Phaedr. 247ᵈ 21 ἡμεῖς νῦν Plat.
22 αὐτοέκαστον C 23 κατά τε τὸ ἀκριβέστερον coni. Us. τῷ ἑαυτοῦ cum Bag. Us. 24 ne desideres τὸ μέν, cf. Vahlen ad poet.³ 91, Wilam. ad Eur. Herc. 635, Sonny anal. ad Dionem 186, Heliod. 220,11 30 οὐ γὰρ μ. ὁ ἔστιν ἀρ. C: corr. Us.
33 ἐπέστησε Us., sed cf. ad p. 152,9

συνεστὸς στοιχείων γενητόν ἐστι καὶ φθαρτόν, τὸ δὲ ἐξ ἀύλων εἰ καὶ ἀγένητον 928a
ἀλλ' οὖν σύνθετον· ἁπλᾶ δὲ χρὴ καὶ ἀγένητα εἶναι τὰ θεῖα εἴδη, καὶ μήτε 20
⟨κατὰ⟩ ψυχὴν τετάχθαι μήτε πολλῷ πλέον κατὰ τουτονὶ τὸν κόσμον συντεθεῖσθαι. οὐδὲν οὖν ἡμᾶς ἀναδραμεῖν εἰς τὸ πρῶτον δεῖ τῆς περὶ οὐρανοῦ
5 πραγματείας, οὗ δέδεικται τὸ γενητὸν καὶ ὅλως τὸ μὴ εἶναι ἐνδεχόμενον φθαρτὸν καὶ οὐκ ἀίδιον· ἀλλ' αὐτόθεν αὐτῷ συγχωρήσαντες εἰ καὶ μὴ πάντα 25
τὰ καθ' ἕκαστα, ἀλλ' οὖν τὸ συμπέρασμα καλῶς ἔχειν, στοιχεῖά φαμεν ὑπὸ τῶν παλαιῶν καλεῖσθαι τὰ γεννητικὰ τῶν ὅλων αἴτια. πολλῶν δὲ εἰρημένων ἐν τούτοις ἀξίων ἐπιστάσεως, ἐκείνῳ μάλιστα προσεκτέον τῷ
10 λήμματι. ἐν ᾧ φησιν ὡς οὐδεμία ἐστὶν ἀίδιος οὐσία ἂν μὴ ᾖ ἐνεργείᾳ. εἰ μὲν γὰρ κατὰ δοτικὴν ἀναγνοίημεν ἐνεργείᾳ, ἔσται μὲν καὶ νῦν κατ' 30
αὐτὸν ὁ αἰθὴρ ἀίδιος, οὐ συνᾴδει δὲ τῇ κατασκευῇ τὸ λῆμμα· οὐδὲν γὰρ κωλύει καὶ τὸ ἐκ στοιχείων καὶ ὅλης συνεστὸς ἐνεργείᾳ | εἶναι. εἰ δὲ 928b
κατ' εὐθεῖαν πτῶσιν ἐνέργεια, κινδυνεύσει νῦν τὸ οὐράνιον οὐκ ἀίδιον λέγειν,
15 καὶ εἰ τὸν ἀεὶ χρόνον ὑφέστηκεν· οὐ γὰρ ἀεὶ τὸ ἀίδιον καὶ εἶδος εὐθὺς χωριστόν.

p. 1088b28 Εἰσὶ δέ τινες . . . τὸν μαθηματικόν.

Οὐ δυσχεραίνοντες τὸ τοιοῦτον ἄνισον οὐδὲ δεδιότες τὰ θαυμαστὰ τῶν 5
διαλεκτικῶν ἐπιχειρήματα δυάδα λέγειν ἐδοκίμαζον τὸ τοῦ πλήθους αἴτιον·
20 ἀλλ' ἐπειδὴ τὴν συγγένειαν αὐτῆς ἠβούλοντο δηλοῦν τὴν πρὸς τὴν σεμνοτέραν ἀρχήν, ἴσον μὲν ἐκείνην ὀνομάζοντες ἄνισον ταύτην ἐκάλουν, ἓν δὲ προσαγορεύσαντες αὐτὴν ἢ μονάδα ταύτην δυάδα λέγειν ἠξίουν· δι' ἃς δὲ αἰτίας, 10
εἴπομεν πολλάκις, καὶ ὅτι ἄλλαι μὲν αἱ τὸν εἰδητικὸν ἀριθμόν, ἄλλαι δὲ αἱ τὸν μαθηματικὸν συνιστᾶσαι πολλῷ μὲν ὑφειμέναι, ἀνάλογον δὲ [ἐν]
25 ἐκείναις οὖσαι.

p. 1088b35 Πολλὰ μὲν . . . εἰ πόλλά ἐστι.

"Ὦ πόποι, ἦ ῥ' ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπες," εἰ Πλάτων εὐήθως ἠπόρησε, καὶ μάλιστα τὰς ἐν τῷ Σοφιστῇ μετιὼν ὑποθέσεις. ἔπειτα τί 15
κοινὸν ἔχει τὸ μὴ ὄν, ⟨ὃ ἡ⟩ θατέρου φύσις κατακερματισθεῖσα παρῆγεν
30 αὐτῷ; αἱ δὲ ἀρχαὶ πρὸ τῶν γενῶν εἰσι τοῦ ὄντος, ἥ τε τῆς μονάδος καὶ ἡ τῆς ἀορίστου δυάδος.

p. 1089a7 Καίτοι . . . τὸ δὲ ποῦ.

Μάλιστα μὲν περὶ ἄλλων ὄντων οἱ λόγοι γίγνονται παρὰ τῷ Πλάτωνι· εἰ δ' ἄρα καὶ ταῦτα τὰ δέκα γένη παραφέρειν ἐθέλεις ὡς δυνάμενος ἄνευ

1 συνεστὼς C 3 κατὰ add. Brandis 4 Ar. de caelo I 11. 12 8 γενητικὰ C
13 συνεστὼς C 15 ἀίδιον scripsi: ἄυλον C: τὸ ἀίδιον ἄυλον ἢ Us. 21 νομίζοντες C, corr. Us. 23 fort. μὲν ⟨μονάδες⟩ 25 ἐν del. Us. 27 Il. O 185
28 Plat. Soph. 257c sqq. 29 ὃ ἡ inserui 30 fuitne αὐτῷ, αἵ τε ἀρχαί, ⟨αἱ⟩? Us. εἰ post ἔχει addens ante αἱ δὲ nonnulla excidisse putavit

τοῦ μὴ ὄντος δεῖξαι πλῆθος ἐν τοῖς οὖσιν, ἄκουε πάλιν ὅτι μὴ οὔσης μὲν 928b
ἑτερότητος οὐδ' ἂν δέκα εἴη γένη οὐδ' ἂν δύο οὐδ' ἂν ἄλλο τι παρὰ τὸ
ἓν ἀριθμῷ· οὔσης δὲ ἑτερότητος ἔστι καὶ τὸ μὴ ὄν· ἕκαστον γὰρ τῶν δέκα
γενῶν εἴπερ ἕτερόν ἐστι τῶν ἄλλων, μοναχῶς μὲν ἔστιν, ἐναχῶς δὲ οὐκ 25
ἔστιν· ὥστε μᾶλλον οὐκ ἔστιν ἤπερ ἔστι, κἂν αὐτὴν εἴπῃς τὴν οὐσίαν·
οὐσία γὰρ ὑπάρχουσα ποιότης οὐκ ἔστιν οὐδὲ ποσότης οὐδὲ πάθος οὐδ'
ἐνέργεια. σύνθες τοίνυν αὐτὸ καὶ τὴν ἀνάγκην εὑρήσεις τοῦ δόγματος· εἰ
πολλὰ τὰ ὄντα, ἔστιν ἑτερότης· εἰ ἔστιν ἑτερότης, ἔστι τὸ μὴ ὄν· εἰ πολλὰ 30
τὰ ὄντα, ἔστι τὸ μὴ ὄν. οὐκ ἄρα ἦν ἄλλως στῆναι πρὸς τὸ φαινόμενον
τοῦ Παρμενιδείου λόγου οὐδὲ προσέμενον τὸ πλῆθος μὴ οὐχὶ καὶ τὸ μὴ
ὂν συνεισενεγκεῖν. καὶ οὐ διὰ τοῦτο μάχεται | Πλάτων τῷ Παρμενίδῃ 929a
κατά γε τὸ ἀληθέστατον, ἀλλ' εἰσὶν ἄμφω μὲν ἀληθεῖς οἱ λόγοι, σαφέστερος
δὲ ὁ τοῦ Πλάτωνος· ἐκεῖνός τε γὰρ περὶ τοῦ νοητοῦ μόνου διαλεγόμενος
καὶ κατὰ τὴν ἕνωσιν αὐτὸ μετιὼν καὶ τὴν ἐν αὐτῷ δυναστεύουσαν ταυτότητα
καὶ τὴν Ἐμπεδόκλειον φιλίαν, ἓν εἶναι τὸ ὂν ἀπεφήνατο· Πλάτων δὲ εἰδὼς 5
πρῶτον μὲν ὅτι ἔστι πως καὶ τὸ αἰσθητόν, ἕτερον ὂν τοῦ ὄντως ὄντος καὶ
διὰ τοῦτο μὴ ὂν μᾶλλον ἢ ὂν προσαγορεύεσθαι δίκαιον, ἔστι δὲ καὶ αὐτὸ
τὸ νοητὸν οὐχ ἧττον πλῆθος ἢ ἕν, τήν τε θατέρου φύσιν εἰσήγαγεν εἰς
τὰ ὄντα καὶ ταύτῃ τὸ οὐσιῶδες μὴ ὂν παρεπόμενον ἔδειξεν, ὡς ἐν τῷ 10
Σοφιστῇ διὰ πολλῶν ἐπιχειρημάτων καὶ οὐκ ἀνεχεγγύων κατεσκεύασται.

p. 1089a 15 Ἔπειτα . . . ἐκ ποίου οὖν ὄντος καὶ μὴ ὄντος πολλὰ τὰ ὄντα;

Ὡς μὲν ἐξ εἴδους καὶ στερήσεως οὐδαμῶς· ὅλως γὰρ ἡ στέρησις οὐδὲν
τοῖς οὖσι συμβάλλεται καθ' αὑτό. ἐπειδὴ δὲ πέντε παρ' αὐτοῖς ὄντων 15
γενῶν ἕν τι τούτων ἐστὶν ἡ ἑτερότης, ἔργον δὲ ταύτης ἕκαστον ποιεῖν ὅπερ
μὴ τὰ ἄλλα, ἐκ τοῦ κατὰ τὸ θάτερον μὴ ὄντος καὶ ἐκ τῆς οὐσίας πολλὰ
τὰ ὄντα· ἡ μὲν γὰρ οὐσία τοῦ εἶναι πᾶσι μεταδίδωσιν, οὐκ οὖσα αὐτῶν
ὡς παρ' ἐνίοις ὑποκείμενον ἀλλ' ἀρχὴ καὶ πηγή τις τοῦ εἶναι καὶ πᾶσι
χορηγοῦσα τοῦτο χωρὶς τοῦ ἑαυτὴν ἐλαττοῦν· ἡ δὲ ἑτερότης διίστησιν οὐ 20
τόπῳ, κατ' οὐσίαν δὲ τὰ ὄντα, καὶ πληθύει καὶ ποιεῖ μὴ εἶναι θάτερα τοῖς
ἑτέροις ταὐτά, σώζειν δὲ ἕκαστα τῆς ἑαυτῶν ἰδιότητος τὴν καθαρότητα καὶ
τὴν ἀμιγῆ καὶ ἄχραντον κατάστασιν. εἰ δὲ ὄντα ἀσυνήθως ἡμῖν αὐτοῖς
λέγοντες τὰ αἰσθητὰ κατονομάζοιμεν καὶ ζητοίημεν, ἐκ ποίου μὲν ὄντος 25
ποίου δὲ μὴ ὄντος ταῦτα τὴν ὑπόστασιν εἴληφεν, αἰτιάσονται μὲν πάλιν οἱ
θεῖοι ἄνδρες τά τε ἄλλα τοῦ ὄντος γένη καὶ τὰ προειρημένα, τὴν οὐσίαν
καὶ τὸ θάτερον· ἐκτείνεται γὰρ αὐτῶν ἡ ἐνέργεια καὶ ἡ γονίμη δύναμις
ἐπὶ πάντα τὰ ὁπωσοῦν ὄντα. οὐ μὴν ἀλλ' ἐπειδὴ τὰ τελευταῖα καὶ πλείοσιν 30

7 αὐτὸς Us. 15 τε pro δὲ Us. 18 fort. ἧττον ⟨ὄν⟩ 23 dubito de ὡς
24 καθ' αὑτήν Us., at extra structuram dixisse videntur καθ' αὑτό; cf. p. 4,25
30 πληθύνει AH, at cf. Iambl. de comm. math. 96,1 Procl. in remp. ind.
32 συνήθως C, corr. Us. 33 ἐκ suprascr. C¹

αἰτίαις δουλεύει καὶ συνθέσει χρῆται ποικιλωτέρᾳ, ἐξ ὄντος μέν ἐστι τοῦ 929a
εἴδους, μὴ ὄντος δὲ τῆς ὕλης. ὡς οὕτω δὲ μόνως αὐτῶν λεγόντων καὶ
αὐτὸς Ἀριστοτέλης ἀκούει· γράφει γὰρ ἐφεξῆς τούτοις·

p. 1089a20 Βούλεται . . . οὐδὲ φθείρεται.

Ἐκείνων εἶναι μὲν τὸ μὴ ὂν καὶ ἐν τοῖς νοητοῖς λεγόντων τὸ κατὰ
τὴν ἑτερότητα, εἶναι δὲ καὶ ἐν τοῖς αἰσθητοῖς αὐτό τε τοῦτο καὶ τὸ ὑλικόν,
καλούντων δὲ τὴν ὕλην οὐ μὴ ὂν μόνον ἀλλὰ καὶ ψεῦδος, ὅτι δοκεῖ μὲν
εἶναι | πάντα, ψεύδεται δὲ καὶ οὔτ' ἔστιν οὔτε γίγνεται τῶν ὄντων οὐδέν, 929b
ὁ θαυμαστὸς Ἀριστοτέλης πρῶτον μὲν ἐρωτήσας αὐτούς, ἐκ ποίου ὄντος
καὶ ποίου μὴ ὄντος τὸ πλῆθος ἀπογεννῶσι τῶν οὐσιῶν, ὑπέθετο λέγειν
αὐτοὺς τοῦ κατὰ τὴν ὕλην· εἶτα λαβὼν παρ' αὐτῶν, ὅτι ψεῦδος ἐκάλουν
τὴν ὕλην ἣν ὑπετίθεσαν τοῖς εἴδεσι, φησὶν αὐτοὺς ἐκ ψεύδους ὑποτιθεμένου
τὰ ὄντα ποιεῖν, συλλογιζόμενος οὕτω· τὰ ὄντα ἐκ μὴ ὄντος, τὸ μὴ ὂν
ψεῦδος, τὰ ὄντα ἐκ ψεύδους. ἐφ' οἷς ἐπήγαγε πάνυ κομψῶς, ὅτι μιμεῖσθαι
μὲν ἴσως ἐπιχειροῦσι τοὺς γεωμέτρας, οὐ μὴν μιμοῦνται (οὐ γὰρ διισχυρί-
ζονται ἐκεῖνοι ἐκ τῆς γραφείσης μὲν μὴ οὔσης δὲ ποδιαίας ἀναγεγράφθαι
τὸ τετράγωνον)· τοῦτο μὲν εὖ λέγων ὅτι μὴ χρῆται δεικνὺς ὁ γεωμέτρης
τῷ ψεύδει, παραλείπων δὲ τό τε ὅλον μὴ ὂν παρ' αὐτοῖς, ὃ διατείνει καὶ
ἐπὶ τὴν ἀσώματον οὐσίαν, καὶ τὸ ψεῦδος ὅπως ἐλέγετο παρ' αὐτοῖς περὶ
τῆς ὕλης· οὐ γὰρ ὡς εἰώθαμεν ψευδῆ λόγον λέγειν ἢ ψευδῆ δόξαν τὴν
ἀσύμφωνον τοῖς πράγμασιν, οὕτω ψεῦδος ἡ ὕλη παρ' αὐτοῖς ἐλέγετο, ἀλλὰ
διὰ τὴν εἰρημένην αἰτίαν.

p. 1089a26 Ἀλλ' ἐπειδὴ . . . πολλά.

Ἐκεῖνοι μέν, φησί, τὸ πλῆθος ἐκ τοῦ μὴ ὄντος ἐποίουν τοῦ ψεύδους,
ἐγὼ δὲ ἐκ τοῦ μὴ ὄντος μὲν οὐ τὸ πλῆθος μόνον ἀλλὰ καὶ ἓν ἕκαστον, μὴ
ὄντος δὲ ἐνεργείᾳ ἀλλὰ μόνον δυνάμει, διὸ καὶ ψευδῶς ὄντος. ταῦτα δὲ
εἰ μὲν ⟨ὡς⟩ ἐξηγούμενος ἐκείνους ἔλεγε, μέτριος ἂν ἦν· ἐπειδὴ δὲ ὡς ἀντιταττό-
μενος, ἀκουέτω ὅτι τὸ περὶ τὴν γένεσιν μὴ ὂν ἑρμηνεύεις αὐτῶν, τὸ δὲ
ὅλον μὴ ὂν παραλείπεις.

p. 1089a31 Φαίνεται δὲ . . . μονάδες.

Ζητοῦντες, φησί, πῶς πολλὰ τὸ ὄν, οὐδὲν ἄλλο ἐζήτουν ἢ πῶς οὐσίαι
πολλαί * * * ἃ ἅπαντα οὐσίαι κατ' αὐτούς· ἔδει δέ, φησί, ζητῆσαι καὶ
πῶς πολλὰ χρώματα καὶ πῶς χυμοὶ πολλοί· οὐκέτι γὰρ ἂν τὸ μέγα καὶ
τὸ μικρὸν ᾐτιάσαντο. ῥητέον οὖν πρὸς αὐτόν, ὅτι πανταχοῦ μὲν ἡ δυὰς

1 aute ἐξ προς habet C, possis ὡς 10 ἐκ τοῦ μὴ ὄντος ante τοῦ deesse putat Us. et ἐκ desiderare possis, at cf. ad p. 123,30 infra 173,4 11 ψευδὲς C, corr. A 27 ὡς add. A 29 ὅλον μὴ ὂν Us.: ὅλον καὶ ὂν C 31 cf. Alex. 807,20 sqq. 32 hiatum notavit Us., excidit fere ἀριθμοὶ καὶ μήκη καὶ σώματα

αἰτία τοῦ πλήθους (ἡ γὰρ ἀπὸ τοῦ ἑνὸς προάγουσα σὺν ταῖς ἰδίαις δια- 929ᵇ
φοραῖς τὰ πράγματα ἥδε ἐστὶν ἡ ἀρχή), καὶ ἔστι καθ' ἑκάστην τάξιν τῶν 31
ὄντων ἰδιάζουσα μονὰς καὶ ἡ ταύτῃ συμφυομένη καὶ τὸν ἑαυτῇ πρόσφορον
ἀριθμὸν ἀπογεννῶσα δυάς. εἰ δὲ περὶ τῶν οὐσιῶν ἢ τῶν συμβεβηκότων
5 πλείονα λέγουσι, καὶ τῶν νοητῶν ἢ τῶν αἰσθητῶν, θαυμαστὸν οὐδέν· ὅλη
γὰρ ὡς εἰπεῖν ἡ διατριβὴ τοῖς ἀνδράσι περὶ τὸ φανερὸν καὶ γνωστὸν καὶ 35
ὡσαύτως ἔχον καὶ νοητὸν ἐγίγνετο, ἐπὶ δὲ τὰς σκιὰς καὶ τὰς | ἀποτελευτή- 930ᵃ
σεις τῶν ὄντων ὀλιγάκις ἀπέκλινον.

p. 1089ᵇ2 Ἀλλὰ μὴν . . . ἀπόφασις ἐκείνων.

10 Ἐπεσκέψαντο μὲν καὶ τὰ συμβεβηκότα καὶ εἶδον, ὅτι ἀνάλογον εἰσὶ
καὶ ἐπὶ τούτων αἱ αὐταὶ ἀρχαί, ἥ τε οἰκεία μονὰς αὐτῶν καὶ ἡ δυάς, ἡ
μὲν ταυτότητος ἡ δὲ ἑτερότητος καὶ πλήθους αὐτοῖς αἰτία, καὶ οὔτε κατὰ 5
παρέκβασιν τοῦ ἀληθοῦς αἰτίου οὔτε κατ' ἄλλην * * τῷ ὄντι καὶ τῷ ἑνὶ
τὸ δυοειδὲς αἴτιον συνέταξαν. ἣν δὲ σὺ πρεσβεύεις ἀρχὴν τὴν κατὰ ἀπό-
15 φασιν, ὑλική ἐστι· τὸ γὰρ οὐκ ἄνθρωπος ὕλη τοῦ ἀνθρώπου. οἱ δὲ καὶ
ταύτην ἥδεσαν ἐν τοῖς τελευταίοις τῶν ὄντων ἀναγκαίαν οὖσαν τὴν ἀρχήν· 10
ἐκάλουν μέντοι οὐκ αἴτιον ἀλλὰ συναίτιον, τὰς δὲ ποιητικὰς αἰτίας ἐν λόγοις
ἀπετίθεντο φυσικοῖς καὶ δημιουργικοῖς. ἔστιν οὖν ἐν τῇ φύσει λόγος εἷς
πάντων χρωμάτων γεννητικός. καὶ ἄλλος πρώτως μὲν πληρούμενος ἀπὸ
20 τούτου, σὺν αὐτῷ δὲ τὰ πλήθη καὶ τὰς διαφορὰς τῶν χρωμάτων ἀπογεννῶν· 15
καὶ οὗτοί εἰσιν ἡ τῶν χρωμάτων μονὰς καὶ δυάς· τὸ δὲ ἀνάλογον καὶ ἐπὶ
τῶν ἄλλων συμβεβηκότων, ὅσα κατὰ λόγους ἐπιτελεῖται φυσικούς.

p. 1089ᵇ7 Μία τε φύσις . . . εἶναι.

Ἔστι μὲν μία φύσις τῶν ὄντων τὰ πρός τι, δι' ἣν τάξις ἐστὶ καὶ
25 συμπάθεια καὶ ἁρμονία πᾶσα καὶ συμφωνία κατὰ τὸν κόσμον· οὐ μὴν
ἠμέλησαν ἐκεῖνοι τοῦ θεωρῆσαι τὰς ἀρχὰς τῆς φύσεως ταύτης, ἀλλὰ καὶ 20
τὸ ἐνιαῖον αὐτῆς εἶδος καὶ τὸ πλῆθος ᾐτιολόγησαν. αὐτῷ μὲν οὖν θαυ-
μαστὸν εἶναι δοκεῖ, πῶς χρώμενοι πολλοῖς ἀνίσοις ὥσπερ πολλαῖς μονάσιν
οὐκ εἶπον, πόθεν ὑφίσταται τὰ πολλὰ ἄνισα, ὥσπερ αἱ πολλαὶ μονάδες·
30 ἐμοὶ δὲ θαυμάζειν ἔπεισιν, εἰ τὰ εἴδη ἔχων παρ' αὐτοῖς ἐξυμνημένα καὶ 25
τὰς τῶν εἰδῶν ἀρχὰς ἄλλας αἰτίας ἐπιποθεῖ τοῦ πλήθους τῶν ἀνίσων·
ὥσπερ γὰρ τῶν πολλῶν ὁμοίων καὶ ἀνομοίων ἡ αὐτοομοιότης ⟨καὶ ἡ αὐτοανο-
μοιότης⟩ αἰτία, οὕτω τῶν πολλῶν ἴσων καὶ πολλῶν ἀνίσων ἡ αὐτοϊσότης
καὶ ἡ ἐκεῖ ἀνισότης αἰτία. καὶ περὶ τούτων εἴρηται μέν τι καὶ ἐν τῷ Φαίδωνι, 30
35 εἴρηται δὲ ἐπὶ πλέον ἐν τῷ Παρμενίδῃ. εἰ δὲ καὶ ἐπὶ τὰς ἀρχὰς ἀνίοις

2 ἥ δέ ἐστιν C 3 ἑαυτῆς C: corr. Bag. 7 ἐπὶ ex Bag. Us.] περὶ C
13 lacunam statuit Bag.; κατ' ἄλλην vel οὐκ ἀκατάλληλον Us. 19 ἄλλως C: corr. H
ὑπὸ Us. 27 αὐτῷ Brandis] αὐτὸ C 32. 33 καὶ ἡ αὐτοανομοιότης add. Bag.
33. 34 καὶ ἥκει ἀνισότης C 34 μέν τι καὶ Us.] μέντοι καὶ C Plat. Phaed.
74ᶜ sq. 35 Plat. Parm. 130ᵉ sqq.

τὰς τῶν εἰδῶν. εὕροις ἂν ἔτι πρεσβυτέρας αἰτίας τήν τε μονάδα καὶ τὴν 930ᵃ
αὐτοδυάδα, ὧν τῇ μὲν ᾠκείωται μᾶλλον ταυτότης ἰσότης ὁμοιότης, τῇ δὲ
δυάδι ἑτερότης ἀνισότης ἀνομοιότης.

p. 1089ᵇ15 Ἀνάγκη . . . τῶν ὄντων. |

Ὅτι μὲν ἐπὶ τῶν τελευταίων τὸ δυνάμει ἑκάστου καὶ τὸ ὑλικὸν αἴτιον 930ᵇ
παραλαμβάνεις, εὖ πάνυ καὶ κατὰ φύσιν· οὐ μὴν ἔτι τῆς διανοίας τῶν
Πυθαγορείων τε καὶ τῆς αὐτοῦ τοῦ Πλάτωνος ἀντιλαμβάνῃ τὸ σμικρὸν καὶ
μέγα παρ' αὐτοῖς ἢ τὸ ἄνισον ἢ ὅλως τὴν ἀόριστον δυάδα πρός τι νομίζων
εἶναι· τῷ ὄντι γὰρ τὰ πρός τι τῶν οὐσιῶν οὔτε ἀποφάσεις οὔτε δυνάμεις.
ἀλλὰ μήποτε τὰ πολλὰ μὲν ἐπὶ τῆς γεννώσης μετὰ μονάδος τὰ πράγματα
αἰτίας τὴν δυάδα ταύτην τάττουσιν· εἰ δέ που καὶ τὴν ὕλην ὡς ἴνδαλμα
φέρουσαν ἐκείνης τῆς ἀρχῆς μέγα καὶ μικρὸν καλοῖεν ἢ ἄνισον ἢ δυάδα
ἀόριστον, οὐκ ἐπὶ τὰ πρός τι ταῦτα ἀνάγουσιν, ἀλλ' ἐνδείκνυνται τὸν ἐπ'
αὐτῆς τῶν εἰδῶν μερισμὸν καὶ τὴν ἀνωμαλίαν καὶ τὴν ἔκστασιν· οὐ γὰρ
μόνον ἕτερον ἑτέρου διίσταται, ἀλλ' ὃ θαυμαστότατον καὶ ἐννοῆσαι καὶ
εἰπεῖν, ὅτι καὶ αὐτὸ ἑαυτοῦ χωρίζεται καὶ διίσταται καὶ ἕτερον γίγνεται
πλησιάσαν ὕλῃ. τί οὖν ἔδει τὴν διάνοιαν τῶν ἀνδρῶν ἀπολιπόντα συμπλέκε-
σθαι ταῖς φωναῖς καὶ κωμῳδεῖν ὡς τὴν ἑτέραν τῶν ἀρχῶν, ἣν τῷ ἑνὶ
συντάττουσι, πρός τι ποιοῦντας καὶ μίαν τῶν κατηγοριῶν ὕλην εἶναι τῶν
οὐσιῶν λέγοντας;

p. 1089ᵇ20 Πολύ τε . . . τὰ δὲ πρός τι.

Οὔτε καλῶς ὑφηγῇ περὶ τὰ τῇδε διατρίβειν εἰωθώς, ἐκεῖνοί τε λέγουσι
μέν τι καὶ περὶ τούτων ὡς ἐν τοῖς τελευταίοις ἀπεωσμένων, οὐ μὴν ἀλλ'
ἐπειδὴ περὶ τὰ κυρίως ὄντα καὶ νοητὰ καταβάλλονται τὴν ἑαυτῶν σπουδήν,
εἰκότως τὰς ἐκείνων ἀρχὰς τῶν οὐσιῶν πολυπραγμονήσαντες παρέχουσιν
ἀφορμὰς τοῖς καὶ περὶ τὰ τελευταῖα στρέφεσθαι προθυμουμένοις ἀναλογίᾳ
τὰς αὐτὰς κἀπὶ τῶν τῇδε θεωρεῖν ἀρχάς. δεῖ δὲ κἀκεῖνο λογίζεσθαι, ὅτι
πῶς μὲν πολλὰ τὰ αἰσθητά, λέγειν οὐ χαλεπόν (καὶ γὰρ τόπῳ ταῦτα μερί-
ζεται καὶ ὑποκειμένῳ χρῆται διαφόρῳ καὶ τοσαύτη ἡ ἐν αὐτοῖς ἑτερότης,
ὥστε καὶ πολεμεῖν ἀλλήλοις αὐτῶν ἔνια)· πῶς δὲ τὰ νοητὰ πολλά, μὴ
τόπῳ χωριζόμενα, μὴ ὑποκειμένῳ κρατούμενα, μὴ σχέσιν ἢ ῥοπὴν πρὸς
τὰ δεύτερα ποιησάμενα, ζητήσειεν ἂν ὁ μὴ πάντῃ τὴν διάνοιαν ἀργὸς καὶ
δυσκίνητος. ἄλλως τε τοῦ Παρμενίδου, πρὸς ὃν ἦν αὐτοῖς καὶ ἡ ἀπότασις,
ἓν εἰπόντος εἶναι τὸ ὄν, οὐχὶ τὸ ποιὸν ἢ τὸ πρός τι ἢ τὸ ποσὸν ἢ ὅλως
τῶν τῇδέ τι, ἀλλὰ τὸ ὄντως ὂν καὶ νοητόν, ἐδικαίουν μὴ φορτικῶς ἀπαντᾶν |
πρὸς τὸν ἄνδρα, δεικνύναι δὲ ὅτι κἀκεῖ πλῆθός ἐστι· πρὶν δὲ δείξωσιν, 931ᵃ

2 αὐτοδυάδα Us.] αὐτηνδυάδα C 11 αὐτὴν pro ταύτην Us.; deleverim potius
13 ταύτην Us. ἐνδείκνυται C: corr. Bag. 33 ἀπόστασις C: corr. Us.
36 ad πλῆθός ἐστι in mg. C: ἐπαχθῆ ἢ ἐπὶ πλαστὰ quae quo pertineant non constat

ἀναγκαίως ἐζήτουν τὴν αἰτίαν τοῦ ἐκεῖ πλήθους, καὶ εὕρισκον ὡς μὲν ἐν 931a
τοῖς γένεσι τοῦ ὄντος τὴν ἑτερότητα καὶ τὸ κατ' αὐτὴν μὴ ὂν τοῦ πλήθους
ἀρχήν, ὡς δὲ ἐν ταῖς αἰτίαις ταῖς πρωτίσταις τὴν ἀόριστον δυάδα, ἣν Χάος 5
ὁ Πυθαγόρας ἐν τῷ Ἱερῷ λόγῳ κέκληκε, συντάττων αὐτὴν τῷ Πρωτεῖ·
5 ταύτην γὰρ ἀπονέμει τῇ μονάδι τὴν προσηγορίαν ἐν ἐκείνοις. ὀρθῶς ἄρα
καὶ ταύτην ἐνίσταντο τὴν ζήτησιν καὶ τὴν αἰτίαν παρεδίδοσαν τοῦ πλήθους
τῶν ὄντως ὄντων, καὶ οὔτε πρός τι τὴν ἑτέραν ἐποίουν τῶν ἀρχῶν οὔτε 10
τὸν περὶ τῶν αἰσθητῶν λόγον πάντῃ παρελίμπανον, ὡς δηλοῖ τὰ Ὀκκέλου
μὲν Περὶ τᾶς τῶ παντὸς φύσιος, ἐξ ὧν τὰ Περὶ γενέσεως καὶ φθορᾶς
10 μονονουχὶ μεταβεβλῆσθαι δοκεῖ, τοῦ Τιμαίου δὲ τὰ πλεῖστα, καθ' ὃν ἡ
περιπατητικὴ φιλοσοφία τὰ πολλὰ φυσιολογεῖ.

p. 1089b24 Ἐπὶ . . . μία.

Ἐπὶ τῶν συμβεβηκότων, φησί, καὶ τοῦτο ἄν τις ἀπορήσειε, πῶς οὐκ 15
ὄντα τῶν ὑποκειμένων χωριστὰ πολλά ἐστιν ὅμως· ἐπὶ μὲν γὰρ τῶν οὐσιῶν
15 συγκεχωρήσθω τὸ πλῆθος ἐκ τοῦ μὴ ὄντος εἶναι· πῶς δὲ τὸ χρῶμα ἐκ
μὴ χρώματος; εἶτα ἐφιστὰς λέγει ὅτι 'ἀνάγκη μὲν γὰρ καὶ τὰ συμβεβηκότα
ὕλην ἔχειν, ἀλλ' οὐ χωριστήν' φησί 'τῶν σωμάτων'. μάλιστα δέ φησιν 20
ἐκεῖνο εἶναι ἄπορον, πῶς πολλαὶ οὐσίαι ἐνεργείᾳ εἰσίν. οὐκοῦν ἵνα καὶ
ἡμεῖς ἀπὸ τῶν τελευταίων ἀρξώμεθα, ταὐτὰ φαίνεται ζητῶν ἐκείνοις ἄντικρυς·
20 καὶ γὰρ αὐτοὶ περὶ τοῦ πλήθους ἠπόρουν τῶν νοητῶν, ἐν οἷς τὸ δυνάμει
καὶ τέλεον ἐξῄρηται. καὶ οὗτος μὲν ἐπὶ τῆς ἀπορίας μένει, μήτε τὰ εἴδη 25
δεχόμενος μήτε τὰς ἀρχηγικὰς αἰτίας μήθ' ὅλως ποιητικὴν ἀρχὴν ἐπὶ τῶν
ἀιδίων προσιέμενος (διὰ τί γὰρ τοσοῖδε παρ' αὐτῷ οἱ νοῖ καὶ οὔτε πλείους οὔτε
ἐλάττους, εἰπεῖν οὐκ ἔχομεν· οὐ γὰρ δὴ διὰ τὰς σφαίρας τὰς ὑπ' αὐτῶν κινου-
25 μένας τοσοῖδε οἱ νοῖ, ἀλλ' εἰ ἄρα, ἀνάπαλιν. ἔπειτα κἂν οὕτω τις ἐξ ὑπτίας 30
ἐπιχειρῇ λέγειν, ἀπορήσομεν πάλιν περὶ τοῦ πλήθους τῶν σφαιρῶν πόθεν 931b
καὶ πῶς τοσαῦται)· οἱ δὲ πάντων τῶν ἐγκοσμίων μέτρον ἀποθέμενοι παρὰ
τῷ δημιουργῷ νῷ καὶ εἰς ταῦτα καὶ εἰς τἆλλα πάντα προβλήματα μετὰ
πολλῆς ῥαστώνης καὶ ἀληθείας ἀναστρέφονται. ἀλλὰ μὴν καὶ τὸ μέσον
30 παρ' αὐτῷ θεώρημα, τὸ τὰς αἰσθητὰς οὐσίας ἐκ μὴ τοιούτων γίγνεσθαι, 5
προσίεται μὲν ὁμοίως ἐκείνοις τὸ ὁλικὸν αἴτιον, παραλιμπάνει δὲ τὸ ποιητικὸν
καὶ τὸ παραδειγματικόν. ἡ δὲ περὶ τῶν συμβεβηκότων ἐπίστασις λύεται
μὲν καὶ παρ' αὐτοῦ· πολλὰ γὰρ εἰ καὶ μὴ τῷ ὑποκειμένῳ τὰ συμβεβηκότα,
ἀλλὰ τῷ γε λόγῳ· τελειότερον δέ ἐστι τὴν ἐμφανῆ δημιουργίαν αἰτιᾶσθαι 10
35 καὶ τὴν ἑτερότητα τῶν φυσικῶν δυνάμεων καὶ τὴν τῶν ἐνύλων εἰδῶν περὶ
τὰ ὑποκείμενα διαίρεσιν.

4 αὐτὴν Bag.] αὐτῶν C Πρωτεῖ Us.] πρῶ (ρ incertum) C cf. p. 19,4
8 ἐκέλλου C 9 τῆς τῶ C 13 cf. Alex. 810,7 sqq. 16 μὲν γὰρ C: μέντοι coni. Us. cf. Ar. 1089b28 καίτοι δεῖ γε 21 an ἀνῄρηται vel ἐξώρισται?
25 ἐξ ὑπτίας e Plat. Phaedr. 261a 28 δημιουργικῷ coni. Us. 29 cf. Alex. 811,30 sqq. 32 cf. Alex. 811,36 sqq. qui ad phys. ausc. I 2. 3 relegat

p. 1089b32 Ἀλλὰ μὴν . . . ἐναντιώσεις. 931b

Πάλαι μὲν ἠτιᾶτο ⟨τὸ⟩ πλῆθος μόνον τῶν οὐσιῶν ζητήσαντας ὅθεν ὑπέστη· νυνὶ δὲ οὐδὲ τοῦτο συγχωρεῖν αὐτοῖς ἔοικεν, ἀλλ' ἐπειδὴ περὶ ἀριθμῶν τὰ πολλὰ διαλέγονται καὶ μεγεθῶν, μιᾶς κατηγορίας αὐτοὺς ἔφη τὸ πλῆθος [καὶ] διερευνήσασθαι, οὐχὶ τῆς οὐσίας ἀλλὰ τοῦ ποσοῦ· ἀριθμὸς γάρ, φησί, πᾶς ποσὸν καὶ ἡ μονάς· εἶτα ἐπιστήσας, εἰ μὴ ἄρα, φησίν, ἡ μονὰς οὐ ποσόν, ὅτι μέτρον ἀριθμοῦ καὶ ἀδιαίρετος· εἰ μὲν οὖν, φησί, καὶ αὐτοῖς ἀρέσκει διαφέρειν ποσὸν οὐσίας, περὶ πλήθους ἐζήτησαν μόνου τοῦ κατὰ τὸ ποσόν· εἰ δὲ ταὐτὸν οἴονται εἶναι ποσὸν καὶ οὐσίαν, εἰς ταὐτὸν ἄγουσι συμβεβηκὸς οὐσίᾳ καὶ ὑποκείμενον ⟨τῷ⟩ ἐν ὑποκειμένῳ καὶ ὅλως ἐναντιοῦνται τοῖς ἐναργέσι. ῥητέον οὖν πάλιν τὰ αὐτὰ πρὸς αὐτόν, ὅτι πάντα τὰ ὄντα ἀριθμοὺς ἐκάλουν· ζητοῦντες οὖν πῶς τὸ πλῆθος ὑπέστη τὸ ἐν τοῖς ἀριθμοῖς, περὶ τῶν νοητῶν ἐζήτουν ἁπάντων καὶ τῶν αἰσθητῶν καὶ τὴν ἁπανταχοῦ δυαδικὴν ἀρχὴν τοῦ πλήθους ἠτιῶντο τοῦ ἑκασταχοῦ.

p. 1090a2 Ἐπιστήσειε . . . ἐλέχθη.

Μάχεται μὲν ἐν τούτοις τῷ τὸν μαθηματικὸν ἀριθμὸν τοῦ αἰσθητοῦ χωρίζοντι καὶ ἰδίαν οὐσίαν αὐτῷ παρέχοντι. θαυμάσειε δ' ἄν τις ὅπως οὐδενὸς αὐτὸν αἴτιον εἶναι νομίζει· καίτοι τίς ἄλλος αἴτιός ἐστι ταῖς | ψυχαῖς ἡμῶν 932a τοῦ μετρεῖν τὰ διωρισμένα πρὸ τούτου; ποῦ δὲ τῶν θείων οὕτως ἐναργεῖς εἰκόνας ὁρῶμεν ὡς ἐν αὐτῷ; ποῦ δὲ τὰ σχήματα καὶ τὰς αἰτίας τῶν σχημάτων καὶ τὰς ἀρχὰς πάντων τῶν μαθημάτων ἴδοι τις ἂν καθαρῶς ὡς ἐν τούτοις τοῖς ἀριθμοῖς; τοῦτό τε οὖν θαυμάσειεν ἄν τις καὶ τὸ ῥηθὲν ἐν ἐσχάτοις τῶν ἐκκειμένων ῥητῶν, ὅτι πάντα τὰ τῶν μαθηματικῶν ἀριθμῶν θεωρήματα καὶ κατὰ τῶν αἰσθητῶν ὑπάρξει. πρῶτον μὲν γὰρ ποῖα τῶν αἰσθητῶν οὕτως ἐφεξῆς τέτακται ὡς μονάδι μόνον ἀλλήλων διαφέρειν καὶ ταύτῃ τῇ διαφορᾷ προϊέναι ἄχρι παντός; ἔπειτα ποῦ τῶν αἰσθητῶν τοιαύτη σχέσις καὶ εὐταξία θεωρηθήσεται ὡς τῶν ἀνάλογον πολλαπλασίων τὸν μὲν τρίτον εἶναι τετράγωνον, τὸν δὲ τέταρτον κύβον, τὸν δὲ ἕβδομον κύβον ἅμα καὶ τετράγωνον; ἀλλ' εἰ καὶ βιάσαιτό τις καὶ τάξειεν οὕτω τὰ αἰσθητά, μάλιστα μὲν ἄχρι τινὸς ἡ βία προβαίνει διὰ τὸ μὴ πεφυκέναι τὰ αἰσθητὰ τοῦτον διασώζειν πρὸς ἄλληλα τὸν λόγον. ἔπειτα δὲ ἐκ τῶν μαθηματικῶν

2 τὸ add. Us. ζητήσαντες C: corr. Bag. ὁπόθεν Us., at cf. Wendland mus. Rhen. LIII 23 Philol. N. S. XI 117 4 μεγεθῶν Us.] ̈μεθῶν C punctis dubitationem significans ἐπὶ μιᾶς coni. Us. 5 καὶ del. Us. cl. mus. Rhen. XXV 602 6 cf. Alex. 812,22 sqq. 8 ἐζητήσαμεν C: corr. Us. 9 cf. Alex. 812,19 sqq. 10 τῷ add. Bag. 12 ζητοῦντος C: corr. A 14 ante τοῦ τὸ Ca, del. Cb 16 cf. Alex. 812,28 sq. 19 ταδὶ ὡρισμένα Us. πρὸ Us.] πρὸς C; expectas πλὴν 21 τούτοις fort. del. putat Us.; eodem iure τοῖς ἀριθμοῖς in suspicionem voces 23 ῥητῶν pro glossemate habet Us. 27 ἀταξία C: corr. Bag. 28 veteres in multiplicando ab unitate exorsos esse, ergo tertium fuisse quadratum, quartum cubicum numerum, septimum qui utrumque simul esset monet Us.

ἀριθμῶν μετοίσει τὴν τάξιν· οὐ γὰρ δὴ ταύτην ἐν τῇ φύσει τῶν αἰσθητῶν 932a
ἐνέθηκεν ἡ δημιουργία· ποῦ δὲ τὸ κάλλος τοῦτο τῶν θεωρημάτων ἡ ὕλη
δύναται δέξασθαι; τὸ δὲ παρ' ἕνα εἶναι ἄρτιον καὶ περιττὸν ποῦ ἔχει τὰ
αἰσθητά. εἰ μή τις ἐκ τῶν ἀριθμῶν καὶ τοῦτο λαβὼν ἐπ' ὀλίγον αὐτῷ
χρήσαιτο τὴν ἔνυλον φύσιν βιασάμενος; εἰ δὲ μή, ὅσον ἐπὶ τοῖς αἰσθητοῖς
οὐδὲν κωλύει καὶ ἄρτιον ἀρτίῳ καὶ περιττῷ περιττὸν ἐφεξῆς τετάχθαι. καὶ
εἰ μὲν ἄχρι τινὸς τοῦτ' εἶχον οἱ ἀριθμοί, τάχ' ἄν τις κατά τινα θέσιν καὶ
νομοθεσίαν τῆς ἡμετέρας διανοίας οὕτως αὐτοὺς ἔφατο διακεκοσμῆσθαι· 25
ἐπειδὴ δὲ σὺν τῇ αὐτῇ τάξει καὶ τοῖς αὐτοῖς εἴδεσιν ἄχρι τοῦ ἀπείρου
πρόϊασι καὶ ἐφ' ὅσον αὐτῶν ὁ λογισμὸς ἡμῶν ἐπιέναι δύναται, τοσοῦτο τῇ
αὐτῇ ποικιλίᾳ θεωρεῖ κατακοσμούμενον, παντὶ δῆλον ὡς τῇ οἰκείᾳ φύσει
συνεισιοῦσαν ἔχουσι ταύτην ⟨τὴν⟩ εὐταξίαν, ἣν ὁ νοῦς αὐτοῖς καὶ ἡ τῶν 30
πρεσβυτέρων ἀριθμῶν αἰτία παραδειγματικὴ τὴν σύστασιν ἐν ψυχῇ λαβοῦσι
χαρίζεται. μήτ' οὖν τὸ κάλλος μήτε τὴν τάξιν μήτε τὰς τῶν χωριστῶν
εἰδῶν εἰκόνας μήτε τὸ πλῆθος | τῶν ἐν τοῖς μαθηματικοῖς ἀριθμοῖς θεωρη- 932b
μάτων μήτε τὰς ἀρχὰς τῶν ἁπασῶν ἐπιστημῶν ἀτιμάσωμεν ὑστερογενῆ
ποιοῦντες τὸν ἀριθμὸν καὶ τῶν αἰσθητῶν ἀφαίρεσιν εἶναι νομίσαντες.

p. 1090a16 Οἱ μὲν οὖν . . . σώμασιν.

Τριῶν δοξῶν ἐν τούτοις μνημονεύσας, τῆς τε τὸν εἰδητικὸν ἀριθμὸν 5
πρεσβευούσης, ἣν εἰς τὸν ἑαυτοῦ διδάσκαλον ἀναπέμπειν εἴωθε, καὶ τῆς
τὰ σώματα ποιούσης ἀριθμούς, ἣν ἀπονέμει τοῖς Πυθαγορείοις, καὶ τῆς τὸν
μαθηματικὸν ἀριθμὸν μόνον εἰδυίας, τὴν τρίτην κακίζει πλέον ὡς ἂν ἀλο-
γωτέραν τῶν ἄλλων. οὔτε δὲ περὶ τῶν δύο, τῆς Πλατωνικῆς καὶ Πυθαγο- 10
ρείου, φαμὲν αὐτὸν ἱκανῶς ἱστορεῖν οὔτε περὶ τῆς τρίτης ὑγιές τι λέγειν.
πρῶτον μὲν γὰρ οὐκ ἐγένετό τις, ὃς τὸν μαθηματικὸν ἀριθμὸν εἶναι μόνον
ὑπέλαβεν, ἀλλ' ἴσως μαθηματικοῖς ὀνόμασι καὶ ἐπὶ τῶν θείων ἀριθμῶν ὁ
τοιοῦτος χρησάμενος αἴτιος ἐνίοις πλάνης ἐγένετο. ἔπειτα πῶς οὐχ ἱκανῷ
τεκμηρίῳ χρῶνται τοῦ εἶναι κεχωρισμένην τῶν αἰσθητῶν τὴν τῶν μαθη- 15
μάτων ὕπαρξιν λέγοντες 'εἴπερ ἔστιν ἀριθμητικὴ ἐπιστήμη, ἔστι χωριστὸς
ἀριθμός'; ἀλλὰ μὴν τὸ ἡγούμενον, καὶ τὸ ἑπόμενον ἄρα. ὁ δέ φησι πρὸς
τὸ συνημμένον ἀπηντηκέναι πρότερον· καίτοι οὐδὲ ἐν ἐκείνοις εἴρητό τι πρὸς
ἔλεγχον τῶν μαθημάτων ἱκανόν, ἀλλ' ὅτι ἡ τῶν καθόλου ἐπιστήμη δυνάμει 20
ἐστίν, ἡ δὲ τῶν καθ' ἕκαστα ἐνεργείᾳ. ἀλλ' οὐδὲ τὸ νῦν λεγόμενον ἰσχὺν
ἔχει τινά· οὐ γὰρ ἂν κεχωρισμένων, φησί, τὰ πάθη περὶ τὰ αἰσθητὰ
ἐφαίνετο. πάλιν γὰρ ἀποχρῆται τῇ ὁμωνυμίᾳ τῶν τε ἀριθμῶν καὶ τῶν
παθῶν· ἄλλως γὰρ κατὰ τῶν μοναδικῶν, καὶ ἀνάλογον μὲν ἑτέρως δὲ κατὰ 25
τῶν τῆς φύσεως δημιουργημάτων τὰ τοιαῦτα τάττεται.

---

3 τὸ δὲ] an τό γε? ἕνα παρ' ἕνα coni. Us. 6 κωλύει Us.: ἐλύπει C cf. p. 170,13 7. 8 καί νομοθεσίαν del. Us. 11 κατακοσμουμένους Bag. 12 τὴν add. Us. 23 πυθαγορίου C 30 δέ φησι Us.: δὲ ἔφη C

p. 1090a30 Οἱ μὲν . . . ἐν τοῖς αἰσθητοῖς. 932b

Ὑποθέμενος τοὺς μὲν Πυθαγορείους χωριστὸν ἀριθμὸν μὴ ποιεῖν, τὸν δὲ αἰσθητὸν κόσμον ἐξ ἀριθμῶν συνιστάνειν, ἄλλους δέ τινας ἐπειδὴ τὰ ἀξιώματα καὶ αἱ καθόλου προτάσεις ἐπ' οὐδενὸς μὲν τῶν αἰσθητῶν ἀληθεύουσι, * * * δὲ μεγέθη τε καὶ αἰσθητὰ ποιοῦντας, ἀπορεῖ πρὸς μὲν τοὺς Πυθαγορείους, πῶς ἐξ ἀβαρῶν καὶ ἀμεγεθῶν τῶν ἀριθμῶν τὰ αἰσθητὰ δύναται συνίστασθαι σώματα, πρὸς δὲ | τοὺς χωρίζοντας, πῶς ἂν τὰ πάθη 933a τῶν μεγεθῶν καὶ τῶν ἀριθμῶν ὑπῆρξε τοῖς αἰσθητοῖς, εἰ μὴ ἀχώριστοι αὐτῶν ἦσαν οἱ ἀριθμοί. ῥητέον οὖν ὑπὲρ μὲν τῶν Πυθαγορείων, ὅτι γινώσκουσι μὲν καὶ ἄλλους ἀριθμοὺς καὶ οὐ περὶ τοῦ αἰσθητοῦ μόνου διαλέγονται, ἀλλὰ καὶ περὶ νοερῶν καὶ ψυχικῶν καὶ φυσικῶν διακόσμων ἀναδιδάσκουσιν, οὐ μὴν ἀλλὰ γάρ καὶ τὸν αἰσθητὸν κόσμον ἐκ τῶν αὐλων λόγων καὶ δραστικῶν καὶ πρεσβυτέρων αἰτίων ὑφιστᾶσιν. ὅσοι δὲ οὐδὲ τῇ φύσει λόγους διδόασιν, ἵνα μὴ διπλᾶ ποιήσωσι τὰ πράγματα, οὗτοι θαυμάζουσι πῶς ἐξ ἀβαρῶν καὶ ἀμεγεθῶν βάρος ἀποτελεῖται καὶ μέγεθος. καίτοι γε ὡς μὲν ἐκ μορίων ἀμεγεθῶν ἢ ἀβαρῶν οὐκ ἄν ποτε συντεθείη βάρος ἢ μέγεθος, καὶ τοῦτο ἱκανῶς δέδεικται· ἐκ δὲ στοιχείων ἀμερῶν καθ' αὑτὰ ὄντων δημιουργεῖται μέγεθος, εἴπερ ὕλη καὶ εἶδος στοιχεῖα σωμάτων· καὶ ἔτι πολλῷ πλέον ὑπὸ τῶν ἀληθεστέρων αἰτίων ἐν λόγοις καὶ εἴδεσι δημιουργικοῖς θεωρουμένων πῶς οὐ πᾶσαι διαστάσεις καὶ πάντες ὄγκοι τὴν ἐν κινήσει φερομένην ἑαυτῶν γένεσιν ὑποδέχονται; ἢ γὰρ ἀγένητα καὶ ὡς ἐξ ἀιδίου τὰ σώματα, ἢ τῶν διαστατῶν ἀδιάστατα καὶ τῶν μεριστῶν ἀμέριστα καὶ τῶν αἰσθητῶν καὶ ἀντιτύπων ἀφανῆ καὶ ἀναφῆ καταλειπτέον αἴτια, καὶ συγχωρητέον τοῖς οὕτως ἐξ ἀμερῶν τὰ μεμεγεθυσμένα γενέσθαι λέγουσιν. ὑπὲρ δὲ τῶν χωριζόντων τοὺς ἀριθμούς, ὅτι θαυμαστὸν οὐδὲν εἰ ἔοικε τὰ ἀποτελέσματα τοῖς αἰτίοις· δημιουργικῶν οὖν ὄντων τῶν χωριστῶν ἀριθμῶν, οὓς μιμοῦνται καὶ οἱ μαθηματικοί, εἰκότως καὶ ὁ αἰσθητὸς κόσμος εἰκόνας ἔχει τῶν αὐτὸν κοσμούντων ἀριθμῶν, ἵνα πάντα ᾖ ἐν πᾶσιν, οἰκείως δ' ἐν ἑκάστοις. τὸ δὲ ἀπὸ τῶν ἀξιωμάτων καὶ ὅλως τῶν ἐπιστημῶν ἐπιχείρημα πολλάκις εἴπομεν ὅτι καὶ παρὰ τοῖς ἀντιλογικωτάτοις δυσαντιβλεπτότατόν ἐστι· ἢ γὰρ ψεύδεται ταῦτα ἢ συμφωνεῖ καὶ συζυγεῖ τοῖς οὖσιν· εἰ μὲν οὖν ψεύδεται, ἄνελε πᾶσαν κατάληψιν (ἐκ τούτων γὰρ αἱ ἀποδείξεις)· ἀνελὼν δὲ πᾶσαν κατάληψιν περὶ | μηδενὸς διισχυρίζου. 933b εἰ δὲ ἀληθεύει καὶ συζυγεῖ τισι τῶν ὄντων, ἐπεὶ μὴ τοῖς αἰσθητοῖς πρώτως

4 μέν εἰσι coni. Us. ab ἀληθεύουσι δὲ alterum enuntiatum incipere ratus 5 post δὲ lacunam esse putat Us. ἀριθμοὺς pro αἰσθητὰ Us. probabiliter ποιοῦντες C: corr. Us. 14 εἰκότως οὗτοι vel sim. fuisse putat Us. 17 καὶ τούτῳ Us.; καὶ potius del. 19 τῶν post αἰτίων add. Us. 20 τῶν ἐν κ. φερομένων ex Bag. Us. σωμάτων coniciens pro ἑαυτῶν (debebat τὴν γένεσιν) 21 ἀιδίου Us. (idem tamen postea ὡς ἔξω αἰτίου): αἰτίου C 23 καταληπτέον C: corr. Us. 26 γοῦν pro οὖν Us. 28 πάντα scripsi (possis πάντα μέν): πάντων C quo servato ἵνα del. et μέν pro ᾖ scribit Us.; cf. p. 82,1

(ἄτομα γὰρ ταῦτα, καὶ ὅσα δὲ κοινὰ ⟨ἐν⟩ αὐτοῖς κατατέτακται, ταῦτα καὶ 933ᵇ κρατεῖται ὑπὸ τῆς ὅλης). λείπεται τοῖς διανοητοῖς αὐτὰ συμφωνεῖν ὡς ἰσαξίοις, τοῖς δὲ νοεροῖς ὡς εἰκόνας καὶ τύπους παραδείγμασιν. 5

p. 1090ᵇ5 Εἰσὶ . . . χωριστὰ ἔσται.

5 Τὰ πέρατα τινὰς αὐτῶν ὡς εἴδη καὶ οὐσίας φησὶ λαμβάνειν, καὶ αἰτιᾶται ὅτι μήτε οὐσίαι ταῦτα μήτε πολὺ πλέον χωρισταὶ οὐσίαι. ῥητέον οὖν ὑπὲρ τῶν ἀνδρῶν, ὅτιπερ οὐ τὰ συνεγνωσμένα πέρατα χωριστὰς ἐποίουν οὐσίας, ἀλλὰ τὰ ἐν τοῖς οὐσιώδεσι λόγοις τοῦ νοῦ καὶ τῆς ψυχῆς καὶ τῆς 10 φύσεως, ἃ καὶ κυριώτερον περατοῖ καὶ ὁρίζει τὴν γένεσιν, ὧν τὰ φαινόμενα 10 πέρατα τελευταίαν ἀπεικασίαν ἀπετυπώσατο.

p. 1090ᵇ13 Ἔτι δὲ . . . συνείρειν.

* * πρὸς μὲν τοὺς τὴν μαθηματικὴν μόνην οὐσίαν πρεσβεύοντας, πῶς ὄντων ἀριθμῶν παρ' αὐτοῖς καὶ μεγεθῶν καὶ ψυχῆς καὶ σωμάτων οὐ γίγνεται 15 τὰ δεύτερα ἀεὶ ἐκ τῶν προτέρων, ἀλλὰ καὶ ἀριθμῶν μὴ ὄντων τὰ μεγέθη 15 καὶ ἔστι καὶ γίγνεται, κἂν ταῦτά τις ἀνέλῃ, ψυχὴ ἔστι καὶ σώματα. πρὸς δὲ τοὺς ⟨τὸν⟩ εἰδητικὸν ἀριθμὸν προσιεμένους, πότερον τὰ μεγέθη τὰ προσεχῶς ἐκ τῶν ἀριθμῶν γιγνόμενα καὶ αὐτὰ ἰδέαι ἢ οὔ, καὶ εἰ ἐπιδέχονται θεωρίαν 20 ἰδίαν ἢ τὴν μαθηματικὴν εἰς αὐτὰ δεῖ μεταφέρειν; ῥητέον οὖν ὑπὲρ τῶν προτέρων πρότερον, ὅτι μήτε τὴν μαθηματικὴν οὐσίαν μόνην ἐπισκέπτονται, 20 καὶ τάξιν ὅλως δόντες τοῖς ὑποκειμένοις ἀεὶ συντελεῖν εἰς τὴν τῶν δευτέρων ὑπόστασιν τὰ πρότερά φασιν. εὖ γὰρ εἴρηται τοῦτο, ὅτι μίαν εἶναι δεῖ συνέχειαν τῶν ⟨ἐν⟩ φύσει πραγμάτων καὶ μηδὲν ἐπεισοδιῶδες αὐτοῖς ἐμφαντά- 25 ζεσθαι. ὅτι δὲ μὴ μόνην τὴν μαθηματικὴν οὐσίαν οἱ ἄνδρες οὗτοι γιγνώσκουσι, κἂν διὰ μαθηματικῶν ὀνομάτων καὶ τὰ περὶ τῆς νοητῆς ἀναδιδάσκωσιν, 25 εἴρηται μὲν πολλάκις ἐν τοῖς προάγουσιν, οὐ μὴν ἀλλὰ καὶ ἡ νῦν ἀπορία δῆλον ποιεῖ. εἰ γὰρ αἰτιᾶται αὐτοὺς ὡς μὴ ποιοῦντας ἐκ μεγεθῶν καὶ ἀριθμῶν τὴν | ψυχὴν προτέρων ὄντων αὐτῆς, μαρτυρεῖ σαφῶς ὅτι τοὺς ἐν νῷ καὶ 934ᵃ τοὺς θείους ἐγέννων ἀριθμούς. ὑπὲρ δὲ τῶν δευτέρων, ὅτι καὶ τὰ πρῶτα μεγέθη ἰδέαι, ὁ αὐτοκύκλος ἡ αὐτοπυραμὶς τὸ αὐτοτρίγωνον, ἀπὸ δὲ τῶν 30 μαθηματικῶν λόγων αἱ ἀναμνήσεις ἡμῖν ἐκείνων γίγνονται. οὐ γὰρ ὅτι 5 ἐκείνοις ἐφαρμόζουσιν αἱ μαθηματικαὶ θεωρίαι διεξοδικαὶ οὖσαι καὶ μεμερι-

---

1 ἐν add. Us. 2 κεκράτηται coni. Us. (edidit κατακρατεῖται) 2. 3 ἰσαζιοις C 4 ἔσται ut Ar. cod. Aᵇ: ἐστιν Ar. cod. E Alex. cf. Alex. 815,5 sqq. 12 cf. Alex. 815,21 sqq. ἀπορεῖ suppl. Bonitz et tale quid excidit 16 τὸν add. Bonitz πρότερον C: corr. H 19 πρότερον fort. del. 22 ἐν add. Us., possis ἐν τῇ; *naturalium rerum* Bag. 24 ἀναδιδάσκουσιν C 27 καὶ scripsi: κατὰ C fort. etiam ἐγέννων mutandum (in ἔγνωσαν?); τὰ ἐν νῷ coni. Us. 28 καὶ post ὅτι suspectum 30 ὅτι pendisse ab ἔλεγον putat Us., quod fuerit p. 180,1 ante ἀλλ'; fort. conferendum πόθεν ὅτι (p. 127.15 Simplic. in phys. 1142,18) et πάντως ὅτι (Damasc. I 9,3. 258,24)

σμέναι καὶ ποθέν ποι προιοῦσαι καὶ δι' ὑποθέσεων περαίνουσαι. ἀλλ' ὥσπερ 934a
ἐν Ἐπιστολαῖς εἴρηται περὶ τοῦ αὐτοκύκλου ὡς οὔτε τὸ σχῆμα οὔτε τοὔνομα
οὔθ' ὁ ὁρισμὸς οὔτ' ἐπιστήμη γνῶσίς ἐστιν αὐτοῦ, ἀλλὰ θέαν δεῖ τοῦ 10
πράγματος παραγενέσθαι. καὶ ὥσπερ ἐκ πυρείων τῶν ἐπιστημονικῶν θεωρη-
5 μάτων παρατριβομένων φῶς ἀναλάμψαι νοερόν, δι' οὗ συζυγήσομεν ἐκείνῳ·
ἡ τοίνυν μαθηματικὴ μέθοδος προπαρασκευή τίς ἐστιν ὡς ἐν εἰκόσι γυμνά-
ζουσα τὴν ψυχὴν πρὸς αὐτοπτικὴν τοῦ παραδείγματος ἐπιβολήν· οὐκ ἄρα
προσήλιχονται ταῖς ἰδέαις ἐφαρμόζειν τὰ μαθηματικά, ἀλλ' ὡς ἀπὸ εἰκόνων 15
εἰς ἐκείνας διὰ τούτων ἀναπέμπεσθαι βούλονται.

10 p. 1090b32 Οἱ δὲ . . . κατ' ἐκεῖνον.

Ἀποτείνεται μὲν νῦν πρὸς τὸν ἑαυτοῦ διδάσκαλον· αὐτὸς γάρ ἐστιν ὁ
σαφῶς τὰ μαθήματα τῶν νοερῶν διακρίνας εἰδῶν· καίτοι καὶ παρὰ τοῖς
ἄλλοις οὐ θάτερα μόνον ἀλλὰ καὶ θάτερα γιγνώσκεται. λέγει δὲ ὅτι περὶ 20
γενέσεως οὐ διδάσκει τοῦ μαθηματικοῦ ἀριθμοῦ (δεῖ γὰρ αὐτὸν γίγνεσθαι
15 μὴ πρῶτον ὄντα)· οὔτε δὴ ἐκ τῶν αὐτῶν ὀφείλει γίγνεσθαι τῷ εἰδητικῷ,
ἵνα μὴ ὁ αὐτὸς ἐκείνῳ φανῇ, οὔτε ἐξ ἄλλων· ἀριθμὸν γὰρ οὐ δυνατὸν
ἑτέρως ὑποστῆναι ἢ ἐκ μονάδος καὶ τῆς ἀορίστου δυάδος. διὰ τί οὖν, 25
φήσομεν πρὸς αὐτόν, μὴ τοῦτο δὴ τὸ πολυπάτητον ὑποτίθεσαι λέγειν τὸν
διδάσκαλον, ᾧ καὶ αὐτὸς ἐν ταῖς φυσιολογίαις χρῆσθαι μεμελέτηκας, ὡς
20 ἀναλογίᾳ μὲν τῶν διαφόρων ἀριθμῶν αἱ αὐταί εἰσιν ἀρχαί, ἁπλῶς δὲ οὐχ
αἱ αὐταί; τοιοῦτον δέ τι καὶ σὺ νῦν αἰνίττῃ, ὅταν λέγῃς ἐξ ἄλλου δὲ 30
μεγάλου καὶ μικροῦ, πλὴν οὐκ ἐξ οὗ τὰ μεγέθη. ἄλλη γὰρ δυὰς ἡ
γεννητικὴ τῶν ἀριθμῶν τῶν μαθηματικῶν, ἄλλη δὲ ἡ τῶν μεγεθῶν· καθ'
ἑκάστην γὰρ τῶν ὄντων τάξιν ἰδίως αἱ νοεραὶ καὶ αἱ λογικαὶ καὶ ⟨αἱ⟩ φυσικαὶ |
25 θεωροῦνται ἀρχαί. τὸ μέντοι ζητεῖν, πῶς τὸ ἓν τὰ πανταχοῦ πολλὰ 934b
παράγει καὶ γεννᾷ, καὶ φιλόσοφόν ἐστι καὶ παρ' ἐκείνος ἠτιολόγηται.

p. 1091a5 Πάντα δὴ . . . λέγωσι.

Ταῦτα τοὺς παρὰ τοῖς ῥήτορσιν ἐπιλόγους μιμεῖται, οὐκ ἀπήλλακται
δὲ οὐδὲ κωμικῆς βωμολοχίας· διὸ τὰ πλεῖστα αὐτῶν ὅσα μὴ ἔστι πρα- 5
30 γματειώδη χρὴ καὶ ὑπερβαίνειν ἢ ἄλλως συνείρειν. Σιμωνίδου δὲ μνημονεύει
τῶν Ἀτάκτων οὕτως ἐπιγραφομένων· εἰρόμενα γὰρ ταῦτα καὶ ἥκιστα διανοίας πληρωτικά. φαίνεται . . . διπλασιαζόμενον. ἐπειδὴ δυάς ἐστι τὸ

---

2 Plat. epist. VII 342a sqq. 3 cf. Plat. l. c. 341d 344b resp. IV 435a (altero et tertio loco usus v. ἐκλάμπειν) 5 διὸ οὐ C: corr. Us. 11 cf. Alex. 817,1 15 cf. Alex. 817,33 sqq. 18 πολυπλάτητον C: corr. Us. 21 δή τι ΛΠ 21. 22 δέ τινος μεγάλου Arist. 22 ἡ ante δυὰς add. Brandis 24 λογικαὶ scripsi: ἀναλογικαὶ C αἱ add. Us. 30 ἢ ὅλως συναιρεῖν coni. Us.; possis ἄλλοις (nisi in v. 31 fuit: ἄλλως συνειρόμενα γάρ, hic vero ὑπερβαίνειν solum extitit) cf. Alex. 818,4 sqq. 32 διπλασιαζόμενον Ca, ος in fine suprascr. Cb cf. Alex. 818,22 sqq.

μέγα καὶ τὸ μικρόν, ἡ δὲ δυὰς τὸν ἄρτιον μόνον, μάλιστα δὲ τὸν ἀρτιάκις 934b
ἄρτιον ὑφίστησι, τοὺς ἄλλους οὐ φησιν ἐκ τοῦ μεγάλου καὶ μικροῦ δύνασθαι 11
γεννηθῆναι. εἴρηται δὲ πολλάκις ποίαν δυάδα μέγα καὶ σμικρὸν ἐκάλουν,
καὶ ὅτι τὴν παντὸς πλήθους γεννητικήν. ἄτοπον δὲ . . . τῶν ἀδυνάτων.
5 εἰ καθ' ὑπόθεσιν ποιοῖεν διδασκαλίας ἕνεκα, τί πλημμελοῦσιν; εἰ μὴ ἄρα 15
κατὰ σὲ τὸν ποιητικὴν αἰτίαν ἐπὶ τῶν ἀιδίων μὴ προσιέμενον· τοῖς δὲ ἀρέσκει
πάντα ἐκ τῶν ἀρχῶν ἔχειν τὴν ὑπόστασιν.

p. 1091a13 Οἱ μὲν οὖν . . . τὴν γένεσιν.

Ποίῳ μὲν ἤθει τοὺς λόγους καταβάλλεται τούτους ὁ Ἀριστοτέλης, οὐ
10 λήσεται τοὺς συνετωτέρους. ἵνα δὲ καὶ ἐξ ὧν τίθησιν ἐπακολουθήσωμεν 20
τῇ τῶν Πυθαγορείων διανοίᾳ, ῥητέον ὡς ἓν μὲν τὸ σύνολον λέγουσι τὸ ἐξ
ὕλης καὶ εἴδους διακοσμηθέν· τούτου δὲ τὴν σύστασίν φασιν οὕτω γίγνεσθαι·
τοῦ λόγου τοῦ ἀπὸ τῆς φύσεως προελθόντος χρῶμα καὶ σχῆμα καὶ τὴν
αἰτίαν πάντως γεννήσαντος πρῶτον μὲν τὸ ἄποιον σῶμα γίγνεται (τοῦτο
15 γάρ ἐστι τὸ ἔγγιστα τοῦ ἀπείρου), εἶτα τὸ διακοσμηθέν, ὅταν τὸ πέρας 25
καὶ ὁ φυσικὸς λόγος κατασχῇ τέλεον τὸ ὑποκείμενον. ὅτι δὲ καὶ περὶ
χωριστῶν ἀριθμῶν εἰρήκασιν οἱ ἄνδρες καὶ μάλιστα πάντων οὗτοι, καὶ
πρότερον ὑπεμνήσαμεν.

p. 1091a23 Τοῦ μὲν οὖν . . . γενέσεως.

20 Συμβολικῶς εὕροις ἂν παρ' ἐκείνοις ταῦτα λεγόμενα· τὸν γὰρ περιττὸν 30
τοῖς θεοῖς προσοικειοῦντες εἰκότως ἀγένητον εἶναί φασι, τὸν δὲ ἄρτιον τοῖς
ἐνύλοις ἀνάλογον λαμβάνοντες γενητὸν καλοῦσι καὶ δυάδι προσοικειοῦσιν·
ἐπεὶ ὅτι τοὺς συστοίχους ἀρτίους καὶ περιττοὺς ἀριθμοὺς ἐκ τῶν αὐτῶν
ἀρχῶν ἀπογεννῶσιν, εἰ καὶ τοὺς μὲν μονάδι προσεοικέναι τοὺς δὲ δυάδι 935a
25 φασί, πολλάκις ὑπεμνήσαμεν.

p. 1091a24 Τὸν δ' ἄρτιον . . . ἀριθμῶν.

Τὸν ἄρτιον ὕλην ἔχοντα καὶ εἶδος κατὰ μὲν τὴν ὕλην ὡς ἐκ τῆς
δυάδος προελθόντα μέγα καὶ σμικρὸν ἔχειν, κατὰ δὲ τὸ εἶδος ἰσότητι κεκρατῆ-
σθαί φασι. ταῦτα δὲ οὐκ ἀπὸ χρόνου ἀλλ' ἀεί. εἰ δὲ πρότερα τὰ ἄκοσμα 5
30 τῶν κεκοσμημένων ἀποφαίνουσι διδασκαλίας ἕνεκα, κοινόν ἐστι τοῦτο πάντων
ἡμῶν ἔθος· καὶ γὰρ σὺ τὴν ὕλην προτέραν εἶναι λέγεις καὶ ἀρχὴν τοῦ
σώματος, καίτοι ἀεὶ κεκοσμημένην.

p. 1091a29 Ἔχει δ' ἀπορίαν . . . ἑνός.

Ὅτι μὲν τὸ εὖ ταῖς ἀρχικωτέραις αἰτίαις ἀπονέμεσθαι θέλει, κατορθοῖ. 10

---

14 αἰτίαν respondet Aristotelis verbis ἐκ σπέρματος 15 aliter Alex. 817,7. 11
21 ἀποικειοῦντες C: corr. Bag. ἀγέννητον C

οὔτε δὲ οὕτως ἀρξασθαι τοῦ λόγου δίκαιον ἦν, ἀλλ' ἢν εὐλογώτερον εἰπεῖν· 935a
ἔχει δὲ ἀπορίαν καὶ εὐπορήσαντι θαυμαστήν·' οὔτε τοὺς θεολόγους ἄλλο τι
λέγειν ὀρθῶς τις ὑποτίθεται. πάντων δὲ ἀτοπώτατον τὸ νομίζειν ἢ ὅτι
τῷ ἑνὶ τὸ ἀγαθὸν οὕτω συντρέχει ἢ ὅτι τὸ ἓν τὸ πρώτιστον οὕτως ἀρχὴ 15
ἢ λέγεται ὡς στοιχεῖον, ἐξ οὗ ἐνυπάρχοντος ὁ ἀριθμὸς συνίσταται· πάντα γὰρ
ταῦτα ψευδῶς ἱστόρηται· τὸ γὰρ ἓν καὶ τἀγαθὸν ταὐτόν ἐστι παρὰ Πλάτωνι
καὶ ἐξῄρηται πάσης οὐσίας καὶ νοῦ καὶ ζωῆς.

p. 1091b4 Οἱ δὲ ποιηταὶ . . . Δία.

Οὐδὲ ταῦτα ⟨κατὰ⟩ τὸ ἀληθὲς ἱστόρηται περὶ τῶν θεολόγων· ἐκεῖνοι
γὰρ Νύκτα μὲν καὶ Οὐρανόν φασι βασιλεύειν καὶ πρὸ τούτων τὸν μέγιστον 20
αὐτῶν πατέρα·

"τὸν τόθ' ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον,
οὐ πρῶτος βασίλευσε περικλυτὸς Ἠρικεπαῖος",

μεθ' ὃν ἡ Νύξ

"σκῆπτρον ἔχουσ' ἐν χερσὶν ⟨ἀριπρεπὲς⟩ Ἠρικεπαίου".

μεθ' ἣν ὁ Οὐρανός,

"ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα".

τὸ δὲ χάος ὑπὲρ τὴν τοῦ βασιλεύοντός ἐστι σχέσιν· τὸν δὲ Δία οὐ πρῶτον
ἀλλὰ πέμπτον βασιλέα σαφῶς ὀνομάζουσιν οἱ πρὸς αὐτὸν παρὰ τῆς Νυκτὸς 20
δοθέντες χρησμοί·

"ἀθανάτων βασιλῆα θεῶν πέμπτον σε γενέσθαι".

ἡ πρωτίστη οὖν ἀρχὴ καὶ παρ' αὐτοῖς ἓν καὶ τἀγαθόν, μεθ' ἣν ἡ |
δυὰς ἡ κρείττων τοῦ βασιλεύειν, αἰθὴρ μὲν καὶ χάος * * * κατὰ τὸν 935b
Πυθαγόραν· εἶτα τὰ πρώτιστα καὶ κρύφια τῶν θεῶν γένη· ἐφ' οἷς ὁ πρῶτος
ἀναφανεὶς τῶν ὅλων πατὴρ καὶ βασιλεύς, ὃν διὰ τοῦτο Φάνητα προσεῖπον.
οὔτ' οὖν οἱ ἄριστοι τῶν φιλοσόφων ἀφίστανται τῶν θεολόγων οὔθ' οἱ 5
θεολόγοι τὰ δεύτερα δυνατώτερα καὶ ἀμείνω τῶν ἀρχηγικωτέρων φασὶν εἶναι,
ἀλλὰ μία ἡ παρὰ πᾶσιν αὐτοῖς ἀλήθεια.

p. 1091b6 Οὐ μὴν . . . ποιήσας.

Εὖ μὲν ὅτι τοὺς τὸ πρῶτον αἴτιον ἄριστον εἶναι λέγοντας ἀποδέχῃ·
οὐ μὴν οἱ θεολόγοι μεταβολὰς ποιοῦσι τῶν βασιλειῶν, κἂν τὰ μυθώδη 10
πλάσματα τοῦτο προφαίνειν δοκῇ· τῶν δὲ πρεσβυτέρων ἀεὶ μενουσῶν ἐν
ἤθεσι τοῖς οἰκείοις οὕτω τὰς δευτέρας ὑφίστασθαι λέγουσιν. τῶν δὲ . . .

---

3 τις deleverim, γε coni. Us. 9 κατὰ add. Lobeck Aglaoph. p. 577 12 Orph. fr. 78. 85. 87 τὸν τόθ' C: τοῖον Simpl. in phys. 641,30: τοῦτό θ' (sc. μέτρον) coni. Us. 13 ἠρισκεπαῖος C 15 ἀριπρεπὲς ex Alex. 821,22 add. Brandis ἠρισκεπαίου C 17 Orph. fr. 96 21 Orph. fr. 113 ἀθάνατον C: corr. Lobeck 23 'post χάος et hiare orationem manifesto apparet et supplere satis probabiliter hiatum licet αἰθὴρ μὲν καὶ χάος κατ' ἐκείνους (sive κατὰ τὸν Ὀρφέα sive κατὰ τοὺς θεολόγους mavis), Πρωτεὺς δὲ καὶ χάος κατὰ τὸν Πυθ.' Us. 32. 33 cf. Plat. Tim. 42e ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει

μάλιστα. ἔστι μὲν ὑπερούσιον παρά τε τῷ Πλάτωνι τὸ ἓν καὶ τἀγαθὸν 935[1]
καὶ παρὰ Βροτίνῳ τῷ Πυθαγορείῳ καὶ παρὰ πᾶσιν ὡς εἰπεῖν τοῖς ἀπὸ τοῦ
διδασκαλείου τοῦ τῶν Πυθαγορείων ὡρμημένοις· ὅμως δὲ κείσθω τὸ ἓν 15
οὐσία εἶναι τῆς πρωτίστης ἀρχῆς, ἣν ἐκάλουν τἀγαθὸν ὡς ἑνώσεως καὶ
5 τοῦ ἀγαθοῦ πᾶσιν αἰτίαν ὑπάρχουσαν, καὶ ἴδωμεν εἴπερ ἔπεταί τι αὐτοῖς
ἄτοπον. ἡ μὲν . . . λέγειν. ἀπορείτω βουλόμενος· τοῖς δὲ ἀνδράσιν
ἐκείνοις πρὸ πάσης ἐπιστάσεως καὶ ἀποδείξεως κεῖται τὸ πρώτιστον εἶναι 20
τὸ πανάριστον.

p. 1091b16 Θαυμαστὸν δὲ εἰ . . . ἀγαθόν τι.

10 Τῷ μὲν πρωτίστῳ καὶ αὐταρκεστάτῳ τοῦτ' αὐτὸ ἀγαθὸν τὸ αὔταρκες·
ἀλλ' ὑπάρχει αὐτῷ δι' ἁπλότητα καὶ ἑνότητα τῆς ὑποστάσεως· οὐ γάρ
ἐστι τἀγαθὸν καὶ ἄλλο τι, ἀλλ' αὐτὸ τοῦτο τὸ ἀγαθόν· ὥστε ἕν, ἐπεὶ μὴ
σύγκειται αὐτοῦ ἡ φύσις ἐξ ἀγαθοῦ καὶ ἄλλου τινός· οὕτω γὰρ ἂν ἐδεήθημεν 25
ἑτέρας ἀρχῆς, ἐν ᾗ τὸ ἀγαθὸν ἀμιγὲς ἦν πρὸς πᾶν ὁτιοῦν καὶ ἄκρατον.
15 δυσχεραίνει γὰρ αὐτὸς πρὸς τὸ ἓν καὶ τὸ στοιχεῖον, ἐπειδὴ συνηθέστερον
αὐτῶν ἀλλ' οὐ θεολογικώτερον ἀκούει· εἰ δέ τινες ἓν ὑποθέμενοι εἶναι τῶν
μαθηματικῶν ἀριθμῶν τὴν ἀρχὴν ἀφεῖλον ἀπ' αὐτοῦ τἀγαθόν, οὐ περὶ 30
τῆς ἁπάντων ἀρχῆς διαλέγονται, ἀλλὰ περὶ ⟨τῆς⟩ τῶν μοναδικῶν ἀριθμῶν
αἰτίας· καὶ δῆλον μὲν ὅτι καὶ αὕτη τὸ ἀγαθόν ἐστι τῶν ἐξ αὐτῆς ἀπο-
20 γεννωμένων, οὐ μέντοι ἁπλῶς τἀγαθόν. | ἢ γὰρ ἄν, ὅπερ λέγει, ἅπασαι 936[a]
αἱ μονάδες ἐγίγνοντο ὅπερ ἀγαθόν; * * * αἱ μονάδες οὐχ αἱ ὑλικαί, ἀλλ'
αἱ κατὰ τὰ εἴδη τῶν ἀριθμῶν θεωρούμεναι, αἵ τινες εἰσὶ μὲν τοῦδε τοῦ
ἀριθμοῦ τἀγαθόν, ἡ πεντὰς τοῦ πέντε καὶ ἡ δεκὰς τοῦ δέκα, οὐ μὴν ὅπερ
τὸ ἀγαθὸν ἁπλῶς, ὥσπερ αἱ μονάδες ἢ ἑνάδες αἱ ἀπὸ τῆς πρωτίστης 5
25 αἰτίας προελθοῦσαι· ἐκεῖναι γὰρ οὐ μόνον θεοὶ ἀλλὰ καὶ συνοχαί τινες
θεῶν. καὶ οὐδὲν ἄτοπον ἐν τοῖς ὅλοις εὐπορίαν εἶναι τῶν ἀγαθῶν· ἄφθονον
γὰρ τὸ θεῖον καὶ ἀπερίληπτον ἀνθρωπίνῳ λογισμῷ, καὶ τὰ εἴδη δὲ καὶ οἱ
ἀριθμοὶ θεῖα καὶ ἀγαθοειδῆ ἅτε τῆς πρωτίστης αἰτίας ὄντα γεννήματα. καὶ 10
οὐ δεῖ ταῦτα ὡς ἄτοπα προφέρειν, ἅπερ αὐτόθεν οἱ ἄνδρες προσίενται.

30 p. 1091b27 Ἀλλὰ μὴν . . . κακὸν αὐτό.

Εἰ τὸ ἕν, φησίν, ἀγαθόν, ἀγαθοειδῆ καὶ τὰ εἴδη· οὐ συγχωρηθέντος
ἄπορον αὐτῷ καταφαίνεται, τίνων χρὴ τὰς ἰδέας ὑποτίθεσθαι· εἴτε γὰρ τῶν
τῇδε ἀγαθῶν μόνων, οἷον τῶν ἀρετῶν, οὔτε οὐσιῶν ἔσονται αἱ ἰδέαι οὔτε 15
οὐσίαι· εἴτε τῶν οὐσιῶν, ἔσονται πᾶσαι αἱ τῇδε οὐσίαι ἀγαθαί, ἐπειδὴ κατὰ
35 τὰς ἰδέας ὑπέστησαν ἀγαθὰς οὔσας. πρὸς τούτοις δὲ πᾶσιν εἰ τὸ ἕν, φησίν,
ἀγαθόν, τὸ μὴ ἓν ὁ εἴτε δυάδα εἴτε ἄνισον εἴτε πλῆθος χρὴ καλεῖν, ἔσται

2 κροτίνω C 4 οὐσίαν Us. 11 αὐτὸ C: corr. H 12 τὸ del. HA
18 τῆς add. Us. 21 lacunam notavit Us. 26 ἀπορίαν C: corr. Bag.
31 = Alex. 823,4 sqq.

κακόν, ἵνα ἐξ ἐναντίων ἡ γένεσις ᾖ τῶν πραγμάτων. πρὸς ὃν φαίη τις 396ᵃ
ἂν ὅτι καὶ εἰ τῶν ἀρετῶν μόνων ἦσαν αἱ ἰδέαι, οὐκ ἐκωλύοντο εἶναι οὐσίαι· 21
οὐ γὰρ οἷον τὸ παράδειγμα, τοιαύτη κατὰ πάντα καὶ ἡ εἰκών, ἀλλὰ ὡς
ἀμερῆ μεριστῶν αἴτια καὶ νοερὰ ἀνοήτων καὶ θεῖα θνητῶν, οὕτω καὶ οὐσίαι
5 ποιοτήτων, οὐ τῶν τυχουσῶν ἀλλ' ὅσαι οὐσιῶν εἰσι τελειωτικαί. καὶ εἰ 25
πασῶν δὲ οὐσιῶν εἰσιν ἰδέαι, ὥσπερ οὖν εἰσίν, οὐκ ἀνάγκη τὰ τῇδε πάντα
καλὰ εἶναι καὶ ἀγαθά· οὐ γὰρ ἀεὶ κατέχει τὸ μέτρον ὅπερ ἄνωθεν δέχεται,
παρατρεπόμενα δὲ εἰς ἀμετρίαν ὑποφέρεται. τίς δὲ ἀνάγκη καὶ τοῦ ἑνὸς
ὀγαθοῦ ὄντος τὴν ἑτέραν ἀρχὴν κακὸν εἶναι; πρῶτον μὲν γὰρ ἐκεῖνο τὸ ἓν
10 λέγουσιν εἶναι τἀγαθόν, ὃ ἐξῄρηται πάσης τῆς πρὸς ἕτερον συντάξεως καὶ 30
ἔστιν ἐπέκεινα καὶ τῶν μετ' αὐτὸ δυεῖν ἀρχῶν· κἂν τὴν προτέραν δὲ καὶ
θειοτέραν τῶν δυεῖν ἀρχῶν, ἣν μονάδα καλοῦσι, τὸ ἀγαθὸν εἶναι λέγωσιν,
οὐχ ἕπεται αὐτοῖς τὴν δυάδα, κἂν ἄλλην ἀντίθεσιν ἔχῃ πρὸς τὴν μονάδα,
κακὸν λέγειν· οὐ γὰρ ἐκ τοιαύτης ἀντιθέσεως τὰ θεῖα γεννᾶται καὶ πρόεισιν, 35
15 ἀλλ' ἐκ παναρίστου καὶ | ἀκράτως ἐχούσης τὸ ἀγαθόν. ὥσθ' ὅσα ἐν 936ᵇ
τοῖς ἑπομένοις ὡς ἀκολουθοῦντα τῇ ὑποθέσει συλλέγει ἀδύνατα, οὐδὲν
προσήκοντα τοῖς ἀνδράσιν ἐκείνοις ἐπιφέρει· πάντῃ γὰρ τὸ κακὸν ἐκ τῶν
ἀρχῶν παρ' αὐτοῖς ἐξώρισται, ὥσπερ ὁ θεῖος Πλάτων ἐν Θεαιτήτῳ σαφῶς 5
εἴρηκεν, ὡς 'οὐ δυνατὸν αὐτὸ ἐν θεοῖς ἱδρῦσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ
20 τόνδε τὸν τόπον ἀνάγκη περιπολεῖν.'

p. 1091ᵇ32 Διόπερ . . . τῷ ἑνί.

Τίς ἐστιν ὁ φυγών; διὰ τί μάτην ὀνειδίζεται ὁ χρυσοῦς Σπεύσιππος;
πῶς δὲ εἴπετο ἐκ τοιούτων ἐναντίων εἶναι τὴν τῶν θείων πραγμάτων ὑπό-
στασιν; οἱ δὲ . . . φύσιν. εὐφήμει· τὸ γὰρ ἄνισον, ὃ ἐπὶ τῆς αἰτίας 10
25 τῶν ὄντων παρελάμβανον, πρεσβύτερον ὂν καὶ τῆς ἐν τοῖς γένεσι τοῦ ὄντος
ἑτερότητος οὐ μόνον παναρίστον ἔλεγον εἶναι, ἀλλὰ καὶ τῶν παναρίστων
γεννητικώτατον· εἰ δέ γε πρὸς τοῖς ἐσχάτοις καὶ ἐνύλοις ἐστί τι παρ' αὐτοῖς
ἄνισον κακιζόμενον, οὐδὲν τοῦτο πρὸς τὴν γεννητικὴν τοῦ πλήθους αἰτίαν, 15
εἰ μὴ ὅτι ἐκεῖθέν πως καὶ τοῦτο.

30 p. 1091ᵇ35 Συμβαίνει . . . ἀγαθόν.

Πάντα ταῦτα ἕπεται τοῖς δύο μὲν ἀρχὰς ποιοῦσι τῶν ὅλων, διαιροῦσι
δὲ αὐτὰς τῷ ἀγαθῷ καὶ τῷ κακῷ· πάντα τε γὰρ μεθέξει τοῦ κακοῦ πλὴν
⟨τῆς⟩ ἑτέρας τῶν ἀρχῶν, ὡς παρ' Ἐμπεδοκλεῖ πάντα δόξειεν ἂν μετέχειν
τοῦ νείκους πλὴν αὐτῆς τῆς φιλίας, καὶ τὰ πρῶτα τῶν δευτέρων ἀκρατότερον
35 ἕξει τὸ κακόν, καὶ ἐνεργήσει τὸ ἀγαθὸν ἐν τῷ κακῷ ἐρασθήσεταί τε τὸ

---

1 πραγμάτων C: εἰδῶν Alex. πρὸς ἃ coni. Us. 13 fort. κἂν ἄλλῃ vel ἄλλως
18 Plat. Theaet. 176 a 22 post ἑνὶ ὡς ἀναγκαῖον ὄν Cᵃ (ex Arist.), del. Cᵇ
32—185,2 = Alex. 823,14 sqq. 33 τῆς om. C, habet Alex. 33 ὥσπερ ἐμπε-
δοκλῆς C: corr. Bonitz

κακὸν τοῦ ἀγαθοῦ, καίπερ ὄντος ἑαυτοῦ λύμης καὶ φθορᾶς. εἰ δὲ καὶ 936b
ὁλικὸν εἴη τοῦτο, τὸ κακὸν ἔσται δυνάμει βέλτιστον. καὶ ἄξιον μὲν θαυ-
μάσαι τὸν Ἀριστοτέλην καὶ ἐν τούτοις, ὅπως εἰδέ τε τὰ ἑπόμενα ταύτῃ 25
τῇ ὑποθέσει ἄτοπα καὶ δι' ἐλαχίστων παραδέδωκεν· οὐ μὴν διὰ τοῦτο καὶ
5 λέγειν τι πρὸς τοὺς Πυθαγορείους οἰητέον αὐτόν· οὐδαμοῦ γὰρ ἐκεῖνοι τὸ
κακὸν ἐν ταῖς ἀρχαῖς παρελάμβανον. ταῦτα . . . πρῶται οὐσίαι. τὸ μὲν
τῶν ἀτόπων ἕπεται, φησίν, ὅτι πᾶσαν ἀρχὴν στοιχεῖον ποιοῦσι· ποῖον 30
ἄτοπον οἴεται τούτῳ ἕπεσθαι; τὸ πάντα εἶναι ἀγαθά, εἰ τἀγαθὸν ὡς στοιχεῖον
ἀρχή. τὸ δὲ ὅτι τἀναντία ἀρχάς, τὸ εἶναι καὶ τὸ κακὸν ἀρχήν· τὸ
10 δὲ ὅτι τὸ ἓν ἀρχήν, οὐκέτι γάρ, φησίν, ἔσται ἀγαθόν, εἴπερ ἕν· τὸ δὲ ὅτι
τὰς πρώτας οὐσίας ἀριθμοὺς εἰρήκασιν εἶναι, τὸ ἀκράτου μετέχειν τοῦ κακοῦ
τοὺς ἀριθμούς. τέτταρα οὖν ἄτοπα ἠκολούθησε ταῖς τέτταρσιν ὑποθέσεσιν· 35
καὶ | γὰρ πάντα ἔσται ἀγαθὰ καὶ κακὰ πλὴν ἑνός, καὶ τὸ κακὸν ἀρχή, 937a
καὶ ἀρχὴ οὐκ ἀγαθόν, καὶ οἱ ἀριθμοὶ τοῦ κακοῦ μεθέξουσιν ἀκράτου.
15 ῥητέον οὖν πρὸς αὐτόν, ὡς οὔτε στοιχεῖον οἷον σὺ νοεῖς ποιοῦσι πᾶσαν
ἀρχὴν οὔτε τοιαῦτα ἐναντία ποιοῦσι τὰς ἀρχάς, ὡς τὴν μὲν εἶναι ἀγαθὸν 5
τὴν δὲ κακόν, οὔτε τὸ ἓν κατὰ τὴν ἐκείνων ἐκλαμβάνεις διάνοιαν οὔθ'
ἕπεται τῷ χωριστοὺς εἶναι τοὺς ἀριθμοὺς τὸ μετέχειν αὐτοὺς ἀκράτου
⟨τοῦ⟩ κακοῦ ἢ κεκραμένου, τοῦ κακοῦ πεφυγαδευμένου πάλαι οὐκ ἐκ τῆς
20 νοητῆς μόνης οὐσίας ἀλλὰ καὶ ἐκ τοῦ σύμπαντος αἰθέρος, ἐνταῦθα δὲ περὶ
τὴν θνητὴν φύσιν περιπλανωμένου καὶ παρυφισταμένου τοῖς μερικωτέροις 10
τῶν ἀγαθῶν κατὰ τὴν ἐξ αὐτῶν ἀπόπτωσιν. καλῶς οὖν ἀπεδόθησαν αἱ ἀρχαί,
καὶ ἄμεινον τἀγαθὸν ἓν λέγειν ἢ νοῦν· ὁ μὲν γὰρ ἓν αὐτὸ καλῶν ἄκρατον
τἀγαθὸν φυλάττει καὶ μόνως ἀγαθόν. τὸ γὰρ ἓν οὐκ ἐθέλει συνδυάζεσθαί
25 τινι· ὁ δὲ νοῦν καλῶν οὐ μόνον ἀγαθὸν ποιεῖ· ἐὰν δὲ καὶ ζῷον καὶ ὂν 15
καὶ νοητόν, δῆλός ἐστιν ἀπὸ τἀγαθοῦ ἐπὶ τὸ ἀγαθοειδὲς ἀποφερόμενος,
καὶ τοῦ μὲν ὄντως ἑνὸς ἀποτετυχηκώς, ἐπὶ δὲ τὸ ἓν πολλὰ † κατανείμας.

p. 1092a11 Οὐκ ὀρθῶς . . . πρῶτον.

Ἴσάν τινες ἴσως οἱ καὶ τὰς τῶν ὅλων ἀρχὰς ἀτελεστέρας ὑπελάμβανον
30 εἶναι τῶν ἐξ αὐτῶν, οἰόμενοι τοῖς γενητοῖς ὁμοίως ἔχειν τὰ ὅλα· πρὸς οὓς 20
φησιν ⟨ὅτι⟩ οὐδ' ἡ γένεσις ἁπλῶς ἐξ ἀτελοῦς ἐπὶ τὸ τέλειον ἄγει, οἷον ἐκ
σπέρματος ἐπὶ τὸ ζῷον, ἀλλὰ καὶ τὸ ἀτελὲς ἐκ τοῦ τελείου ὑφίστησιν·
ἄνθρωπος γὰρ πρὸ σπέρματος καὶ αἴτιος τοῦ σπέρματος, καὶ ἁπλῶς τὸ
ἐντελεχείᾳ πρὸ τοῦ δυνάμει. καὶ ἔρρωται μὲν αὐτῷ κατ' ἀμφότερα ὁ 25
35 λόγος· καὶ γὰρ ἐπιπλήττει καλῶς τοῖς τὸ ἓν ἅμα μὲν ἀρχὴν λέγουσι τῶν
ὄντων, ἅμα δὲ ἀνούσιον κατὰ τὸ χεῖρον τῆς οὐσίας, καὶ περὶ τῶν γενητῶν

---

2 βέλτιστον καὶ ἀγαθὸν Alex. 6—14 = Alex. 823,23—824,2 12 τέτρασιν C
16 τοιαῦτα Brandis: ταῦτα C 19 τοῦ add. Us. 22 ἐξ αὐτῶν iure corruptum
putat Us.; possis ἐσχάτην 23 τἀγαθὸν Us.: ἀγαθὸν C 26 ἀναφερόμενος C:
corr. Us.; possis καταφερόμενος cl. p. 192,34 27 ὄντος C: corr. Bag. κατα-
νείμας corruptum; fuit κατανεύσας ut opinor 29—34 = Alex. 824,12 sqq.
31 ὅτι ex Alex. add. Us. 34 αὐτοῦ H

ἱκανῶς διαλέγεται, τὸ τέλειον ἀεὶ τοῦ ἀτελοῦς προτιθείς. μὴ προσιέμενος 937a
δὲ τοὺς ἐν τῷ παντὶ λόγους οὐκ οἶδ' ὅπως τὸ δόγμα διασῶσαι δυνήσεται.
τί γὰρ ἐπὶ τῶν ἀπὸ σήψεως ἐρεῖ ζῴων; τί δὲ περὶ δένδρων ἢ θάμνων 30
ἢ ποῶν αὐτοματως φυομένων; ἡμεῖς μὲν γὰρ καὶ ἐν τούτοις οἰησόμεθα
5 προϋπάρχειν ἐν τῇ φύσει τοῦ παντὸς τοὺς ποιητικοὺς αὐτῶν λόγους. ὁ
δὲ τούτους μὴ προσιέμενος πῶς ἢ πρὸ τοῦ ἀτελοῦς τὸ τέλειον ἐν παντὶ
παραλήψεται ἢ ἐκ συνωνύμων ἕκαστον ὑποστήσει· τὸ γὰρ λέγειν ὅτι ὁ ἥλιος 35
καὶ ὁ ζῳδιακὸς τέλεια ὄντα καὶ ὑφίστησι ταῦτα καὶ τελειοῖ, μάλιστα μὲν
τὴν κοινήν ἐστι | λέγειν αἰτίαν πάντων τῶν γενητῶν καὶ οὐ τὴν ἑκάστων 937b
10 ἰδίαν· ἔπειτα πῶς ὀργανοποιεῖ τὴν ἐμπίδα καὶ τὸν σφῆκα καὶ τἆλλα τὰ
ἀπὸ σήψεως, εἰ μήτε αὐτὸς ἔχοι τούτων τοὺς λόγους μήτε τὸ ἔχον κινοίη;
εἰ μὴ ἄρα τῷ αὐτοματῷ ἀεὶ τὴν γένεσιν αὐτῶν ἐπιτρέψαι καὶ τὴν διορ- 5
γάνωσιν· ἀλλὰ ταὐτόματον οὐκ ἀεὶ ὁμοίως, ἀλλ' ἐν τοῖς ἐπ' ἔλαττον ἐνδεχο-
μένοις ὁρᾶται.

15 p. 1092a17 Ἄτοπον . . . ὁ τόπος μή.

Τοῦτο Ἀλέξανδρος εἰς Πλάτωνά φησιν ἀπερρίφθαι. εἰ τοίνυν ὀρθῶς
στοχάζεται τῆς Ἀριστοτέλους διανοίας, οὐδ' ἂν ἡμεῖς ἄστοχόν τι λέγοιμεν
περὶ τοῦ θείου Πλάτωνος φήσαντες αὐτὸν τοῖς μαθηματικοῖς σώμασι τὴν 10
φαντασίαν ἡμῶν τόπον ποιεῖν, ὥσπερ τοῖς ἐνύλοις εἴδεσι τὴν ὕλην, δια-
20 φέρειν δὲ τοσοῦτον ὅτι παρὰ μὲν τῆς φύσεως ἡ ὕλη τὸ ἔνυλον εἶδος ὑποδεχο-
μένη οὔτε οἶδεν ὃ δέχεται οὔτε διακατέχειν αὐτὸ δύναται, παρὰ δὲ τῆς
ἄνω ψυχῆς ἡ φαντασία τὸ μαθηματικὸν σῶμα δεξαμένη καὶ θεωρεῖ αὐτὸ 15
καὶ διαφυλάττειν ἐφ' ὅσον ἔστιν αὐτῇ δύναται· ἄλλος οὖν τόπος σωμάτων
φυσικῶν, ἄλλος ἐνύλων εἰδῶν, ἄλλος μαθηματικῶν σωμάτων, ἄλλος ἀύλων
25 λόγων. καὶ οὐχ ἡμεῖς ταῦτα καινοτομοῦντες λέγομεν, ἀλλὰ καὶ αὐτὸς
Ἀριστοτέλης τόπον εἰδῶν τὴν διανοητικὴν ψυχὴν κέκληκεν. ὅτι δὲ καὶ
περὶ τοῦ τῶν φυσικῶν σωμάτων τόπου λέλεκται τῷ Πλάτωνι, οἱ τὸν Τίμαιον 20
μὴ παρέργως ἐξετάσαντες γιγνώσκουσιν.

p. 1092a21 Ἔδει δὲ . . . ἐκείνῳ γε ἐναντίον.

30 Οὐχ ὁ αὐτὸς λόγος περὶ τῆς τῶν μαθηματικῶν ἀριθμῶν ὑποστάσεως
καὶ περὶ τῆς τῶν εἰδητικῶν· τοῖς μὲν γὰρ εἰ καὶ μὴ φυσικήν, ἀλλ' οὖν
μαθηματικὴν ὕλην δίδομεν τὴν ὑποβεβλημένην αὐτοῖς ποσότητα, τοὺς δὲ 25
εἰδητικοὺς ἀμερεῖς πάντῃ καὶ νοεροὺς δραστηρίους τε καὶ δημιουργικοὺς
εἶναι πεπιστεύκαμεν, ἐν εἴδεσιν ἁπλοῖς καὶ ἀύλοις καὶ ἀρρεπέσι πρὸς τὰ
35 τελευταῖα τὴν ὑπόστασιν ἔχοντας. καὶ ἔδει τούτων οὕτως ἐχόντων σαφῶς
διακρῖναι, περὶ ποίων ἀριθμῶν τὰς ἐρωτήσεις ταύτας πεποίηται. οὐ μὴν 30

2 φυσικοὺς λόγους coni. Us. 4 ἐν del. Us. 11 an γνοίη? 12 ἐπιτρέψει coni. Brandis 16 Alex. 824,27 23 fuitne ἐστὶν ἐν αὐτῇ?
26 Ar. de anima III 4 p. 429a27 36 ποιεῖται coni. Us. cf. Alex. 824,36

ἀλλ' ἐπειδὴ μᾶλλον δοκεῖ περὶ τῶν εἰδητικῶν ἐρωτᾶν (τὰ γὰρ πρῶτα τῶν 937ᵇ
ὄντων οὐ τοὺς μαθηματικοὺς ἔλεγον οἱ ἄνδρες ἀριθμούς, ἀλλὰ τοὺς εἰδητικούς),
ἀκουέτω πάλιν ὡς οὔτε μῖξις οὔτε σύνθεσις οὔθ' ὑποκείμενον οὔτε στέρησιν
οὔτε φθορὰν ἐπιδεχόμενον στοιχεῖον οὔτ' ἄλλο τοιοῦτον οὐδὲν εἰς τὴν
5 σύστασιν τῶν θείων ἀριθμῶν παραλαμβάνεται· πάντα μὲν γὰρ ταῦτα περὶ 35
τὴν ἔνυλον καὶ ἄλλοτε ἄλλως ἔχουσαν φύσιν στρέφεται· τὰ δὲ θεῖα |
πάντα, μενουσῶν ἀεὶ τῶν ἀρχῶν ⟨ἐν⟩ οἰκείοις ἤθεσι, πρόεισιν αὐτογόνως 938ᵃ
διά τε τὴν τῆς γονίμου δυνάμεως τῶν πρωτουργῶν αἰτίων περιουσίαν καὶ
διὰ τὴν ἑαυτῶν αὐτοφανῆ καὶ αὐτόγονον ἰδιότητα, ἔχει τε ἀεὶ κατὰ τὰ
10 αὐτὰ καὶ ὡσαύτως. πόρρω μὲν ἱδρυμένα γενέσεως καὶ φθορᾶς συνθέσεώς 5
τε καὶ διαιρέσεως καὶ ὅλως μεταβολῆς, τὴν δὲ φύσιν ὅλην καὶ τὴν ἐπι-
βατεύουσαν τῇ φύσει ψυχὴν ποδηγετοῦντα καὶ κατευθύνοντα καὶ περὶ ἑαυτὰ
ποιεῖσθαι τὰς ἐνεργείας παρασκευάζοντα, ἵνα μήθ' ἡ γένεσις ἐκλίπῃ μήθ'
ἡ περὶ τὴν ὕλην ἀνωμαλία κρατῇ, κοσμῆται δὲ πάντα ταῖς τῶν εἰδῶν
15 καὶ τῶν ἀριθμῶν φυσικαῖς καὶ δημιουργικαῖς ἢ ἐπιστήμαις. περὶ δὴ τοιού- 10
των ἀριθμῶν διαλεγόμενοι πῶς ἂν φθορᾶς ἐποιήσαντο μνήμην; οἱ γὰρ καὶ
τὰ ῥευστὰ τῇ ἑαυτῶν φύσει καὶ θνητὰ καὶ ἐπίκηρα διακατέχοντες καὶ
ἀνανεούμενοι πῶς ἂν ὑπελήφθησαν παρὰ τῶν ὀρθῶς αὐτοῖς ἐπιβεβληκότων
φθαρήσεσθαι; ἀλλ' οὐδ' ὁ Ἐμπεδοκλῆς δικαίως ἐπιτετίμηται νῦν, τάχα δὲ 15
20 οὐδὲ ἄλλοτε, ὡς τὸ μῖγμα φθείρων διὰ τοῦ νείκους· οὔτε γὰρ τὸ νεῖκος
φθαρτικόν (αὐτὸ γοῦν ἐστι τὸ κοσμοποιοῦν) οὔθ' ὁ σφαῖρός ποτε διαλύεται
παρ' αὐτῷ, εἰ μή τις τῶν ῥημάτων ἐχόμενος τῶν προβεβλημένων τῆς ὅλης
αὐτοῦ θεολογίας ἀφίσταιτο τῆς διανοίας τἀνδρός, ἀλλ' ἔστι τὸ μὲν νεῖκος 20
αὐτῷ πλήθους καὶ ἑτερότητος γεννητικόν, ἡ δὲ φιλία ταυτότητος καὶ ἑνώσεως·
25 διὸ καὶ κρατεῖ μὲν ἐν τοῖς νοητοῖς, ἃ δὴ σφαῖρον ὠνόμασεν, ἡ φιλία, ἐν
δὲ τοῖς αἰσθητοῖς τὸ νεῖκος· ἑκατέρωθι μὲν γὰρ ἓν καὶ πλῆθος, ἀλλ' οὐ
μὲν τὸ ἓν οὐ δὲ τὸ πλῆθος ἐπικρατεῖ.

p. 1092ᵇ8 Οὐθὲν . . . θερμόν; 25

Δύο δόξας ἐκτίθεται περὶ τῆς τῶν οὐσιῶν ἐκ τῶν ἀριθμῶν ὑποστάσεως,
30 ὧν οὐδετέραν προσίεται· οὔτε γάρ, φησίν, ὅροι τῶν οὐσιῶν εἰσιν οἱ ἀριθμοί,
ὥσπερ τῶν γραμμῶν αἱ στιγμαί (οὕτω γὰρ ὁ Πυθαγόρειος οἰηθεὶς Εὔρυτος
τοῦδε μὲν τοῦ φυτοῦ τόνδε τὸν ἀριθμὸν ὅρον ἔλεγεν εἶναι, τοῦδε δὲ τοῦ
ζῴου τόνδε, ὥσπερ καὶ τοῦ μὲν τριγώνου ⟨τὸν⟩ $\bar{\gamma}$, τοῦ ⟨δὲ⟩ τετραγώνου 30
τὸν $\bar{\vartheta}$, τοῦ δὲ κύβου τὸν η)· οὔθ' ὡς ἕτεροι λέγουσιν, ὅτι αἱ μὲν οὐσίαι
35 διὰ λόγων δημιουργοῦνται, οἱ δὲ λόγοι συμφωνίαι εἰσίν, αἱ δὲ συμφωνίαι |
σχέσεις ἀριθμῶν ἐναρμόνιοι· κατ' οὐδετέραν γάρ, φησί, τούτων τῶν δοξῶν 938ᵇ

---

7 ἐν add. Us., cf. p. 182,32 8 παρουσίαν coni. Us. 12 an ἑαυτὰς?
13 μηδ'—μηδ' C: corr. Us. 15 ἐπικρατείαις coni. Us., verum puto ἐπιστασίαις
17 τὰ ante θνητὰ add. Us.; at καὶ quod est post γὰρ cum participiis iungo 20 ὡς
τὸ Bag. Bonitz: ὡς οὔτε C 31 cf. Alex. 826,35 33 τὸν add. Brandis
δὲ add. AH 36 τῷ C

ἔστιν εἰπεῖν. πῶς τὰ συμβεβηκότα γίγνεται ἐκ τῶν ἀριθμῶν. ῥητέον δὲ 938ᵇ
ὅτι οἱ μὲν περὶ τὸν Εὔρυτον εἰκόνας ὁρῶντες ἐν τοῖς μαθηματικοῖς ἀριθμοῖς
τῶν πραγμάτων εὐλόγως ἀπένεμον τινὰς τισὶ κατ' οἰκειότητα, οἷον τὸν μὲν 5
ὅτι ὡς βωμίσκον τῷ σώματι, τὸν δὲ $\overline{\text{σις}}$ ὡς ἀγώνιον κύβον τῇ ψυχῇ· οἱ
5 δὲ δεύτεροι τοὺς φυσικοὺς ἐῴκεσαν ἀριθμοὺς παραδιδόναι· τῷ γὰρ ὄντι
οὗτοι συμφωνίας εἰσὶ τῷ ὑποκειμένῳ ποιητικοί· πῶς γὰρ ἂν καὶ ἓν γένοιτο
τὸ ὑποκείμενον τῇ τοῦ ἑνὸς εἴδους ἐπικρατείᾳ μὴ συμφωνησάντων ἐν αὐτῷ 10
καὶ ἁρμοσθέντων τῶν ἐναντίων; ταῦτα δὲ τίς ἂν ἄλλος ἁρμόσειε πλὴν
τῆς φύσεως; ὥσπερ δὲ ὁ μουσικὸς διὰ τῶν ἑαυτοῦ μαθηματικῶν ἀριθμῶν
10 τὴν λύραν, οὕτως ἡ φύσις διὰ τῶν ἑαυτῆς φυσικῶν ἀριθμῶν τὰ ἑαυτῆς
ἁρμόζει δημιουργήματα.

p. 1092ᵇ16 Ὅτι δὲ οὐχ . . · ὁποιωνοῦν. 15

Βουλόμενος δεῖξαι ὅτι τὸ εἶδος οὔτε ἀριθμός ἐστιν οὔτε ἐκ τῶν ἀριθμῶν
ἐνδίδοται, ἀλλ' εἴπερ ὅλως συμβάλλεταί τι τοῖς πράγμασιν, ὁ ἀριθμὸς τὸ
15 ποσόν ἐστι τῆς ὕλης, ἀποχρῆται [δὲ] τοῖς Ἐμπεδοκλεῖ περὶ συστάσεως
τῶν ὀστῶν ῥηθεῖσι·

"τὰς δύο τῶν ὀκτὼ μερέων λάχε Νήστιδος αἴγλης, 20
τέσσαρα δ' Ἡφαίστοιο, τὰ δ' ὀστέα λεύκ' ἐγένοντο".

φησὶ δὲ πάντα ἀριθμὸν ἐν ὑποκειμένῳ εἶναι, ἢ ἐν μονάσιν ἢ ἐν ξηροῖς ἢ
20 ἐν ὑγροῖς σώμασι, τὸ δὲ τῆς μίξεως αἴτιον λόγον εἶναι καὶ οὐκ ἀριθμόν.
γελοῖον δὴ πρὸς ἐκείνους ἀποτεινόμενον τοὺς ἄνδρας λαβεῖν, ὅτι πᾶς ἀριθμὸς 25
τινῶν ἐστι καὶ ὑποκειμένου δεῖται, καὶ πάλιν ὅτι ὁ λόγος ὁ τῆς μίξεως
αἴτιος οὐκ ἔστιν ἀριθμός, ἐκείνων καὶ ἀύλους ἀριθμοὺς ὑποτιθεμένων καὶ
τοὺς τῆς φύσεως ἀριθμοὺς αἰτίους ἀποφαινομένων εἶναι πάσης τῆς ἐν τοῖς
25 αἰσθητοῖς ἐναρμονίου μίξεως. τίς ἂν οὖν ἕτερος τὸ ἐν ἀρχῇ μᾶλλον οὐκ 30
αἰτήσειεν ἀλλὰ προσαρπάσειεν, οὐκ εὔπορον εἰπεῖν.

p. 1092ᵇ23 Οὔτε οὖν . . . ἕνεκα.

Τεττάρων ὄντων αἰτίων οὐδὲν τούτων εἶναί φησι τὸν ἀριθμόν· οὔτε
γὰρ ὡς τὸ σπέρμα ποιητικὴν ἔχει δύνα|μιν οὔθ' ὡς εἶδός ἐστιν ἐν τοῖς 939ᵃ
30 αἰσθητοῖς οὔθ' ὡς ὕλη οὔθ' ὡς τελικὸν αἴτιον. † λέγεις δὲ ὅτι πάντα τὰ
αἴτια ἀριθμοὶ πλὴν τῆς ὕλης, ἣ οὐδ' αἴτιόν ἐστι κυρίως, ἀλλ' εἰς γένεσιν
δουλεύει τοῖς αἰτίοις· καὶ γὰρ δημιουργοῦσι καὶ ἀριθμοὺς ἄλλους, τὰ ἔνυλα

---

4 $\overline{\text{σιν}}$ C cf. ad p. 143,7 τετράγωνον Us.; cum 216 cubus numeri senarii sit, quem ad triangulum referebant (cf. p. 187,33), τριγωνικὸν vel potius ἀπὸ τριγώνου Hultschio in mentem venit; idem monet extare διαγώνιον et id quoque stare potuisse, etiamsi nobis obscura sit ratio 5 ἐοίκασιν coni. Us. 6 an περιποιητικοί? 8 ἁρμόσειε scripsi: ἀριθμήσειε C 9 ἑαυτοῦ C 10 τὴν Cᵇ: τῆς Cᵃ 12 ὁποιωνοῦν Cᵃ ο supra ω scr. Cᵇ 13 cf. Alex. 828,5 sqq. 15 δὲ delevi, δὴ Us. 17 μερέων C: μοιρέων Alex. 18 ἐγένετο C 26 an προαρπάσειεν? 27—30 = Alex. 828,31 sqq. 30 λέγομεν Us., verum puto τἀληθές 32 *aliis causis* Bag.

εἴδη, τοῖς ὑποκειμένοις ἐνδιδόασι καὶ ἑαυτῶν ἕνεκα ποιοῦσιν οἱ θεῖοι τῶν 939a
ἀριθμῶν καὶ οἱ δαιμόνιοι. 5

p. 1092b 26 Ἀπορήσειε δ' ἄν τις . . . τῷδε καὶ ἄλλῳ.

Ἐπειδὴ τὸ μὲν ἐνάριθμον πανταχοῦ παρ' αὐτοῖς ἐπαινεῖται, τὸ δὲ μὴ
5 ἔχον λόγον πρὸς ἕτερον, ὃν ἀριθμὸς πρὸς ἀριθμόν, ἄλογόν τε καὶ ἀσύμμετρον 10
εἶναι λέγεται, οὗ φησιν αὐτὸς ὁρᾶν, πῶς τὸ μελίκρατον, ἐὰν μὲν κατ'
ἀριθμοὺς ἢ περιττοὺς ἢ ἀρτίους, οὓς νῦν εὐλογίστους ἐκάλεσε, κεκραμένον
ᾖ, λυσιτελέστερον γίγνεται καὶ μάλιστα ἐὰν τελείως καὶ ὁμοίως, οἷον ἐὰν
τρὶς τρία γένηται, ἐὰν δὲ ὑδαρέστερον, ἧττον ὑγιεινόν· αὐτῷ μὲν γὰρ ἀνά-
10 παλιν δοκεῖ. ῥητέον δὲ πρὸς τοῦτο τέως τὸ σκωμμάτιον, ὅτι τὸ λυσιτε- 15
λέστερον κρᾶμα καταλληλότερόν ἐστι καὶ συμφωνότερον τῇ φύσει τοῦ χρω-
μένου, συμφωνότερον δὲ ὂν ἐναρμόνιόν ἐστι καὶ σύμμετρον, τοῦτο δὲ διὰ
τῆς φυσικῆς ἀριθμητικῆς παραγίγνεται. οὕτω δ' ἄν τις ἐνέστη καὶ πρὸς
τοὺς τὰς ἐν ταῖς πράξεσιν ἑκάσταις εὐκαιρίας παραφυλάττοντας, λέγων 20
15 ἄμεινον εἶναι μετὰ φρονήσεως πράττειν ἢ κατὰ καιρόν, οὐ δήπου τῶν εἰς
τὸ πᾶν ἀφορώντων καὶ λογισμῷ μετ' αἰσθήσεως χρωμένων φρονήσεως
ἀμελεῖν παρακελευομένων καὶ μόνῳ θαρρεῖν τῷ καιρῷ, πρῶτον δὲ τοῦτο
φρονήσεως ἔργον εἶναι λογιζομένων τὸ τοὺς καιροὺς τοὺς πρέποντας ἑκάσταις 25
τῶν πράξεων συνιδεῖν, εἶθ' οὕτω τἆλλα ⟨τὰ⟩ πρὸς τὴν τεῦξιν τοῦ τέλους
20 συντείνοντα θεωρεῖν. οὕτως οὖν κἀκεῖνοί φασιν οἱ ἄνδρες οὐκ ἀριθμοὺς
ψιλοὺς καὶ τούτους ⟨τοὺς⟩ μαθηματικοὺς προκεκρίσθαι παρὰ τῇ φύσει καὶ
τοῖς φρονίμοις ἀνδράσιν, ἀλλὰ τὸ ἀγαθὸν δι' ἀριθμῶν καλλίστων καὶ ἐναρ-
μονίων, οὐ μαθηματικῶν ἀλλὰ φυσικῶν καὶ δραστηρίων ἑκάστοις παρα- 30
γίγνεσθαι (πάντα γὰρ κατ' ἀριθμὸν καὶ ὁ θεὸς καὶ ἡ φύσις δημιουργεῖ),
25 τοὺς δὲ φρονίμους ἄνδρας διὰ τῶν μαθηματικῶν ἀριθμῶν ἐνδείκνυσθαι τὸ
κάλλος τῶν δημιουργικῶν ἀριθμῶν, ἄλλως οὐκ ἔχοντας περὶ αὐτῶν ἀνα-
διδάσκειν τοὺς μὴ παρηκολουθηκότας πάσῃ τῇ τάξει τῶν ὄντων. οὐ τοῦ 35
λυσιτελοῦς οὖν ἀμελήσομεν, οὔτε τοὺς καιροὺς ἐκλεγόμενοι οὔτε θεοὺς 939b
ἐπικαλούμενοι οὔτε τοὺς ἀρίστους καὶ καλλίστους ἀριθμοὺς τῶν μὴ τοιούτων
30 προκρίνοντες, ἀλλὰ δι' αὐτῶν τούτων τυγχάνειν τοῦ τέλους πανταχοῦ πειρασό-
μεθα, μιμούμενοι θεὸν εἰς δύναμιν τὸν κατὰ καιρὸν καὶ κατά τινας προσή-
κοντας ἀριθμοὺς ἑκάστοις τὸ ἐπιβάλλον ἀγαθὸν ἀπονέμοντα· καὶ τοῦτο μὲν 5
τοιοῦτον.

Ἑξῆς δέ φησιν ὅτι συντίθενται μᾶλλον οἱ ἀριθμοὶ ἐν τοῖς λόγοις ἢ
35 πολλαπλασιάζονται· ὅλως γὰρ ἐν τοῖς πολλαπλασιασμοῖς μία πλευρὰ μετρεῖ
τὸν ὅλον ἀριθμόν, οἷον τὸν $\bar{\theta}$ ὁ τρία, τὸν $\overline{\iota\beta}$ ὁ τρία καὶ ὁ $\bar{\delta}$· ὥστε καὶ
εἰ τὸ ἀποτελούμενον ἦν ἀνθρώπου σῶμα, ἐφ' οὗ $\bar{\alpha}$ $\bar{\beta}$ $\bar{\gamma}$, ἔδει αὐτὸ τῷ $\bar{\alpha}$ 10
μετρεῖσθαι, εἰ δὲ ἵππου, ἐφ' οὗ $\bar{\delta}$ $\bar{\epsilon}$ $\bar{\zeta}$, ἔδει αὐτὸ τῷ $\bar{\delta}$ μετρεῖσθαι. ἀλλ'

---

4 cf. Alex. 29,4 sqq. εὐάριθμον Bag. 8 ᾖ Brandis: ἢ C 9 post ἐὰν δὲ Us. haec fere excidisse statuit cl. Alex.: μὴ ὡρισμένον λόγῳ καὶ 18 λογιζομένω C 19 τὰ add. Us. 21 τοὺς inserui 25 aliquid turbatum; fort. tantum δεῖ ante διὰ addendum 34—190,2 = Alex. 830,26 sqq.

ἀδύνατον· ἀνάγκη γὰρ καὶ πῦρ καὶ ὕδωρ καὶ τἆλλα στοιχεῖα εἰς σύστασιν 939b
τούτων παραλαμβάνεσθαι, ταῦτα δὲ ἑνὶ καὶ τῷ αὐτῷ μετρεῖσθαι οὐ δύναται.
σαφὴς δέ ἐστι καὶ ὁ ἐν τούτοις παραλογισμὸς τοῦ ἀνδρός· μαθηματικοὺς
γὰρ πολλαπλασιασμοὺς ἐν φυσικοῖς πράγμασι παραλαμβάνει, τῶν πρε- 15
σβυτέρων αὐτοῦ φιλοσόφων τὰς προόδους τῶν τῆς φύσεως λόγων πολλα-
πλασιάσεις ὀνομαζόντων, τὰς δὲ κρατητικὰς τῶν ὑποκειμένων * * ἐναρ-
μονίους καὶ συμφώνους.

Τὸ δὲ ἐπὶ πᾶσι ῥηθὲν οὐδεμίαν ἰσχὺν ἔχει, ὅτι εἰ πάντα τὰ πράγματα
κοινωνεῖ ἀριθμοῦ καὶ πᾶς ἀριθμὸς ἐν τοῖς πράγμασίν ἐστιν, ἀνάγκη καὶ 20
πολλὰ τῷ αὐτῷ ἀριθμῷ χρῆσθαι καὶ πολλοὺς ἀριθμοὺς τοῦ αὐτοῦ εἶναι.
ὥσπερ γὰρ πάντων ὀνομάτων καὶ λόγων ἐκ στοιχείων ὄντων καὶ πάντων
τῶν στοιχείων ἐν τοῖς λόγοις ἐμφαινομένων οὔτε τοὺς διαφόρους λόγους
ἀνάγκη τοῖς αὐτοῖς στοιχείοις κεχρῆσθαι ἀλλὰ ἔστι μὲν ὥς, ἔστι δὲ ὡς οὔ, 25
οὔτε τὰ διαφέροντα στοιχεῖα ἐν τῷ αὐτῷ ἐνεῖναι (λέγω δὲ τὰ τῆς Πλάτωνος
φωνῆς ἐν τῇ Σωκράτους), οὕτω καὶ ἐπὶ τῶν φυσικῶν λόγων τε καὶ ἀριθμῶν
πάντες μέν εἰσιν ἐνεργοὶ καὶ πάντα κατ' αὐτοὺς τὰ φυσικὰ συνίσταται, οὐ
μὴν τὰ διαφέροντα τοῖς αὐτοῖς ἀπαραλλάκτως ἀριθμοῖς κοσμηθήσεται, ἀλλ' 30
ὅπερ ἐπὶ τῶν ἀτόμων οὐσιῶν ἔνιοι τῶν ἀπ' αὐτοῦ λέγειν εἰώθασιν, ὅτι τὰ
ὑπάρχοντα ἑκάστῃ αὐτῶν πάντα συνδραμεῖν ἐπ' ἄλλης οὐ δύναται, τοῦτο
καὶ περὶ τῆς τῶν ἀριθμῶν ποιήσεως νομιζέσθω λέγεσθαι· οὐδὲ γὰρ ἀλλα-
χόθεν ἢ τὰ ἔνυλα εἴδη ἢ τὰ καθ' αὑτὰ τούτοις ὑπάρχοντα ἢ τὰ συμβεβηκότα
⟨ἢ⟩ ἐκ τῶν φυσικῶν λόγων τε καὶ ἀριθμῶν ἔχει τὴν κυρίαν | ὑπόστασιν. 940a

p. 1093a3 Ἆρ' οὖν . . . ἀριθμοῦ ἔχοντα, οἷον ἥλιος καὶ σελήνη ⟨τὰ⟩ αὐτά.

Ὅτι μὲν ἡλιακός ἐστί τις ἀριθμὸς καὶ σεληνιακὸς ἄλλος καὶ ἑκάστου
τῶν κατ' οὐρανὸν κινουμένων ἴδιος, καὶ τυφλῷ, φασί, δῆλον· οὐ γὰρ ἂν
αἱ ἀποκαταστάσεις τῶν φορῶν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐγίγνοντο,
εἰ μὴ εἷς καὶ ὁ αὐτὸς ἀριθμὸς ἐδυνάστευεν ἐφ' ἑκάστου. πάντες γε μὴν 5
οὗτοι συντελοῦσι τῇ τοῦ θείου γενητοῦ περιόδῳ καὶ περιέχονται ὑπὸ τοῦ
τελείου ταύτης ἀριθμοῦ. οὐ μὴν ἀλλὰ γὰρ καὶ τῶν ζῴων ἑκάστου πάντως
ἐστί τις φυσικὸς ἀριθμός· οὐ γὰρ ἂν ὡσαύτως τὰ ὁμοειδῆ διωργάνωτο οὐδ'
ἂν περὶ τὸν αὐτὸν ἤκμαζέ τε καὶ παρήκμαζε χρόνον οὐδ' ἐγέννα οὐδ' 10
ἔτρεφεν οὐδ' ηὔξε τὰ ἔκγονα, εἰ μὴ τῷ αὐτῷ μέτρῳ κατείχετο τῆς φύσεως.
καὶ μὴν ὅτι οὗτος αἴτιος γίγνεται 'ἀμεινόνων τε καὶ χειρόνων γενέσεων',
ἀκηκόαμεν παρὰ τοῦ κρατίστου τῶν Πυθαγορείων Πλάτωνος. τί οὖν χρὴ
τοῖς φυσικοῖς καὶ δημιουργικοῖς ἀριθμοῖς εἰς ταὐτὸν ἄγοντα τοὺς μαθη- 15
ματικοὺς ἐπιταράττειν τὸν λόγον; κἂν γὰρ τετραγώνους ποτὲ λέγωμεν ἢ

6 δυνάμεις ἀριθμοὺς excidisse videri recte monet Us. 10 post χρῆσθαι ἀλλὰ ἔστι μὲν ὥς, ἔστι δὲ ὡς οὔ (cf. v. 13) Ca, del. Cb 13 κεχρῆσθαι etiam ante στοιχείοις habet Ca, del. Cb 14 ἐνεῖναι scripsi: ἐν εἶναι C 15 σωκράτης C: corr. H 22 ἢ add. Bag. 23. 24 οἷον—αὐτά in mg. add. Cb 24 τὰ om. C, add. ex Arist. 29 περιόδῳ scripsi ex Plat. rep. VIII 546b: προόδῳ C 35 Plat. l. c. 546c

κύβους τῶν φυσικῶν ἀριθμῶν ἐνίους, οὐ μοναδικοὺς αὐτοὺς ποιοῦμεν, ὥσπερ 940ᵃ
τὸν θ̄ καὶ τὸν κζ̄, ἀλλὰ τὴν δι' ὁμοιότητος αὐτῶν πρόοδον καὶ τὴν ταὐτοῦ
περὶ τὰς ἀπογεννήσεις αὐτῶν ἐπικράτειαν διὰ τούτων τῶν ὀνομάτων σημαί-
νομεν· ὁμοίως δὲ κἂν ἴσους λέγωμεν ἢ διπλασίους, εἰδῶν ἐπικρατείας καὶ 20
5 συμφωνιῶν ἐν αὐτοῖς ἐνδεικνύμεθα. ὥστε οὐ παρὰ τοῦτο ἢ τὰ διαφέροντα τῷ
αὐτῷ χρήσεται ἀριθμῷ καθὸ διαφέρει ἢ τὰ αὐτὰ ἑτέρῳ καὶ ἑτέρῳ, καθὸ τὰ
αὐτά ἐστιν· οὐδὲ γὰρ κατὰ τὸ μαθηματικὸν ἀκούοντι τῶν ἀριθμῶν ταῦτα ἂν
ἠκολούθησε τὰ ἄτοπα, πολλῶν τετραγώνων καὶ ἀπείρων ἐπινοεῖσθαι δυνα- 25
μένων κύβων καὶ ἴσων καὶ διπλασίων, μήτοι γε δὴ τοῖς κατὰ τὸ βούλημα
10 τῶν χρησαμένων τῇ θεωρίᾳ ταύτῃ φυσικῶς αὐτὰ μετιοῦσιν ἐμποδὼν ἂν
κατασταίη.

p. 1093ᵃ13 Ἀλλὰ διὰ τί . . . οὐκέτι δύναται.

Ὡς εἰ ἔλεγεν· ἀλλ' ἴδωμεν αὐτῶν τὰς κατασκευὰς δι' ἃς αἴτια λέγουσι 30
ταῦτα τῶν πραγμάτων. τὴν ἑπτάδα τοίνυν ἐπαινοῦντές φασι τά τε φωνήεντα
15 ἑπτὰ εἶναι δι' ὧν ἡ ἐγγράμματος ἀποτελεῖται φωνή, καὶ τοὺς φθόγγους
τῆς διὰ πασῶν, ἔτι δὲ τὰς Πλειάδας ἑπτά, ἐν ἑπτὰ δὲ ἔτεσιν ὀδόντας βάλλειν |
τὰ ζῷα (οἷς ἐπιφωνεῖ πᾶσι κωμικῶς καὶ ἐλεγκτικῶς τὸ ἔνιά γε ἔνια 940ᵇ
δ' οὔ), ἑπτὰ δὲ εἶναι τοὺς ἐπὶ Θήβας στρατεύσαντας. εἶτα δείκνυσιν ὅτι
οὐδὲν τούτων διὰ τὸν ἑπτὰ ἀριθμὸν γίγνεται, ἀλλὰ δι' ἄλλην αἰτίαν. καὶ
20 τῷ ὄντι γελοῖον ἢ τῶν Ἀργείων στρατηγῶν τὸν ἀριθμὸν τοῦτον αἰτιᾶσθαι 5
ἢ τῆς Πλειάδος· οὐδὲ γὰρ περὶ αὐτῆς θαρροῦντα ἔστιν εἰπεῖν, ὅτι οὕτω
συντέτακται δημιουργικῶς, ἀλλὰ μᾶλλον ὅτι πᾶς ὁ καταστερισμὸς πολλῆς
μετέχει θέσεως· διὸ καὶ παρ' Αἰγυπτίοις μὲν ἄλλως, παρὰ Χαλδαίοις δὲ
ἢ Ἕλλησιν ἑτέρως εἰσὶ συντεταγμένοι οἱ ἀπλανεῖς. λέγει δὲ καὶ περὶ τῶν 10
25 διπλῶν συμφώνων, ὅτι οὐ διὰ τοῦτο τρία ἐπειδὴ τρεῖς αἱ συμφωνίαι. καὶ
εὖ λέγει· οὐδὲ γὰρ ἔστιν ἕκαστον αὐτῶν ἀνάγειν εἰς ἑκάστην τῶν συμφωνιῶν,
οἷον τὸ ζ̄ εἰς τὴν διὰ τεσσάρων ἢ τὸ ξ̄ εἰς τὴν δι' ὀξειᾶν ἢ τὸ ψ̄ εἰς τὴν
διὰ πασῶν· ἀλλὰ μᾶλλον, φησίν, ἐπειδὴ οἱ τόποι τρεῖς τῆς ἐκφωνήσεως, 15
διὰ τοῦτο ἐφ' ἑκάστου ἓν ἀποτελεῖται. ταύτῃ δὲ τῇ ἀποδόσει καὶ Ἀρχῖνος
30 ἐχρῆτο, ὡς ἱστορεῖ Θεόφραστος· ἔλεγε δὲ ὁ Ἀρχῖνος ἢ ἔξω τι παρὰ τὴν
μύσιν τῶν χειλῶν ἐκφωνεῖσθαι, ὥσπερ τὸ π̄, καὶ διὰ τοῦτο τὸ ψ̄ πρὸς τῷ
ἄκρῳ γεννᾶσθαι τῆς γλώττης ὡς ἐκ τοῦ π σ̄ συγκείμενον· ἢ τῷ πλάτει
τῆς γλώττης παρὰ τοὺς ὀδόντας, ὥσπερ [δὲ] τὸ δ̄, καὶ διὰ τοῦτο τὸ ζ̄ 20
κατὰ ταύτην γεννᾶσθαι τὴν χώραν· ἢ τῷ κυρτῷ πιεζομένῳ ἐκ τοῦ ἐσχάτου.
35 ὥσπερ τὸ κ̄, ὅθεν τὸ ξ̄ προϊέναι. ταῦτα δὲ ὅτι φυσικώτερα τοῦ τὰς τρεῖς

---

5 ἐν ἑαυτοῖς C: corr. Bag. 13—19 = Alex. 832,16 sqp. 17 πᾶσι C: πάνυ Alex. 21 cf. Alex. 832,33 ταύτης Us. 22 συνετ κτ αι C 24 ἢ C: καὶ A 27 διοξεῖαν C: corr. Us. cl. Boeckh de Philol. 68 (διὰ πέντε Alex.) 28 τρόποι C: corr. Us. ex Ar. 1093ᵃ24, cf. Alex. 833,26 29—35 = Alex. 834,5—11 30 ἢ Bonitz: μὴ C et hic et in Alex. qui in hac quidem parte ex solo C a Brandisio editus est 33 δὲ om C in Alex. 34 καὶ post κυρτῷ add. H

αἰτιᾶσθαι συμφωνίας πᾶς ἄν τις ὁμολογήσειεν· οὐ μὴν ἐπειδή τινες τῶν 940ᵇ
νεωτέρων μοχθηραῖς ἀποδόσεσιν ἐχρήσαντο, διὰ τοῦτο χρὴ τὰς διὰ τῶν 25
ἀριθμῶν φυσιολογίας ἀποδοκιμάζειν. ἀλλ' εἰ μὲν εὑρίσκετό τι τοιοῦτον ἢ
παρὰ Πλάτωνι τῷ θείῳ ἢ παρά τινι τῶν εὐδοκίμων Πυθαγορείων, διαβολὴν
5 ⟨ἂν⟩ ἔφερε τῇ μεθόδῳ· ἐπεὶ δὲ Πρῶρος μὲν ὁ Πυθαγόρειος πολλὰ καὶ σεμνὰ
καὶ θεοπρεπῆ περὶ ἑπτάδος εἰπὼν οὐδεμιᾷ τοιαύτῃ χρῆται ἀποδόσει, δείκνυσι 30
δὲ συνετῶς ὅπως ἡ φύσις δι' ἑπτὰ ἐτῶν ἢ μηνῶν ἢ ἡμερῶν πλεῖστα τοιού-
των πραγμάτων τελειοῖ ἢ μεταβάλλει, ἄλλοι δὲ περὶ δεκάδος διαλεχθέντες
ἔδειξαν αὐτῆς τήν τε ἐν παντὶ τῷ θείῳ γενητῷ | βασιλείαν καὶ τὴν ἐν 941ᵃ
10 τοῖς καθ' ἕκαστα τῶν φυσικῶν ἔργων ἐπικράτειαν, αὐτός τε ὁ Πυθαγόρας
περὶ πάντων τῶν ἀπὸ μονάδος ἄχρι δεκάδος ἀναδιδάξας ἀριθμῶν θεολογικῶς
ἅμα καὶ φυσικῶς ἀναστρέφεται μηδεμιᾶς εὐτελοῦς καὶ ψυχρᾶς ἀποδόσεως
ἐφαπτόμενος, — τί οὖν δεῖ τὰ γνήσια τῶν ἀνδρῶν ἀπολελοιπότα συγγράμ- 5
ματα ἐκ τῶν ὑποδυομένων τὴν ἐκείνων φιλοσοφίαν τὴν κατὰ τῶν θείων
15 ἀνδρῶν αὔξειν διαβολήν; εἰ δὲ δεῖ καὶ τοῦτο προσθεῖναι, φανερός ἐστι καὶ
αὐτὸς ὁ δαιμόνιος Ἀριστοτέλης, ἐν οἷς οὐ φιλονεικεῖ, καὶ τὴν φυσικὴν τῶν
ἀριθμῶν δύναμιν ἀποθαυμάζων καὶ τῇ τῶν Πυθαγορείων θεωρίᾳ κατα- 10
κολουθῶν. καὶ ἃ μὲν περὶ τριάδος εἶπεν ἐν τῷ προοιμίῳ ⟨τῆς⟩ Περὶ οὐρανοῦ
πραγματείας μαρτυράμενος καὶ τὸ Πυθαγόρου διδασκαλεῖον καὶ τέλος ἐπι-
20 φωνήσας, ὡς "παρὰ τῆς φύσεως εἰληφότες ὥσπερ νόμους ἐκείνης πρὸς τὰς
ἁγιστείας χρώμεθα τῶν θείων τῷ ἀριθμῷ τούτῳ", πᾶσίν ἐστι πρόδηλα. 15
τὰ δὲ ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν κείμενα πῶς οὐκ ἄν τις ἐκπλα-
γείη; εὑρὼν γὰρ τοὺς γενικωτάτους χυμοὺς ὀκτώ, στρυφνὸν αὐστηρὸν πικρὸν
ἁλμυρὸν δριμὺν ὀξὺν γλυκὺν λιπαρόν, καὶ πάλιν ὀκτὼ τὰ ἁπλούστατα
25 χρώματα, λευκὸν ξανθὸν φοινικοῦν ἁλουργὸν πράσινον φαιὸν κυανὸν μέλαν, 20
ἑπτὰ ἑκάτερα ποιεῖ, δημιουργίᾳ πρέπειν ὑπολαβὼν τοῦτον τὸν ἀριθμὸν καὶ
εἰς ταὐτὸ συνωθῶν πικρῷ μὲν ἁλμυρόν, μέλανι δὲ φαιόν. μὴ τοίνυν ἃ
δοκιμάζομεν ἐν τοῖς ὑφηγητικωτέροις τῶν συγγραμμάτων, ταῦτα ἐν τοῖς
ἀντιλογικοῖς ἀποσκορακίζωμεν.

30 p. 1093ᵃ26 Ὅμοιοι δὴ . . . οὐρανοῦ.

Ὅτι καὶ τῶν ἐξηγουμένων τὸν Ὅμηρόν τινες τὸ ἀκόλουθον πρὸς 25
ἑαυτοὺς οὐ διασώζουσι, καὶ τῶν ἐπιχειρούντων μιμεῖσθαι τοὺς Πυθα-
γορείους ἔνιοι τῆς ἀληθοῦς αὐτῶν θεωρίας ἀποπίπτουσιν ἐπὶ γλίσχρας τε
καὶ καταγελάστους ὑπονοίας καταφέρονται, συγχωρεῖν δεῖ. ἀλλ' οὐδὲν τοῦτο

---

5 ἂν add. Bag. Πρῶρος Us. (cf. ind. II): πρῶτος C πυθαγόρ C 7 nempe πλεῖστα τοιαῦτα πράγματα 10 αὐτὸς δὲ Us. 18 τῆς add. AH 19 τοῦ post τὸ add. AH διδασκάλιον C 20 Ar. de caelo I 1 p. 268ᵃ13 καὶ πρὸς Arist. 21 Ar. de sensu 1 p. 442ᵃ17 sqq. 24 ἁπλούστερα σώματα C (χρώματα A) 26 ergo apud Arist. ἑπτά legit, quod mutant (cf. Susemihl Philol. 1885 p. 580) 31 cf Alex. 834,13 sqq. ὅτι καὶ Bag.: εἶτα καὶ Cᵃ εἰ ante καὶ suprascr. Cᵇ

πρὸς Ὅμηρον ἢ Πυθαγόραν ἢ τοὺς δυνηθέντας ἐπὶ τὴν ἀληθεστάτην ἐκείνων 941b
θεωρίαν ἀναδραμεῖν. καταγέλαστοι οὖν καὶ οἱ διὰ τοῦτο τοῦ ιβ καὶ ϛ δύο 30
μέσους εἶναι λέγοντες τὸν θ̄ καὶ τὸν η̄, ὅτι τὸ ἔπος δέκα ἑπτὰ ἔχει συλλαβάς,
ἢ οἱ τὰς μέσας τὰς δύο τῶν συλλαβῶν αἰτίας εἶναι λέγοντες τοῦ στίχου·
5 "χωρίς" γάρ φασι "τὰ Μουσῶν"· εἰ γὰρ καὶ ἀριθμοῖς χρῆται τὰ μέτρα, ὥσπερ 35
οὖν χρῆται, ἀλλ' οὐ κατὰ ταύτην ἀποτελεῖται τὴν μέθοδον. | γελοῖον δὲ 941b
καὶ τὰ τρυπήματα τοῦ αὐλοῦ διὰ τὰ γράμματα τοσαῦτα ποιεῖν, ἢ προσαρ-
μόζειν τὰ κδ̄ στοιχεῖα τῇ ὁλότητι τοῦ κόσμου· καὶ γὰρ εἴ τίς ἐστι τούτων
μία αἰτία, ὥσπερ οὖν ἔστιν, ἄλλως ἐστὶ αὕτη θεωρητή. δεῖ δὲ μὴ τὰς
10 ἀποπτώσεις τῶν ὑποδυομένων αὐτοὺς πρὸς διαβολὴν τῆς ὅλης φιλοσοφίας 5
παραλαμβάνειν.

p. 1093b5 Ὁρᾶν δὲ δεῖ . . . φθαρτοῖς.

Ἐπειδὴ τὰ ἀίδια τέτακται καὶ ἀεὶ ὡσαύτως ἔχει, πολλή, φησίν, ἐπ'
αὐτῶν εὐπορία τοῖς θεωρήμασι χρῆσθαι τῶν ἀριθμῶν, ὅπου γε καὶ ἐπὶ
15 τῶν ἄλλοτε ἄλλως διακειμένων ἔστι πολλὰ τοιαῦτα ἐπινοεῖν. ἔδει δὲ τοῦτο
τεκμήριον ἱκανὸν ποιεῖσθαι τοῦ κατά τινας θείους ἀριθμοὺς τὰ ἀίδια κεκο- 10
σμῆσθαι, τὰ δὲ θνητὰ † καὶ θείους καὶ φυσικούς. εἰ γὰρ ἀεὶ οὕτως ἔχει
τὰ ἀίδια, κατὰ φύσιν οὕτως ἔχει· εἰ τοίνυν ἀριθμητικῶς αὐτοῖς ἐπιβάλλοντες
ἀληθεύομεν περὶ αὐτῶν, ὡς ἡ φύσις αὐτὰ ὑπέστησεν ἡ θεία, οὕτως ἐπι-
20 χειροῦσι θεωρεῖν οἱ γνησίως φιλοσοφήσαντες. φέρε γὰρ ἐφ' ἑνὸς εἰπεῖν. 15
ὁ ἥλιος διὰ τοσοῦδε χρόνου ἀποκαθίσταται, καὶ τοῦτο ἀεί· κατὰ φύσιν
ἄρα οὕτως. ἀλλὰ μὴν οὗτος ὁ χρόνος ἀριθμός ἐστι τοιόσδε· ἡ φύσις
Φησὶν ὅτι πολλαὶ τέχναι παρὰ τοῖς ἀνθρώποις εὑρίσκονται, καὶ αἱ μὲν πρὸς τὰ ἀναγκαῖα ἡμῖν συμβάλλονται, ὥσπερ ἀρτοποιία καὶ ὑφαντική, ἄλλαι δὲ πρὸς διαγωγὴν καὶ εὐκολίαν, ὡς ἐπὶ τοῦ ἀργυρίου εἰρήκαμεν καὶ τῶν βαλανείων. σοφωτέρους οὖν κρίνομεν τοὺς τοιούτους ἐκείνων, τουτέστι τοὺς τὴν εὐκολίαν εὑρηκότας, διὰ τὸ μὴ πρὸς χρῆσιν εἶναι τὰς ἐπιστήμας αὐτῶν. ὅθεν εὑρεθεισῶν πασῶν τῶν τεχνῶν τῶν συμβαλλομένων πρὸς τὰ ἀναγκαῖα καὶ τὴν εὐκολίαν εὑρέθησαν ὕστερον ἐπιστῆμαι, αἵτινες οὔτε πρὸς ἡδονὴν οὔτε πρὸς τὰ ἀναγκαῖα χρησιμεύουσιν, ἀλλὰ πρὸς τὴν τῆς ψυχῆς γνῶσιν. λέγει δὲ τὰ μαθήματα, γεωμετρίαν, ἀριθμητικήν, μουσικήν, ἀστρονομίαν. ἐζήτησαν γὰρ διὰ τί ποτὲ μὲν γίνονται μεγάλαι αἱ ἡμέραι, ποτὲ δὲ μικραί, καὶ διὰ τί ποτὲ μὲν θέρος, ποτὲ δὲ χειμών, καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ μάλιστα τὰ τοιαῦτα κατωρθώθησαν ἐν τοῖς τόποις, ἐν οἷς ἐσχόλαζον τούτοις οἱ ἄνθρωποι. λέγει δὲ τὴν Αἴγυπτον· ἐκεῖσε γὰρ πρῶτον συνέστησαν αἱ μαθηματικαὶ ἐπιστῆμαι, ἐπειδὴ οἱ ἱερεῖς τὰ ἀναγκαῖα εἶχον ἄλλοθεν αὐτοῖς παρεχόμενα καὶ ἐσχόλαζον μόνοις τοῖς μαθήμασιν· διὸ καὶ ἐν τοῖς ἱερογλυφικοῖς γράμμασι ταῦτα εἶχον γεγραμμένα. ὅτι δὲ καὶ αἱ μαθηματικαὶ ἐπιστῆμαι ἐξ ἐμπειρίας ἤρξαντο, ἐνεδείξατο διὰ τῶν ἱερέων τῶν ἐν Αἰγύπτῳ. ἐν γὰρ τῷ σχολάζειν διὰ τῶν τηρήσεων τῶν κατ' οὐρανὸν γινομένων ἐμπειρίαν πρῶτον ἔσχον, εἶτα τέχνην συνεστήσαντο. οὕτως δὲ καὶ ἡ γεωμετρία κατὰ τὴν ἀρχὴν εὑρέθη ἀπὸ τῆς γεωδαισίας. ὥσπερ δὲ ἡ εὕρεσις τῶν τοιούτων ὑπὸ τῶν σχολαζόντων, οὕτω καὶ ἡ περὶ ταῦτα ἐνέργεια σχολῆς δεῖται.

---

1 μὲν] μὴ B 3 εὑρίσκοντα B 7 ἐν τῇ Περὶ ψυχῆς] Γ 1 8 κρειττόνων B 13. 14 καὶ ὑφαντικὴ—ἐπὶ τοῦ om. B 16 εὑρόντας B 17 συμβαλλόντων B 21 ἐζήτησε D 28 ἱερέων ACD: ἱερίων B 30 οὕτως—δεῖται (33) Alexandri sunt

p. 981ᵇ25 Εἴρηται μὲν οὖν ἐν τοῖς Ἠθικοῖς, τίς διαφορὰ τέχνης καὶ ἐπιστήμης.

Ἐντεῦθεν βούλεται ἡμῖν εἰπεῖν ἐκ τίνων ἡ γνῶσις τῆς ψυχῆς κατορ- f. 8v
θοῦται καὶ ἀναζωπυρεῖται, καὶ φησὶν ὅτι πέντε ταῦτα τὸν ἀριθμὸν ὑπάρ-
5 χουσι, τέχνη, φρόνησις, ἐπιστήμη, σοφία, νοῦς. τῷ τῆς τέχνης οὖν ὀνόματι χρησάμενος καὶ κατὰ τῆς ἐπιστήμης περὶ τῆς διαφορᾶς αὐτῶν ἀνέπεμψεν ἡμᾶς εἰς τὰ Ἠθικά. ἐν γὰρ τῷ Ζ τῶν Νικομαχείων ἡ τούτων διαίρεσις αὐτῷ παραδέδοται. ἐν οἷς πέντε εἶναι λέγει οἷς ἀληθεύει ἡ ψυχὴ ⟨τὴν⟩ ἐν λόγῳ καὶ συνέσει ἀλήθειαν, ἐπεὶ καὶ τὸ αἰσθάνεσθαι ἀλη-
10 θεύειν λέγεται. πέντε οὖν εἰσιν, ὡς εἰρήκαμεν, τέχνη, φρόνησις, ἐπιστήμη, σοφία, νοῦς. καὶ τέχνην μέν φησιν ἕξιν μετ' ἀληθοῦς λόγου ποιητικήν, φρόνησιν δὲ ἕξιν μετ' ἀληθοῦς λόγου πρακτικήν. καὶ διαφέρει ἡ ποίησις τῆς πράξεως· ἐπὶ μὲν γὰρ τῆς ποιήσεως σώζεται τὸ ἀποτέλεσμα, ἐπὶ δὲ τῆς πράξεως οὐ σώζεται. οἷον τὴν οἰκοδομικήν, τὴν ναυπηγικὴν τέχνην
15 φησίν· σώζεται γὰρ τούτων τὸ ἀποτέλεσμα· τὴν δὲ στρατηγικὴν φρόνησιν πρακτικήν· οὐ σώζεται γὰρ τὸ ἀποτέλεσμα. λέγεται οὖν ὁ στρατηγὸς φρόνιμος εἶναι, διότι πράττει τὰ δέοντα πρὸς τὴν μάχην. ἐπιστήμην δὲ ἕξιν ἀποδεικτικήν, ἀποδεικτικὴν δὲ τὴν ἐκ προτέρων καὶ ἀμέσων καὶ γνωριμωτέρων τοῦ συμπεράσματος συλλογιστικήν, ὅταν καὶ τὸ συμπέρασμα ᾖ
20 ἀναγκαῖον καὶ αἱ προτάσεις. ἢ ὑπόληψιν περὶ τῶν καθόλου καὶ ἐξ ἀνάγκης ὄντων, ἢ γνῶσιν τῆς αἰτίας δι' ἣν τὸ πρᾶγμα ἔστιν, ὅτι ἐκείνου ἔστι, καὶ ὅτι οὐκ ἐνδέχεται αὐτὸ ἄλλως ἔχειν. φρόνησις δὲ ἕξις μετ' ἀληθοῦς λόγου πρακτικὴ περὶ τὰ ἀνθρώπινα ἢ ἀγαθὰ ἢ κακά. περὶ ὧν ἐστι καὶ τὸ βουλεύεσθαι, ἢ ἀρετὴ τοῦ δοξαστικοῦ μέρους τῆς ψυχῆς. ἡ δὲ σοφία ἐστὶν
25 ἡ ἔχουσα τὰς ἀρχὰς τῶν ἀποδείξεων. ὥς φησιν αὐτός. ᾗ τοὺς ὅρους γινώσκομεν, ὅτι ἡ δύναμις αὕτη τῆς ψυχῆς δύναται γινώσκειν τὰ φανότατα εἴδη τὰ τοῖς πολλοῖς ἄγνωστα διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν. ἐκ γοῦν τῆς ἐμπειρίας ἔρχονται εἰς τὴν τέχνην, εἶτα εἰς τὴν φρόνησιν, εἰς τὴν ἐπιστήμην, εἰς τὴν f. 9r
σοφίαν καὶ τὸν νοῦν. εἴρηται οὖν, φησίν, ἐν τοῖς Ἠθικοῖς, τίς ἐστι
30 διαφορὰ τέχνης καὶ ἐπιστήμης καὶ τῶν ἄλλων τῶν ὁμογενῶν. οὗ δὲ ἕνεκα τὸν λόγον ποιούμεθα, τοῦτ' ἔστιν, ὅτι σοφίαν τὴν ὀνομαζομένην κοινῶς ἅπαντες ὑπολαμβάνουσι περὶ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχάς· αὕτη γάρ ἐστι κυρίως σοφία, ἥτις ἔχει ἀποδεικνύναι πασῶν τῶν ἐπιστημῶν τὰς ἀρχάς. ὥστε πρότερός ἐστιν ὁ ἔμπειρος καὶ σοφώ-

---

4 ἀναζωπυροῦται libri 5 τῷ τῆς—ποιητικήν (11) Alexandri sunt 8 διαίρεσις] διαφορὰ B οἷς ἀληθεύει Alex.: ὡς libri 9 τὴν ex Alex. addidi τὸ] τῷ Alex. 11 τέχνην φησὶν μετ' ἀληθοῦς ποιητικήν B 12 ἕξιν om. B 13 ὑποτέλεσμα B 15 στρατηγικήν τε C 17 ἐπιστήμην—ψυχῆς (24) Alexandri sunt 17. 18 ἐπιστήμην—ἀποδεικτικήν Alex.: ἐπιστήμη δέ ἐστιν ἕξις ἀποδεικτική libri 18 ἀποδεικτικὴ δὲ B 19 συλλογιστική B 21 ὅτι ἐκείνου ἔστι om. B 22. 23 φρόνησιν—ἕξιν—πρακτικήν Alex. 22 λόγους C¹D 23 πρακτικὰ B τὰ ἀνθρώπῳ ἀγαθὰ ἢ καὶ κακά Alex. καὶ περὶ ὧν B 24 ἀρετὴν Alex. 28 εἶτα] εἶναι C

τερος τῶν ὁποιανοῦν ἐχόντων αἴσθησιν, ἐπειδὴ ἀνάγει ἑαυτὸν ἐπὶ τὰ καθόλου τῶν αἰσθήσεων, αἳ περὶ τὰ μερικὰ διατρίβουσιν. ὁ δὲ τεχνίτης τοῦ ἐμπείρου σοφώτερος ὡς ἔχων τὴν ἀρχὴν τῆς αἰτίας, καὶ ὁ ἀρχιτέκτων τοῦ τεχνίτου· διὸ καὶ ἐπιτάττει αὐτῷ. αἱ δὲ θεωρητικαὶ κρείττονες τῶν πρακτικῶν. τὴν οὖν σοφίαν τῶν πρώτων ἀρχῶν ἐδείξαμεν εἶναι γνωστικήν· τὸ τῆς σοφίας γὰρ ὄνομα κατηγορεῖται κατὰ τῶν εἰδότων μᾶλλον. σοφωτέρα γὰρ τῆς μὲν αἰσθήσεως ἡ ἐμπειρία διὰ τὸ ἤδη λογική τις εἶναι γνῶσις (λογικὴ γὰρ ἡ τοῦ καθόλου περίληψις), ἡ δὲ τέχνη τῆς ἐμπειρίας, ὅτι αὕτη ἤδη καὶ τῆς αἰτίας ἐστὶ γνωστική (ἡ γὰρ τοῦ ὁμοίου θεωρία κατὰ τὴν τῆς αἰτίας γνῶσιν γίνεται), χειροτέχνου δὲ ἀρχιτέκτων ἀντὶ τοῦ 'τοῦ δὲ τεχνίτου τοῦ ποιοῦντος ὁ ἀρχιτέκτων'. αἱ δὲ θεωρητικαὶ τῶν ποιητικῶν, ὅτι οὐ πρὸς χρῆσιν, ἀλλὰ πρὸς διαγωγὴν καὶ αὐτῆς χάριν τῆς γνώσεως.

p. 982 a 1 Ὅτι μὲν οὖν ἡ σοφία περί τινας ἀρχὰς καὶ αἰτίας ἐστίν.

Ὥσπερ ἐν τῷ περὶ τοῦ τόπου λόγῳ ἐποίησε (πρότερον γὰρ ἔλαβε τὰ κατὰ τὴν κοινὴν ἔννοιαν τῷ τόπῳ ὑπάρχοντα, καὶ οὕτως ἐφήρμοσε τῷ ὁρισμῷ τοῦ τόπου καὶ ἀποδέδωκε τὸν ὁρισμὸν αὐτοῦ, ὁμοίως δὲ καὶ ἐν τῷ περὶ αὐξήσεως λόγῳ), οὕτως οὖν καὶ ἐνταῦθα πρότερον λέγει τὰ κατὰ ⟨τὴν⟩ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ σοφῷ καὶ τῇ σοφίᾳ, καὶ ὕστερον ἀποδίδωσιν αὐτῶν ὁρισμὸν ταῖς κοιναῖς ἐννοίαις ἁρμόζοντα. φησὶ γὰρ ὅτι f. 9v σοφώτερον λέγομεν τὸν ἔχοντα πλείονα γνῶσιν τοῦ μὴ ἔχοντος, καὶ πάλιν σοφώτερον λέγομεν τὸν γινώσκοντα τὰ δυσχερέστερα τοῦ εἰδότος τὰ ἐπιπολαιότερα, καὶ πάλιν σοφώτερον λέγομεν τὸν ἀκριβέστερον περὶ τὴν γνῶσιν καὶ τὸν δυνάμενον διδάσκειν τοῦ μὴ δυναμένου διδάσκειν. καὶ ταῦτα μὲν περὶ τοῦ σοφοῦ. πάλιν δὲ σοφία ἐστὶν ἡ δι' ἑαυτὴν αἱρετὴ οὖσα καὶ μὴ δι' ἄλλο τι, ὥσπερ τὰ βρώματα αἱρετά ἐστιν ἕνεκεν γαστρὸς οὐλομένης. ἡ οὖν σοφία δι' ἑαυτὴν αἱρετή ἐστιν· γνῶσις γάρ ἐστι θειοτάτη, τοῦτο δὲ δι' αὐτὸ αἱρετόν ἐστι καὶ οὐ δι' ἄλλο. πάλιν δὲ σοφία ἐστὶν ἡ ἄρχουσα πασῶν τῶν ἐπιστημῶν καὶ ἔχουσα τὰς ἀρχὰς πασῶν καὶ ἀποδεικνύουσα. φανερὸν οὖν ὅτι σοφώτερός ἐστιν ὁ ἔχων τὴν κυρίως ἐπιστήμην, τουτέστι τὴν πρώτην φιλοσοφίαν, ἐν ἑαυτῷ· μᾶλλον γὰρ γινώσκει. ὁ γὰρ ἔχων τὴν καθόλου ἐπιστήμην οὗτος οἶδε καὶ τὰ ἄλλα πάντα. καὶ πάλιν οὗτος καὶ τὰ δυσχερέστερα γινώσκει, φημὶ δὴ τὰ φανότατα εἴδη. ὅτε γὰρ ἔχων τὴν κυρίως ἐπιστήμην τὴν ἀναπόδεικτον καὶ κατὰ νοῦν ἐνεργῶν

---

1 ὁπωσοῦν B 2 τῶν] fort. ἀπὸ τῶν 5—13 τὴν οὖν—γνώσεως] fere eadem Alexander 6 εἰδότων Alex.: εἰδῶν libri 11 prius τοῦ om. B 15 περὶ τοῦ τόπου] Phys. Δ 1—3 p. 208 a 27 sqq. ἐν τῷ περὶ τοῦ τόπων λόγου B 16 ἐφόρμησε B 18 περὶ αὐξήσεως] de gen. et corr. A 5 p. 320 a 8 sqq. 19 τὴν addidi 22 λέγομεν om. C 25 et 27 δι' αὐτὴν B 26. 27 γαστρὸς οὐλομένης] cf. Odyss. O 344 28 δι' αὐτὸ C 30 δεικνύουσα B σοφώτερον—τὸ ἔχον B 31 ἑαυτῇ C 33 ἤδη B

δῆλον ὅτι τῶν φανοτάτων ἀντιλήψεται· ταῦτα δὲ τοῖς πολλοῖς ἄβατα καὶ χαλεπὰ διὰ τὴν ἀσθένειαν. ἀλλὰ καὶ ἀκριβέστερος, ὅσῳ καὶ ἀρχικώτερος, καὶ μᾶλλον διδάσκει. ἐπειδὴ τὰς ἀρχὰς ἔχει τῶν διδασκομένων, καὶ ἐκεῖνος διὰ τούτων δύναται διδάσκειν· οὗτοι γὰρ διδάσκουσιν οἱ τὰς αἰτίας λέγον-
5 τες περὶ ἑκάστου. πάλιν δὲ κυρίως σοφία αὕτη ἐστὶν ἡ δι' ἑαυτὴν αἱρετή, ἡ πρωτίστη· πᾶσαι γὰρ αἱ ἄλλαι διὰ ταύτην ἐπιτηδεύονται, αὕτη δὲ δι' ἑαυτήν. ἅτε δὴ μέχρι τῆς κορυφῆς ἐλθοῦσα καὶ σύνδρομος οὖσα τοῦ νοῦ καὶ τοῦ ἀγαθοῦ, ὥς φησιν ἐκεῖνος "τἀγαθὸν οὐ πάντα ἐφίεται", ἔχει πασῶν τῶν ἐπιστημῶν τὰς ἀρχὰς ἐν ἑαυτῇ, καὶ ὡς ἔχουσα ἀπο-
10 δείκνυσιν αὕτη ἁπλαῖς ἐπιβολαῖς τῶν ὄντων ἀντιλαμβανομένη.

p. 982a1 Ὅτι μὲν οὖν ἡ σοφία περί τινας ἀρχάς.

Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὡμολόγηται ὅτι ἡ σοφία ἐπιστήμη ἐστὶ f. 10r
περί τινας ἀρχὰς καὶ αἰτίας, τουτέστιν ὅτι ἀρχῶν τε καὶ αἰτιῶν ἐστιν ἐπιστήμων.

15 p. 982a4 Ἐπειδὴ οὖν ταύτην τὴν ἐπιστήμην ζητοῦμεν, δεῖ ἡμᾶς γνῶναι περὶ ποίας ἀρχὰς καὶ αἰτίας ἐστὶν ἡ σοφία ἐπιστήμη.

Ἐν πᾶσιν οὖν ἔθος τῷ Ἀριστοτέλει ταῖς κοιναῖς καὶ φυσικαῖς τῶν ἀνθρώπων προλήψεσιν ἀρχαῖς εἰς τὰ δεικνύμενα πρὸς αὐτοῦ χρῆσθαι, βεβαιοῦντι καὶ διὰ τούτου τὸ εἶναι τὴν γνῶσιν καὶ τὴν τῆς ἐπιστήμης
20 ὄρεξιν κατὰ φύσιν τοῖς ἀνθρώποις, καὶ διὰ τοῦ τὰς τῆς γνώσεως ἀρχὰς φύσει ἡμῖν δεδόσθαι· αὗται γάρ εἰσιν αἱ κοιναὶ ἔννοιαι. οὕτως καὶ ἐν τῇ Φυσικῇ ἀκροάσει πεποίηκε περὶ τοῦ τόπου ζητῶν, ὁμοίως δὲ καὶ περὶ χρόνου, σχεδὸν δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων προβλημάτων τῇ ὁδῷ ταύτῃ κέχρηται. τοῦτο οὖν καὶ νῦν ποιεῖ· ζητῶν γὰρ περὶ ποίας ἀρχάς ἐστιν ἡ
25 σοφία, καὶ τί ἔργον τοῦ σοφοῦ καὶ τίς ὁ ὅλως σοφός, τὰς κοινὰς καὶ φυσικὰς ἐννοίας ἃς ἔχομεν περὶ τῶν σοφῶν ἐκτίθεται, ἵνα ταύταις τὰ ἀκόλουθα συμφώνως ζητοῦντες λαμβάνωμέν τε καὶ τιθῶμεν· διό φησιν εἰ δὴ λάβοι τις τὰς ὑπολήψεις ἃς ἔχομεν περὶ τοῦ σοφοῦ, τάχ' ἂν ἐκ τούτου φανερὸν γένοιτο μᾶλλον. ἔστι δὲ ἡ κοινὴ πρόληψις τῷ σοφῷ
30 καὶ τῇ σοφίᾳ ὑπάρχουσα· αὕτη τίθησιν, ὥς φησι, τό τε πάντα ἐπίστασθαι κοινῶς καὶ καθόλου καὶ περὶ πάντων δύνασθαι διαλαμβάνειν περιληπτικῶς, καὶ μὴ ὡς ὁ καθ' ἑκάστην ἐπιστήμην ἐπιστήμων· τοὺς γὰρ οὕτως

1 ἄφατα B 2 ἀκριβέστερον codd. ἀρχικώτερον codd. 3 διδασκομένων Belger: διδασκόντων codd. 6 ἢ πρωτίστη C 8 φησιν] Eth. Nicom. A 1 p. 1094a3 17 ἐν πᾶσιν — τιθῶμεν (27) Alexandri sunt ἐν πᾶσιν ἔθος ἀεὶ Alex. 19 τὸ om. C τὴν ἐπιστήμην B 20 ταύτας τὰς ἀρχάς Alex. 22. 23 περὶ τοῦ χρόνου CD 23 περὶ τῶν ἄλλων Alex. 25 τί ὁ C ὁ om. B ὅλως ὁ σοφός Alex. 29 ἔστι δὲ — λέγουσι (p. 16,1) Alexandri sunt 29. 30 ἔστι δὲ ἃ ἡ κτλ. — τῇ σοφίᾳ ὑπάρχειν τίθησιν Alex.

εἰδότας οὐ σοφοὺς εἶναι. ἀλλὰ τεχνίτας ἐκείνου περὶ οὗ λέγουσι * * * καλῶς δὲ προσέθηκε τὸ σχεδόν· τελείαν γὰρ γνῶσιν οὐδεὶς ἔχει εἰ μὴ μόνος ὁ θεός. ἀλλὰ καὶ τὸν περιττὰ καὶ χαλεπὰ καὶ μὴ ῥᾴδια γνωσθῆναι εἰδότα, καὶ τοῦτον σοφόν φασιν· τοὺς γὰρ τὰ κοινὰ καὶ ῥᾴδια εἰδότας οὔ φασι σοφούς. διὸ οὐδὲ τὴν αἴσθησιν σοφίαν λέγουσιν, οὐδὲ σοφοὺς τοὺς αἰσθανομένους καθὸ αἰσθάνονται· κοινὴ γὰρ καὶ ῥᾴδια ἡ αἰσθητικὴ γνῶσις. ἔτι τὸν ἀκριβέστερον περὶ ἕκαστον τῶν κινουμένων καὶ ἀναμάρτητον σοφὸν εἶναι λέγουσιν. ἀλλὰ καὶ τὸν διδασκαλικώτερον τῶν αἰτιῶν, τουτέστι τὸν τὴν διδασκαλίαν διὰ τῆς τῶν αἰτιῶν παραδόσεως ποιούμενον. μᾶλλον σοφὸν λέγουσι τῶν μὴ οὕτως διδασκόντων. f. 10v

p. 982a14 Καὶ τῶν ἐπιστημῶν δέ.

Εἰρηκὼς τὰ κατὰ τὴν κοινὴν ἔννοιαν ὑπάρχοντα τῇ σοφίᾳ φησὶν οὕτως· καὶ τῶν ἐπιστημῶν δὲ σοφίαν ταύτην λέγουσι, τὴν αὐτῆς τῆς γνώσεως τῶν κατὰ τὴν ἐπιστήμην ἕνεκεν μετιοῦσαν αὐτὰ καὶ αἱρουμένην, ἀλλὰ μὴ διά τινα ἀποβαίνοντα· καὶ σοφοὺς οὖν δῆλον ὅτι τοὺς τὴν τοιαύτην ἐπιστήμην ἔχοντας, καὶ τὴν ἀρχικωτέραν τῆς ὑπηρετούσης μᾶλλον σοφίαν· οὐ γὰρ δεῖ ἐπιτάττεσθαι τὸν σοφόν, ἀλλ' ἐπιτάττειν, ὡς ἔχοντα τὰς ἀρχάς, καὶ οὐ τοῦτον ἑτέρῳ πείθεσθαι, ἀλλὰ τούτῳ τὸν ἧττον σοφόν. ὥστε εἰ τοιαύτας ἔχομεν ὑπονοίας καὶ τοσαύτας περὶ τῆς σοφίας καὶ τῶν σοφῶν, πειρατέον ταῦτα πάντα ἁρμόσαι τῷ σοφῷ. τούτων οὖν τὸ μὲν πάντα ἐπίστασθαι τῷ μάλιστα ἔχοντι τὴν καθόλου ἐπιστήμην ἀναγκαῖον ὑπάρχειν· καθόλου τε γὰρ μάλιστα καὶ κοινῶς περὶ πάντων ἐπίσταται ὁ τὰς πρώτας ἀρχὰς εἰδώς. ὥς φησιν 'γνῶσις τῶν ὄντων, ἢ ὄντα εἰσίν'. οὐ γὰρ ὁ τὰς τινὸς ἀρχὰς εἰδὼς καθολικήν τινα γνῶσιν πάντων ἔχει. διό φησιν οὗτος γὰρ οἶδε πάντα τὰ ὑποκείμενα.

p. 982a23 Σχεδὸν δὲ καὶ χαλεπώτατα ταῦτα γνωρίζειν τοῖς ἀνθρώποις.

Τουτέστι τὰ φανότατα εἴδη, ἃ ἐστι τὰ καθόλου, ἐπειδὴ κατ' αἴσθησιν ζῶσι, πόρρω δὲ ταῦτα τῶν αἰσθήσεων. τὸ δὲ τοῖς ἀνθρώποις προστέθεικε πρὸς ἀντιδιαστολὴν τῆς φύσεως· τῇ φύσει γὰρ ἐκεῖνα τῶν αἰσθητῶν γνωριμώτερα. πάλιν δὲ αἱ πρῶται τῶν ἐπιστημῶν ἀκριβέστεραί εἰσι τῶν ὑπ' αὐτάς, τῶν ὑπ' ἀλλήλων. ὥς φησιν ἐν τῇ Ἀποδεικτικῇ. ἐπειδὴ τὰς

1 σοφοὺς εἶναι] σοφοὺς ἔτι Alex. τεχνίτας καὶ ἐπιστήμονας ἐκείνου περὶ οὗ λέγουσιν οὕτως ὑπολαμβάνουσιν Alex. 2 σχεδὸν] volebat ὡς ἐνδέχεται; cf. Alex. γνῶνωσιν C 3 ἀλλὰ—διδασκόντων (10) Alexandri sunt τὸν τὰ περιττὰ Alex. 6. 7 ἔτι τε τὸν ἀκριβῆ καὶ περιττὸν Alex. 8 τὸν om. B 8. 9 τῆς διδασκαλίας C 13 σοφίαν—ἔχοντας (16) Alexandri sunt 14 τῆς κατὰ Alex. 15 σοφὸν B 20 τῆς om. B 22 ὑπάρχει libri 23 ἐπίστασθαι ABD 29 τὸ δὲ—γνωριμώτερα (31) Alexandri sunt 29. 30 προστέθηκεν Alex. 32 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 27

ἀρχὰς αὐτῶν ἀποδεικνύουσιν. διὸ ἀκριβεστέρα γεωμετρία ὀπτικῆς καὶ ἀριθμητικὴ μουσικῆς· αἱ γὰρ ἐξ ἐλαττόνων ἀρχῶν ὁρμώμεναι ἀκριβέστεραί εἰσι. διὸ ἀκριβεστέρα ἐστὶν ἀριθμητικὴ γεωμετρίας· κέχρηται γὰρ τοῖς ἀριθμοῖς ζητοῦσα τρίγωνον καὶ τετράγωνον, κέχρηται δὲ καὶ μεγέθεσι. διὸ τὴν ἐπιστήμην τῶν ἐπιστημῶν, τὴν πρώτην σοφίαν, ἀκριβεστέραν πασῶν λέγομεν, ἐπεὶ καὶ πάντων ἔχει τὰς ἀρχὰς ἐν ἑαυτῇ, ὡς εἰρήκαμεν, καὶ ἐλάττονας ἀρχάς· μίαν γὰρ ἔχει ἀρχὴν τὴν τῶν πάντων. διὸ καὶ προϊὼν φησιν "οὐκ ἀγαθὸν πολυκοιρανίη". ἀλλὰ μὴν καὶ διδασκαλικωτέρα ἐστὶ πασῶν, ὡς ἔχουσα πασῶν τὰς ἀρχάς· οὗτοι γὰρ μᾶλλον διδάσκουσιν οἱ τὰς αἰτίας περὶ ἑκάστου λέγοντες. ἀλλὰ καὶ τὸ εἰδέναι τε καὶ τὸ ἐπίστασθαι αὐτῶν μάλιστα χάριν τῶν νοουμένων τε καὶ διδασκομένων καὶ μὴ ἄλλου τινὸς τῇ τῶν αἰτιῶν καὶ ἀρχῶν γνώσει μάλιστα ὑπάρχει. ὁ γὰρ τὸ ἐπίστασθαι τὸ τοιοῦτον αἱρούμενος, τὸ δι' ἑαυτὸ ἀγαθόν, ὁ τοιοῦτος τὴν μάλιστα ἐπιστήμην αἱρήσεται. τοιαύτη γάρ ἐστιν ἡ πρώτη· μάλιστα γάρ ἐστιν ἐπιστητὰ τὰ πρῶτα καὶ τὰ αἴτια· ἐκ τούτων γὰρ καὶ τὰ ἄλλα γνωρίζονται, ἀλλ' οὐ ταῦτα διὰ τῶν ὑποκειμένων. 'τότε γὰρ οἰόμεθα εἰδέναι ἕκαστον', ὡς αὐτός φησιν ἐν τῇ Φυσικῇ, 'ὅταν τὰς ἀρχὰς καὶ τὰ αἴτιά τινος μάθωμεν.'

p. 982 b 4 Ἀρχικωτάτη οὖν τῶν ἐπιστημῶν καὶ μᾶλλον ἀρχικὴ τῆς ὑπηρετούσης ἡ γνωρίζουσα, τίνος ἕνεκέν ἐστι πρακτέον ἕκαστον· τοῦτο δ' ἐστὶ τὸ ἀγαθὸν ἑκάστου.

Ἀρχικωτέρα γὰρ ἐν πᾶσιν ἡ γνωρίζουσα, τίνος χάριν ἕκαστον δεῖ ποιεῖν τῶν γινομένων, τῆς ποιούσης αὐτὰ καὶ ὑπηρετούσης, ὡς δῆλον ἐπὶ τῆς ἀρχιτεκτονικῆς. ὅλως δὲ τὸ ἄριστον ἐν τῇ φύσει πάσῃ αὕτη ἐπίσταται ἡ σοφία· αἱ μὲν γὰρ ἄλλαι ἐπὶ τῶν κατὰ μέρος, αὕτη δὲ ἐπὶ πάντων. εἰπὼν οὖν ἡ γνωρίζουσα, τίνος ἕνεκεν πρακτέον, ἐδήλωσεν εἰπὼν τοῦτο δέ ἐστι τὸ ἀγαθόν. τοιοῦτον δὲ τὸ τελικὸν αἴτιον, ὡς εἶπεν ἐν τοῖς Ἠθικοῖς ἀρχόμενος "πᾶσα τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινος ἐφίεσθαι δοκεῖ." τοιοῦτον δὲ καὶ τὸ τῶν ὄντων ἁπάντων αἴτιον· ἅπαντα γὰρ ἐκείνου χάριν ἔστι τε καὶ γίνεται τὰ φύσει γινόμενα, καὶ πρὸς ἐκεῖνο νένευκε κατὰ τὴν σύμφυτον ὄρεξιν αὐτοῖς, ὡς ἐπὶ τοῦ τοιούτου ἀγαθοῦ μένῃ. ὥστε ἡ τοῦ τοιούτου

2 ἀριθμητικῆς C 3 γὰρ om. B 4 τῆς ἀριθμητικῆς B 5 post ἐπιστημῶν add. γὰρ ACD 6 ἐπεὶ—εἰρήκαμεν om. B 7. 8 προϊὼν φησιν] Metaph. A 10 p. 1076 a 4 9 πασῶν om. C 10 ἀλλὰ καὶ—ὑπάρχει (12) Alexandri sunt 11 διδασκάλων B: γινωσκομένων Alex. 12 γνώσει om. B 13 τὸ δι' ἑαυτὸ ἀγαθόν] fort. δι' ἑαυτὸ ὡς ἀγαθόν 17 ἐν τῇ Φυσικῇ] Phys. A 1 p. 184 a 12 22 ἀρχικωτέρα γὰρ—ἀρχιτεκτονικῆς (24) Alexandri sunt 22 ἐν πάσαις B 25 ὑπὸ τῶν B 26 εἰπὼν οὖν—θεωρητικήν (p. 18,15) pleraque Alexandri sunt πρακτέον ἐδήλωσεν] πρακτέον ἕκαστόν ἐστι, τὸ τοιοῦτον αἴτιον οὗ ἕνεκεν αἰτίου ἕκαστον πρακτέον ἐδήλωσεν Alex. 27 τοιοῦτο γὰρ Alex. 28 τῶν Ντκομαχείων Ἠθικῶν ἀρχόμενος Alex. 31 τὰ δὲ φύσει Alex. 32 ὡς ἐπὶ τοῦ—μένῃ desunt apud Alex. μένῃ Belger: μὲν ᾖ A: μὴ ᾖ BDD τοῦ om. BCD

ἀγαθοῦ γνωστικὴ ἀρχικωτάτη ἂν εἴη. βουληθεὶς δὲ δηλῶσαι πῶς τὸ πρῶτον αἴτιον τοῖς οὖσιν αἴτιον, ὅτι ὡς τέλος, καὶ ὅτι ἡ τοῦ τοιούτου f. 11v αἰτίου γνωστικὴ ἀρχιτεκτονικωτέρα τῶν ποιουσῶν τὰ ἐκείνου χάριν, εἶπε τὸ καὶ μᾶλλον ἀρχικὴ τῆς ὑπηρετούσης ἡ γνωρίζουσα τίνος ἕνεκεν πρακτέον ἕκαστον. ἡ δὲ ἐπιχείρησις τοιαύτη ἐστίν. εἰ ἐν πάσαις τέχναις καὶ ἐπιστήμαις ἀρχικωτέρα τε καὶ ἀρχιτεκτονικωτέρα τῆς ποιούσης τι ἡ γινώσκουσα τὸ οὗ χάριν καὶ τὸ τέλος, καὶ ἡ τὸ πάντων τέλος καὶ οὗ χάριν τὰ πάντα ἔστι τε καὶ γίνεται εἰδυῖα ἀρχικωτάτη ἂν εἴη καὶ πρώτη· τοιαύτη δέ ἐστιν ἡ σοφία ἡ τοῦ πρώτου αἰτίου θεωρητική· τὰ γὰρ ὄντα τοῦ κυριωτάτου τῶν ἀγαθῶν ἐφίεται. εἶτα συγκεφαλαιοῦται τὰ εἰρημένα, δεικνὺς ᾗ ἐξ ἁπάντων, ὅτι τοῖς τοιούτοις σοφοῖς ἕπεται ἡ σοφία, οὖσα τῶν πρώτων ἀρχῶν τε καὶ αἰτιῶν θεωρητική· τὸ γὰρ ἀγαθὸν καὶ τὸ οὗ ἕνεκα ἔστι καὶ γίνεται πάντα, οὗ ἐστιν ἡ προκειμένη ἐπιστήμη θεωρητική, τῶν αἰτίων ἐστίν. τοιοῦτον γὰρ τὸ ὡς τέλος αἴτιον· δεῖ γὰρ αὐτὴν τῶν πρώτων ἀρχῶν καὶ αἰτίων εἶναι θεωρητικήν, ἐπειδὴ καὶ τὸ ἀγαθὸν τῶν αἰτίων ἐστί τῶν τελικῶν, οὗτινός ἐστιν εὑρετικὴ ἡ σοφία.

p. 982b11 Ὅτι δὲ οὐ ποιητική, δῆλον καὶ ἐκ τῶν πρώτων φιλοσοφησάντων.

Ὅτι, φησίν, ἡ σοφία οὐκ ἔστι ποιητικὴ τῶν ὄντων, ἀλλὰ γνωστική, φανερόν ἐστι καὶ ἐκ τῶν πρώτων φιλοσοφησάντων· διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν καὶ τὸ πρῶτον ἤρξαντο φιλοσοφεῖν. ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα τῶν ἀπόρων θαυμάσαντες, οἷον διὰ τί μὴ αὔξεται ἡ θάλασσα τοσούτων ποταμῶν εἰσερχομένων εἰς αὐτήν, εἶτα κατὰ μικρὸν προερχόμενοι καὶ περὶ τῶν μειζόνων διαπορήσαντες, οἷον περὶ τῆς σελήνης, δι' ἣν αἰτίαν ἐκλιμπάνει καὶ αὔξει, ὁμοίως δὲ καὶ ὁ ἥλιος διὰ τί ἔστιν ὅτε ἐκλιμπάνει, καὶ διὰ τί ποτὲ μὲν θέρος ποτὲ δὲ χειμών, ποτὲ δὲ ὄμβρος, ποτὲ δὲ οὔ, ποτὲ ἀνατέλλουσι τάδε τὰ ἄστρα καὶ ποτὲ δύνουσιν, ἄλλα δὲ οὐδέποτε δύνουσι, καὶ περὶ τὴν τοῦ παντὸς γένεσιν, πῶς ἐγένετο ὁ κόσμος ἐκ τίνος, καὶ εἰ ἔσχεν ἀρχὴν χρονικήν, καὶ περὶ ψυχῆς. ὁ δὲ ἀπορῶν καὶ θαυμάζων ὡς ἀγνοῶν θαυμάζει. διὸ καὶ ὁ Πλάτων περὶ τοῦ Ἀλκιβιάδου φησὶν "οἶμαί σε θαυμάζειν." διὸ καὶ τὴν Ἶριν ὁ ποιητὴς Θαύμαντος θυγατέρα εἶπε. f. 12r φιλόμυθος δὲ ὁ φιλόσοφός πώς ἐστιν, ἢ ὅτι κέχρηται μύθοις διὰ τὸ μὴ πρόδηλον τοῖς τυχοῦσι ποιῆσαι τὴν ἑαυτοῦ σοφίαν, ὥσπερ ἐποίουν

6 πάσαις ταῖς τέχναις B ἀρχικωτέρα τε καὶ om. Alex. vulg.; habet Alex. cod. L 10 post ἐφίεται addit Alex. καὶ τἀγαθοῦ. τἀγαθὸν δὲ τὸ πρῶτον αἴτιον εἶτα] ἐφ' οἷς δειχθεῖσι Alex. 11 ὅτι—σοφία] locus depravatus: δεικνὺς ὅτι ἐξ ἁπάντων τῶν τοῖς σοφοῖς ἑπομένων δέδεικται σοφία οὖσα ἡ τῶν Alex. 13 καὶ οὗ ἕνεκα Alex. 19 φιλοσοφία B 23 κατὰ] καὶ B 24 καὶ ἀπορήσαντες B 25 καὶ (post δὲ) om. CD 26 μὲν om. B 27 δύουσι ποτὲ δὲ ἄλλα οὔποτε δύουσι B 28 ante πῶς add. καὶ B 28. 29 ἐκ τίνος scripsi: ἔκ τινος libri 30 διὸ om. C τὸν Ἀλκιβιάδην B φησὶν] Plato Alcib. I p. 103 A 31 ὁ ποιητὴς] Hesiodus Theog. 265 sq.; cf. Plato Theaet. p. 155 D Θαύμαντος B corr. A ex θαύματος: θαύματος CD

οἱ Πυθαγόρειοι, ἢ ὅτι τὸ φιλόμυθον ἀνακαλύπτεται, ἐπεὶ ἔχει τοὺς λόγους πάντων ἐν ἑαυτῇ ἡ ψυχή. ἐκ τῆς φιλοσοφίας οὖν ἐκδιώκεται ἡ τέφρα καὶ ἀναφαίνεται ὁ σπινθήρ. καὶ ὁ τοιοῦτος φιλόμυθος, ὥστε καὶ ὁ τὸ καθόλου ἔχων ἐπαίνου ἄξιος· οὕτως γὰρ καὶ ὁ Πλάτων τὴν φιλοσοφίαν ἐκάλεσεν. ὁ δὲ φιλόμυθος ὁ ἐπὶ τῶν καθ' ἕκαστα οὐκ ἐπαινετός, διότι ἄπειρα ὑπάρχουσιν. ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμάτων, ὁ τοῦ φιλοσόφου. ὥστε εἰ διὰ τοῦτο ἐφιλοσόφησε, διὰ τὸ φεύγειν τὴν ἄγνοιαν, φανερὸν ὅτι διὰ τὸ εἰδέναι ἐδίωκε τὸ ἐπίστασθαι καὶ οὐ δι' ἄλλην χρῆσιν· ὥστε δι' ἑαυτὸ αἱρετόν ἐστι τὸ ἐπίστασθαι καὶ οὐ δι' ἄλλο, διότι ἡ φιλοσοφία γνωστική ἐστιν, οὐ ποιητική. ἦλθον γὰρ οἱ πρῶτοι φιλοσοφήσαντες εἰς ζήτησιν καὶ οἱ νῦν διὰ τὸ θαυμάσαι ἕκαστον αὐτῶν, πῶς ἔχει. τὸ δὲ θαυμάζειν ἀγνοούντων. οὐκοῦν διὰ μὲν τὸ ἀγνοεῖν ἐθαύμαζον, διὰ δὲ τὸ θαυμάζειν ἐπὶ τὸ φιλοσοφεῖν ἦλθον· διὰ τὸ ἀγνοεῖν ἄρα ἦλθον ἐπὶ τὸ φιλοσοφεῖν. ὃ δὴ ἔμελλε τῆς ἀγνοίας παύσειν αὐτούς, τούτου χάριν ἦλθον ἐπὶ τὸ φιλοσοφεῖν. γνῶσις δὲ ἔμελλεν ἀλλ' οὐ πρᾶξις τῆς ἀγνωσίας παύσειν αὐτούς· γνώσεως ἄρα ἀλλ' οὐ πράξεως χάριν ἦλθον ἐπὶ τὸ φιλοσοφεῖν. εἰ γὰρ δι' ἄγνοιαν ἦλθον ἐπὶ ζήτησιν αὐτῶν, φανερὸν ὡς γνώσεως ἐφέσει· τῆς γὰρ ἀγνοίας οὐχ ἡ ποίησις, ἀλλ' ἡ γνῶσις ἴασις. λέγει δὲ ὅτι τὴν μὲν ἀρχὴν ἦλθον ἐπὶ τὸ ζητεῖν τε καὶ φιλοσοφεῖν τὰ πρόχειρα καὶ ἐν ποσί. διὰ τὴν ἀγνωσίαν τε καὶ ἀτοπίαν θαυμάσαντες αὐτά, οἷον, εἰ οὕτως τύχοι, διὰ τί τὸ ἤλεκτρον ἕλκει τὰ ἀχυρώδη, ἢ ἡ Ἡρακλεία λίθος τὸν σίδηρον, ἢ τί ἐστιν ἶρις, ἢ ὅλως τὴν τῶν νεφῶν σύστασιν, ἢ τὴν βροντήν, πόθεν, ἢ περὶ τῶν ἀστραπῶν, πῶς γίνονται. εἶτα κατ' ὀλίγον προιόντες ἦλθον καὶ l. 12v ἐπὶ τὸ περὶ τῶν μειζόνων διαπορεῖν τε καὶ θαυμάζειν καὶ διὰ τοῦτο φιλοσοφεῖν. σελήνης δὲ παθήματα εἶπε τάς τε ἐκλείψεις αὐτῆς καὶ τὰς αὐξήσεις καὶ μειώσεις, ὁμοίως δὲ καὶ ἡλίου τάς τε ἐκλείψεις καὶ τὰς ἀνατολὰς καὶ τὰς δύσεις. τὸ δὲ ἀπορεῖν τε καὶ θαυμάζειν δι' ὑπόληψιν ἀγνοίας γίνεται. προστίθησι δ' ὅτι καὶ ὁ φιλόσοφος φιλόμυθός πως· ταῦτα γὰρ σπουδάζει μανθάνειν, ἅ ἐστι δι' ἄγνοιαν θαυμάσια· ἐκ γὰρ θαυμασίων τε καὶ παραδόξων οἱ μῦθοι σύγκεινται, οἱ δὲ διὰ τὸ θαυμάζειν τινὰ σπουδάζοντες μανθάνειν φιλόσοφοι. ἰστέον δὲ ὅτι ὥσπερ ἐπὶ τῆς ψυχῆς φέρε εἰπεῖν εἶπεν, ὅτι δεῖ λαμβάνειν τὰ συμβεβηκότα καὶ ἐφαρμόζειν καὶ οὕτως ἀποδιδόναι τὸν ὅρον, οὕτω καὶ ἐπὶ τῆς φιλοσοφίας ἐποίησεν· φιλόσοφος γὰρ ἐστιν ὁ φιλῶν τὸ σαφές, ὅ ἐστι τὴν σοφίαν. ἤρτηνται οὖν τῆς μιᾶς πάντων ἀρχῆς πάντα ἁπλῶς ὄντα, πεζά, ἀέρια, οὐράνια, ἔνυδρα.

---

3 ἀναφέρεται B 3. 4 ὥστε—ἔχων] fort. ὥστε καὶ τὸ καθόλου ἔχειν; cf. l. 5 4 ὁ Πλάτων] fort. respicit ad epist. VII p. 326 A 10 ἦλθον—φιλόσοφοι (31) Alexandri sunt; initium autem immutavit perverse ita, ut αὐτῶν (11) non habeat quo respiciat 12 οὐκοῦν εἰ διὰ Alex. 15 ἀγνοίας B Alex. 17 ἐπὶ τὴν ζήτησιν Alex. φανερόν] δῆλον Alex. 19 πρόχειρά τε καὶ Alex. 20 διὰ τὴν φαινομένην ἀτοπίαν Alex. αὐτά deest apud Alex. 21 τὸν] τὴν ACD 22 τίς ἐστιν ἡ ἶρις Alex. τὰς βροντάς Alex. omisso ἢ 23 ἀστραπῶν Alex.: ἄστρων libri 24 διὰ τοῦτο deest Alex. 24. 25 post φιλοσοφεῖν Alex. addit καὶ διὰ τοῦτο παρέθετο τὸ τινῶν 26 δὲ Alex.: om. libri 27 διὰ ἀπόλειψιν B 28 ὁ φιλόμυθος φιλόσοφός πως Alex. φιλομαθής B 32 εἶπεν] de Anima A 1 p. 402b21 35 τὰ ὄντα B

p. 982b22 Μαρτυρεῖ δ' αὐτὸ τὸ συμβεβηκός· σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων.

Ὅτι ἡ σοφία οὐκ ἔστι πρακτική ἀλλὰ θεωρητική, δῆλον ἐντεῦθεν· μετὰ γὰρ τὸ εὐπορῆσαι τοὺς ἀνθρώπους τῶν ἀναγκαίων καὶ τῶν πρὸς ῥᾳστώνην, ἤρξαντο τρέπεσθαι ἐπὶ τὴν τῶν ὄντων ζήτησιν, διὰ τί ὁ ἥλιος ἐκλιμπάνει, διὰ τί χειμών, διὰ τί θέρος· ὥστε ἡ σοφία οὐ τῆς πράξεώς ἐστιν, ἀλλὰ τῆς θεωρίας. ὅμως μέντοι γε ὁ Πλάτων παρακελεύεται τοὺς φύλακας ἀνάγειν μέχρι τῆς πρώτης θεωρίας· εἶτά φησιν ὅτι καὶ πάλιν μετὰ τὸ ἀναγαγεῖν αὐτοὺς καταγάγωμεν ἐπὶ τὴν ὕλην καὶ τὴν φροντίδα τῶν ὑλικῶν πραγμάτων. καί φησιν 'ἐποφείλουσι γὰρ τῇ θρεψαμένῃ τε καὶ παιδευσάσῃ αὐτοὺς καὶ τοιούτους ἀποτελεσάσῃ.' ὥστε οὐ δεῖ λέγειν 'διὰ τί γεωμετροῦμεν ἢ ἀστρονομοῦμεν; οὔτε γάρ ἐστι κέρδος ἐντεῦθεν.' αὗται γὰρ αἱ ἐπιστῆμαι ζητοῦνται οὐ διὰ κέρδος, ἀλλὰ διὰ τὸ ἀγαθὸν τῆς ψυχῆς. κλίμαξ γάρ ἐστιν, καὶ δι' αὐτῶν, φησίν, ἀνερχόμεθα ἐπὶ τὴν πρωτίστην πασῶν ἐπιστημῶν, τὴν ὄντως σοφίαν, ἥτις οὐ δι' ἄλλο ἀλλὰ δι' αὐτήν ἐστιν αἱρετή. φησὶν οὖν, ὅτι μαρτυρεῖ αὐτὸ τὸ συμβάν, ὅτι ἡ σοφία οὐ f. 13r τῆς πράξεώς ἐστιν· σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων καὶ τῶν πρὸς ῥᾳστώνην καὶ διαγωγὴν ἤρξατο ἡ τοιαύτη φρόνησις. τουτέστιν ἡ θεωρητική, ζητοῦσα τὰς αἰτίας τῶν πραγμάτων. δῆλον οὖν ὅτι οὐ ζητοῦμεν δι' ἄλλην χρείαν τὴν τοιαύτην ἐπιστήμην, ἀλλὰ δι' ἑαυτήν. ἐξομοιοῖ γὰρ θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἐπειδὴ καὶ παρὰ θεῷ ἡ τοιαύτη ἐστὶν ἐπιστήμη ἡ πάσας ὑπερβεβηκυῖα.

p. 982b25 Ὥσπερ γὰρ ὁ ἐλεύθερος αὑτοῦ ἕνεκά ἐστι καὶ οὐ δι' ἄλλον.

Τὸ γὰρ ἐλεύθερον ἀδέσποτον καὶ δι' αὑτό· διό φησι τὸν θεὸν μόνον εἶναι ἐλεύθερον, ἐπειδὴ αὐτὸς μὲν οὐδενὸς προσδεῖται. αὐτοῦ δὲ τὰ ἄλλα προσδέονται. διὸ παγκάλως φησὶν ἐκεῖνος "ἔκ σεο πάντα πέφηνε, σὺ δ' οὐδενὸς εἵνεκα μοῦνος". οὕτω καὶ ἡ πρώτη φιλοσοφία μόνη ἐλευθέρα ἐστὶ τῶν ἐπιστημῶν, ἐπειδὴ αἱ μὲν ἄλλαι ἐπιστῆμαι δέονται αὐτῆς (αὕτη γὰρ ἀποδείκνυσι τὰς ἀρχὰς αὐτῶν) αὕτη δὲ οὐ προσδεῖται τῶν ἄλλων ἐπιστημῶν. διό φησι μόνη γὰρ αὕτη αὐτῆς ἕνεκέν ἐστι καὶ οὐ δι' ἄλλην. αὕτη γὰρ καθ' ἑαυτὴν αἱρετή ἐστι γινώσκουσα θεὸν κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. διὸ καὶ δικαίως νομίζεται ὅτι οὐκ ἔστιν ἡ κτῆσις αὐτῆς ἀνθρώπινον ἀλλὰ θεῖον· τῷ ὄντι γὰρ παρὰ θεῷ καὶ μόνῳ

7. 8 ὅμως—θεωρίας om. B 8 εἶτά φησιν] verba ipsa non sunt Platonis; respicere videtur Reip. Z p. 540 B 10 ἐποφείλουσι γὰρ κτλ.] cf. Reip. Z p. 520 B sq., sed verba illic alia sunt 13 διὰ (post ἀλλὰ) om. CD 15 δι' αὐτήν libri 21 περὶ θεῷ CD: περὶ θεῶν B 25 δι' ἑαυτὸν B post αὑτό add. αἱρετόν ABD 26 εἶναι μόνον B 27 ἐκεῖνος] nescio quis Orphicus 31 αὐτῆς libri 32 αὐτὴ γὰρ B 34 περὶ CD

κυρίως ἐστίν. ὁ γὰρ θεὸς πάντα ἐπίσταται, οὐ μόνον τὰ καθόλου ἀλλὰ καὶ τὰ καθ' ἕκαστα, ἀγαπητὸν δὲ τοῖς ἀνθρώποις τὰ καθόλου γινώσκειν. πανταχῇ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων, οὐχ ὅτι ἡ φύσις δουλεύει τοῖς ἀνθρώποις, ἀλλ' ὅτι οἱ ἄνθρωποι δουλεύουσι διὰ τὰς περιεχούσας αὐτοὺς σωματικὰς ἀνάγκας, ἄρχουσι δουλεύοντες καὶ ἄλλοις μείζοσι διὰ τὸ τραφῆναι ἢ δι' ἄλλο τοιοῦτον. ὥστε καλῶς ἔλεγεν ὁ Σιμωνίδης, ὅτι τοῦτο τὸ γέρας ὁ θεὸς μόνος ἔχει, τὴν ἄκραν ἐπιστήμην τὴν καθ' αὑτόν, τὴν σύμμετρον αὐτῷ. ὥστε εἰ δυνατὸν κἂν τὰ καθόλου μόνον γινώσκειν, οὐκέτι δὲ δυνατὸν αὐτοὺς ἐπεκτείνεσθαι καὶ ἐπὶ τὴν ἀπειρίαν τῶν καθ' ἕκαστα.

p. 982b32 Εἰ δὲ λέγουσιν οἱ ποιηταί.

Φησὶν ὅτι οἱ ποιηταί φασιν, ὅτι φθονερόν ἐστι τὸ θεῖον καὶ Ἡρόδοτος 'φθονερὸν ἐὸν τὸ θεῖον', εἰ τοίνυν φθονερὸν τὸ θεῖον, δυστυχεῖς ὑπάρχουσιν οἱ περιττοί, τουτέστιν οἱ σοφοί, πλέον τι ἔχοντες τῶν ἄλλων, ὡς φησιν ἐκεῖνος "πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει". οὐ δυνατὸν οὖν εἶναι τὸν θεὸν φθονερόν, ἀλλὰ κατὰ τὴν παροιμίαν πολλὰ ψεύδονται ἀοιδοί, τουτέστιν οἱ ποιηταί. ὁ γὰρ φθόνος γίνεται διὰ τὸ ὁρᾶν τοὺς πέλας κρείττονας ὄντας ἡμῶν· πῶς οὖν εἶναι δυνατὸν τὸν θεὸν φθονερόν, ὄντα πηγὴν ἀγαθότητος, καὶ ἐξ οὗ πάντα τοῖς ἄλλοις χορηγοῦνται, ὡς φησι καὶ ὁ Πλάτων, ὅτι διὰ τὴν αὐτοῦ ἀγαθότητα ὁ θεὸς τὰ πάντα παρήγαγεν· "ἀγαθὸς γὰρ ἦν. ἀγαθῷ δὲ περὶ οὐδενὸς οὐδεὶς ἐγγίνεται φθόνος." πῶς οὖν δυνατὸν τὴν πηγὴν τῆς ἀγαθότητος φθονεῖν; οὐ δεῖ οὖν τῆς πρωτίστης ἐπιστήμης νομίζειν εἶναι τιμιωτέραν· θειοτάτη γάρ ἐστι καὶ τιμιωτάτη κατὰ δύο τρόπους, καὶ ὅτι ὁ θεὸς αὐτὴν ἐπίσταται, καὶ ὅτι δι' αὐτῆς ἔστι, φησί, γνῶναι τὸν θεόν. διό φησι 'θεία ἐστὶ τῶν ἐπιστημῶν, ἣν ὁ θεὸς οἶδεν'· ταύτην δὲ οἶδεν ὡς ἔχουσαν παρ' ἑαυτῇ τὰς ἀρχὰς τῶν ὄντων. οἶδεν οὖν ὁ θεὸς οὐ μόνον τὰ καθόλου, ἀλλὰ καὶ τὰ καθ' ἕκαστα. καὶ ἄλλη ἐπιστήμη εἰ ἔστι θεία, τοιαύτη ἐστίν. ὥστε καὶ ἀμφοτέρων τετύχηκεν αὕτη ἡ ἐπιστήμη ἡ πρωτίστη καὶ ἀναπόδεικτος, ᾗ τοὺς ὅρους γινώσκομεν· δοκεῖ γὰρ ὁ θεὸς τῶν αἰτίων πᾶσιν εἶναι καὶ ἀρχή, καὶ τὴν τοιαύτην ἣ μόνος ἔχει ὁ θεὸς ἢ μάλιστα ὁ θεός, ἐπειδὴ πρὸς τοῖς καθόλου καὶ τὰ καθ' ἕκαστα ἐπίσταται. αἱ μὲν οὖν ἄλλαι πᾶσαι ταύτης τῆς πρωτίστης ἀναγκαιότεραι ὑπάρχουσι συμβαλλόμεναι πρὸς τὸ εἶναι, οἷον τεκτονική, ναυπηγική (διὰ τούτων γὰρ τὰ τῇδε συνίστανται) ἀρτοποιία, ὑφαντική, ἀμείνων δὲ αὕτη ὡς ποιοῦσα ἡμᾶς πλησίον θεοῦ καὶ ἐξομοιοῦσα αὐτῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ.

f. 13v

---

6 ὁ Σιμωνίδης] Bergk poet. lyr. Gr. p. 1115³, cf. Pl. Protag. p. 341 E 9 ἐπὶ om. D 12. 13 Ἡρόδοτος] A 32 13 εἰ—θεῖον om. B 15 ἐκεῖνος] Sophocl. Aiac. 157 17 ὁ γὰρ φθόνος—τῶν ὄντων (27) ex Alexandri sunt altera recensione, quae codice L traditur 19 καὶ (ante ἐξ) deest apud Alex. 20 Plato in Timaeo 29 E 22 τῆς δωρεᾶς φθονεῖν Alex. cod. L 25 φησι ὅτι θεία Alex. cod. L 26 ὡς ἔχουσαν Alex. cod. L: ante ὡς add. οὐχ libri 27 οἶδε γὰρ B 29 ἡ (ante ἐπιστήμη) om. B 30 ὁ om. ACD

p. 983a11 Δεῖ μέντοι πως καταστῆναι τὴν τάξιν αὐτῆς εἰς τοὐναντίον.

Πάνυ φιλοσόφως· φησὶ γὰρ ὅτι ἀρχόμενοι τῆς τοιαύτης ἐπιστήμης f. 14r
θαυμάζομεν, πῶς ἐκλιμπάνει ὁ ἥλιος, πῶς γίνεται θέρος, πῶς χειμών, πῶς
5 ἡ διάμετρος ἀσύμμετρός ἐστι τῇ πλευρᾷ (πᾶν γὰρ μέγεθος ἔχει λόγον πρὸς
ἄλλο μέγεθος)· εἶτα μετὰ τὸ μαθεῖν ἀμεταθέτως ἔχομεν εἰς τοὐναντίον
περιαγόμενοι, ὅτι οὐ δυνατὸν ἄλλως ἔχειν, οἷον, εἰ τύχοι, μὴ ἐκλιμπάνειν
τὸν ἥλιον, ἢ μὴ εἶναι τὴν διάμετρον ἀσύμμετρον τῇ πλευρᾷ. ἐὰν γὰρ
καταγράψω τετράγωνον καὶ διαγάγω διάμετρον πέντε ποδῶν, καὶ ἀπὸ τῆς
10 διαμέτρου ἀναγράψω τετράγωνον, † ὥστε εἶναι τὸ ἐμβαδὸν $\bar{\nu}$, ἐπὶ πλείονα
γενήσονται τῶν $\bar{\nu}$. τοῦτο οὖν φησιν, ὅτι δεῖ μέντοι πως καταστῆναι τὴν
τάξιν αὐτῆς εἰς τοὐναντίον, ὥσπερ ἐπὶ τῶν μηχανικῶν· θαυμάζομεν γὰρ
πρῴην, ὕστερον δὲ γνόντες λέγομεν, ὅτι ἀδύνατον ἄλλως ἔχειν. ἄρχονται
μὲν γὰρ οἱ ἄνθρωποι ἀπὸ τοῦ θαυμάζειν διὰ τὸ μὴ γινώσκειν τὰς αἰτίας
15 ἢ τὰς τοῦ ἡλίου τροπὰς ἢ τὴν τῆς διαμέτρου ἀσυμμετρίαν· τῷ
ὄντι γὰρ θαυμαστὸν εἶναι δοκεῖ πᾶσιν, εἴ τι τῶν οὐκ ἐλαχίστων μὴ
μετρεῖται. δεῖ δὲ εἰς τὸ ἐναντίον καὶ εἰς τὸ ἄμεινον κατὰ τὴν
παροιμίαν ἀποτελευτῆσαι. παροιμία γάρ ἐστιν ἡ λέγουσα 'δευτέρων
ἀμεινόνων'. δεύτερον ἄμεινον ἐπὶ τῶν ἐξ ἀρχῆς μὲν ὁρμώντων καὶ μὴ κα-
20 τορθούντων, ὕστερον δὲ κατορθούντων. οὕτως οὖν καὶ ἐνταῦθα· ὅταν μάθωσι,
καίτοι πρῴην θαυμάζοντες, εἰς τὸ ἐναντίον περιίστανται. οὐδὲν γὰρ οὕτως
θαυμάζει ἀνὴρ γεωμετρικός, ὡς εἰ γένοιτο ἡ διάμετρος σύμμετρος· τοῦτο
γὰρ ἀδύνατον· πρὶν ἢ δὲ μάθῃ, τὸ ἐναντίον ὑπελάμβανε. τίς οὖν ἐστιν
ἡ φύσις τῆς ζητουμένης ἐπιστήμης. εἴρηται. ὅτι θεωρητικὴ ἀλλ' οὐ
25 πρακτική, καὶ ὅτι τῶν πρώτων αἰτίων τε καὶ ἀρχῶν γνωστική. καὶ τίς
ὁ σκοπὸς οὐ δεῖ τυγχάνειν τὴν ζήτησιν καὶ τὴν ὅλην μέθοδον,
ὅτι ἐκ τοῦ θαυμάζειν διὰ τὴν ἄγνοιαν † εἰς ταλήθῃ δεῖ μεταστῆναι διὰ f. 14v
τοῦ θαυμάζειν εἰς τὰ ἐναντία· τοῦτο δὲ γίνεται διὰ τῆς ἐπιστήμης.

p. 983a24 Ἐπεὶ δὲ φανερόν, ὅτι τῶν ἐξ ἀρχῆς αἰτίων.

30 Διὰ τῆς τοιαύτης ἐπιστήμης, φημὶ δὴ τῆς πρωτίστης, ἠδυνήθημεν
ἀνιχνεῦσαι τὰ αἴτια πάντων τῶν πραγμάτων. νῦν οὖν δεῖ ἡμᾶς μαθεῖν,
ποίου αἰτίου ἐστὶ κυρίως ἡ τοιαύτη ἐπιστήμη. καί φησιν ὅτι τέσσαρα
ὑπάρχουσι τὰ αἴτια, ὑλικόν, εἰδικόν, ποιητικόν, τελικόν. πολυπραγμονή-
σαντες οὖν, εἰ δυνατὸν καὶ τὰς ἰδέας παραλαβεῖν εἰς μίαν τῶν αἰτιῶν τού-
35 των (καὶ προϊὼν ἐρεῖ περὶ αὐτῶν) * * * φησὶν ὅτι οὐδενὸς τῶν αἰτιῶν

10. 11 ὥστε — τῶν $\bar{\nu}$] locus depravatus 13 ἐλέγομεν B 16 τῶν οὐκ ἐλαχίστων] sic etiam Metaph. p. 983a17 tres libri Bekk. 19 δεύτερον B: δεῦρο ACD 20 μάθωμεν B 23 τίς οὖν — μεταστῆναι (27) Alexandri sunt 27 δι' ἄγνοιαν Alex. 27. 28 ἄγνοιαν ταλήθῃ δεῖ μεταστῆναι εἰς τὸ θαυμάζειν δι' ἐπιστήμην τὰ ἐναντία τῶν ἀληθῶν Alex.; quae in Asclepii codd. leguntur, prorsus depravata sunt 35 lacunam indicavi

τούτων δύναται ἐπιστήμη εἶναι αὕτη τῶν ἐνόλων, ἀλλ' ἔστιν ἐπιστήμη τοῦ ἐξῃρημένου αἰτίου, φημὶ δὴ τοῦ ποιητικοῦ καὶ τελικοῦ καὶ εἰδικοῦ. συντρέχει γὰρ ἐπὶ τοῦ πρώτου αἰτίου τὰ τρία ταῦτα· ὁ γὰρ θεός, φησίν, ἀεὶ ποιητής, καὶ οὐχ ὥσπερ ἡμεῖς ποτὲ μὲν ποιοῦμεν, ποτὲ δὲ οὐ ποιοῦμεν, οὕτω καὶ ὁ θεός, ἀλλ' ἀεὶ ἐπινάει. οὔτε γὰρ ἔν τινι χρόνῳ παραλέλειπται αὐτοῦ ἡ ἐνέργεια, ὥς φησιν, ἐν ἑκάστῃ ἡμέρᾳ. ἡμεῖς γὰρ ποτὲ μὲν ποιοῦμεν, ποτὲ δὲ οὐ ποιοῦμεν, ὁ δὲ θεός, φησίν, αὐτῷ τῷ εἶναι πάντα παράγει καὶ δημιουργεῖ καὶ ἐπινάει. διό φησι καὶ ὁ Ἀλέξανδρος, ὅτι ἀεὶ ὁ Ἀριστοτέλης λέγει συντρέχειν τὸ τελικὸν αἴτιον τῷ εἰδικῷ. ἐπειδὴ οὖν δεῖ ἡμᾶς λαβεῖν ἐπιστήμην τῶν ἐξ ἀρχῆς αἰτίων (τότε γὰρ λέγομεν εἰδέναι ἕκαστον πρᾶγμα, ὅταν τὴν πρωτίστην αὐτοῦ αἰτίαν μάθωμεν), τὰ δὲ αἴτια τετραχῶς λέγονται, ὧν μίαν μὲν αἰτίαν φαμὲν εἶναι τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι, τουτέστι τὸ εἰδικὸν αἴτιον. αἱ γὰρ οὐσίαι κατὰ τὰ εἴδη χαρακτηρίζονται· ἀνάγεται γὰρ τὸ διὰ τί πρῶτον εἰς τὸν λόγον ἔσχατον, οἷον λέγει ὅτι διὰ τί αἱ τρεῖς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι ὑπάρχουσιν; εἶτά φησιν ἐκεῖνος, ἐπειδὴ αἱ ἐφεξῆς γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἐπειδὴ ὅταν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ. ὀρθὴ ἔσται ἑκατέρα τῶν ἴσων γωνιῶν. καὶ μετὰ τὸ ἀποδοῦναι τὸν ὁρι- f. 15v
σμὸν οὐκέτι ἐρωτώμεθα τὸ διὰ τί. διό φησιν ἀνάγεται γὰρ τὸ διὰ τί πρῶτον εἰς τὸν λόγον (τουτέστιν εἰς τὸν ὁρισμόν) ἔσχατον· μετὰ γὰρ τὸ ὁρίσασθαι οὐκέτι ζητοῦμεν τὸ διὰ τί. αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον, διὰ τί γὰρ τόδε τὸ πρᾶγμα τοιόνδε ἐστίν. καλῶς δὲ προσέθηκε τὸ ἔσχατον· εἶεν γὰρ ἄν τινες καὶ ἄλλαι ἀποκρίσεις πρὸς τὴν τοῦ διὰ τί ἀπαίτησιν οὐδέπω τὸν λόγον καὶ τὸν ὁρισμὸν ἔχουσαι· διὸ οὐδέπω αἱ τοιαῦται ἀποδόσεις τῆς αἰτίας τῆς κατὰ τὸ εἶδός εἰσι διδασκαλικαί, οὐδὲ ὁ ζητῶν τὸ διὰ τί τῆς ζητήσεως ἤδη παύεται. οὐ γὰρ οἷόν τε ζητουμένου ἔτι τοῦ διὰ τί λέγειν ἀποδεδόσθαι τὴν αἰτίαν· ἡ γὰρ τοῦ διὰ τί ζήτησις αἰτίας ζήτησίς ἐστιν. εἰ οὖν ἀκούσαντες ἐν τῇ τοῦ διὰ τί ζητήσει παυόμεθα τῆς κατὰ τοῦτο τοῦ διὰ τί ζητήσεως τοῦ αἰτίου, παυόμεθα δὲ τὸν ὁρισμὸν καὶ τὸ εἶδος ἀκούσαντες τῆς διὰ τί ζητήσεως, αἴτιον ἄρα καὶ τοῦτο. εἰπὼν δὲ ἐπὶ ἔσχατον τὸν ὁρισμὸν τὸ διὰ τί ἀνάγεσθαι, πῶς τὸ ἔσχατον πρῶτόν ἐστι καὶ αἴτιον, διὰ τῶν ἑξῆς ἐδήλωσε· τὸ γὰρ ἔσχατον λεγόμενον ἐν τῇ ἀποδόσει πρῶτόν ἐστιν ἐν τῇ φύσει καὶ αἴτιον· διὸ ἐπήνεγκεν αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον. τὸ μὲν γὰρ ἐν τῇ τοῦ διὰ τί ἀπαιτήσει ἔσχατον ἀποδιδόμενον κυρίως αἴτιον· τὸ δὲ οὕτως

1 αὕτη τῶν] fort. αὐτὴ καὶ τῶν ἐνόλων A: ἀόλων B: ἀνόλων D 2 ἐξῃρημένου fort. corr. A ex ἐξηγημένου quod habent BCD 5 et 8 ἐπινεύει B 5 παραλέλειπται scripsi: περιλέλειπται libri 6 ὥς φησι] fort. ὡς ἡμῖν 8 ὁ Ἀλέξανδρος] haec verba apud Alexandrum non legimus; cf. p. 28,22. 23 8. 9 ὁ Ἀριστοτέλης λέγει] cf. Phys. B 7, p. 198a 25 11 ὅτε ACD αὐτοῦ scripsi: αὐτῶ A: αὐτῶν BCD 13 ἦν om. AC 23 εἶεν γὰρ—πρῶτον αἴτιον (p. 24,2) Alexandri sunt 24 οὐδέπω (ante τὸν) Alex.: οὐδὲ libri 28 αἰτίας ζήτησις om. BCD: habet A et Alex. 28. 29 εἰ—αἰτίου] locus ex Alexandro emendandus, qui haec habet ὃ οὖν κτλ. τῆς κατὰ τοῦτο τὸ διὰ τί ζητήσεως, τοῦτο αἴτιον 33 ἐν prius Alex.: om. libri 34. 35 διὰ τί—ἔσχατον Alex.: libri haec habent διὰ τί. πρῶτον μὲν γὰρ ἐν κτλ., ἔσχατον δὲ 35. p. 24,1 ὄντως αἴτιον B

αἴτιον πρῶτον αἴτιον τῶν οὕτως αἰτίων· τὸ ἄρα ἐν τῇ τοῦ διὰ τί ἀπαιτήσει ἔσχατον ἀποδιδόμενον πρῶτον αἴτιον. δεύτερον δὲ αἴτιον ἡ ὕλη καὶ τὸ ὑποκείμενον. τρίτον δὲ τὸ ποιητικὸν αἴτιον, τέταρτον δὲ αἴτιον τὴν ἀντικειμένην αἰτίαν ταύτῃ, καὶ τὸ οὗ ἕνεκα καὶ τὸ ἀγαθόν ⟨φησιν⟩· τέλος γὰρ τῆς γενέσεως καὶ κινήσεως πάσης τοῦτ' ἔστι. τὸ τελικὸν αἴτιον. ἀντικείμενον δὲ εἶπε τὸ ποιητικὸν τῷ τελικῷ, ἐπειδὴ πρῶτον φαντάζεται ὁ τέκτων τὸ ἀβάκιον καὶ διατυποῖ καθ' ἑαυτὸν καὶ τότε παράγει, μετὰ δὲ τὸ γενέσθαι ὑπηρετεῖ· ἀντίκειται οὖν τὸ γενόμενον τῷ μὴ γενομένῳ. ἱκανῶς οὖν, φησί, περὶ τούτων ἐσκοπήσαμεν ἐν τοῖς Περὶ φύσεως λόγοις· ὅμως f.15v δεῖ ἡμᾶς παραλαβεῖν εἰς τὴν τῶν αἰτίων εὕρεσιν καὶ τοὺς πρὸ ἡμῶν φιλοσοφήσαντας· ὁμολογουμένως γὰρ κἀκεῖνοι ὑποτίθενται ἀρχὰς καὶ αἴτια. συντελεῖ γὰρ τῇ μεθόδῳ τῇ περὶ τῶν αἰτίων τὸ κινῆσαι τὰς δόξας τῶν παλαιοτέρων περὶ αὐτῶν. ἐντεῦθεν δὲ καί τι ἕτερον γένος τῆς αἰτίας εὑρήσομεν· ἢ λοιπὸν ἀσφαλῶς ταῖς οὔσαις τέτρασι μόναις πιστεύσομεν. οἱ μὲν οὖν πρῶτοι φιλοσοφήσαντες πάντες ὑλικὰς ἀρχὰς μόνας ὑπέθεντο. τοῦτο γὰρ ἔλεγον εἶναι ἀρχήν, ἐξ οὗ ἐστι πάντα τὰ ὄντα (τὸ δὲ ἐξ οὗ τὴν ὕλην δηλοῖ) καὶ ἐξ οὗ πρώτου γίνεται καὶ εἰς ὃ τελευταῖον φθείρεται, τῆς μὲν οὐσίας ὑπομενούσης· εἰδοποιημένον γὰρ ὑπετίθεντο εἶναι τὸ στοιχεῖον, καὶ κατὰ πάθη τὴν μεταβολὴν γίνεσθαι, καὶ ταύτην ἀρχὴν τῶν ὄντων ὑπετίθεντο. καὶ διὰ τοῦτο κατ' αὐτοὺς ἀνῃρεῖτο γένεσις καὶ φθορά (ὡς εἴρηται γάρ, εἰδοποιημένον ἔλεγον εἶναι τὸ στοιχεῖον) ὡς τῆς τοιαύτης φύσεως ἀεὶ σωζομένης. διὸ γένεσιν μὲν ἀνῄρουν, ἀλλοίωσιν δὲ ὑπετίθεντο. ἀμέλει τοι ἡνίκα ὁ Σωκράτης γίνεται καλὸς ἢ μουσικός, οὔ φαμεν αὐτὸν γίνεσθαι, ἀλλὰ μόνον ἀλλοιοῦσθαι, διότι ὁ αὐτὸς μένει κατ' εἶδος. οὔτε δὲ πάλιν φαμὲν αὐτὸν ἀπόλλυσθαι, ἡνίκα ἀποβάλλει ταύτας τὰς ἕξεις, διὰ τὸ ὑπομένειν τὸ ὑποκείμενον, τὸν Σωκράτην αὐτόν. εἰ οὖν κἀκεῖνοι ἀεὶ ὑποτίθενται εἰδοποιημένον εἶναι τὸ στοιχεῖον, φανερὸν ὅτι ἀνῄρουν γένεσιν, ἀλλοίωσιν δὲ ἔλεγον, ἐπειδὴ ὑπετίθεντο τροπὰς ὑπομένειν κατὰ πάθος μετρίως θερμὸν γινόμενον, εἰ τύχοι, τὸ ὕδωρ. ὅμως λέγοντες τὰ ἄλλα στοιχεῖα γίνεσθαι ἐξ αὐτοῦ, ἐξ ἀνάγκης καὶ γένεσιν λέγουσιν· φθειρομένου γὰρ τοῦ ὕδατος γίνεσθαι ἀέρα, ὡς ἐμάθομεν ἐν ταῖς φυσικαῖς αὐτοῦ πραγματείαις. δεῖ τοίνυν πάντως εἶναί τινα φύσιν ὑλικὴν ἢ μίαν ἢ πλείους μιᾶς, ἐξ ὧν γίνεται τὰ ἄλλα σωζομένης αὐτῆς· περὶ αὐτὴν γὰρ γίνεται ἡ μεταβολή, ὥστε αὕτη, φησίν, ἀμετάβλητος ὀφείλει εἶναι. τὸ f.16r μέντοι εἶδος καὶ τὸ πλῆθος τῆς τοιαύτης ἀρχῆς οὐ πάντες τὸ αὐτὸ λέγουσιν, ἀλλ' οἱ μὲν ὕδωρ τὸ ὑλικὸν αἴτιον, οἱ δὲ πῦρ, οἱ δὲ ἄλλο. διό φησιν ὅτι Θαλῆς μὲν ὁ Μιλήσιος ὁ ἀρχηγὸς τῆς τοιαύτης φιλοσοφίας ὕδωρ φησὶν εἶναι τὴν ἀρχὴν τῶν πάντων. διὸ καὶ τὴν γῆν ἐφ' ὑδάτων ὀχεῖσθαι ὡς ἀρχῆς οὔσης. ταύτην δὲ ἔσχε τὴν ὑπόληψιν ἐκ τοῦ ὁρᾶν πάντων τὴν τροφὴν ὑγρὰν οὖσαν (ἀδύνατον γὰρ ἐστιν ἄνευ ὑγρότητος

2 post αἴτιον Alex. addit τῶν οὕτως αἰτίων ἐστίν 4 φησιν addidi 5 καὶ κινήσεως om. B 9 ἐν τοῖς Περὶ φύσεως λόγοις] Phys. B 3. 7 13 καί τι] καὶ τὸ libri 15. 16 ταῦτα γὰρ B 25 ἀποβάλη B 27 ἀεὶ] ὡς ἀεὶ B 36 πῦρ οἱ δὲ om. BCD ἄλλα δὲ ἄλλο B

τρέφεσθαι τὰ ζῷα) καὶ ὅτι τὰ σπέρματα πάντα, ἐξ ὧν τὰ ζῷα ὑπάρχουσιν, ὑγρά ἐστιν· ἀρχὴ δὲ τῶν ὑγρῶν τὸ ὕδωρ. καὶ πάλιν φησίν 'αὐτὸ τὸ θερμὸν ἐκ τοῦ ὑγροῦ ἐστι'· δευομένη γὰρ ἡ γῆ ἐκπέμπει τὴν καπνώδη ἀναθυμίασιν, ἐξ ἧς τὸ ὑπέκκαυμα, ὅ ἐστι τὸ πῦρ. ὥστε καὶ τὸ θερμὸν ἐκ τοῦ ὑγροῦ γίνεται, καὶ τὰ ζῷα ἐκ τοῦ ἐμφύτου θερμοῦ, οὐχ ὡς φύσεως οὔσης τοῦ ἐμφύτου θερμοῦ· χεῖρον γὰρ ἢ κατ' ὄργανόν ἐστι τὸ πῦρ (διὸ ἐὰν μὴ ῥυθμισθῇ, βλάπτει), τὸ δὲ χεῖρον ἢ κατ' ὄργανον εἶναι φύσις οὐ δύναται. τινὲς δὲ εἰρήκασι καὶ τοὺς παλαιοτέρους τῆς νῦν περιόδου, οὓς καὶ πρώτους φησὶ θεολόγους, τὸ ὕδωρ ὑπολαβεῖν ἀρχήν. διὸ ἔλεγον "'Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν", καὶ συνελογίζοντο οὕτως 'ὁ ὅρκος τίμιος, τὸ τίμιον πρεσβύτερον· ὁ ὅρκος ἄρα πρεσβύτερος. ὅρκος δὲ τὸ ὕδωρ· τὸ ὕδωρ ἄρα πρεσβύτερον'. "καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ". τὴν ῥευστὴν γένεσιν διὰ τούτων ᾐνίττοντο. εἰ μὲν οὖν οἱ παλαιότεροι τῷ ὄντι οὕτως εἶχον ὡς εἰρήκασι κατὰ τὸ φαινόμενον, ἄδηλόν ἐστι· Θαλῆς μέντοι λέγεται τῷ ὄντι ὕδωρ ἀποφήνασθαι τὴν πρώτην αἰτίαν. Ἵππωνα μὲν γὰρ οὐ δίκαιον τάττειν μετὰ τούτων, καὶ αὐτὸν ὑπολαβόντα τὸ ὕδωρ εἶναι τὴν ἀρχήν, διὰ τὸ εὐτελὲς τῆς διανοίας αὐτοῦ· ἄθεος γάρ ἐστιν. οὐ λέγει γὰρ ἄλλο τι εἶναι παρὰ τὰ φαινόμενα φυσικὰ πράγματα. ὁ μέντοι Ἀναξιμένης καὶ ὁ Διογένης ἀέρα ὑπετίθεντο εἶναι πρῶτον αἴτιον ὑλικόν. Ἵππασος δὲ ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος πῦρ ἔλε- f.16v γον εἶναι. ὁ δὲ Ἐμπεδοκλῆς τέσσαρα στοιχεῖα ὑπετίθετο εἶναι τὰ πολυθρύλητα. ταῦτα δὲ ἔλεγεν ἀίδια διαμένειν καὶ οὐδέποτέ φησι φθείρεσθαι, ἀλλὰ πλήθει καὶ ὀλιγότητι συγκρινόμενα καὶ διακρινόμενα. συγκρινόμενα μὲν ἔλεγεν ἓν γίνεσθαι, ὅ ἐστιν ὀλίγον. διακρινόμενα δὲ πλείονα, ὅ ἐστι πλῆθος. Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος, πρεσβύτερος μὲν ὑπῆρχεν Ἐμπεδοκλέους, τοῖς δὲ ἔργοις ὕστερος, διότι ὁ μὲν Ἐμπεδοκλῆς πεπερασμένας ὑπετίθετο εἶναι τὰς ἀρχὰς τέσσαρας λέγων. ὁ δὲ Ἀναξαγόρας ἀπείρους. πῶς δὲ δυνατόν ἐστιν εἶναι ἐπιστήμην ἀπείρων οὐσῶν τῶν ἀρχῶν; τὸ γὰρ ἄπειρον οὐ γινώσκεται. πάντα γὰρ τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ καὶ πῦρ, φησὶ γίνεσθαι καὶ ἀπόλλυσθαι (καὶ τὸ ὕδωρ γὰρ καὶ τὸ πῦρ ἐκ τῶν ὁμοιομερῶν ἐγέννα), συγκρίσει δὲ τὴν γένεσιν. οὐδὲν δὲ ἀπόλλυσθαι ἔλεγε ταῦτα λέγων οὔτε γίνεσθαι, ἀλλὰ μένειν ἀίδια· διακρινόμενα γὰρ ἐν ἄλλῳ εὑρίσκονται, καὶ πάλιν πρὸ τῆς συγκρίσεως ἴσα. ἐκ μὲν τούτων ἁπάντων μόνη αἰτία φαίνεται ἡ ἐν ὕλης εἴδει, τουτέστιν ἡ ὑλικὴ αἰτία. προϊόντων δὲ αὐτὸ τὸ πρᾶγμα ὡδοποίησεν αὐτοῖς καὶ ὥσπερ ἠνάγκασεν ὑποτίθεσθαι καὶ εἰδικὸν αἴτιον. συνελογίσαντο γὰρ ὅτι οὐδέποτε ἡ ὕλη αὐτὴ ἑαυτὴν καλλύνει οὔτε γίνεται ἄνω ποταμῶν ἱερῶν· οὔτε γὰρ βλαστάνουσι τὰ κρείτ-

5. 6 οὐχ ὡς—θερμοῦ om. B 9 ἔλεγεν ABCD 10 Ὠκεανόν τε] Il. Ξ 201 12 καὶ τὸ κτλ.] Il. O 37 13 ὕδωρ bis ABCD 17 ἀτελές ABCD 18 γενόμενα C 21. 22 πολυθρύλλητα libri 22 ἀεὶ B φθείρεσθαι] fort. γίνεσθαι καὶ φθείρεσθαι 24 ὀλίγον scripsi: ὅλον libri 28 πῶς δὲ δυνατὸν ἀρχῶν eadem fere sunt in Alex. cod. L 29 γινώσκεται scripsi: γίνεται libri 31 συγκρίσει—γένεσιν] exspectes συγκρίσει καὶ διακρίσει; sed fortasse nonnulla exciderunt 34 μόνη] ὁμοίη B 35 αὐτοὺς libri 37 βλαστάνουσα libri

τονα ἐκ τῶν χειρίστων. οὐ γὰρ τὸ ξύλον ποιεῖ ἑαυτὸ κλίνην ἢ ἀβάκιον, ἢ ὁ χρυσὸς ἀνδριάντα ἢ ἄλλο τοιοῦτον. πάλιν ἦλθον εἰς ἔννοιαν, ὅτι ἕτερόν ἐστι παρὰ ταῦτα τὰ δύο τὸ κοσμοῦν τὴν ὕλην καὶ ποιοῦν ἐπιτίθεσθαι αὐτῇ τὸ εἶδος. οὔτε γὰρ τὸ εἶδος αὐτὸ ἑαυτὸ ἄνυλον ὂν ἐμβάλλει εἰς τὴν ὕλην, ἀλλ' ἄλλο τί ἐστιν αἴτιον ἐξῃρημένον τὸ κοσμοῦν τὴν ὕλην καὶ παράγον αὐτήν. εἰ γὰρ καὶ ἡ γένεσις καὶ ἡ φθορά, φησίν, ἔκ τινος αἰτίου ὑλικοῦ συμβαίνει ⟨ἑνὸς ἢ⟩ καὶ πλειόνων, διὰ τί τοῦτο συμβαίνει καὶ ⟨τί⟩ τὸ αἴτιον: οὔτε γὰρ τὸ ὑποκείμενον ποιεῖ αὐτὸ ἑαυτὸ μεταβάλλειν, f.17r οἷον οὔτε τὸ ξύλον οὔτε ὁ χαλκὸς αἴτιος τοῦ μεταβάλλειν ἑκάτερον αὐτῶν, οὐδὲ ποιεῖ τὸ μὲν ξύλον κλίνην, ὁ δὲ χαλκὸς ἀνδριάντα, ἀλλ' ἕτερόν ἐστιν αἴτιον τῆς μεταβολῆς ταύτης, τουτέστι τὸ ποιητικόν, τὸ καὶ ἐμβάλλον τὸ εἶδος. τοῦτο δέ ἐστι τὸ ζητεῖν τὴν ἑτέραν ἀρχήν, φημὶ δὴ τὸ ποιητικὸν αἴτιον.

p. 984a27 Οἱ μὲν οὖν πάμπαν ἐξ ἀρχῆς ἁψάμενοι τῆς μεθόδου ταύτης.

Ἐξ ἀρχῆς λέγει πάλιν περὶ τῶν μόνῃ τῇ ὑλικῇ αἰτίᾳ τε καὶ ἀρχῇ χρησαμένων· δόξει δὲ τὸ πάμπαν ἐξ ἀρχῆς προστεθεικέναι ὑπὲρ τοῦ δηλῶσαι τοὺς περὶ Θαλῆν καὶ Ἀναξιμένην, ἐπεὶ οἱ περὶ Ἀναξαγόραν καὶ Ἐμπεδοκλέα ἐμνημόνευσαν τῶν ποιητικῶν ἀρχῶν, ὁ μὲν λέγων νεῖκος καὶ φιλίαν * * * καὶ προϊὼν ἐρεῖ περὶ αὐτῶν. οὕτως οὖν ὁ Θαλῆς ἀρχηγὸς τῆς τοιαύτης φιλοσοφίας· τῶν γὰρ μνημονευομένων φυσικῶν ἀρχαιότατος. καλῶς δὲ εἶπε τὸ "λέγεται"· οὔτε γὰρ φέρεται αὐτοῦ βιβλίον τοῦτο ἔχον. οἱ οὖν περὶ Θαλῆν καὶ Ἀναξιμένην οὐδὲ ἐδυσχέραναν πρὸς ἑαυτούς, ὃ ἔθος ἐστὶ τοῖς ἄτοπα ὑποτιθεμένοις· οἷον οὐκ ἐπέστησαν τῇ τῶν λεγομένων ὑπ' αὐτῶν ἀτοπίᾳ, οὐδ' ἐμέμψαντο τοῖς λεγομένοις, ὡς οὐχ ἱκανῶς λελεγμένοις, οὐδ' ἐζήτησάν τινα καὶ ἄλλην ἀρχὴν πρὸς τῇ ὑλικῇ ὡς οὐχ ἱκανῶς ἐχούσῃ τε καὶ λεγομένῃ ὑπ' αὐτῶν.

p. 984a29 Ἀλλ' ἔνιοι τῶν ἓν λεγόντων ὥσπερ ἡττηθέντες ὑπ' αὐτῆς τῆς ζητήσεως, τὸ ἓν ἀκίνητον εἶναί φασιν.

Λέγει μὲν περὶ Ξενοφάνους καὶ Μελίσσου καὶ Παρμενίδου· οὗτοι γὰρ ἓν τὸ πᾶν ἀπεφήναντο. ἡττηθῆναι δὲ αὐτούς φησιν ὑπὸ ταύτης τῆς ζητήσεως, ὅτι ὑποθέμενοι ἓν τὸ πᾶν εἶναι, ἀκολουθοῦντες τῇ ὑποθέσει καὶ

7 ἑνὸς ἢ ex Aristotele addidi 8 τί ex Aristotele addidi 11 καὶ τὸ B 16 λέγει—ἀρχῶν (19) Alexandri sunt 17 τὸ πάμπαν Alex.: τὸ πᾶν libri προστεθεικέναι Alex.: προτεθεικέναι libri 18 Alexander habet haec: ἐπεὶ ὧν γε ἐμνημόνευσεν, Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς δοκοῦσί τι εἰρηκέναι καὶ περὶ τῆς ποιητικῆς ἀρχῆς, ὡς καὶ αὐτός τε προϊὼν μνημονεύσει 20 lacunam indicavi: addendum ὁ δὲ νοῦν, ὡς 22 λέγεται] v. Arist. p. 984a2 24 οἷον—αὐτῶν (27) Alexandri sunt 26 λεγομένοις Alex. 27 ἐχούσης καὶ λεγομένης Alex. 30 λέγει μὲν—πάσας (p. 27,9) Alexandri sunt 32 εἶναι, ἀκολουθοῦντες τῇ ὑποθέσει desunt apud Alex.

ζητοῦντες πῶς οἷόν τε τοῦτο ἓν ὂν ἐξ αὑτοῦ μεταβάλλειν, μὴ δυνάμενοι ἔτι σώζειν αὐτὸ ἕν, εἰ μὴ ἀνέλοιεν καὶ τὰ φανερά, καὶ ταῦτα ἀνήρουν, ἅ ἐστιν ἐναργέστατα· κίνησίν τε γὰρ καὶ μεταβολὴν ἐκ τῶν ὄντων ἀνήρουν τῷ τούτων ὄντων μηκέτι αὐτοὺς τὸ ὂν ἓν λέγειν. εἰπὼν δὲ τὸ ἓν
5 ἀκίνητόν ⟨φασιν⟩ εἶναι, προσέθηκε τὸ καὶ τὴν φύσιν ὅλην· ἡ γὰρ f.17v φύσις ὅλη τὸ ἓν αὐτοῖς. ὡς δὲ φανερωτέρου τοῦ ἀτόπου ὄντος τοῦ λέγεσθαι τὴν φύσιν ὅλην ἀκίνητον, προσέθηκεν αὖ τὸ ἀκίνητον· δὲ οὐ κατὰ γένεσιν καὶ φθορὰν μόνον (καὶ γὰρ αὗται αἱ μεταβολαί, εἰ καὶ μὴ κινήσεις, ἀλλὰ κινουμένων τινῶν), καὶ κατὰ τὰς ἄλλας οὖν μεταβολὰς πάσας.
10 ὥστε φύσεως λέγοντες τὴν οὖσαν ἀρχὴν κίνησιν ἀνήρουν, καὶ κατὰ φύσιν ὅλην, φησίν, ὅτι καθόλου τὴν φύσιν ἕν τι ὑπετίθεντο, οὐ μόνον κατὰ γένεσιν καὶ φθοράν (τοῦτο μὲν γὰρ ἀρχαῖόν τε καὶ πάντες ὡμολόγησαν, τὸ εἶναι ἀμετάβλητον τὴν ὅλην), ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μεταβολὴν πᾶσαν. ἀνήρουν γὰρ καὶ γένεσιν καὶ φθορὰν καὶ ἀλλοίωσιν καὶ αὔξησιν, εἴ γε οὐκ
15 ἔλεγον εἶναι κίνησιν (αἱ μὲν γὰρ κινήσεις, αἱ δὲ οὐκ ἄνευ κινήσεως γένεσις καὶ φθορά), καὶ τοῦτο τούτων μόνον ἴδιόν ἐστι τὸ λέγειν παντελῶς μὴ εἶναι κίνησιν.

p. 984b1 Τῶν μὲν οὖν οὕτως φασκόντων ἓν εἶναι τὸ αἴτιον οὐδενὶ συνέβη συνιδεῖν τὴν τοιαύτην αἰτίαν πλὴν τῷ Παρμενίδῃ.

20 Δύο γὰρ ὑπετίθετο αἴτια πῦρ καὶ γῆν· καὶ διὰ μὲν τοῦ πυρὸς λέγει τὸ ποιητικὸν αἴτιον, διὰ δὲ τῆς γῆς τὸ ὑλικόν. εἰδέναι μέντοι γε χρή, ὅτι διὰ τοῦ ἑνὸς [φησὶν] αἰτίου τὴν τῶν πάντων μίαν ἀρχὴν ἔλεγεν· διὸ καὶ ἀκίνητον αὐτὴν ὑπετίθετο. φυσιολογῶν δὲ ἔλεγε τὸ πῦρ, καὶ διὰ τοῦ πυρὸς ἐδήλου τὸν ἀέρα συγγενῆ ὄντα, διὰ δὲ τῆς γῆς τὸ ὕδωρ. τοῖς δὲ
25 πλείω ποιοῦσι τὰ στοιχεῖα μᾶλλον ἐνδέχεται λέγειν τὸ ποιητικὸν αἴτιον, οἷον τὸ θερμὸν καὶ ψυχρὸν ἢ πῦρ καὶ γῆν· χρῶνται γὰρ ὡς κινητικὴν ἔχοντι τῷ πυρὶ τὴν φύσιν, ὕδατι δὲ καὶ γῇ καὶ τοῖς τοιούτοις τοὐναντίον ὑλικῇ. μετὰ δὲ τούτους καὶ τὰς τοιαύτας ἀρχάς, ὡς οὐχ ἱκανῶν οὐσῶν τῶν τοιούτων ἀρχῶν μόνων γεννῆσαι τὴν τῶν
30 ὄντων φύσιν πάλιν ὑπ' αὐτῆς τῆς ἀληθείας, ὥσπερ εἴπομεν, ἀναγκαζόμενοι τὴν ἐχομένην ἑτέραν ἐζήτησαν ἀρχήν, τουτέστι f.18r τὴν ποιητικὴν τοῦ εὖ ἔχειν καὶ καλῶς * * * τὰ μὲν ἔχειν τὰ γινόμενα

1 τοῦτο τὸ ἓν ἐξ ἑαυτοῦ Alex. 2. 3 καὶ ταῦτα μικροῦ δεῖν ἐναργέστατα Alex. 4 μηκέτι αὐτοῖς ἓν τὸ ὂν μένειν Alex. 5 φασιν addidi 6 αὐτοῖς ἦν Alex. λέγειν Alex. 7 αὖ τὸ scripsi: αὐτὸ libri ἀκίνητόν τε Alex. 9 καὶ] ἀλλὰ καὶ Alex. οὖν deest apud Alex. 11 ὑποτίθενται B 22 φησὶν delevi 25 τὰ στοιχεῖα] τὸν ἀέρα C λέγειν om. B 26 κινητὴν libri 31 τὴν — ἀρχὴν Aristoteles: τῆς ἐχομένης ἑτέρας ζητήσεως ἀρχήν libri: in ζητήσεως fort. latet ἐζήτησαν γενέσεως cf. Alex. p. 24,31 32 τοῦ scripsi: τούτων libri et Metaph. p. 984b11 cod. Ab lacuna ex Arist. explenda τοῦ γὰρ εὖ καὶ καλῶς τὰ μὲν κτλ. 32 τὰ γινόμενα] legendum τὰ δὲ γίνεσθαι

τῶν ὄντων οὐ θέμις οὔτε πῦρ αἰτιᾶσθαι οὔτε γῆν, ἀλλ' ἐξῃρημένον αἴτιον· οὔτε ἐκείνους τοὺς πρώτους εἰκὸς τοῦτο ὑπολαβεῖν. οἷον καλῶς ἔχει ὁ οὐρανὸς ἀεὶ ὤν· † εἰ δὲ καλῶς, διὰ τί, φησί, λύεται; πάλιν καλῶς ἔχει τὰ ἐν γενέσει διὰ τὸ δεῖν εἶναι καὶ τρῦγα διὰ τὴν τοῦ κόσμου, φησί, τελειό-
5 τητα. οὔτε δὲ δίκαιόν ἐστιν αὐτομάτῳ καὶ τύχῃ τοσοῦτον ἐπιτρέψαι πρᾶγμα, ἀλλὰ θεῷ μόνῳ τῷ διὰ τὴν αὐτοῦ ἀγαθότητα πάντα παραγαγόντι. ὁ μέντοι γε Ἀναξαγόρας νοῦν ἐπέστησεν ἐν τοῖς φυτοῖς καὶ ἐν τοῖς ζῴοις καὶ ἐν τῇ φύσει καθόλου, καί φησι νοῦν αἴτιον εἶναι τοῦ κόσμου καὶ τῆς τάξεως πάσης καὶ νήφων ἐφάνη παρ' εἰκῇ λέγοντας, τουτέστι παρὰ
10 μεθύοντας. εἶτα ἐν τοῖς κατὰ μέρος πάλιν ᾐτιᾶτο τὰς ὁμοιομερείας. φανερῶς μὲν οὖν ἐκ τῶν φυσικῶν Ἀναξαγόραν ἴσμεν ἁψάμενον τούτων τῶν λόγων καὶ ἐπιστήσαντα νοῦν τῷ παντί. λέγουσι δέ τινες αἴτιον εἶναι τούτου τοῦ δόγματος πρότερον Ἑρμότιμον τὸν Κλαζομένιον. δοκεῖ οὖν καὶ Ἑρμότιμος ὁ πολίτης αὐτοῦ τῆς τοιαύτης αἰτίας
15 μνημονεῦσαι. τάξεως μὲν οὖν μετέχει καὶ ἀκολουθίας τὰ ὄντα καὶ γινόμενα, ἐκείνων δὲ οὐδὲν οἷόν τε τοιαύτης τάξεως αἰτίαν παρασχεῖν, ἀλλ' οὐδὲ τὸ αὐτόματον εὔλογον τούτων αἰτιᾶσθαι.

p. 984b20 Οἱ μὲν οὖν οὕτως ὑπολαμβάνοντες ἅμα τοῦ καλῶς τὴν αἰτίαν ἀρχὴν εἶναι τῶν ὄντων ἔθεσαν.

20 Φησὶν ὅτι οἱ λέγοντες καὶ καλῶς τετάχθαι τὸ πᾶν καὶ πρόοδον εἶναι ἐν τοῖς οὖσι καὶ τελικόν τι ὑποτίθενται καὶ ποιητικόν, ὥσπερ καὶ Ἀριστοτέλης· καὶ τελικὸν γὰρ αἴτιον ὑποτίθεται εἶναι τὸ αὐτὸ καὶ ποιητικόν, ὥς φησι καὶ Ἀλέξανδρος. τελικὸν μὲν οὖν αἴτιον ὑποτίθενται οἱ λέγοντες εὖ τετάχθαι τὸ ὄν· ἕκαστον γὰρ τῶν ὄντων τοῦ οἰκείου ἀγαθοῦ ἐφιέμενον
25 καὶ τοῦ οἰκείου τέλους σπεύδει ἐξομοιωθῆναι ὡς δυνατὸν τῷ παραγαγόντι· καὶ διὰ τοῦτό φασι τὸ πᾶν καλῶς τετάχθαι. διό φησι "τἀγαθὸν οὗ πάντα f.18v ἐφίεται." πάλιν δὲ οἱ ὑποτιθέμενοι εἶναι πρόοδον ἐν τοῖς οὖσι λέγουσιν εἶναι ποιητικὸν αἴτιον. ἡ γὰρ τάξις τῆς προόδου οὐκ ἀπὸ ταὐτομάτου, ὡς προϊὼν ἐρεῖ, ὅτι καθάπερ ἡ τάξις ἡ ἐν τῷ στρατοπέδῳ οὐκ ἀπὸ ταὐτο-
30 μάτου παραγίνεται, ἀλλ' ἀπὸ τοῦ στρατηγοῦ, οὕτω καὶ ἡ πρόοδος καὶ ἡ τάξις τῶν ὄντων οὐκ ἀπὸ ταὐτομάτου παραγέγονεν, ἀλλ' ἀπὸ τοῦ πρώτου αἰτίου. οὗτοι οὖν ἅμα τῇ ποιητικῇ αἰτίᾳ τήν τε τοῦ καλῶς καὶ τεταγμένως γίνεσθαι τὰ γινόμενα ἀρχὴν καὶ αἰτίαν ἔθεντο (τοιοῦτος γὰρ ὁ νοῦς), καὶ τὴν τοιαύτην κίνησιν τὴν εὔτακτον ἐνυπάρχειν τοῖς οὖσι, τὴν ἐπὶ τὸ
35 εὖ ἄγουσαν, ἐκ τῆς αἰτίας δηλόνοτι τῆς ποιητικῆς. τὴν γὰρ τοῦ καλῶς

3 εἰ δὲ—τελειότητα (4. 5) verba depravata 14. 15 δοκεῖ οὖν—μνημονεῦσαι] cf. Alex. p. 25,3 Bz 15 τάξεως—αἰτιᾶσθαι (17)] cf. Alex. p. 24,26 23 his verbis Alexander, qualem habemus, non utitur; ceterum cf. p. 23,8. 9 26 φησι] Eth. Nicom. A 1 p. 1094a3 29 ἐρεῖ] Metaph. Λ 10 p. 1075a11 sqq. 32 οὗτοι—νοῦς (p. 29,2) pleraque Alexandri sunt 33 αἰτίαν] τῶν ὄντων add. Alex. 34 τὴν εὔτακτον—οὖσι non leguntur apud Alex.

κινεῖσθαί τε καὶ γίνεσθαι, οὐ τὴν τοῦ μόνον γίνεσθαί τε καὶ κινεῖσθαι αἰτίαν ἀρχὴν ἔθεντο· τοιοῦτος γὰρ ὁ νοῦς.

p. 984ᵇ20 Οἱ μὲν οὖν.

Φησίν, ὅτι οἱ οὕτως ὑπολαμβάνοντες καὶ καλῶς τετάχθαι καὶ πρόοδον εἶναι ἐν τοῖς οὖσιν, ἅμα τοῦ καλῶς τὴν αἰτίαν καὶ ἀρχὴν εἶναι τῶν ὄντων, δῆλον ὅτι καὶ τὴν τοιαύτην ἀρχὴν οὐ μόνον τελικὴν ὑπέθεντο, ἀλλὰ καὶ ποιητικήν. καὶ τελικὴ μέν ἐστιν ὡς καλῶς παράγουσα· ἕκαστον γὰρ ἐξομοιοῦται τῷ παράγοντι· ποιητικὴ δὲ ὡς ἀρχὴ καὶ πρόοδον ἔχουσα.

p. 984ᵇ23 Ὑποπτεύσειε δ' ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον.

Πρῶτος Ἡσίοδος ἐζήτησεν ἢ γοῦν Παρμενίδης τὴν ἀρχὴν τοῦ καλῶς κινηθῆναι, καὶ εἴ τις ὅλως ἔρωτα ἐν ταῖς ἀρχαῖς ὑπέθετο. καὶ ὁ Παρμενίδης γάρ φησι πρῶτον γενέσθαι τὸν ἔρωτα, τὸν θεῖον δηλονότι, καὶ οὕτως δημιουργῆσαι τὰ λοιπά· καὶ Ἡσίοδος δὲ ὁμοίως. ὁ γὰρ ἔρως τοῦ καλοῦ ἔχει ἔφεσιν· διὸ καὶ ἔρως λέγεται παρὰ τὸ ἐρᾶν τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ· ὅθεν καὶ ἡμεῖς λεγόμεθα ἐρᾶν τῶν ὑπερτέρων καὶ τὰ ὑπέρτερα ἡμῶν ὡς προνοούμενα ἡμῶν, ἡμεῖς δὲ λεγόμεθα ἐρᾶν τῶν ὑπερτέρων, ὡς θαυμάζοντες αὐτά. διὸ καὶ ὁ Σωκράτης ἐρᾷ τοῦ Ἀλκιβιάδου ὡς προνοούμενος αὐτοῦ, ὁ δὲ Ἀλκιβιάδης Σωκράτους ὡς θαυμάζων αὐτόν. διό l. 19r
φησιν ὅτι νῦν ἐγὼ σοῦ ἐρῶ, καὶ ἀνατέτραπται ἡ τάξις. ὁ οὖν ἔρως καὶ ἡ ἔφεσις τοῦ καλοῦ κατὰ τοὺς οὕτω λέγοντας ἀρχὴ κινήσεως ἂν εἴη. οὗτοι μὲν οὖν τὴν τῶν ἀγαθῶν αἰτίαν ἐν ταῖς ἀρχαῖς ἔθεντο· ἀλλ' Ἀναξαγόρας μὲν ὡς ποιητικὸν ἀγαθόν, οἱ δὲ ἔρωτα καὶ ἐπιθυμίαν αἰτιώμενοι τὸ τελικὸν ἀγαθὸν λέγοιεν ἄν· τοιοῦτον γὰρ τὸ ὀρεκτόν. ἢ τὸ μὲν ὀρεκτὸν τοιοῦτον, ὁ δὲ ἔρως ποιητικόν, ὅτι ὀρέξει ἑπόμενος ποιεῖ ἃ ποιεῖ. φησὶν οὖν ὅτι ὑποπτεύσειεν ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον, καὶ εἴ τις ἄλλος ἔρωτα ἢ νοῦν ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχήν, ὥσπερ ὁ Παρμενίδης· καὶ γὰρ οὗτος κατασκευάζων τὴν τοῦ παντὸς γένεσίν φησιν ὅτι πρῶτον τῶν θεῶν τὸν ἔρωτα ἐποίησεν. Ἡσίοδος δέ φησιν ὅτι "πάντων μὲν πρώτιστα χάος γένετ'" ἐν τῇ καθ' ἡμᾶς περιόδῳ, μετὰ δὲ ταῦτα ἡ γῆ, εἶτα ὁ ἔρως ὁ μείζων πάντων, ἐπειδὴ δεῖ τινα αἰτίαν εἶναι ἐν τοῖς οὖσιν, ἥτις κινήσει καὶ συνέξει τὰ πράγματα. τοιοῦτος δὲ ὁ ἔρως, ἔφεσιν ἔχων τοῦ καλοῦ, συνήγαγε καὶ ἐκέρασε τὰ ἀμιγῆ, καὶ οὕτως ἕν τι ἐποίησε τὸν κόσμον. τίς δὲ πρότερος τῆς τοιαύτης αἰτίας ἥψατο, πότερον Ἀναξαγόρας, ὡς δοκεῖ, ἢ Ἑρμότιμος ἢ Ἡσίοδος ἢ Παρμενίδης ἢ οἱ πρὸ τούτων, ἔξεστιν ὕστερον ζητεῖν.

1 τε om. Alex. 6 ἐπέθεντο C 8 παραγαγόντι B ἀρχὴν B 20 fort. respicit ad Plat. Symp. p. 217 C 22 οὗτοι—ποιεῖ (25) Alexandri sunt 23 τὸ ποιητικὸν Alex. 23. 24 αἰτιώμενοι ἴσως τὸ ὡς τελικὸν Alex. 25 εἰ τῇ ὀρέξει ἑπόμενος ἐποίει ἃ ἐποίει Alex. 30 Ἡσίοδος δέ φησιν] Theog. 116 sqq.

p. 984b32 Ἐπειδὴ καὶ τἀναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐφαίνετο.

Ἐντεῦθεν εὐθύνει τὸν Ἐμπεδοκλέα ὡς δύο ἀρχὰς ὑποτιθέμενον ποιητικάς, μίαν μὲν τῶν ἀγαθῶν, τουτέστι τὴν φιλίαν, μίαν δὲ τῶν κακῶν, τουτέστι τὸ νεῖκος. ἐπειδὴ δέ, φησίν, ἑώρα οὐ μόνον τὰ ἀγαθὰ ἐν τοῖς
5 οὖσιν, ἀλλὰ καὶ τὰ κακά (φανερὸν ὅτι τὰ ἐνταῦθα· ἐν γὰρ τῷ οὐρανῷ οὐκ ἔστι κακὸν οὐδὲν οὐδὲ παρὰ φύσιν), ἐπεὶ οὖν ἑώρα πλείονα τὰ κακά, τῶν κακῶν αἰτίαν ἔλεγεν εἶναι τὸ νεῖκος, τῶν δὲ ἀγαθῶν τὴν φιλίαν. λέγομεν οὖν ὡς εἰ ὁμολογοῦμεν ὅτι ὁ Ἐμπεδοκλῆς Πυθαγόρειος ἦν, φα- f. 19v
νερὸν ὅτι κατὰ τὴν διάταξιν τῶν Πυθαγορείων ἔλεγε περικεκαλυμμένως·
10 οὐδὲ γὰρ ἐβούλοντο τὴν ἑαυτῶν σοφίαν καταδηλον καὶ σκυτεῦσι γενέσθαι. ἔλεγον οὖν καὶ οἱ Πυθαγόρειοι ἀρχὰς τῶν ἀγαθῶν καὶ τῶν κακῶν· καὶ τῶν μὲν εἰδῶν ἀρχὴν ἀγαθὴν ἔλεγον, τῆς δὲ ὕλης κακήν, ἐπειδὴ πρὸς τῇ διαιρέσει ἡ ὕλη, ὥσπερ καὶ σὺ αὐτός, ὦ σοφώτατε Ἀριστότελες, λέγεις, ὅτι ἁπλῶς γένεσίς ἐστιν ἡ τῶν κρειττόνων, τὶς δὲ γένεσις ἡ τῶν χειρόνων·
15 διὸ τοῦ μὲν θερμοῦ ἁπλῶς ἐστι γένεσις τοῦ δὲ ψυχροῦ τὶς γένεσις ὡς χείρονος. οὕτως οὖν καὶ οἱ Πυθαγόρειοι συμβολικῶς τὰ μὲν κρείττονα ἔλεγον ὑπὸ τοῦ ἀγαθοῦ γίνεσθαι, τὰ δὲ χείρονα ὑπὸ τοῦ κακοῦ· τῷ ὄντι γάρ, ὡς καὶ ὁ Πλάτων φησίν, ἐν παρυποστάσει ὑπάρχουσι, καὶ περὶ τόνδε τὸν θνητὸν τόπον περιπολοῦσιν. ἄλλως τε δὴ οὐδὲ ἄκρατόν ἐστι κακόν·
20 ἡ γὰρ μοιχεία καὶ ὁ φθόνος κακὰ μὲν ὡς πρὸς τὰ μερικά, ἀγαθὰ δὲ ὡς πρὸς τὸ πᾶν, διότι ἡ ψυχὴ τοῦ παθόντος ἀξία ἦν παθεῖν, καὶ τοῦ ποιήσαντος ποιῆσαι. ἄλλως τε δὴ τῷ σώματι οὐκ ἔστι κακὸν ἡ μοιχεία. ὁμοίως φησὶ καὶ ἐπὶ τοῦ βλασφημοῦντος, ὅτι τοῖς ὀργάνοις οὐκ ἔστι φαῦλον· ἡ γὰρ ἐνέργεια κρατύνει, ὥς φασιν ἰατροί 'κίνησις κρατύνει, ἀργία τήκει',
25 ὥστε οὐδὲν παντελῶς ἐστιν ἄκρατον κακόν. ἔπειτα εἰ τὸ νεῖκος, (ὥς) φησιν Ἐμπεδοκλῆς, αἴτιον τῷ κόσμῳ τοῦ εἶναι, ὁ δὲ κόσμος οὐ κακόν, δῆλον ὅτι οὐχ ὑποτίθεται ἀρχὰς δύο, μίαν τοῦ ἀγαθοῦ καὶ μίαν τοῦ κακοῦ. ἡ τοίνυν μοιχεία προηγουμένως διὰ τὴν τοῦ σώματος θεραπείαν γίνεται· οὐ γὰρ διὰ τὸ κακὸν τὸ ἐξ αὐτῆς συμβαῖνον· ὥστε παρυφίσταται τὸ κακόν,
30 ὡς φησι Πλάτων.

p. 984b32 Ἐπειδὴ καὶ τὰ ἐναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐφαίνετο.

Ἐπειδὴ ἑώρα καὶ τὰ ἐναντία τῇ φύσει τῶν ἀγαθῶν ἐνόντα, καὶ οὐ μόνον τάξις καὶ τὸ καλόν, ἀλλὰ καὶ ἀταξία καὶ τὸ αἰσχρόν, καὶ πλείονα τὰ κακὰ τῶν ἀγαθῶν καὶ τὰ φαῦλα τῶν καλῶν, ὁ Ἐμπεδοκλῆς ἐν ταῖς

9 περικεκαλυμμένων libri 13 λέγεις] de gener. et corr. A 3 p. 318b3 sqq.
14 τὶς] τῆς libri γενέσεως B 18 Πλάτων] verbo παρυπόστασις Plato non utitur; in Theaeteto p. 176 A haec habet: τὴν θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον [τὰ κακὰ] περιπολεῖ ἐξ ἀνάγκης 19 οὐδὲ scripsi: οὔτε libri 25 ὡς addidi 34 Ἐμπεδοκλῆς—ἐκλαμβάνοι (p. 31,4) Alexandri sunt

ποιητικαῖς ἀρχαῖς καὶ τὴν τῶν κακῶν ποιητικὴν ἀρχὴν ἔθετο. ἐπεὶ οὖν f. 20r
ἐν τοῖς οὖσίν ἐστι καὶ τὰ κακά, Ἐμπεδοκλῆς ἐν τοῖς αἰτίοις ἔθετο οὐ μόνον τὴν τῶν ἀγαθῶν ἀρχήν, ἥτις ἐστὶν ἡ φιλία, ἀλλὰ καὶ τὴν τῶν κακῶν, ὅ ἐστι τὸ νεῖκος. εἰ γάρ τις ἐξ ὧν φησι τὴν διάνοιαν αὐτοῦ ἐκλαμβάνοι καὶ
5 μὴ πρὸς ἃ ψελλίζεται λέγων Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν φιλίαν αἰτίαν οὖσαν τῶν ἀγαθῶν κατ' αὐτόν, τὸ δὲ νεῖκος τῶν κακῶν· ὥστε εἴ τις φαίη τὸν Ἐμπεδοκλέα καὶ τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς ⟨λέγειν⟩. τάχα ἂν καλῶς λέγοι. εἴπερ τὸ τῶν ἀγαθῶν ἁπάντων αἴτιον αὐτὸ τὸ ἀγαθόν ἐστι καὶ τῶν κακῶν τὸ κακόν. εἰπὼν δὲ αὐτὸς περὶ τοῦ ἀγαθοῦ,
10 περὶ τοῦ κακοῦ ἡμῖν προσθεῖναι κατέλιπε λέγειν τὸ αἴτιον κατ' Ἐμπεδοκλέα· ἐπὶ μὲν γὰρ τοῦ ἀγαθοῦ εἶπεν αἴτιον, ἐπὶ δὲ τοῦ κακοῦ οὐκέτι. ψελλίζεσθαι δὲ εἶπε τὸ μὴ σαφῶς λέγειν· οὕτω γὰρ οἱ ψελλιζόμενοι λαλοῦσιν. ἐὰν τις οὖν, φησί, προσσχῇ τῷ βάθει τῆς διανοίας τοῦ ἀνδρός, τοῦτο αὐτὸν εὑρήσει λέγοντα.

15 p. 985a 10 Οὗτοι μὲν οὖν ὥσπερ λέγομεν.

Τούτους, φησίν, Ἐμπεδοκλέα τε καὶ Ἀναξαγόραν καὶ ἔτι Ἑρμότιμον καὶ τῶν ποιητῶν Ἡσίοδόν τε καὶ Παρμενίδην φαμὲν δύο αἰτίων ἐφάψασθαι ὑλικοῦ τε καὶ ποιητικοῦ, περὶ ὧν αἰτίων ἡμεῖς εἰρήκαμεν ἐν τοῖς Περὶ φύσεως λόγοις, ὅτι τέσσαρα ὑπάρχουσι τὰ αἴτια, ὑλικόν, ποιητικόν, εἰδικόν,
20 τελικόν. καὶ διεξέλθωμεν εἰ ἄρα δυνηθείημεν αὐτοὺς εὑρεῖν ἄλλο τι αἴτιον λέγοντας πλέον ὧν ἡμεῖς εἰρήκαμεν καὶ τοῦτο ἀποθέσθαι. οὔτε δὲ πάντα εἰρήκασιν, ἀλλὰ μόνον δύο, καὶ ταῦτα ἀδιαρθρώτως εἰρήκασιν, καθάπερ, φησίν, οἱ πυκτεύοντες. ὥσπερ γὰρ οἱ ἀσθενῶς ἔχοντες ἐν τῷ πυκτεύειν πολλάκις εἰκῇ φερόμενοι κατὰ τύχην τινὰ παρέχουσι καιρίαν πληγὴν κατὰ
25 ἀναγκαίου μορίου, οὕτως καὶ οὗτοι περὶ τῶν δύο αἰτιῶν κατὰ τύχην τινὰ εἰρήκασι καὶ οὐκ ἐπιστημονικῶς. ἀμέλει τοι Ἀναξαγόρας ἔν τισιν ἀπορῶν ἀποδοῦναι τὰς αἰτίας, τὸν νοῦν αἴτιον ἔλεγεν τοῦ παντός· ἐρχόμενος δὲ f. 20v
εἰς τὰ κατὰ μέρος, ὥς φησι καὶ Πλάτων ἐν Φαίδωνι, αὐθις ὑλικὰ αἴτια ἀπεδίδου, μηδαμοῦ μνημονεύων τοῦ νοῦ, ὡς μὴ ἔχων ἐπιστήμην. ἔδει
30 γὰρ πανταχοῦ τάττειν αὐτὸν καὶ πάντων αἴτιον αὐτὸν ἀποδεικνύναι. μόνον οὖν τοῦ ὑλικοῦ αἰτίου ἐμνημόνευσαν καὶ τοῦ ποιητικοῦ, καὶ τούτων ἀμυδρῶς καὶ οὐ σαφῶς, ἀλλ' ὥσπερ οἱ ἀγύμναστοι ἐν ταῖς μάχαις. καὶ γὰρ ἐκεῖνοι πολλάκις περιφερόμενοι παρέχουσι πληγὰς δυναμένας ἀδικεῖν. ὡς εἴρηται. ἀλλ' οὔτ' ἐκεῖνοι τοῦτο ποιοῦσιν ἐξ ἐπιστήμης, οὔτε οὗτοι ἐοί-

1 ἐπειδὴ γὰρ Alex. 4 ἥ ἐστι Alex. vulg.: ὅ ἐστι cod. L αὐτοῦ deest apud Alex. 7 λέγειν ex Aristotele: om. libri 9 εἰπὼν — κατέλιπε 10 Alexandri sunt αὐτός] οὕτως Alex. vulg.: οὗτος cod. L 11. 12 ψελλίζεσθαι — λαλοῦσιν ex Alexandro, immutato ordine sententiarum 11 ψελλίζεσθαι Alex.: ψελλίζεται libri 13 προσχῇ libri τοῦτον libri 16. 17 τούτους — Παρμενίδην ex Alexandro 18. 19 ἐν τοῖς Περὶ φύσεως λόγοις] Phys. B 3. 7 21 πάντα] ταῦτα B 24 τινὰ] τινὶ libri, sed cf. v. 25 28 Plato Phaedo p. 98B sqq. 29 ἀποδέδωκε B 31 ἐμνημόνευσε B

κασι λέγειν εἰδέναι ἃ λέγουσι· σχεδὸν γὰρ ἐν μικροῖς πάνυ κέχρηνται τοῖς ποιητικοῖς αἰτίοις, ὅπερ οὐκ ἔδει, ἀλλ' ἐπὶ πάντων τάττειν. μηχανῇ δὲ τὸν Ἀναξαγόραν εἶπε τῷ νῷ χρῆσθαι, ὥσπερ ἐν ταῖς τραγῳδίαις οἱ δαίμονες παράγονται ἀπὸ μηχανῆς [καὶ] ἐν τοῖς ἀπόροις, ⟨οἷον⟩ ἐν τῷ Ἱππολύτῳ
5 ἐφάνη ἡ Ἄρτεμις ἀποροῦντι τῷ Θησεῖ· οὕτως οὖν καὶ ὁ Ἀναξαγόρας ἡνίκα ἀπορεῖ πρὸς τὴν κοσμοποιίαν διά τινα αἰτίαν ἐξ ἀνάγκης, τότε ἕλκει τὸν νοῦν. ἐν δὲ τοῖς κατὰ μέρος πάντα μᾶλλον αἰτιᾶται ἤπερ τὸν νοῦν. Ἐμπεδοκλῆς δὲ πλέον μὲν ἢ κατὰ Ἀναξαγόραν κέχρηται τοῖς ποιητικοῖς αἰτίοις, οὐ μὴν οὐδὲ οὗτος ἱκανῶς λέγει. φησὶ γὰρ τὴν φιλίαν συγκρίσεως
10 εἶναι αἴτιαν, τὸ δὲ νεῖκος διακρίσεως, πολλάκις δὲ τὸ ἐναντίον ὁρῶμεν γινόμενον τὴν φιλίαν διακρίσεως· αὕτη γὰρ διακρίνει τὰ εἴδη ἐκ τῆς ὕλης κατ' αὐτὸν καὶ ποιεῖ τὸν σφαῖρον. πάλιν τὸ νεῖκος συγκρίνει τὰ στοιχεῖα· τὸ γὰρ πῦρ τὸ τῇδε κἀκεῖσε ὑπάρχον εἰς ἓν συνάγει, καὶ τὰ εἴδη πάλιν τῇ ὕλῃ ἐπιτίθησιν. οὐδὲ αὐτὸν οὖν ἱκανῶς φησιν εὑρίσκειν τὸ ὁμολογού-
15 μενον· ἔδει γὰρ τὴν φιλίαν ἐν πᾶσι συγκρίσεως αὐτῷ αἰτίαν εἶναι, τὸ δὲ νεῖκος διακρίσεως· οὐ μὴν τοῦτο ποιεῖ, ἀλλὰ πολλαχοῦ αὐτῷ ἡ μὲν φιλία διακρίνει, τὸ δὲ νεῖκος συγκρίνει. καὶ λέγει ἐν τίσιν. ὅταν μὲν γὰρ ὑπὸ τοῦ νείκους ἐκ τοῦ ἑνὸς εἰς τὰ στοιχεῖα διίστηται καὶ διαιρῆται καὶ f. 21r
χωρίζηται, τότε τὰ τέως τῶν στοιχείων μόρια ἀνακεκραμένα ἀλλήλοις
20 (οὕτως γὰρ ἦν ἓν τὰ πάντα) συγκρίνεται καὶ συνάγεται εἰς ταὐτόν, τὰ μόρια τὰ τοῦ πυρὸς ὡς εἶναι μετ' ἀλλήλων, καὶ τὰ τοῦ ἀέρος ὡσαύτως, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ἑκάστων· οὕτως γὰρ ἡ εἰς τὰ στοιχεῖα τοῦ ἑνὸς διαίρεσις. καὶ οὕτως μὲν αὐτῷ τὸ νεῖκος οὐ διακρίσεως μᾶλλον ἀλλὰ συγκρίσεως ⟨αἴτιον⟩. πάλιν ἡ φιλία ταῦτα τὰ σώματα πρῶτον αὐτὴ διαιρεῖ καὶ
25 κατακερματίζει καὶ διακρίνει. οὐ γὰρ δή γε ὁλόκληρα ὄντα φυλάττει, ἐπεὶ τὰ αὐτὰ ἔμενον· οὕτως δὲ οὐκ ἦν μεταβολή. Ἐμπεδοκλῆς οὖν παρὰ τοὺς πρότερον πρῶτος ταύτην τὴν αἰτίαν τῶν κακῶν διελὼν εἰσήγαγεν, οὐ μίαν

---

2 μηχανῇ]—ἀπόροις (4) Alexandri sunt 3. 4 οἱ θεοὶ Alex. 4 καὶ delevi Alexandrum secutus ἀπόροις Alex.: ἀγροῖς libri ἐν τῷ—ἐπιτίθησιν (14) Alexandri sunt ex ea recensione, quae traditur codice L οἷον ex Alex. L addidi ἐν τῷ Ἱππολύτῳ] Eurip. Hipp. 1283 6 διὰ τίνα ποτ' αἰτίαν ἐξ ἀνάγκης ἐστί Alex. L 7 post νοῦν (ante ἐν) addit Alex. L λέγων αὐτὸν αἴτιον εἶναι 8 ἐπὶ πλέον μὲν Ἀναξαγόρου Alex. L χρῆται Alex. L τοῖς ποιητικοῖς τῇ τε φιλίᾳ καὶ τῷ νείκει Alex. L 9 οὐ μὴν οὐδ' αὐτὸς ἱκανῶς ὥστε τὰς ἀποδόσεις τῶν αἰτίων τοῖς ποιητικοῖς ἀποδιδόναι οὔτε τὸ ἀκόλουθόν τε καὶ ὁμολογούμενον σώζειν, ἀλλὰ πολλαχοῦ μετατρέπει τὴν τάξιν καὶ τὰ προσήκοντα τῇ φιλίᾳ ἀποδίδωσι τῷ νείκει, τὰ δὲ τῷ νείκει τῇ φιλίᾳ Alex. L 11 διακρίσεως αἰτίαν Alex. L 13 κἀκεῖσε καὶ διεσπαρμένον ὑπάρχον ἐν τῷ σφαίρῳ συνάγει εἰς ἓν Alex. L 13. 14 καὶ τὰ εἴδη ἐπιτίθησι καὶ συνάπτει τῇ ὕλῃ Alex. L 14 οὐδὲ αὐτὸν—ὁλόκληρα ὄντα (25) ex Alexandri vulgata ἱκανῶς [χρήσασθαι τοῖς ποιητικοῖς αἰτίοις], ἀλλ' οὐδὲ συνέχειν τὸ ὁμολογούμενον Alex. φησιν addidi 15 μὲν γὰρ Alex. 17 συγκρίνει δὲ τὸ νεῖκος Alex. 19 μόρια] ὅμοια Alex. 21 τοῦ πυρὸς εἰς πῦρ καὶ τὰ ὅμοια τοῦ ἀέρος εἰς ἀέρα, ὡς εἶναι μετ' ἀλλήλων τὰ τοῦ ἀέρος καὶ τὰ τοῦ πυρὸς ὁμοίως· ὡσαύτως καὶ τὰ τῶν ἄλλων ἑκάστου Alex. 23. 24 ἢ συγκρίσεως Alex. 24 αἴτιον ex Alexandro addidi πάλιν δ' αὖ ἡ φιλία, ὅταν τὰ αὐτὰ σώματά τε καὶ στοιχεῖα συγκρίνῃ τε καὶ εἰς ἓν συνάγῃ, πρῶτον αὐτὰ διαιρεῖ τε κτλ. Alex. 26 fort. ἔμενον ἄν

ποιήσας τὴν ποιητικὴν ἀρχήν, ἀλλὰ δύο ἐναντίας ἀλλήλαις, τὴν τῶν ἀγαθῶν καὶ τὴν τῶν κακῶν, τῶν πρὸ αὐτοῦ μηδὲν τοιοῦτον ποιησάντων. πάλιν δὲ τὰ ὑλικὰ στοιχεῖα τέσσαρα πρῶτος εἰσηγήσατο, οὐ μὴν κέχρηται αὐτοῖς ὡς τέτρασιν, ἀλλ' ὡς δυσίν· τὸ γὰρ πῦρ λέγει θερμόν, τὰ δὲ ἄλλα ψυχρά, ὡς εἴρηται ἡμῖν ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς. καὶ τοῦτο ἔστιν εὑρεῖν κείμενον ἐν τοῖς ἔπεσιν αὐτοῦ.

p. 985b4 Λεύκιππος δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος.

Εὐθύνας τὰς Ἐμπεδοκλέους δόξας καὶ Ἀναξαγόρου μετέρχεται λοιπὸν ἐπὶ τὸν Λεύκιππον καὶ τὸν μαθητὴν αὐτοῦ Δημόκριτον καί φησιν ὅτι στοιχεῖα τῶν ὄντων ὑλικὰ ἔλεγον τὰς ἀτόμους καὶ τὸ κενόν· καὶ τὰς μὲν ἀτόμους ἔλεγον ὄν, τὸ δὲ κενὸν οὐκ ὄν. καὶ ἔλεγον ὅτι οὐκ ἔστιν ἐπὶ πλέον τὸ ὂν τοῦ μὴ ὄντος, ἐπειδὴ οὔτε τὸ σῶμα, τουτέστιν αἱ ἄτομοι, πλείονες ὑπάρχουσι τοῦ κενοῦ· πανταχοῦ γὰρ καὶ κενὸν καὶ ἄτομοι ὑπάρχουσιν. οὕτως φησὶ καὶ ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ, ὅτι οὐκ ἔστιν ἐπ' ἔλαττον τὸ μὴ ὂν τοῦ ὄντος· μὴ ὂν δὲ λέγει τὸ κατὰ τὴν ἑτερότητα· διὰ πάντων γὰρ τῶν ὄντων πεφοίτηκεν. πάντα γὰρ τὰ ὄντα ὡς πρὸς ἄλληλα παραβαλλόμενα μὴ ὄντα ὑπάρχουσιν· ὁ γὰρ ἄνθρωπος μὴ ὂν ἐστιν ὡς πρὸς l. 21v ἵππον. τὸ δὲ μηδαμῇ μηδαμῶς ὂν οὔτε ῥητὸν λέγει εἶναι οὔτε δοξαστόν. περὶ οὗ ὁ Δημόκριτός φησι μὴ εἶναι ἐπ' ἔλαττον τοῦ ὄντος. αἴτια οὖν ταῦτα ὑλικὰ ὑποτίθενται τὰς ἀτόμους καὶ τὸ κενὸν οἱ περὶ τὸν Δημόκριτον. καὶ καθάπερ, φησίν, οἱ ἓν ποιοῦντες τὴν ὑποκειμένην οὐσίαν τὰ ἄλλα γεννῶσι τοῖς πάθεσιν αὐτῆς διὰ τοῦ μανοῦ καὶ τοῦ πυκνοῦ, ὄντων ποιητικῶν ἀρχῶν, οὕτω καὶ οὗτοι τὰς διαφορὰς αἰτίας τῶν ἄλλων εἶναί φασιν. ταύτας δὲ τρεῖς εἶναι λέγουσι, σχῆμα καὶ τάξιν καὶ θέσιν, καὶ διαφέρειν φασὶ τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ, Ἀβδηριτικαῖς φωναῖς. τὸν οὖν ῥυσμὸν σχῆμα καλοῦσι, τὴν δὲ διαθιγὴν τάξιν, τὴν δὲ τροπὴν θέσιν. καὶ ἐντεῦθεν τὰ διάφορά φασι σχήματα ἀποτελεῖσθαι, καί φασιν ὅτι διαφέρει τὸ Α τοῦ Ν σχήματι, τὸ δὲ ΑΝ τοῦ ΝΑ τάξει, τὸ δὲ Ζ τοῦ Ν θέσει. τί δὲ τὸ αἴτιον τῆς κινήσεως τῆς διαφορᾶς ταύτης οὐκ εἰρήκασιν, ἀλλὰ καὶ οὗτοι ὥσπερ οἱ ἄλλοι ἐρραθύμησαν· τὸ γὰρ αἴτιον τοῦ εἰδοποιεῖσθαι τοιῶσδε τὴν ὕλην καὶ μετατάττεσθαί ἐστι τὸ ποιητικόν, περὶ οὗ οὐδὲν παντελῶς εἰρήκασιν. διὸ καὶ Ἐμπεδοκλέα εὐθύνει λέγοντα τοῦ μὲν σφαίρου τὴν φιλίαν, τοῦ δὲ αἰσθητοῦ κόσμου τὸ νεῖκος. φησὶν οὖν πρὸς αὐτὸν ὅτι ἐπειδὴ πάντα τὸ ἓν ὑπερβέβηκεν, εἰπέ μοι, ποῖόν ἐστι τὸ ἁπλῶς αἴτιον τούτων; περὶ μὲν οὖν τῶν δύο αἰτίων ἐπὶ τοσοῦτον ἔοικεν ἐζητῆσθαι πρότερον.

---

5 de gen. et corr. B 3 p. 330b20 14 Plato Reip. E 22 p. 479 A sqq. 16 πεφοίτηκεν] πέφυκε B 16. 17 παραλαμβανόμενα B 26 αὐδηριτικαῖς libri 28 ἀποτελεῖν B

p. 985b23 Ἐν δὲ τούτοις καὶ πρὸ τούτων οἱ καλούμενοι Πυθαγόρειοι.

Ἐντεῦθεν πάλιν ἐπὶ τοὺς Πυθαγορείους ἔρχεται καί φησιν ὅτι οἱ Πυθαγόρειοι στοιχεῖα τῶν ὄντων τοὺς ἀριθμοὺς ὑπετίθεντο ἀντὶ πυρὸς καὶ ὕδατος καὶ γῆς καὶ ἀέρος, καὶ ἐσπούδαζον πάντα εἰς ἀριθμοὺς ἀνάγειν. λέγομεν δὲ ἡμεῖς ὅτι οἱ Πυθαγόρειοι οὐκ ἐβούλοντο κατάδηλον ποιῆσαι τὴν ἑαυτῶν σοφίαν καὶ σκυτεῦσι. τούτου χάριν συμβολικῶς παρεδίδοσαν τὰ μαθήματα, ὥσπερ οἱ ποιηταὶ περικεκαλυμμένως ἔλεγον, καὶ εἰ ἐμμένοι f. 22r τις τῷ φαινομένῳ, λώβην γεννᾷ τῇ ψυχῇ. καὶ ἐκέχρηντο τοῖς ἀριθμοῖς. ἐπειδὴ πασῶν τῶν ἐπιστημῶν πρωτίστη ἐστίν, ὡς μεμαθήκαμεν ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ, ἡ ἀριθμητική. κέχρηται γὰρ ὁ γεωμέτρης ἀριθμοῖς, αὕτη δὲ μεγέθεσιν οὐ κέχρηται. ἐπειδὴ τοίνυν οἱ ἀριθμοὶ ὁριστικοὶ καὶ περαντικοὶ ὑπάρχουσι τῶν ὑπ' αὐτῶν ἀριθμουμένων, τοιαῦτα δὲ ὑπάρχουσι καὶ τὰ εἴδη, ὁριστικὰ καὶ συνεκτικὰ τῆς ὕλης, διὰ τῶν ἀριθμῶν τὰ εἴδη τὰ φυσικὰ ἐβούλοντο δηλοῦν· οὐ γὰρ δὴ καὶ τὴν ὕλην. πῶς γὰρ οἷόν τε ἐστὶν ἐξ ἀριθμῶν συγκεῖσθαι τὰ φυσικὰ πράγματα; ἀμέλει τοι καὶ τὸν πέντε ἀριθμὸν ἔλεγον δικαιοσύνην. ἐπειδὴ μέσος ἐστὶ τοῦ δέκα, ἥτις δεκὰς δεκτικὴ ἐστι πάντων τῶν ἀριθμῶν. ἐπεὶ οὖν τὸ μέσον ἔχει τοῦ παντὸς ὁ πέντε ἀριθμός, ἐκάλουν αὐτὸν δικαιοσύνην οἷον δίχην τινὰ οὖσαν. καὶ δικαστὴς ἐντεῦθεν λέγεται, ὁ διχάζων καὶ ὁρίζων τὰ κατ' ἀξίαν ἑκάστῳ. πάλιν δὲ ἐκάλουν τὸν ἑπτὰ ἀριθμὸν καιρόν, ἐπεὶ ἡ σελήνη, ἡνίκα ἐστὶν ἑπτὰ ἡμερῶν, τετραγωνίζει τὸν ἥλιον· δύο ἥμισυ γὰρ ἡμέρας ποιεῖ ἐν ἑκάστῳ ζῳδίῳ. διὸ καὶ κρίσιμός ἐστιν ἡ ἑβδόμη ἡμέρα καὶ ἡ δισέβδομος. πάλιν δὲ καὶ τὰ ἑπταμηνιαῖα βρέφη ζῶσι καὶ ἡ ἀρχὴ τῆς ἀποκυήσεώς ἐστιν ὁ ἕβδομος μήν. πρὸς ἐπὶ τούτοις μέχρι τῶν ἑπτὰ ἐνιαυτῶν ῥίπτουσιν οἱ παῖδες τοὺς ὀδόντας. εἶτα μέχρι τῶν δεκατεσσάρων ἄρχονται μειράκια γίνεσθαι. λοιπὸν ἡ τρίτη ἑβδομὰς ποιεῖ αὐτοὺς σπερμαίνειν. ἔλεγον οὖν τὴν μονάδα τὸν νοῦν διὰ τὸ ἀμερὲς καὶ τὸ πρῶτον, τὴν δὲ δυάδα ἔλεγον εἶναι τὴν ψυχήν, ἐπειδὴ ἔχει τὸ ποθέν ποι· ἄρχεται γὰρ ἀπὸ προτάσεων καὶ τελευτᾷ ἐπὶ συμπέρασμα. τὸν δὲ τρία ἀριθμὸν ἔλεγον τὴν δόξαν, ἐπεὶ οὐχ ὥρισται, ἀλλὰ πρώτη ἐστὶν ἀδιαίρετος, καὶ οὐκ ἔχει βεβαίως, εἴτε ἀθάνατός ἐστιν ἡ ψυχὴ εἴτε θνητή, καὶ εἴτε ἄιδιος ὁ κόσμος f. 22v εἴτε φθαρτός, ὥσπερ ἐνταῦθα καὶ ἔστι. τὸν δὲ τέσσαρα ἀριθμὸν ἔλεγον τὸ σῶμα τὸ ἁπλῶς. τὸν δὲ πέντε τὸ φυσικὸν σῶμα. τὸν δὲ ἓξ τὸ ἔμψυχον, ἐπειδὴ ὁ ἓξ πρῶτός ἐστιν ἀπὸ τριάδος καὶ δυάδος πολυπλασιαζό-

3 ἐντεῦθεν—ἀνάγειν (5) Alexandri sunt ex ea recensione, quae traditur codice L 4 Πυθαγόρειοι τῶν ὄντων ἀρχὰς Alex. L 5 ἀγαγεῖν Alex. L 10. 11 ἐν τῇ Ἀποδεικτικῇ] videtur respicere ad Anal. post. A 27 p. 87a35 11 ἡ ἀριθμητική Belger: καὶ ἐν τῇ ἀριθμητικῇ ACD: ἐν om. B ὁ γεωμέτρης] μήποτε ἡ ἡ ἀριθμητική in margine habent AD, post γὰρ inserit C 14. 15 ὁριστικὰ—εἴδη om. D 19 δίχην τινὰ οὖσαν] sic libri omnes, cf. Ethic. Nicom. E 7 p. 1132a30 sqq., Etym. M. p. 275,36 20 διάζων B

μενος, τουτέστιν ἀπὸ περιττοῦ καὶ ἀρτίου. ἔστι δὲ ἡ ψυχὴ πρὸς τῷ περιττῷ ὡς ἀδιαίρετος, τὸ δὲ σῶμα πρὸς τῷ ἀρτίῳ ὡς διαιρετόν. ἐπεὶ οὖν ἐστιν ἐν τοῖς οὖσι καὶ ἕνωσις καὶ ὁμοιότης καὶ εἰδοποιία καὶ ταυτότης, ἔστι δὲ καὶ ἑτερότης καὶ ἀνομοιότης καὶ πάντα τὰ τοιαῦτα, τὴν μὲν μο-
5 νάδα ἔλεγον ἀρχὴν εἶναι τῆς ἑνώσεως καὶ τῆς ὁμοιότητος καὶ τῆς εἰδοποιίας καὶ τῆς ταυτότητος καὶ πάσης συνεχείας ἁπλῶς, τὴν δὲ δυάδα ἔλεγον ἀρχὴν εἶναι τῆς ἑτερότητος καὶ διαιρέσεως καὶ ἀνομοιότητος. διὸ καὶ τὴν ὅλην δυάδα ἔλεγον, ἐπειδὴ αἰτία ἐστὶ τῆς διαιρέσεως. πάντων οὖν τὸ ἁπλῶς αἴτιον καὶ ἑνώσεως καὶ διαιρέσεως καὶ ὁμοιότητος καὶ ἀνομοιότητος
10 καὶ εἰδοποιίας ἀρχὴν καὶ αἰτίαν ἔλεγον εἶναι τὴν ἑνάδα, ἥτις ἐστὶ τὸ πρῶτον αἴτιον· δεῖ γὰρ εἶναι πρῶτον αἴτιον ἐν τοῖς οὖσιν. εἰ γὰρ ὑποθώμεθα εἶναί τι ἄλλο σὺν αὐτῷ, ἔσται οὕτως ἕνωσις καὶ οὐκέτι ἕν· ἀνάγκη δὲ πάντως ἓν εἶναι αἴτιον τὸ παρακτικὸν κοινῶς πάντων, καὶ ὁμοίων καὶ ἀνομοίων. εἰ γὰρ ἀριθμός ἐστι τὸ ἐκ μονάδων συγκείμενον πλῆθος, ἔστι δὲ
15 δύο, ἀνάγκη εἶναι καὶ ἕν, ἥτις ἐστὶν ἡ ἑνάς, τὸ πρῶτον αἴτιον τὸ παρακτικὸν πάντων. ὥστε κρεῖττόν ἐστιν ἡ ἑνὰς τῆς μονάδος· πολλὰ γὰρ πρῶτα εἶναι οὐ δύναται. πάλιν τοίνυν δέκα ἀριθμὸν ἐκάλουν τὸν κόσμον, ἐπεὶ ὥσπερ ὁ δέκα ἀριθμὸς δεκτικός ἐστι παντὸς ἀριθμοῦ, οὕτω καὶ ὁ κόσμος δεκτικός ἐστι πάντων τῶν εἰδῶν. τινὲς δέ φασιν ὅτι οἱ Πυθαγόρειοι, βου-
20 λόμενοι δεῖξαι ὅτι δέκα σφαῖραι ὑπάρχουσι διὰ τὸ ἀναγαγεῖν τὸν οὐρανὸν εἰς τὸν δέκα ἀριθμόν, ἔλεγον εἶναι τὴν ἀπλανῆ καὶ τὰς ἑπτὰ τῶν ἑπτὰ πλανήτων, καὶ τὴν ὑπὸ σελήνην (τουτέστι τὰ τέσσαρα στοιχεῖα), ἰδοὺ f. 23r
ἐννέα καὶ τὴν ἀντίχθονα· οὕτως γὰρ αὐτὴν ἐκάλουν, ὥς φησιν Ἀριστοτέλης. εἰδέναι μέντοι γε χρὴ ὅτι οἱ γνήσιοι Πυθαγόρειοι ἀντίχθονα ἐκά-
25 λουν τὴν σεληνιακὴν σφαῖραν, ἐπειδὴ ὥσπερ ἡ γῆ ἀντιφράττουσα αἰτία γίνεται τῆς ἐκλείψεως τῆς σελήνης, οὕτω καὶ ἡ σελήνη ἀντιφράττουσα τῷ ἡλίῳ ποιεῖ αὐτὸν ἐκλιμπάνειν.

p. 985b23 Ἐν δὲ τούτοις καὶ πρὸ τούτων.

Ἢ ἐν τούτοις τοῖς χρόνοις γενόμενοι ἐν οἷς καὶ οἱ προλεχθέντες ἢ
30 πρὸ τούτων οἱ καλούμενοι Πυθαγόρειοι τῶν μαθημάτων ἁψάμενοι πρῶτοι ταῦτα προῆγον. καὶ ἐντραφέντες τοῖς μαθήμασι τὰς τῶν μαθημάτων ἀρχάς, τουτέστι τοὺς ἀριθμούς, ὑπέλαβον ἀρχὰς τῶν ὄντων εἶναι πάντων. τῶν μὲν γὰρ ἄλλων ἔλεγον εἶναι πρώτους τοὺς ἀριθμούς. ἐδόκουν οὖν ἐν τοῖς ἀριθμοῖς πολλὰ ὁμοιώματα θεωρεῖν τῶν ὄντων, οἷον ἐν τῷ πέντε τὴν
35 δικαιοσύνην, ὡς εἰρήκαμεν, ἐν τῷ ἑπτὰ τὸν καιρόν, ἐν τῷ δέκα τὸν κόσμον. πλέον οὖν ἐδόκουν θεωρεῖν ὁμοιώματα ἐν τοῖς ἀριθμοῖς ἤπερ ἐν πυρὶ καὶ ὕδατι καὶ γῇ, καὶ διὰ τοῦτο ἀρχὰς τοὺς ἀριθμοὺς ὑπετίθεντο, ὡς ἐλέγο-

2 διαιρετόν Belger: διαιρετῷ libri 6 ante ἁπλῶς add. καὶ BCD 8 τὸ] τῶν B
12 οὐκ ἔστιν ἕν B 23. 24 Ἀριστοτέλης] Metaph. A 5 p. 986a12: ὄντων δὲ ἐννέα μόνον τῶν φανερῶν διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσιν

μεν, ὅτι τὸ τοιόνδε πάθος τῶν ἀριθμῶν δηλοῖ δικαιοσύνην. καιρὸν οὖν ἔλεγον τὸν ἑπτὰ πάλιν· δοκεῖ γὰρ τὰ φυσικὰ τοὺς τελείους ἴσχειν καιροὺς καὶ γενέσεως καὶ τελειώσεως κατὰ ἑβδομάδα, ὡς ἐπ' ἀνθρώπου. καὶ γὰρ τίκτονται ἑπταμηνιαῖα καὶ ὀδοντοφυεῖ τοσούτων μηνῶν. ἀλλὰ καὶ ἥβᾳ περὶ δευτέραν ἑβδομάδα καὶ γενειᾷ περὶ τὴν τρίτην. καὶ τὸν ἥλιον δέ, ἐπεὶ αὐτὸς δοκεῖ τῶν καιρῶν αἴτιος εἶναι, ἐνταῦθά φασιν ἱδρῦσθαι ἐν τῇ ἑβδόμῃ σφαίρᾳ κατὰ τοῦτο, καθὸ ὁ ἑπτὰ ἀριθμός ἐστιν, ὃν καιρὸν λέγουσιν· ἑβδόμην γὰρ αὐτὸν τάξιν ἔχειν τῶν περὶ τὸ μέσον καὶ τὴν ἑστίαν κινουμένων σωμάτων· κινεῖσθαι γὰρ μετὰ τὴν τῶν ἀπλανῶν σφαῖραν ⟨καὶ⟩ τὰς πέντε τῶν πλανήτων· μεθ' ὃν ὀγδόην τὴν σελήνην καὶ τὴν γῆν ἐνάτην, μεθ' ἣν τὴν ἀντίχθονα. ἐπεὶ δὲ οὔτε γεννᾷ τινα τῶν ἐν τῇ δεκάδι ἀριθμῶν ὁ ἑπτὰ f. 23v οὔτε γεννᾶται ὑπό τινος αὐτῶν, διὰ τοῦτο καὶ Ἀθηνᾶν ἔλεγον αὐτόν. ὁ μὲν γὰρ δύο τὸν τέσσαρα, καὶ ὁ τρία τὸν ἐννέα καὶ τὸν ἕξ, καὶ ὁ τέσσαρα τὸν ὀκτὼ καὶ ὁ πέντε τὸν δέκα γεννᾷ, γεννῶνται δὲ ὁ τέσσαρα καὶ ἕξ καὶ ὀκτὼ καὶ ἐννέα καὶ δέκα· ὁ δὲ ἑπτὰ οὔτε τινὰ γεννᾷ οὔτε ἔκ τινος γεννᾶται τῶν ὑπὸ τὴν δεκάδα. τοιαύτη δὲ καὶ ἡ Ἀθηνᾶ· ἀμήτωρ γάρ, φασί. γάμον δὲ ἔλεγον τὸν ε̄, ὅτι ὁ γάμος σύνοδός ἐστιν ἄρρενος καὶ θήλεος. ἔστι δὲ κατ' αὐτοὺς ἄρρεν μὲν τὸ περιττόν, θῆλυ δὲ τὸ ἄρτιον· πρῶτος δὲ οὗτος ἐξ ἀρτίου πρώτου τοῦ δύο καὶ περιττοῦ πρώτου τοῦ τρία τὴν γένεσιν ἔχει· τὸ μὲν γὰρ περιττὸν ἄρρεν αὐτοῖς, ὡς εἶπον, τὸ δὲ ἄρτιον θῆλυ. νοῦν δὲ καὶ οὐσίαν ἔλεγον τὸ ἓν· τὴν γὰρ ψυχὴν ὡς τὸν νοῦν εἶπον. διὰ τὸ ὅμοιον δὲ καὶ μόνιμον πάντῃ καὶ ἀρχικὸν εἶναι τὸν νοῦν μονάδα τε καὶ ἓν ἔλεγον· ἀλλὰ καὶ οὐσίαν, ὅτι πρῶτον ἡ οὐσία. δόξαν δὲ τὰ δύο διὰ τὸ ἐπ' ἄμφω μεταβλητὴν εἶναι· ἔλεγον δὲ καὶ κίνησιν αὐτὴν καὶ ἐπίθεσιν. τὰς δὴ τοιαύτας τῶν πραγμάτων πρὸς τοὺς ἀριθμοὺς ἐαλέγοντες ὁμοιότητας ἀρχὰς αὐτῶν τοὺς ἀριθμοὺς ὑπέθεντο, πάντα τὰ ὄντα ἐξ ἀριθμῶν συγκεῖσθαι λέγοντες. ἀλλὰ καὶ τὰς ἁρμονίας κατὰ ἀριθμούς τινας ὁρῶντες συγκειμένας καὶ τούτων ἀρχὰς ἐπρέσβευον τοὺς ἀριθμούς· ἡ μὲν γὰρ διὰ πασῶν ἐν διπλασίονί ἐστι λόγῳ, ἡ δὲ διὰ πέντε ἐν ἡμιολίῳ, ἡ δὲ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ. ἔλεγον δὲ καὶ τὸν ὅλον οὐρανὸν κατὰ ἁρμονίαν συγκεῖσθαί τινα· τούτου γὰρ δηλωτικὸν αὐτῷ τὸ καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν τινὰ εἶναι· ἐξ ἀριθμῶν γὰρ καὶ κατ' ἀριθμοὺς αἱ ἁρμονίαι. τῶν γὰρ σωμάτων τῶν περὶ τὸ οὐράνιον σῶμα φερομένων ἐν ἀναλογίᾳ τὰς ἀποστάσεις

1 καιρὸν — ποιεῖν (p. 37,4) Alexandri sunt 1. 2 καιρὸν δὲ πάλιν ἔλεγον τὸν ἑπτά Alex. 3 ἑβδομάδας Alex. 4 τοσούτων ἐτῶν Alex. vulgata; sed ὀδοντοφυεῖ τὰ παιδία ἐν τῷ ἑβδόμῳ μηνὶ habet Alex. cod. L 6 αὐτὸς αἴτιος εἶναι τῶν καρπῶν, φησί. [φύσει coni. Bz] δοκεῖ Alex. 6. 7 ἐν τῇ — τοῦτο desunt apud Alex. 7. 8 ἕβδομος Alex. 9 κινεῖσθαι Alex.: κεῖσθαι libri καὶ ex Alexandro addidi τὰς πέντε τὰς Alex. 10 μεθ' ὃν] μεθ' ἣν Alex. 11 ἐπεὶ δὲ Alex.: δὲ om. libri 16 τῶν — δεκάδα desunt apud Alex. ἀμήτωρ γάρ, φασί] ἀμήτωρ καὶ ἀεὶ παρθένος Alex. 20 εἶπε Alex. 21. 22 τὸ μόνιμον δὲ καὶ τὸ ὅμοιον Alex. 24. 25 τὰς δὴ Alex.: τὰς δὲ libri 26 τοὺς Alex.: καὶ libri 27 κατ' ἀριθμόν τινα Alex. 28 ἐπρέσβευον] ἔλεγον Alex. 31. 32 οὐρανὸν εἶναι ἀριθμόν, διότι ἐξ ἀριθμοῦ καὶ κατ' ἀριθμὸν καὶ ἁρμονίαν Alex. 33 περὶ τὸ οὐράνιον σῶμα BCD, in rasura A: περὶ τὸ μέσον Alex.

ἐχόντων, καὶ τῶν μὲν θᾶττον περιφερομένων, τῶν δὲ βραδύτερον, ποιούντων δὲ καὶ ψόφον ἐν τῷ κινεῖσθαι τῶν μὲν βραδυτέρων βαρύν, τῶν δὲ ταχυτέρων ὀξύν, τοὺς ψόφους τούτους κατὰ τὴν τῶν ἀποστάσεων ἀναλο- f. 24r
γίαν γινομένους ἐναρμόνιον τὸν ἐξ αὐτῶν ἦχον ποιεῖν. διὰ τοῦτο οὖν φησιν
5 ἔτι δὲ τῶν ἁρμονιῶν ἐν ἀριθμοῖς ὁρῶντες τὰ πάθη, ἡμιόλιον καὶ ἐπίτριτον, ὡς εἰρήκαμεν. ἐπειδὴ οὖν τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς ἐφαίνετο κατὰ τὴν φύσιν ὅμοια, οἱ δὲ ἀριθμοὶ κατ' αὐτοὺς πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν στοιχεῖα τῶν ὄντων στοιχεῖα πάντων ὑπέλαβον, καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν. ὅσα
10 οὖν εἶχον ὁμολογούμενα δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν ὅλην τοῦ παντὸς διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον πρὸς τοὺς ἀριθμούς. καὶ εἴ τι ἐνέλειψεν, ἐπεθύμουν συνάψαι, τοῦ τελείαν διὰ τῶν ἀριθμῶν δεῖξαι τὴν πραγματείαν. οἷον ὡμολόγητο παρ' αὐτοῖς, ὅτι τέ-
15 λειος ἀριθμὸς ἡ δεκάς, ἐπεὶ πᾶσαν περιείληφε τὴν τῶν ἀριθμῶν φύσιν. διό φασιν ὅτι καὶ ἐν τῷ οὐρανῷ δέκα σφαῖραι ὑπάρχουσιν· αἱ δὲ φανεραὶ ἐννέα σφαῖραι ὑπάρχουσιν· διὰ γοῦν τοῦτο προστιθέασι καὶ τὴν ἀντίχθονα. διώρισται δὲ ἡμῖν περὶ τούτων ἀκριβέστερον ἐν τοῖς Περὶ οὐρανοῦ.

p. 986a13 Ἀλλ' οὐ δὴ χάριν ἐπερχόμεθα.

20 Ὁ σκοπὸς τῶν νῦν λεγομένων προφανὴς ὑπάρχει διὰ τῶν λεχθέντων· βούλεται γὰρ ὁ Ἀριστοτέλης ἐκθέσθαι τὰς τῶν παλαιοτέρων δόξας φυσικῶν τε καὶ Πυθαγορείων, ἵνα γνῶμεν δι' αὐτῶν, ποίας ἀρχὰς ὑπετίθεντο τῶν ὄντων, πότερον ὑλικὴν μόνην ἢ καὶ ποιητικὴν ἢ καὶ τὰς ἄλλας ἀρχάς. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι τούτου χάριν ἐπερχόμεθα τὰς τῶν παλαιοτέ-
25 ρων δόξας, ὅπως λάβωμεν καὶ παρὰ τούτων, τίνας ὑποτίθενται ἀρχὰς τῶν ὄντων, καὶ πῶς ἐμπίπτουσιν εἰς τὰς εἰρημένας αἰτίας, τουτέστιν ὑλικὴν ἢ ποιητικὴν ἤ τινα ἄλλην τοιαύτην.

p. 986a15 Φαίνονται δὲ καὶ οὗτοι τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι.

30 Ἐντεῦθεν ἐπὶ τοὺς Πυθαγορείους ἔρχεται καί φησιν ὅτι ἐξ ὧν εἰρή- f. 24v
κασιν οἱ Πυθαγόρειοι, φαίνονται τοὺς ἀριθμοὺς ἀρχὰς τῶν ὄντων ὑποτιθέμενοι καὶ ὡς ὑλικὸν αἴτιον καὶ ὡς πάθος καὶ ἕξιν. ἔλεγον γὰρ ὅτι στοιχεῖα τοῦ ἀριθμοῦ ὑπάρχουσι τὸ περιττὸν καὶ τὸ ἄρτιον, καὶ διὰ μὲν τοῦ ἀρτίου τὴν ὅλην συμβολικῶς ὑπετίθεντο, διὰ δὲ τοῦ περιττοῦ τὸ εἶδος.
35 ἐπεὶ τοίνυν ὁ ἄρτιος ἀριθμός ἐστι διαιρετός, τοιαύτη δὲ καὶ ἡ ὅλη ἐπ' ἄπειρον διαιρετή, καὶ αὕτη γίνεται αἰτία τῆς τῶν εἰδῶν διαιρέσεως (ἀδιαίρετον γὰρ ὑπάρχει τὸ εἶδος, γινόμενον δὲ ἐν τῇ ὅλῃ διαιρεῖται καὶ συν-

1 φερομένων Alex. 18 Περὶ οὐρανοῦ B 13 p. 293a23 sqq. 21 τῶν om. CD προτέρων B 25 περὶ BCD 35 — p. 38,1] fort. ὅλη (ἐπ' ἄπειρον γὰρ διαιρετή κτλ. ἄλλα τοιαῦτα)

διίσταται εἰς πόδας καὶ χεῖρας καὶ κεφαλὴν καὶ ὅσα ἄλλα τοιαῦτα) διὰ ταύτην οὖν τὴν αἰτίαν διὰ μὲν τῆς δυάδος συμβολικῶς τὴν ὕλην ἔλεγον, διὰ δὲ τοῦ περιττοῦ τὸ εἶδος· ὥσπερ γὰρ ὁ περιττὸς ἀριθμὸς ἀδιαίρετος ὑπάρχει, οὕτω καὶ τὸ εἶδος αὐτὸ καθ' αὑτὸ ἀδιαίρετον ὑπάρχει. ἀμέλει τοι καὶ αὐτὸ διορίζει καὶ περατοῖ τὴν ὕλην ἄπειρον οὖσαν τῷ ἑαυτῆς λόγῳ· ὅθεν ἕκαστον μέρος τοῦ σπέρματος τέλειον ἔχει τὸν τοῦ εἴδους λόγον. ἄλλως τε δὴ ὅτι ἀδιαίρετον ὑπάρχει τὸ εἶδος, προφανὲς καὶ ἐντεῦθεν· ὁρῶμεν γὰρ ὅτι καὶ ἐπὶ μεγάλου κύκλου καὶ ἐπὶ μικροῦ τὸ αὐτὸ εἶδός ἐστιν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ζῴων. εἰ δὲ ὑπῆρχε διαιρετόν, ἔδει ἄλλο εἶδος ἔχειν τὸν μέγαν κύκλον καὶ ἄλλο τὸν μικρόν. ὥστε πάλιν διὰ τοῦ περιττοῦ ἀριθμοῦ συμβολικῶς τὸ εἶδος ἐδήλουν. αὖθις δὲ αἰσθητῶς ἐδήλουν διὰ μὲν τῆς δυάδος τὴν ὕλην, διὰ δὲ τῆς μονάδος τὸ εἶδος, διὰ δὲ τῆς ἑνάδος τὴν φύσιν τὴν προαγωγόν· νοητῶς δὲ διὰ τῆς δυάδος τὴν ἀπειρίαν, ἐπειδὴ καὶ ἐν τοῖς νοητοῖς ἀπειρία ἐστὶ κατὰ τὴν πρόοδον ἤγουν κατὰ τὴν δύναμιν, διὰ δὲ τῆς μονάδος τὸ πέρας, ἐπειδὴ οὐ διεσπασμένα ἀπ' ἀλλήλων ὑπάρχουσιν ἀλλ' ἡνωμένα ἀφράστῳ, φησίν, ἑνώσει· διὸ παγκάλως φησὶν ὁ ποιητὴς τὸ "σειρὴν χρυσείην"· καὶ πάλιν ὁ Παρμενίδης "οὐ γὰρ ἔην, f. 25r
οὐκ ἔσται ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον". διὰ δὲ τῆς ἑνάδος τὴν πρωτίστην καὶ ἐξῃρημένην αἰτίαν· 'κλῦθι, κόδιμ' ἀριθμέ, πατὴρ μακάρων τε καὶ ἀνδρῶν.'

p. 986ᵃ18. Τούτων δέ.

Φησὶν ὅτι τοῦ ἀριθμοῦ τὸ μὲν πεπερασμένον ἔλεγον, τὸ δὲ ἄπειρον· πεπερασμένον μὲν τὸ περιττόν, ἐπεὶ τὸ εἶδος ἐδήλουν δι' αὐτοῦ, ἔστι δὲ πέρας τὸ εἶδος, εἴ γε καὶ περατοῖ τὴν ὕλην· τὸ δὲ ἄρτιον ἄπειρον ἔλεγον εἶναι, ἐπεὶ τὴν ὕλην ἐδήλουν δι' αὐτοῦ, ἥτις ἐπ' ἄπειρόν ἐστι διαιρετή. τὸ δὲ ἕν, φησίν, ἔλεγον ἐξ ἀμφοτέρων εἶναι τούτων, μᾶλλον δὲ ἀμφότερα ἐκ τοῦ ἑνός. ὅτι γὰρ τοῦτο λέγει, σαφῶς ἐδήλωσεν ἐπαγαγὼν τὸν δὲ ἀριθμὸν ἐκ τοῦ ἑνός· ἔστι δὲ ἀριθμὸς τὸ περιττὸν καὶ τὸ ἄρτιον, ὥστε τὸ περιττὸν καὶ τὸ ἄρτιον ἐκ τοῦ ἑνὸς ὑπάρχουσιν· πάντα γὰρ ἐκ τῆς πρωτίστης αἰτίας ὑπάρχουσιν. ἀριθμοὺς δέ, καθάπερ εἴρηται, τὸν ὅλον οὐρανὸν ὑπετίθεντο· ὥσπερ γὰρ ὁ κόσμος δεκτικός ἐστι τῶν εἰδῶν, οὕτω καὶ ὁ δέκα ἀριθμὸς ἐν ἑαυτῷ ἔχει πάντας τοὺς ἀριθμούς, οἷον δεχάς τις οὖσα. χρήσιμον οὖν αὐτῷ τὸ γνῶναι εἰς τί τῶν αἰτίων ἀνήγαγον καὶ οἱ Πυθαγόρειοι τὰς ἀρχάς· φαίνεσθαι δὲ ἐξ ὧν ἔλεγον, ὅτι ὁ ἀριθμὸς αὐτοῖς ἀρχὴ τῶν ὄντων ὡς ὕλη· ἐκ γὰρ τῆς τούτων συνθέσεως τὰ ἄλλα πάντα ἐγέννων. τὸ δὲ ὡς πάθη τε καὶ ἕξεις εἴη ἂν δηλωτικὸν τοῦ τοὺς ἀριθμοὺς αὐτοῖς καὶ τῶν παθῶν καὶ τῶν ἕξεων εἶναι γεννητικούς καὶ αἰτίους,

---

17 Il. Θ 19 Σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες Πάντες δ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι Παρμενίδης] fragm. v. 61 Mullach οὔ ποτ' ἔην οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν 18 ἔσται] ἔστιν libri, sed cf. p. 42,31 19 κλῦθι] hic versus in fragmentis collectis non invenitur 31 δεκάς BC 32 αἰτιῶν libri 33 φαίνεται B 35 τὸ δὲ — ἀριθμῷ (p. 39,7) Alexandri sunt 36 γεννητικοὺς Alex.: γνωστικοὺς libri

ὅπερ εἴη ἂν τὸ ὡς ποιητικὸν αἴτιον· κατὰ γὰρ τὰς ἐν τούτοις διαφορὰς τὰ πάθη τε καὶ τὰς ἕξεις ἐγγίνεσθαι τοῖς ἐξ αὐτῶν συγκειμένοις. τὰ γὰρ πάθη τε καὶ αἱ ἕξεις τῶν ἀριθμῶν τῶν ἐν τοῖς οὖσι παθῶν τε καὶ ἕξεων αἴτια, οἷον τὸ διπλάσιον, τὸ ἐπίτριτον, τὸ ἡμιόλιον. ἅπας οὖν ἀριθμὸς
5 ὕλη, πάθος δὲ τὸ ἄρτιον, ἕξις δὲ τὸ περιττὸν ὡς εἶδος, τὸ δὲ ἓν ἐξ ἀμφοῖν· διὸ καὶ ἀρτιοπέριττον ἡ μονάς· καὶ ὅτι ἐκ τοῦ ἑνὸς συγκειμένου ἐκ περιττοῦ τε καὶ ἀρτίου ἡ γένεσις τῷ ἀριθμῷ. ἐσαφήνισε δὲ τὴν δόξαν αὐτῶν διὰ f. 25v
τοῦ εἰπεῖν πεπερασμένον καὶ ἄπειρον· τὸ γὰρ ἄπειρον ἡ ὕλη, τὸ δὲ πέρας τὸ εἶδος.

10 p. 986a22. Ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι.

Ἄλλοι τινες Πυθαγόρειοι ὑποτίθενται δέκα ἀρχὰς εἶναι τῶν ἀγαθῶν καὶ δέκα τῶν κακῶν· οὐχ ὅτι τὰ κακὰ ἐν ὑποστάσει εἰσίν, ἀλλὰ τὰ ἥττονα κακὰ λέγει. οἷον πέρας πρὸς τῷ ἀγαθῷ, ἄπειρον πρὸς τῷ ἐναντίῳ, περιτ-
15 τὸν ἀγαθόν, ἄρτιον ἐναντίον, ἓν ἀγαθόν, πλῆθος οὐ καλόν, δεξιὸν καλόν, ἀριστερὸν ἐναντίον, ἄρρεν ἀγαθόν, θῆλυ ἐναντίον, ἠρεμοῦν ἀγαθόν (διὸ καὶ τὸ πρῶτον αἴτιον ἀκίνητον), κινούμενον ἐναντίον (οὐχ ὅτι κακόν, ἀλλ' ἧττον ἀγαθόν, εἴγε ἡ φύσις ἐν κινήσει ἐστίν), εὐθὺ ἀγαθόν, καμπύλον ἐναντίον, φῶς ἀγαθόν, σκότος κακόν, τετράγωνον ἀγαθόν, ἑτερόμηκες ἐναντίον ὡς
20 μὴ ἰσόπλευρον. δέκα οὖν ὑπετίθεντο, ἐπεὶ τέλειος οὗτος ὑπάρχει ὁ ἀριθμός. εἰς ταῦτα οὖν ἀνῆγον πάντα τὰ ὄντα. ἱστορεῖ δὲ ὅτι καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης τὸν αὐτὸν τρόπον τούτοις ἀπεφήνατο· εἰς γὰρ ἐναντίωσίν τινα ἕκαστον τῶν ὄντων ἀνάγειν ἐπειρᾶτο καὶ οὗτος, ὡς ἀρχῶν οὐσῶν τῶν ἐναντιώσεων. καὶ ἣ οὗτος παρὰ τῶν Πυθαγορείων παρέλαβεν ἢ οἱ Πυθα-
25 γόρειοι παρὰ τούτου· καὶ γὰρ κατέλαβεν ὁ Ἀλκμαίων γέροντα τὸν Πυθαγόραν. ἀπεφήνατο οὖν αὐτοῖς παραπλησίως, λέγων εἶναι δύο τὰ πολλὰ τῶν ὄντων, διότι τὰ ἐν γενέσει καὶ φθορᾷ ἐξ ἐναντίων συνίστανται· ὅθεν λέγων τὰς ἐναντιότητας οὐχ ὑπετίθετο διωρισμένας, ὥσπερ καὶ οὗτοι οἱ Πυθαγόρειοι. ἀλλὰ τὰς τυχούσας ἔλεγεν, οἷον λευκὸν μέλαν, γλυκὺ πικρόν,
30 ἀγαθὸν κακόν, μικρὸν μέγα. ἀδιορίστως οὖν ἀπεφήνατο περὶ τῶν λοιπῶν ἐναντιώσεων· οὔτε γὰρ ποσόν τι αὐτῶν εἶπεν οὔτε ποιόν, ἀλλ' ὅτι μόνον ἐναντία· οἱ δὲ Πυθαγόρειοι καὶ πόσαι καὶ τίνες αἱ ἐναντιώσεις ἀπεφήναντο. κοινὸν οὖν τῶν Πυθαγορείων, οἳ ταύτης τῆς δόξης ἐγένοντο, καὶ Ἀλκμαίωνος τὸ ἐναντίας λέγειν εἶναι τὰς ἀρχὰς τῶν ὄντων· πόσαι δὲ καὶ f. 26r

---

4 ἅπας οὖν] corruptum videtur: ἢ ὡς Ἀσπάσιος Alex. 5 post περιττὸν habet Alex. haec: ἢ τῶν ἀριθμῶν ὁ μὲν ἄρτιος ὕλη τε καὶ πάθος, ὁ δὲ περιττὸς ἕξις· σαφῆ δὲ ἃ τούτοις προστίθησιν, ὅτι πεπερασμένον τὸ περιττὸν κατ' αὐτούς, ἄπειρον δὲ τὸ ἄρτιον, τὸ δὲ ἓν κτλ. 6 διὸ καὶ ἀρτιο in rasura A: καὶ ἄρτιον καὶ περιττόν Alex. καὶ ἐκ (ante περιττοῦ) libri 15 οὐκ ἀγαθόν (ante πλῆθος) B 21 ἱστορεῖ—ἐναντιώσεων (24) Alexandri sunt 21. 22 δὲ ὡς Ἀλκμαίωνος τοῦ Κροτωνιάτου τὸν αὐτὸν τούτοις τρόπον περὶ τῶν ἀρχῶν ἀποφηναμένου Alex. 33 κοινὸν—ὄντα (p. 40,6) pleraque Alexandri sunt

τίνες αὐταὶ, τῶν Πυθαγορείων ἴδιον. ὥστε παρ' ἀμφοτέρων τούτων τοσοῦτον ἔστι λαβεῖν, ὅτι τὰ ἐναντία ἀρχαὶ τῶν ὄντων, τὸ δὲ ὅσαι καὶ ποῖαι παρὰ τῶν ἑτέρων, ὡς εἴρηται. ἱστορεῖ δὲ ὅτι ἀρχὴν καὶ αἴτιον τὸν ἀριθμὸν ἔλεγον ὡς ὕλην, οὐχ ὡς ἄντικρυς μὲν ἀποφηναμένων αὐτῶν οὕτως (οὐδὲν γὰρ περὶ τούτου, ὥς φησιν, αὐτοὶ διεσάφησαν), ὡς δὲ ἑπόμενον αὐτοῖς ἐξ ὧν ἔλεγον· ἐκ γὰρ τούτων συγκεῖσθαι καὶ συνεστάναι φασὶ πάντα τὰ ὄντα. διό φησιν ἐοίκασι δὲ ὡς ἐν ὕλης εἴδει τὰ στοιχεῖα τάττειν· ἐκ τούτων γὰρ ὡς ἐνυπαρχόντων συνεστάναι καὶ πεπλάσθαι τὴν οὐσίαν. εὐλόγως δὲ ἐχρήσατο ἐπὶ τῆς τοιαύτης γενέσεως τῷ πεπλάσθαι· πλάσματι γὰρ ἔοικεν ἡ τοιαύτη γένεσις, οὐδὲν εὔλογον ἔχουσα. ὁ Ἀριστοτέλης τοίνυν πανταχοῦ σαφηνείας ἀντιποιεῖται τῶν δογμάτων καί φησιν ὅτι ἔδει ὑμᾶς διηρθρωμένως εἰπεῖν, ὅτι νῦν συμβολικῶς λέγονται, ὅτι οὕτως ἔδει ὑμᾶς εἰπεῖν ὡς ἐγὼ λέγω. διὸ οὐ λέγει αὐτοὺς εἰπεῖν ποιητικὸν αἴτιον, ὑλικὸν δέ, ἐπειδὴ εἰρήκασιν ἐκ τῶν ἀριθμῶν γίνεσθαι τὰ ἄλλα, τὸ δὲ ἐξ οὗ τὴν ὕλην δηλοῖ. τάχα δέ, ἀληθέστερον εἰπεῖν, διελέγχει αὐτοὺς ὡς μὴ καλῶς λέγοντας, εἰ καὶ μὴ δοκεῖ τῷ ἡμετέρῳ φιλοσόφῳ.

p. 986b8 Τῶν μὲν οὖν παλαιῶν καὶ πλείω τὰ στοιχεῖα λεγόντων.

Φησὶν ὅτι τῶν παλαιοτέρων καὶ εἰρηκότων πλείονα στοιχεῖα τῆς φύσεως, ἐκ τούτων τῶν εἰρημένων ἱκανόν ἐστι θεωρῆσαι τὴν διάνοιαν, ὅτι οἱ μὲν ὑλικὸν αἴτιον ὑπετίθεντο, οἱ δὲ καὶ ποιητικόν· πλείω δὲ στοιχεῖα τῆς φύσεως ἀντὶ τοῦ τῶν τῇ φύσει γινομένων. πλείω δὲ λέγει ἤτοι τὰ ὑλικὰ ἢ τὰ στοιχεῖα, φημί δὴ τὰ αἴτια· πρὸς γὰρ τῇ ὕλῃ τινὲς καὶ τὸ ποιητικὸν εἰρήκασιν αἴτιον. ἕτεροι δὲ γεγόνασιν (λέγει δὲ Παρμενίδην καὶ Μέλισσον καὶ Ξενοφάνην τὸν διδάσκαλον Παρμενίδου), οἵτινες περὶ τοῦ παντὸς ὡς περὶ μιᾶς φύσεως ἀπεφήναντο. ὁ μὲν γὰρ Παρμενίδης ἔλεγεν ἓν f. 26v εἶναι τὸ ὂν καὶ ἀκίνητον καὶ πεπερασμένον, ὁ δὲ Μέλισσος ἓν καὶ ἀκίνητον καὶ ἄπειρον, ὁ δὲ Ξενοφάνης ἓν μόνον· διό φησι τρόπον δὲ οὐ τὸν αὐτὸν πάντες, οὔτε τοῦ καλῶς οὔτε τοῦ κατὰ φύσιν. μᾶλλον δὲ κατορθοῖ ὁ Παρμενίδης λέγων πεπερασμένον, διότι ἡ φύσις ὅρον τινὰ καὶ εἶδος περιτίθησιν, οὐκ ἀπειρίαν. ὅθεν οὗτος μᾶλλον καὶ καλῶς εἶπε· κατὰ τοῦτο γὰρ καὶ τῇ φύσει ἠκολούθησεν. ὁ δὲ Μέλισσος τὸ ἐναντίον, λέγων ἄπειρον. διὸ καὶ ἐν τῇ Φυσικῇ ἔλεγεν ὅτι φορτικώτερος ὁ τοῦ Μελίσσου λόγος ὑπάρχει. οὐδαμῶς οὖν ἐν τῇ νῦν σκέψει τῶν αἰτίων ἁρμόττει περὶ αὐτῶν λέγειν· εἰ γὰρ ἓν τὸ ὄν, φανερὸν ὅτι οὐδὲν ὑπετίθεντο αἴτιον οὔτε

---

1 τίνες, αὐτῶν τῶν Πυθαγορικῶν Alex. ὥστε—εἴρηται (3) non habet Alex. 3 προσιστορεῖ Alex. 4. 5 οὐδεὶς (οὐδὲν cod. L) γὰρ περὶ τούτων, ὥς φησιν αὐτός, Alex. 5 ἑπόμενον αὐτὸ Alex. 6 post ὄντα add. ἐνυπαρχόντων Alex. 9. 10 εὐλόγως—ἔχουσα Alexandri sunt 9 τῷ πεπλασμένῳ Alex. 11 τοίνυν] οὖν B 12 ὑμᾶς scripsi: ἡμᾶς libri 16 τῷ ἡμετέρῳ φιλοσόφῳ Ammonio 21 πλείω—εἰρήκασιν (23) Alexandri sunt 22 ἢ πλείω τὰ Alex. φημὶ δὴ] ἀντὶ τοῦ Alex. 22. 23 καὶ τὴν ποιητικήν τινες εἶπον Alex. 32 ἐν τῇ Φυσικῇ] A 1 p. 185a10. 11

ὑλικὸν οὔτε ἄλλο τι· οὔτε γὰρ γεννῶσί τι ἐκ τοῦ ἑνός, καθάπερ οἱ φυσιολόγοι οἱ ὑποτιθέμενοι ἓν εἶναι τὸ ὑλικὸν αἴτιον καὶ τὰ ἄλλα ἐξ αὐτοῦ γεννῶντες. διὸ καὶ ἐν τῇ Φυσικῇ ἔλεγεν ὅτι ἐξαγώνιός ἐστιν ὁ περὶ τούτων λόγος. ἄχρηστος οὖν ἡ τούτων δόξα εἰς τὴν περὶ τῶν αἰτίων ζήτησιν· οὐ γὰρ ἀρχὴν καὶ αἰτίαν τὸ ἓν ἐτίθεντο οὗτοι, ὡς οἱ ὕδωρ ἢ πῦρ ἢ ἀέρα λέγοντες καὶ γεννῶντες ὡς ἐξ ὕλης τοῦ ἑνὸς τὰ ἄλλα, ὥσπερ ὁ Θαλῆς ἀπὸ τοῦ ὕδατος ἐγέννα τὰ ἄλλα. ἕτερον οὖν τρόπον λέγουσιν· ἐκεῖνοι μὲν γὰρ οἱ φυσικοὶ προστιθέασι κίνησιν καὶ οὕτως γεννῶσι τὰ ἄλλα ἐκ τοῦ ὑλικοῦ αἰτίου, οὗτοι δὲ ἀκίνητον εἶναί φασιν. οὐ μὴν τὸν αὐτὸν τρόπον ἀπεφήναντο ἀμφότεροι περὶ τοῦ παντός, ἓν αὐτὸ λέγοντες εἶναι, οὔτε τοῦ καλῶς οὔτε τοῦ κατὰ φύσιν. τοῦ κατὰ φύσιν μέν, ὅτι ὁ μὲν αὐτῶν ἐπὶ τὴν ὡς ὕλην φύσιν ἔβλεψεν, ὁ δὲ ὡς εἶδος· τοῦ δὲ καλῶς, ὅτι ὁ μὲν αὐτῶν κάλλιον, ὁ δὲ χεῖρον. ὁ μὲν γὰρ Παρμενίδης ἐπὶ τὸν λόγον βλέψας καὶ τὸ εἶδος εἶπε τὸ ὂν ἓν εἶναι καὶ πεπερασμένον· τοῦ γὰρ λόγου καὶ τοῦ εἴδους τὸ περατοῦν τοῦτο ἐν ᾧ ἐστιν. Μέλισσος δὲ ἐπὶ τὴν ὕλην ἠνέχθη, ὅθεν f. 27r ἄπειρον αὐτὸ ὑπετίθετο· ἡ γὰρ ἀπειρία τῆς ὕλης.

p. 986ᵇ17 Οὐ μὴν ἀλλὰ τοσοῦτόν γε οἰκεῖόν ἐστι τῇ νῦν σκέψει.

Τὰ μὲν γὰρ ἄλλα φησὶν οὐκ οἰκεῖον εἶναι τῷ περὶ αἰτίων λόγῳ τὸ τὴν δόξαν ἐκτίθεσθαι τῶν ἓν τὸ πᾶν λεγόντων· οἱ γὰρ οὕτως λέγοντες οὐχ ὡς ἀρχὴν τὸ ἓν τίθενται οὐδὲ ὡς αἴτιον. ἐπὶ τοσοῦτον δὲ χρήσιμον εἶναι καὶ τὴν τούτων ἱστορίαν, ὅτι καὶ τούτων ὁ μὲν ἐπὶ τὴν ὕλην βλέψας ἄπειρον εἶπε τὸ ὄν, ὁ δὲ ἐπὶ τὸ εἶδος πεπερασμένον. διό φησι Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ λόγον ἑνὸς ἅπτεσθαι, φημὶ δὲ τοῦ κατ' εἶδος· τὸ γὰρ πέρας πρὸς τῷ εἴδει ἐστίν. ἐν γὰρ τοῖς αἰτίοις καὶ ἡ ὕλη καὶ τὸ εἶδος· ὥστ' εἰ καὶ μὴ αἴτιον λέγουσιν, ἀλλά γε λέγουσιν ὕλην καὶ εἶδος. ἱστορεῖ δὲ τὸν Ξενοφάνην πρῶτον τῆς δόξης ταύτης ἁψάμενον· ὁ γὰρ Παρμενίδης μαθητὴς τούτου ἐγένετο. διό φησι Ξενοφάνης δὲ πρῶτος τούτων ἑνίσας (ἀντὶ τοῦ ἓν εἰρηκώς) οὐδὲν παντελῶς διεσάφησεν, οὐδὲ τῆς φύσεως οὐδετέρας ἥψατο· οὔτε γὰρ ἄπειρον ὑπέθετο οὔτε πεπερασμένον· ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας (τουτέστι τὸν κόσμον) τὸ ἓν εἶναί φησι τὸν θεόν. φησὶ δὲ τὸν κόσμον οὐ καλῶς· ὁ γὰρ δημιουργὸς τοῦ κόσμου ἐστὶν ὁ θεός. λέγομεν οὖν ὅτι ἕνα ἔλεγε τὸν θεόν, τὸ πρῶτον αἴτιον· οὐ γὰρ οὕτως ἠλιθίως εἶχεν, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος, ὥστε τὸν κόσμον ὅλον καὶ θεὸν ὑποτίθεσθαι καὶ ἕνα λέγειν αὐτόν. οὗτοι οὖν ὡς μὴ ὑποτιθέμενοι αἴτια ἐξαγώνιοι ὑπάρχουσι πρὸς τὴν νῦν ζήτησιν· οἱ

---

3 ἐξαγώνιος] verbo hoc Arist. non utitur; de re ipsa cf. Phys. A 1 p. 184ᵇ25 sqq.
4 ἄχρηστος] ἄξιος B 10—16 liberius ex Alexandro 12 ὡς ὕλην Alex. L: ὕλην ὡς libri φύσιν] φησὶν Alex. ὁ δὲ ἐπὶ τὴν ὡς εἶδος Alex. 18 τὰ — πεπερασμένον (22) Alexandri sunt γὰρ om. Alex. οὐκ οἰκεῖά φησιν Alex. 20 δέ φησι Alex. 24. 25 ἓν — λέγουσιν Alexandri sunt 24 ἐν μὲν γὰρ ταῖς αἰτίαις Alex. 25 αἴτιόν τι Alex.
25. 26 ἀλλὰ — εἶδος depravata sunt: ἀλλ' ἅ γε λέγουσι καὶ καθ' ἃ κινηθέντες, ἐν τοῖς κατηριθμημένοις αἰτίοις ἐστίν Alex.

μὲν δύο καὶ παντελῶς, ὡς ὄντες μικρὸν ἀγροικότεροι, διότι οὐ συνελογίζοντο δεόντως. λέγει δὲ τὸν Ξενοφάνην καὶ τὸν Μέλισσον· καὶ ἐν τῇ Φυσικῇ γὰρ ἀκροάσει ἔλεγεν ὅτι ὁ Μελίσσου λόγος φορτικώτερος καὶ οὐκ ἔχων ἀπορίαν. ὁ μέντοι γε τοῦ Παρμενίδου δοκεῖ εὔλογος εἶναι. ἔλεγε γὰρ οὕτως 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν· τὸ οὐκ ὂν οὐδέν· ἓν ἄρα τὸ ὄν.' καὶ ὁ μὲν Πλάτων δέχεται τὴν πρότασιν ταύτην τὴν λέγουσαν 'τὸ παρὰ τὸ ὂν f. 27v
οὐκ ὄν'· τῷ ὄντι γὰρ ὂν ἔλεγε τὸ νοητόν, τὸ οὖν μὴ νοητὸν οὐκ ὄν ἐστιν. κυρίως γὰρ ὄντα τὰ νοητὰ ὑπάρχουσιν ὡς καὶ ἀεὶ ὄντα. "τὶ τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τὶ τὸ γινόμενον, ὂν δὲ οὐδέποτε". ὥστε τὰ αἰσθητὰ ὡς πρὸς τὰ νοητὰ οὐκ ὄντα ἐστίν. τὴν δὲ πρότασιν τὴν λέγουσαν 'τὸ οὐκ ὂν οὐδὲν' οὐκ ἐδέχετο. οὐκ ἐπειδὴ γὰρ τὰ αἰσθητὰ οὐκ ὄντα ὑπάρχουσιν, ἤδη καὶ παντελῶς οὐκ εἰσίν· εἰσὶ γὰρ τὰ πῇ μὲν ὄντα, πῇ δὲ οὐκ ὄντα, τὸ δὲ μηδαμῇ μηδαμῶς ὑπάρχον οὔτε δοξαστόν ἐστιν οὔτε νοητόν. διὸ καὶ τὸ πρῶτον λέγει ὂν μηδαμῇ μηδαμῶς εἶναι, ὡς ὑπερβεβηκὸς πᾶν εἶδος καὶ ἐπέκεινα ὑπάρχον τοῦ ὄντος. ὁ μέντοι γε Ἀριστοτέλης τῶν δύο προτάσεων ἐπιλαμβάνεται. κακῶς γάρ, φησί, λέγεις τὸ ὂν οὐκ ὄν· τὸ γὰρ ὂν κατὰ τὶ μέν ἐστιν ὄν, κατὰ τὶ δὲ οὐκ ὄν· ὁ γὰρ ἄνθρωπος ὡς μὲν ἄνθρωπος ὄν, ὡς δὲ ἵππος οὐκ ὄν. ὥστε τὸ πῇ ὑπάρχον ἁπλῶς λαμβάνων παραλογίζῃ λέγων τὸ ὂν οὐκ ὄν. πάλιν καὶ 'τὸ οὐκ ὂν οὐδέν' οὐ καλῶς λέγεις· ὁ γὰρ ἄνθρωπος οὐκ ὄν ἐστιν, ὡς πρὸς ἵππον, καὶ ὅμως ἔστιν. φησὶν οὖν ὅτι ὁ Παρμενίδης μᾶλλον ἐκείνων κατορθοῖ· παρὰ γὰρ τὸ ὂν τὸ μὴ ὂν οὐδὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται τὸ ὄν, καὶ ἄλλο οὐδέν, περὶ οὗ σαφεστέρως εἰρήκαμεν ἐν τῇ Φυσικῇ ἀκροάσει. ἀναγκαζόμενος δέ, φησίν, ἀκολουθεῖν τοῖς φαινομένοις τὸ ἓν κατὰ τὸν λόγον πλείονα ἔλεγε κατὰ τὴν αἴσθησιν· πῦρ γὰρ καὶ γῆν ὑπετίθετο εἶναι, ἐξ ὧν τοῖς αἰσθητοῖς ἡ γένεσις. λέγομεν οὖν ὅτι ἐν τοῖς περὶ δόξης, ἐπειδὴ περὶ αἰσθητῶν διελέγετο, ὑπετίθετο δύο εἶναι τὰ στοιχεῖα, πῦρ καὶ γῆν (καὶ τὰ μεταξὺ συνεπινοεῖται) καὶ ἐκ τούτων τὰ αἰσθητὰ πάντα ὑπετίθετο· ἡνίκα δὲ περὶ νοητῶν διελέγετο, ἓν εἶναι τὸ ὄν, δηλῶν τὴν μίαν τῶν πάντων ἀρχήν, ἐξ ἧς τὰ πάντα· διό φησιν "οὐ γὰρ ἔην, οὐκ ἔσται ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον οὐλοφυές." λέγων οὖν πῦρ καὶ γῆν τὸ μὲν θερμὸν ἔλεγεν εἶναι ὄν, τὸ δὲ ψυχρὸν μὴ ὄν, ὡς χεῖρον καὶ f. 28r
κρεῖττον. ἐκ μὲν οὖν τῶν εἰρημένων καὶ τῶν συνηδρευκότων καὶ σχολασάντων λόγοις σοφῶν ταῦτα παρειλήφαμεν.

p. 987a4 Παρὰ μὲν τῶν πρώτων σωματικὴν τὴν ἀρχήν.

Οἱ πρῶτοι φυσιολόγοι σωματικὴν τὴν ἀρχὴν ὑπέθεντο· οἱ μὲν γὰρ ὕδωρ ὥσπερ Θαλῆς, οἱ δὲ πῦρ, ὡς Ἡράκλειτος, καὶ οἱ μὲν μίαν ὑπετί-

---

2. 3 ἐν τῇ Φυσικῇ ἀκροάσειA 1 p. 185a10. 11 8 τὰ νοητὰ—ἀεὶ ὄντα om. BCD 8. 9 τὶ τὸ ὂν μὲν ἀεί—οὐδέποτε Plato Tim. 27 D 14 διὸ κτλ. cf Plat. Soph. p. 259 A sq. 23. 24 ἐν τῇ Φυσικῇ ἀκροάσει] A 1. 2 30 οὐ γὰρ κτλ.] fragm. ed. Mullach v. 61 31 οὐλοφυές] ἓν συνεχές v. 62 Mullach

θεντο, οἱ δὲ πλείους, οἷον πῦρ καὶ γῆν, ὥσπερ Παρμενίδης· ἀμφοτέρας δὲ ὑλικὰς ὑπετίθεντο τὰς ἀρχάς. ἄλλοι δέ τινες καὶ πρὸς τῇ ὑλικῇ αἰτίᾳ καὶ ποιητικὴν εἰρήκασιν, καθάπερ Ἐμπεδοκλῆς καὶ Ἑρμότιμος καὶ Ἀναξαγόρας· οἱ μὲν τὸν νοῦν, οἱ δὲ νεῖκος καὶ φιλίαν. καὶ ὁ μὲν Ἐμπεδοκλῆς
5 δύο ὑπετίθετο εἶναι τὰ ποιητικά, καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν, οἱ δὲ περὶ Ἑρμότιμον μίαν, τὸν νοῦν. ἤρξαντο οὖν οἱ παλαιοὶ φυσικοὶ πρὸ τῶν Ἰταλικῶν. φημὶ δὲ τῶν Πυθαγορείων· καὶ συνήκμασαν γὰρ καὶ συνεπεξετάθησαν τοῖς Πυθαγορείοις· μέχρις οὖν τῶν Ἰταλικῶν ἐγένοντο. καὶ πάλιν χωρὶς ἐκείνων μονιμώτερον εἰρήκασι, τουτέστι μετριώτερον, ἤγουν σκοτεινό-
10 τερον ἢ μαλακώτερον· οὐ γὰρ διηρθρωμένως εἰρήκασιν οἱ Πυθαγόρειοι περὶ τῶν ἀρχῶν· πλὴν οἱ μὲν αὐτῶν μίαν ποιοῦσι τὴν ἀρχὴν τὴν ὑλικήν, οἱ δὲ δύο· πρὸς γὰρ τῇ ὑλικῇ ὑπετίθεντο καὶ ποιητικήν, ὥσπερ οἱ περὶ Ἀναξαγόραν.

p. 987a13 Οἱ δὲ Πυθαγόρειοι δύο μὲν τὰς ἀρχὰς κατὰ τὸν αὐτὸν
15 εἰρήκασι τρόπον.

Φησὶν ὅτι καὶ οἱ Πυθαγόρειοι δύο ἀρχὰς ὑπετίθεντο, ὁμοίως ὑλικὴν καὶ ποιητικήν, διαφέρουσι δὲ ἐκείνων, ὅτι οἱ μὲν ἓν τῶν στοιχείων εἰρήκασι τὴν ἀρχήν, οἷον πῦρ ἢ ὕδωρ ἤ τι τοιοῦτον λέγοντες τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, αὐτοὶ δὲ οἱ Πυθαγόρειοι ἑτέρας φύσεις ὑπετίθεντο αὐτὸ
20 καθ' αὑτὸ εἶναι τὸ ἄπειρον, καὶ ἐξ αὐτοῦ γίνεσθαι τὴν ἀπειρίαν, καὶ πάλιν αὐτὸ καθ' αὑτὸ ⟨τὸ⟩ πεπερασμένον. καὶ ἐξ αὐτοῦ γίνεσθαι τὴν πρόοδον τῶν p. 28v
πεπερασμένων, τουτέστι τοὺς λόγους τῶν εἰδῶν καὶ τῆς ὕλης. καὶ ἀληθῶς λέγει ὁ Ἀριστοτέλης αὐτὸ οὖν τὸ ἓν οὐσίαν εἶναι τούτων ἔλεγον ὧν κατηγοροῦνται. διὸ καὶ τὸν ἀριθμὸν εἶναι τὴν οὐσίαν πάντων ἔλε-
25 γον, ἐπειδὴ καὶ τὰ πάντα ἐξ ἀριθμῶν συνίστασθαι ἔλεγον. περὶ τούτων οὖν τοῦτον τὸν τρόπον ἀπεφήναντο· ἤρξαντο δὲ λέγειν καὶ περὶ τοῦ τί ἐστιν, φημὶ δὴ περὶ τῶν ὁρισμῶν. ἔλεγον γὰρ ὅτι τὸ πρώτως τινὶ ὑπάρχον τοῦτό ἐστιν ὁ ὁρισμὸς αὐτοῦ· οἷον ἐπεὶ πρώτως ὑπάρχει τῇ ἐπιφανείᾳ τὸ χρῶμα, τὸ χρῶμα ἄρα ὁρισμός ἐστι τῆς ἐπιφανείας. καὶ πάλιν ἐπειδὴ τὸ διπλά-
30 σιον ⟨πρώτως⟩ ὑπάρχει τῇ δυάδι, ὁρισμὸς τῆς δυάδος τὸ διπλάσιον. οἱ δὲ ὁρισμοὶ θέλουσιν ἀντιστρέφειν πρὸς τὰ ὁριστά· οὐκ ἀντιστρέφει δέ· οὐ γάρ, εἴ τι διπλάσιον, δυάς· τὰ γὰρ ὀκτὼ διπλάσια μέν ἐστιν, οὐ δυὰς δέ. εἰ δὲ τοῦτο ὑποθώμεθα, πολλὰ ἔσται τὸ ἕν· εἰ γὰρ ἡ δυὰς διπλάσιον, πολλὰ δὲ τὰ διπλάσια, πολλὰ ἔσται καὶ ἡ δυάς, ἓν οὖσα πρᾶγμα. ἔσται γὰρ καὶ
35 ὀκτὼ καὶ δέκα καὶ δώδεκα, καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ οὕτως μὲν ὁ Ἀριστοτέλης. εἰδέναι μέντοι χρή, ὡς οἱ Πυθαγόρειοι, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος Ἀμμώνιος, τὴν δυάδα ἀντὶ ἀρτίου ἀριθμοῦ ἐλάμβανον καὶ

---

7 γὰρ] fort. δὲ συνεπεξετάσθησαν BC 9 μονιμώτερον] an μοναχώτερον? v. Alex. p. 34,29 ἤγουν κτλ.] γράφεται ἔν τισιν ἀντὶ τοῦ μοναχώτερον "μορυχώτερον", ὃ ἐξηγούμενοι οἱ μὲν σκοτεινότερον λέγουσιν, οἱ δὲ μαλακώτερον Alex. 21 τὸ addidi 23 αὐτὸ οὖν κτλ.] addendum ex Aristotele τὸ ἄπειρον καὶ αὐτὸ 30 πρώτως addidi

ἔλεγον ὅτι ἡ δυὰς διπλάσιον, καὶ οὕτως ἀντιστρέφει πρὸς τὸ ὁριστόν. εἴ τι γὰρ διπλάσιον, τοῦτο καὶ ἄρτιον· εἴ τι ἄρτιον, τοῦτο καὶ διπλάσιον· καὶ τὰ ὀκτὼ γὰρ ἄρτια καὶ ὅσα τοιαῦτα. ἐπεὶ οὖν πρώτη ἐστὶν ἡ δυὰς ἐν τοῖς ἀρτίοις, τούτου χάριν ἐλάμβανον τὴν δυάδα ἀντὶ παντὸς ἀρτίου ἀριθμοῦ. καὶ οὕτως ὡρίζοντο ὀρθῶς.

p. 987a29 Μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας ἡ Πλάτωνος ἐπεγένετο πραγματεία.

Ἐκθέμενος τὰς τῶν Πυθαγορείων δόξας καὶ τῶν ἄλλων τῶν φυσικῶν περὶ τοῦ γνῶναι, ποίαις ἀρχαῖς τῶν ὄντων ἐκέχρηντο, ἐντεῦθεν ἐκτίθεται καὶ τὴν Πλάτωνος δόξαν, βουλόμενος δεῖξαι ποίαις ἀρχαῖς τῶν ὄντων καὶ αὐτὸς ἐκέχρητο, καί φησιν ὅτι τὰ πολλὰ τοῖς Πυθαγορείοις ἠκολούθησεν. f. 29r ἡμεῖς δέ φαμεν ὅτι οὐ τὰ πολλά, ἀλλὰ τὰ πάντα· Πυθαγόρειος γὰρ ἦν ὁ φιλόσοφος, εἰ καὶ μὴ πᾶσι κέχρηται τοῖς παραπετάσμασιν αὐτῶν. οἱ γὰρ Πυθαγόρειοι μύθοις μὲν οὐκ ἐκέχρηντο, ἀλλὰ συμβόλοις, ἵνα κἂν μείνωσιν οἱ ἀκούοντες μέχρι τοῦ φαινομένου, μὴ ἀδικηθῶσιν † ὥσπερ ἐπὶ τῶν Πυθαγορείων. πρὸς τούτοις δὲ σαφῶς οὐκ ἐβούλοντο ἐκθέσθαι διὰ τὸ μὴ καταφανῆ γενέσθαι τὴν ἑαυτῶν σοφίαν καὶ σκυτεῦσι. φησὶν οὖν ὅτι ὁ μὲν Πλάτων ἰδέας εἶναι ὑπετίθετο καὶ ἐξ αὐτῶν γίνεσθαι τὰ τῇδε κατὰ μέθεξιν. οἷον ἐκ τοῦ ὄντως καλοῦ τὸ ἐνταῦθα καλὸν κατὰ μέθεξιν· οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. οἱ μέντοι γε Πυθαγόρειοι ἀριθμοὺς ὑπετίθεντο καὶ κατὰ μίμησιν ἐκείνων τὰ τῇδε γίνεσθαι ἐκ τῶν ἀριθμῶν· μιμούμενα γάρ, φησί, τὰ τῇδε ἐκεῖνα ἐγίνετο. εἶτα ἱστορεῖ ὅτι πρότερον συνεγένετο ὁ Πλάτων Κρατύλῳ τῷ Ἡρακλειτείῳ τῷ λέγοντι πάντα ἐν κινήσει εἶναι. καὶ ἠκολούθησε τῇ δόξῃ αὐτοῦ. εἶτα μετὰ ταῦτα συνεγένετο τῷ Σωκράτει, ὃς κατεγίνετο μᾶλλον περὶ τὴν ἠθικὴν φιλοσοφίαν, περὶ μέντοι γε τῆς καθόλου φύσεως οὐδὲν ἐπραγματεύσατο. οὗτος οὖν ὁ Σωκράτης ἐν τοῖς ἠθικοῖς πρῶτος ἐζήτησε τὸ καθόλου καὶ περὶ ὁρισμοῦ πρῶτος ἐπέστησεν, ὅτι τῶν καθόλου ὑπάρχουσιν οἱ ὁρισμοί· τῶν γὰρ μερικῶν οὐκ εἰσιν, ὡς φθαρτῶν ὑπαρχόντων. οἱ γὰρ ὁρισμοὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων θέλουσιν εἶναι· διὸ τῶν καθόλου ὑπάρχουσιν οἱ ὁρισμοί, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ. ἀνήγαγεν οὖν ἑαυτὸν ἐπὶ τὰ καθόλου, λέγων τὸ ἁπλῶς δίκαιον, τὸ ἁπλῶς καλόν. τὰ δὲ τοιαῦτα πάντα ὁ Πλάτων ἰδέας προσηγόρευσε λέγων λόγους εἶναι δημιουργικούς, καὶ ἐξ αὐτῶν τὰ τῇδε γίνεσθαι κατὰ μέθεξιν, ἐκ τοῦ ἁπλῶς καλοῦ τὸ ἐνταῦθα καλόν, καὶ ἐκ τοῦ ἀγαθοῦ τὸ ἀγαθόν, f. 29v καὶ ἐκ τοῦ ἀνθρώπου τὸν ἄνθρωπον. τοῦτο δὲ καὶ αὐτὸς φῄς, ὦ Ἀριστότελες, λέγων ὅτι ἡ τάξις ἡ ἐν τῷ στρατοπέδῳ οὐκ ἀπὸ ταὐτομάτου ἐφήκει, ἀλλ' ἀπὸ τοῦ στρατηγοῦ. εἰδέναι μέντοι γε χρή, ὡς εἴρηται ἐν τῷ Φαί-

15 ὥσπερ κτλ.] depravata videntur 19 οὕτω Belger: ὡς libri 22 φησί] fort. φασί
30 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. B 13 p. 97b26: αἰεὶ δ' ἐστὶ πᾶς ὅρος καθόλου 33 λόγους εἶναι δημιουργικούς] verbis ipsis Plato non utitur; de re v. Tim. p. 28 A sqq. 36 λέγων κτλ.] Metaph. Λ 10 p. 1075a11 sqq. 37 ἐν τῷ Φαίδωνι] p. 96 A sqq.

δωνι τῷ Σωκράτει, ὅτι γέγονέ μοι ἐπιθυμία γνῶναι τὰς αἰτίας τῶν φυσικῶν πραγμάτων. ἀναγκαιότερον δὲ ὑπέλαβον τὰ ἠθικὰ ζητῆσαι καὶ ἀναγαγεῖν ἑαυτὸν ἐπὶ τὰ καθόλου. ὅτι δὲ οὐκ οἴεται Πλάτων ἐν κινήσει εἶναι πάντα, σαφῶς μὲν ἐδήλωσε καὶ ἐν τῷ Κρατύλῳ τῷ διαλόγῳ, καὶ ἐν τῷ
5 Θεαιτήτῳ δέ. ἔλεγε γὰρ ἐν τῷ Θεαιτήτῳ, ὅτι τὰ κινούμενα ἢ κατ' ἀλλοίωσιν κινοῦνται ἢ κατὰ τόπον, ἢ κατ' ἀμφότερα ἢ κατὰ θάτερον. ἀλλ' εἰ μὲν κατὰ θάτερον, φανερὸν ὅτι ἔσται στάσις τοῦ ἑνός· εἰ δὲ κατ' ἀμφότερα ἔσται κίνησις, οὔτε δὲ οὐδέν ἐστιν εἰπεῖν, οὔτε λευκὸν οὔτε μέλαν οὔτε φαιόν, διότι πάντα ἐν ῥύσει ὑπάρχουσι καὶ οὐδέν ἐστιν ἐν στάσει. πῶς
10 δὲ οἷόν τε εἶναι κίνησιν στάσεως μὴ οὔσης; καὶ ἡ ἀκινησία γὰρ στάσις τίς ἐστι. καὶ ἐκ τῶν καθόλου δὲ ἐπέστησεν, ὅτι στάσις ἐστίν· τὰ γὰρ καθόλου ἀκίνητα καὶ ἀίδια· [καὶ] ἐν ταυτότητι γὰρ ἀεὶ ὑπάρχουσιν. ἄλλως τε δὴ καὶ σύ, ὦ Ἀριστότελες, λέγεις τὴν ὅλην ἀεὶ ἐν κινήσει εἶναι· ἐν ἀπορροῇ γὰρ φῂς αὐτὴν εἶναι καὶ ἐν ἐπιρροῇ ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς.

15 p. 987a29 Μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας.

Ἐφεξῆς τὴν Πλάτωνος ἐκτίθεται δόξαν καί φησιν αὐτὸν τὰ μὲν πολλὰ ἀκολουθῆσαι τοῖς Πυθαγορείοις, ἔχει δὲ καὶ ἴδιά τινα ἡ Πλάτωνος φιλοσοφία παρὰ τοὺς Ἰταλικούς· λέγει δὲ τὰς ἰδέας. ἰστέον δὲ ὅτι κἀκεῖνοι ἔλεγον τὰς ἰδέας, ἀλλὰ ἀριθμοὺς ταῦτα ὑπετίθεντο. νέος γὰρ ὑπάρχων
20 συνεγένετο Κρατύλῳ τῷ Ἡρακλειτείῳ καὶ ὑπέλαβεν, ὅτι πάντα τὰ αἰσθητὰ ἐν ῥύσει ὑπάρχουσι καὶ οὐδέποτε ἵσταται, καὶ ταύτην ἐφύλαξε τὴν δόξαν ὡς ἀληθῆ. Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευσαμένου καὶ ἐν τούτοις τὸ καθόλου ζητοῦντος (διαλαμβάνων γὰρ περὶ καλοῦ ἤ τινος ἄλλου ἐζήτει καθόλου τί τὸ καλόν ἐστιν, οὐ τόδε τὸ καλὸν λαμβάνων) καὶ ὁρί- f. 30r
25 ζεσθαι τὸ προκείμενον ἀεὶ πειρωμένου (περὶ δὲ τῶν φυσικῶν οὐδέν, φησίν, ἐπραγματεύσατο· πῶς δὲ λέγει περὶ Σωκράτους πρῶτον ἐπιστῆσαι περὶ ὁρισμῶν, εἴ γε καὶ οἱ Πυθαγόρειοι ἐπειρῶντο τοῦτο ποιεῖν, ὡς προείρηκεν, ὄντες αὐτοῦ πρεσβύτεροι; ἢ ὅτι ἐκεῖνοι, ὡς εἶπε, μαλακῶς καὶ ἀμεθόδως), ἀποδεξάμενος οὖν Σωκράτους τὴν περὶ τοὺς ὁρισμοὺς καὶ τὸ καθόλου πραγ-
30 ματείαν, ὑπέλαβε τούτους ἑτέρων τινῶν γίνεσθαί τε καὶ εἶναι φύσεων καὶ οὐ τῶν αἰσθητῶν τινος, οὐδὲ τοῦ ἐπὶ τούτοις καθόλου· ταῦτα γὰρ καὶ τὰ ἐν τούτοις πάντα, ἐν οἷς καὶ τὰ καθόλου, ἀεὶ ῥεῖν τε καὶ μεταβάλλειν καὶ μηδέποτε ἐπὶ τῆς αὐτῆς φύσεως μένειν· διὸ καὶ ἀδύνατον εἶναι τὸν κοινὸν

---

3 ἐμαυτὸν B ἐπὶ τῶν B 4 ἐν τῷ Κρατύλῳ] p. 439 C sqq. 5 Plato Theaet. 181 D sqq. 7. 8 στάσις—ἔσται om. D 8 οὔτε δὲ] fort. οὔτως 11 δὲ ἐπέστησεν—καθόλου om. BCD 12 καὶ delevi 14 γὰρ φῂς—γενέσεως om. A Περὶ γενέσεως καὶ φθορᾶς A 3 p. 318a9 sqq. 19 ταύτας B 20 ὅτι πάντα—προσηγόρευσεν (p. 46,4) pleraque Alexandri sunt 21 ὑπάρχουσι libri: ἐστὶ Alex. ἵσταται Alex. 22 πραγματευομένου D: πεπραγματευμένου Alex. 25 πειρωμένου Alex.: πειρώμενος libri περὶ δὲ κτλ.] λέγει δὲ περὶ Σωκράτους ὡς μὴ πραγματευσαμένου περὶ τῶν φυσικῶν Alex. 26 λέγει Σωκράτην Alex. 27 ταὐτὸν ἐπειρῶντο Alex. 31 τοῦ Alex.: τὸ libri ταῦτα γὰρ] τῷ ταῦτα Alex. 33. p. 46,1 κοινὸν καὶ καθόλου Alex.

καθόλου ὅρον (τοιοῦτοι γὰρ οἱ ὁρισμοί) τῶν αἰσθητῶν τινος εἶναι, διὰ τὸ ταῦτα μηδὲ ὁριστὰ εἶναι τῷ μὴ μένειν τὰ αὐτά. καὶ ταύτας δὲ τὰς φύσεις τὰς παρὰ τὰ αἰσθητά (φημὶ δὴ τὰ καθόλου) ὧν οἱ ὁρισμοὶ ὑπάρχουσιν, ἰδέας προσηγόρευσεν. ἀπεδέξατο οὖν ἐν τούτοις τὸν Σωκράτη. ὑπέ-
5 λαβεν οὖν ὅτι ἑτέρων τινῶν οἱ ὁρισμοί εἰσι, τῶν καθόλου καὶ οὐ τῶν καθ' ἕκαστα διὰ τὴν μεταβολὴν αὐτῶν. τὰ οὖν καθόλου, ὡς εἴρηται, ἰδέας προσηγόρευσεν, τὰ δὲ αἰσθητὰ παρὰ ταῦτα· ἐκ τούτων οὖν τῶν ἰδεῶν καὶ τὰ αἰσθητὰ ἔφασκεν εἶναί τε καὶ λέγεσθαι.

p. 987b9 Κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ τῶν συνωνύμων τοῖς
10 εἴδεσιν.

Πολλὰ οὖν λέγει τὰ αἰσθητά, ὅτι ἐκ τοῦ καθόλου, φησί, κατὰ μέθεξιν ὑπάρχουσι τὰ πολλά· ἐκ γὰρ τοῦ ἁπλῶς καλοῦ καὶ δικαίου καὶ τῶν ἄλλων ἁπάντων τὸ τῇδε καλὸν καὶ τὸ τῇδε δίκαιον. πολλὰ οὖν λέγει τὰ αἰσθητά, ἢ ὅτι οὐ πάντων τῶν αἰσθητῶν ἔλεγον εἶναι ἰδέας· τῶν γὰρ κατὰ σχέσιν
15 τε καὶ τῶν πρός τι οὐκ ἐτίθεντο ἰδέας, ἀλλ' οὐδὲ τῶν παρὰ φύσιν τινός, οὔτε δὲ ὅλως τῶν κακῶν. κατὰ μέθεξιν οὖν τῶν εἰδῶν ὑπάρχουσι τὰ πολλά, συνώνυμα ὄντα ἀλλήλοις τὰ πολλά· οὔτε γὰρ τοῖς εἴδεσι συνώνυμα. τὰ f. 30v γὰρ πολλὰ καὶ συνώνυμα ἀλλήλοις κατὰ μέθεξιν τὸ εἶναι ἔχει ἰδέας μιᾶς. οὐ γὰρ πάντα ⟨μιᾶς⟩ ἰδέας μετέχει, ἀλλ' ὅσα ὁμοειδῆ τέ ἐστιν ἀλλήλοις
20 καὶ συνώνυμα, ὡς ἄνθρωποι, ἵπποι, βόες, ἀλλήλοις· οὐ γὰρ ἂν ταῖς ἰδέαις λέγοι τὰ αἰσθητὰ συνώνυμα εἶναι ἱστορῶν τὴν Πλάτωνος δόξαν, ἐκείνου ὁμωνύμους λέγοντος τὰς ἰδέας ὡς τὰ ἀφ ἑνὸς καὶ πρὸς ἕν. ἢ οὐδὲ κατὰ Πλάτωνα ὁμώνυμοι αἱ ἰδέαι τοῖς πρὸς αὐτάς, ἀλλὰ συνώνυμοι· ἐν οἷς γὰρ χρῆται τῷ ὁμωνύμῳ ὀνόματι, κοινότερον ἀντὶ τοῦ συνωνύμου χρῷτο ἄν.
25 εἰ γὰρ μὴ κατὰ τὸν λόγον καὶ τὸ εἶδος ὡμοίωται τῇ ἰδέᾳ τὰ πρὸς αὐτήν, κατὰ τί ἂν ἄλλο; οὐδὲν γὰρ ἐκείναις ὑπάρχει ἔτι ἄλλο, οὐδέ τι αὐταῖς συμβέβηκεν. τὰ δὲ κατὰ τὸ εἶδος ὅμοια συνώνυμα. εἰ γὰρ ὁ αὐτοάνθρωπος εἶδός τί ἐστιν ἁπλοῦν, φανερὸν ὅτι τὸ ὡμοιωμένον αὐτῷ κατὰ τὸ εἶδος ἂν ὡμοίωτο. ἀλλὰ μὴν οἱ ὁρισμοὶ κατὰ τὸ εἶδος καὶ τῶν ἐνόλων· ὥστε
30 εἰ κατὰ τὸ εἶδος οἱ ἄνθρωποι τὸ εἶναι ἔχουσιν, ὅμοιοι ἂν εἶεν τῇ ἰδέᾳ, οὐδὲν ἄλλο οὔσῃ, καὶ ὁ ὁρισμὸς ἂν αὐτῶν ὁ αὐτὸς καὶ τῆς ἰδέας εἴη. ἔτι

---

1. 2 διὰ τὸ] sic etiam Alex. cod. L: διὸ Alex. vulg. 2 τῷ μηδὲ εἶναι ταῦτα Alex. 3 φημὶ—καθόλου desunt apud Alex. 14 ὅτι—κακῶν (16) Alexandri sunt οὐ] μὴ Alex. 14. 15 σχέσιν τῶν ἐν τοῖς πρός τι Alex. 16 οὐδ' ὅλως Alex. 17. 18 τὰ γὰρ — ὁρισμός (p. 47,3) Alexandri sunt 18 τὸ εἶναι ἔχει κατὰ μέθεξιν ἰδέας μιᾶς Alex. 19 μιᾶς ex Alex. addidi 20 ὡς — ἀλλήλοις desunt apud Alex. 21. 22 ὁμωνύμους ἐκείνου λέγοντος τὰς ἰδέας τοῖς γινομένοις πρὸς αὐτάς Alex. 22. 23 ἢ καὶ κατὰ Πλάτωνα οὐχ Alex. 23 ὁμώνυμοι ἂν εἶεν Alex. αἱ ἰδέαι Alex.: ἀεὶ δὲ libri αὐτὰ libri 26 ἔτι scripsi: τι libri 28 δῆλον ὅτι Alex. ὡμοιωμένον Alex.: ὁμοιούμενον libri 29 μὴν καὶ οἱ Alex. 30 εἰ κατὰ τὸ εἶδος ὅμοιοί εἰσιν οἱ ἄνθρωποι τῇ ἰδέᾳ κτλ. Alex.

εἰ καὶ μὴ ὁριστὰ ταῦτα ἀλλὰ τὰ εἴδη, ἀλλ' οἵ γε ὁρισμοὶ ἐκείνων καὶ ἐπὶ τούτων λέγονται· τὸ γὰρ ζῷον λογικὸν θνητὸν καὶ κατὰ τῶν αἰσθητῶν κατηγορεῖται ἀνθρώπων, εἰ καὶ μὴ κυρίως τούτων ἐστὶν ὁρισμός. τὴν δὲ μέθεξιν, φησίν, τοὔνομα μετέβαλε, τουτέστι μετέθηκε· τὴν γὰρ ὑπὸ τῶν Πυθαγορικῶν λεγομένην μίμησιν αὐτὸς μεταβαλὼν μέθεξιν εἶπε. ταύτην μέντοι τὴν μέθεξίν τε καὶ μίμησιν τίς τέ ἐστι καὶ πῶς γίνεται, οὔτε οἱ Πυθαγόρειοι εἶπον οὔτε ὁ Πλάτων, ἀλλ' εἴασαν αὐτὴν ἐν κοινῷ ζητεῖσθαι. ἰστέον δὲ ὅτι εἶπεν ὁ Πλάτων ἐν τῷ Παρμενίδῃ περὶ αὐτῶν, ὅτι τὰ ἐφιέμενα τοῦ ἀγαθοῦ πάντα οὕτως γίνονται· πάντα γὰρ ἐφίενται τοῦ ἀγαθοῦ. καὶ πλωτὰ καὶ πεζὰ καὶ ἀέρια, ὥς φησι καὶ ὁ Ἀριστοτέλης. κατὰ μίμησιν οὖν λέγουσιν οἱ Πυθαγόρειοι γίνεσθαι τὰ ἄλλα τῶν πρώτων ἀριθμῶν. οὓς f. 31r καὶ λέγει κυρίως εἶναι, καὶ ἐξ αὐτῶν τὰ ἄλλα γίνεσθαι, φημὶ δὲ ἐκ τῆς μονάδος καὶ τῆς δυάδος, ταὐτὸν δὲ εἰπεῖν ἐξ ὕλης καὶ εἴδους.

p. 987b14 Ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη.

Μεταξὺ λέγει ὁ Πλάτων τὰ μαθήματα τῶν ἰδεῶν καὶ τῶν αἰσθητῶν. οὔτε γὰρ πάντῃ αὐτὰ καθ' αὑτὰ ἐν ὑποστάσει ὑπάρχουσιν χωριστὰ παντελῶς ὕλης ὥσπερ αἱ ἰδέαι (τὰ γὰρ μαθήματα καὶ ἐν τῇ ὕλῃ θεωροῦνται· ἔστι γὰρ χαλκοῦν τρίγωνον· καὶ κατὰ ἀφαίρεσιν δὲ θεωροῦνται τῇ ἐπινοίᾳ) οὔτε ὁμοιά ὑπάρχουσι τοῖς αἰσθητοῖς· τὰ γὰρ αἰσθητὰ καὶ ἐν κινήσει ὑπάρχουσι καὶ φθαρτά εἰσι, τὰ δὲ μαθήματα ἀίδια καὶ ἀκίνητα. εἰδέναι δὲ χρὴ ὅτι συμβολικῶς ὁ Πλάτων διὰ τῶν μαθημάτων τὴν ψυχὴν δηλοῖ, ἥτις μέση ἐστὶ τῶν πάντῃ χωριστῶν τῆς ὕλης καὶ ἀιδίων καὶ τῶν πάντῃ ἀχωρίστων, τουτέστι τῶν ἐνύλων εἰδῶν, ἐπειδή, φησί, ποτὲ μὲν χωρίζεται σώματος, ποτὲ δ' ἐλλάμπει ἐν αὐτῷ. τοῦτο οὖν φησιν ὅτι ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰς ἰδέας τὰ μαθηματικὰ τῶν πραγμάτων μεταξύ φησιν εἶναι τούτων. διαφέρουσι γὰρ τῶν μὲν αἰσθητῶν τὰ μαθηματικὰ τῷ εἶναι ἀίδια καὶ ἀκίνητα (ἡ γὰρ ψυχὴ ἀκίνητός ἐστι καὶ ἀίδιος), τὰ δ' αἰσθητὰ φθαρτὰ ὑπάρχουσι καὶ ἐν κινήσει· τῶν δὲ εἰδῶν διαφέρουσι τῷ τὰς μὲν ἰδέας ἕν τι τῷ ἀριθμῷ εἶναι (ἕν γὰρ εἶδος πάντων τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ὁμοίως· καὶ ἔθος αὐτῷ τῷ Πλάτωνι ἕν τι καλεῖν τὰ παντελῶς χωριστὰ τῆς ὕλης, τὰ δέ ποτε ἐλλάμποντα αὐτῇ πολλὰ καλεῖ), τὰ δὲ μαθηματικὰ τὴν ἐν τοῖς πολλοῖς, τουτέστι τοῖς αἰσθητοῖς καὶ τοῖς καθ' ἕκαστα, δηλοῦν ὁμοιότητα. οὐ γὰρ ἔστιν αὐτὰ καθ' αὑτὰ ὑφεστῶτα ἀλλ' ἐπινοίᾳ, χωρισθείσης τῶν ἐνύλων τῆς τε ὕλης καὶ τῆς κινήσεως, καθ' ἃ καὶ μεθ' ὧν ἔστιν.

---

3 ὁ ὁρισμός Alex. 4 τουτέστι — ζητεῖσθαι (7) Alexandri sunt 6 μέντοι] δὲ Alex. τί τ' ἔστι Alex. 6. 7 οὔτε τῶν Πυθαγορείων τις οὔτε Πλάτων ἀπέδοσαν Alex. 8 ἐν τῷ Παρμενίδῃ] p. 132 D; sed quae hic legimus (8. 9) illic non inveniuntur 10 Ethic. Nicom. A 1 p. 1094a2 16 χωριστὰ scripsi: ἀχώριστα libri 19. 20 τοῖς αἰσθητοῖς — ὑπάρχουσι om. BD 23 φησί] verba ipsa non sunt Platonis 24 ἔτι δὲ scripsi: ἐπεὶ libri 31 τὰ δὲ – ἔστιν (35) Alexandri sunt 32 τὴν ἐν Alex.: τὰ ἐν libri 33 post ὁμοιότητα add. ἐνυπάρχοντα τούτοις Alex.

p. 987b18 Ἐπειδὴ αἴτια τὰ εἴδη τοῖς ἄλλοις.

Ἐπειδή, φησίν, αἰτίας ὑπετίθεντο τῶν τῇδε πραγμάτων τὰς ἰδέας (κατὰ μέθεξιν γὰρ ἔλεγον γίνεσθαι τὰ τῇδε ἐκ τῶν ἰδεῶν), τὰ ἐκείνων στοιχεῖα καὶ ἀρχάς, τῶν ἰδεῶν, ἀρχὰς πάντων τῶν ὄντων ὑπέλαβον. f. 31v
5 τῷ ὄντι γὰρ ἐκ τῆς ἑνάδος αἱ ἰδέαι, τουτέστιν ἐκ τῆς μιᾶς τῶν πάντων ἀρχῆς οἱ δημιουργικοὶ λόγοι· ἐκ δὲ τῶν δημιουργικῶν λόγων τὰ τῇδε γίνεται πάντα. ὡς μὲν οὖν ὕλην τὸ μέγα καὶ μικρὸν ἀρχὰς ὑπετίθεντο τῶν ὄντων, τουτέστι τὴν δυάδα. ἡ γὰρ δυὰς ἄρχεται πρώτη διαιρέσεως· τοιαύτη δὲ ἡ ὕλη ἐπ' ἄπειρον οὖσα διαιρετή. τὰς οὖν ἰδέας ἀρχὰς καὶ αἰτίας εἶναι
10 τοῖς ἄλλοις ἅπασι τοῦ εἶναι (κατὰ μέθεξιν γὰρ ἐκείνων τὰ ἄλλα), τὰς δὲ τῶν ἰδεῶν ἀρχὰς πάντων ἀρχὰς ἔθετο· ἀρχὰς δὲ τῶν ἰδεῶν ὡς μὲν ὕλην καὶ ὑποκείμενον τὸ μέγα καὶ τὸ μικρόν, δυάδα τινὰ οὖσαν, ὥς φησιν, ἀόριστον, ὡς δὲ οὐσίαν καὶ εἶδος τὸ ἕν, τουτέστιν ἐξ ὕλης καὶ εἴδους. τοῦτο δὲ ὅπως ἔλεγεν, ἑξῆς λέγει ἐξ ἐκείνων γὰρ κατὰ μέθεξιν τοῦ ἑνὸς
15 τὰ εἴδη εἶναι καὶ τοὺς ἀριθμούς. ἐξ ἐκείνων, τουτέστι τοῦ μεγάλου καὶ τοῦ μικροῦ, συνιόντων καὶ εἰδοποιουμένων ὑπὸ τοῦ ἑνὸς κατὰ μέθεξιν. τουτέστι τῷ μεταλαμβάνειν αὐτοῦ, τὰ εἴδη, φημὶ δὴ τὰς ἰδέας, αἵτινες καὶ αὐταί εἰσιν ἀριθμοί· εἰδητικοὺς γὰρ ἀριθμοὺς τὰς ἰδέας λέγουσιν.

p. 987b22 Τὸ μέντοι γε ἓν οὐσίαν εἶναι καὶ μὴ ἕτερόν τι τὸ ἓν
20 λέγεσθαι.

Τὸ γὰρ ἓν τοῦτο οὐ κατά τινος ἄλλου ὄντος κατηγόρουν, ἀλλ' οὐσίαν τινὰ τὸ ἓν ὑπετίθεντο εἶναι ἐν τῷ ἓν εἶναι τὸ εἶναι ἔχουσαν. τοῦτο δὲ καὶ περὶ Πλάτωνος ἱστορεῖ ὅτι παραπλησίως ἐκείνοις τὸ ἓν οὐσίαν ἔλεγεν εἶναι, οὐκ ἄλλο τι ὂν κατὰ τὸ ὑποκείμενον. τοῦτό τε οὖν, φησί, παραπλη-
25 σίως ἐκείνοις Πλάτων λέγει, καὶ τὸ ἀρχὰς καὶ αἰτίας τῶν ὄντων τοὺς ἀριθμοὺς τίθεσθαι.

p. 987b25 Τὸ δὲ ἀντὶ τοῦ ἀπείρου ὡς ἑνὸς δυάδα ποιῆσαι.

Φησὶν ὅτι οἱ Πυθαγόρειοι τὸ ἓν ἄπειρον ὑπετίθεντο ὡς ἀπειροδύναμον, ὁ δὲ Πλάτων δυάδα, εἴ γε τὸ ἄπειρον ἐκ μεγάλου καὶ μικροῦ, τὴν ὕλην
30 αἰνιττόμενος διὰ τὸ ἀόριστον αὐτῆς καὶ διὰ τὸ ἐπ' ἄπειρον εἶναι διαιρε- f. 32r
τήν. ἐκεῖνοι οὖν τὸ ἄπειρον μίαν τινὰ φύσιν ὑπετίθεντο, τουτέστι τὸ ὑποκείμενον καὶ τὸ ὑλικόν· Πλάτων δὲ δυάδα ἐποίει τὸ ὑποκείμενον καὶ τὸ

---

9 τὰς οὖν ἰδέας—λέγουσιν (18) Alexandri sunt 10. 11 τὰς τῶν ἰδεῶν αὐτῶν πάλιν ἀρχὰς Alex. 11 ἔθετο A Alex.: ἔθεντο BCD 12 καὶ τὸ ὑποκείμενον ἔλεγε τὸ μέγα Alex. 13 τουτέστιν — εἴδους Alex. non habet 17 post εἴδη add. εἶναι Alex. τουτέστι τὰς Alex. 21 τὸ γὰρ ἓν — τίθεσθαι (26) Alexandri sunt 22 τοῦτο δὴ Alex. 24 post ὑποκείμενον add. ἔπειτα τὸ ἓν εἶναι πεπονθός Alex. 25 Πλάτωνα ἐκείνοις λέγειν Alex. 32 Πλάτων δὲ — κατάλληλον (p. 49,6) Alexandri sunt

ἄπειρον, λέγων ἄπειρον, καθὸ μὴ ἔστι καθ' αὑτὸ εἰδοποιημένον· μέγα γὰρ καὶ μικρὸν καὶ ὑπεροχὴν καὶ ἔλλειψιν· ἐν τούτοις δὲ ἡ τοῦ ἀπείρου φύσις. οὐ ταὐτὰ δὲ τῷ εἴδει τὸ μέγα τῷ μικρῷ ὑπάρχει, οὐδὲ ὑπεροχὴ ἐλλείψει· ἐναντία γάρ, ὥστε οὐχ ἕν. τὸ δὲ ἄπειρον εἶπεν ἀντὶ τοῦ 'τὸ γὰρ ἄπειρον' κατ' αὐτὸν ἐκ μεγάλου καὶ μικροῦ. τοῦτο γὰρ τὸ ἐν τῇ λέξει κατάλληλον. τοῦτό τε οὖν ἴδιον Πλάτωνος παρὰ τοὺς Πυθαγορείους, καὶ ὅτι ὁ μὲν Πλάτων τοὺς ἀριθμοὺς ἔξω τῶν αἰσθητῶν κατέλιπεν, οὐχ ὡς ὕλην αὐτοὺς τοῖς οὖσιν ὑποβάλλων, οὐδὲ οὕτως αἰτίους τιθεὶς αὐτούς, οἱ δὲ Πυθαγόρειοι τὰ πράγματα καὶ τὰ ὄντα ἐκ τῶν ἀριθμῶν ἔλεγον συγκεῖσθαι, ἐξ ὧν εἴπετο αὐτοῖς τὸ πάντα τὰ ὄντα ἀριθμοὺς λέγειν. διαφέρουσι δὲ ἀλλήλων καὶ ὅτι ὁ μὲν Πλάτων τὰ μαθήματα μεταξὺ τῶν εἰδῶν καὶ τῶν αἰσθητῶν λέγει, οἱ δὲ Πυθαγόρειοι οὐδαμῶς.

p. 987ᵇ29 Τὸ μὲν οὖν τὸ ἓν καὶ τοὺς ἀριθμούς.

Ἐντεῦθεν ἀποδέχεται Πλάτωνα μᾶλλον τῶν Πυθαγορείων, καί φησιν οὕτως· τὸ μὲν ὑποθέσθαι ἓν καὶ τοὺς ἀριθμοὺς ἔξω ποιεῖσθαι τῶν αἰσθητῶν πραγμάτων, ὥσπερ οἱ Πυθαγόρειοι ἐκ τῶν ἀριθμῶν ἔλεγον συγκεῖσθαι τὰ πράγματα, καὶ ἡ τῶν εἰδῶν εὕρεσις καὶ εἰσαγωγὴ διὰ τὴν ἐν τοῖς λόγοις ἀκρίβειαν προσεγένετο τῷ Πλάτωνι. ἄπειροι γὰρ ἦσαν οἱ πρώην διαλεκτικῆς μεθόδου, φημὶ δὲ διαιρέσεως καὶ ὁρισμῶν. ἔγνω οὖν ἐντεῦθεν ὁ Πλάτων ὅτι οὐ δυνατὸν τὰ αἰσθητὰ συγκεῖσθαι ἐξ ἀριθμῶν ὡς ἐξ ὑλικῶν αἰτίων.

p. 987ᵇ29 Τὸ μὲν οὖν τὸ ἓν καὶ τὸν ἀριθμὸν παρὰ τὰ πράγματα ποιῆσαι καὶ μὴ ὥσπερ οἱ Πυθαγόρειοι, καὶ ἡ τῶν εἰδῶν εἰσαγωγὴ διὰ τὴν ἐν τοῖς λόγοις σκέψιν ἐγένετο.

Εἰπὼν ἐν οἷς διαφωνοῦσι, νῦν λέγει τὴν αἰτίαν δι' ἣν οὐχ ὁμοίως f. 32v ὁ Πλάτων τοὺς ἀριθμοὺς τῶν ὄντων ἀρχὰς ἔθετο τοῖς Πυθαγορείοις, ἀλλὰ τούτους τε ἐχώρισε τῶν αἰσθητῶν καὶ τὰς ἰδέας ἄλλας τινὰς οὐσίας τε καὶ φύσεις παρὰ τὰς αἰσθητὰς οὐσίας ἔθετο. διὰ γὰρ τὴν ἐν τοῖς λόγοις ἐξέτασιν καὶ διὰ τὴν διαλεκτικήν, ἧς οἱ πρότερον ἦσαν ἄγευστοι, τοῦ ἀκολούθου θεωρητικὸς ὁ Πλάτων γενόμενος καὶ διαιρέσεσι χρῆσθαι

1 prius ἄπειρον Alex. non habet καθὸ μὴ εἰδοποιεῖται καθ' αὑτό Alex. 2. 3 δὲ — φύσις] γὰρ εἶναι τὴν τοῦ ἀπείρου φύσιν Alex. 3 ταὐτὸν Alex. ὑπάρχει deest apud Alex. 3. 4 ἡ ὑπεροχὴ τῇ ἐλλείψει Alex. 5 ἄπειρον ὃ κατ' αὐτὸν Alex. 6 κατάλληλον ex Alexandro scripsi: ἀκατάλληλον libri 7 Πλάτων — οὐδαμῶς (12) Alexandri sunt κατέλιπεν Alex. cod. L: ἀπέλιπεν Alex. vulg. AD superscr. C: ὑπέλειπεν B 8 οὕτως αὐτῶν αἰτίους Alex. 11. 12 μαθηματικὰ μεταξὺ τῶν αἰσθητῶν καὶ τῶν ἰδεῶν Alex. 15 ὑποθέσθαι delendum est ἓν] lege τὸ ἓν 16 ὥσπερ] legendum καὶ μὴ ὥσπερ 25 εἰπὼν — αἰσθητῶν (p. 50,4) Alexandri sunt 27 τούτους Alex.: τούτοις libri 30 διαιρέσει συνεθισθεὶς ἐκ διαλεκτικῆς χρῆσθαι καὶ ὁρισμοῖς Alex.

συνεθισθεὶς καὶ ὁρισμοῖς ἐκ διαλεκτικῆς (ἄμφω γὰρ ταῦτα τοῦ διαλεκτικοῦ), ἦλθε διὰ τούτων εἰς ἔννοιαν τοῦ χωρίζειν τινὰ τῶν αἰσθητῶν καὶ ὑπολαμβάνειν εἶναί τινας ἄλλας φύσεις παρὰ τὰ αἰσθητά. ἡ γὰρ διαίρεσις ἡ μὲν τῶν γενῶν τε καὶ εἰδῶν οὐκ αἰσθητῶν, ἡ δὲ τῶν αἰσθητῶν ἀνάλυσίς ἐστι τῶν αἰσθητῶν εἰς τὰ στοιχεῖα καὶ τὰς ἀρχάς, ἃ οὐκ αἰσθητά. οὐ γὰρ ταὐτὸν τῶν αἰσθητῶν ἕκαστον τῷ καθ' ὃ τὸ εἶναι αὐτῷ· οὔτε γὰρ τὸ τεχνητὸν τῇ τέχνῃ, οὔτε τὸ φυσικὸν τῇ φύσει. ὥστε εἰ καὶ οἱ ἀριθμοὶ αἴτιοι τοῖς αἰσθητοῖς τοῦ τοιοῖσδε εἶναι ἢ τοιοῖσδε καὶ αἱ ἰδέαι, ἀλλὰ κεχώρισται αὐτῶν. καὶ οἱ ὁρισμοὶ οὐ τῶν αἰσθητῶν ὑπάρχουσιν ἀλλὰ τῶν καθόλου, ὥστε ὑπάρχουσι καὶ τὰ καθόλου. ἐκ τῆς τοιαύτης οὖν μεθόδου ἦλθεν ὁ Πλάτων εἰς ἔννοιαν τῶν νοητῶν.

p. 987b33 Τὸ δὲ δυάδα ποιῆσαι τὴν ἑτέραν φύσιν.

Πρώτους ἀριθμοὺς λέγει τοὺς μονάδι μόνῃ μετρουμένους, οἷον τὸν τρισκαίδεκα, τὸν ἐννεακαίδεκα, τὸν ἑπτακαίδεκα καὶ πάντας τοὺς ὁμοίους. οἱ οὖν ἄλλοι πάντες ὑπὸ δυάδος μετροῦνται, οἷον τρὶς πέντε δεκαπέντε (ὁ γὰρ τρία καὶ πέντε δυάς), τρὶς ὀκτὼ εἰκοσιτέσσαρες, δὶς πέντε δέκα, δὶς τρεῖς ἕξ, τρὶς τρεῖς ἐννέα· ὑπὸ δυάδος γὰρ γίνεται ὁ διπλασιασμός. ἐπεὶ οὖν πάντα ἐκ τῆς ὕλης γίνονται (διὸ καὶ πανδεχῆ αὐτὴν λέγουσι καὶ τιθήνην ὡς δεχομένην πάντα τὰ εἴδη) διὰ τοῦτο οὖν, φησίν, ἐποίησεν ὁ Πλάτων δυάδα τὴν ἑτέραν φύσιν, τουτέστι τὴν ὑλικήν, διὰ τὸ τοὺς ἀριθμοὺς πάντας, ὡς ἐδείξαμεν, ἔξω τῶν πρώτων ἐξ αὐτῆς γεννᾶσθαι ὥσπερ ἔκ τινος ἐκμαγείου, τουτέστι φαντασίας. καὶ ὁ Πλάτων γὰρ ἐν τῷ Θεαιτήτῳ τὴν φαντασίαν ἐκμαγεῖον ἐκάλεσε. καὶ οὕτως μὲν ὁ ἡμέτερος φιλόσοφος, ὁ δὲ ἐκ f. 33r
τῆς Ἀφροδισιάδος οὕτως ἐξηγεῖται τὸ χωρίον. λέγει γάρ, φησί, νῦν καὶ διὰ τοῦτο αὐτὸν τὴν δυάδα ποιῆσαι τὴν ἑτέραν φύσιν τῶν ἀρχῶν, διὰ τὸ τοὺς ἀριθμοὺς ἔξω τῶν πρώτων εὐφυῶς ἐξ αὐτῆς γεννᾶσθαι ὥσπερ ἔκ τινος ἐκμαγείου· τοῦτο δέ, ὅτι δοκεῖ αὐτῷ ἡ δυὰς διαιρετικὴ παντὸς εἶναι ᾧ προσήγετο· διὸ καὶ δυοποιὸν αὐτὴν λέγει. δὶς γὰρ ἕκαστον τῶν οἷς προσάγεται ποιοῦσα διαιρεῖ πως αὐτό, οὐκ ἐῶσα μένειν ὃ ἦν· ἥτις διαίρεσις γένεσίς ἐστιν ἀριθμῶν. ὡς γὰρ τὰ ἐκμαγεῖα καὶ οἱ τύποι πάντα τὰ ἐναρμοσθέντα αὐτοῖς ὅμοια ποιοῦσιν, οὕτω καὶ ἡ δυὰς ὥσπερ τι ἐκμαγεῖον οὖσα τῶν μετ' αὐτὴν γεννητικὴ ἀριθμῶν γίνεται, ᾧ ἂν προσαχθῇ, δύο τε καὶ διπλᾶ ποιοῦσα. τῷ μὲν γὰρ ἑνὶ προσαχθεῖσα τὰ δύο ἐποίησε (δὶς γὰρ ἓν δύο), τοῖς δυσὶ δὲ τὰ τέσσαρα (δὶς γὰρ δύο), τοῖς δὲ τρισὶ τὰ ἕξ (δὶς

---

2 εἰς ἐπίνοιαν διὰ τούτων Alex. 3 τὰς αἰσθητὰς A 6 τὸ εἶναί ἐστιν αὐτῷ τοιούτῳ Alex. 7 τεχνικὸν Alex. 8 ὁμοίως καὶ αἱ ἰδέαι Alex. 8. 9 ἀλλὰ—αὐτῶν] εἴη ἂν κεχωρισμένα αὐτῶν Alex. 9 ἀλλὰ καὶ οἱ ὁρισμοὶ Alex. 14 τὸν ἑπτακαίδεκα om. B 18 πανταχῇ B αὐτὴν scripsi: αὐτὸν libri 22 ἐν τῷ Θεαιτήτῳ] p. 191 C sqq. 24 λέγει γὰρ—ἄλλων (p. 51,1) Alexandri sunt 28 δυοποιὸν Alex.: εἰδοποιὸν libri ἐκάλει Alex. 30 ὡς γὰρ] ὥσπερ Alex. 32 γίνεται ἕκαστον ᾧ ἂν Alex. 33 διπλοῦν Alex. 34 post γὰρ δύο add. τέσσαρα Alex.: apponit etiam B, sed cf. quae sequuntur

γὰρ τρία)· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. οἱ οὖν πρῶτοι οὐ γίνονται οὕτως, οἷον ὁ γ̄ καὶ ὁ ε̄ καὶ ὁ ζ καὶ ὁ ιθ. δὶς γὰρ τρία ἓξ γίνονται, δὶς τέσσαρα ὀκτώ, καὶ οὐ γίνονται ἑπτά· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. κακῶς οὖν φησι τὴν ἑτέραν φύσιν δυάδα ποιῆσαι, τουτέστι τὴν ὑλικὴν ἀρχήν. τὸ
5 ἐναντίον συμβαίνει· οὐ γὰρ εὔλογον οὕτω. νῦν μὲν γὰρ ἐκ τῆς ὕλης πολλὰ ποιοῦσι, τὸ δὲ εἶδος ἅπαξ γεννᾷ μόνον. οἱ μὲν γὰρ τὴν δυάδα τὴν ὡς ὕλην ἀρχὴν τιθέμενοι πολλῶν αὐτὴν ποιοῦσι γεννητικήν· αὕτη γὰρ αὐτοῖς ἡ αὐτὴ λαμβανομένη τοῦ πλήθους καὶ τῶν ἀρτίων ἀριθμῶν πάντων ἐστὶ γεννητική, τοὺς μὲν συντιθεῖσά τε καὶ οὕτως γεννῶσα, τοὺς δὲ διαιροῦσα
10 δίχα. ἡ δὲ κατὰ τὸ εἶδος ἀρχὴ ἑνοποιός ἐστι τῷ ἕν τι εἶναι πᾶν τὸ εἰδοπεποιημένον τε καὶ ὡρισμένον κατὰ τὸ εἶναι. καὶ γὰρ τῶν ἀριθμῶν ἕκαστος ἕν τι· ἑνοποιὸν μὲν γὰρ τὸ ἓν αὐτό, διχοποιὸς δὲ ἡ ἀόριστος δυάς. οὐ μὴν ἐπὶ τῶν γινομένων ὁμοίως ἔχει, ἃ ἐκείνοις ὡμοίωται καὶ πρὸς ἐκεῖνα τὸ εἶναι ἔχει, ἀλλ' ἔμπαλιν. ἡ μὲν γὰρ ὕλη ἡ μία κατ' ἀριθμὸν ἑνός τινος f. 33v
15 εἴδους ἐστὶ δεκτικὴ καὶ γεννητική· οὐ γὰρ οἷόν τε ἐπὶ τῇ αὐτῇ ὕλῃ κατ' ἀριθμὸν ἅμα εἶναι πλείω εἴδη, ὡς εἶναι τὸ αὐτὸ ξύλον καὶ κλίνην καὶ τράπεζαν καὶ ἀβάκιον, ἀλλ' ἡ μία ὕλη ἕν τι εἶδος ἐνεργείᾳ μόνον ἔχει. τὸ μέντοι εἶδος ἓν ὂν τῷ ἀριθμῷ, πλείονα εἴδη ποιεῖ· ἡ γὰρ τέχνη εἶδός τι ἓν οὖσα καὶ ὁ τεχνίτης εἷς ὢν κατ' ἀριθμὸν πλειόνων ἐστὶ καὶ διαφερόν-
20 των ποιητικός· ἡ γὰρ τεκτονικὴ καὶ ὁ ἔχων αὐτὴν καὶ κλίνην ποιεῖ καὶ ἀβάκιον καὶ τράπεζαν, ὁ αὐτὸς καὶ εἷς ὑπάρχων κατ' ἀριθμόν. ὁμοίως δὲ ἔχει τοῦτο καὶ ἐπὶ τοῦ ἄρρενός τε καὶ θήλεος, ὧν τὸ μὲν θῆλυ ὕλην παρέχον τῷ γινομένῳ ὑπὸ μιᾶς πληροῦται ὀχείας, τὸ δὲ ἄρρεν πολλὰ θήλεα πληροῖ. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· ἡμεῖς δέ φαμεν ὅτι ὁ
25 Ἀριστοτέλης τὴν προσεχῆ ὕλην λαμβάνει τὴν μίαν κατ' ἀριθμόν. εἰδέναι γὰρ χρὴ ὅτι ἐκ τῆς πρώτης ὕλης πάντα γίνεται, καὶ ἄνθρωποι καὶ κλῖναι καὶ ἵπποι καὶ πάντα. Ἀριστοτέλης οὖν λαμβάνων τὴν προσεχῆ ὕλην παραλογίζεται, ὥς φησιν ὁ φιλόσοφος. Πλάτων μὲν οὖν, φησί, περὶ τῶν ζητουμένων νῦν ὑφ' ἡμῶν οὕτως διώρισε. ζητοῦνται δὲ αἱ ἀρχαὶ καὶ τὰ
30 αἴτια τῶν ὄντων· περὶ οὖν τῶν ἀρχῶν ταῦτα εἴρηται Πλάτωνι.

p. 988a8 Φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι δυοῖν.

Ἐκ τῶν ἱστορημένων, φησί, περὶ τοῦ Πλάτωνος φανερὸν ἡμῖν γέγονεν ὅτι δύο καὶ μόνας ἀρχὰς ὑποτίθεται, τὴν ὑλικὴν καὶ τὴν εἰδικήν. οὐδεὶς γὰρ τῶν ἄλλων τελικὴν αἰτίαν ὑπέθετο, ἀλλὰ ποιητικὴν μόνον. εἰρήκασι
35 γὰρ ποιητικὸν αἴτιον, τελικὸν δὲ οὐκ εἰρήκασιν· οὔτε γὰρ εἶπον καθάπερ,

6 οἱ μὲν γὰρ — πληροῖ (24) Alexandri sunt 7 τὴν deest Alexandro 10 εἶδος αὐτοῖς ἀρχὴ Alex. ἕν τι εἶναι Alex.: ἓν τιθέναι libri 10. 11 πᾶν τὸ εἶδος πεπερασμένον Alex. 13 οὐ μὴν οὕτως ἐπὶ Alex. ὁμοίως deest apud Alex. ἃ ἐκείνοις Alex.: οἷς libri 14 ὕλη μία Alex. 17 ἀβάκιον] βάθρον Alex. 19 τεχνίτης τις Alex. 20 ἡ γοῦν Alex. 21 βάθρον Alex. εἷς ὢν Alex. 28 φησὶν ὁ φιλόσοφος] Alex. p. 44,11 sqq. Bz.

φησίν. ἐγὼ εἶπον, ὅτι πάντα καὶ πτηνὰ καὶ ἔνυδρα καὶ χερσαῖα πρὸς τὸ πρῶτον ἐπεστραμμένα ὑπάρχουσι. λέγομεν οὖν ὅτι καὶ Πλάτων εἶπε τελικὸν αἴτιον· αὐτὸς γὰρ μαρτυρεῖ αὐτοῖς εἰρηκόσι τἀγαθὸν οὗ πάντα ἐφίεται. φανερὸν οὖν γέγονεν ἐκ τῶν εἰρημένων ὅτι δύο αἰτίαις καὶ μόναις ἐχρήσατο Πλάτων, τῇ εἰδικῇ καὶ ὑλικῇ. αἱ γὰρ ἰδέαι τῶν εἰδῶν ὑπάρχουσι παρακτικαί, τουτέστι τῶν οὐσιῶν, καὶ τῶν ἰδεῶν ἡ ἑνάς, φημὶ δὲ f. 34r τὸ πρῶτον αἴτιον ὑφ' οὗ τὰ πάντα παράγονται.

p. 988a 11 Καὶ τίς ἡ ὕλη ἡ ὑποκειμένη καθ' ἧς τὰ εἴδη.

Εἰπὼν δυσὶν αἰτίαις αὐτὸν κεχρῆσθαι καὶ μνημονεύσας τῆς κατὰ τὸ εἶδος αἰτίας καὶ δείξας πῶς ταύτην ἐτίθετο, προστίθησι τὴν δευτέραν καί φησι ταύτην εἶναι τὴν ὑλικήν. τίς γάρ ἐστιν ἡ ὕλη, δῆλον ὅτι ἡ ὑποκειμένη, καθ' ἧς τὰ εἴδη ἔν τε τοῖς αἰσθητοῖς καὶ ἐν ταῖς ἰδέαις λέγεται ὑπ' αὐτοῦ. εἰπὼν καὶ τὰ εἴδη γὰρ τοῦ τί ἐστιν αἴτια τοῖς ἄλλοις, τοῖς δὲ εἴδεσι τὸ ἕν. λέγων καὶ περὶ τῆς ὕλης τῆς εἰδοποιουμένης ὑπὸ τῶν εἰρημένων τῆς ἐν ἀμφοτέροις ἐμνημόνευσεν εἰπὼν καθ' ἧς τὰ εἴδη λέγεται τά τε ἐπὶ τοῖς αἰσθητοῖς καὶ τὰ ἐν τοῖς εἴδεσι, φημὶ δὲ ταῖς ἰδέαις. λέγεται γὰρ καὶ ἐν ἐκείναις καὶ ἐν τοῖς αἰσθητοῖς εἶναι ὑποκειμένη τις ὕλη, καθ' ἧς τὰ εἴδη, τουτέστιν ἡ εἰδοποιουμένη. ὅτι γὰρ δυάς ἐστιν αὕτη, ποταπὴ δὲ δυάς, διὰ τῆς προσθήκης ἐδήλωσεν· οὐ γὰρ ἡ ὡρισμένη, φησί, καὶ ἐν τοῖς ἀριθμοῖς, ἀλλ' ἡ ἀόριστος· τοιαύτη γὰρ τὸ μέγα καὶ τὸ μικρόν. ἄξιον δὲ ζητῆσαι πῶς λέγοντος Πλάτωνος καὶ ποιητικὸν αἴτιον ἐν οἷς λέγει "τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦ παντὸς εὑρεῖν τε ἔργον", ἀλλὰ καὶ τὸ οὗ ἕνεκα καὶ τέλος δι' ὧν πάλιν λέγει "περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶ κἀκείνου ἕνεκα πάντα", καὶ ὅμως οὐδ' ἑτέρου τούτων τῶν αἰτίων ἐμνημόνευσεν ὁ Ἀριστοτέλης ἐν τῇ δόξῃ τῇ Πλάτωνος; ἢ ὅτι ἐν οἷς περὶ αἰτίων ἔλεγεν, οὐδενὸς τούτων ἐμέμνητο, ὡς ἐν τοῖς Περὶ τοῦ ἀγαθοῦ δέδειχεν· ἢ οὐ πάνυ διηρθρωμένως, ὅτι τῶν ἐν γενέσει καὶ φθορᾷ, φησίν, οὐ τίθεται ταῦτα αἴτια, ἀλλ' οὐδ' ἐξείργαστό τι περὶ αὐτῶν.

p. 988a 14 Ἔτι δὲ τὴν τοῦ εὖ καὶ τοῦ κακῶς αἰτίαν τοῖς στοιχείοις ἀπέδωκε.

Φησὶν ὅτι ἔλεγε Πλάτων τὰ μὲν ἀγαθὰ γίνεσθαι ὑπὸ τοῦ ἀγαθοῦ, τὰ δὲ κακὰ ὑπὸ τοῦ κακοῦ· οὐχ ὅτι ἄκρατον κακὸν ὑπετίθετο, ἀλλὰ τὰ κατὰ

---

3 μαρτυρεῖ scripsi: μαρτυρεῖν libri 5 ὑλικῇ scripsi: τελικῇ libri 6 παρακτικαί scripsi, cf. p. 54,25. 26: πρακτικαί libri: παρεκτικαί Alex. 9 εἰπὼν — αὐτῶν (28) Alexandri sunt 10 πῶς αὕτη ἐστὶν αἰτία Alex. 11 τίς γὰρ ἦν ἡ ὕλη ἡ ὑποκειμένη Alex. 15 προειρημένων Alex. 15. 16 καθ' ἧς τὰ εἴδη τὰ μὲν ἐπὶ τῶν αἰσθητῶν τὰ δὲ ἐπὶ τοῖς εἴδεσι λέγεται, ἴσον λέγων τῷ καθ' ἧς τὰ εἴδη κτλ. Alex. 21 ζητήσαι δ' ἄν τις, πῶς κτλ. Alex. 22 τὸν μὲν οὖν κτλ.] Tim. p. 28 C εὑρεῖν τε καὶ δεῖξαι ἔργον Alex. 23 περὶ τὸν κτλ.] Plato epist. II p. 312 E 24 ἕνεκα Plato l. l. Alex.: ἕτερα libri 27 οὐ πάνυ διηρθρωμένως desunt apud Alex. 28 ἐξειργάσατο Alex. 32 ἀπὸ utrobique B

μέθεξιν. περὶ Πλάτωνος οὖν λέγει ὅτι τὴν τοῦ εὖ τε καὶ τοῦ κακῶς αἰτίαν. τουτέστι τὴν τῶν ἀγαθῶν καὶ τὴν τῶν κακῶν αἰτίαν τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέραν. τὴν μὲν τοῦ εὖ τῷ ἑνί (τοῦτο γὰρ τὸ πάν ὁρίζον αὐτὸ καὶ εἰδοποιοῦν). τὴν δὲ τοῦ κακῶς τῇ ἀορίστῳ δυάδι· αὕτη γὰρ
5 τοῦ πλήθους καὶ τῆς ἀνισότητος καὶ τῆς ἐν τοῖς οὖσιν ἀοριστίας ⟨αἰτία⟩ κατ' αὐτόν. εἰπὼν δὲ εἰρηκέναι Πλάτωνα περὶ τῆς ποιητικῆς αἰτίας (ἑκατέρῳ γὰρ τῶν στοιχείων ἀνατεθεικέναι αὐτὸν αἰτίαν ποιητικήν, τῷ μὲν ἑνὶ τὴν τοῦ εὖ, τῇ δὲ ἀορίστῳ δυάδι τὴν τοῦ κακῶς) ὑπέμνησεν ἡμᾶς ὅτι περὶ τῆς τοιαύτης αἰτίας ἐζήτησαν καὶ παλαιότεροι φιλόσοφοι οἱ περὶ Ἐμπεδοκλέα καὶ
10 Ἀναξαγόραν, καὶ ὁ μὲν Ἐμπεδοκλῆς ἐχρήσατο οὐ μόνον τῷ ⟨τοῦ⟩ εὖ αἰτίῳ, ἀλλὰ καὶ τῷ ⟨τοῦ⟩ κακῶς, διελὼν τὸ ποιητικὸν αἴτιον, ὡς εἰρήκαμεν καὶ περὶ Πλάτωνος· Ἀναξαγόρᾳ δὲ ὁ νοῦς τοῦ εὖ καὶ κακῶς μόνον ποιητικὸν ὑπάρχει.

p. 988a18 Συντόμως μὲν οὖν καὶ κεφαλαιωδῶς.

Συντόμως, φησί, καὶ ὡς ἐν κεφαλαίῳ διήλθομεν ὅτι τινὲς τῶν πρὸ
15 αὐτοῦ εἰρήκασι περὶ τῶν ἀρχῶν καὶ τῆς ἀληθείας. περὶ γὰρ τῆς ἀληθείας. ἔθος αὐτῷ καλεῖν τὴν θεωρητικὴν φιλοσοφίαν ἀλήθειαν. ὅμως δὲ τοσοῦτον ἔχομεν ἐξ αὐτῶν, οὗ χάριν ἤλθομεν ἐπὶ τὴν τῶν ἀρχῶν ἱστορίαν, ὅτι οὐδὲ εἷς ἄλλος τρόπος αἰτίας ἐστὶ παρὰ τὰς τέσσαρας τὰς εἰρημένας ὑπ' αὐτοῦ ἐν τῇ Φυσικῇ ἀκροάσει. καὶ τοῦτο φανερὸν γέγονε·
20 πάντες γὰρ οἱ περὶ αἰτίων εἰρηκότες τούτων τῶν αἰτίων οὐδὲ πάντων μνημονεύουσιν· ἀλλὰ πάντες ἀμυδρῶς μὲν περὶ τῶν αἰτίων εἰρήκασιν, ἐκείνων δέ πως ἁπτόμενοι φαίνονται τῶν ὑφ' ἡμῶν εἰρημένων. οἱ μὲν γὰρ ὑλικὴν τὴν ἀρχὴν ὑποτίθενται, ἄν τε μίαν ὑποθῶνται αὐτὴν ἄν τε πλείους μιᾶς, καθάπερ Παρμενίδης πῦρ καὶ γῆν, κἂν ἀσώματον ὑποθῶνται ταύτην τὴν
25 ὕλην κἂν σωματικήν. καὶ μνημονεύει Πλάτωνος πρότερον τοῦ ὑποθεμένου τὴν ὕλην ἀσώματον, τὸ μέγα καὶ τὸ μικρόν, ἔπειτα τῶν Πυθαγορείων, οἳ τὸ ἄπειρον, τοῦτο δὲ ἦν τὸ ἄρτιον. οὗτος γὰρ ἦν αὐτοῖς ὁ ἀριθμὸς ἐν ὕλῃ τιθέμενος· ὁ γὰρ περιττὸς πεπερασμένος τε καὶ εἴδους ἐπέχων χώραν. f. 35r
Ἀναξαγόρας δὲ τὴν τῶν ὁμοιομερῶν ἀπειρίαν· σῶμα ὕλην ὑπετίθετο.
30 οὐκ ἐμνημόνευσε δὲ Λευκίππου καὶ Δημοκρίτου, καθ' οὓς ἡ ὕλη καὶ σῶμα καὶ ἀσώματος· τὸ γὰρ κενὸν οὐ σῶμα· εἴρηκε γὰρ περὶ τούτων ἀνωτέρω.

1 λέγει — ποιητικὸν ὑπάρχει (12) Alexandri sunt 5 αἰτία ex Alexandro addidi
8. 9 ἡμᾶς ὡς περὶ τῆς τοιαύτης αἰτίας καὶ πρότερόν τινων ἐπιζητησάντων τε καὶ εἰπόντων εἰπών (sequuntur Arist. verba p. 988a15 ὥσπερ κτλ.) Alex. 10 καὶ ὁ μὲν] ὧν Alex.
10. 11 τοῦ utrobique ex Alexandro addidi 11 εἴρηκε Alex. 12 μόνον ἦν ποιητικὸν αἴτιον ὡς εἴρηκεν Alex. 15 περὶ — εἰρηκότες (20) Alexandri sunt περὶ δὲ Alex. 16 ἀλήθειαν ante ἔθος ponit Alex. 17 ἦλθεν Alex. 18 ἱστορίαν ὑπέμνησεν ἡμᾶς· τοῦ γὰρ βεβαιώσασθαι ὅτι μηδεὶς τρόπος Alex. 18. 19 τοὺς τέσσαρας τοὺς δεδειγμένους ἐν τῇ Alex. 19 ἐν τῇ Φυσικῇ ἀκροάσει] B 3 ὃ δῆλον γέγονε Alex. 24 γῆν scripsi: ὕδωρ libri 25 καὶ μνημονεύει — χώραν (28) pleraque Alexandri sunt 27 αἴτιον B 30. 31 οὐκ ἐμνημόνευσε — τούτων Alexandri sunt 31 ἀσώματον Alex. οὐ σῶμα] sic etiam Alex. cod. L: καὶ σῶμα Alex. vulg. φθάνει δὲ προειρηκέναι καὶ περὶ τούτων Alex. τούτου ACD

καὶ ἔτι ὅσοι ἀέρα καθάπερ Ἀναξιμένης, ἢ ὕδωρ καθάπερ Θαλῆς, ἢ πῦρ, καθάπερ Ἡράκλειτος, ἢ τὸ μεταξὺ καθάπερ Ἀναξίμανδρος, σωματικὴν ἀρχὴν ὑλικὴν ὑπετίθεντο. οὗτοι μὲν οὖν, ὡς εἴρηται, τῆς ὑλικῆς καὶ μόνης ἀρχῆς ἥψαντο. ἕτεροι δέ τινες πρὸς τῇ ὑλικῇ καὶ ποιητικὴν εἰρήκασιν. ὅσοι φιλίαν καὶ νεῖκος, καθάπερ Ἐμπεδοκλῆς, ἢ νοῦν, καθάπερ Ἀναξαγόρας, ἢ ἔρωτα, ὡς Παρμενίδης καὶ Ἡσίοδος. τὴν δὲ εἰδικὴν αἰτίαν σαφῶς οὐδεὶς εἶπε πλὴν τοῦ Πλάτωνος τοῦ ὑποτιθεμένου ἰδέας. τὰ γὰρ εἴδη οὐχ ὑποτίθενται ὡς ὑλικὸν αἴτιον, εἴ γε καὶ χωριστὰ αὐτὰ λέγουσιν, οὔτε δὲ ὡς τελικὸν αἴτιον ὑπολαμβάνουσι· τὰ γὰρ εἴδη ἀκινησίας αἴτια γίνονται τοῖς οὖσι, περατοῦντα τὴν ὕλην καὶ ἱστάντα αὐτήν, τὸ δὲ τελικὸν αἴτιον κινήσεώς ἐστιν αἴτιον· κινεῖ γὰρ πρὸς ἑαυτὸ τὰ πάντα. ὅτι δὲ μνημονεύει καὶ τοῦ τελικοῦ, ἐδείξαμεν διὰ τοῦ λέγειν αὐτοὺς τἀγαθὸν οὗ πάντα ἐφίεται, καὶ ὅτι πάντα ἀποβλέπουσιν εἰς τὸν βασιλέα τῶν πάντων.

p. 988ᵃ34 Ἢ ἔρωτα ποιοῦσιν ἀρχήν.

Δοκοῦσι λέγειν τελικὸν αἴτιον οἱ ὑποτιθέμενοι εἶναι ἔρωτα· τοιοῦτον γὰρ τὸ ὀρεκτόν. λέγομεν οὖν ὅτι εἰ μὲν οὕτως ἔλεγον ὅτι ὁ ἔρως τινὸς ἐφιέμενος ποιεῖ ἃ ποιεῖ, τῷ ὄντι ἔλεγον τελικὸν αἴτιον· μόνον δὲ τῷ ἔρωτι ἐν ταῖς ἀρχαῖς χρώμενοι ὡς ποιοῦντι, οὐκέτι δὲ λέγοντες τίνος χάριν, οὗ φασι τὸ τελικὸν αἴτιον. ὅτι δὲ τῆς κατὰ τὸ εἶδος ἀρχῆς Πλάτων ἐμνημόνευσε, δείκνυσιν· αἱ γὰρ ἰδέαι αὐτῷ αἰτίαι καὶ ἀρχαὶ οὖσαι οὔτε ὡς ὕλη εἰσὶν αἰτίαι (οὐ γὰρ ἐνυπάρχουσι τοῖς αἰσθητοῖς * * * ἀμέλει τοι τὸ νεῖκος καὶ ἡ φιλία στοιχεῖα κατὰ τὸν Ἐμπεδοκλέα, ἀλλ' οὐχ ὑλικά· οὔτε γὰρ f.35v ἐν τοῖς αἰσθητοῖς θεωροῦνται), οὔτε δὲ ποιητικὰ αἴτια ὑπάρχουσι τὰ εἴδη· τοῦ μὲν γὰρ ποιοῦντος ἴδιον τὸ κινεῖν, αὐτὰ δὲ στάσεως καὶ ἀκινησίας αἴτια τοῖς οὖσι. τῶν οὖν εἰδῶν παρακτικαί εἰσιν αὗται κατ' αὐτόν, ὥσπερ καὶ τὸ ἓν τῶν ἰδεῶν ἐστι παρακτικόν. τοῦ οὖν τελικοῦ αἰτίου οὐδαμῶς μέμνηται, οὗ ἕνεκα αἱ πράξεις καὶ αἱ μεταβολαὶ καὶ αἱ κινήσεις. τρόπον μὲν γάρ τινα λέγουσιν αὐτῶν αἴτιον, ὃν δὲ πέφυκε τρόπον, οὐ λέγουσιν. οἱ μὲν γὰρ λέγοντες φιλίαν ἢ νοῦν ὡς ἀγαθὸν μὲν τιθέασι ταύτας τὰς αἰτίας καὶ ὡς ποιητικάς, οὐ μὴν ὡς ἕνεκά γε τούτων ἢ ὄν τι ἢ γινόμενον, ἀλλ' ὅτι ἐκ τούτων αἱ κινήσεις. ὥστε ποιητικὸν μὲν αἴτιον λέγουσι, τελικὸν δὲ οὐ λέγουσιν. ὁμοίως δὲ καὶ οἱ ἓν λέγοντες εἶναι τὴν τῶν πάντων οὐσίαν, τουτέστιν οἱ περὶ Πλάτωνα, τὴν τοιαύτην φύσιν αἰτίαν

2. 3 σωματικὴν ὕλην B 6 Παρμενίδης] cf. Metaph. p. 984ᵇ27 Ἡσίοδος Theog. 120 10 περατοῦντες—ἱστάντες libri 12 ἐδείξαμεν] cf. p. 52, 2 13 ὅτι πάντα κτλ.] cf. p. 52,23 16 εἰ μὲν οὕτως ἔλεγον—παρακτικόν (26) pleraque Alexandri sunt 16. 17 τίνος ὁ ἔρως ἐφιέμενος Alex. 20 αὐτῷ αἰτίαι scripsi (κατ' αὐτὸν αἰτίαι Alex.): αὐτοαιτίαι libri 21 ἀμέλει τοι κτλ.] lacunam indicavi: Alex. haec habet τὰ δὲ ἐν τοῖς εἴδεσι λέγοι ἂν τὰς ἀρχὰς τῶν εἰδῶν· οὐδὲ γὰρ ταῦτα ὕλη τοῖς αἰσθητοῖς, ἀλλὰ αὐτὰ στοιχεῖα τῶν εἰδῶν, ὅτι ἐν ταῖς ἰδέαις εἰσὶν ὡς στοιχεῖα αὐτῶν. οὐ γὰρ τὰ στοιχεῖα ἐπὶ τῆς ὕλης λέγεται μόνης. τὸ γοῦν νεῖκος καὶ ἡ φιλία στοιχεῖα μὲν κατ' Ἐμπεδοκλέα καὶ ἐν τοῖς στοιχείοις, ἀλλ' οὐχ ὡς ὕλη 28 αὐτῶν] fort. αὐτὸ

φασὶν εἶναι τῆς οὐσίας. οὐ μέντοι γε τούτου ἕνεκα ἢ εἶναι ἢ γίνεσθαι. ὥστε λέγειν τε καὶ μὴ λέγειν αὐτοῖς περιίσταται τὸ ἀγαθὸν αἴτιον· οὐ γὰρ ἁπλῶς ἀλλὰ κατὰ συμβεβηκός. δείκνυσιν οὖν ὅτι οὐδεὶς τῶν πρὸ αὐτοῦ λόγον ἐποιήσατο περὶ τῆς τελικῆς αἰτίας. τρόπον μὲν γάρ τινα λέγουσι τὸ ἀγαθὸν αἴτιον. οὐ μὴν ὡς τέλος καὶ ὡς τούτου χάριν γινομένων τῶν ἄλλων, ὡς πέφυκεν εἶναι τὸ ἀγαθὸν αἴτιον, ἀλλ' ὡς ποιητικῷ αὐτῷ χρῶνται. Ἀναξαγόρας γὰρ τὸν νοῦν εἰσαγαγὼν καὶ Παρμενίδης τὸν ἔρωτα ἀγαθὰ μὲν καὶ ἀγαθοποιὰ αἴτια τίθενται ταῦτα, οὐ μὴν τούτων χάριν τὰ γινόμενα γίνεσθαί φασιν, ἀλλὰ αὐτὰ ταῦτα ποιητικὰ ἀγαθὰ αὐτοῖς ἐστι. τούτοις δὲ ὁμοίως καὶ τοὺς τὸ ἓν καὶ τὴν ἰδέαν ἀρχὰς θεμένους φησὶν εἰρηκέναι· τοὺς αὐτοὺς δὲ λέγει ἂν καὶ τὸ ὂν λέγειν· τὸ γὰρ ἓν καὶ τὸ ὂν Πλάτων ἔλεγεν, ὂν λέγων τό τε ἓν καὶ τὴν ἰδέαν· ταῦτα γὰρ κυρίως ὄντα. οὐ γὰρ τούτων ἕνεκεν γίνεσθαι τὰ γινόμενα, ἀλλὰ ἔστι ταῦτα αὐτοῖς τοῦ εἶναι αἴτια καὶ παρακτικά. τοῦ γὰρ εἴδους τοῦτο αἴτιον, ἀλλ' οὐ τούτων χάριν ἐκεῖνα γίνεταί τε καὶ ἔστι κατ' αὐτούς. καὶ μνημονεύουσιν οὖν τοῦ f. 36r ἀγαθοῦ ἐν τοῖς αἰτίοις, καὶ τρόπον τινὰ παραλείπουσιν αὐτὸ διὰ τὸ μὴ φυλάττειν αὐτῷ τὴν οἰκείαν χώραν· κατὰ συμβεβηκὸς δὲ ἂν λέγοι αὐτοὺς τοῦ ὡς ἀγαθοῦ αἰτίου μνημονεύειν, ὅτι τὸ ὡς ἀγαθῷ αἰτίῳ εἶναι αὐτῷ ἐστι τὸ τούτου ἕνεκα τὰ γινόμενα γίνεσθαι. οἱ οὖν μὴ φυλάσσοντες τῷ ὑφ' ἑαυτῶν λεγομένῳ ἀγαθῷ τὴν τάξιν ταύτην ἐν τοῖς αἰτίοις οὐχ ὡς τελικὸν ἀγαθὸν αὐτὸ λέγουσιν, ἀλλ' ᾧ συμβέβηκεν ἀγαθῷ εἶναι, τοῦτο ποιητικὸν αἴτιον τίθενται. λέγομεν οὖν ὅτι καὶ τελικὸν αἴτιον εἰρήκασι, λέγοντες τἀγαθὸν οὗ πάντα ἐφίεται· διὰ γὰρ τὴν ὑπερβλύζουσαν αὐτοῦ ἀγαθότητα πάντα αὐτοῦ ἐφίεται· ὁ γὰρ ἔρως ὁ πρὸς ἐκεῖνο ἑκάστου τελειότης ἐστί. πάλιν φησὶν ὁ Πλάτων 'περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶ κἀκείνου ἕνεκα πάντα', ὥστε σαφῶς λέγει τὸ τελικὸν αἴτιον.

p. 988b16 Ὅτι μὲν οὖν ὀρθῶς διώρισται.

Ὅτι μὲν οὖν ὀρθῶς εἰρήκαμεν περὶ τῶν αἰτιῶν καὶ πόσαι εἰσὶ καὶ τίνες, μαρτυροῦσιν ἡμῖν καὶ οἱ παλαιότεροι, μὴ δυνηθέντες ἅψασθαι ἄλλης αἰτίας παρὰ τὰς τέσσαρας τὰς εἰρημένας ὑφ' ἡμῶν. πρὸς δὲ τούτοις δεῖ γνῶναι, ἆρά γε πᾶσαι αἱ ἀρχαὶ ζητοῦνται ἢ ἔνιαι εἰς τὴν τῶν πάντων παραγωγήν. καὶ δῆλον ὅτι μάλιστα χρεία ἐστὶ τοῦ τελικοῦ αἰτίου. δεῖ οὖν ἡμᾶς εἰπεῖν, πῶς ἕκαστος τῶν πρὸ ἡμῶν εἴρηκε περὶ τῶν ἀρχῶν, καὶ διαπορῆσαι, εἴτε δυνατὸν εἶναι τῶν πάντων ὑλικὴν μόνην ἀρχήν, καθάπερ

---

3 δείκνυσιν οὖν — τίθενται (22) Alexandri sunt 3. 4 δείκνυσι δὲ ὅτι οὐδεὶς οἰκείως τῶν πρὸ αὐτοῦ περὶ ταύτης τῆς αἰτίας ἐποιήσατο τὸν λόγον Alex. 7 εἰσαγαγὼν καὶ ὁ Ἐμπεδοκλῆς τὴν φιλίαν ἀγαθὰ κτλ. Alex. 9 ταῦτα τὰ ποιητικὰ Alex. αὐτοῖς B Alex.: αὐτῆς ACD 14 αἴτια παρεκτικά Alex. 16. 17 τῷ τὴν οἰκείαν αὐτῷ χώραν μὴ φυλάσσειν Alex. 17 καὶ λέγει Alex. 18 τὸ ὡς Alex. cod. L: ὡς om. Alex. vulg.: τῷ ὡς libri 20. 21 οὐχ ᾗ ἀγαθὸν αὐτὸ αἴτιον ποιοῦσιν Alex. 22 τίθενται — αἴτιον om. B 25 ὁ Πλάτων] Epist. II p. 312 E 26 σαφῶς scripsi: ἀσαφῶς libri 33 ἡμᾶς om. A¹

τινὲς ὑπέθεντο, ἢ εἰδικὴν ἢ ποιητικὴν ἢ τελικήν. ταῦτα οὖν δεῖ ἡμᾶς ἐκθέσθαι καὶ ἀπορῆσαι καὶ ἐπιλύσασθαι. δεῖ οὖν εἰπεῖν περὶ τῶν ἀρχῶν ἢ περὶ πασῶν ὧν ἐξεθέμεθα, τετραχῶς διελόντες τὰ αἴτια (τὸ δὲ ἢ οὕτως ἅπασαι σημαίνοι ἂν ἴσον τῷ ἢ οὕτως ἁπάσας ζητεῖσθαι), ἢ ἐκ τῶν
5 τεσσάρων τινάς. καὶ γὰρ εἰ μὴ ἡ παροῦσα πραγματεία ἀπαιτεῖ τὸν περὶ f.36v
πάντων τῶν αἰτίων λόγον, ἀλλ' ὅ γε ζητούμενος τῶν αἰτίων τρόπος ἐν τοῖς τέτρασι καὶ αὐτὸς αἰτίοις ἐστί, καὶ οὐκ ἐκπίπτει τὰ αἴτια ταῦτα, διὰ τὸ μηδὲ εἶναι τρόπον ἄλλον τινὰ παρὰ τούτους αἰτίου. πρῶτον δὲ προτίθεται εἰπεῖν πῶς ἕκαστος τῶν προειρημένων εἴρηκε, καὶ τίνα ἑκάστῃ δόξῃ ἄπορα
10 ἕπεται. [οὐκ ἔστι τὸ πρῶτον σύνθετον. εἰπάτωσαν γὰρ τί τὸ αἴτιον τῆς συνθέσεως, καὶ δῆλον ὅτι ἄλλο, ὥστε ἐκεῖνο πρῶτον· καὶ τοῦτο ἐπ' ἄπειρον.]

p. 988b22 Ὅσοι μὲν οὖν ἕν τι τὸ πᾶν καὶ μίαν τινὰ φύσιν ὡς ὕλην τιθέασιν.

15 Ἐκθέμενος τὰς τῶν παλαιοτέρων δόξας, ἐντεῦθεν πειρᾶται διελέγχειν τὰ μὴ καλῶς ὑπ' αὐτῶν εἰρημένα. καὶ πρῶτόν γε περὶ τῶν φυσικῶν ποιεῖται τὸν λόγον, καὶ τῶν φυσικῶν τῶν ὑποτιθεμένων ἓν εἶναι τὸ στοιχεῖον. καί φησιν ὅτι βουλόμενοι περὶ πάντων τῶν ὄντων διαλέγεσθαι σωματικὴν ἀρχὴν μόνην ὑπετίθεντο, οὐκέτι μέντοι γε καὶ ἀσώματον. ἔδει δέ,
20 εἴπερ καὶ τῶν ἀσωμάτων καὶ τῶν σωμάτων μία ἐστὶ κυρίως ἀρχὴ ἡ ἀσώματος, ἡ παρακτικὴ τῶν πάντων καὶ δημιουργός. φαμὲν οὖν πρὸς τὸν Ἀριστοτέλη ὅτι ὡς φυσιολόγοι περὶ μόνων τῶν σωματικῶν ἀρχῶν διελέχθησαν· καὶ αὐτὸς γὰρ τοῦτο λέγεις ὅτι κεχώρισται ἡ φυσιολογία τῆς θεολογίας, καὶ οὐ δεῖ τὸν φυσικὸν διαλέγεσθαι περὶ τῆς πρώτης αἰτίας·
25 μείζονος γὰρ φιλοσοφίας τοῦτο ἔργον ἐστίν. εἰ οὖν τῷ ὄντι περὶ πάντων τῶν ὄντων διαλεγόμενοι οὐχ ὑπετίθεντο καὶ ἀσώματον ἀρχήν. τῷ ὄντι καλῶς αὐτοὺς πειρᾶται ἐλέγχειν ὁ Ἀριστοτέλης. φησὶν οὖν ὅτι οὔτε ποιητικὴν αἰτίαν ὑποτίθενται ἀλλὰ μᾶλλον ὑλικὸν αἴτιον, οὔτε δὲ εἰδικήν. καίτοι τὰ πράγματα κατὰ τὰ εἴδη χαρακτηρίζονται· αἱ γὰρ διαφοραὶ τῶν
30 πραγμάτων ἐκ τοῦ εἴδους βλαστάνουσι, καὶ ἕκαστον τῶν ὄντων κατὰ τὸ οἰκεῖον εἶδος χαρακτηρίζεται. ἄλλως τε δὴ τοῦτο τὸ ἓν στοιχεῖον εἰδοποιηθέν φυλάττουσι, λέγοντες αὐτὸ εἶναι ὑλικὸν αἴτιον. ὥστε συμ- f.37r
βήσεται ἀναιρεῖσθαι γένεσιν. φησὶ γὰρ δέχεσθαι τὸ πῦρ, εἰ τύχοι, τὸ ἀέριον εἶδος μὴ φθειρομένου τοῦ πυρός. τὸ δὲ τοιοῦτον ἀλλοίωσις καὶ
35 οὐ γένεσις, ὡς εἴρηται ἐν τῷ δευτέρῳ λόγῳ τῆς Περὶ γενέσεως καὶ φθορᾶς. ἔπειτα δὲ καὶ τὰ ἐναντία ἅμα τῷ αὐτῷ ὑποστήσονται, ὡς ἐν

2 περὶ τῶν ἀρχῶν—ἕπεται (10) Alexandri sunt 3 διελόμενοι τὴν αἰτίαν Alex. 4 ἅπασαι deest Alexandro 5 post τεσσάρων add. τούτων Alex. 7 αἰτίοις deest Alexandro 9 ἕκαστον libri ἄπειρα AD 10 οὐκ—ἄπειρον (12) delenda 19 ὑπέθεντο BD 21 παρεκτικὴ B 23 ὅτι κεχώρισται κτλ.] cf. Metaph. E 1 35 ἐν τῷ δευτέρῳ λόγῳ τῆς Περὶ γ. κ. φθ.] B 5 p. 332a6 sqq. cf. A 4

ἐκείνοις εἴρηται, ὅπερ ἐστὶν ἀδύνατον. ἀμετάβλητον δὲ ὑποτίθενται τοῦτο τὸ ἓν στοιχεῖον.

p. 988b22 Ὅσοι μὲν οὖν ἕν τε τὸ πᾶν.

Ὅσοι πρεσβεύουσιν ἓν εἶναι τὸ πᾶν, τουτέστι μίαν εἶναι τὴν ὑλικὴν ἀρχήν, καὶ ταύτην εἶναι ἀρχὴν τῶν πάντων (διό φησι καὶ μίαν τινὰ φύσιν ὡς ὕλην τιθέασι, καὶ ταύτην σωματικὴν καὶ μέγεθος ἔχουσαν), φανερὸν ὅτι κατὰ πολλοὺς ἁμαρτάνουσι τρόπους. τῶν γὰρ σωμάτων ἀρχὰς μόνον ὑποτίθενται. οὐκέτι δὲ καὶ τῶν ἀσωμάτων. οἷον ψυχῶν, ἀγγέλων καὶ πασῶν τῶν νοερῶν δυνάμεων. οὐ δυνατὸν οὖν ἀρχὴν ἀσωμάτου σῶμα εἶναι. δεύτερον ἐπιχειροῦντες ἀποδιδόναι τὰς αἰτίας πάντων τῶν ἐν γενέσει καὶ φθορᾷ καὶ περὶ πάντων ἁπλῶς φυσιολογοῦντες τὸ τῆς κινήσεως αἴτιον ἀναιροῦσι, φημὶ δὲ τὸ ποιητικὸν αἴτιον. πῶς δὲ δυνατόν ἐστι γένεσιν γενέσθαι ἄνευ τοῦ ποιητικοῦ αἰτίου τοῦ πόρρω καὶ τοῦ προσεχοῦς; διό φησιν ὁ Ἀριστοτέλης ἐν τῇ Φυσικῇ ἀκροάσει ὅτι "ὁ ἄνθρωπος ἄνθρωπον γεννᾷ καὶ ἥλιος." γένεσιν οὖν εἰσάγοντες τὴν αἰτίαν τοῦ γίνεσθαί τε καὶ κινεῖσθαι καὶ ὅλως τὸ ποιητικὸν αἴτιον παρέλιπον· οὐ γὰρ δὴ ἡ ὕλη γε ἐξ ἑαυτῆς ἔχει τὸ κινεῖσθαι. τὸ δὲ περὶ γενέσεως, ἀντὶ τοῦ γενέσεως καὶ φθορᾶς, ἐπιχειροῦντες τὰς αἰτίας λέγειν καὶ περὶ ἁπάντων φυσιολογοῦντες τῶν ὄντων, ὧν ἐν κινήσει τὰ πλεῖστα, τὸ τῆς κινήσεως αἴτιον, τουτέστι τὸ ποιητικόν, ἀναιροῦσι. πρὸς τούτοις δὲ τὸ εἰδικὸν αἴτιον οὐδενὸς αἴτιον τιθέασιν εἶναι· κατὰ δὲ τὸ εἶδος χαρακτηρίζονται τὰ πράγματα καὶ ὑφίστανται. ἡ γὰρ οὐσία ἑκάστου τὸ εἶδος αὐτοῦ ἐστιν, ὡς δηλοῦσι καὶ οἱ πάντων ὁρισμοί· ὁ γὰρ ἄνθρωπος ζῷον λογικὸν θνητὸν ὑπάρχει· αἱ γὰρ διαφοραὶ οὐκ ἐκ τῆς ὕλης ἀλλ' ἐκ τοῦ εἴδους.

p. 988b29 Καὶ πρὸς τούτοις τὸ ῥᾳδίως τῶν ἁπλῶν σωμάτων.

Πάλιν ἐντεῦθεν ἕτερον ἔγκλημα ἐπιφέρει κατ' αὐτῶν λέγων ὅτι καὶ κατὰ τοῦτο ἁμαρτάνουσι καθὸ ἕν τι τῶν ἁπλῶν σωμάτων ὑπέλαβον εἶναι ἀρχὴν τῶν ὄντων, ἢ πῦρ ἢ ὕδωρ ἢ ἀέρα· γῆν γὰρ μόνην αὐτὴν καθ' αὑτὴν οὐδεὶς ὑπέθετο (ὁ γὰρ Ξενοφάνης γῆν καὶ πῦρ ὑπετίθετο ἀρχὰς τῶν ὄντων), διότι παχύτερόν ἐστιν ἡ γῆ καὶ οὐκ ἐπιτηδεία πρὸς γένεσιν. τὰ γὰρ λεπτομερέστερα ἐπιτήδεια ὑπάρχουσι πρὸς τὴν τῶν ὄντων γένεσιν· ῥᾳδίως γὰρ μεταβάλλονται. διὸ μᾶλλον κατορθοῦσιν οἱ ὑποτιθέμενοι πῦρ, ἐπειδὴ πάντων τῶν ἄλλων στοιχείων λεπτομερέστερον ὑπάρχει, ἀέρος φημὶ καὶ ὕδατος καὶ τοῦ μεταξύ. ἰστέον δὲ ὅτι τὸ τῇ γενέσει πρότερον ὕστερόν ἐστι τῇ φύσει· ὅθεν τὸ ἔμβρυον τῇ μὲν γενέσει πρότερον ὑπάρχει, ὁ δὲ ἄνθρωπος ὁ τέλειος ὕστερός ἐστι τῇ γενέσει· ὁμοίως καὶ τὸ σπέρμα καὶ

---

8 ἀσωμάτων] ὑπαρχόντων καὶ ἀσωμάτων addit et rursus expungit A 14 ἐν τῇ Φυσικῇ ἀκροάσει] B 2 p. 194b13 17 τὸ δὲ περὶ — αἴτιον (19) Alexandri sunt τοῦ περὶ γενέσεως B 19 δηλονότι τῶν ὄντων Alex. 29 Ξενοφάνης] immo Parmenides

τὸ καταμήνιον πρῶτόν ἐστι τῇ γενέσει, τὰ δὲ ὁμοιομερῆ καὶ τὰ ὀργανικὰ ὕστερα. εἰ τοίνυν καὶ τὸ πῦρ πρῶτον τῇ γενέσει ὡς λεπτομερέστερον καὶ ἀρχοειδέστερον. μετὰ δὲ τὸ πῦρ ὁ ἀήρ. μετὰ δὲ τὸν ἀέρα τὸ ὕδωρ, μετὰ δὲ τὸ ὕδωρ ἡ γῆ, φανερὸν ὅτι τῇ γενέσει ὑστέρα ἐστὶν ἡ γῆ. ἀλλὰ τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερόν ἐστιν· ἀντιπεπονθότως γὰρ ἔχουσι ταῦτα. καὶ δῆλον ὅτι ἡ γῆ τῇ φύσει προτέρα ὑπάρχει τοῦ πυρός. καὶ ἔδει μᾶλλον καὶ αὐτὴν ἀρχὴν ὑποτίθεσθαι· νῦν δὲ οὐχ ὑποτίθενται. φησὶν οὖν ὅτι καὶ κατὰ τοῦτο ἁμαρτάνουσι, καθὸ ἓν μόνον στοιχεῖον ὑπέθεντο εἶναι ἀρχὴν πλὴν τῆς γῆς, οὐκ ἐπισκεψάμενοι τὴν ἐξ ἀλλήλων γένεσιν· οὐδὲν γὰρ αὐτῶν ἐστιν ἀρχοειδέστερον. ἀλλὰ τὰ τέσσαρα ἀρχῆς λόγον ἐπέχουσι πρὸς πάντα τὰ σώματα τὰ αἰσθητά, ἐπεὶ καὶ πάντα εἰς ἄλληλα μεταβάλλουσιν. ὡς εἴρηται ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς. τὰ μὲν γὰρ f. 38r παχέα ἐκ τῶν λεπτῶν συγκρίσει γίνονται, τὰ δὲ λεπτὰ ἐκ τῶν παχέων διακρίσει. τοῦτο δὲ πάνυ διαφέρει πρὸς τὸ πρότερον καὶ τὸ ὕστερον, ἡ τῆς ἐξ ἀλλήλων ἢ αὐτοῖς πρὸς τὴν γένεσιν διαφορά. εἰπὼν δὲ ταῦτα ἐφεξῆς δείκνυσιν ὅτι καὶ κατὰ τοὺς τῆς γενέσεως τρόπους σκοπουμένοις. κατὰ μὲν τὶ δόξει στοιχειωδέστατον καὶ ἀρχοειδέστατον εἶναι πάντων, ἐξ οὗ πρώτου κατὰ σύγκρισιν τῶν ἄλλων ἡ γένεσις· τοιοῦτον δ' ἂν εἴη τὸ μικρομερέστατον καὶ λεπτότατον τῶν σωμάτων. διόπερ ὅσοι πῦρ ἀρχὴν τῶν ὄντων τιθέασι. κατὰ τοῦτον τὸν λόγον εἶεν ἂν εὐλόγως λέγοντες· καὶ γὰρ τῶν ἄλλο τι λεγόντων σῶμα στοιχεῖον καὶ μὴ τὸ πῦρ ἕκαστος ὁμολογεῖ τὸ δεῖν τοιοῦτον εἶναι τὸ στοιχεῖον τῶν σωμάτων. διὰ τοῦτο οὖν οὐθεὶς τῶν ὑστέρων καὶ λεγόντων ἓν εἶναι στοιχεῖον τῶν πάντων εἶπε τὴν γῆν στοιχεῖον ὑπάρχειν· καὶ φανερὸν ὅτι διὰ τὴν μεγαλομέρειαν αὐτῆς. ἕκαστον δὲ τῶν ἄλλων τριῶν στοιχείων εἴληφε κριτήν, φημὶ δὴ προστάτην· οἱ μὲν γὰρ πῦρ ὡς Ἡράκλειτος, οἱ δὲ ὕδωρ ὡς Θαλῆς, οἱ δὲ ἀέρα ὡς Ἀναξιμένης. εἰπὼν δὲ ταῦτα ἀπορεῖ λέγων, δι' ἣν αἰτίαν μὴ καὶ τὴν γῆν ὑπέθεντο εἶναι στοιχεῖον, ὥσπερ δοκεῖ πολλοῖς τῶν ἀνθρώπων γῆ καὶ σποδός. ἀλλὰ καὶ ὁ ποιητὴς τοῦτο λέγει 'ἀλλ' ὑμεῖς μὲν αὖθις ὕδωρ καὶ γαῖα γένοισθε'. ἀλλὰ καὶ Ἡσίοδος· μετὰ γὰρ τὸ χάος πρώτην ταύτην γεννᾷ. ἀρχαία οὖν ἡ δόξα αὕτη ἐστὶν ἡ περὶ τῆς γῆς καὶ δημοτική. ἀρέσκουσα τοῖς πολλοῖς ἀνθρώποις.

p. 989 a 12 Κατὰ μὲν οὖν τοῦτον τὸν λόγον.

Φησὶν ὅτι κατὰ τὸν λόγον τοῦτον τὸν λέγοντα ὅτι δεῖ τὸ στοιχεῖον λεπτομερέστατον εἶναι ἐξ οὗ τοῖς ἄλλοις ἡ γένεσις, μόνοι κατορθοῦσιν οἱ

3. 4 μετὰ δὲ τὸ ὕδωρ in marg. add. A 12 ἐν τῇ Περὶ γ. καὶ φθ.] B 4 331 a 12 sqq. 14. 15 ἡ τῆς ἐξ ἀλλήλων γενέσεως αὐτοῖς διαφορά Alex. 15 εἰπὼν σωμάτων (22) Alexandri sunt ἐφεξῆς deest apud Alex. 16 καὶ deest apud Alex. σκοπουμένοις] sic etiam Alex. cod. L 17 δόξει πρῶτον εἶναι τῶν σωμάτων Alex. 18 ἡ τῶν ἄλλων Alex. 19 διὸ οἱ πῦρ τὸ στοιχεῖον θέμενοι Alex. 22 τὸ στοιχεῖον εἶναι Alex. 25 ἄλλων scripsi: ἁπλῶν libri 29 ὁ ποιητὴς] Il. H 99 ἀλλ' ὑμεῖς μὲν πάντες κτλ. 30 Ἡσίοδος] Theog. 116 sq.

πῦρ λέγοντες· οὔτε γὰρ οἱ ἀέρα οὔτε οἱ ὕδωρ οὔτε οἱ τὸ μεταξύ. οὐδὲν γὰρ οὕτως αὐτῶν ἐστὶ λεπτομερές, ὡς τὸ πῦρ.

p. 989a15 Εἰ δὲ ἔστι τὸ τῇ γενέσει πρότερον τῇ φύσει ὕστερον.

Εἰπὼν ταῦτα προστίθησι καθ' ὃν λόγον δύναται τὸ ἀνάπαλιν ἡ γῆ στοιχεῖον λέγεσθαι, λέγων εἰ δὲ ἔστι τὸ τῇ γενέσει πρότερον τῇ φύσει ὕστερον. ἔστι γὰρ ὃ λέγει τοιοῦτον. δοκεῖ ἀεὶ τῇ φύσει πρότερον εἶναι τὸ τέλειον, ὕστερον ὂν τοῦ ἀτελεστέρου. καὶ ὕστερον μὲν ἐν τῇ γενέσει γινόμενον τὸ τελειότερον· ὁ γὰρ ἄνθρωπος τελειότερός ἐστι τοῦ ἐμβρύου· τὸ δὲ ἀτελέστερον προϋπάρχει τῷ χρόνῳ, ὡς θεμέλιος οἰκίας καὶ παῖς ἀνδρός. κατὰ δὴ τὸν λόγον τοῦτόν φησι πάλιν ἔσεσθαι κάλλιον εἰρηκότας τοὺς τὰ παχυμερέστερα τῶν σωμάτων ὑποθεμένους· μᾶλλον γὰρ ταῦτα πεπέφθαι καὶ τετελειῶσθαι δοκεῖ τῶν ἀτελεστέρων καὶ πρώτων τῇ γενέσει· ἐξ ἐκείνων γὰρ εἰς τὰ παχύτερα ἡ μεταβολή. ὥστε εἰ τὸ πρότερον ἀρχή. τὸ τῇ φύσει τε καὶ οὐσίᾳ πρότερον μᾶλλον ἂν εἴη ἐν ἀρχαῖς, οὐ τὸ τῇ γενέσει. εἰ γὰρ τὸ πρῶτον τῇ γενέσει ὕστερον τῇ φύσει, τὸ ὕστερον δὲ τῇ γενέσει πρῶτον ἂν εἴη τῇ φύσει, ὑστέρα δέ, καθὸ συγκρίσει ἡ γένεσις, ἡ γῆ, αὕτη μᾶλλον ἀρχή, ἐξ ἧς πάλιν διακρίσει ἡ τῶν ἄλλων γένεσις. διάκρισις γάρ ἐστιν. ὡς εἴρηται. ἡνίκα ἐκ τῶν παχυτέρων γίνεται τὰ λεπτότερα. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι εἰ δὲ ἔστι τὸ τῇ γενέσει πρότερον τῇ φύσει ὕστερον. τὸ δὲ πεπεμμένον καὶ συγκεκριμένον, φημὶ δὴ τὸ παχυμερέστερον, ὕστερον τῇ γενέσει, τουτέστιν ἡ γῆ, τοὐναντίον προτέρα ἔσται ἡ γῆ, ὡς τῇ φύσει προτέρα ὑπάρχουσα. ἔστι γὰρ τῇ γενέσει πρότερον τὸ πῦρ κατ' αὐτούς, εἶτα ὁ ἀήρ, εἶτα τὸ ὕδωρ, αὖθις ἡ γῆ. ὥστε ὑστέρα τῇ γενέσει ἡ γῆ· τὸ δὲ ὕστερον τῇ γενέσει τῇ φύσει πρότερον ὑπάρχει· καὶ λοιπὸν μετ' αὐτὴν ὕδωρ, εἶτα ἀήρ, εἶτα πῦρ.

p. 989a18 Περὶ μὲν οὖν τῶν μίαν τιθεμένων αἰτίαν οἵαν εἴπομεν.

Πληρώσας τὸν ἔλεγχον τὸν κατὰ τῶν φυσικῶν τῶν ὑποτιθεμένων ἓν εἶναι τὸ στοιχεῖον καὶ ἀμετάβλητον, μετέρχεται ἐπὶ τοὺς φυσικοὺς πάλιν τοὺς περὶ Ἐμπεδοκλέα τοὺς ὑποτιθεμένους πολλὰ τὰ στοιχεῖα καὶ ἀμετάβλητα. φησὶν οὖν ὅτι περὶ τῶν ὑποτιθεμένων μίαν αἰτίαν τὴν πρώτην, f. 39r
οἵαν εἴπομεν, ἔστω τοσαῦτα εἰρημένα. τῷ δὲ αὐτῷ ἐγκλήματι ὑποπίπτει

4 εἰπὼν ταῦτα — γένεσις (17. 18) pleraque Alexandri sunt δύναιτο ἂν πάλιν Alex. 11 ὑποθεμένους στοιχεῖα Alex. 12 τῶν ἁπλουστέρων τε καὶ λεπτοτέρων καὶ πρώτων Alex. 12. 13 post γενέσει add. τὰ γὰρ λεπτομερέστερα πρῶτα τῇ γενέσει Alex. 13 παχυμερέστερα Alex. 14. 15 μᾶλλον ἂν εἴη ἀρχὴ τοῦ τῇ γενέσει προτέρου Alex. 16 prius δὲ om. B itemque deest apud Alex., qui tamen infra αὕτη ἄρα μᾶλλον ἀρχή (17) habet καθὸ] καθ' οὓς Alex. συγκρίνει B 17 πάλιν] μᾶλλον A 27 αἰτίαν] ἀρχὴν B 28 τῶν κατὰ B 31 τῶν ὑποκειμένων B

κἂν εἴ τις ταύτας τὰς ἀρχὰς τὰς ὑλικὰς πλείονας λέγῃ μὴ λέγων ἀσωμάτους ἀρχάς, οἷον ὥσπερ ὁ Ἐμπεδοκλῆς· τέσσαρα γὰρ αἴτια ὑποτίθεται ὑλικὰ καὶ οὔτε ποιητικὸν αἴτιον κυρίως λέγει τῶν κατὰ μέρος οὔτε εἰδικόν. διὸ συμβαίνει κατὰ τὶ μὲν τὰ αὐτὰ λέγειν τοῖς μίαν ὑποτιθεμένοις ἀρχήν, κατὰ τὶ δὲ διαφέρειν. καθὸ μὲν γὰρ ἀμετάβλητα ὑποτίθεται τὰ στοιχεῖα, τὰ αὐτὰ ἐκείνοις λέγει, καθὸ δὲ πλείονα, οὐ τὰ αὐτά. ὅτι γὰρ οὐκ εἰσὶν ἀμετάβλητα, αὐτὴ ἡ ἐνάργεια ἡμῖν ὑπαγορεύει· γινόμενά τε γὰρ αὐτὰ ὁρῶμεν ἐξ ἀλλήλων (τὸ γὰρ ὕδωρ τὸ ἐν τῷ λέβητι τελέως ἐξατμιζόμενον εἰς ἀέρα μεταβάλλει). ὡς οὐκ ἀεὶ διαμένοντος πυρὸς καὶ γῆς τοῦ αὐτοῦ σώματος, ὡς εἴρηται ἡμῖν περὶ αὐτῶν καὶ ἐν τῷ δευτέρῳ λόγῳ τῆς Περὶ γενέσεως καὶ ἐν τῷ τρίτῳ τῆς Περὶ οὐρανοῦ. ὅτι εἰ μὴ μεταβάλλονται, ἔσονται ἅμα τὰ ἐναντία καὶ οὐκ ἔσται γένεσις ἀλλὰ ἀλλοίωσις.

p. 989a25 Καὶ περὶ τῆς τῶν κινούντων αἰτίας πότερον ἓν ἢ δύο θετέον.

Ἰστέον ὅτι δύο αἴτια ποιητικὰ ὁ Ἐμπεδοκλῆς ὑπετίθετο, νεῖκος καὶ φιλίαν. καὶ κατὰ τοῦτο κατὰ τὶ μὲν αὐτὸν ἀποδέχεται· καθὸ μὲν γὰρ δύο ἀρχὰς ὑπετίθετο, τὴν μὲν μίαν τῆς συγκρίσεως καὶ τῆς εἰδοποιίας καὶ τῆς ἑνώσεως, τὴν δὲ ἑτέραν τῆς διακρίσεως καὶ τῆς ἀοριστίας καὶ τῆς διαστάσεως, κατὰ τοῦτο αὐτὸν ἀποδέχεται, ἐπειδὴ ταῦτα πάντα θεωροῦνται ἐν τοῖς πράγμασι. καθὸ δὲ οὐδὲν διελέχθη περὶ τοῦ ἁπλῶς αἰτίου, οὐκ ἀποδέχεται· ἔδει γὰρ αὐτὸν εἰπεῖν καὶ τὸ αἴτιον τῆς ἁπλῶς εἰδοποιίας ἅμα καὶ ἑνώσεως καὶ ἀοριστίας, καὶ διακρίσεως καὶ συγκρίσεως. πρὸ γὰρ τῶν 989v δύο τὸ ἕν· τὰ γὰρ δύο ἐκ τοῦ ἑνός· ὥστε ἀνάγκη εἶναι μίαν τὴν πάντων ἀρχήν. διὰ τοῦτο οὖν φησιν ὁ Ἀριστοτέλης ὅτι καὶ περὶ τῶν ποιητικῶν αἰτίων, πότερον ἓν ἢ δύο θετέον, οὔτε ὀρθῶς οὔτε ἀλόγως, ὡς ἐνεδείξαμεν. ἢ ὅτι ἀμφότερα καὶ συγκρίνουσι καὶ διακρίνουσιν, ὡς εἴρηται ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς· ἔσχεν οὖν πλέον τῶν ἄλλων φυσικῶν κατὰ τὰ ποιητικὰ αἴτια. ὅλως δὲ οἱ οὕτω λέγοντες καὶ γένεσιν καὶ ἀλλοίωσιν ἀναιροῦσιν· οὐ γὰρ ἂν οἱ ἀμετάβλητα ὑποτιθέμενοι τὰ στοιχεῖα λέγοιεν ὡς ἐκ θερμοῦ καὶ ψυχροῦ γίνεται· ἤγουν τὸ ἐναντίον, ἐπεὶ οὕτως ἔσονται τὰ ἐναντία, τῶν στοιχείων ὄντων ἀμεταβλήτων κατ' αὐτούς, καί τίς ἐστι φύσις μία, ἥτις γίνεται πῦρ καὶ ὕδωρ, ὅπερ ἐκεῖνος ὁ Ἐμπεδοκλῆς οὐ λέγει. οὐκ ἂν οὖν τὸ πῦρ μετεβάλλετο εἰς ὕδωρ ἢ τὸ ὕδωρ εἰς πῦρ. εἰ μὴ ὑπῆρχέ τις ὕλη ἀνείδεος, ἥτις παρὰ μέρος δέχεται ἀμφότερα τὰ ἐναντία. τοῦτο δὲ ὁ Ἐμπεδοκλῆς σαφῶς οὐ λέγει· ὅμως ἐξ ὧν ὑπο-

6 οὐκ ἀεὶ εἰσὶν B 9 καὶ εἰς libri; sed καὶ expungit A 10. 11 Περὶ γενέσεως] de Gener. et corr. B 5 11 Περὶ οὐρανοῦ] Γ 7 13 κινούντων] sic etiam Metaph. p. 989a25 cod. Ab 26 ἀμφότερα scripsi: ἀμφοτέρας libri 27 Περὶ γενέσεως καὶ φθορᾶς B 6 28 γένεσιν καὶ in marg. add. A1 29. 30 οὐ γὰρ ἂν οἱ - λέγοιεν scripsi: οὐ γὰρ ὅτ̄ (in rasura XI litt.) λέγουσιν A: οὐ γὰρ ἄνθρωποι — λέγουσιν BCD 30 καὶ ψυχροῦ] fort. ψυχρὸν; cf. p. 61,1 31 ἔσονται] fort. excidit ἅμα 32 ἥτις scripsi: καὶ τίς libri

τίθεται, ἀναγκάζεται λέγειν, ἡνίκα φησὶ 'γίνεται θερμὸν ἐκ ψυχροῦ καὶ τὸ ἐναντίον'.

p. 989a30 Ἀναξαγόραν δὲ εἴ τις ὑπολάβοι λέγειν δύο στοιχεῖα.

Καὶ ὁ Ἀναξαγόρας οὖν, φησί, δύο ὑπετίθετο τὰ στοιχεῖα, τὸν νοῦν ποιητικὸν αἴτιον καὶ τὰς ὁμοιομερείας ὑλικόν, καὶ ἔλεγε πάντα ἐν πᾶσι μεμῖχθαι. τοῦτο δέ ἐστιν ἀδύνατον τὸ εἶναι πάντα ἐν πᾶσιν ἐνεργείᾳ· οὕτως γὰρ ἔσονται πρὸ τῆς γενέσεως αὐτῶν· ἔπειτα δὲ συμβήσεται ἅμα εἶναι γραμμὴν καὶ λευκότητα καὶ μουσικὴν καὶ γραμμήν, ὅπερ ἐστὶν ἀδύνατον· οὔτε γὰρ πάντα πεφύκασιν εἰς πάντα μίγνυσθαι. ἔπειτα δὲ τὰ μιγνύμενα πρότερον αὐτὰ καθ' αὑτὰ ὑπάρχει πρὸ τῆς μίξεως· ἔσονται οὖν τὰ συμβεβηκότα αὐτὰ καθ' αὑτὰ ἄνευ οὐσιῶν, ἐπειδὴ μίγνυται, ὅπερ ἐστὶν ἀδύνατον. ἰστέον οὖν ὅτι ἢ συμβολικῶς ἔλεγες ταῦτα, ὦ Ἀναξαγόρα, ὅτι f. 40r πάντα ἐν πᾶσι. βουλόμενος ἐντεῦθεν δηλῶσαι τὴν ὕλην. ἐπειδὴ πάντα ἐν τῇ ὕλῃ ὑπάρχουσιν. ἢ τῷ ὄντι περιφανταζόμενος τὴν ὕλην ταῦτα ἔλεγες. ἐπεὶ γὰρ ἑώρα πάντα ἐκ πάντων γινόμενα. μὴ ἐπιστήσας τῇ εἰς τὴν ὕλην ἀναλύσει. ἀπεφήνατο πάντα ἐν πᾶσιν εἶναι ἐνεργείᾳ, ὅπερ ἐστὶν ἀδύνατον· δυνάμει μὲν γάρ ἐστιν, ἐνεργείᾳ δὲ οὐκ ἔστιν. ἀμέλει τοι εἰ εὗρέ τινα Ἀναξαγόρας ῥέγοντα χεῖρα ἐπὶ τὴν διάρθρωσιν, ἠγάπησεν ἄν, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος.

p. 989a30 Ἀναξαγόραν δέ.

Εἴ τις ὑπολάβοι τὸν Ἀναξαγόραν δύο λέγειν στοιχεῖα τὸν νοῦν καὶ τὰς ὁμοιομερείας, κατὰ λόγον ὁ τοιοῦτος ὑπολαμβάνει, ὃν λόγον ἐκεῖνος μὲν ὁ Ἀναξαγόρας οὐ διήρθρωσεν, ὡς εἰρήκαμεν. ἠκολούθει δὲ τοῖς διαρθροῦσιν αὐτόν. ἠκολούθει οὖν τοῖς τὴν δόξαν αὐτοῦ οὕτως ἐξηγουμένοις ὡς εἰρήκαμεν. ὅτι δυνάμει πάντα ἐν πᾶσιν ὑπάρχουσι καὶ οὐκ ἐνεργείᾳ. ἀτόπου γὰρ ὄντος καὶ ἄλλως τοῦ φάσκειν μεμῖχθαι τὴν ἀρχὴν πάντα δι' ἣν εἰρήκαμεν αἰτίαν, καὶ διότι δεῖ τὰ μιγνύμενα πρὸ τῆς μίξεως ὑπάρχειν αὐτὰ καθ' αὑτά (οὕτως δὲ οὐκ ἔσται ἡ μῖξις προτέρα) καὶ διὰ τὸ μὴ πεφυκέναι τῷ τυχόντι μίγνυσθαι τὸ τυχόν· πῶς γὰρ ἂν γραμμὴ καὶ λευκὸν μιχθείη, ἢ μουσικὸν καὶ λευκόν; ἔτι δὲ διὰ τὸ ἀκολουθεῖν τῷ οὕτω λέγοντι τὰ πάθη καὶ τὰ συμβεβηκότα χωρίζεσθαι τῆς οὐσίας καὶ καθ' αὑτὰ ὑφεστάναι· ὧν γὰρ μῖξις γίνεται, τούτων καὶ χωρισμός· ὥστε εἰ καὶ ταῦτα μέμικται (τῶν πάντων γὰρ καὶ ταῦτα) καὶ χωρίζοιντο ἂν καὶ ὑπάρξουσιν αὐτὰ καθ' αὑτὰ τὰ συμβεβηκότα, ὅπερ ἐστὶν ἀδύνατον. προσβοηθῶν δὲ τῇ δόξῃ αὐτοῦ Ἀριστοτέλης καὶ διαρθρῶν αὐτῆς τὸ βούλημά φησιν ὅτι εἴ τις ἀκολουθήσειε συνδιαρθρῶν ἃ βούλεται λέγειν, ἴσως ἂν φανείη καινοπρεπέστερον λέγων·

8 καὶ γραμματικόν B 15 ἑώρας C 26 ἐστήσαμεν B 28 οὐκ ἔσται] οὐκέτι Alex. 29 πῶς γὰρ ἂν — χωρίζοιντο ἂν (33) Alexandri sunt 30 fort. τὸ τὰ πάθη 32 καὶ εἰ Alex. 33 ὑπάρχουσιν B 35 διορθῶν C 35. 36 συνδιορθῶν C

ὅτι γὰρ οὐδέν ἐστιν ἀποκεκριμένον καὶ ἐνεργείᾳ ὑπάρχον ἐν τῇ ὕλῃ, f. 40v
φανερόν ἐστιν, ἐπεὶ εἰ εἶχέ τι ἐνεργείᾳ, οὐκ ἂν ἐδέξατο ἕτερον εἶδος. διὸ καὶ ὁ Πλάτων φησὶν ὅτι κεκοινώνηκε δὲ οὐδενὶ τῶν ἐν αὐτῇ θεωρουμένων. ὥστε οὐδέν ἐστιν ἀληθὲς εἰπεῖν κατὰ τῆς οὐσίας ἐκείνης, ὅτι οὔτε λευκόν ἐστιν οὔτε μέλαν οὔτε φαιὸν οὔτε ἄλλο τι χρῶμα, ἀλλ' ἄχρουν ἐξ ἀνάγκης· ἔμελλε γὰρ ἔχειν τι τούτων τῶν χρωμάτων καὶ οὐκ ἐδέχετο ἕτερον. διὸ κἀκεῖνός φησι 'δέχεται τὰ πάντα καὶ οὐδενὶ ὅμοιον ἐκληρώσατο εἶδος', περὶ τῆς ὕλης λέγων. ὁμοίως δὲ καὶ ἄχυμον τὸ δεχόμενον πάντας τοὺς χυμούς. οὐδὲν οὖν ἐστιν ἡ πρώτη καὶ ἀνείδεος ὕλη, οὔτε οὐσία οὔτε ποσὸν οὔτε ποῦ οὔτε ἄλλη τις κατηγορία. λέγει οὖν καὶ πῶς ἔστιν ἐπακολουθοῦντα τοῖς λεγομένοις ὑπ' αὐτοῦ συνδιαρθροῦν αὐτά. ὅτι γὰρ οὐδὲν ἦν ἀποκεκριμένον τε καὶ καθ' αὑτὸ ὂν ἐνεργείᾳ, δῆλον ὡς οὐδὲν ἦν κατὰ τῆς οὐσίας ἐκείνης καὶ τοῦ μίγματος τοῦ ὑπ' αὐτοῦ λεγομένου κατηγορῆσαι ἀληθῶς τῶν ὄντων· οὔτε γὰρ λευκὸν οὔτε μέλαν οὔτε φαιὸν οὔτε τι χρῶμα ἄλλο, οὐδὲ χυμόν τινα οὐδὲ ἄλλο τι τῶν τοιούτων ποιῶν οἷόν τε αὐτὸ λέγοντα εἶναι ἀληθεύειν, οὔτε ποσὸν οὔτε τινὰ τῶν ἐνεργείᾳ οὐσιῶν· ἦν γὰρ ἂν ἕν τι τούτων ἐν τῷ λεγομένῳ μίγματι ἀποκεκριμένον ἤδη καὶ ἐνεργείᾳ ὄν, ὅπερ ἦν ἀδύνατον μεμιγμένων πάντων· ἦν γὰρ ἂν τοῦτο ἄμικτον. λέγει γὰρ πλὴν τοῦ νοῦ πάντα μεμῖχθαι, τοῦτον δὲ μόνον ἀμιγῆ εἶναι καὶ καθαρόν.

p. 989b16 Ἐκ δὲ τούτων συμβαίνει λέγειν αὐτόν.

Συγκεφαλαιοῦται τὴν Ἀναξαγόρου δόξαν περὶ τῶν ἀρχῶν, ᾗ συγκατέθετο ἄν, εἴ τις τοῖς ὑπ' αὐτοῦ λεγομένοις ἑπόμενος συνδιήρθρου αὐτά, ὅτι ἔστι κατ' αὐτὸν ἀρχὴ νοῦς ἁπλοῦς ὢν κατ' αὐτὸν καὶ ἀμιγής (καὶ εἴη ἂν ἀνάλογον τῷ ἑνί) καὶ θάτερον, τουτέστι τὸ ἀόριστον· τοιοῦτον γὰρ ἡ ὕλη, πρὶν ὁρισθῆναι καὶ εἰδοποιηθῆναι, ἀόριστος καὶ μηδὲν ἐνεργείᾳ ἀλλὰ δυνάμει πάντα ἔχουσα ἃ δύναται γενέσθαι, ὁποῖον ἐκεῖνος τὸ μῖγμα ὑπέθετο. ὥστε λέγει μὲν οὔτε ὀρθῶς οὔτε σαφῶς· ἀλλ' οὐδὲ εἰ οὕτως λέγει f. 41r
ὡς αὐτὸς αὐτῷ βοηθῶν εἴρηκεν αὐτὸν βούλεσθαι λέγειν, ὀρθῶς ἂν λέγοι πάντῃ· δύο γὰρ μόνον ἀρχὰς ἂν λέγοι ἀντὶ τεσσάρων. ἔτι οὐδὲ πάντῃ οἷόν τε λέγειν οὕτως αὐτὸν εἰρηκέναι· τὰ γὰρ ὁμοιομερῆ τὰ ἐν τῷ μίγματι φαίνεται οὐ δυνάμει λέγων εἶναι ἀλλ' ἐνεργείᾳ. ἀλλ' οὐδὲ σαφῶς τι τούτων

1. 2 ὑπάρχον — ἐνεργείᾳ om. BCD 3 Πλάτων φησὶν] Tim. p. 50 Csq. 7 δέχεται τὰ πάντα κτλ.] δέχεταί τε γὰρ ἀεὶ τὰ πάντα, καὶ μορφὴν οὐδεμίαν ποτὲ οὐδενὶ τῶν εἰσιόντων ὁμοίαν εἴληφεν οὐδαμῇ οὐδαμῶς Plato l. l. 10 λέγει οὖν — καθαρόν (20) Alexandri sunt λέγει δὲ Alex. 11 συνδιορθοῦν B ὅτι] ὅτε Alex., cf. Metaph. 989b6 15 legendum quod Alex. habet τῶν τοιούτων. οὔτε γὰρ ποιόν 17 ἕν deest Alexandro 18 ὃ ἀδύνατον Alex. ἂν τοῦτο Alex.: αὐτοῦ τὸ libri 22 συγκεφαλαιοῦται — εἴρηκε (p. 63,1) Alexandri sunt 23 συνδιήρθρουν CD ὅτι ἦν Alex. 24. 25 ἀρχὴ τό τε ἕν (ὁ γὰρ νοῦς ἁπλοῦς ὢν κατ' αὐτὸν καὶ ἀμιγὴς εἴη ἂν ἀνάλογον τῷ ἑνί) καὶ θάτερον Alex. καὶ εἶπεν ἂν libri 25 γὰρ ἦν ἡ Alex. 27 ἐκεῖνος Alex.: ἐκεῖνο libri 28 ὥστε λέγειν Alex. 30 μόνα Alex. λέγει omisso ἂν D

λέγει ὧν εἴρηκε· βούλεται μέντοι τι παραπλήσιον τοῖς τε ὕστερον λέγουσι, τοῖς περὶ Πλάτωνα λέγει τοῖς τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ἀρχὰς τιθεμένοις τῶν ὄντων, καὶ τοῖς φαινομένοις μᾶλλον· ἐλλείπει τὸ ἀκόλουθα· ἀκόλουθα γὰρ μᾶλλον τοῖς φαινομένοις ὧν λέγειν δοκεῖ.

5 p. 989ᵇ21 Ἀλλὰ γὰρ οὗτοι μὲν τοῖς περὶ γένεσιν λόγοις καὶ φθορὰν καὶ κίνησιν.

Ἱστορήσας τὰς τῶν ἀρχαίων δόξας, ἃς περὶ τῶν ἀρχῶν ἔσχον, χωρίζει νῦν τοὺς φυσικοὺς ἀπὸ τῶν καὶ ἀσωμάτους ὑποθεμένων οὐσίας, καὶ παραιτησάμενος ἐκείνους ὡς οὐ περὶ πάσης τῆς οὐσίας πραγματευσαμένους,
10 οὐδὲ ὄντα χρήσιμα τὰ ὑπ' αὐτῶν λεγόμενα εἰς τὴν προκειμένην πραγματείαν, ἐπὶ τὸ διερευνήσασθαι τὰς δόξας τῶν Πυθαγορείων καὶ Πλάτωνος ὡς οἰκειοτέρας τῇ προκειμένῃ πραγματείᾳ μέτεισιν. οὗτοι γὰρ περὶ πάντων τῶν ὄντων λέγοντες ἐτίθεντό τινας οὐσίας καὶ παρὰ τὰς γενητάς τε καὶ φυσικὰς καὶ ὅλως σωματικάς τε καὶ αἰσθητάς. χρησιμωτέρα γὰρ εἰς τὴν
15 προκειμένην πραγματείαν ἡ τῆς τούτων δόξης ἐξέτασις, ἐπεὶ ἡ ζήτησις ἡμῖν περὶ τοιούτων αἰτίων, ἃ οὐ τῶν φύσει οὐδὲ τῶν ἐν κινήσει ἐστίν, ἀλλὰ περὶ τῶν νοητῶν τε καὶ ἀσωμάτων. ὁ γοῦν Ἀναξαγόρας εἰ καὶ εἶπε νοῦν ἀσώματον, ἀλλ' οὖν γε περὶ τῶν κατὰ μέρος ἀσωμάτων οὐ διαλέγεται, ψυχῆς καὶ ὅσα ἄλλα τοιαῦτα· ὁμοίως δὲ καὶ οἱ ἄλλοι φυσικοί, οὐδὲ
20 Πυθαγόραν φασὶ περὶ πάντων. οὗτοι οὖν [οὐ] περὶ πάντων τῶν ὄντων ποιοῦνται τὴν θεωρίαν, οἱ Πυθαγόρειοι· τῶν γὰρ ὄντων τὰ μὲν αἰσθητά τι- f.41v
θέασιν εἶναι, τὰ δὲ οὐκ αἰσθητὰ ἀλλὰ νοητά, καὶ φανερὸν ὅτι περὶ ἀμφοτέρων τῶν γενῶν ποιοῦνται τὴν σκέψιν. διὸ δεῖ ἡμᾶς περὶ αὐτῶν διαλεχθῆναι τί καλῶς ἢ οὐ καλῶς λέγουσιν εἰς τὴν νῦν προκειμένην ἡμῖν σκέψιν.

25 p. 989ᵇ29 Οἱ μὲν οὖν καλούμενοι Πυθαγόρειοι ταῖς μὲν ἀρχαῖς καὶ τοῖς στοιχείοις ἐκτοπωτέρως χρῶνται τῶν φυσιολόγων.

Ἐλέγξας τοὺς φυσικοὺς περὶ τῶν ἀρχῶν ὡς μὴ ὑποτιθεμένους κοινὰς ἀρχὰς πάντων τῶν ὄντων ἀλλὰ μόνας σωματικὰς ἀρχάς, καὶ καταλιπὼν τούτους ὡς μὴ ὅλως ὑποτιθεμένους ἀρχὰς καθολικὰς πάντων τῶν ὄντων
30 (οὐ γὰρ δὴ τῶν ἀσωμάτων ὑπετίθεντο ἀρχάς, ὡς εἴρηται), νῦν μετέρχεται ἐπὶ τοὺς Πυθαγορείους, οἵτινες καθολικὰς ἀρχὰς ὑποτίθενται πάντων τῶν ὄντων καὶ σωμάτων καὶ ἀσωμάτων, ἐπειδὴ καὶ αὐτός ἐστιν [ὁ] περὶ τῶν

---

1 λέγειν C¹: λέγων B: ὧν λέγει εἰρηκέναι Alex. 2 τοῖς περὶ — δοκεῖ (4) Alexandri sunt λέγει B Alex.: λέγειν ACD 3 θεμένοις Alex. ἐλλείπειν B 4 τὸ — γὰρ Alex.: τὰ ἀκόλουθα γὰρ libri 7 ἱστορήσας—ἀσωμάτων (17) Alexandri sunt τὰς περὶ τῶν ἀρχῶν Alex. 8 καὶ (post τῶν) deest apud Alex. 11 διερευνᾶσθαι Alex. 12 οἰκειοτέρας Alex.: οἰκειότης libri 13 οὐσίας ἑτέρας παρὰ Alex. 14 ὥστε χρησιμωτέρα Alex. 16 ἃ οὐδὲ Alex. 17 περὶ νοητῶν Alex. 18 νοῦν ἀσωμάτων BCD 19. 20 οὐδὲ — πάντων fort. delenda 20 οὐ delevi 32 ὁ delevi

ἀρχῶν κοινῶς πασῶν τῶν τε ἀσωμάτων καὶ σωμάτων λέγων. φησὶν οὖν ὅτι οἱ καλούμενοι Πυθαγόρειοι ἐκτοπωτέρως χρῶνται τῶν φυσιολόγων τοῖς στοιχείοις καὶ ταῖς ἀρχαῖς, τουτέστι κοινοτέρως καὶ ξενικωτέρως· ξενικωτέρως μέν, ὅτι ὑποτίθενται ἀρχὰς σωμάτων τοὺς ἀριθμοὺς καὶ ὑλικὰς καὶ
5 ποιητικὰς καὶ εἰδικάς, ὁμοίως δὲ καὶ τῶν ἀσωμάτων· κοινοτέρως δέ, ὅτι τούτους τοὺς ἀριθμοὺς λέγουσιν εἶναι καὶ τῶν σωμάτων καὶ τῶν ἀσωμάτων. πολλὰ δὲ ἄτοπα ἕπονται τῇ δόξῃ αὐτῶν, ἐπειδὴ ἀρχὰς ὑποτίθενται τῶν αἰσθητῶν τὰ μαθήματα· ἡ γὰρ ἀριθμητικὴ μαθηματική ἐστι. τὰ οὖν μαθηματικὰ ἀκίνητα ὑπάρχουσι· πῶς οὖν ἐν κινήσει ὑπάρχουσι τὰ φυσικὰ
10 πράγματα, τῶν ἀρχῶν καὶ τῶν ποιητικῶν καὶ πασῶν ἁπλῶς ἀκινήτων οὐσῶν; διαλέγονται μέντοι καὶ πραγματεύονται περὶ φύσεως πάντα· γεννῶσί τε γὰρ τὸν οὐρανὸν καὶ πάντα τὰ φυσικὰ πράγματα ἐκ τῶν ἀριθμῶν. εἰ οὖν ὑποτίθενται πέρας καὶ ἄπειρον καὶ περιττὸν καὶ ἄρτιον ἀρχάς, οὐκ ἔσται κίνησις ἐν τοῖς οὖσι· πάντα γὰρ ταῦτα ἀκίνητα ὑπάρχουσιν. ἄλλως
15 τε δέ, φησί, ὑποτίθενται τοὺς ἀριθμοὺς ἐν τοῖς αἰσθητοῖς εἶναι καὶ οὐδέ- f. 42r
ποτε ἄνευ τῶν αἰσθητῶν ὑπάρχειν. εἰ τοίνυν ἡ ἀρχὴ θέλει εἶναι προτέρα τῷ χρόνῳ ἢ ἀξιώματί φησι καὶ τῇ τάξει, οἱ δ' ἀριθμοὶ κατ' αὐτοὺς ἐν τοῖς αἰσθητοῖς ὑπάρχουσι, φανερὸν ὅτι οὐκ ἔσονται πρότεροι οἱ ἀριθμοὶ τῇ τάξει ἤγουν τῷ ἀξιώματι, εἴ γε καὶ ἐν αὐτοῖς τοῖς αἰσθητοῖς τὸ εἶναι ἔχουσιν.
20 ἀμέλει τοι κατὰ τοῦτο μᾶλλον αὐτῶν κατορθοῖ ὁ Πλάτων· ὑποτίθεται γὰρ καὶ αὐτὸς πάντα γίνεσθαι ἐκ τῶν ἀριθμῶν, ἀλλὰ τὰς ἀρχὰς τῶν αἰσθητῶν τῷ ὄντι ἐν τοῖς αἰσθητοῖς καὶ αὐτὸς ὑποτίθεται, τῶν δὲ νοητῶν κεχωρισμένους ἀριθμοὺς καὶ ἐξῃρημένους ὑποτίθεται, οὓς προσαγορεύει εἰδητικοὺς ἀριθμούς. ἐπειδὴ οὖν, φησίν, ἀδύνατόν ἐστιν ἐκ τῆς τῶν ἀριθμῶν συνθέ-
25 σεως πῦρ γενέσθαι ἢ ἕτερόν τι τῶν στοιχείων, παντελῶς οὐδὲ εἰρήκασι περὶ τῶν στοιχείων. ἢ πῶς ἄνευ κινήσεως καὶ μεταβολῆς γένεσιν εἶναι δυνατὸν καὶ φθοράν, οὐδὲν εἰρήκασι παντελῶς. ἄλλως τε οὐδὲ εἰρήκασι δι' ἣν αἰτίαν τῶν σωμάτων τὰ μὲν βαρέα ὑπάρχουσι, τὰ δὲ κοῦφα. ἐξ ὧν γὰρ ἀρχῶν ὑποτίθενται, μᾶλλον μαθηματικὰ λέγουσι σώματα ἥπερ φυσικά·
30 ἡ γὰρ ἀριθμητική, ὡς εἴρηται, μαθηματική ἐστι. τοῖς γὰρ λέγουσιν ἀρχὰς ὑλικὰς τῶν σωμάτων τὰ στοιχεῖα ἕπεται λέγειν καὶ κίνησιν, ἐπεὶ καὶ ποιητικὸν αἴτιον ὑποτίθενται τὴν κυκλοφορίαν τοῦ οὐρανοῦ, καὶ ὅτι κινοῦνται τὰ στοιχεῖα καὶ κίρνανται ἀλλήλοις, καὶ ποτὲ μὲν ἐκ τῆς τοιᾶσδε κινήσεως αὐτῶν τὴν τοῦ παντὸς γίνεσθαι γένεσιν, ποτὲ δὲ τὴν φθοράν· ὁμοίως δὲ
35 καὶ ὅτι τὰ μὲν γῆς μετέχοντα πλείονος βαρέα ὑπάρχουσι καὶ ὕδατος, τὰ δὲ πυρὸς ἢ ἀέρος κοῦφα. εἰ δὲ ἐκ τῶν ἀριθμῶν ὑποθώμεθα τὰ φυσικὰ πράγματα, οὐ ῥᾴδιον ἀποδοῦναι τὴν αἰτίαν τῆς κινήσεως, ἤγουν τῆς βαρύτητος καὶ κουφότητος. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης. ὁ δὲ ἡμέτερος φιλόσοφος Ἀμμώνιος συμβολικῶς, φησί, πάντα ταῦτα οἱ Πυθαγόρειοι ἔλεγον. f. 42v
40 ἐπειδὴ γὰρ ὁ ἀριθμὸς ὁριστικός ἐστι τοῦ πράγματος οὗ ἐστι, τοιαῦτα δὲ

17 ἀξιώματι—τάξει] fort. καὶ τῷ ἀξιώματι φημὶ δὴ τῇ τάξει δ' addidi
21 καὶ om. ACD 25 οὐδὲν B 26 καὶ πῶς B 36 ἀέρος καὶ πυρὸς B

καὶ τὰ εἴδη ὁριστικὰ τῆς ὕλης καὶ περιεκτικὰ αὐτῆς, διὰ τῶν ἀριθμῶν ἐδήλουν τὰ εἴδη ὑπάρχοντα ἐν τῷ παντί, ἐπεὶ μεστός ἐστιν ὁ κόσμος εἰδῶν. διὸ καὶ ἔλεγον τὴν δυάδα δόξαν, ἐπειδὴ ἄρχεται διαιρεῖσθαι ἡ δυάς· τοιαύτη δὲ καὶ ἡ δόξα ἐπαμφοτερίζουσα. πάλιν δὲ τὸν ἑπτὰ ἀριθμὸν ἐκάλουν καιρόν, ἐπειδὴ τὰ ἑπτάμηνα τικτόμενα ζῶσι, καὶ διὰ τὰς διαφόρους ἡλικίας, ὅτι μέχρι ἑπτὰ ἐτῶν † καὶ ἐκεῖθεν ἄρχεται ὀδοντοφυεῖν, εἶτα ἐν τῇ τρίτῃ ἑβδομάδι πάνυ αὔξει καὶ ἄρχεται σπερμαίνειν, ὡς ἀνωτέρω ἐπὶ πολὺ εἴρηται περὶ αὐτοῦ· πρὸς τούτοις δὲ ὅτι ἡ ἑβδόμη ἡμέρα κρίσιμος ὑπάρχει. πάλιν δὲ τὸν ἓξ ἀριθμὸν ἔλεγον κρίσιν, ὃς καὶ ἔστιν ἀρτιοπέριττος. ἀρτιάκις γὰρ ἄρτιός ἐστιν ἀριθμὸς ὁ ἀναλυόμενος μέχρι μονάδος αὐτῆς, ὥσπερ ὁ $\overline{\lambda\beta}$, $\overline{\iota\varsigma}$, $\overline{\eta}$, $\overline{\delta}$, $\overline{\beta}$, $\overline{\alpha}$· περισσάρτιος δὲ ὁ διαιρούμενος εἰς ἀρτίους κατὰ τὴν πρώτην διαίρεσιν, ὕστερον δὲ εἰς περιττούς, ὥσπερ ὁ $\overline{\iota\beta}$· διαιρεῖται γὰρ εἰς $\overline{\varsigma}$ καὶ $\overline{\varsigma}$, καὶ πάλιν εἰς $\overline{\gamma}$ καὶ $\overline{\gamma}$. ἐκάλουν οὖν τὸν $\overline{\varsigma}$ ἀριθμὸν κρίσιν, ἐπειδὴ πρῶτος διαιρεῖται εἰς δύο περιττοὺς ἀριθμούς· ὁ γὰρ δύο διαιρεῖται εἰς μονάδας, ἡ δὲ μονὰς οὐκ ἔστιν ἀριθμός. πάλιν τὸν περισσάρτιον, τουτέστι τὸν $\overline{\iota\beta}$, ἐκάλουν μῖξιν, ἐπεὶ καὶ εἰς ἀρτίους διαιρεῖται, εἰς $\overline{\varsigma}$ καὶ $\overline{\varsigma}$, καὶ εἰς περιττούς, εἰς τρία καὶ τρία. πάλιν δὲ τὸν πέντε ἀριθμὸν ἐκάλουν ἱερὸν δικαιοσύνης καὶ ἀνικίαν, ἐπειδὴ ὁ πέντε διαιρεῖ δίχα τὸν τέλειον ἀριθμόν, καὶ οὐδέτερον μέρος νικᾷ ἐν αὐτῷ, ἀλλὰ τὸ ἴσον ἔχει ἑκάτερος· διὸ καὶ ἀνικίαν ἔλεγον τὸν τοιοῦτον καὶ ἱερὸν δικαιοσύνης. αὖθις δέ φησι πρὸς αὐτοὺς ὁ Ἀριστοτέλης ἐγκαλῶν αὐτοῖς ὅτι πῶς δεῖ λαβεῖν ἀρχὰς τοὺς ἀριθμοὺς τῶν καὶ νῦν ὄντων καὶ κινουμένων f. 43r καὶ ἐξ ἀρχῆς ὄντων, ἐπειδὴ ἐν τοῖς αἰσθητοῖς ἱδρύετε τοὺς ἀριθμούς; πῶς οὖν τὰ ἐν αὐτοῖς ἱδρυμένα ἀρχαὶ αὐτῶν ὑπάρχουσι καὶ τῶν μελλόντων γίνεσθαι καὶ τῶν ἤδη γενομένων; ἔπειτα ἐκ τοῦ μίγματος λαμβάνεται αὐτῶν· φασὶ γὰρ τοὺς ἀριθμοὺς ἐγκαταμεμῖχθαι ἐν ἅπασι τοῖς οὖσι. καὶ τοῦτο δὲ συμβολικῶς λέγουσιν· ἐπειδὴ γὰρ πανταχοῦ τὰ εἴδη, διὰ δὲ τῶν ἀριθμῶν τὰ εἴδη ἐδήλουν, τούτου χάριν οὕτως ἔλεγον.

p. 989b29 Οἱ μὲν οὖν καλούμενοι Πυθαγόρειοι ταῖς μὲν ἀρχαῖς καὶ τοῖς στοιχείοις ἐκτοπωτέρως χρῶνται, ὡς εἴρηται.

Αἰτιᾶται τοὺς Πυθαγορείους, οἳ δοκοῦσι καὶ αὐτοὶ καὶ τῆς ἀσωμάτου φύσεως μνημονεύειν, ὅτι ἀρχὰς ὑπέθεντο ξενικωτέρας καὶ ἀπηρτημένας τῶν φυσικῶν καὶ ἐκτοπωτέρας, τουτέστιν ἐπὶ πλέον ἐκτεταμένας καὶ ἐκβεβηκυίας καὶ δυναμένας καὶ ἄλλων φύσεων ἀρχὰς εἶναι· ἀσωμάτους γὰρ καὶ ἀκινήτους· οἱ γὰρ ἀριθμοὶ τοιοῦτοι.

---

6 καὶ — ὀδοντοφυεῖν] locus depravatus; cf. p. 34,25 7 ἀνωτέρω] cf. p. 34,24 sqq. 14 πρῶτος scripsi: πρότερος libri 15 μονάδας scripsi: μονάδα libri 18 ἀδικίας B 23 ἱδρύεται BD 25 ἐπειδὴ B 31 αἰτιᾶται — τοιοῦτοι (35) Alexandri sunt

p. 989b31 Τὸ δὲ αἴτιον ὅτι παρέλαβον αὐτὰς οὐκ ἐξ αἰσθητῶν.

Τὴν αἰτίαν λέγει δι' ἣν οὐκ ἐκ τῶν αἰσθητῶν ὁρμώμενοι ἐχρήσαντο ταῖς τοιαύταις ἀρχαῖς καὶ ἔλαβον αὐτάς (τὸ γὰρ παρέλαβον ἀντὶ τοῦ ἔλαβόν ἐστιν), ἀλλ' ἀπὸ τῶν μαθημάτων, ἐν οἷς ἐντραφέντες ἐκ τούτων καὶ τούτοις ἀκολούθως ἔθεντο τὰς ἀρχάς. ταῦτα δέ ἐστι τὰ μαθηματικά, ὧν κατ' αὐτοὺς ἀρχαὶ οἱ ἀριθμοί. ἃ ἔξω κινήσεως πάντα καὶ οὐ φυσικά, χωρὶς τῶν ἐν ἀστρολογίᾳ· καὶ γὰρ ἡ ἀστρονομία μαθηματικὴ μέν, ἀλλὰ περὶ φυσικῶν τε καὶ κινουμένων ὁ λόγος αὐτῇ· τὰ γὰρ ἄστρα, περὶ ὧν πραγματεύεται, φυσικά τε καὶ ἐν κινήσει. ἀμέλει τοι ἐζήτησεν ἐν τῷ δευτέρῳ λόγῳ τῶν Φυσικῶν τὰς διαφορὰς τοῦ φυσικοῦ καὶ τοῦ ἀστρονόμου, εἴ γε καὶ αὐτὸς ὁ ἀστρονόμος διαλέγεται περὶ φυσικῶν σωμάτων καὶ κινουμένων· καὶ εἶπεν ἐν ἐκείνοις ὅτι ὁ μὲν φυσικὸς τὴν ὅλην σκοπεῖ τῶν οὐρανίων ὁποία ἐστίν, ὅτι ὑποκείμενον, εἰ τύχοι, ὅτι οὐ δέχεται τὰ ἐναντία· f. 43v ὁ μέντοι γε ἀστρονόμος οὐ φροντίζει τῆς ὅλης, εἴτε ἀερία ἐστὶν εἴτε πυρία εἴτε ἄλλη τις, ἀλλὰ μόνον τὴν κίνησιν τῶν ἀστέρων περιεργάζεται. φησὶν οὖν ὅτι οἱ Πυθαγόρειοι διαλέγονται καὶ πραγματεύονται περὶ φύσεως πάντα· γεννῶσί τε γὰρ τὸν οὐρανὸν καὶ περὶ τὰ τούτου μέρη πραγματεύονται. τουτέστι περὶ ἄστρων κινήσεις τοίας ἢ τοίας, καὶ διαλέγονται περὶ παθῶν, φημὶ δὴ ἐκλείψεων, καὶ διατηροῦσι τὸ συμβαῖνον περὶ τὰ ἔργα. τουτέστι περὶ τὰς δύσεις καὶ τὰς ἀνατολάς· καὶ τὰς ἀρχὰς ἑαυτῶν καὶ τὰ αἴτια εἰς ταῦτα καταδαπανῶσι καὶ ὁμολογοῦσι καὶ ὁμοφωνοῦσι κατὰ τοῦτο τοῖς ἄλλοις φυσιολόγοις, ὅτι τό γε ὂν τοῦτ' ἔστιν ὅσον ἐστὶν αἰσθητὸν καὶ περιείληφεν ὁ καλούμενος οὐρανός. οὐδὲν γάρ ἐστιν ἔξω τοῦ οὐρανοῦ, ὡς ἀρέσκει καὶ τῷ Πλάτωνι καὶ τῷ Ἀριστοτέλει, καὶ πολλοὺς λόγους τέθεικεν ἐν τῇ Φυσικῇ ἀκροάσει κατασκευαστικοὺς τοῦ τοιούτου, ὅτι οὐδέν ἐστι παντάπασιν ἔξω τοῦ οὐρανοῦ. ταῦτα οὖν γεννῶσιν ἐξ ἐκείνων· τόν τε γὰρ οὐρανὸν καὶ τὰ ἐκείνου μέρη γεννῶσιν ἐκ τῶν ἀρχῶν ἃς ὑποτίθενται (αὗται δέ εἰσι τὸ ἄρτιον καὶ τὸ περιττόν, ὡς εἴρηται), καὶ τὰ συμβαίνοντα καὶ περὶ ταῦτα ἀποδιδόασι (ταῦτα λέγω τὰ ἐν τῷ οὐρανῷ), ὡς οὐδενὸς ὄντος ἢ γινομένου ἐξ αὐτῶν ἄλλου παρὰ τὰ αἰσθητά, ὁμολογοῦντες κατὰ τοῦτο τοῖς φυσικοῖς, οἳ οὐδὲν ἡγοῦντο παρὰ τὰ φυσικά τε καὶ ἐν κινήσει εἶναι· καίτοι τοιαύτας ἀρχὰς ὑποθέμενοι αἳ ἱκαναὶ ἦσαν καὶ τῶν ἀσωμάτων καὶ ὑπὲρ τὰ φυσικὰ ὄντων ἀρχαὶ λέγεσθαι, καὶ μᾶλλον ἁρμόττουσαι τοῖς ὑπὲρ φύσιν ἢ τοῖς περὶ φύσεως. οἱ γὰρ ἀριθμοὶ μᾶλλον ἀρχαὶ τῶν ἀσωμάτων ἤπερ τῶν

2 τὴν αἰτίαν—κινήσει (9) pleraque Alexandri sunt οὗ τὸ αἴτιον ἅμα ἀποδίδωσιν ὅτι οὐκ ἐκ τῶν αἰσθητῶν ὁρμώμενοι ἔθεντο καὶ ἔλαβον αὐτάς Alex. 4 ἀλλὰ ἐκ τῶν Alex. ἐν deest apud Alex. 5 καὶ τὰς ἀρχάς Alex. 6 ταῦτα δὲ ἔξω κινήσεως πάντῃ 7 ἡ ἀστρολογικὴ Alex. 10 τῶν Φυσικῶν] B 2 12. 13 οὐρανίων scripsi: οὐρανῶν libri 13 ὅτι ὑποκείμενον—ἐναντία fort. delenda sunt 18 ἢ ποίας BCD 22 ὅτι τὸ γαῖον τουτέστιν libri 25 ἐν τῇ Φυσικῇ ἀκροάσει] Γ 5 sqq. 26 ταῦτα οὖν γεννῶσιν—λέγεσθαι (33) Alexandri sunt καὶ ταῦτα Alex. 28 προείρηται Alex. συμβαίνοντα περὶ Alex. 30 post αἰσθητὰ add. καὶ σώματα Alex. 31 καίτοι Alex.: καὶ libri

σωμάτων. αἰτιᾶται οὖν αὐτοὺς καὶ κατὰ τοῦτο, ὅτι οὐδὲ τούτων ἱκανῶς τὰς αἰτίας ἀπέδοσαν. ὁ γὰρ μάλιστα ἴδιον τούτων, ἡ κίνησις, πῶς αὕτη γίνεται ἐν αὐτοῖς ἐκ τοιούτων ἀρχῶν οὖσί τε καὶ γινομένοις, τοῦ τε πεπε- f. 44r
ρασμένου καὶ τοῦ ἀπείρου: ὧν τὸ μὲν πεπερασμένον ἐστὶ τὸ περιττόν. ὁ
5 πέρας εἶπε, τὸ δὲ ἄπειρον τὸ ἄρτιον ὃ λέγουσιν. ἀκίνητοι γὰρ οἱ ἀριθμοὶ καὶ οὐδεμιᾶς κινήσεως αἴτιοι. ἀλλ' οὐδὲ ὅτι δυνατόν ἐστιν ἄνευ κινήσεως καὶ μεταβολῆς ἐξ ἐκείνων τῶν ἀρχῶν γενέσθαι ταῦτα ⟨ἃ⟩ ἐξ αὐτῶν γεννῶσιν, ἢ αὐτὰ τὰ τῶν ἄστρων ἔργα, ἃ διὰ τὴν φορὰν αὐτῶν καὶ τὴν κίνησιν γίνεται, διδάσκουσιν. ἔστι δὲ ἔργα αὐτῶν ἀνατολαὶ καὶ δύσεις καὶ τὰ τοι-
10 αῦτα, ἃ πῶς οἷόν τε γίνεσθαι χωρὶς κινήσεως; πάνυ δὲ ἐναργῶς τῇ τῶν ἄστρων παραθέσει, ὧν διὰ κινήσεως αἱ ἐνέργειαι, ἔδειξε τὸ ἐλλιπὲς τῆς δόξης. οὔτε δὲ γένεσιν δυνατόν ἐστι γενέσθαι ἢ φθορὰν ἄνευ μεταβολῆς.

p. 990a12 Ἔτι δὲ εἴτε δῴη τις αὐτοῖς ἐκ τούτων εἶναι μέγεθος.

Κἂν ὑποθώμεθα, φησί, κατὰ συγχώρησιν ἐκ τῆς τῶν ἀριθμῶν συν-
15 θέσεως μέγεθος ἀποτελεῖσθαι καὶ τῶν πάντως ἀδιαστάτων εἶναι συγκείμενον, ὃ πάντων μᾶλλον ἀδύνατον, οὐδὲ τούτου τεθέντος ἀποδέδοται παρ' αὐτῶν πόθεν ἐν τοῖς σώμασιν αἱ κατὰ φύσιν αὐτῶν ῥοπαί, κουφότητές τε καὶ βαρύτητες· οὐ γὰρ δὴ δυνάμει τὰ τοιαῦτα, ὥσπερ ἐστὶ καθ' οὗς ὕλη τις ὑπόκειται ἢ σῶμά τι οὖσα ἢ δυνάμει τι σῶμα. ἃ γὰρ λέγουσι περὶ
20 τῶν σωμάτων, οὐ μᾶλλον ταῦτα ἁρμόζει τοῖς φυσικοῖς ἢ τοῖς μαθηματικοῖς σώμασιν· ἰσότητες γὰρ καὶ ἀνισότητες καὶ σχήματα καὶ τὰ τοιαῦτα κοινὰ τούτων τε κἀκείνων τῶν σωμάτων. εἰ δὲ τὰ ἴδια τοῖς φυσικοῖς σώμασι, καθ' ἃ ἐστι φυσικά, μὴ ἀποδίδοται (ταῦτα δέ ἐστι βαρύτης κουφότης, θερμότης ψυχρότης, ὑγρότης ξηρότης) οὐδὲν ἂν περὶ τῶν φυσικῶν
25 σωμάτων εἶεν λέγοντες, περὶ ὧν λέγειν ἐβούλοντό τε καὶ προετίθεντο. διὸ οὐδὲν παντελῶς εἰρήκασι περὶ πυρὸς ἢ γῆς ἢ τῶν ἄλλων στοιχείων, ἐπειδὴ οὔτε περὶ τῶν αἰσθητῶν οὐδὲν εἰρήκασι, τουτέστι τῶν ποιοτήτων ἐξ ὧν ταῦτα ὑπάρχουσιν.

p. 990a18 Ἔτι δὲ πῶς δεῖ λαβεῖν αἴτια μὲν εἶναι τὰ τοῦ ἀριθ-
30 μοῦ πάθη.

Καὶ τοῦτο δείκνυσιν ἄτοπον αὐτοῖς ἑπόμενον, ὅτι αἴτια τῶν κατὰ f. 44v

1 αἰτιᾶται — δόξης (12) Alexandri sunt οὖν] δὲ Alex. 2 ὁ γὰρ φαίνεται ἴδιον Alex. 5 ὁ Alex.: οὐ libri 7 ἃ ex Alex. addidi 9 ἔστι γὰρ Alex. 10 ἃ πῶς Alex.: ὅπως libri 11 κινήσεων ἡ ἐνέργεια Alex.: κινήσεων etiam B 15 καὶ τῶν — προετίθεντο (25) Alexandri sunt πάντως scripsi: πάντων libri: πάντῃ Alex. ἀδιαστάτων Alex.: ἀδιάστατον libri 16 ὃ Alex.: ὃν libri πάντων A: παντὸς Alex.: τῶν BCD ἀλλ' οὖν οὐδὲ τούτου Alex. 16. 17 πρὸς αὐτῶν Alex. 17 ἐν τοῖς φυσικοῖς σώμασιν Alex. αὐτῶν (post φύσιν) Alex.: αὗται libri 18 ταῦτα 19 τοιαῦτα Alex. 22 ἴδια μὲν τοῖς Alex. 23 ἀποδιδόασι Alex. 23. 24 κουφότης — ξηρότης om. BCD 24 οὐδ' ἂν Alex. 25 ἐβούλοντο τότε Alex. vulg.: τότε om. Alex. L 31 καὶ τοῦτο — αὐτός ἐστιν (p. 68, 11) Alexandri sunt

τὸν οὐρανὸν ὄντων καὶ γινομένων ἐξ ἀρχῆς τε καὶ νῦν τὰ πάθη τῶν ἀριθμῶν καὶ τοὺς ἀριθμοὺς λέγουσιν (οὐδὲ γὰρ ἄλλο τι ἡγοῦντο εἶναι παρὰ τὰ ἐν τῷ οὐρανῷ) οὐκ ἄλλους δέ τινας ἀριθμοὺς λέγουσι καὶ καταλείπουσιν ἔξω τούτων τῶν ἐν τοῖς αἰσθητοῖς, ἐξ ὧν ἐστιν ὁ κόσμος. ἀεὶ μὲν γὰρ δεῖ ἄλλο εἶναι τὸ αἴτιον καὶ ἄλλο τὸ αἰτιατόν· οἱ δὲ ἀριθμοὺς λέγοντες εἶναι τόν τε κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ, τουτέστιν ἕκαστον τῶν ἐν τῷ κόσμῳ, καὶ τούτων ἀρχὰς τοὺς ἀριθμοὺς ὑποθέμενοι, ἀριθμὸν ἄλλον παρὰ τοῦτον οὐ λέγουσιν, ὥσπερ Πλάτων ἐποίει, ἄλλον μὲν λέγων τὸν εἰδητικὸν ἀριθμόν, ⟨ὃν⟩ καὶ αἴτιον ἐτίθετο, ἄλλον δὲ τὸν ἐν τοῖς αἰσθητοῖς. οὕτως δὲ λέγοντες αὐτὸν αὐτοῦ ἂν τὸν ἀριθμὸν αἴτιον λέγοιεν, εἴ γε αἴτιος μέν ἐστι τῶν ἐν τῷ κόσμῳ ὄντων, ταῦτα δὲ αὐτός ἐστιν ὁ ἐν τοῖς αἰσθητοῖς.

p. 990a22 Ὅταν γὰρ ἐν τῷδὶ μὲν τῷ μέρει δόξα καὶ καιρὸς αὐτοῖς ᾖ.

Διὰ τούτων δείκνυσι πῶς ἐποίουν τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ ἀριθμούς. ἀεὶ ἀριθμοὺς λέγοντες καὶ αἰτίας αὐτῶν ἀριθμοὺς τιθέμενοι, ἄλλους ἀριθμοὺς παρὰ τούτους οὐκ ἔλεγον· ὥστε αὐτοὺς ἑαυτῶν τοὺς ἀριθμοὺς ἔλεγον εἶναι αἰτίους, καὶ ταὐτὸ αὐτοῖς αἴτιόν τε γίνεται καὶ αἰτιατόν. ἔλεγον γὰρ ἐν τινὶ μὲν μέρει τοῦ κόσμου δόξαν συνίστασθαι, ἐν ἄλλῳ δὲ καιρόν, πάλιν δὲ αὖ ἐν ἄλλῳ ἢ ἄνωθεν τούτων ἢ κάτωθεν ἢ ἀνικίαν ἢ κρίσιν ἢ μῖξιν ἤ τι ἄλλο τῶν ἐν οὐρανῷ. τῆς δὲ τούτων κατὰ τὴν τοιαύτην τάξιν συστάσεως ἀπόδειξιν ἔφερον, ὅτι τούτων μὲν ἕκαστον ἀριθμός ἐστιν, ἑκάστῳ δὲ τόπῳ ἐν τῷ κόσμῳ οἰκεῖός ἐστιν ἀριθμός. τῷ μὲν γὰρ μέσῳ τὸ ἓν (πρῶτον γάρ ἐστιν ἐνταῦθα), μετὰ δὲ τὸ μέσον τὰ δύο δόξα, καὶ οὕτως ἀεὶ ἀφισταμένων ἀπὸ τοῦ μέσου πλείονα τὸν ἀριθμὸν f. 45r γίνεσθαι τῶν συνισταμένων μεγεθῶν. τὴν γὰρ γῆν κέντρον ἔλεγον καὶ ἀναλογεῖν τῇ μονάδι. ὥσπερ οὖν αἱ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν ἠγμέναι εὐθεῖαί εἰσι μείζονες, οὕτως καὶ ὁ ἀπὸ τῆς μονάδος ἀρχόμενος ἀριθμὸς ἐπ' ἄπειρον αὔξεται. συμβαίνει οὖν κατὰ τοῦτον τὸν τόπον ἤδη πλῆθος εἶναι μεγεθῶν. λέγει δὲ περὶ τοῦ ἐν τῇ γῇ τόπου ὡς ἐν τούτῳ διὰ τοῦτο πλήθους μεγεθῶν συνισταμένου, διὰ τὸ καὶ τῶν ἀριθμῶν εἴδη πλείονα ἐν τούτῳ εἶναι, ἐπειδὴ αἱ ἀπὸ τοῦ κέντρου, ὡς εἰρήκαμεν, περι-

2 λέγοντες Alex. 3 δὲ, quod erat post λέγουσι, post ἄλλους transposui 4 αὐτοῖς ὁ κόσμος συνέστηκε Alex. 4. 5 δεῖ μὲν γὰρ ἄλλο τι εἶναι Alex. 5 καὶ τὸ αἰτιατόν Alex. 6 καὶ τὰ — τουτέστιν deest Alexandro 9 ὃν ex Alexandro addidi 14 Διὰ τούτων — συνισταμένων (25) Alexandri sunt 16. 17 ἔλεγον, αὐτοὺς δὲ αὐτῶν ἔλεγον εἶναι τοὺς ἀριθμοὺς Alex. 19 κάτωθεν τούτων ἢ ἄνωθεν Alex. ἀδικίαν Alex. 21 ἕκαστον τοῦ ἀριθμοῦ Alex. 22 καὶ τῷ κόσμῳ B οἰκεῖός τίς ἐστιν Alex. 23 γὰρ ex Alexandro addidi ἐστιν Alex.: ἔστι τί libri 23. 24 τὰ δύο, ἃ δόξαν τε ἔλεγον καὶ τόλμαν Alex. 25 γίνεσθαι ex Alexandro scripsi: γίνεται libri 28 τρόπον libri, idemque habent Metaph. p. 990a26 duo codd. Bekk.; sed v. quae sequuntur 29 ὡς ἐν τούτῳ — εἶναι (31) Alexandri sunt 30 τὸν ἀριθμὸν ἤδη Alex. 31 ὡς εἰρήκαμεν] quae supra (v. 26. 27) dixit longe alia sunt

φέρειαι μείζονές εἰσι τῶν μὴ ἀπὸ τοῦ κέντρου. καὶ τὸ ἀπὸ τῆς μονάδος οὖν ἐπ' ἄπειρον αὔξεται· μονὰς δὲ ἡ γῆ ὡς κέντρον. ἢ πλῆθος λέγει τὸν ἀριθμὸν ὡς τῷ πλήθει τῶν ἀριθμῶν ἀκολουθοῦντος τοῦ τῶν πραγμάτων πλήθους, διὰ τὸ τὰ πράγματα τοὺς ἀριθμοὺς εἶναι. καὶ οὕτως μὲν ἐξ
5 ἀριθμῶν τὸν κόσμον ποιοῦσι.

p. 990ᵃ27 Πότερον οὕτως ὁ αὐτός ἐστιν ἀριθμός.

Φησὶν ὅτι ἆρά γε οὕτως ὁ αὐτός ἐστιν ἀριθμὸς ὁ ἐν τῷ οὐρανῷ, ὃν δεῖ λαβεῖν ὅτι τούτων ἕκαστόν ἐστι καὶ οὕτως αὐτὸς ἑαυτοῦ ἐστιν αἴτιος ὁ ἀριθμός, ὡς ἐδείξαμεν, ἢ παρὰ τοῦτόν ἐστιν ἄλλος
10 ἀριθμός; ὁ μὲν γὰρ Πλάτων ἕτερον εἶναί φησι παρὰ τοῦτον τὸν ἀριθμὸν τὸν αἴτιον. καίτοι κἀκεῖνος ἐξ ἀριθμῶν συνίστησι τὰ τῇδε καὶ τὰς τούτων αἰτίας ἀριθμοὺς προσβεύει. ἀλλὰ τοὺς μὲν νοητοὺς αἰτίους ὑποτίθεται. τὰς ἰδέας, τοὺς δὲ συνθέτους αἰτιατούς. περὶ γοῦν τῶν Πυθαγορείων ἱκανῶς ὁ λόγος ἔχει πρὸς τὸ ἐφάψασθαι τῆς δόξης αὐτῶν.

15 p. 990ᵃ34 Οἱ δὲ τὰς ἰδέας τιθέμενοι πρῶτον μὲν ζητοῦντες τῶν ὄντων λαβεῖν τὰς αἰτίας.

Ἐντεῦθεν δοκεῖ πρὸς τὸν Πλάτωνα ἀποτείνεσθαι περὶ τῶν ἰδεῶν. εἰρήκαμεν δὲ τὸν σκοπὸν τοῦ Ἀριστοτέλους περὶ τούτου. αὐτὸς γάρ ἐστιν ὁ λέγων ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ 'καὶ εὖ γε οἱ τὴν ψυχὴν εἰρηκότες f. 45v
20 τόπον εἰδῶν', καὶ ὅτι ὁ ἐνεργείᾳ νοῦς ἐστι τὰ πράγματα, καὶ πάλιν ὅτι ὁ μὲν δυνάμει νοῦς ἐνεργεῖ, ὁ δὲ ἐνεργείᾳ νοῦς ποιεῖ. ὥστε ἄντικρυς καὶ αὐτὸς ἐναποτίθεται ἰδέας τῷ νῷ. πῶς οὖν, εἴποι ἄν τις, καὶ αὐτὸς προσβεύων ἰδέας δοκεῖ τῷ Πλάτωνι μάχεσθαι; καὶ λέγομεν ὅτι κατ' ἀλήθειαν οὐ τῷ Πλάτωνι μάχεται, ἀλλὰ τῷ ἐν ἄλλῳ καὶ ἄλλῳ ὄντι Πλάτωνι μάχε-
25 ται, τοῖς ὑποτιθεμένοις τὰς ἰδέας ταύτας αὐτὰς καθ' ἑαυτὰς ὑπαρχούσας καὶ οὔσας κεχωρισμένας τοῦ νοῦ. ὥστε φανερὰ ἡμῖν γέγονεν ἡ ὅλη ἔννοια τοῦ Ἀριστοτέλους ἡ περὶ τῶν ἰδεῶν. τὸ δὲ νῦν λεγόμενον ὑπ' αὐτοῦ ἐπιχείρημα τοιοῦτόν ἐστι. φησὶν ὅτι ὅσα ὑπάρχουσι πράγματα, τοσαύτας καὶ ἰδέας ἐναποτίθενται, καὶ ταῦτά φησι τὰ τῇδε πράγματα γινώσκεσθαι ἡμῖν
30 καὶ σαφηνίζεσθαι ἐκ τῶν ἰδεῶν. οἱ δὲ ταύτας λέγοντες οὐδὲν ἐροῦσιν ἕτερον ⟨ἢ⟩ ὅτι ὁ μὲν ἀριθμὸς ἁπλοῦς ὑπάρχων οὐκ ἔστι γνωστός, γίνεται δὲ γνωστὸς διπλοῦς γινόμενος· ὥστε ὁ μὲν ἐλάττων ἀριθμὸς οὐκ ἔστι γνωστός, ὁ δὲ πλείων ἐστὶ καταληπτός. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης.

3 ὡς τῷ πλήθει —πλήθους (4) Alexandri sunt 4. 5 διότι τὰ πράγματα καὶ τοὺς ἀριθμοὺς αὐτοῦ καὶ αὐτὸν ἐν ἀριθμῷ τὸν κόσμον ποιοῦσι Alex. 6 οὕτως] οὗτος Aristoteles

8 ἕκαστον scripsi: ἕκαστ A: ἕκαστος BCD 19 ἐν τῇ Περὶ ψυχῆς πρ.] Γ 4 p. 429ᵃ27 καὶ εὖ δὴ οἱ λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν 20 καὶ ὅτι κτλ.] de An. Γ 5 p. 4 p. 430ᵃ19, cf. 8 p. 431ᵇ21 καὶ πάλιν ὅτι κτλ.] de An. Γ 5 p. 430ᵃ14 sq. 31 ἢ addidi

εἰδέναι μέντοι γε χρὴ ὅτι οὐ διπλασιάζεται ὁ ἀριθμὸς ἐκ τῶν ἰδεῶν· τὰ μὲν γὰρ αἴτια ὑπάρχουσι, τὰ δὲ αἰτιατά. τὰ οὖν αἴτια [τὰ] ἐξῃρημένα ὑπάρχουσι, τουτέστιν αἱ ἰδέαι καὶ οἱ παρὰ τῷ δημιουργῷ τῶν πραγμάτων λόγοι, καὶ οὐδέποτε συγκαταριθμοῦνται τοῖς αἰσθητοῖς, ἐπειδὴ οὔτε συμφύονται αὐτοῖς. καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐκ τῶν αἰτιατῶν προϊὼν ἀνέρχεται ἐπὶ τὰ αἴτια· ὅτι γὰρ καὶ αὐτὸς ὑποτίθεται αἴτια τῶν πραγμάτων, ὁμολογεῖται. διαλεγόμενος δὲ περὶ τῶν οὐρανίων σφαιρῶν φησιν ὅτι ὅσαι σφαῖραι ὑπάρχουσι, τοσαῦτα καὶ αἴτια κινοῦντα τὰς σφαίρας. καθ' ἑκάστην γὰρ σφαῖραν ἐφέστηκε δύναμις ἡ κινοῦσα· οὔτε γὰρ ἀπὸ ταὐτο- f. 46r
μάτου ἐφήκει ἡ κίνησις οὔτε δὲ πάλιν δεῖ λέγειν, φησίν, ὅτι ὁ θεὸς κινεῖ αὐτάς, ἐπεὶ τοῦτο περὶ πάντων ἐρῶ, ὅτι καὶ τοὺς ἀνθρώπους καὶ τὰ ἄλογα ζῷα ὁ θεὸς κινεῖ, καὶ οὐκ ἔστιν αἴτιον εἰδικὸν τὸ κινητικὸν τῶν σωμάτων. ὥστε καὶ ὁ Ἀριστοτέλης αἴτια ὑποτίθεται τῶν πραγμάτων.

p. 990a34 Οἱ δὲ τὰς ἰδέας τιθέμενοι πρῶτον μέν.

Οἱ πρεσβεύοντες τὰς ἰδέας πρῶτον μὲν ζητοῦντες τῶν ὄντων λαβεῖν ποῖα αἴτια ὑπάρχουσι τούτοις, ἕτερα ἴσα τὸν ἀριθμὸν εἰρήκασι (πάντων γὰρ τῶν πραγμάτων ἰδέας ἐναποτίθενται), καὶ ἐκ τῶν ἰδεῶν φασι γινώσκεσθαι τὰ ἐνταῦθα, ὥσπερ εἴ τις ἀριθμῆσαι βουλόμενος ἐλαττόνων μὲν ὄντων τῶν ἀριθμουμένων ὑπολάβοι μὴ δύνασθαι ἀριθμεῖν, πλειόνων δὲ ὄντων ἀριθμοίη· ἐπειδή, φησίν, ἐξ ἐκείνων γίνεται τὰ τῇδε. οὐδενὶ δὲ ἔλεγον τὰς ἰδέας διαφέρειν τῶν τῇδε εἰ μὴ τῷ ἀιδίῳ.

p. 990b4 Σχεδὸν γὰρ ἴσα ἢ οὐκ ἐλάττω τὰ εἴδη ἐστί.

Δεῖ προσθεῖναι τὸ 'πολλῷ', ἀντὶ τοῦ οὐ πολλῷ ἐλάττονα τὰ εἴδη ἐστὶ τῶν αἰσθητῶν, ἐπεὶ οὔτε τῶν τεχνητῶν ἰδέαι ὑπάρχουσιν οὔτε τῶν κακῶν κατ' αὐτούς, οὔτε δὲ τῶν παρὰ φύσιν, ἀλλὰ μόνων τῶν κατὰ φύσιν. ἡ γὰρ φύσις οὐδέν ἐστιν ἕτερον ἢ ἔλλαμψις ἐκεῖθεν προϊοῦσα καὶ καταλάμπουσα τὰ τῇδε καὶ ἔχουσα ἐν ἑαυτῇ τοὺς δημιουργικοὺς λόγους, οὐ μέντοι γε ἐπιστρέφουσα πρὸς ἑαυτήν· διό φαμεν καὶ ἀλόγως αὐτὴν ποιεῖν, ἐπεὶ καὶ ἐν φυτοῖς ὁρᾶται καὶ ἐν ἀλόγοις ζῴοις. ὥστε μόνων τῶν κατὰ φύσιν φανῆναι ἰδέας. οὐ μέντοι τῶν κακῶν. εἴ γε τὰ κακὰ καὶ ἀνυπόστατα ὑπάρχουσιν, ὡς δείκνυται ἐν τῇ ἐξηγήσει τοῦ Θεαιτήτου. οὔτε δὲ πάλιν τῶν τεχνητῶν ὑπάρχουσιν ἰδέαι, εἴ γε κατὰ μίμησιν τῶν φυσικῶν γίνονται τὰ τεχνητὰ πάντα, καὶ ἔστι μὲν ἡ φύσις παράδειγμα, εἰκὼν δὲ ἡ τέχνη. οὔτε δὲ πάλιν τῶν παρὰ φύσιν ὑπάρχουσιν ἰδέαι. ἡ γὰρ ἔλλαμ- f. 46v
ψις ἐκεῖθεν, ὡς εἴρηται, προέρχεται ἐπὶ τῶν κατὰ φύσιν, οὐκ ἐπὶ τῶν παρὰ φύσιν· ὥστε οὐχ ὑπάρχουσιν ἰδέαι τῶν παρὰ φύσιν. διὰ τοῦτο οὖν πάνυ ἀσφαλῶς προστέθεικε τὸ σχεδὸν γὰρ ἴσα ἢ οὐ πολλῷ ἐλάττω

2 τὰ delevi 7 φησὶν] Metaph. A 8 24 τεχνιτῶν D: τεχνικῶν B 30 εἴ γε κτλ.] cf. p. 30,18. 77,4 37 ἴσα ἢ οὐ scripsi: ἰσά που libri

τὰ εἴδη ἐστὶ τούτοις, οὐ τοῖς καθ' ἕκαστα ἀτόμοις λέγων, ἀλλὰ τοῖς ἐπ' αὐτοῖς εἴδεσιν· οὐδὲ γὰρ Σωκράτους καὶ Πλάτωνος ἐζήτουν τὰς αἰτίας, ἀλλ' ἀνθρώπου καὶ ἵππου· ὡς σχεδὸν ἰσάριθμα εἶναι τὰ εἴδη κατ' αὐτούς. τὸ δὲ σχεδὸν προστέθεικεν, ἐπεὶ μὴ πάντων εἰσὶν ἰδέαι, ὡς εἴρηται· οὔτε γὰρ τῶν κακῶν οὔτε τῶν παρὰ φύσιν οὔτε δὲ τῶν τεχνητῶν, εἰ καὶ ἕπεται αὐτοῖς καὶ τοῦτο λέγειν, ὡς μετ' ὀλίγον ἐρεῖ.

p. 990b5 Περὶ ὧν ζητοῦντες τὰς αἰτίας, ζητοῦντες ἀνιχνεῦσαι τὰς αἰτίας τῶν φυσικῶν πραγμάτων, ἐκ τούτων, τῶν φυσικῶν, ἐπ' ἐκεῖνα προῆλθον, τὰ εἴδη· καθ' ἕκαστόν τε γὰρ ὁμώνυμόν τί ἐστι.

Καθ' ἕκαστον εἶδος, φησίν, ἔστι καὶ ἰδέα ὁμώνυμος ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἐπειδὴ πολλῷ κρείττων ἡ ἰδέα τοῦ ἀνθρώπου αὐτοῦ τοῦ ἀνθρωπίνου εἴδους· ὥσπερ καὶ ἐπὶ τοῦ Σωκράτους καὶ τῆς εἰκόνος τοῦ Σωκράτους οὐκ ἔστιν ὁμωνυμία, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἐπεὶ πολλῷ κρεῖττόν ἐστι τὸ παράδειγμα τῆς εἰκόνος καὶ ἡ ἰδέα τοῦ εἴδους. συνώνυμον γὰρ οὐ δυνατὸν εἶναι, ἐπειδὴ ἐν τοῖς συνωνύμοις τὸ κατηγορούμενον τὸ εἶναι ἔχει ἐν τοῖς καθ' ἕκαστα καὶ μέρος ἐστὶ τὸ ὑποκείμενον τοῦ κατηγορουμένου· ἐνταῦθα δὲ ὁ ἄνθρωπος οὐκ ἔστι μέρος τοῦ δημιουργικοῦ λόγου, ἀλλὰ τὸ εἶναι προάγει ὁ λόγος. οὔτε δὲ πάλιν ὁμώνυμος ὡς ἡ Αἴας φωνή· αὕτη γὰρ καὶ ἀνυπόστατός ἐστι, τὰ δὲ εἴδη οὐκ ἀνυπόστατα ὑπάρχουσι. καθ' ἕκαστον οὖν εἰδός ἐστιν ἰδέα, καὶ παρὰ τὰς οὐσίας τῶν φυσικῶν πραγμάτων ἐστὶ τὸ ἓν τὸ πρὸ τῶν πολλῶν, ἰδέα ἀνθρώπου πρὸ τῶν πολλῶν ἀνθρώπων, καὶ ἵππου καὶ τῶν ἄλλων ὁμοίως. ὑπάρχουσιν οὖν ἰδέαι καὶ τῶν φυσικῶν, καὶ τῶν ἐν γενέσει καὶ τῶν ἀιδίων· ἔστι γὰρ ἰδέα καὶ ἡλίου καὶ σελήνης καὶ πάντων τῶν ἀιδίων παρὰ τῷ δημιουργῷ. f. 47r

p. 990b8 Ἔτι δὲ καθ' οὓς τρόπους δείκνυμεν ὅτι ἔστι τὰ εἴδη.

Ἐντεῦθεν βούλεται εἰπεῖν τὰς αἰτίας ἐξ ὧν ὑπέλαβον εἶναι ἰδέας. καὶ διὰ τοῦ εἰπεῖν ἔτι δὲ καθ' οὓς τρόπους δείκνυμεν τὰ εἴδη συμπεριέλαβε καὶ ἑαυτὸν ὡς τοῦ αὐτοῦ διδασκαλείου ὑπάρχοντα, φημὶ δὴ τοῦ Πλατωνικοῦ. τέσσαρα οὖν αἴτια ὑπάρχουσι τὰ δεικνύντα ὅτι αἱ ἰδέαι ὑπάρχουσιν, ἀλήθεια, μνὴ καὶ μνήμη, ἀριθμοὶ καὶ ὁρισμοί. ἐκ μὲν οὖν τῆς ἀληθείας οὕτω κατεσκεύαζον ὅτι ὑπάρχουσιν αἱ ἰδέαι. ἔλεγον γὰρ οὕτως, ὅτι ἐνταῦθα οὐκ ἔστιν ἀλήθεια, ἀλλ' ἔχει μεμιγμένον τὸ ψεῦδος καὶ οὐκ ἔστι καθαρὰ ἀλήθεια. ὡμολόγηται δὲ ὅτι ἔστιν ἀλήθεια· ἐὰν γὰρ μὴ ᾖ

1 τὰ εἴδη scripsi: τε δή libri οὐ τοῖς — πάντων (4) Alexandri sunt καὶ ἀτόμοις Alex. 1. 2 ἐπ' αὐτοῖς Alex.: ὑπ' αὐτοῖς libri 3 τούτοις γὰρ σχεδὸν Alex. εἶναι deest Alexandro 4 προσέθηκεν ἴσως Alex. 18 προάγει] fort. παράγει 20 ἕκαστον γὰρ B 31 οὕτως om. B 33 ὡμολόγηται — ἀλήθεια om. BCD

ἀλήθεια, οὐδ' ἄλλο τί ἐστιν, εἴ γε ἐκ τῆς ἀληθείας τὰ ἄλλα προέρχονται. φανερὸν οὖν ὅτι ὑπάρχουσιν αἱ ἰδέαι· παρ' αὐταῖς γὰρ σώζεται τὸ ἀμιγὲς καὶ καθαρὸν πάντων τῶν πραγμάτων, ὥστε καὶ ἡ κυρίως ἀλήθεια. πάλιν δέ φησιν ὅτι εἰ μὴ ἔστιν ἐνταῦθα μονή, μηδὲ καθαρὰ μνήμη διὰ τὸ
5 ῥευστὸν τῆς ὕλης· ἡ γὰρ ῥύσις αὕτη οὐκ ἐᾷ μόνιμον εἶναι καὶ στάσιμον τὴν μνήμην. ἔστι δὲ ὁμολογουμένως καθαρὰ μνήμη καὶ εἰλικρινὴς καὶ ἀθόλωτος καὶ ἀεὶ ὡσαύτως ἔχουσα. ἔστιν ἄρα ἰδέα μνήμης παρὰ τῷ δημιουργῷ, ἐπειδὴ καὶ δεῖ εἶναι τὴν ὄντως μνήμην, ἐξ ἧς πᾶσι τοῖς ἄλλοις τὸ εἶναι. ἔπειτα καὶ ἐκ τῶν ἀριθμῶν. εἰ γὰρ τὰ ἐνταῦθα πάντα ἀριθ-
10 μητὰ ὑπάρχουσιν, εἰσὶ δὲ καὶ ἀριθμοὶ αὐτοὶ καθ' αὑτοὺς μετροῦντες τὰ ἀριθμητά, ἐπεὶ οὐδὲ ἀριθμητὰ ὑπάρχουσι μὴ ὄντων τῶν ἀριθμῶν τῶν ἀριθμούντων, φανερὸν ὅτι ὑπάρχουσιν ἰδέαι· οἱ γὰρ κυρίως ἀριθμοὶ οἱ μετρητικοὶ παρὰ τῷ δημιουργῷ ὑπάρχουσι. πάλιν δὲ καὶ ἐκ τῶν ὁρισμῶν. τὰ γὰρ ἐνταῦθα ἀόριστα ὑπάρχουσιν· οἱ δὲ κυρίως ὅροι τῶν ἀιδίων πραγ-
15 μάτων ὑπάρχουσι καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων καὶ μὴ ποτὲ μὲν ὄντων ποτὲ δὴ μὴ ὄντων. τὰ δὲ ἐνταῦθα τοιάδε. εἰ οὖν ὑπάρχουσιν ὁρισμοί, f. 47v φανερὸν ὅτι καὶ ἰδέαι ὑπάρχουσι. φησὶν οὖν πρὸς ταῦτα ὁ Ἀριστοτέλης ὅτι ἐκ τούτων τῶν λόγων ἢ οὐδὲν ἀναγκαῖον συνάγεται τῶν κατασκευαζόντων τὰς ἰδέας, ἢ κατασκευάζεται ὅτι ὑπάρχουσιν ἰδέαι τούτων [ὄντων] τῶν
20 πραγμάτων ὧν μὴ οἰόμεθα εἶναι ἰδέας. ἐκ μὲν γὰρ τῆς ἀληθείας οὐδὲν ἀναγκαῖον συνάγεται· καὶ ἐνταῦθα δέ ἐστιν ἀλήθεια. ἡνίκα γάρ ἐστιν ὁ Σωκράτης, δῆλον ὅτι ἔστιν ἡ περὶ αὐτοῦ ἀλήθεια, ὅτι ὑπάρχει ὁ Σωκράτης· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων. ὥστε εἰ ἐκ τοῦ μὴ εἶναι ἀλήθειαν ἐνταῦθα εἰσάγομεν τὰς ἰδέας, δέδεικται δὲ ὅτι καὶ ἐν τοῖς αἰσθη-
25 τοῖς ἐστιν ἀλήθεια, οὐκ ἄρα ὑπάρχουσιν ἰδέαι. ἄλλως τε δὴ καὶ ἐκ τῆς μονῆς καὶ τῆς μνήμης. ὡμολόγηται γὰρ ὅτι καὶ ἐνταῦθά ἐστι μνήμη, καὶ ἔχομεν μνήμην μαθόντες ὅτι πᾶς ἄνθρωπος ζῷον λογικὸν θνητὸν ὑπάρχει, ἤγουν τοῦδε τοῦ φίλου ἤ τινος ἄλλου τοιούτου· ὥστε οὐδὲ ἐντεῦθεν δυνατὸν αὐτοὺς εἰσάγειν τὰς ἰδέας ἐν τῷ λέγειν ὅτι οὐκ ἔστιν ἐνταῦθα μνήμη.
30 πάλιν ἐκ τῶν ἀριθμῶν, ὅτι ἄλλο ἄτοπον συνάγεται. οὐ μόνα γὰρ ἀριθμητὰ ὑπάρχουσι τὰ κατὰ φύσιν, ἀλλὰ καὶ τὰ παρὰ τὴν φύσιν, ἀλλὰ καὶ τὰ τεχνητά· ὥστε ἔδει καὶ αὐτῶν ἰδέας ἐναποτίθεσθαι διὰ τὸ εἶναι αὐτὰ ἀριθμητά. ἔπειτα δὲ ὑπάρχουσιν ὁρισμοὶ καὶ τῶν τῇδε. τοῦ γὰρ καθόλου τριγώνου ἐστὶν ὁ ὁρισμὸς ὁ λέγων τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας
35 ἔχειν· τὸ δὲ τρίγωνον ἐν τοῖς καθ' ἕκαστα τριγώνοις θεωρεῖται, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ· ὥστε καὶ ἐνταῦθα ὁρισμοὶ ὑπάρχουσι, καὶ οὐδεὶς ἐκ τοῦ λέγειν ὅτι οὐκ εἰσὶν ἐνταῦθα εἰσάγει τὰς ἰδέας. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης. φαμὲν δὲ ἡμεῖς ὅτι ὁ Πλάτων περὶ τῆς ὄντως ἀληθείας διελέγετο τῆς καθαρᾶς καὶ εἰλικρινοῦς καὶ ἀπαραλογίστου καὶ μηδένα θολὸν
40 ἐχούσης· ἡ δὲ τοιαύτη ἀλήθεια ἡ εἰλικρινὴς οὐ θεωρεῖται ἐν τοῖς τῇδε.

4 μήτε δὲ ACD 6 εἰλικρινῶς B 19 ὄντων delevi 21 δὲ] fort. γὰρ 30 μόνον BC 34 ὁ ante ὁρισμὸς om. BCD 36 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 24 p. 85a31 sqq. 38 δὲ καὶ ἡμεῖς B 39 θόλον libri

πάλιν δὲ καὶ περὶ τῆς μονῆς ἔλεγε τῆς κυρίως. τῆς ἀΰλου. τῆς ἀεὶ ὡσ- f. 48r
αὐτως ἐχούσης καὶ μὴ ποτὲ μὲν τοιῶσδε ποτὲ δὲ ἄλλως μεθισταμένης καὶ
ἀποκλινομένης διὰ τὸ ῥευστὸν τῆς ὕλης. τοιαύτη οὖν μνήμη ἡ ἀλήθεια
ἐν τοῖς αἰσθητοῖς οὐ θεωρεῖται· ὥστε εὐλόγως ἐντεῦθεν συνελογίζοντο ὅτι
5 ὑπάρχουσιν ἰδέαι, εἴ γε τῷ ὄντι ὑπάρχει τοιαύτη ἀλήθειά τε καὶ μνήμη.
ἔπειτα δὲ καὶ ἐκ τῶν ἀριθμῶν. τὰ γὰρ τῇδε τῷ ὄντι ἀριθμητὰ ὑπάρ-
χουσιν. εἰ οὖν καὶ ὅλως εἰσὶν ἀριθμοὶ ἐν τοῖς αἰσθητοῖς, πρῶτον μὲν οἱ
αὐτοί εἰσι καὶ ἀριθμητοὶ καὶ ἀριθμοί, ἔπειτα δὲ οἱ ἀριθμοὶ οἱ ἐνταῦθα
ἔνυλοι ὑπάρχουσι καὶ χραίνονται μολυνόμενοι ἐκ τῆς ὕλης· οὔτε γὰρ συγ-
10 χωρεῖται τὸ εἶδος φυλάττειν τὸ ἑαυτοῦ κάλλος καὶ τὴν ἑαυτοῦ ἀρετὴν
μιγνύμενον ἀνειδέῳ πράγματι. ἐκεῖνοι οὖν ἔλεγον περὶ τῶν ἀριθμῶν τῶν
ἀΰλων, τῶν ἀμεθέκτων ὕλης παντάπασιν, οἳ καὶ κυρίως ὑπάρχουσιν ἀριθ-
μοί. εἰ τοίνυν οἱ τοιοῦτοι ἀριθμοὶ οὐχ ὑπάρχουσιν ἐν τοῖς αἰσθητοῖς πράγ-
μασιν, ὅλως φανερὸν ὅτι ὑπάρχουσιν ἰδέαι. ἔπειτα καὶ ἐκ τῶν ὁρισμῶν.
15 οἱ γὰρ ὁρισμοὶ κυρίως τῶν ἀΰλων πραγμάτων ὑπάρχουσι τῶν ἀεὶ καὶ ὡσ-
αὐτως ἐχόντων καὶ μὴ ποτὲ μὲν τοιῶσδε ποτὲ δὲ τοιῶσδε. εἰ γὰρ ἡ
γένεσις, εἰ τύχοι, καθόλου ἐστίν, ἄλλην κατ' ἰδιότητα ἔχει δύναμιν καὶ
ῥεῖ· ἡμεῖς δὲ ζητοῦμεν ὁρισμοὺς πραγμάτων ἀεὶ ἱσταμένων κατ' ἀριθμὸν
καὶ μὴ ποτὲ μὲν τοιῶσδε ποτὲ δὲ τοιῶσδε ἐχόντων. τὰ γὰρ καθόλου τὰ
20 ἐν τοῖς πολλοῖς ἐν τοῖς καθ' ἕκαστα τὸ εἶναι ἔχουσιν, ὥσπερ τὸ ζῷον καὶ
τὸ τρίγωνον, τὰ δὲ καθ' ἕκαστα γίνονται καὶ ἀπογίνονται· τὸ μέντοι γε
καθόλου τὸ πρὸ τῶν πολλῶν, ὁ λόγος ὁ δημιουργικός, ἀεὶ ὡσαύτως ἔχει
καὶ ἵσταται καὶ οὐ ποτὲ μὲν τοιῶσδε ποτὲ δὲ τοιῶσδε. εἰ τοίνυν ἔστιν
ὁρισμὸς τοιούτου πράγματος μὴ δυνάμενος ἐν τοῖς αἰσθητοῖς θεωρεῖσθαι, f. 48v
25 ὑπάρχουσιν αἱ ἰδέαι.

p. 990b8 Ἔτι δὲ καθ' οὓς τρόπους δείκνυμεν ὅτι ἔστι τὰ εἴδη.

Φησὶν ὅτι καθ' οὓς τρόπους πειρώμεθα εἰσάγειν τὰ εἴδη, κατ' οὐδένα τούτων τῶν τρόπων φαίνονται εἰσαγόμενα, ὡς εἰρήκαμεν. ἐξ ἐνίων μὲν γάρ. οὔτε ἐκ τῆς ἀληθείας οὔτε ἐκ τῆς μονῆς εἰσάγονται τὰ εἴδη. ὡς ἐδείξαμεν. ἐξ
30 ἐνίων δὲ τρόπων καὶ οὐχ ὧν οἰόμεθα εἶναι εἴδη, τούτων ἢ οἰόμεθα, ὡς ἐπὶ τῶν ἀριθμητῶν. ἔδειξε γὰρ ὁ λόγος ὅτι ἔφονται ἐκ τοῦ λόγου τοῦ παρ' αὐτῶν λεγομένου, ὅτι καὶ τῶν τεχνητῶν εἰσιν ἰδέαι καὶ τῶν παρὰ φύσιν. εἰ γάρ φασιν ὅτι διὰ τοῦτο ὑπάρχουσιν ἰδέαι, ἐπειδὴ οὐκ ἔστι κυρίως ἐπιστήμη ἐνταῦθα, ὁμολογοῦσι δὲ ὅτι ἔστιν ἐπιστήμη, ἔστιν ἄρα
35 ἰδέα τῆς ἐπιστήμης. ὥστε οὖν κατὰ τὰ παρ' αὐτῶν λεγόμενα εἴδη ἐστὶ πάντων· καὶ τῶν τεχνητῶν γάρ ἐστιν ἐπιστήμη καὶ τῶν παρὰ φύσιν. ὥστε καὶ ἰδέαι, ἐπειδὴ εἴρηται ὅτι ὧν ἐπιστῆμαι ὑπάρχουσι, τούτων καὶ ἰδέαι.

---

3 ἢ scripsi: ἡ libri 6 ἔπειτα scripsi: ἐπεὶ libri 17 ἄλλην scripsi: ἀλλ' ἣν libri δύναμιν scripsi: δυνάμει libri 24 αἰσθητοῖς scripsi: ἀριθμοῖς libri 28 φαίνεται εἰσορώμενα B 30 οἰόμεθα] fort. τιθέμεθα vel ποιούμεθα: γίγνεται Arist. 33 post φύσιν fort. lemma excidit κατὰ γὰρ τοὺς λόγους τοὺς ἐκ τῶν ἐπιστημῶν (Arist. p. 990b11)

ὅτι γὰρ τῶν παρὰ φύσιν ὑπάρχουσιν ἐπιστῆμαι, φανερὸν ἐντεῦθεν· ὁ γὰρ ἰατρὸς οὐ μόνον τὰ κατὰ φύσιν οἶδε, τουτέστι τὰ ὑγιεινὰ αἴτια, ἀλλὰ καὶ τὰ νοσοποιά, τῷ τὰ μὲν αἱρεῖσθαι τὰ δὲ φεύγειν· ὁμοίως δὲ καὶ ὁ οἰκοδόμος ἔχει ἐπιστήμην τῆς κατασκευῆς τοῦ οἴκου ἤγουν τοῦ τείχους· καὶ ἐπὶ ἄλλων πολλῶν ὁμοίως. ὁ δὲ ἡμέτερος φιλόσοφος ἔφασκεν ὅτι ὁ Πλάτων οὐ περὶ τῆς τοιαύτης ἐπιστήμης εἴρηκεν ἀλλὰ περὶ τῆς ἀύλου καὶ καθόλου, ἥτις ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, ἥτις καὶ πάντα ἁπλῶς τὰ ὄντα οἶδεν, ᾗ ὄντα ἐστί, καὶ τὰ ἐσόμενα καὶ τὰ μέλλοντα, καὶ τὰ καθόλου καὶ τὰ καθ' ἕκαστα· τοιαύτη δὲ ἐπιστήμη οὐκ ἔστιν εἰ μὴ παρὰ μόνῳ τῷ θεῷ. ὥστε καὶ ἐντεῦθεν συνάγομεν ὅτι ἔστιν ἰδέα.

p. 990b13 Καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν.

Εἰ ἔστιν ἓν κατὰ πολλῶν κατηγορούμενον, τοῦτο δὲ ἐν τοῖς καθ' ἕκαστα οὐ θεωρεῖται, φανερὸν ὅτι ἔστιν ἰδέα. εἰ γὰρ ἕκαστος τῶν πολλῶν ἀνθρώπων ἄνθρωπός ἐστι καὶ τῶν πολλῶν ζῴων ζῷον, καὶ ἐπὶ τῶν ἄλλων f. 49r
ὁμοίως, καὶ οὐκ ἔστιν ἐφ' ἑκάστου αὐτῶν αὐτὸ αὐτοῦ κατηγορούμενον, ἀλλ' ἔστι τι ὃ κατὰ πάντων αὐτῶν κατηγορεῖται οὐδενὶ αὐτῶν ὂν ταὐτόν, εἴη ἂν τοῦτο παρὰ τὰ καθ' ἕκαστα ὂν κεχωρισμένον αὐτῶν ἀΐδιον, ἐπεὶ καὶ ἀιδίων κατηγορεῖται καὶ πάντων τῶν κατ' ἀριθμὸν ἀλλασσομένων. ὃ δὲ ἕν ἐστιν ἐπὶ πολλοῖς κεχωρισμένον αὐτῶν καὶ ἀΐδιον, τοῦτό ἐστιν ἰδέα· εἰσὶν ἄρα ἰδέαι. φησὶν οὖν πρὸς τοῦτο ὁ Ἀριστοτέλης ὅτι οὗτος ὁ λόγος κατασκευάζει ἰδέας καὶ τῶν ἀποφάσεων. αἱ γὰρ ἀποφάσεις κατὰ πλειόνων κατηγοροῦνται, οἷον τὸ οὐκ ἄνθρωπος κατηγορεῖται καὶ ἵππου καὶ ξύλου, καὶ τὸ οὐ ξύλον * *, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων· ὥστε ἔσονται ἰδέαι τῶν στερήσεων, ὅπερ οὐ θέμις. φαμὲν οὖν πρὸς τοῦτο ὅτι αἱ ἀποφάσεις κατὰ συμβεβηκὸς κατηγοροῦνται, αἱ δὲ ἰδέαι καθ' αὑτό, εἴ γε καὶ ἐξ αὐτῶν τὸ εἶναι τῶν πραγμάτων· ὥστε οὐχ ὑπάρχουσιν ἰδέαι τῶν ἀποφάσεων, οὔτε δὲ ἐκεῖνοι ὑποτίθενται, ἀλλὰ τὸ ἕν ἐστιν ἰδέα τὸ κατὰ πλειόνων καθ' αὑτὸ λεγόμενον.

p. 990b14 Κατὰ δὲ τὸ νοεῖν τι φθαρέντων τῶν φθαρτῶν.

Ἕτερον πάλιν ἔγκλημα προσάπτειν αὐτοῖς ὁ Ἀριστοτέλης προτίθεται, δεικνὺς ὅτι καὶ τῶν ἤδη φθαρέντων ὑπάρχουσιν ἰδέαι καὶ μὴ ὄντων. εἰ γάρ, φησίν, ἔστι νοήσεως ἰδέα, νοοῦμεν δὲ καὶ τὸν ὄντα ἄνθρωπον καὶ τὸν ἐφθαρμένον (μετὰ γὰρ τὸ φθαρῆναι τὸν Σωκράτη ἔχομεν αὐτοῦ ἔννοιαν καὶ φαντασίαν), δῆλον ὅτι ἔστιν ἰδέα κατ' αὐτοὺς καὶ τῶν φθαρέντων. διό

4 κατασκευῆς] an κατασκαφῆς? ἤτοι C τοίχου B 7 ἐπιστήμη καὶ ἐπιστημῶν C
13 εἰ γὰρ—ἰδέαι (20) Alexandri sunt 14 πολλῶν deest Alexandro 15 post αὐτοῦ add. τι Alex. 17 εἴη ἄν τι τούτων Alex. ὄντα ὂν Alex. 17. 18 ἀΐδιον· ἀεὶ γὰρ ὁμοίως κατηγορεῖται πάντων Alex. 18 fort. καὶ ἀιδίως 19 κεχωρισμένον τε Alex. 23 καὶ τὸ οὐ ξύλον om. B: addendum est καὶ ἀνθρώπου καὶ ἵππου 30 ἕτερον αὖθις B

φησι κατὰ δὲ τὸ νοεῖν τι φθαρέντων τῶν φθαρτῶν· ἔστι γὰρ καὶ τούτων τι φάντασμα. οὕτως οὖν ὁ λόγος ἀπὸ τοῦ νοεῖν τι κατασκευάζει ἰδέας. καὶ ἔστι τοιοῦτος. εἰ ἐπειδὰν νοῶμεν ἄνθρωπον, ἵππον, ζῷον, τῶν ὄντων τέ τι νοοῦμεν καὶ οὐδὲν τῶν καθ' ἕκαστον (καὶ γὰρ φθαρέντων τούτων μένει ἡ αὐτὴ ἔννοια), φανερὸν ὅτι ἔστι τι παρὰ τὰ καθ' ἕκαστα αἰσθητά, ⟨ὃ⟩ καὶ ὄντων ἐκείνων καὶ μὴ ὄντων νοοῦμεν· οὐ γὰρ τοῦ μὴ ὄντος * * ἐστὶν ἰδέα καὶ εἶδος. φησὶ δὲ τοῦτον τὸν λόγον καὶ τῶν φθει- f. 49v ρομένων καὶ ἐφθαρμένων καὶ ὅλως τῶν καθ' ἕκαστα καὶ φθαρτῶν ἰδέας κατασκευάζειν. οἷον Σωκράτους, Πλάτωνος· καὶ γὰρ καὶ τούτους νοοῦμεν καὶ φαντασίαν αὐτῶν φυλάττομεν καὶ μηκέτι ὄντων· φάντασμα γάρ τι καὶ ἐπὶ τῶν μηκέτι ὄντων σώζομεν. ἀλλὰ καὶ τὰ μηδ' ὅλως ὄντα νοοῦμεν ὡς Ἱπποκένταυρον καὶ Χίμαιραν· ὥστε οὐδ' οὗτος ὁ λόγος ἰδέας εἶναι συλλογίζεται. λέγομεν τοίνυν πάλιν πρὸς τοῦτο ὅτι ὁ Πλάτων ἰδέας ὑπετίθετο τῆς ὄντως νοήσεως καὶ κυρίως, ἐπειδὴ τῶν φθαρέντων οὐκέτι ἐστὶ νόησις ἀλλὰ φαντασία. ὥστε οὐδ' ἐνταῦθα καλῶς αὐτῷ ἐγκαλεῖ· οὐκ ἔστι γὰρ φαντασία ἡ κυρίως νόησις.

p. 990b 15 Ἔτι δὲ οἱ ἀκριβέστατοι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φαμεν εἶναι καθ' αὑτὸ γένος.

Ἔτι πρὸς τὰς ἰδέας ἀντιλέγει καί φησιν ὅτι ἐξ ὧν λέγουσιν οἱ ὑποτιθέμενοι εἶναι ἰδέας, τρίτον ἄνθρωπον εἰσφέρουσι καὶ τῶν πρός τι ποιοῦσιν ἰδέας. τρίτον μὲν οὖν ἄνθρωπον εἰσάγουσι τοῦτον τὸν τρόπον. φασὶ γὰρ ὅτι τῶν ὁμοιοτήτων ὑπάρχουσιν αἱ ἰδέαι. εἰ τοίνυν φασὶν ὁμοίαν τὴν ἰδέαν εἶναι τῷ αἰσθητῷ ἀνθρώπῳ, ἐξ ἧς καὶ γέγονε, φανερὸν ὅτι ἔσται ἰδέα τῆς ὁμοιότητος ταύτης· καὶ οὕτως ἔσται τρίτος ἄνθρωπος. πάλιν τοίνυν ἐπειδὴ ὁ τρίτος ἄνθρωπος † ἰδεῶν ἔχει ὁμοιότητα πρὸς τὸν αἰσθητὸν ἄνθρωπον, ἐξ οὗ καὶ γέγονε, δῆλον ὅτι ἔσται καὶ τῆς ὁμοιότητος ταύτης ἰδέα· καὶ τοῦτο ἐπ' ἄπειρον. καὶ οὕτως μὲν ὁ Ἀριστοτέλης ἐλέγχει τοὺς ὑποτιθεμένους εἶναι ἰδέας αὐτὰς καθ' αὑτὰς κεχωρισμένας τοῦ δημιουργοῦ. ἀπολογούμεθα τοίνυν ἡμεῖς ὑπὲρ τοῦ Πλάτωνος τοῦτον τὸν τρόπον. φάσκοντες ὅτι ἡ ὁμοιότης ἐν τοῖς στοιχείοις θεωρεῖται, τουτέστιν ἐν τοῖς καθ' ἕκαστα αἰσθητοῖς. ἡ γὰρ ἰδέα οὐκ ἔστιν ὁμοία τῷ αἰσθητῷ. εἴ γε τὸ μὲν αἰσθητόν ἐστι, τὸ δὲ λόγος ἐξῃρημένος τοῦ αἰσθητοῦ. ὥστε οὐ δυνατὸν εἶναι ἰδέαν ἰδέας, φησὶ δὴ τοῦ λόγου. τοῦ δημιουργικοῦ. † οὔτε γὰρ ἐστιν ἰδέας ἰδέα. καὶ οὕτως μὲν ἀπολογούμεθα ὅτι οὐκ ἔστι τρίτος f. 50r ἄνθρωπος. πάλιν φησὶν ὅτι αἱ ἰδέαι τῶν καθ' αὑτὸ ὑπάρχουσι, τὰ δὲ

3 εἰ ἐπειδὰν — συλλογίζεται (13 Alexandri sunt ἄνθρωπον ἢ πεζὸν Alex. vulg.: post ἄνθρωπον add. ἢ ἵππον Alex. L 5 δῆλον ὡς Alex. 6 καὶ αἰσθητὰ Alex. ὃ ex Alex. addidi 7 ἐστὶν] legendum ἐστὶ νόησις· τοῦτο δέ ἐστιν ἰδέα καὶ εἶδος cf. Alex. p. 61,2 Bz. φησὶ δὴ Alex. 10 ὄντων σώζομεν· φάντασμα Alex. vulg., sed σώζομεν eodem loco quo Ascl. habet L 12 οὐδὲ ὁ τοιοῦτος Alex. 25 ἰδεῶν] fort. ἰδέα ὧν 30 στοιχείοις] an συστοίχοις? 33. 34 οὔτε γὰρ κτλ.] locus corruptus

πρός τι οὐχ ὑπάρχουσι καθ' αὑτό· ὡς γὰρ εἴρηται ἐν Ἠθικοῖς, παραφυάσιν ἐοίκασι καὶ ἀντερείδουσι ξύλοις· ἐν γὰρ ταῖς ἄλλαις κατηγορίαις τὸ εἶναι ἔχουσιν. ἐπειδὴ οὖν ὑπάρχουσι τὰ πρός τι, οἷον πατὴρ καὶ υἱὸς καὶ τὸ δεξιὸν καὶ ἀριστερόν, τῶν δὲ ὑπαρχόντων φασὶν εἶναι ἰδέας, δῆλον ὅτι καὶ τῶν πρός τι ὑπάρχουσιν ἰδέαι. εἴ γε καὶ αὐτὸς ὑπετίθετο τὸ μέγα καὶ τὸ μικρόν, ἅτινα τῶν πρός τι ἐδείχθησαν ἐν Κατηγορίαις, καὶ ὅτι πρότερα ὑπάρχουσι τὰ πρός τι τῶν ἄλλων, ἐπειδὴ καὶ τὸ μέγα καὶ τὸ μικρὸν πρότερον ὑπετίθετο· ἐκ τούτων γὰρ τὰ ἄλλα γεννᾷ. ὥστε ἔσονται καὶ τῶν πρός τι ἰδέαι, οὐ μόνον τῶν καθ' αὑτὸ ὄντων, ὥσπερ ἔλεγον, καὶ πρότεραι τῶν καθ' αὑτό. καὶ οὕτως μὲν ὁ Ἀριστοτέλης. ἡμεῖς τοίνυν φαμὲν πρὸς ταῦτα, ὅτι τῷ ὄντι ὑπάρχουσι πρός τι ἐν τῇ φύσει τῶν πραγμάτων οὐσιώδη, καὶ τούτων ὑπάρχουσιν ἰδέαι· καὶ διὰ τὰ οὐσιώδη πρός τι ὑπάρχουσι καὶ τὰ μὴ οὐσιώδη, οἷόν ἐστι δεξιὸν τὸ ἧπαρ, ἀριστερὸν δὲ σπλήν, καὶ ἀδύνατόν ἐστιν αὐτὰ μετατεθῆναι· ἡ γὰρ μετάθεσις αὐτῶν φθορὰν ἐργάζεται. ὁμοίως καὶ ἡ γῆ ἔλαχε τὸν μέσον τόπον, ὁ δὲ οὐρανὸς τὸν περιέχ. καὶ τούτων ὑπάρχουσι λόγοι δημιουργικοὶ οὐσιώδεις. ἐπειδὴ καὶ τὰ τοιαῦτα πρός τι ἐν τῇ οὐσίᾳ τῶν πραγμάτων θεωροῦνται· καὶ εἰ μὴ δύναται τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν ἄνευ τῶν πραγμάτων θεωρεῖσθαι, οὐ διὰ τοῦτο καὶ ὁ λόγος αὐτοῦ κατὰ συμβεβηκὸς ὑπάρχει· ἀδύνατον γὰρ συμβεβηκός τι θεωρεῖσθαι παρὰ τῷ δημιουργῷ. τὰ γὰρ τοιαῦτα συμβεβηκότα οὐσιώδη ὑπάρχουσιν, ὥσπερ λέγομεν λόγον εἶναι τῆς θερμότητος παρὰ τῷ δημιουργῷ διὰ τὸ οὐσιῶδες θερμὸν τὸ ἐν πυρί, καὶ τῆς ψυχρότητος διὰ τὸ ἐν ὕδατι (διὰ δὲ ταῦτα καὶ τὰ ἄλλα ὑπάρχουσιν), ὁμοίως δὲ καὶ τοῦ λευκοῦ διὰ τὴν χιόνα· συμπληροῖ γὰρ τὸ λευκὸν τὴν οὐσίαν τῆς χιόνος. εἰ γὰρ καὶ f. 50v δυνατόν ἐστι κατ' ἐπίνοιαν χωρίζειν τὸ λευκὸν ἐκ τῆς χιόνος, ἀλλ' οὖν γε συμπληρωτικόν ἐστι τῆς οὐσίας αὐτοῦ καὶ ἐγγὺς τοῦ οὐσιώδους. οὕτως οὖν φημι καὶ τῆς δικαιοσύνης καὶ τῶν ἄλλων ἀρετῶν εἶναι ἰδέας· καίτοι οὐ θεωροῦνται τὰ τοιαῦτα ἄνευ οὐσιῶν. ἀλλὰ τελειωτικὰ τῶν οὐσιῶν ὑπάρχουσι καὶ οὕτως παράγονται ἐκεῖθεν, ὡς τελειοῦσθαι τὰς οὐσίας, καὶ οὐ διὰ τοῦτό φαμεν αὐτὰ εἶναι συμβεβηκότα. καὶ διὰ τοῦτο τὰς ἰδέας αὐτῶν τὰς παρὰ τῷ δημιουργῷ φαμεν [μὴ] εἶναι οὐσιώδεις· οὐσιώδεις γὰρ ὑπάρχουσιν αἱ τελειότητες τῶν πραγμάτων καὶ ἐν τῇ οὐσίᾳ τὸ εἶναι ἔχουσιν ὡς συμπληρωτικαὶ τῶν οὐσιῶν· τὰ γὰρ συμπληρωτικὰ τῶν οὐσιῶν μέρη τῶν οὐσιῶν ὑπάρχουσιν. ὥστε καὶ αἱ τοιαῦται ἰδέαι καθ' αὑτὸ ὑπάρχουσι παρὰ τῷ δημιουργῷ. ὁμοίως δέ φημι καὶ ἐπὶ τῶν πρός τι, ἐπειδὴ τὰ εἰρημένα οὐσιώδη πρός τι ὑπάρχουσι καὶ συντελοῦντα εἰς τὴν τῆς φύσεως δημιουργίαν. ἀδύνατον ⟨δ'⟩ ἐστὶν αὐτὰ καθ' αὑτὰ ὑφίστασθαι, διὰ τὸ τὴν οὐσίαν αὐτῶν οὕτως παραχθῆναι, ὥστε ἐν τοῖς τοιούτοις θεωρεῖσθαι, καὶ διὰ τὴν ὕλην τὴν δεχομένην. εἰ δέ τις εἴποι 'τί οὖν; καὶ ἔχθρας καὶ φιλίας φαμὲν εἶναι ἰδέας καὶ τῶν τοιούτων;' ἐροῦμεν πρὸς αὐτὸν ὅτι

---

1 ἐν τοῖς Ἠθικοῖς B παραφυάσιν κτλ.] Eth. Nicom. A 4 p. 1096a21 3 fort. ἐπεὶ δ' οὖν 6 ἐν Κατηγορίαις] c. 7 18 post θεωρεῖσθαι add. παρὰ τῷ δημιουργῷ B 22 τὸ ἐν ὕδατι] adde ψυχρόν 31 μὴ delevi 37 δ' addidi

ἰδέα ἁπλῶς ἐκεῖσέ ἐστι συγκρίσεως καὶ διακρίσεως, δεῖ δὲ εἶναι καὶ διάστασιν ἐν τοῖς πράγμασι μάλιστα τοῖς αἰσθητοῖς. κακῶν μέντοι γε οὔ φαμεν εἶναι ἰδέας· τὰ γὰρ κακὰ τῷ ὄντι ἀνυπόστατα ὑπάρχουσι καὶ παρυφίστανται, ὡς λέγεται ἐν ταῖς Πλατωνικαῖς συνουσίαις. ἄκρατον γὰρ τὸ κακὸν οὐκ ἔστιν ἐν τῷ παντί. εἰ γὰρ καὶ τὸ μερικὸν κακόν ἐστιν, ἀλλ' οὖν γε πρὸς τὸ πᾶν οὐκ ἔστι κακόν· ἀξία γὰρ ἦν ἡ ψυχὴ τοῦ τελευτήσαντος παθεῖν καὶ τοῦ ποιήσαντος ποιῆσαι. εἰ γὰρ ἄρχοντος δραστηρίου ὄντος οὐδὲν κακὸν γίνεται, πολλῷ μᾶλλον θεοῦ ὄντος ἐν τῷ παντί. διό, φησὶν f. 51r ὁ Ἰάμβλιχος, ἐπισκήπτει τῷ λέγοντι ὅτι κατὰ συγχώρησιν θεοῦ γίνεται τὸ κακόν, ὥς φησιν ὁ Θουκυδίδης· ὁ γὰρ δυνάμενος παῦσαι περιορῶν δὲ τἀληθέστερον αὐτὸ δρᾷ. πῶς οὖν δυνατόν ἐστι τὸν θεὸν παριδεῖν κακὰ γινόμενα; μή τί γε εἰ πρὸς τὸ πᾶν ἀποβλέψομεν. εἰ γάρ τις εἴποι ὅτι διὰ τὸ αὐτοκίνητον τῆς ψυχῆς, οὐδὲ οὕτως, φησίν, ἔστιν· ὁ γὰρ θεὸς οὐ συγχωρεῖ τὸ ὄντως κακὸν ὑποστῆναι, ἀλλ' ἐν τούτοις κωλύει. οὔτε γὰρ θεὸς κακῶν αἴτιος οὔτε θέμις τοῦτο λέγειν. εἰ δὲ δυνάμενος κωλῦσαι οὐ κωλύει, αἴτιός ἐστιν. εἰδέναι οὖν χρὴ ὅτι τὸ ἀγαθὸν ὑπερβέβηκε τὸ ὄν· ὑπὲρ τὸ ὂν γάρ ἐστι· τὸ δὲ ἀγαθὸν τὸ ἀντιδιαιρούμενον τῷ ὄντι ἧττον αὐτοῦ ἐστιν.

p. 990ᵇ15 Ἔτι δὲ οἱ ἀκριβέστατοι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φαμεν εἶναι καθ' αὑτὸ γένος, οἱ δὲ τρίτον ἄνθρωπον λέγουσι.

Τῶν πρός τι οὐκ ἔλεγον εἶναι ἰδέας διὰ τὸ τὰς μὲν ἰδέας αὐτὰς καθ' αὑτὰς ὑφεστάναι οὐσίας τινὰς οὔσας, τὰ δὲ πρός τι ἐν τῇ πρὸς ἄλληλα σχέσει τὸ εἶναι ἔχειν. ἔτι δὲ εἰ τὸ ἴσον ἴσῳ ἴσον, πλείους ἂν εἶεν τοῦ ἴσου ἰδέαι· τὸ γὰρ αὐτόισον αὐτοίσῳ ἴσον· εἰ γὰρ μηδενὶ * * * ᾖ κατὰ τὸν αὐτὸν λόγον ἰδέας εἶναι· ὁμοίως γὰρ τῶν ἀντικειμένων ἔσονται καὶ οὐκ ἔσονται ἰδέαι· τὸ δὲ ἄνισον ὁμολογεῖται καὶ κατ' αὐτοὺς ἐν πλείοσιν εἶναι. τοῦτο οὖν φησιν ὅτι οἱ ἀκριβέστατοι τῶν λόγων καὶ τῶν πρός τι ποιοῦσιν ἰδέας, ὡς εἰρήκαμεν ἐν τῇ θεωρίᾳ.

p. 990ᵇ16 Ὧν οὔ φαμεν εἶναι καθ' αὑτὸ γένος.

Ἀντὶ τοῦ ὑπόστασιν καὶ φύσιν, εἴ γε τὰ πρός τι παραφυάδι ἔοικεν, ὡς ἐν ἄλλοις εἶπεν. ὁ δὲ λόγος ὁ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτός ἐστι. λέγουσι τὰ κοινῶς κατηγορούμενα τῶν οὐσιῶν κυρίως τε εἶναι τοιαῦτα, καὶ ταῦτα εἶναι ἰδέας. ἔτι τε τὰ ὅμοια ἀλλήλοις * * * εἶναι f. 51v

1 διὰ δὲ τὸ εἶναι B 4 ὡς λέγεται κτλ.] cf. p. 30,18 70,30 10 ὁ Θουκυδίδης] verba ipsa non sunt Thucydidis: fort. respicit libr. II 64,2 12 εἰ quod erat ante μή post γε transposui 21 τῶν πρός τι—εἶναι (27) Alexandri sunt αὑτὰς deest Alexandro 24 εἰ γὰρ μηδενὶ] Alex. pergit ἴσον, οὐδὲ ἴσον ἂν εἴη. ἔτι δεήσει καὶ τῶν ἀνίσων κατὰ τὸν αὐτὸν λόγον κτλ. 25. 26 ἔσονταί γε ἢ οὐκ Alex. 30 ἀντὶ τοῦ—ἀλλήλοις (33) Alexandri sunt παραφυάδι] cf. p. 76,1 33 εἶναι τὰ ἴσα Alex. ἀλλήλοις] addendum ex Alexandro τοῦ αὐτοῦ τινος μετουσίᾳ ἀλλήλοις

ὅμοια. εἰ τοίνυν τὰ ἐνταῦθα μετέχουσιν ἐκείνων τῶν εἰδῶν καὶ κατὰ μέθεξιν αὐτῶν λέγονται, φανερὸν ὅτι ὅμοια αὐτοῖς ὑπάρχουσι. φασὶ δὲ τῶν ὁμοίων εἶναι ἰδέας. ὥστε καὶ τούτων ἐστὶν ἰδέα, καὶ οὕτως ἔσται τρίτος ἄνθρωπος. ἐπεὶ οὖν καὶ οὗτος ἔχει ὁμοιότητα πρὸς τὸν ἐνταῦθα, διότι κατηγορεῖται αὐτοῦ καὶ τῇ μετουσίᾳ αὐτοῦ ταῦτα λέγονται, δῆλον ὅτι ἔσται καὶ τῆς ὁμοιότητος ταύτης ἕτερος ἄνθρωπος· καὶ τοῦτο ἐπ' ἄπειρον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων.

p. 990b17 Ὅλως τε ἀναιροῦσιν οἱ περὶ τῶν ἰδεῶν λόγοι ἃ μᾶλλον εἶναι βουλόμεθα.

Ὡς ἐκ τοῦ αὐτοῦ διδασκαλείου ὑπάρχων ταῦτα λέγει. φησὶ γὰρ ὅτι οἱ περὶ τῶν ἰδεῶν λόγοι ἀναιροῦσι ταῦτα ἃ βουλόμεθα εἶναι. τί δέ ἐστιν ἃ βουλόμεθα εἶναι; τὰς ἀρχὰς τῶν ἰδεῶν. τί δέ ἐστι ταῦτα; ἡ μονὰς καὶ ἡ δυάς. πῶς οὖν ἀναιροῦσι ταύτας; καὶ λέγομεν ὅτι, ἐπειδὴ τοὺς ἀριθμοὺς ὑποτίθενται ἀρχὰς τῶν ὄντων (εἴ γε διὰ τῶν ἀριθμῶν ἐδήλουν τὰς ἰδέας), εἰ τοίνυν ἀρχὰς τοὺς ἀριθμοὺς ὑποτίθενται, φανερὸν ὅτι ἀναιροῦσι τὰς ἀρχὰς τῶν ἰδεῶν ἐξ ὧν ὑποτίθενται, ὅτι ἀριθμοὶ οὐχ ὑπάρχουσιν. ὁ γὰρ ἀριθμὸς μείζων ἐστὶ πολυπλασιαζόμενος ἤπερ συντιθέμενος, οἷον τρὶς τρία ἐννέα, δὶς τρία ἕξ. ἡ οὖν μονὰς οὐκ ἔστιν ἀριθμός· πολυπλασιαζομένη γὰρ ἥττων ἐστὶν ἢ εἴπερ συντίθεται· πολυπλασιαζομένη γὰρ μένει ἐπὶ τοῦ αὐτοῦ, συντιθεμένη δὲ διπλασιάζεται. πάλιν δὲ καὶ ὁ δύο ἀριθμὸς καὶ συντιθέμενος καὶ πολυπλασιαζόμενος ὁ αὐτὸς μένει. ὥστε οὐχ ὑπάρχουσιν ἀριθμοί. εἰ τοίνυν μὴ ὑπάρχουσιν ἀριθμοί, ἀρχὰς δὲ τοὺς ἀριθμοὺς ὑπετίθενται, ἀναιροῦσι τὰς ἀρχὰς τῶν ἰδεῶν. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· ἡμεῖς δέ φαμεν πρὸς τοῦτο ὅτι οὐκ ἀριθμοὺς οὕτως f. 52r ἔλεγον ἀλλὰ συμβολικῶς, ἐπεὶ οἱ ἀριθμοὶ περιοριστικοί εἰσι τῶν πραγμάτων ὧν εἰσι· τοιαῦτα δὲ καὶ τὰ εἴδη, περιοριστικὰ τῆς ὕλης. τούτου χάριν ἔλεγεν ἀριθμοὺς τὰς ἰδέας. ἄλλως τε δὴ τὴν μὲν μονάδα ἔλεγον αἰτίαν τῆς συνοχῆς καὶ τῆς ἑνώσεως τῆς τῶν πραγμάτων, τὴν δὲ δυάδα τῆς διαστάσεως, ἐπειδὴ πρώτη ἄρχεται ἡ δυὰς τοῦ ποθέν ποι. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι ἀναιροῦσιν οἱ περὶ τῶν εἰδῶν λόγοι ⟨ἃ μᾶλλον εἶναι βουλόμεθα⟩ οἱ λέγοντες εἴδη τοῦ τὰς ἰδέας εἶναι, τουτέστι τὰς ἀρχὰς τῶν ἰδεῶν, ἃς μᾶλλον εἶναι βουλόμεθα. ἐπειδὴ τὸν ἀριθμὸν ὑποτίθενται ἰδέας, συμβαίνει τὴν δυάδα μὴ εἶναι πρώτην (οὔτε γάρ ἐστιν ἀριθμός, ὡς ἐδείξαμεν) ἀλλὰ τὸν ἀριθμόν. καὶ πάλιν συμβαίνει κατ' αὐτοὺς τὸ πρός τι πρότερον εἶναι τοῦ καθ' αὑτό· ὁ γὰρ Πλάτων τὸ μέγα καὶ τὸ μικρὸν πρότερον ἔλεγε καὶ ἐκ τούτου τὰ ἄλλα ἐγέννα, τουτέστι τὴν δυάδα· τὸ δὲ μέγα καὶ τὸ μικρόν, ὡς εἴρηται ἐν ταῖς Κατηγορίαις, τῶν πρός τι ὑπάρχουσιν. εἰ τοίνυν τὸ μέγα καὶ τὸ μικρὸν πρότερον ὑποτίθεται, ταῦτα δὲ πρός τι, τὰ πρός τι ἄρα πρότερον ἔλεγε τῶν καθ' αὑτό, τῶν πρός τι

---

25 ἐπειδὴ B 30 ἰδεῶν B 30. 31 ἃ—βουλόμεθα addidi; cf. l. 8. 9. 32 31 τοῦ] τὸ BCD ex τοῦ corr. A 37 ἐν ταῖς Κατηγορίαις] c. 7 39 ἔλεγον B

ἐν τοῖς καθ' αὑτὸ θεωρουμένων. λέγομεν τοίνυν καὶ πρὸς τοῦτο ὅτι τὸ μέγα καὶ τὸ μικρὸν ὁ Πλάτων ἐν τοῖς αἰσθητοῖς ὑπετίθετο· τὴν ὕλην γὰρ διὰ τούτων ἐδήλου, ὡς εἴρηται καὶ ἐν ταῖς Φυσικαῖς· τὴν δυάδα δὲ ἔλεγε πρώτην ὡς ἀρχὴν τῆς διαστάσεως.

5 p. 990ᵇ17 Ὥστε ἀναιροῦσιν οἱ περὶ τῶν εἰδῶν λόγοι, ἃ μᾶλλον εἶναι βούλονται οἱ λέγοντες εἴδη τοῦ τὰς ἰδέας εἶναι.

Μᾶλλον μὲν ⟨καὶ⟩ μάλιστα βούλονται τὰς ἀρχὰς εἶναι· αἱ γὰρ ἀρχαὶ αὐτοῖς καὶ αὐτῶν τῶν ἰδεῶν εἰσιν ἀρχαί. αὗται δέ εἰσι τό τε ἓν καὶ ἡ ἀόριστος δυάς, ὡς πρὸ ὀλίγου τε εἴρηται, καὶ ἱστόρηκεν αὐτὸς ⟨ἐν τοῖς⟩
10 Περὶ τοῦ ἀγαθοῦ. ἀλλὰ καὶ τοῦ ἀριθμοῦ ἀρχαὶ αὗται [καὶ] κατ' αὐτούς. f. 52v
ταῦτα δέ φησι τοὺς λόγους τοὺς κατασκευάζοντας τὰς ἰδέας ἀναιρεῖν· ἀναιρουμένων δὲ τούτων ἀναιρεθήσεται καὶ τὰ μετὰ τὰς ἀρχάς, ὥστε καὶ αἱ ἰδέαι. εἰ γὰρ ἐπὶ πάντων ⟨ὧν⟩ τὸ κοινὸν κατηγορεῖται χωριστόν τε καὶ ἰδέα, κατηγορεῖται δὲ καὶ κατὰ τῆς ἀορίστου δυάδος ἡ δυάς, εἴη ἂν αὐτῆς
15 πρῶτόν τε καὶ ἰδέα· οὕτως οὐκέτι ἔσται ἀρχὴ ἡ ἀόριστος δυάς. ἀλλ' οὐδὲ ἡ δυὰς πρώτη ἔσται καὶ ἀρχή· πάλιν γὰρ κἀκείνης ὁ ἀριθμὸς κατηγορεῖται· ὥστε εἴη ἂν αὐτῆς πρῶτος ὁ ἀριθμός, ἰδέα τις ὤν. ἔσται ἄρα αὐτοῖς ἀριθμὸς πρῶτος τῆς δυάδος, ἥτις ἐστὶν αὐτοῖς ἀρχή. ἀλλ' οὐκέτι τοῦ ἀριθμοῦ ἡ δυάς· εἰ δὲ τοῦτο, οὐκέτι ἀρχὴ ἐκείνη, εἴ γε μετασχέσει τινός
20 ἐστι τοιαύτη. εἰ τοίνυν ὑπόκειται εἶναι ἀρχὴ ὁ ἀριθμός, ἔστι δὲ τῶν πρός τι (ὁ γὰρ ἀριθμὸς ἀριθμητοῦ ἐστιν ἀριθμός), εἴη ἂν κατ' αὐτοὺς τὸ πρός τι πρῶτον τοῦ καθ' αὑτό. τοῦτο δὲ ἄτοπον· πᾶν γὰρ τὸ πρός τι δεύτερον. σχέσιν γὰρ ὑποκειμένης φύσεως τὸ πρός τι σημαίνει, ᾗ τις πρώτη τῆς συμβεβηκυίας σχέσεως αὐτῇ· παραφυάδι γὰρ ἔοικε τὰ πρός τι, ὡς εἶπεν
25 ἐν τοῖς Ἠθικοῖς. ἀλλ' εἰ καὶ λέγοι τις τὸν ἀριθμὸν εἶναι ποσὸν ἀλλὰ μὴ πρός τι, εἴη ἂν ἑπόμενον αὐτοῖς τὸ ποσὸν τῆς οὐσίας πρῶτον εἶναι. αὐτὸς δὲ τὸ μέγα καὶ τὸ μικρὸν ἀρχὴν λέγει, ὅπερ ἐστὶν ἀριθμοῦ· τὸ δὲ μέγα καὶ τὸ μικρὸν τῶν πρός τι. ἔτι ἕπεται αὐτοῖς τὸ πρός τι τοῦ καθ' αὑτὸ

---

3 ἐν ταῖς Φυσικαῖς] Phys. A 4 6 τοῦ τὰς Aristoteles: ταύτας τὰς libri 7 μᾶλλον μὲν—πρὸς αὐτάς (p. 80,9) Alexandri sunt καὶ Alex.: om. libri 8 ἀρχαὶ δὲ Alex. 9 εἴρηκε Alex. αὐτὸς Alex.: οὗτος libri ἐν τοῖς Alex.: om. libri 10 Περὶ τοῦ ἀγαθοῦ] fragm. 23 p. 1478ᵃ23 καὶ (post αὗται) delevi Alexandrum secutus 11 ταύτας δή φησι τὰς ἀρχὰς Alex. 12 post ἀρχάς add. εἴ γε ταῦτα ἐκ τῶν ἀρχῶν Alex. 13 ὧν Alex.: om. libri 15 πρῶτόν τι Alex. οὕτως δὲ ἂν οὐκέτι ἀρχὴ εἴη Alex. ἡ ἀόριστος δυάς Alex.: ἧς χωρὶς ὁριστὸν ἡ δυάς ACD: ἧς χωριστὸν ἡ δυάς B 16 ἡ δυὰς πάλιν εἴη ἂν πρώτη Alex. ἔσται scripsi: ἐστὶ libri post κατηγορεῖται add. ὡς ἰδέας (ἰδέα coni. Bz.), αἱ γὰρ ἰδέαι ἀριθμοὶ αὐτοῖς κεῖνται Alex. 17 αὐτῆς] αὐτοῖς Alex. 19 ἀριθμοῦ Alex.: πρώτου libri μετὰ σχέσεως Alex. sed μετασχέσει coni. Br.) 20 ἀρχὴ ὁ scripsi: ἀρχῆς libri 22 post αὐτὸ add. ὄντος Alex. 23 προϋποκειμένης Alex. 24 τὸ Alex. 25 ἐν τοῖς Ἠθικοῖς] Eth. Nicom. A 4 26 αὐτὸς—πρός τι (28)] αὐτὸ δὲ τὸ μέγα καὶ τὸ μικρὸν τῶν πρός τι Alex. 27 post λέγει fort. addendum οὐ τὸ ποσόν

ἀρχήν τε καὶ πρῶτον λέγειν καὶ καθ' ὅσον ἀρχὴ μὲν ἰδέα κατ' αὐτοὺς τῶν οὐσιῶν, ἔστι δὲ ἰδέᾳ τὸ εἶναι ἰδέᾳ ἐν τῷ παράδειγμα εἶναί τι, τὸ δὲ παράδειγμα πρός τι· τινὸς γὰρ τὸ παράδειγμα. ἔτι εἰ ταῖς ἰδέαις τὸ εἶναι ἐν τῷ παραδείγμασιν εἶναι, εἴη ἂν τὰ πρὸς αὐτὰς γινόμενα καὶ ὧν εἰσιν ἰδέαι εἰκόνες ἐκείνων· οὕτως τε λέγοι ἄν τις πάντα τὰ φύσει συνεστῶτα πρός τι γίνεσθαι κατ' αὐτούς· πάντα γὰρ εἰκόνες καὶ παραδείγματα. ἔτι εἰ τὸ εἶναι ταῖς ἰδέαις ἐν τῷ παραδείγμασιν εἶναι, τὸ δὲ παράδειγμα τοῦ f. 53r πρὸς αὐτὸ γινομένου χάριν ἐστί, τὸ δὲ δι' ἄλλο ὂν ἀτιμότερον ἐκείνου, ἔσονται αἱ ἰδέαι ἀτιμότεραι τῶν γινομένων πρὸς αὐτάς.

p. 990b21 Καὶ πάντα ὅσα τινὲς ἀκολουθήσαντες ταῖς περὶ τῶν ἰδεῶν δόξαις ἠναντιώθησαν ταῖς ἀρχαῖς.

Τοιοῦτοί τινές εἰσι λόγοι οἱ διὰ τῆς τῶν ἰδεῶν θέσεως τὰς ἀρχὰς αὐτῶν ἀναιροῦντες, ὡς εἴρηται ἀνωτέρω. λέγοντες γὰρ τὸν ἀριθμὸν ἀνήρουν μονάδα καὶ δυάδα. ἔστι δὲ τὸ αὐτοὲν καὶ αὐτοδυὰς ὁμοίως ἰδέα καὶ αὐτοάνθρωπος καὶ αὐτόιππος καὶ ἑκάστη τῶν ἄλλων ἰδεῶν. εἰ δὲ ὁ ἀριθμὸς ἀρχή, ἀναιροῦνται ταῦτα. τῶν δὲ ἀρχῶν ἀναιρουμένων ἀναιροῦνται καὶ τὰ ἐκ τῶν ἀρχῶν.

p. 990b22 Ἔτι δὲ κατὰ μὲν τὴν ὑπόληψιν καθ' ἣν εἶναί φαμεν τὰς ἰδέας.

Ἄλλο ἐπιχείρημα ἀνασκευαστικὸν τοῦ εἶναι ἰδέας· φησὶ γὰρ ὅτι κατὰ τὴν ὑπόληψιν ἣν ἔχομεν περὶ τῶν ἰδεῶν, οὐ μόνον τῶν οὐσιῶν ἔσονται ἰδέαι ἀλλὰ καὶ τῶν συμβεβηκότων (πάντων γὰρ τῶν ἐνταῦθα ὄντων φασὶν εἶναι ἰδέας· οὐ μόνον δὲ εἰσὶν οὐσίαι ἀλλὰ καὶ συμβεβηκότα), ὅπερ οὐ θέμις. λέγομεν τοίνυν πρὸς τοῦτο ὅτι καὶ συμβεβηκότα οὐσιώδη ὑπάρχουσιν, ὥσπερ τὸ θερμὸν τὸ ἐν πυρί· τοῦτο οὖν ἐστιν ἰδέα, καὶ λοιπὸν διὰ τὸ οὐσιῶδες θερμὸν ὑπάρχουσι καὶ τὰ ἐπεισοδιώδη, ἡ μέντοι γε ἰδέα τῶν οὐσιωδῶν ὑπάρχει. φησὶν οὖν ὅτι οὐ μόνον τῶν οὐσιῶν ἔσονται ἰδέαι, ἀλλὰ καὶ πολλῶν καὶ ἑτέρων· καὶ γὰρ τὸ νόημα ἔχομεν οὐ μόνον περὶ τῶν οὐσιῶν ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων, τουτέστι καὶ τῶν συμβεβηκότων. τὰ γὰρ πρὸ τῶν πολλῶν διὰ ταῦτα ὑπάρχουσι· τὰ μὲν γάρ ἐστι παρὰ τῷ δημιουργῷ, τὰ δὲ ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ἀλλ' ἐκεῖ μὲν τῷ πάντα ποιεῖν, ἐνταῦθα δὲ τῷ πάντα γίνεσθαι· ὁ γὰρ νοῦς ἀεὶ ἔχει τὰ εἴδη ἐνεργείᾳ, ἡ δὲ ψυχὴ δέχεται πάντα ἐκεῖθεν. τὰ δὲ ἐπὶ τοῖς πολλοῖς

1 λέγειν εἶναι καθ' ὅσον Alex. 2 ἰδέᾳ τὸ εἶναι ἰδέᾳ Alex.: ἰδέα τῷ εἶναι ἰδέα libri παραδείγματι εἶναι Alex. vulg.: παράδειγμά τι εἶναι Alex. L 6 γενέσθαι Alex. 7 εἶναί ἐστιν τὸ δὲ Alex. 8 αὐτὸ Alex.: αὐτὰ libri δι' ἄλλο Alex.: δι' ἄλλου libri 12 τοιοῦτοί τινες — ἀναιροῦντες (13) Alexandri sunt 13 ἀνωτέρω] p. 78,13 sqq. 14 ἔστι δὲ — ἰδεῶν (15) Alexandri sunt ὁμοίως ἰδέα Alex.: ὁμοίως δὲ καὶ αὐτοϊδέα libri 15 ἑκάστη Alex.: ἕκαστον libri 28 ὄνομα B 29 καὶ περὶ τῶν συμβ. B 30 ante τὰ γὰρ deesse aliquid videtur

καὶ ὑστερογενῆ ἐνταῦθα † φαντασία ἐστίν· οὔτε γὰρ ἐν τῇ ψυχῇ τὰ δὲ f. 53v
ἐν τοῖς πολλοῖς τὰ καθ' ἕκαστον ὑπάρχει. ἔχουσιν οὖν καὶ ὁ θεὸς καὶ ἡ
ψυχὴ καὶ ἡ φύσις τοὺς λόγους· ἀλλ' ὁ μὲν θεὸς ἔχει αὐτοὺς καὶ γνωστι-
κοὺς καὶ δημιουργικούς, ἡ δὲ ψυχὴ γνωστικούς, ἡ δὲ φύσις δημιουργικούς.
5 εἰ τοίνυν, φησίν, ἔχομεν νοήματα καὶ τῶν συμβεβηκότων, δῆλον ὅτι καὶ
αὐτῶν ἰδέαι ὑπάρχουσι καὶ ἐπιστῆμαι. οὐ μόνον οὖν οὐσιῶν ὑπάρχουσιν,
ἀλλὰ καὶ ἑτέρων, τουτέστι τεχνητῶν πραγμάτων καὶ κατὰ προαίρεσιν γινο-
μένων· ὥστε κἀκείνων ἔσονται ἰδέαι, τουτέστι φιλίας, ἔχθρας, τοῦδε τοῦ
οἰκήματος. εἰρήκαμεν δὲ ἐν τῇ θεωρίᾳ ὅτι ἰδέα ἐστὶ διαστάσεως καὶ ἑνώ-
10 σεως, καὶ ὅτι τῶν φύσει ὑπαρχόντων ἰδέα· οὔτε γὰρ τῶν τεχνητῶν λέ-
γουσιν εἶναι ἰδέας. ὥστε οὐ μόνον, φησί, τῶν οὐσιῶν ὑπάρχουσιν ἰδέαι,
ἀλλὰ καὶ ἄλλων πολλῶν. οὔτε γὰρ ἐπὶ τῶν οὐσιῶν μόνον τὸ νοεῖσθαι
ἀλλὰ καὶ ἐπὶ ποιῶν καὶ ποσῶν καὶ ἑκάστου τῶν ὄντων. καὶ πάλιν ἐπιστῆ-
μαι οὐ μόνον τῶν οὐσιῶν ὑπάρχουσιν, ἀλλὰ καὶ τῶν ἀρετῶν εἰσιν ἰδέαι
15 καὶ τῶν συμβεβηκότων. τὸ δὲ καὶ ἄλλα μυρία συμβαίνει εἶπεν, ἐπεὶ
καὶ ἄλλοι εἰσὶ λόγοι δεικνύναι βουλόμενοι τὰς ἰδέας, ἐξ ὧν συμβαίνει μὴ
μόνον τῶν οὐσιῶν τὰ εἴδη λέγειν, ἀλλὰ καὶ ἄλλων πολλῶν. ἐκ γὰρ τοῦ
ἓν ἐπὶ πολλῶν κατηγορεῖσθαι εἰσέφερον τὰς οὐσίας· τὸ δὲ ἓν ἐπὶ πολλῶν
οὐ μόνον ἐπὶ τῆς οὐσίας κατηγορεῖται, ἀλλὰ καὶ ἐπὶ τῶν συμβεβηκότων.
20 ὥστε εἰ ἄπειρος ὁ τρόπος τῶν ἐνταῦθα, καὶ ἰδέαι ἄπειροι.

p. 990b27 Κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς δόξας.

Κατὰ δὲ τὸ ἀναγκαῖον καὶ ἀκόλουθον ταῖς δόξαις ταῖς περὶ αὐτῶν,
καθ' ἃς μεθεκτὰ λέγουσι τὰ εἴδη, τῶν οὐσιῶν μόνων ἔσονται ἰδέαι. φασὶ
γὰρ ὅτι κατὰ μέθεξιν ἐκείνων γίνεται τὰ τῇδε, διὰ τὸ μετέχειν τῆς ἐκεί-
25 νων ἐλλάμψεως τὰ ἐνταῦθα. εἰ οὖν κατὰ μέθεξιν τὰ εἴδη, τῶν οὐσιῶν
μόνων ἔσονται ἰδέαι. οὐ γὰρ κατὰ συμβεβηκὸς μετέχονται· οὐ γὰρ τὸ
συμβεβηκότος τινὸς τῷ ἀνθρώπῳ μετασχὸν ἄνθρωπος, ἀλλὰ τὸ ἀνθρώπου. f. 54r
καθὸ ἄνθρωπος, τούτεστι ζῴου λογικοῦ θνητοῦ· ἀλλὰ δεῖ ταύτῃ ἕκαστον
μετέχειν, τουτέστιν οὐσιωδῶς, εἰ μὴ καθ' ὑποκειμένου λέγεται,
30 τουτέστιν εἰ μὴ ἐν ὑποκειμένῳ· τὸ γὰρ καθ' ὑποκειμένου πολλάκις λέγεται
ἀντὶ τοῦ ἐν ὑποκειμένῳ, ὡς καὶ ἐν τοῖς Ἀποδεικτικοῖς εἴρηται. τῷ οὖν
καθ' ὑποκειμένου νῦν ἀντὶ τοῦ συμβεβηκότος κέχρηται. καθ' αὑτὸ οὖν,
φησί, τὰ πρὸς τὰς ἰδέας ὄντα τε καὶ γινόμενα καὶ δι' αὐτὰς μεθέξει αὐ-
τῶν, οὐ κατὰ συμβεβηκὸς οὐδὲ συμβεβηκότος τινὸς αὐταῖς. οὕτως δὲ οὐ-

1. 2 φαντασία — ὑπάρχει locus corruptus 1 φαντασία] an φαντασίας? 1. 2 τὰ δὲ — πολλοῖς fort. delenda sunt 8 φιλίας καὶ ἔχθρας B 11 τῶν ἰδεῶν libri 12 οὔτε γὰρ — συμβεβηκότων (19) pleraque Alexandri sunt 20 εἰ ἐπ' ἄπειρον B 22 κατὰ δὲ — ἰδέαι (23) Alexandri sunt 23 αὐτοῖς ἰδέαι ἔσονται Alex. 27 συμβεβηκότος — μετασχὸν Alex.: συμβεβηκὸς τινὸς τῷ ἀνθρώπῳ μετασχόντος libri 27. 28 τὸ ἀνθρώπου Alex.: τῷ ἀνθρώπῳ libri 31 ἐν τοῖς Ἀποδεικτικοῖς] cf. Anal. post. A 4 p. 73b9 τῷ οὖν — δυάδος (p. 82,6) Alexandri sunt τῷ γὰρ Alex. 33 αὐτὰς Alex.: αὐτὰ libri 33. 34 αὐτῶν οὐκέτ' ἂν συμβεβηκότος τινὸς αὐτοῖς Alex.

σίαι ἂν καὶ τὰ πρὸς τὰς ἰδέας ὄντα εἶεν, τῶν οὐσιῶν καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκὸς μετέχοντα. παρέθετο δὲ τοῦ κατὰ συμβεβηκὸς παράδειγμα τὸ διπλάσιον, τουτέστι τὴν δυάδα· ἡ γὰρ δυὰς ἡ κατὰ μετουσίαν τῆς δυάδος οὖσα δυὰς καὶ ἀιδίου μετέχει, ἀλλὰ κατὰ συμβεβηκὸς ἀιδίου, ἐπεὶ εἰ ἀίδιος δυὰς ἡ μετέχουσα δυάς ἐστιν, οὐκέτι κατὰ συμβεβηκὸς μετέχει δυάδος ἀλλὰ καθ' αὑτό· ἀίδιος δὲ κατὰ συμβεβηκός. τῇ οὖν δυάδι ἐκείνῃ τὸ εἶναι δυάδι ἀιδίῳ κατὰ συμβεβηκὸς ὑπάρχει, τὸ δὲ εἶναι δυάδι καθ' αὑτό. διὸ καὶ εἰ ἀιδίου τι μετέχον δυάδος λέγοιτο μετέχειν, κατὰ συμβεβηκὸς ἂν μετέχοι δυάδος. ἐπεὶ τοίνυν δυάδος μὲν καθ' αὑτὸ μετέχει, ἀιδίου δὲ κατὰ συμβεβηκός (εἰ γὰρ μετεῖχε τοῦ ἀιδίου καθ' αὑτὸ ὁ ἄνθρωπος, οὐκ ἂν ἔμελλεν ἕτερον εἶδος μετέχειν τῆς ἀιδιότητος· τὰ γὰρ καθ' αὑτὸ ὑπάρχοντα ἐκείνῳ τῷ πράγματι ⟨μόνῳ⟩ ὑπάρχουσιν, οἷον τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας τῷ τριγώνῳ μόνῳ, ἐπειδὴ καὶ καθ' αὑτὸ ὑπάρχει αὐτῷ) δυὰς μέν ἐστι κατὰ τοῦτο ὁμοία ἐκείνῃ, ἀίδιος δὲ οὔ· οὐ γὰρ ὅμοια τὰ κατὰ συμβεβηκὸς μετέχοντα τινῶν ἐκείνοις ὧν f. 54v οὕτως μετέχει. εἰ τοίνυν τὰ ἐνταῦθα ὅμοια ταῖς ἰδέαις, οὐ κατὰ συμβεβηκὸς αὐτῶν ἀλλὰ καθ' αὑτὸ μετέχει· τὸ δὲ οὐσίας καθ' αὑτὸ μετέχον οὐσία. τῶν οὐσιῶν ἄρα μόνων ἔσονται ἰδέαι κατὰ τὸ ἀκόλουθον αὐτοῖς καὶ ἀναγκαῖον, εἴ γε οὐσίαι μὲν ἐκεῖναι, τὰ δὲ τῶν οὐσιῶν καθ' αὑτὸ μετέχοντα οὐσίαι. τὰ γὰρ αὐτὰ ἐνθάδε οὐσίαν σημαίνει καὶ ἐπὶ τῶν ἰδεῶν, οἷον ὁ ἄνθρωπος ἐνταῦθα οὐσία κἀκεῖ. τὸ θερμὸν ποιὸν ἐνταῦθα κἀκεῖ· ὥστε τῶν οὐσιῶν καὶ μόνων συμβαίνει λέγειν αὐτοὺς ἰδέας, ἐπειδὴ οὔκ εἰσι παρὰ τῷ δημιουργῷ συμβεβηκότα. λέγομεν οὖν ἡμεῖς πρὸς τοῦτο ὅτι καὶ τῶν συμβεβηκότων τῶν οὐσιωδῶν εἰσιν ἰδέαι· οὐσίαι γὰρ κἀκεῖνα, καὶ δι' αὐτὰ ὑπάρχουσι καὶ τὰ ἐπεισοδιώδη συμβεβηκότα, ὡς πολλάκις εἰρήκαμεν.

p. 991a1 Ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν.

Φησὶν ὅτι τοῦτο ὃ λέγουσι τὸ ἓν εἶναι πρὸ τῶν πολλῶν, πότερον ὁμωνύμως κατηγορεῖται ἢ συνωνύμως; εἰ μὲν οὖν συνωνύμως, τὰ αὐτὰ ὑπάρχουσιν ἀπαραλλάκτως αἱ ἰδέαι τοῖς αἰσθητοῖς· εἰ δὲ ὁμωνύμως, ὅμοιον ὡς εἴ τις εἴποι ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον· τὰ γὰρ ὁμώνυμα οὐδὲν δηλοῦσι. λέγομεν οὖν πρὸς τοῦτο ὅτι ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν,

---

1 ἂν καὶ Alexandro desunt 3 τὸ διπλάσιον — δυάδα desunt Alexandro 4 καὶ] εἰ Alex. 5 ἐπεὶ ἀιδίου ἡ δυὰς μετέχουσα δυάς ἐστιν· οὐκέτι δὲ κτλ. Alex. εἰ om. BCD: superscr. A 5. 6 μετέχει deest Alexandro 8 διὸ — συμβεβηκός (10) Alexandri sunt εἰ καὶ Alex. 12 μόνῳ addidi 14 δυὰς — ἐνταῦθα κἀκεῖ (21) Alexandri sunt 14 καὶ κατὰ Alex. 19 εἴ γε Alex.: εἴτε libri 20 τῶν ἀιδίων Alex. 24 δι' αὐτὰ scripsi: δι' αὐτῶν libri 25 τὰ ἐπεισοδιώδη συμβεβήκοτα scripsi, cf. p. 80,26: τῶν ἐπεισοδιωδῶν συμβεβηκότων libri 26 τί scripsi; cf. p. 83,3. 11: ἔτι libri et Metaph. p. 991a1 cod. Hb Bekk. τι om. A, sed cf. p. 83,3. 11

ἐπειδὴ κρείττων ἡ ἰδέα τοῦ αἰσθητοῦ, ὡς καὶ αὐτὸς φῄς, ᾧ Ἀριστότελες, ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν τὸν ἄνθρωπον καὶ τὸν ἐν εἰκόνι γεγραμμένον. τί οὖν ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν; εἰ μὴ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς μετέχει τὰ ἐνταῦθα τῶν ἰδεῶν, τί σημαίνει αὐτοῖς τὸ λέγειν εἶναί τι παρὰ ταῦτα, τουτέστι τὰ αἰσθητά, τοῦτο ὃ ἓν ὂν ἐπὶ πολλῶν λέγεται καὶ ἔστιν ἓν πολλῶν τῶν ἐνταῦθα παράδειγμα: οὐ γὰρ ἔσται τὸ ἓν ἐπὶ πολλῶν ἐπὶ τῶν πρὸς αὐτὸ γεγονότων λεγόμενον κατὰ f. 55r συμβεβηκός· ⟨κατὰ συμβεβηκὸς⟩ γὰρ πάντα πάντων μετέχειν δύναται· καὶ οὐκ ἔστι τὸ κατὰ συμβεβηκὸς μετέχον τινὸς οὔτε κυρίως ἐκείνου μετέχον, οὔτε τὸ εἶναι ἔχον ἀπ' ἐκείνου καθὸ ἐκεῖνό ἐστιν, οὔτε ὡμοιωμένον. ἢ δυνάμει † οὕτω λέγουσιν ἢ τί ἐστι τὸ εἶναί τι φάναι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν; ταῦτα δὲ ἐνταῦθα οὐσίαν σημαίνει κἀκεῖ· εἰ γὰρ μὴ τοῦτο, τί ἔσται τὸ λεγόμενον ὑπ' αὐτῶν; καὶ εἰ μὲν τὸ αὐτὸ εἶδος ὑπάρχει τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἵνα εἴησαν συνώνυμα καὶ ὅμοια, ἔσται αὐτῶν ἕτερον κοινὸν ἰδέα· πάσης γὰρ ὁμοιότητός ἐστιν ἰδέα. διὰ τί γὰρ μὴ ἔστι δυὰς καὶ τῶν ἀιδίων ὥσπερ καὶ τῶν φθαρτῶν; ἔσονται οὖν καὶ τῶν ὄντων ἰδέαι, ὥσπερ καὶ τῶν αἰσθητῶν. εἰ δέ τις εἴπροι ὅτι ⟨οὐ τὸ⟩ αὐτὸ εἶδός ἐστιν, ὁμωνυμία ἂν εἴη, καὶ ὁμωνύμως κατηγοροῖτο τὸ ἓν ἐπὶ πολλῶν, καὶ ὅμοιον ἔσται, ὥσπερ ἂν εἴ τις καλοίη ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον, μηδεμίαν κοινωνίαν ἐπιβλέψας αὐτῶν. τὰ γὰρ ὁμώνυμα οὐδὲ ἐν τοῖς ἔχουσι κοινωνίαν πρὸς ἄλληλα· ὥστε οὐ κατὰ μέθεξιν ἐκείνοις τὰ τῇδε. ἐξ ἀντιφάσεως οὖν προέρχεται ἡ διαίρεσις· ἤτοι γὰρ τὸ αὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἢ οὐ τὸ αὐτὸ εἶδος. εἰ μὲν οὖν τὸ αὐτό, ὥσπερ ἐπὶ τοῖς μετέχουσιν, οὕτω ὁμοειδέσι. [καὶ] ἔστι τι κοινόν, οὕτως καὶ ἐπὶ τούτοις καὶ τῇ ἰδέᾳ ἀφ' ἧς ταῦτα. κοινόν τι ἔσται κατηγορούμενον· ὁμοειδὴς γὰρ κἀκείνη τούτοις. εἰ δὲ τοῦτο, εἴη ἂν τὸ κοινῶς αὐτῶν κατηγορούμενον ἰδέα, καὶ οὕτως ἰδέα ἂν ἰδέας εἴη καὶ τρίτος ἄνθρωπος· καὶ τοῦτο εἰς ἄπειρον ἂν προίοι. εἰ δὲ μὴ εἶεν τὰ πρὸς τὰς ἰδέας μηδὲ κατὰ τὴν οὐσίαν αὐταῖς ὡμοιωμένα καὶ τὸ εἶδος, ὁμώνυμα ἂν εἴη ταῖς ἰδέαις. εἰ δὲ τοῦτο, τί μᾶλλον † μηδέ τις ἰδέα τῶν ὁμωνύμων f. 55v αὕτη αἰτία τοῦ εἶναι ἢ ἄλλων τινῶν, εἴ γε μὴ κατὰ τὴν οὐσίαν καὶ τὸ εἶδος ὁμοιοῦται ταῦτα αὐτῇ τὰ ὁμωνύμως λεγόμενα αὐτῇ. ὁμοίως γὰρ ἕξει

---

2 ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν] immo ὁμώνυμα haec Arist. dicit 3 τὸ ὂν B εἰ μὴ — ὡμοιωμένον (10) Alexandri sunt 5 τοῦτο ὃ Alex.: τὸ libri 7 ἔσται Alex.: ἔστι libri πρὸς αὐτὸ Alex.: πρὸ αὐτοῦ libri 8 κατὰ συμβεβηκὸς iteravi: οὕτω γὰρ Alex. 10 ὡμοιωμένον αὐτῷ Alex. 11 οὕτω λέγουσιν κτλ.] locus depravatus: ἢ δύναται τὸ "ἢ τί κτλ." εἰρῆσθαι ὡς ἐπόμενον τῷ "ταῦτα δὲ — ἐκεῖ" Alex. 12 κἀκεῖ· εἰ γὰρ Alex.: κἂν εἴη γὰρ libri 14 εἴησαν scripsi: εἰ ἦσαν libri 17 ⟨οὐ τὸ⟩ αὐτὸ εἶδος scripsi; cf. Metaph. p. 991a6: αὐτοειδὸς ACD: αὐτοειδῶς B 18 τὸ ἓν om. CD ἐπὶ τῶν πολλῶν B 22 ἤτοι γὰρ — πρὸς αὐτά (p. 84,3) Alexandri sunt 23 εἶδος καὶ ὁ λόγος τῶν Alex. 24 καὶ delevi Alexandrum secutus 25 τοῖς τοιούτοις B 26. 27 ἔσται αὐτῶν τὸ κοινῶς κ. Alex. 27. 28 καὶ τρίτος ἄνθρωπος deest Alexandro 30 εἴη ταῦτα ταῖς Alex. τί μᾶλλον ἰδέα τις εἴη ἰδέα (del. Bz.) τῶν ὁμωνύμων αὕτη (αὐτῇ coni. Bz.) αἰτία κτλ. Alex. 32 αὐτῇ (post ταῦτα) Alex.: αὕτη BCD: ταύτη ex αὕτη corr. A ὡμώνυμα Alex.

ὡς εἴ τις καλοίη ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον μηδὲν ἔχοντα ὅμοιον ἀλλήλοις, καθὸ ἄνθρωποι. καὶ καθόλου πῶς ἂν γένοιτο ταῦτα μετέχειν ἐκείνων μὴ ἔχοντα μηδεμίαν κοινωνίαν κατὰ τὴν οὐσίαν πρὸς αὐτά.

p. 991a8 Πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις ⟨τί⟩ ποτε συμβάλλεται.

Ἔτι ἐνίσταται πρὸς τὰς ἰδέας καί φησιν ὅτι μάτην ὑπάρχουσιν αἱ ἰδέαι· οὐδὲν γὰρ ἡμῖν συμβάλλονται. οὔτε γὰρ ποιητικὸν αἴτιον δυνατόν ἐστιν ὑποθέσθαι αὐτὰς οὔτε δὲ εἰδικὸν οὔτε ὑλικὸν οὔτε τελικόν. ποιητικὸν μὲν οὖν αἴτιον, ὅτι τὰ μὲν τῇδε ἐν κινήσει καὶ μεταβολῇ εἰσιν, αἱ δὲ ἰδέαι ἀκίνητοι ὑπάρχουσι. δεῖ δὲ τὸ ποιητικὸν αἴτιον τὸ προσεχὲς κινούμενον οὕτως ποιεῖν· ὁ γὰρ πατὴρ καὶ ὁ τέκτων κινούμενοι οὕτως ποιοῦσι τὰ τῇδε· ὁμοίως δὲ καὶ ὁ οὐρανός. ὥστε οὐ δυνατόν ἐστιν εἶναι ποιητικὰ αἴτια τὰς ἰδέας. ἀλλ' οὐδὲ εἰδικά· τὰ γὰρ εἰδικὰ αἴτια ἐν αὐτοῖς ὑπάρχουσιν ὧν εἰσιν αἴτια. τὰς δὲ ἰδέας ἐξῃρημένας τίθενται τῆς ὕλης καὶ οὐδαμῶς φασιν αὐτὰς ἐνυπάρχειν τῇ ὕλῃ. οὔτε δὲ πάλιν ὡς τελικὸν αἴτιον δυνατόν ἐστιν ὑποθέσθαι αὐτάς· οὔτε γὰρ τῶν ἰδεῶν ἐφιέμενα τὰ γινόμενα οὕτως γίνονται, ἀλλὰ τοῦ πρώτου αἰτίου. οὔτε δὲ πάλιν ὡς ὑλικὸν αἴτιον δυνατόν ἐστιν ὑποθέσθαι τὰς ἰδέας· ἡ γὰρ ὕλη ἀνείδεός ἐστι καὶ ὑποκειμένη τοῖς τῇδε, τὰς δὲ ἰδέας, ὡς εἴρηται, ἐξῃρημένας τίθενται. φαμὲν οὖν ὅτι τῷ ὄντι οὔτε ποιητικὸν οὔτε ἄλλο τι τῶν τριῶν δυνατόν ἐστι λέγειν τὰς ἰδέας, εἴ γε ἐξῃρημέναι ὑπάρχουσι. φαμὲν δὲ αὐτὰς συμβάλλεσθαι τῷ ποιητικῷ αἰτίῳ, τουτέστι τῇ φύσει. ἡ γὰρ φύσις ἔχουσα ἐν ἑαυτῇ τὰς ἰδέας, τουτέστι τοὺς λόγους τοὺς δημιουργικούς, ποιεῖ ἃ ποιεῖ, καὶ οὐ δυνατὸν ἄνευ αὐτῶν ποιῆσαι εἶδός τι. πάλιν φησὶν ὅτι οὐδὲ πρὸς f. 56r
τὴν ἐπιστήμην συμβάλλονται ἡμῖν αἱ ἰδέαι· αἱ γὰρ ἐπιστῆμαι ὁρισμοὶ ὑπάρχουσιν. οἱ δὲ ὁρισμοὶ τῶν συντεταγμένων εἰδῶν ὑπάρχουσιν· αὐτοὶ δὲ τὰς ἰδέας ἐξαιροῦσι τῆς ὕλης. ὥστε οὐδὲ πρὸς ἐπιστήμην συμβάλλονται ἡμῖν αἱ ἰδέαι. φαμὲν τοίνυν πρὸς ταῦτα ὅτι τῷ μὲν ὄντι οἱ ὁρισμοὶ τῶν συντεταγμένων εἰδῶν ὑπάρχουσιν· αἱ μέντοι γε ἰδέαι τῆς νοερᾶς ἂν ἐπιστήμης εἶεν αἴτιαι. εἴ γε ἀρχαὶ τῶν ὄντων ὑπάρχουσιν αἱ ἰδέαι, ἀδύνατον δέ ἐστι γνῶναι τὸν ἐπιστήμονα τὰ τοῦ κόσμου πράγματα, ἀγνοοῦντα τὰς ἀρχὰς τοῦ κόσμου καὶ τὸ πρῶτον. ὥστε εἰς τὴν κυρίως ἐπιστήμην συμβάλλονται ἡμῖν αἱ ἰδέαι.

p. 991a8 Πάντων δὲ μάλιστα.

Ἄξιόν ἐστιν ἀπορῆσαι, τίνος αἴτιαι αἱ ἰδέαι τούτοις ὧν εἰσιν ἰδέαι. τὸ δὲ ἢ τοῖς ἀιδίοις τῶν αἰσθητῶν ἢ τοῖς γινομένοις καὶ φθειρο-

---

2 γίνοιτο Alex. 24 οὔτε libri 25 ὁρισμοὶ] ἀριθμοὶ B: fort. καὶ ὁρισμοί, cf. p. 85,20 26 αὐτοὶ scripsi: αὗται libri 28 ταῦτα scripsi: αὐτὰ libri 35 τίνος αἴτιαι — παντός (p. 85,3) Alexandri sunt αἴτια εἶναι ἰδέαι λέγονται Alex.

μένοις εἴρηκεν, ἐπεί, φασί, καὶ τῶν θείων σωμάτων ἦσαν ἰδέαι αὐτοῖς, οἷον ἡλίου, σελήνης, τῶν ἄστρων· ἐποίουν γὰρ καὶ τούτων ἰδέας καὶ τοῦ οὐρανοῦ παντός. ἀλλ' αἱ μὲν ἰδέαι τῶν ἀιδίων σωμάτων ἐλέγοντο ἀεὶ τὰ αὐτὰ παράγειν καὶ χορηγεῖν αὐτοῖς τὴν ἀιδιότητα κατ' ἀριθμόν· καὶ αὐτὰ δὲ ὅμως ἐν μεταβολῇ καὶ κινήσει ὑπάρχουσιν· αἱ μέντοι γε τῶν ἐν γενέσει καὶ φθορᾷ ἰδέαι παρέχουσιν αὐτοῖς τὴν κατ' εἶδος ἀιδιότητα. ταῦτα οὖν λέγει ἀίδια, αἰσθητὰ δὲ καὶ γινόμενα καὶ φθειρόμενα τὰ τῇδε ὑποτίθεται. τί οὖν αἱ ἰδέαι συμβάλλονται τῶν φύσει ὄντων ἢ τοῖς θείοις ἢ τοῖς ἐν γενέσει καὶ φθορᾷ, ἀπορεῖ. καὶ πρῶτον μέν γε, ὅ ἐστιν οἰκειότατον τοῖς φυσικοῖς σώμασιν, ἡ κίνησις (τὰ μὲν γὰρ οὐράνια τὴν ἐγκύκλιον κίνησιν ἀεὶ καὶ συνεχῶς κινεῖται, τὰ δὲ ἐν γενέσει κατὰ πάσας μεταβάλλει τὰς μεταβολὰς κατὰ τὴν αὐτῶν φύσιν), ὅτι δὲ εἰς τοῦτο οὐδὲν συμβάλλονται τοῖς σώμασιν αἱ ἰδέαι, οὔτε εἰς γένεσιν οὔτε εἰς κίνησίν τινα ὅλως, δεί- f. 56v
κνυσι· στάσεως γὰρ μᾶλλον αἱ ἰδέαι αἴτιαι τοῖς οὖσιν ἢ κινήσεως, οὖσαί γε ἀκίνητοι κατ' αὐτούς· ὥστε οὐδ' ἂν ποιητικὸν αἴτιον αἱ ἰδέαι εἶεν.

p. 991 a 12 Ἀλλὰ μὴν οὐδὲ πρὸς τὴν ἐπιστήμην οὐδὲν βοηθεῖ τὴν τῶν ἄλλων.

Φησὶν ὅτι οὐδὲ πρὸς τὰς ἐπιστήμας συμβάλλονται ἡμῖν αἱ ἰδέαι, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ. οὐ γὰρ οὐσία τούτων τῶν ἐνταῦθα αἱ ἰδέαι· αἱ δὲ ἐπιστῆμαι τῶν οὐσιῶν ὑπάρχουσιν, ἐπειδὴ αἱ ἐπιστῆμαι καὶ ὁρισμοί, οἱ δὲ ὁρισμοὶ οὐσιῶν δηλωτικοὶ τῶν συντεταγμένων. αἱ δὲ ἰδέαι οὐχ ὑπάρχουσι συντεταγμέναι· ἐν τούτοις γὰρ τοῖς αἰσθητοῖς ἔμελλον θεωρεῖσθαι· νῦν δὲ οὐ θεωροῦνται. λέγομεν οὖν ὅτι οὐσίαι ὑπάρχουσιν ὡς παρακτικαὶ τῶν τῇδε, οὐ μέντοι γε ὡς μέρη. οὔτε δὲ εἰς τὸ εἶναι συμβάλλονται τοῖς τῇδε, μὴ ἐνυπάρχοντα τοῖς μετέχουσιν· ἐξῃρημένα γὰρ αὐτὰ ὑποτίθενται. φαμὲν οὖν πρὸς τοῦτο πάλιν ὅτι τῷ ὄντι ὡς μέρη γινόμεναι τῶν αἰσθητῶν αἱ ἰδέαι οὐδὲν συμβάλλονται· πρὸς αὐτὰς γὰρ ἀποβλέπουσα ἡ φύσις παράγει ἃ ποιεῖ. φησὶν οὖν ὅτι οὐδὲν εἰς ἐπιστήμην τῶν ἐνταῦθα οὔτε εἰς γνῶσιν τῶν παρὰ τὰς ἰδέας αἱ ἰδέαι συντελοῦσιν. ἡ μὲν γὰρ γνῶσις ἡ ἑκάστου κατὰ τὴν τοῦ εἴδους αὐτοῦ γνῶσιν γίνεται· κατὰ τοῦτο γὰρ καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ· αἱ δὲ ἰδέαι οὐκ εἴδη τῶν ἐνταῦθα. εἰ τοίνυν ἡ γνῶσις ἑκάστου κατὰ τὸ εἶδος αὐτοῦ, οὐκ εἰσὶ δέ γε αἱ ἰδέαι ἐν τοῖς ἐνταυθοῖ, εἴ γε καθ' αὑτά τε καὶ κεχωρισμένα, δῆλον ὅτι οὐκ εἰσὶν ἐπιστήμης ἤγουν γνώσεως ποιητικαί.

---

1 φασί deest Alexandro 6 ταῦτα οὖν — ἰδέαι εἶεν (15) Alexandri sunt 7 legendum quod Alex. habet ἀίδια μὲν αἰσθητὰ δέ, γινόμενα δὲ καὶ φθειρόμενα τὰ ἐνταῦθα 10 ἡ κίνησις A[1] Alex.: εἰς κίνησιν BCD corr. A οὐράνια] θεῖα Alex. 14 αἰτίαι εἶεν τοῖς Alex. 27 αὐτὰς scripsi: αὐτὰ libri 28 ὅτι οὐδὲν — ἐνταῦθα (31) Alexandri sunt ὅτι οὐδ' Alex. 29 καὶ γνῶσιν Alex. 34 ἐπιστήμης scripsi: ἐπιστῆμαι libri

p. 991 a 13 Ἀλλ' οὐδὲ εἰς τὸ εἶναι αὐτοῖς συντελεῖ.

Δείξας ὅτι μήτε κινήσεως μήτε μεταβολῆς ὅλως τὰ εἴδη αἴτια τοῖς πρὸς αὐτὰ λεγομένοις οἷόν τε εἶναι, μήτε ἐπιστήμης τε καὶ γνώσεως, διὰ τὸ μηδὲ ἐνυπάρχειν αὐτοῖς. τούτῳ προσχρώμενος ἐφεξῆς τοῖς προειρημένοις δι' ὧν λέγει δείκνυσιν ὅτι μηδὲ εἰς τὸ εἶναι τὰ εἴδη αὐτοῖς συντελεῖ. τὰ μὲν γὰρ [εἴδη] εἰς τὸ εἶναι συντελοῦντα ἐνυπάρχουσι τοῖς βοηθουμένοις εἰς τὸ αὐτό. ἢ ὕλη ὄντα αὐτῶν ἢ εἴδη, τὰ δὲ εἴδη οὐκ ἐνυπάρχει τού- f. 57r
τοις, ἀλλ' ἔστιν αὐτῶν κεχωρισμένα.

p. 991 a 14 Οὕτω μὲν γὰρ ἂν ἴσως αἴτια δόξειεν εἶναι.

Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι οἱ περὶ Ἀναξαγόραν καὶ Εὔδοξον τὸν ἀστρονόμον τὸν Πλατωνικόν (ἀκροατὴς γὰρ γέγονε Πλάτωνος, καί τινα τῶν Εὐκλείδου αὐτόν φασιν εἶναι), φησὶν οὖν ὅτι οὗτοι πάντα ἐν πᾶσιν ὑπετίθεντο εἶναι καὶ ἔλεγον ἐκ τοῦ ἐπικρατοῦντος ὀνομάζεσθαι σάρκα ἢ λευκὸν ἤ τι τοιοῦτον ἄλλο. οὗτοι οὖν λέγοντες ταῦτα πολλὰς ἔχουσιν ἀπορίας. εἰ γὰρ πάντα ἐν πᾶσι μέμικται, συμβήσεται τὰ συμβεβηκότα καὶ τὰ εἴδη αὐτὰ καθ' αὑτὰ ὑφίστασθαι πρὸ τῆς μίξεως, ὅπερ ἐστὶν ἀδύνατον. τὰς γὰρ ὁμοιομερείας ἀρχὰς τῶν ὄντων ὑπετίθεντο οἱ περὶ Ἀναξαγόραν. φησὶν οὖν ὅτι οἱ λέγοντες πάντα ἐν πᾶσι μεμῖχθαι μᾶλλον κατορθοῦσι τῶν ὑποτιθεμένων εἶναι ἰδέας, ἐπειδὴ τὰ αἴτια τῶν γινομένων ἐν αὐτοῖς τοῖς γινομένοις ἐναποτίθενται, οἱ δὲ ἰδέας λέγοντες ἐξαιροῦσιν αὐτάς. † μᾶλλον δὲ βοηθῶν θεωρουμένων ἤ περ ἀφισταμένων. τοῦτο οὖν ἐστιν ὃ λέγει ὅτι οὕτω μὲν γὰρ ἂν ἴσως αἴτια μᾶλλον δόξειεν εἶναι ⟨ὡς⟩ τὸ λευκὸν μεμιγμένον τῷ λευκῷ, διότι ἐνυπάρχει αὐτῷ. ἀλλ' οὗτος μὲν ὁ λόγος λίαν ἐστὶν εὐανάτρεπτος. ὃν Ἀναξαγόρας μὲν πρῶτος. Εὔδοξος δὲ δεύτερος καὶ ἄλλοι τινὲς ἔλεγον· ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τὴν τοιαύτην δόξαν τὴν λέγουσαν πάντα ἐν πᾶσι μεμῖχθαι. ἀδύνατον οὖν λέγειν τὰ εἴδη τοῖς πρὸς αὐτὰ λεγομένοις τὸ εἶναι ἔχειν ἐν τῷ μεμῖχθαι· λίαν γάρ ἐστιν οὗτος ὁ λόγος εὐκίνητος καὶ σαθρός.

p. 991 a 19 Ἀλλὰ μὴν οὐδὲ ἐκ τῶν εἰδῶν ἐστι τὰ ἄλλα.

Φησὶν ὅτι κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι δυνατόν ἐστιν ἐκ τῶν ἰδεῶν λέγειν γίνεσθαι τὰ ἄλλα. ἢ γὰρ ὡς ἀπὸ ὑλικοῦ αἰτίου γίνονται τὰ γινόμενα, ὡς ὅταν λέγωμεν ὅτι ἀπὸ τοῦ ξύλου γέγονε κλίνη καὶ ἀπὸ τοῦ χαλκοῦ ἀνδριάς. οὐ δυνατὸν οὖν ἐστιν ὑλικὸν αἴτιον τὰς f. 57v

2 Δείξας—κεχωρισμένα (8) Alexandri sunt 4 μὴ Alex. 5 συντελεῖ—εἶναι (6) om. BCD συντελεῖ τι Alex. 6 εἴδη delevi Alexandrum secutus 7 εἰς τοῦτο ὑπ' αὐτῶν, ἢ κτλ. Alex. 12 αὐτόν scripsi: αὐτοῦ libri 20 μᾶλλον δὲ κτλ.] locus corruptus: res tale quid postulat μᾶλλον δὲ βοηθεῖν εἰς τὸ εἶναι δοκεῖ, ἐν αὐτοῖς τοῖς πράγμασιν θεωρουμένων κτλ. 22 ὡς ex Aristotele addidi 26 πρὸς ex Aristotele: πράγματα libri 27. 28 λέγειν—σαθρός (28) pleraque Alexandri sunt 27 ἐν τῷ deest Alexandro

ἰδέας ὑποτίθεσθαι καὶ οὕτως ἐξ αὐτῶν λέγειν γίνεσθαι τὰ τῇδε· ἐξῃρη-
μένας γὰρ βούλονται εἶναι τὰς ἰδέας, ὡς πολλάκις εἴρηται. ὁμοίως δὲ καὶ
ἐκ τοῦ εἴδους φαμὲν τὰ ἔνυλα γίνεσθαι πράγματα, τοῦ εἴδους ἐν τῇ ὕλῃ
θεωρουμένου· αὐτοὶ δὲ τοῦτο οὐ βούλονται. ἢ ὡς τὸ μεθ' ὅ, ὥσπερ
5 φαμὲν ἐκ χειμῶνος ἔαρ γίνεσθαι. λέγεται δὲ ἔκ τινος καὶ ὡς ἐκ τοῦ ποι-
οῦντος, καὶ ὡς ἐκ τοῦ ἀτελοῦς τὸ τέλειον (οὕτω γὰρ λέγομεν ἐκ παιδὸς
ἄνδρα γίνεσθαι), καὶ ἐκ τῶν μερῶν τὸ ὅλον, καὶ ὡς ἐκ τῶν ἐναντίων τὰ
ἐναντία. λέγεται ἔκ τινος καὶ τὸ μετά τι γινόμενον, ὡς ἐξ Ὀλυμπίων
Ἴσθμια ἤγουν ἐκ χειμῶνος ἔαρ. κατ' οὐδένα οὖν τρόπον τοῦ ἔκ τινος ἐκ
10 τῶν ἰδεῶν τὰ ἐνταῦθα· οὔτε γὰρ ὕλη αὐτῶν, ὡς ἐδείχθη, οὔτε εἶδος αἱ
ἰδέαι, εἴ γε τὰ μὲν εἴδη ἐνυπάρχουσιν, αἱ δὲ ἰδέαι οὐκ ἐνυπάρχουσιν·
ἀλλ' οὐδὲ μέρη. ἀλλ' οὐδ' ὡς ἐξ ἐναντίων ταῦτα ἐκείνων. τὸ γὰρ ἐξ
ἐναντίου γινόμενον ὑπομένοντος τοῦ αὐτοῦ ὑποκειμένου καὶ μεταβάλλοντος
ἐκ τοῦ ἐναντίου γίνεται· εἰ δὲ οὕτως, εἴη ἂν ταὐτὸν ὑποκείμενον ταῖς τε
15 ἰδέαις καὶ τοῖς πρὸς αὐτάς. ὥστε αἱ ἰδέαι ἐναντίαι ἂν εἶεν τοῖς πρὸς αὐτὰς
γινομένοις ἀλλ' οὐχ ὅμοιαι. ἔτι φθειρόμεναι ἐν τῇ τούτων γενέσει. ἔτι
ὡς ἐξ ἐκείνων ταῦτα, καὶ ἐκ τούτων ἐκεῖναι· τοιαύτη γὰρ ἡ ἐξ ἐναντίων
γένεσις. ἀλλ' οὐδ' ὡς ὑπομενουσῶν καὶ τελειότητά τινα προσλαμβανουσῶν
γίνονται τὰ πρὸς αὐτάς, ὡς ἐκ τοῦ παιδὸς ἀνὴρ ἐλέγετο γίνεσθαι· οὔτε γὰρ
20 ἐνυπάρχει τούτοις οὔτε τελειοῦται οὕτως ὑπὸ τούτων. εἴη γὰρ ἂν ἀτελέ-
στερα τούτων καὶ οὕτως φθαρτά· ἡ γὰρ τῶν τελείων φθορὰ κἀκείνων ἐστὶ
φθορά. ἀλλ' οὐδὲ ποιητικαὶ αἱ ἰδέαι τῶν ἐνταῦθα, ὡς ὁ πατὴρ τοῦ τέκνου·
ἀκίνητοι γὰρ ἐκεῖναι, καὶ ἄνθρωπος ἄνθρωπον γεννᾷ ὁ καθ' ἕκαστα τὸν
καθ' ἕκαστα, ἀλλ' οὐχ ὁ αὐτοάνθρωπος. ἀλλ' οὐδὲ οὕτως ὡς ἐξ Ὀλυμ-
25 πίων Ἴσθμια· χρόνου γὰρ παράτασίς ἐστιν ἐπὶ τούτων. φαμὲν οὖν ἡμεῖς f. 58r
πρὸς ταῦτα ὅτι τῷ ὄντι καλῶς φησιν ὁ Ἀριστοτέλης ὅτι κατ' οὐδένα τρό-
πον τῶν εἰωθότων λέγεσθαί φαμεν τὰ τῇδε γινόμενα ὑπὸ τῶν ἰδεῶν, εἴ
γε ἐξῃρημέναι ὑπάρχουσιν· ἀλλ' οὕτω φαμὲν γίνεσθαι ἐκ τῶν ἰδεῶν ὡς
παρακτικὰ καὶ αἴτια τῆς ἀιδιότητος. οὔτε γὰρ ὡς τελικὸν οὔτε ὡς ὁλικὸν
30 ἢ εἰδικόν, ἀλλ' ὡς συμβαλλόμενον τῷ ποιητικῷ· πρὸς γὰρ τούτους τοὺς
λόγους ἀποβλέπουσα ἡ φύσις δημιουργεῖ, καὶ διὰ τὴν ἀιδιότητα τῶν ἰδεῶν
ὑπάρχει ἡ διαμονὴ καὶ ἀιδιότης τοῖς ἐνταῦθα γινομένοις.

p. 991 a 20 Τὸ δὲ λέγειν παραδείγματα ταῦτα εἶναι.

Φησὶν ὅτι τὸ ὑποτίθεσθαι τὰς ἰδέας παραδείγματα εἶναι τῶν τῇδε
35 κενολογεῖν ἐστιν· οἱ γὰρ τοιοῦτοι μεταφοραῖς κέχρηνται, καθάπερ καὶ

---

5 λέγεται δὲ—" σθμια (25) Alexandri sunt 6 ὡς λέγομεν Alex. 8 μεταγιγνόμενον Alex. 9 δὴ τῶν τρόπων Alex. 11 εἴ γε—ἐνυπάρχουσιν desunt Alexandro ἐνυπάρχουσιν utrobique scripsi: ὑπάρχουσιν libri 13 ἐναντίου Alex.: ἐναντίων libri 15 πρὸς αὐτὰ A ὥστε—αὐτάς om. BCD 16 ἔτι (ante ὡς) deest Alexandro 17 ἐκεῖναι D Alex.: ἐκεῖνα ABC 19 αὐτάς Alex.: αὐτά libri 21 οὕτως] ἐκεῖνα Alex. 28 ἐξῃρημένα libri 28. 29 exspectes ὡς παρακτικῶν καὶ αἰτίων 34 τῶν τῇδε scripsi: ταύτη δὲ BC: ταύτην δὲ AD

οἱ ποιηταί φασι πόδας Ἴδης. οὐ δεῖ οὖν τοὺς ζητοῦντας τὰς τῶν πραγμάτων φύσεις κεχρῆσθαι μεταφοραῖς καὶ ὀνοματοθετεῖν. διὰ τί δὲ ὅλως παράδειγμα ἐκάλεσεν ἂν τὰς ἰδέας ἢ τί ἐστι τὸ ἐργαζόμενον ἀποβλέπον πρὸς τὰς ἰδέας; φαμὲν οὖν πρὸς τοῦτο ὅτι ὁ δημιουργὸς ἀποβλέπων πρὸς τὰς ἰδέας, καὶ ἡ φύσις οὕτως παράγει ἃ παράγει· ἀποβλέπων πρὸς τοὺς λόγους τοὺς δημιουργικοὺς τοὺς ἐν αὐτῷ, ὥσπερ καὶ ὁ ἰατρὸς ἀνασκοπῶν τοὺς λόγους τῆς ὑγείας τοὺς ἐν αὐτῷ ὄντας οὕτως ποιεῖ τὴν ὑγείαν. τὸ δὲ κεχρῆσθαι μεταφοραῖς καὶ καλεῖν αὐτὰ παραδείγματα οὐδέν ἐστιν ἄτοπον. ἐπειδὴ πρὸς αὐτὰ ἀποβλέπων ὁ δημιουργὸς οὕτως παράγει· ὥστε ἐκεῖ μὲν παραδείγματα, ἐνταῦθα δὲ εἰκόνες. μήποτε δὲ καὶ νεμεσητὸν τὸ οὕτως λέγειν· καὶ αὐτός γὰρ κέχρηται μεταφοραῖς, ἡνίκα λέγει "ὅρον δὲ καλῶ εἰς ὃν ἀναλύεται ἡ πρότασις", καὶ πάλιν πρῶτον σχῆμα καὶ δεύτερον καὶ τρίτον τὰ ἐν τοῖς συλλογισμοῖς ἀπὸ μεταφορᾶς τῶν εἰρημένων ἐν γεωμε- f.58v
τρίᾳ· ἐπεὶ τίνα ἔχει κοινωνίαν σχῆμα πρὸς συλλογισμόν; ὃ οὖν λέγει ὁ Ἀριστοτέλης, τοῦτό ἐστιν, ὅτι τὸ λέγειν παραδείγματα καὶ ὅτι μετέχει ἐκείνων τὰ τῇδε κενολογεῖν ἐστι καὶ μεταφοραῖς κεχρῆσθαι ποιητικαῖς· τοῦτο δέ, ὅτι τοῖς ποιηταῖς οἰκεῖον τὸ χρῆσθαι μεταφοραῖς. μετενήνεκται δὲ ἀπὸ τῶν γραφέων τὸ παράδειγμα, οἳ γράφειν λέγονται πρὸς παράδειγμα. ὅτι δὲ κενολογοῦσιν οἱ τὰς ἰδέας παραδείγματα λέγοντες, ἔδειξε διὰ τοῦ εἰπεῖν τί γάρ ἐστι τὸ ἐργαζόμενον ἀποβλέπον πρὸς τὰς ἰδέας; ἐνδέχεται γὰρ καὶ εἶναι καὶ γίνεσθαι ὁτιοῦν ὅμοιον καὶ μὴ εἰκαζόμενον πρὸς ἐκεῖνο. δυνατὸν γάρ ἐστι μὴ μόνον τὸν Θεαίτητον ὅμοιον εἶναι Σωκράτους, ἀλλὰ καὶ ἐν Περσίδι γενέσθαι ὅμοιον αὐτοῦ κατὰ τύχην τινά. λέγομεν οὖν αὖθις πρὸς τοῦτο ὅτι τὸ κατὰ τύχην τῶν σπανίων ἐστὶ καὶ ἐνταῦθα ἔχει χώραν, ἐπὶ μέντοι γε τῶν ἀεὶ γινομένων οὐ θεωρεῖται τὸ κατὰ τύχην, ἀλλὰ δεῖ πάντως παραδείγματος, πρὸς ὃ γίνεται τὸ γινόμενον. τοῦτο οὖν φησιν ὁ Ἀριστοτέλης ὅτι καὶ ὄντος Σωκράτους καὶ μὴ ὄντος δυνατόν ἐστι γενέσθαι ὅμοιον αὐτοῦ. ὁμοίως δὲ καὶ εἰ ὑπῆρχε Σωκράτης ἀίδιος καὶ μὴ ἐφθείρετο, δυνατὸν ἦν γενέσθαι ὅμοιον αὐτοῦ, ἀλλὰ κατὰ τύχην, ὡς εἰρήκαμεν. δύναται οὖν καὶ ὅμοιός τις Σωκράτει εἶναί τε καὶ γίνεσθαι. εἰ δὲ μηκέτι ὄντι τινὶ ὅμοιόν τι γίνεται, ἐναργές ἐστιν ὅτι μὴ πάντως εἰκάζοντός τινος καὶ πρὸς παράδειγμα ποιοῦντος ὅμοιά τισί τινα γίνεται. ὡς γὰρ ⟨ὁ τῷ⟩ μηκέτι ὄντι ὅμοιος ὢν οὐ πρὸς ἐκεῖνο γέγονεν, οὕτως οὐδ' ἂν ἀίδιόν τι εἶδος εἴη καὶ συγχωρηθείη γοῦν τις τοιαύτη φύσις, ἡ πρὸς αὐτὸ ὁμοιότης ὡς πρὸς παράδειγμα ἔσται. [καὶ] μηδενός γε ὄντος τοῦ πρὸς ἐκεῖνο ποιοῦντος. τοῦτο δ' ἂν λέγοιτο καὶ πρὸς τοὺς ⟨λόγους τινὰς⟩ λέγοντας εἶναι τὰς ἰδέας καὶ νοήματα. καὶ γὰρ εἰ f.59r
ἔστιν, οὐ διὰ τοῦτο ἤδη καὶ γίνονται ταῦτα πρὸς ἐκεῖνα, μηδενὸς τοῦ πρὸς

1 οἱ ποιηταί] Il. Υ 59 all. ζηλοῦντας AC 3 et 20 ἀποβλέπον scripsi: ἀποβλέπειν libri et Metaph. p. 991a23 cod. T Bekk., sed cf. l. 4. 9 11 ἡνίκα λέγεις ACD ὅρον δὲ κτλ.] Anal. pr. A 1 p. 24b16 12 ἀναλύεται] διαλύεται Arist. l. l. 17 μετήνεκται ACD: μετήνεγκε B 31 εἰ δὲ μηκέτι — ποιοῦντος ὄντος (p. 89,1) Alexandri sunt 33 ὁ τῷ ex Alexandro addidi ὅμοιος ὢν οὐ Alex.: ὁμοίαν ὡς libri 34 γοῦν] εἶναι Alex. 35 καὶ delevi Alexandrum secutus 37 λόγους τινὰς ex Alexandro addidi

αὐτὰ ποιοῦντος ὄντος. ἄλλως τε δὴ ὁ ἵππος καὶ ὁ ἄνθρωπος κατὰ τὴν ἐν αὐτῷ φύσιν καὶ αἰτίαν καὶ ἀρχὴν καὶ δύναμιν ποιεῖ· οὔτε γὰρ πρός τι παράδειγμα ἀποβλέπων ποιεῖ ὁ ἵππος ἵππον ἢ ὁ ἄνθρωπος ἄνθρωπον. ἀλλὰ κατὰ τὴν ἐν αὐτῷ οὐσίαν. εἰ δὲ ἀίδιος, ὥς φασιν, ὁ κόσμος, φανερὸν ὅτι οὐκ εἰσὶν ἰδέαι· ἀεὶ γὰρ ἵππος ἐξ ἵππου καὶ ἄνθρωπος ἐξ ἀνθρώπου καὶ τὰ ἄλλα ὁμοίως μὴ πρὸς ἰδέας ἀποβλέποντα. λέγομεν οὖν ὅτι οὐ τῶν καθ' ἕκαστα ὑπάρχουσιν ἰδέαι ἀλλὰ τῶν καθόλου· οὐ γὰρ Σωκράτους ἀλλ' ἀνθρώπου· διὸ καὶ τὸ εἶδος μένει ἀεὶ διὰ τὸν λόγον ὃν ἔχει ἡ φύσις καὶ οὕτως ποιεῖ.

p. 991a27 Ἔσται πλείω τοῦ αὐτοῦ παραδείγματα ὥστε καὶ εἴδη.

Ἕτερον ἔγκλημα ἐπιφέρει κατ' αὐτῶν· φησὶ γὰρ ὅτι ἐπεὶ ὁ ἄνθρωπος καὶ ἀνθρωπός ἐστι καὶ ζῷον καὶ δίπουν, πάντων τῶν τοιούτων ἔσονται ἰδέαι, καὶ ἀνθρώπου καὶ δίποδος καὶ ζῴου, ὥστε ἄπειροι ἔσονται ἰδέαι. ἔπειτα καὶ ἰδέα ἰδέας ἔσται, καὶ τὸ αὐτὸ παράδειγμα καὶ εἰκών. τὸ γὰρ αὐτοζῷον παράδειγμα ἔσται τοῦ αὐτοανθρώπου, ἐπειδὴ τὸ μὲν καθολικώτερον τὸ δὲ εἰδικώτερον· πάλιν ὁ αὐτοάνθρωπος παράδειγμα μὲν τοῦ ἐνταῦθα ἀνθρώπου, εἰκὼν δὲ τοῦ αὐτοζῴου. φαμὲν οὖν πρὸς ταῦτα ὅτι ἡ μὲν ψυχὴ τῷ ὄντι καὶ εἰκὼν καὶ παράδειγμά ἐστι, παράδειγμα μὲν τῶν τῇδε ὡς ἔχουσα τοὺς λόγους τῶν εἰδῶν ἐν ἑαυτῇ, εἰκὼν δὲ τοῦ παντελείου νοῦ τοῦ ἀεὶ ἐνεργείᾳ ὄντος καὶ ἔχοντος τὴν ἐνέργειαν οὐσίαν· ἐπὶ μέντοι γε τῶν ἰδεῶν οὐ δυνατόν ἐστι τοῦτο· οἱ γὰρ λόγοι οἱ δημιουργικοὶ ἀεὶ παραδείγματα ὑπάρχουσιν. οὐκ ἔστι δὲ ἰδέα καὶ ἀνθρώπου καὶ ζῴου καὶ δίποδος, ἀλλὰ ἀνθρώπου μόνου. ἐν γὰρ τοῖς καθολικωτέροις ἐμπεριέχον- p. 992a
ται τὰ μερικά· ἐν οὖν τῷ λόγῳ τοῦ ἀνθρώπου καθολικῷ ὄντι ἐμπεριέχεται καὶ τὸ ζῷον καὶ τὸ λογικὸν καὶ τὸ δίπουν καὶ ὅσα ἄλλα τοιαῦτα, ὥσπερ καὶ ὁ ἰατρὸς ἔχει τὸν λόγον τῆς ἰατρικῆς, καὶ ἐμπεριέχεται ἐν τῷ λόγῳ τούτῳ καὶ τὸ χειρουργικὸν καὶ διαιτητικὸν καὶ τὰ ἄλλα μέρη. καὶ ὅμως οὐ φαμεν σύνθετον τὴν ἰατρικήν· ὁμοίως δὲ καὶ ἐπὶ πασῶν τῶν ἄλλων ἐπιστημῶν. τοῦτο οὖν φησιν ὁ Ἀριστοτέλης ὅτι ἑνὸς καὶ τοῦ αὐτοῦ εἴδους πλείονα ἔσονται παραδείγματα, ὥστε καὶ ἰδέαι· οἷον τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τὸ δίπουν, ἅμα δὲ καὶ ὁ αὐτοάνθρωπος· ὥστε πλείονα ἔσονται τοῦ ἑνός. ἔτι δὲ οὐ μόνον τῶν αἰσθητῶν ἔσονται παραδείγματα αἱ ἰδέαι, ἀλλὰ καὶ αὐτῶν τῶν ἰδεῶν, οἷον τὸ γένος ὡς γένος εἰδῶν· τὸ γὰρ αὐτοζῷον ὡς γένος ἔσται ἰδέα τοῦ αὐτοανθρώπου εἴδους ὄντος. ὥστε ὁ αὐτοάνθρωπος ἔσται παράδειγμα μὲν τοῦ αἰσθητοῦ ἀνθρώπου, εἰκὼν δὲ τοῦ αὐτοζῴου.

p. 991b1 Ἔτι δόξειεν ἂν ἀδύνατον εἶναι χωρὶς τὴν οὐσίαν καὶ οὗ ἡ οὐσία.

Ἕτερον αὖθις ἐπιχείρημα τῶν ἰδεῶν ἀνασκευαστικὸν ὅτι ἀδύνατόν

5 οὐδ' ἂν παραδείγματα εἶεν αἱ ἰδέαι Alex. 13 αἱ ἰδέαι (ante ἔπειτα) B 34 ἐστὶν B

ἐστι τὴν οὐσίαν χωριστὴν εἶναι αὐτὴν καθ' αὑτὴν οὗ τινός ἐστιν οὐσία. τὴν γὰρ οὐσίαν τοῦ ἀνθρώπου ἀδύνατόν ἐστιν εἶναι ἄνευ τοῦ ἀνθρώπου, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. εἰ τοίνυν τὰς ἰδέας φατὲ εἶναι οὐσίας τῶν αἰσθητῶν. ταύτας δὲ ἐξῃρημένας ὑποτίθεσθε, συμβαίνει τὰς οὐσίας χωριστὰς εἶναι τῶν πραγμάτων ὧν οὐσίαι ὑπάρχουσιν· ὅπερ ἐστὶν ἀδύνατον. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· φαμὲν δὲ πρὸς τοῦτο ὅτι τῷ ὄντι αἱ ἰδέαι οὐσίαι τῶν αἰσθητῶν ὑπάρχουσιν οὐχ ὡς μέρη αὐτῶν οὖσαι, ἀλλ' ὡς παρακτικαὶ αὐτῶν ὑπάρχουσαι καὶ αἰτίαι οὖσαι τῆς διαμονῆς αὐτῶν καὶ ἀιδιότητος. ὡς γὰρ εἴρηται πολλάκις, πρὸς ταῦτα ἀφορῶσα ἡ f.60r φύσις ποιεῖ ἃ ποιεῖ. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι ἀδύνατον χωρὶς εἶναι τὴν οὐσίαν ἐκείνου τοῦ πράγματος οὗ ἐστιν οὐσία· ὥστε πῶς αἱ ἰδέαι οὐσίαι τῶν πραγμάτων ὑπάρχουσιν οὖσαι χωρισταὶ κατ' αὐτούς; εἰ οὖν αἱ ἰδέαι οὐσίαι τῶν ἐνταῦθα ἦσαν, οὐκ ἂν ἦσαν αὐτῶν κεχωρισμέναι· ὥστε οὐκ εἰσιν αὐτῶν οὐσίαι. ἀλλὰ μὴν οἱ λέγοντες τοὺς ὁρισμοὺς τῶν ἐνταῦθα γίνεσθαι κατὰ τὰς ἰδέας οὐσίας ποιοῦσι τὰς ἰδέας τῶν αἰσθητῶν. οἱ γὰρ ὁρισμοὶ τὰς οὐσίας τῶν πραγμάτων δηλοῦσι καὶ κατὰ τὰ οἰκεῖα εἴδη γίνονται· τὸ γὰρ εἶναι ἑκάστῳ, οὗ ὁρισμὸς δηλωτικός, κατὰ τὴν οἰκείαν οὐσίαν· οὕτως τε ἂν εἶεν ἰδέαι τὰ εἴδη.

p. 991b3 Ἐν δὲ τῷ Φαίδωνι οὕτως λέγομεν.

Ὅτι τοῦ Πλάτωνός ἐστιν ὁ Φαίδων σαφῶς ὁ Ἀριστοτέλης δηλοῖ· ἀντιλέγων γὰρ πρὸς τὸν Πλάτωνα παράγει μαρτυρίαν ἐκ τῶν παρ' αὐτοῦ εἰρημένων ἐν τῷ Φαίδωνι. καὶ ἐν τοῖς Μετεώροις δὲ παρήγαγε τὸν Φαίδωνα, ἡνίκα περὶ τοῦ Ταρτάρου λόγον ἐποιεῖτο. Παναίτιός γάρ τις ἐτόλμησε νοθεῦσαι τὸν διάλογον. ἐπειδὴ γὰρ ἔλεγεν εἶναι θνητὴν τὴν ψυχήν, ἐβούλετο συγκατασπάσαι καὶ τὸν Πλάτωνα· ἐπεὶ οὖν ἐν τῷ Φαίδωνι σαφῶς ἀπαθανατίζει τὴν λογικὴν ψυχήν, τούτου χάριν ἐνόθευσε τὸν διάλογον. ἐν δὲ τῷ Φαίδρῳ φησὶν ὁ Πλάτων ὅτι πᾶσα ψυχὴ ἀθάνατος, καὶ ὡς ὁ ἡμέτερος φιλόσοφος ἔφασκε, περὶ τῆς τοῦ κόσμου ψυχῆς λέγει. καὶ ἐν τῇ Πολιτείᾳ δὲ ἀπαθανατίζει τὴν ψυχήν, ἀλλ' οὐχ ὁμοίως ὡς ἐν τῷ Φαίδωνι. τὸ οὖν λέγομεν ὁμοίως εἴρηται τοῖς πρόσθεν· κοινοῦται γὰρ τὴν δόξαν ὡς οὖσαν καὶ αὐτοῦ, ἐπειδὴ τοῦ αὐτοῦ διδασκαλείου ἦν. δείκνυσι δὲ ψεῦδος ὂν τὸ εἰρημένον ἐν τῷ Φαίδωνι· εἴρηται μὲν γὰρ ὅτι καὶ τοῦ εἶναι τὰ ἐνταῦθα καὶ τοῦ γίνεσθαι αἴτια τὰ εἴδη. καὶ τοῦ μὲν εἶναι f.60v λέγει περὶ τῶν θείων σωμάτων, ἐπειδὴ ἀεὶ ὑπάρχουσι, τοῦ δὲ γίνεσθαι περὶ τῶν τῇδε. ἢ τὸ εἶναί φησι περὶ τῶν τῇδε καὶ τὸ γίνεσθαι· εἰσὶ μὲν γὰρ ἀεὶ τὰ εἴδη, γινόμενα δὲ τὰ καθ' ἕκαστα. ὅμως πάντων φασὶν εἶναι

5 ὧν οὐσίαι εἰσίν B 7 καὶ ἰδέαι C 11 ἡ οὐσία B 17 οὗ ὁ ὁρισμὸς BC 22 ἐν τοῖς Μετεώροις] Meteor. B 2 p. 355b32 (v. Phaed. p. 111 C sqq.) 24 ἔλεγεν Brandis: ἔλεγον libri 27 Φαίδρῳ Hirzel Unters. z. Cic. phil. Schr. I 233, cf. Phaedr. p. 245C: Φαίδωνι libri 28. 29 ἐν τῇ Πολιτείᾳ] X 9 p. 608D sqq. 30 τὸ οὖν—καὶ αὐτοῦ (31) Alexandri sunt λέγομεν Alex.: λεγόμενον libri 31 δείκνυσι—εἴδη (33) Alexandri sunt 32 εἴρηται μὲν γὰρ κτλ. Phaed. p. 100D

ἰδέας τῶν σωμάτων, ὡς καὶ ἀνωτέρω εἰρήκασι. τοῦτο δὲ οὐκ ἀληθὲς εἶναι ἰδέας. εἴ γε ἀδύνατον. ὡς προείρηται, χωρὶς τὴν οὐσίαν εἶναι καὶ τὸ οὗ ἐκείνη οὐσία ἦν. νῦν οὖν δείκνυσιν ὅτι οὐκ εἰσιν αἴτια τὰ εἴδη τοῦ εἶναι καὶ γίνεσθαι. καὶ τῶν ἰδεῶν γὰρ ὑπαρχουσῶν ὅμως οὐ γίνονται τὰ
5 μετέχοντα, ἐὰν μὴ ὑπάρχῃ τὸ κινητικόν, τουτέστι τὸ ποιητικὸν αἴτιον· οὐδὲ γὰρ αἱ ἰδέαι αὐτοῖς εἰσιν αἴτιαι ὡς ποιοῦσαι. ὅτι γὰρ τὸ ποιοῦν τοῖς γινομένοις αἴτιον καὶ οὐ τὸ παράδειγμα. ἔδειξε διὰ τοῦ πολλὰ καὶ γίνεσθαι καὶ εἶναι, ὧν οὔ φαμεν ἰδέας εἶναι, ὥσπερ τὰ τεχνητά· οἰκία γὰρ καὶ δακτύλιος οὐ πρὸς ἰδέαν. εἰ δὲ ταῦτα οὐ κωλύονται γίνεσθαι καὶ εἶναι
10 καὶ μὴ οὐσῶν ἰδεῶν, διὰ τὸ εἶναι τὸ ποιητικὸν αἴτιον, οὐδὲ ἐκεῖνα ὧν φασιν ἰδέας εἶναι κωλυθήσεται εἶναί τε καὶ γίνεσθαι καὶ μὴ οὐσῶν τῶν ἰδεῶν. δι' ἃς γὰρ αἰτίας γίνεται ἐκεῖνα ὧν οὐ λέγουσιν εἶναι ἰδέας, φημὶ δὲ τὰ τεχνητά, διὰ τὰς ὁμοίας αἰτίας ἔσται καὶ ἐκεῖνα, ὧν φασιν εἶναι ἰδέας, ἄνευ ἰδεῶν· ὡς γὰρ ἐκεῖνα κατὰ τέχνην γίνεται οὐ πρὸς ἰδέαν τινά,
15 οὕτως καὶ τὰ φύσει ἐστὶ κατὰ τὴν φύσιν χωρὶς παραδείγματος, ἀνάλογον ὄντος τοῦ μὲν γεννῶντος τῷ τεχνίτῃ, τοῦ δὲ θήλεος τὴν τῆς ὕλης χώραν ἐπέχοντος· τὰ μὲν γὰρ παραδείγματα ἄχρηστα μὴ ὄντος τοῦ ποιοῦντος πρὸς ταῦτα, τὸ δὲ ποιοῦν τι οὐ κεκώλυται ποιεῖν καὶ χωρὶς παραδείγματος, ὡς αὐτοὶ συγχωροῦσιν ἔχειν ἐπὶ τῶν τεχνητῶν. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέ-
20 λης· ὁ δὲ ἡμέτερος φιλόσοφος προσέχων τῷ δόγματι, μᾶλλον δὲ τῷ πατρὶ τοῦ δόγματος ἔλεγεν ὅτι τῶν φύσει ὑπάρχουσιν αἱ ἰδέαι, καὶ τῶν εἰδῶν· f. 61r
οὐ γὰρ τῶν καθ' ἕκαστα, ἐπεὶ οὕτως ἄπειροί εἰσιν αἱ ἰδέαι· τῶν δὲ τεχνητῶν οὔ φαμεν εἶναι ἰδέας ἀλλὰ λόγους ἐν τῇ ψυχῇ τῶν ποιούντων. οὐκ ἠδύνατο οὖν φύσις ποιεῖν μὴ ἔχουσα ἐν ἑαυτῇ τοὺς δημιουργικοὺς λόγους,
25 ὥσπερ οὐδ' ὁ ἰατρὸς ἐποίει ὑγείαν μὴ ἔχων ἐν ἑαυτῷ τοὺς λόγους τῆς ὑγείας· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων.

p. 991b9 Ἔτι εἴπερ εἰσὶν ἀριθμοὶ τὰ εἴδη, πῶς αἴτιοι ἔσονται; πότερον ὅτι ἕτεροι ἀριθμοί εἰσι τὰ ὄντα.

Ἔστιν ἔνστασις αὐτῷ πρὸς τὰς ἰδέας. λέγει οὖν πρὸς αὐτοὺς ὅτι οἱ
30 ἀριθμοί, τουτέστι τὰ αἰσθητὰ πράγματα, καθὸ ἀριθμοὶ ὑπάρχουσιν, οὐδὲν ἀλλήλων διαφέρουσι· πῶς οὖν φατε τοὺς νοητοὺς ἀριθμοὺς παρακτικοὺς εἶναι τῶν αἰσθητῶν ἀριθμῶν; εἰ πάλιν τοὺς νοητοὺς ἀριθμοὺς ἀιδίους ὑποτίθεσθε, τοὺς δὲ αἰσθητοὺς φθαρτούς, οὐκ ἤδη διὰ τοῦτο, ἐπειδή,

---

1 τοῦτο δὲ — οὐσία (3) Alexandri sunt 2 εἶναι ἰδέας deest Alexandro χωριστὴν libri 4 ὑπαρχουσῶν scripsi: ὑπάρχουσιν libri 6 οὐδὲ γὰρ — τεχνητῶν (19) Alexandri sunt οὐ γὰρ δὴ Alex. 8 φασιν Alex. 9 εἰ δὲ ταῦτα καὶ μὴ ὄντων εἰδῶν οὐδὲν κωλύεται καὶ γίνεσθαι καὶ εἶναι τῷ τὸ ποιοῦν ἔχειν Alex. 10. 11 οὐδὲ τὰ ὧν φασιν Alex. 12. 13 φημὶ — τεχνητά desunt Alexandro 13. 14 εἶναι — ἰδεῶν desunt Alexandro 15 τὰ κατὰ φύσιν ἔσται Alex. 17 ἐπέχοντος Alex.: ἐπεχούσης libri 17. 18 πρὸς αὐτά Alex. 18 τὸ δὲ ποιοῦν τι Alex.: τῷ δὲ ποιοῦντι libri 20 δόγματι] hactenus collati sunt BC

ἀίδιοι ὑπάρχουσιν οἱ νοητοί, παρακτικοὶ ὑπάρχουσι τῶν τῇδε· καὶ ἡ ψυχὴ γὰρ ἀθάνατος καὶ ἀίδιος ὑπάρχει, καὶ ὅμως οὐκ ἔστι παρακτικὴ τῶν αἰσθητῶν. οὕτως οὖν φημι καὶ περὶ τῶν ἰδεῶν ὅτι κἂν ἀιδίους αὐτὰς ὑποθῶνται, οὐκ ἔχουσιν ἐνταῦθα συνάξαι ὅτι παρακτικαὶ ὑπάρχουσι· τὰ γὰρ παράγοντά τι κατὰ τὴν παραγωγὸν αὐτῶν δύναμιν παράγουσιν, οὐ κατὰ τὴν ἀιδιότητα. δειξάτωσαν οὖν τὸ τοιοῦτον ὑπάρχειν τοῖς εἴδεσιν. εἰ δὲ πάλιν φῶσι μὴ εἶναι ἀριθμοὺς τὰ αἰσθητὰ πράγματα ἀλλὰ λόγους ἐξ ἀριθμῶν συγκειμένους, ὥσπερ καὶ ὁ Ἐμπεδοκλῆς ἔλεγε περὶ τοῦ ὀστέου ὅτι ἐκ τοσῶνδε λόγων σύγκειται, οἷον πυρὸς μὲν ἔχει τοσόνδε, γῆς δὲ τοσόνδε, καὶ οὕτως ῥᾴδιόν ἐστι διελέγξαι αὐτούς. εἰ γὰρ λόγοι ὑπάρχουσι τὰ αἰσθητὰ πράγματα ἐξ ἀριθμῶν συγκείμενοι, ἵνα ὑποθώμεθα τὸν ἄνθρωπον συγκεῖσθαι ἐκ τοῦ λόγου τοῦ πυρὸς καὶ τῆς γῆς καὶ τῶν ἑξῆς, ὑπάρχουσι δὲ ὅμοια κατ' αὐτοὺς τὰ αἰσθητὰ τοῖς νοητοῖς, φανερὸν ὅτι λόγοι ἔσονται f. 61v καὶ τὰ νοητά· ὥστε καὶ σχέσις θεωρηθήσεται ἐν αὐτοῖς (ὅπου γὰρ λόγος, ἐκεῖσε καὶ σχέσις ὑπάρχει), ὥσπερ ἐπὶ τῆς συμφωνίας φαμὲν τὸν ἐπίτριτον ἕτερον λόγον τοῦ φθόγγου καὶ τὸν ἡμιόλιον, οἷον, εἰ τύχοι, ὁ ἓξ πρὸς τὸν τέσσαρα ἡμιόλιον ἔχει λόγον, καὶ διὰ τοῦτο ὁ μέν ἐστι τετραπλάσιος, ὁ δὲ ἑξαπλάσιος· καὶ ὅτι τοῦ ἐπιτρίτου ἐλάττων κατ' ἀριθμὸν καὶ τὸν μείζονα καὶ τὸν ἐλάττονα· καὶ τοῦ μέν, εἰ τύχοι, ἐστὶν ἐπίτριτος τοῦ δὲ ἐπιτέταρτος· ὁμοίως καὶ ἐπὶ τῆς διὰ πασῶν ἁρμονίας, ἥτις ἐστὶ καὶ κατακορεστάτη· ἔστι δ' ὁ τοιοῦτος λόγος διπλάσιος. διὸ ἐάν τις πλαγίαν θείη τὴν κιθάραν, ἐμβάλοι δὲ κάρφος εἰς τὴν νευρὰν τὴν ἀποτελοῦσαν τὸν διπλάσιον λόγον, κρούσῃ δὲ πρὸς ἣν ἡ σχέσις, ἀποπάλλεται τὸ κάρφος· τοσαύτη ἐστὶν ἡ συμπάθεια, καίτοι ἄλλων καρφῶν, εἴπερ εἶεν, μὴ κινουμένων. εἰ τοίνυν λόγον ἔχουσι πρὸς ἄλληλα οἵ τε αἰσθητοὶ ἀριθμοὶ καὶ οἱ νοητοί, δῆλον ὅτι καὶ σχέσιν ἕξουσιν. εἰ δὲ σχήσουσι σχέσιν πρὸς ἄλληλα, φανερὸν ὅτι ὁμογενῆ εἰσιν ὥσπερ πατὴρ καὶ υἱός· εἰ δὲ τοῦτο, καὶ ὁμόυλα· ὥστε ἐν ὕλῃ ἔσονται τὰ νοητά, ὅπερ οὐδὲ αὐτοὶ βούλονται λέγειν. καὶ ταῦτα μὲν τὰ παρὰ Ἀριστοτέλους· ὁ δὲ ἥρως Ἀμμώνιος ὁ Πρόκλου μὲν γεγονὼς ἀκροατὴς ἐμοῦ δὲ Ἀσκληπιοῦ διδάσκαλος ἔλεγεν ὅτι συμβολικῶς ἐκεῖνοι ἔλεγον τὰς ἰδέας ἀριθμούς· οὔτε γὰρ τούτους τοὺς ψηφιζομένους, ἐπεὶ τῷ ὄντι εὐλόγως ⟨ἂν⟩ αὐτῶν ἐλαμβάνετο ὁ Ἀριστοτέλης, ἀλλ' ἐπειδὴ οἱ ἀριθμοὶ περατοῦσι καὶ περιορίζουσι τὰ πράγματα ὧν εἰσιν ἀριθμοί, τοιαῦτα δὲ καὶ τὰ εἴδη περιοριστικὰ τῆς ὕλης, συμβολικῶς ἀριθμοὺς προσηγόρευσαν τὰς ἰδέας. διὸ καὶ τὰ αἰσθητὰ καὶ τὰ νοητὰ ἀριθμοὺς ἔλεγον· ὥσπερ γὰρ λέγεται καὶ τὸ μέτρον ξέστης καὶ τὸ μετρούμενον, οὕτως ἔφασκον καὶ τὰ νοητὰ καὶ τὰ αἰσθητὰ ἀριθμούς, f. 62r ἀλλὰ τὰ μὲν νοητὰ ἀριθμοὺς μετρητικούς, τὰ δὲ αἰσθητὰ ἀριθμοὺς μετρουμένους.

---

1 προακτικοὶ A corr. D 2 προακτικὴ A corr. D 4 προακτικαὶ corr. D 5 προαγωγὸν corr. D 8 Ἐμπεδοκλῆς ἔλεγε] fragm. ed. Mullach vv. 211 sqq. 18 τοῦ ἐπιτρίτου scripsi: ἐπὶ τοῦ τρίτου AD 23 κυρούσῃ D 27 φανερὸν D: φαμεν A, sed cf. p. 93,11 32 ἀλόγως D ἂν addidi

p. 991ᵇ9 Ἔτι εἴπερ εἰσὶν ἀριθμοί.

Εἴ φατε ἀριθμοὺς εἶναι τὰ εἴδη. πῶς αἴτιοι ἔσονται τῶν αἰσθητῶν πραγμάτων; πότερον ὅτι καὶ τὰ ἐνθάδε. τουτέστι τὰ αἰσθητά. ἕτεροι ἀριθμοὶ ὑπάρχουσιν: οἷον ὅδε μὲν ὁ ἀριθμὸς ἄνθρωπος, ὁδὶ δὲ Σωκράτης. ὁδὶ δὲ Καλλίας. οὔτε οὖν ἐκεῖνοι οἱ ἀριθμοὶ οἱ νοητοὶ τούτοις αἴτιοι ὑπάρχουσιν· οὐ δὴ γάρ, εἰ τοὺς μὲν νοητοὺς ἀριθμοὺς ἀιδίους ὑποθώμεθα, τοὺς δὲ αἰσθητοὺς φθαρτούς, ἤδη διὰ τὸ ἀίδιον οἱ νοητοὶ παρακτικοὶ ὑπάρχουσι τῶν αἰσθητῶν, ὡς ἐν τῇ θεωρίᾳ μεμαθήκαμεν. εἰ δέ τις πάλιν ὑποθῆται ὅτι λόγοι ἀριθμῶν εἰσι τὰ ἐνταῦθα, οἷον συμφωνία τις, δῆλον ὅτι ὡς λόγοι ὄντες σχέσιν ἕξουσι πρὸς ἀλλήλους οἵ τε νοητοὶ ἀριθμοὶ καὶ οἱ αἰσθητοί· εἰ δὲ σχέσις, φανερὸν ὅτι καὶ ἕν τι ἔσονται, ὥστε καὶ ὁμόυλα, καθάπερ ἐδείξαμεν· ὥστε καὶ αὐτοὶ οἱ ἀριθμοὶ λόγοι τινὲς ἔσονται ἑτέρου πρὸς ἕτερον. οἷον εἰ ἔστι Καλλίας λόγος ἐν ἀριθμοῖς ἐκ πυρὸς καὶ ὕδατος καὶ γῆς· καὶ αὐτοάνθρωπος, τουτέστιν ἡ ἰδέα, εἴτε ἀριθμός τίς ἐστιν εἴτε καὶ οὔ, ὅμως ἔσται λόγος ἐν ἀριθμοῖς τινων ἡ ἰδέα καὶ οὐκ ἀριθμός· αὐτοὶ δὲ τὰς ἰδέας ἀριθμοὺς βούλονται εἶναι.

p. 991ᵇ9 Ἔτι εἴπερ εἰσὶν ἀριθμοὶ τὰ εἴδη, πῶς αἴτοι ἔσονται;

Ὁ ἐξ Ἀφροδισιάδος ἐξηγητὴς οὕτως ἑρμηνεύει τὸ χωρίον. πειρᾶται καὶ κατὰ ταύτην τὴν δόξαν, καθ' ἣν ἀριθμοὺς ἔλεγον τὰς ἰδέας, εὐθύνειν τὸν λόγον· εἰ γὰρ ἀριθμοὺς μὲν ἔλεγον αὐτὰς εἶναι, μὴ δύνανται δὲ ἀριθμοὶ εἶναι, δῆλον ὅτι οὐδὲ εἶεν ἂν κατ' αὐτούς. ζητεῖ δὲ ὅτι. εἴπερ εἰσὶν αἱ ἰδέαι ἀριθμοί, πῶς αἴτιοι ἔσονται τοῖς ἐνθάδε; πότερον ὅτι καὶ τὰ ἐνθάδε εἰσὶν ἀριθμοὶ ὥσπερ καὶ αἱ ἰδέαι, ἕτεροι δὲ ἐκείνων τε δηλονότι ἀλλὰ καὶ ἀλλήλων, ὥσπερ κἀκεῖναι ἀλλήλων ἕτεραι, καὶ ἄλλος μέν ἐστιν f. 62v ἀριθμὸς ἄνθρωπος, ἄλλος δὲ ἵππος, ἄλλος δὲ Πλάτων καὶ ἄλλος Σωκράτης, ὡς κατὰ τὴν διαφορὰν τῶν ἀριθμῶν διαφέρειν ἀλλήλων τὰ ὄντα: ἀλλ' εἰ τοῦτο, πῶς αἴτιοι ἐκεῖνοι οἱ ἀριθμοὶ ⟨οἱ⟩ τῶν ἰδεῶν τοῖς ἐνθάδε ἀριθμοῖς, ἐν οἷς ἐστι τὰ ὄντα, ἔσονται; εἰ γὰρ καὶ εἶεν ἴσοι οἱ ἐνταῦθα ἐκείνοις, ὡς εἶναι φέρε εἰπεῖν πεντάδα τόν τε αὐτοάνθρωπον καὶ τὸν αἰσθητόν. ἀλλὰ τὴν μὲν ἀίδιον πεντάδα τὴν δὲ μὴ ἀίδιον, πῶς ἐκείνη ἡ πεντὰς ταύτῃ τῇ πεντάδι αἰτία ἔσται τοῦ εἶναι; οὐ γὰρ δὴ οἱ ἴσοι ἀριθμοὶ ἀλλήλοις αἴτιοι τοῦ εἶναι· πῶς γὰρ ὅλως ἀριθμὸς ἀριθμῷ αἴτιος τοῦ εἶναι;

p. 991ᵇ13 Εἰ δὲ ὅτι λόγοι ἀριθμῶν τὰ ἐνταῦθα.

Πρόκειται μὲν αὐτῷ δεῖξαι ὅτι ⟨εἰ⟩ αἱ ἰδέαι ἀριθμοί εἰσιν, οὐ δύναν-

---

1 ἔστι AD 2 πῶς οὖν αἴτιοι D 18 πειρᾶται—τοῦ εἶναι (32) Alexandri sunt 21 ἔτι ζητεῖ εἰ εἰσὶν Alex. 24 ὡς Alex. 26 ὡς] καὶ Alex. διαφέρει Alex. 27 οἱ (ante τῶν) ex Alexandro addidi 34 Πρόκειται—ἀριθμός (p. 95, 15) Alexandri sunt εἰ ex Alexandro addidi

ται [δὲ] αἴτιαι εἶναι τοῖς ἐνταῦθα. ὃ δεῖξαι βουλόμενος πρῶτον μὲν ἔλαβε τὸ καὶ τὰ ἐνθάδε, ἃ φασι πρὸς ἐκεῖνα γίνεσθαι, ἀριθμοὺς λέγεσθαι εἶναι ὑπ' αὐτῶν ἴσους ἐκείνοις ἀιδίοις οὖσιν, οὐκ ὄντας αὐτοὺς ἀιδίους, καὶ ἔδειξεν ὅτι οὐδὲ ἴσοι ἀριθμοὶ τοῖς ἴσοις ἀριθμοῖς αἴτιοι εἶναι τοῦ εἶναι δύνανται, οὐδὲ εἰ οἱ μὲν εἶεν ἀίδιοι οἱ δὲ μή. νῦν οὖν πάλιν λαμβάνει τὰ ἐνταῦθα μὴ ἀριθμοὺς εἶναι λέγεσθαι ὑπ' αὐτῶν, ἀλλ' ἐν λόγῳ τινὶ ἀριθμῶν συνεστάναι, ὃ καὶ βούλονται λέγειν· καὶ δείκνυσιν ὅτι οὐδὲ οὕτως αἱ ἰδέαι καὶ ἐκεῖνοι οἱ ἀριθμοὶ αἴτιοι δύνανται εἶναι τοῖς ἐνθάδε οὖσιν ἐν ἀριθμῶν λόγῳ. βουλόμενος δὲ δεῖξαι τί ἐστι τὸ λέγειν λόγους ἀριθμῶν τὰ ἐνταῦθα εἶναι παρέθετο τὴν συμφωνίαν· καὶ γὰρ ἡ συμφωνία οὐκ ἀριθμός ἐστιν ἀλλὰ λόγος τις ἀριθμῶν, τουτέστι πράγματά τινα λόγον ἀριθμῶν πρὸς ἄλληλα ἔχοντα. τὸ γὰρ ἐν διπλασίῳ εἶναι ἐν λόγῳ ἀριθμῶν ἐστιν εἶναι, ὅπερ ἔχει ἡ διὰ πασῶν συμφωνία· ἐν ταύτῃ γὰρ αὐτῇ τὸ εἶναι, καὶ αὖ πάλιν ἄλλῃ ἐν ἡμιολίῳ καὶ ἄλλῃ ἐν ἐπιτρίτῳ, ἃ πάντα ἀριθμῶν εἰσι λόγοι. εἰ δὲ καὶ τὰ ὄντα πάντα λέγοι τις λόγους ἀριθμῶν εἶναι, οὐδὲ οὕτως αἴτιαι αἱ ἰδέαι καὶ οἱ ἀριθμοὶ ἐκεῖνοι τούτοις ἔσονται. εἰ γὰρ τοῦτο, οὐδὲ ἐκεῖ- f. 63r
ναι ἀριθμοὶ ἔτι ἔσονται. εἰ γάρ εἰσι τὰ ἐνταῦθα λόγοι τινὲς ἀριθμῶν, δῆλον ὅτι ἔστι τινὰ ἐν αὐτοῖς, ἃ τὸν λόγον ἔχει τοῦτον ἐν ᾧ ἑκάστῳ αὐτῶν τὸ εἶναι, ὥσπερ ἡ συμφωνία λόγος ἀριθμῶν οὖσα ἔχει τι ὑποκείμενον καὶ φύσιν τινὰ ὑποκειμένην, ἧς ἀριθμός ἐστι καὶ λόγος ἡ συμφωνία, καὶ ἔστι τοῦτο οἱ φθόγγοι. εἰ δὲ καὶ τὰ πράγματα τὰ πρὸς τὰς ἰδέας λεγόμενα τὸ εἶναι ἔχειν ἐν λόγῳ ἀριθμῶν ἐστιν, ἔστι τι αὐτοῖς ὑποκείμενον, ὅπερ τὸν τῶν ἀριθμῶν λόγον ἀναδεχόμενον ποτὲ μὲν ἄνθρωπος γίνεται ποτὲ δὲ ἄλλο τι, κατὰ τοὺς διαφέροντας λόγους ἄλλοτε ἄλλο γινόμενον, ὡς αἱ συμφωνίαι τῇ τῶν ἐν τοῖς φθόγγοις λόγων ἑτερότητι. τοῦτο δὲ οὐκ ἄλλο τι εὑρεθήσεται ὂν ἢ τὸ ὑποκείμενον καὶ ἡ ὕλη, ἧς ἐν ἀριθμῷ καὶ ἐν λόγῳ τινὶ ἕκαστον ἔσται τῶν ὄντων, οἷον πυρὸς ἀέρος ὕδατος, ἢ ὅ τί ποτ' ἂν καὶ ᾖ τούτων· ἐν γὰρ τῷ τούτων λόγῳ πρὸς ἄλληλα τὸ εἶναι τοῖς ἐξ αὐτῶν καὶ εἰδοποιεῖσθαι. εἰ δὲ τοῦτο, δεήσει καὶ τὰς ἰδέας παραδείγματα τούτων οὔσας καὶ αὐτὰς λόγους ἀριθμῶν εἶναι καὶ οὐκ ἀριθμοὺς ἁπλῶς· εἰ γὰρ ὁ Καλλίας φέρε εἰπεῖν ἢ ὁ ἄνθρωπος ὡμοιωμένος τῇ ἰδέᾳ λόγος ἐν ἀριθμοῖς τισίν ἐστι πυρὸς καὶ γῆς καὶ ὕδατος καὶ ἀέρος ἢ ἄλλων τινῶν ὑποκειμένων, ἔσται καὶ ἡ ἰδέα ἀριθμὸς εἶναι λεγόμενος ὁ αὐτοάνθρωπος, πρὸς ἣν ὁ ἄνθρωπος, λόγος ἐν ἀριθμοῖς, ἤτοι ἀριθμῶν αὐτῶν, εἰ εἴη τοῦτο ὑποκείμενον ἐν αὐτοῖς, ἢ ἄλλου τινὸς ὅ τί ποτ' ἂν ᾖ

---

1 δὲ delevi 3 ὄντας τούτους Alex. 5 νῦν δὲ Alex. 7 ὃ καὶ Alex.: καὶ ὃ AD 10 εἶναι παρέθετο Alex.: παρέθετο εἶναι libri 13 ταύτῃ] sic etiam Alex.: τούτῳ coni. Bonitz 15 εἰ δὴ Alex. 16 οὐδὲ ἐπ' ἐκείνοις Alex. 18 τοῦτον Alex.: τούτων AD 19 τι ἓν Alex. 20 ἧς ὁ ὁρισμός ἐστι Alex. 21 εἰ δὴ τὰ Alex. 22 ἔχει Alex. ἐστιν deest Alexandro ἐν αὐτοῖς Alex. 24 γινόμενον Alex.: γινόμενα AD 25 ἡ συμφωνία Alex. 25. 26 οὐκ ἄλλο τι Alex.: οὐ καλῶς ὅτι 27 γῆς add. Alex. 28 ᾖ τοῦτο Alex. 29 εἰδοπεποιῆσθαι Alex. 31 ὁ ὡμοιωμένος Alex. 33 ἀριθμὸς Alex.: ὁρισμὸς AD 35 ἢ ἄλλου — ᾖ desunt Alexandro

ἐν αὐτοῖς· τοῦτο γὰρ ἐσήμανε διὰ τοῦ εἴτε ἀριθμός. οὐ γὰρ δὴ ὁ ἀριθμὸς αἴτιος τοῦ ἐν ἀριθμῶν λόγῳ εἶναι· ἐν γὰρ τῷ αὐτῷ ἀριθμῷ διαφέροντες γίνονται οἱ λόγοι· ἐν γὰρ τῷ ἓξ καὶ ὁ διπλάσιος καὶ ὁ ἡμιόλιος. εἰ δὲ τοῦτο, οὐκ ἀριθμὸς ἁπλῶς ἡ ἰδέα· οὐ γάρ ἐστι ταὐτὸν ἀριθμός τε καὶ λόγος ἐν ἀριθμοῖς· οὐδέ ἐστιν ἄρα τις αὐτοάριθμος ἡ ἰδέα. * * * ἔχουσιν ἐν λόγῳ ἀριθμῶν. οὗτος δὲ ὁ λόγος πρῶτον μὲν ἀναιρεῖ τὸ εἶναι ἀριθμοὺς τὰς ἰδέας, ἔπειτα καὶ συνθέτους δείκνυσιν αὐτάς, οὐχ ἁπλᾶς. f.63v εἰ γάρ εἰσι λόγοι ἀριθμῶν, ἐκ πλειόνων τε ἔσονται καὶ ἔσται αὐταῖς ὑποκείμενόν τι, οὗ ἐν λόγῳ ἀριθμῶν τὸ εἶναι αὐτῶν ἑκάστῃ. ἀκολουθήσει τε τούτοις μηδὲ εἶναί τινα ἀριθμόν· εἰ γὰρ μὴ ἔστιν αὐτοάριθμος, οὐδ' ἂν ἀριθμὸς εἴη, † οὐδ' εἴ γε τῶν ὄντων πρὸς παράδειγμα ἀριθμός. ἀλλὰ μὴν μὴ ὄντος ἀριθμοῦ οὐδὲ λόγος ἀριθμῶν εἴη ἄν, ὥστε οὐδ' ἐν λόγῳ ἀριθμῶν οἷόν τε λέγειν αὐτοῖς τὰ ὄντα εἶναι. τὸ δὲ οὐδ' ἔσται τις διὰ ταῦτα ἀριθμὸς ἴσον ἂν εἴη τῷ οὐδὲ ἔσται διὰ ταῦτα ἡ ἰδέα ἀριθμός, ἐπεὶ μὴ τὸ ἐν λόγῳ ἀριθμῶν ὂν ἀριθμός.

p. 991ᵇ21 Ἔτι ἐκ πολλῶν ἀριθμῶν εἷς ἀριθμὸς γίνεται.

Φησὶν ὅτι δυνατόν ἐστιν ἐκ πολλῶν ἀριθμῶν γενέσθαι ἕνα ἀριθμόν, οἷον ἐκ πολλῶν μονάδων τὸν ἑκατόν, ἐξ εἰδῶν δὲ πολλῶν συνθέτων ἓν εἶδος οὐ γίνεται· ὥστε οὐ καλῶς φασι τὰς ἰδέας ἀριθμούς. † ἐκ γὰρ ἡμιόνου καὶ ἵππου οὐκ ἄν ποτε γένοιτό τι εἶδος ἕτερον, ὥς φησι καὶ Πορφύριος ἐν ταῖς Εἰσαγωγαῖς, ἐκ μέντοι ἵππου καὶ ἡμιόνου δυνατόν, ἐκ δὲ ἵππου μόνου οὐ δυνατόν.

p. 991ᵇ22 Εἰ δὲ μὴ ἐξ αὐτῶν ἀλλ' ἐκ τῶν ἀριθμῶν.

Ἰστέον ὅτι ἐκ τοῦ ἑπτὰ καὶ τρία οὐδὲν γίνεται· ἕκαστος γὰρ ἀριθμὸς φυλάττει τὸ οἰκεῖον εἶδος, καὶ οὐδέποτε φθείρεται οὔτε ὁ ἑπτὰ καθὸ ἑπτὰ οὔτε ὁ τρία. ἡ οὖν σύνθεσις ἐκ τῶν μονάδων γίνεται. φησὶν οὖν ὅτι αἱ μονάδες αὗται, ἐξ ὧν συντίθεται ὁ ἀριθμός, πότερον ὁμοειδεῖς ὑπάρχουσιν ἢ ἀνομοειδεῖς; εἰ μὲν οὖν φῶσιν ἀνομοειδεῖς αὐτὰς εἶναι παρὰ τὰ δοκοῦντα αὐτοῖς λέγουσιν· ἡ γὰρ μονὰς πρὸς τὸ σημεῖον, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ, θέσει καὶ μόνῃ διαφέρει, αὐτοὶ δὲ ταύτας τὰς ἰδέας οὐχ ὁποτί-

---

1 εἴτε ἀριθμός τις ὢν εἴτε μή, καὶ οὐχ ὁ αὐτοάριθμος· οὐ γὰρ δὴ Alex. 2 λόγῳ εἴη Alex. 5 ὁ αὐτοάριθμος Alex. 5 ἡ ἰδέα Alex.: ἢ ἰδέαι AD 6 addendum ex Alexandro ὥστε ἢ οὐκ ἀριθμοὶ αἱ ἰδέαι ἢ οὐκ αἴτιοι τοῖς τὸ εἶναι 8 ἐκ πλειόνων φθόγγων, καὶ ἔσται Alex. 9 ὃ ἐν λόγῳ ἀριθμῶν τὸ εἶναι αὐτῶν ἑκάστῃ ποιήσει Alex. 11 οὐδ' εἴ γε κτλ.] οὐδὲ τὰ ὄντα πρὸς παράδειγμα ἀριθμόν Alex.: fort. οὐδέν τε — ἀριθμόν 15 ὂν ἤδη ἀριθμός Alex. 19 φασι scripsi: φησι libri ἐκ γὰρ κτλ.] locus emendandus e Porphyrii Isag. p. 19,2 Busse. τὶς μὲν γὰρ ἵππος τινὶ ὄνῳ σύνεισιν εἰς ἡμιόνου γένεσιν, ἵππος δὲ ἁπλῶς ὄνῳ οὐκ ἂν συντεθεὶς ἀποτελέσειεν ἡμίονον 29. 30 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 27 p. 87ᵃ36

θενται θέσιν ἔχειν, εἴ γε καὶ νοητὰς αὐτὰς εἶναι πρεσβεύουσιν. ὥστε οὐ δυνατὸν εἶναι τὰς μονάδας κατ' αὐτοὺς ἀνομοειδεῖς· οὐδὲν γὰρ ἀλλήλων f.64r διαφέρουσι, καθὸ νοηταὶ ὑπάρχουσιν. εἰ δὲ πάλιν φῶσιν αὐτὰς ὁμοειδεῖς εἶναι, δῆλον ὅτι πλῆθος μὲν γίνεται ἐκ τῆς συνθέσεως αὐτῶν, διάφορα δὲ εἴδη οὐ γίνονται· καὶ ἔσται ταὐτὸν ἄνθρωπος καὶ ἵππος κατὰ τὸ εἶδος, ὅπερ ἐστὶν ἀδύνατον. εἰ δέ φασιν ἐκ μὲν τῆς τριάδος γίνεσθαι τὸν ἵππον, ἐκ δὲ τῆς τετράδος τὸν ἄνθρωπον, ἐὰν προστεθῇ μία μονάς, γίνεται ἐξ ἵππου ἄνθρωπος, ὅπερ ἐστὶν ἀδύνατον. καὶ ἐνταῦθα μὲν οὐ λέγει τὰ ἄτοπα τὰ ἐπακολουθοῦντα, ἅπερ ἡμεῖς εἰρήκαμεν, ἀλλ' ἐν τῷ M· ἀντιλέγει γὰρ ἐκεῖσε ταῖς ἰδέαις. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· ὁ δὲ Πλάτων, ὡς πολλάκις εἴρηται, συμβολικῶς πάντα ταῦτα ἐπρέσβευε καὶ ἐκάλει ἀριθμοὺς ὡς μετρητικοὺς καὶ συστατικοὺς τῆς ὕλης· τὰ γὰρ εἴδη ἐκεῖθεν προέρχονται καὶ καταλάμπουσι τὴν ὕλην καὶ ὁρίζουσιν αὐτὴν ἀόριστον οὖσαν.

p. 991b22 Εἰ δὲ μὴ ἐξ αὐτῶν.

Φησὶν ὅτι εἰ μὴ γίνεται ἡ σύνθεσις ἐξ αὐτῶν, τουτέστιν ἐκ τοῦ ἑπτὰ καὶ τοῦ τρία, διότι οὐκ ἀπολλύουσι τὰ οἰκεῖα εἴδη, ὡς εἴρηται, ἀλλ' ἐκ τῶν ἀριθμῶν, τουτέστιν ἐκ τῶν μονάδων, ἐστὶν ἡ σύνθεσις (γράφεται δὲ ἐκ τῶν ἀριθμῶν, ἵνα δηλώσῃ τὸ ἐκ τῶν λόγων τοῦ ἀριθμοῦ), οἷον ἐν τῇ μυριάδι, ὥς φησιν αὐτός, πῶς ἔχουσιν αἱ μονάδες; εἴτε γὰρ ὁμοειδεῖς, πολλὰ ἄτοπα συμβήσεται, ὡς εἴρηται, εἴτε μὴ ὁμοειδεῖς, μήτε αἱ αὐταὶ ἀλλήλαις μήτε δὲ αἱ ἄλλαι πᾶσαι πάσαις· ἀπαθεῖς γὰρ οὖσαι αἱ μονάδες, τίνι διοίσουσιν ἀλλήλων; οὔτε γὰρ αὐτῶν αἱ μὲν λευκαὶ ὑπάρχουσιν αἱ δὲ μέλανες. ὥστε οὔτε εὔλογά φασιν οὔτε δὲ τῇ νοήσει ὁμολογούμενα. δείκνυσιν οὖν ὅτι οὐχ ὑπάρχουσιν αἱ ἰδέαι ἀριθμοὶ καὶ διὰ τοῦ ἐκ μὲν πολλῶν ἀριθμῶν συντιθεμένων γίνεσθαι ἕνα ἀριθμόν (τὰ γὰρ τρία καὶ τέσσαρα συντεθέντα ἀλλήλοις ποιεῖ τὸν ἑπτὰ ἀριθμόν), ἐξ εἰδῶν δὲ πλειόνων συντεθέντων ἓν εἶδος οὐ γίνεται· οὐ γὰρ τὸ τοῦ ἀνθρώπου εἶδος καὶ f.64v τὸ τοῦ κυνός, ἐὰν οὕτω τύχοι, συντεθέντα ἕν τι εἶδος ποιεῖ. οὐ γὰρ ἐπειδὴ ἐν τῷ ἀνθρώπῳ τὸ ζῷον περιέχεται, σύνθετος ὁ ἄνθρωπος ἔκ τε ζῴου καὶ ἄλλου εἴδους· οὔτε γὰρ τὸ ζῷον καθ' αὑτό τι ὑφεστὼς εἶδός ἐστιν, οὔτε ὁ ἄνθρωπος χωρὶς τοῦ ζῴου εἶναι ἄνθρωπος δύναται, ἀλλ' ἔστιν ἑκάστου τῶν ἐν ὑποστάσει ζῴων τὸ ζῷον μόριον. ἕκαστος δὲ τῶν ἀριθμῶν μέρος τοῦ ὅλου γίνεται σωζόμενος ὁ αὐτός· ὥστε οὐκ ἂν εἶεν ἰδέαι οἱ ἀριθμοί. εἰ δέ τις λέγοι καὶ τῶν ἰδεῶν ἑκάστην ἐκ πλειόνων ἰδεῶν εἶναι, οἷον τὸν ἄνθρωπον ἐκ ζῴου καὶ δίποδος φέρε εἰπεῖν, πρῶτον μὲν οὐχ ἁπλαῖ αἱ ἰδέαι αὐτῶν ἔσονται ἀλλὰ σύνθετοι, ἔπειτα αἱ μὲν πρῶται αὐτῶν αἱ δὲ δεύτεραι· πρῶτον γὰρ τὸ τοῦ ζῴου εἶδος, ἔπειτα τὸ τοῦ ἀνθρώπου

---

3 ὁμοιοειδεῖς A 20 αἱ αὐταὶ ex Aristotele scripsi: ἑαυταῖς libri 24 καὶ διὰ τοῦ — ἐπινοῆσαι (p. 97,5) Alexandri sunt 29 σύνθετον Alex. 30 τι deest Alexandro 32 ἕκαστος Alex.: ἑκάστῳ libri ἀριθμῶν] τῶν ἐν τῷ συνθέτῳ add. Alex. 33 σωζόμενος αὐτὸς Alex. 36 ἁπλαῖ ἔτι αἱ Alex. αὐτοῖς ἔσονται Alex.

ἢ ἵππου. ἔτι ἐπὶ μὲν τῶν ἀριθμῶν ἐκ πάντων τῶν διαφερόντων συντεθέντων εἷς ἀριθμὸς γίνεται, ἐπὶ δὲ τῶν ἰδεῶν ἀδύνατον τοῦτο· οὐ γὰρ πάντα τὰ διαφέροντα εἴδη ἕν τι ποιεῖ συντεθέντα, οἷον ἵππος καὶ κύων. ἔτι τὰ μὲν συντεθέντα ἰδίᾳ προϋπάρχοντα συντίθενται· οὐχ οἷόν τε δὲ
5 ἄνθρωπον καὶ ζῷον κεχωρισμένα ἢ λαβεῖν ἤγουν ἐπινοῆσαι.

p. 991b22 Εἰ δὲ μὴ ἐξ αὐτῶν ἀλλ' ἐκ τῶν ἀριθμῶν.

Εἴ τις, φησί, λέγοι διὰ τοῦτο μὴ ἐκ τῶν εἰδῶν αὐτῶν συντιθεμένων ἓν εἶδος γίνεσθαι, ὅτι μηδ' ἐπὶ τῶν ἀριθμῶν συμβαίνει τῶν ἀριθμῶν συντιθεμένων ἕνα γίνεσθαι ἀριθμόν, ἀλλὰ τῶν μονάδων (πᾶς γὰρ ἀριθμὸς ἐκ
10 μονάδων συνθέσεως, οὐ τριάδων ἢ τετράδων, ὡς ἀνωτέρω ἐδείξαμεν, οἳ ἤδη εἰσὶν ἀριθμοί, ἡ τριὰς καὶ ἡ τετράς· καὶ γὰρ ἡ μυριὰς ἐκ μονάδων σύγκειται, οὐ χιλιάδων ἢ ἑκατοντάδων· εἰ δὲ καὶ τοῦτο, ἀλλὰ τάς γε ἰδέας μὴ κατὰ τοῦτο ἐοικέναι τοῖς ἀριθμοῖς, καθὸ γίνεται ἐξ ἐκείνων εἷς ἀριθμός. ἀλλὰ καθ' ὅσον ἐκ μονάδων σύγκεινται), ἄξιον παρ' αὐτῶν μαθεῖν, πότερον f. 65r
15 αἱ μονάδες ἐξ ὧν αἱ ἰδέαι συντιθέμεναι ὁμοειδεῖς ὑπάρχουσιν, ἢ οὔ. εἰ γὰρ πᾶσαι αἱ μονάδες ὁμοειδεῖς, τί δήποτε αἱ μὲν ἰδέαν ποιοῦσι κατ' αὐτοὺς αἱ δὲ οὔ; ὥστε πᾶς ἀριθμὸς ἰδέα ἔσται, καὶ οὐδὲν διοίσουσιν ἀλλήλων τὰ ἐξ ἐκείνων γινόμενα. εἰ οὖν ὁμοειδεῖς ἀλλήλαις ὑπάρχουσι, κατ' οὐδὲν ἄλλο διοίσουσιν ἢ κατὰ πλῆθος μονάδων· οὕτως δὲ ⟨καὶ τὰ⟩ μετα-
20 σχόντα αὐτῶν ἀλλήλοις ὁμοειδῆ ἔσονται. ἀλλὰ τὸ λογικὸν καὶ τὸ ἄλογον οὐ δοκοῦσιν ἀλλήλων πλήθει διαφέρειν ἀλλὰ ποιότητι. εἰ γὰρ εἴποιεν ὅτι τὸ λογικὸν μιᾷ μονάδι ὑπερέχει τοῦ ἀλόγου, ἐὰν προστεθῇ ἡ μία μονάς, ἔσται τὸ ἄλογον λογικόν, ὅπερ ἀδύνατον. εἰ δὲ ἀνομοειδεῖς λέγοιεν αὐτάς, αὐτὸς ἐπιφέρει τὰ ἄτοπα. εἰ γὰρ μήτε ἐκεῖναι ἀλλήλαις ὁμοειδεῖς μήτε
25 πᾶσαι πάσαις μηδὲ αἱ αὐταὶ κατὰ τὸ εἶδος (τούτου γὰρ δηλωτικὸν τὸ μηδὲ αἱ αὐταί). ἀλλ' ἔστι τις ἐν αὐταῖς διαφορά, ὡς τάσδε μὲν εἶναι ἰδεῶν ποιητικὰς τὰς δὲ μή, τίς ἔσται αὐταῖς διαφορὰ ἀπαθέσι τε οὔσαις; οὔτε γὰρ αἱ μὲν λευκαὶ αἱ δὲ μέλανες. θέσιν δὲ οὐ δυνατὸν εἰπεῖν, ἐπεὶ οὕτως σημεῖα λέγουσι τὰς μονάδας· ἄλλως τε δὴ τὰ νοητὰ θέσιν ἔχειν οὐ βούλονται.

30 p. 991b27 Ἔτι δὲ ἀναγκαῖον ἕτερόν τι γένος ἀριθμοῦ κατασκευάζειν.

Παραλελοίπασι καὶ τὰς ἀρχὰς τὰς μαθηματικάς· μόνα γὰρ ὑποτίθεν-

---

3 συντιθέμενα Alex. 4 ἰδίᾳ Alex.: ἀίδια libri 7 εἴ τις—ἔσται (17) Alexandri sunt ἰδεῶν D αὐτῶν om. D συντεθειμένων Alex. 8. 9 τῶν συντιθεμένων Alex. 10 ὡς—τετράς (11)] pro his Alex. habet εἰ πλείους εἰσὶν ἀριθμοί 12 τάς γε Alex.: τάς τε libri 15 συντιθεμένων Alex. εἰσὶν ἀλλήλαις ἢ ἀνομοειδεῖς Alex. 16. 17 κατ' αὐτοὺς desunt Alexandro 17 οὕτω τε πᾶς Alex. καὶ οὐδὲν — ἀδύνατον (23) pleraque Alexandri sunt 19 δὲ Alex.: γὰρ libri καὶ τὰ ex Alexandro addidi 22 ὑπερέχει scripsi: ὑπάρχει libri 23 εἰ δὲ—οὔσαις (27) Alexandri sunt 24 τὰ ἄτοπα τὰ ἑπόμενα Alex. ἐκεῖναι] αἱ κοιναὶ Alex. 25 πάσαις] ὁμοειδεῖς αἱ μονάδες add. Alex. 27 μή] ἢ τάσδε μὲν τῶνδε τάσδε δὲ τῶνδε add. Alex. τε] fort. γε

ται νοητὰ καὶ αἰσθητά· οὐδὲν οὖν περὶ τῶν μαθηματικῶν εἰρήκασι. λέγομεν οὖν ἡμεῖς πρὸς αὐτὸν 'καίτοι αὐτός, ὦ Ἀριστότελες, ἐγκαλεῖς αὐτοῖς ὡς διατρίψασι περὶ τὰ μαθήματα καὶ μὴ φροντίσασι φυσικῆς θεωρίας, ὡς εἴρηται ἐν τῷ πρώτῳ τῶν Περὶ ψυχῆς· καὶ προϊὼν δὲ τοῦτο ἐγκαλεῖς
5 αὐτοῖς.' εἰδέναι γὰρ χρὴ ὅτι ἐπειδὴ μέσην τάξιν ἀνεδέξατο ἡ ψυχὴ καὶ ποτὲ μέν ἐστιν ἐν τοῖς νοητοῖς ποτὲ δὲ ἐν τοῖς αἰσθητοῖς, ἐδεήθη καὶ φαντασίας, ἵνα δι' αὐτῆς φυλάττῃ τοὺς τύπους τῶν αἰσθητῶν. χρεία οὖν ἐστι μαθημάτων πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως· ἀπὸ γὰρ τῶν μαθημάτων ἄνιμεν ἐπὶ τὰ νοητά. οὔτε γὰρ ἀμέσως δυνατόν ἐστιν ἀπὸ
10 τῶν φυσικῶν ἐπὶ τὰ νοητὰ ἀνελθεῖν· οὔτε γὰρ δεῖ κατὰ τὸ εἰρημένον ὑπερβάθμιον πόδα ἀποτείνειν. διὰ τοῦτο οὖν καὶ διαφόρους ἐνεργείας προβάλλεται πρὸς τὸ ἀμφίβιον τῆς ζωῆς αὐτῆς, ποτὲ μὲν νοερῶς ποτὲ δὲ μετὰ αἰσθήσεως ἐνεργοῦσα· ἔχει δὲ καὶ φαντασίαν, ἥτις τῶν μερικῶν ἀντιλαμβάνεται· τὰ γὰρ καθόλου φαντασθῆναι τῶν ἀδυνάτων ἐστίν. ὥσπερ
15 οὖν ἡ ψυχὴ μεταξύ ἐστι τῶν ἀιδίων καὶ φθαρτῶν, οὕτως καὶ τὰ μαθήματα μεταξὺ τῶν πάντῃ χωριστῶν εἰδῶν τῆς ὕλης καὶ τῶν ἀχωρίστων τῇ ἐπινοίᾳ χωρίζομεν. τοῦτο οὖν φησιν ὁ Ἀριστοτέλης ὅτι ἔδει αὐτοὺς καὶ ἕτερον γένος ἀριθμοῦ κατασκευάζειν, περὶ ὃ ἡ ἀριθμητικὴ καταγίνεται, τουτέστι τὰ μαθήματα. καὶ πάντα τὰ μεταξὺ λεγόμενα, τουτέστι τὰ μαθήματα,
20 ὑπὸ τίνων ἐστὶν ἀρχῶν ἤγουν ἐκ τίνων καὶ ποῖαι ἀρχαὶ τῶν μαθημάτων ὑπάρχουσιν. εἰπεῖν δὲ ἔδει αὐτοὺς καὶ δι' ἣν αἰτίαν μεταξύ ἐστι (τὰ μαθήματα γὰρ μεταξύ), εἰ μὴ ἐκ τῶν αὐτῶν ἐξ ὧν καὶ αἱ ἰδέαι καὶ ὁ εἰδητικὸς ἀριθμός, ἅτινα πάντων ἀρχὰς ὑπέθεντο. † τίνων κατὰ κοινωνίαν τινὰ καὶ οἰκειότητα μεταξύ τί ἐστι· ταῦτα δὲ ἑτέρου γένους καὶ ἑτέρας
25 ὄντα φύσεως πῶς ἂν ἔτι μεταξὺ εἴη τῶν ἰδεῶν καὶ τῶν πρὸς αὐτὰς λεγομένων τὸ εἶναι ἔχειν, τῶν αἰσθητῶν καὶ τῶν νοητῶν;

p. 991ᵇ31 Ἔτι αἱ μονάδες αἱ ἐν τῇ δυάδι.

Ἕτερον ἔγκλημα ἐπιφέρει αὐτοῖς, καί φησιν ὅτι τὴν δυάδα ἀρχὴν ὑποτίθενται, καὶ λέγοντες αὐτὴν εἶναι ἀρχὴν ἑτέραν ἀρχὴν ποιοῦσιν αὐτῆς τὴν f. 66r
30 μονάδα (ἐκ γὰρ τῶν δύο μονάδων σύγκειται ἡ δυὰς κατ' αὐτούς), ὥστε ἡ ἀρχὴ ἐξ ἀρχῶν ἔσται. λέγομεν οὖν αὖθις πρὸς τοῦτο ὅτι εἰ τῷ ὄντι οὕτως ἀριθμὸν ἔλεγον τὴν δυάδα, καλῶς ἐλαμβάνετο ὁ Ἀριστοτέλης· νῦν δὲ συμβολικῶς λέγουσι τὴν δυάδα ἀρχὴν τῶν μεριστῶν πάντων, ἐπειδὴ πρώτη ἀρχὴ τοῦ μερίζεσθαί ἐστιν ἡ δυάς. τοῦτο οὖν φησιν ὅτι αἱ μο-
35 νάδες αἱ ἐν τῇ δυάδι ὑπάρχουσαι ἑκατέρα αὐτῶν ἐκ μονάδος ὑπάρχει, ἐπειδὴ προτέρα τῆς δυάδος ἡ μονάς· καίτοι ἀδύνατον τῆς ἀρχῆς ἀρχὴν εἶναι.

---

4 ἐν τῷ πρώτῳ τῶν Περὶ ψυχῆς] verba ipsa non sunt Aristotelis; de re cf. A 3 p. 407ᵇ13 sqq.
5 γὰρ] fort. δὲ 13 ἐνεργοῦντα D 15 ἡ om. D 23 τίνων] fort. legendum δύο γὰρ τινῶν vel simile aliquid

p. 992a1 Ἔτι διὰ τί ἓν ὁ ἀριθμὸς συλλαμβανόμενος.

Φησὶν ὅτι ὁ ἀριθμὸς συνεχές ἐστι, τὴν δὲ συνέχειαν ταύτην ἔχει ἐκ τῆς ἑνάδος· ὥστε πρώτου ἀριθμοῦ ἡ ἑνάς ἐστιν ἀρχὴ καὶ οὐκ ἀριθμός. ὥς φασιν αὐτοί. λέγομεν οὖν πρὸς τοῦτο ὅτι παγκάλως λέγεις, ὦ Ἀριστοτελες, καὶ τὰ δοκοῦντα αὐτοῖς λέγεις· τὴν γὰρ τῶν πάντων ἀρχὴν τὴν ἑνάδα ὑποτίθενται καὶ αὕτη ἐστὶν ἡ διὰ πάντων τῶν ὄντων διήκουσα.

p. 992a2 Ἔτι πρὸς τοῖς εἰρημένοις εἴπερ εἰσὶν αἱ μονάδες διάφοροι.

Εἴ φατε ταύτας τὰς μονάδας εἶναι διαφόρους ἐξ ὧν τὰ ἄλλα πάντα γεννᾶτε, ἐχρῆν ὑμᾶς οὕτως λέγειν ὥσπερ λέγουσιν οἱ τὰ στοιχεῖα τέσσαρα ἤγουν δύο ὑποτιθέμενοι· καὶ γὰρ τούτων ἕκαστος οὐ τὸ κοινὸν λέγει στοιχεῖον, οἷον ὅτι ἐκ σώματος ταῦτα πάντα, ἀλλὰ πῦρ καὶ γῆν, εἴτε τῷ ὄντι ἔστι τι σῶμα κοινὸν αὐτὸ καθ' αὑτὸ ὑφεστὼς ἄποιον, εἴτε μή, ὅπερ ἐστὶν ἀληθές. ἐχρῆν μὲν οὖν καὶ τούτους ὁμοίως ὁρίσαντας ἕν τι, ὥσπερ οἱ σῶμά τι τὸ στοιχεῖον λέγοντες, τοῦτο ἀρχὴν ὑποθέσθαι· νῦν δὲ ἁπλῶς τὸ ἓν λέγουσιν ἀρχήν, οὐχ ὡς πολλῶν οὐσῶν τῶν μονάδων καὶ κεχωρισμένων ἀλλήλων καὶ τοῦ ἑνὸς κατηγορουμένου κοινῶς κατ' αὐτῶν, ἀλλ' f. 66v ὡς ὅλου τινὸς οὔσης τῆς μονάδος καὶ ἑνὸς καὶ ὁμοιομεροῦς καὶ μόρια ἔχοντος ὅμοια αὐτῷ τὰς μονάδας, ὡς τὸ πῦρ καὶ τὸ ὕδωρ· καὶ γὰρ τούτων ἑκάτερον ἕν τι ὁμοιομερές· τὰ γὰρ μόρια τοῦ ὕδατος ὅμοια τῷ ὅλῳ.

p. 992a8 Εἰ δὲ οὕτως, οὐκ ἔσονται οὐσίαι οἱ ἀριθμοί.

Τουτέστιν εἰ δὲ οὕτως λέγοιεν τὸ ἓν καὶ ὁμοιομερές τι, οὐκέτι αὐτοῖς οἱ ἀριθμοὶ οὐσίαι καὶ ἰδέαι ἔσονται ἀλλ' ὑποκείμενον καὶ ὑλικά (τοιαῦτα γὰρ τὰ ὁμοιομερῆ), καὶ ἔτι τὸ ὅλον οὐκ ἔσται τῶν αὐτοῦ μερῶν ἰδέα. ἔτι τε οὐσία ἑκάστου κυρίως τὸ εἶδος, οἱ δὲ ἀριθμοὶ ὕλης οὐκ εἴδους λόγον ἕξουσι. δύναται δὲ καὶ οὕτως τις εἰπεῖν· εἰ δὲ λέγοιεν τὸ ἓν τοιοῦτον εἶναι ὡς φύσιν τινὰ μίαν, ὡς τὸ πῦρ, ὡς τὸ ὕδωρ, καὶ τοιοῦτον ὂν ἀρχὴν εἶναι, οὐκέτι αὐτοῖς ἔσονται οὐσίαι τε καὶ ἰδέαι καὶ ἀρχαὶ οἱ ἀριθμοί· οὐ γὰρ ἐκ τῆς τοῦ τοιούτου ἑνὸς συνθέσεως ὁ ἀριθμός· ἓν γάρ τι καὶ τὸ αὐτὸ γίνεται ἐκ τῆς τούτων συνθέσεως. εἴπερ οὖν ἔστι τι ἓν αὐτὸ καὶ τοῦτό ἐστιν ἀρχή, πλεοναχῶς λέγεται τὸ ἕν· ἄλλως γὰρ ἀδύνατον. οὔτε

6 αὐτὴ D 13 εἴτε scripsi: καὶ libri 14 ἐχρῆν — ὁμοιομερές (20) Alexandri sunt τὸ ἕν τι Alex. 16 ὥστε πολλῶν οὐσῶν Alex. 17. 18 ἀλλ' οὐχ ὅλου Alex. 20 ἕν τι ὂν καὶ ὁμοιομερές ἐστιν Alex. 22 τουτέστιν — συνθέσεως (30) Alexandri sunt καὶ] ὡς Alex. αὐτοὶ Alex. 24 ἔσται Alex.: ἔστι libri 25. 26 ἔτι — ἕξουσι] locus apud Alexandrum depravatus 25 ἑκάστου] οὐκ ἔσται Alex. 26 ἢ δύναται τὸ λεγόμενον τοιοῦτον εἶναι Alex. 29 ἑνὸς deest Alexandro 30 τούτου Alex.

γὰρ ὡς γένος πλεοναχῶς λέγεται οὔτε ὡς ὅμοιον, ἀλλ' ὡς ὁμώνυμον· εἰ δὲ τοῦτο, οὐκέτι παράδειγμα. λέγομεν οὖν ὅτι τῷ ὄντι καὶ καλῶς λέγεις. καὶ πλεοναχῶς λέγεται τὸ ἕν· πάντα γὰρ λέγεται μετέχειν τῆς ἑνάδος καὶ διὰ τοῦτο καὶ ἓν λέγεται. εἰ τοίνυν ἁπλῶς λέγοντες τὸ ἓν οὕτως λέγουσιν
5 ὡς ὁμοειδῶν καὶ ἀδιαφόρων οὐσῶν πασῶν τῶν μονάδων (τοῦτο γὰρ ἐσήμανε διὰ τοῦ εἰπεῖν ὡς ὄντος τοῦ ἑνὸς ὥσπερ πυρὸς ἢ ὕδατος ὁμοιομεροῦς· τὸ γὰρ μὴ διαφέρον τῶν μονάδων καὶ ὁμοειδὲς διὰ τοῦ ὁμοιομερὲς εἰπεῖν ἔδειξεν), ἀλλ' εἰ οὕτως ἔχοιεν αἱ μονάδες, οὐκ ἂν εἶεν ἔτι οὐσίαι οἱ ἀριθμοί, τουτέστιν αἱ ἰδέαι· περὶ γὰρ ἐκείνων τῶν ἀριθμῶν λέγει.
10 εἰ γὰρ ὁμοειδεῖς πᾶσαι αἱ μονάδες, ὡς ὁ παρ' ἡμῖν ἀριθμὸς οὐκ ἔστιν οὐσία, οὕτως οὐδ' ἂν ἐκεῖνος εἴη ὁ ἐξ ὁμοιειδῶν τούτῳ τῷ ἀριθμῷ τῶν f. 67r
μονάδων συγκείμενος. ἀλλὰ δῆλον ὅτι οὐχ οὕτως λέγουσιν, ἀλλ' ἔστι κατ' αὐτοὺς ἕν τι αὐτὸ οὐχ ὁμοειδὲς τοῖς ἄλλοις, καὶ τοῦτο ἀρχή· εἰ δὲ τοῦτο, οὐχ ὁμοειδεῖς αἱ μονάδες, ἀλλὰ πλεοναχῶς τὸ ἓν λέγεται· ἄλλως γὰρ
15 ἀδύνατον τὸ ἓν τὴν ἀρχὴν λέγειν. ὥστε ἐχρῆν αὐτοὺς ποῖον λέγουσιν ἀρχὴν ὡρικέναι. ἔπειτα δὲ εἰ μὴ ὑπάρχουσιν ὁμοειδεῖς, ἕπεται ἄπορον, τίς ἡ τῶν μονάδων διαφορά.

p. 992a10 Βουλόμενοι δὲ τὰς οὐσίας ἀνάγειν εἰς τὰς ἀρχάς.

Βουλόμενοι ὑμνεῖν τὴν δυάδα ὡς ἀρχὴν οὖσαν καὶ τὰς οὐσίας τῶν
20 πραγμάτων ἀνάγειν εἰς αὐτήν, φασὶν οὕτως ὅτι τὰ μήκη ἐστὶν ἐκ βραχέος καὶ μακροῦ· τὰς δὲ ἐπιφανείας ἐκ πλατέος καὶ στενοῦ, τὰ δὲ στερεὰ ἐκ βαθέος καὶ ἐπιπολαίου. ταῦτα δὲ οὐχ ὑπάρχουσιν ὑπάλληλα γένη. φανερὸν ⟨οὖν⟩ ὅτι οὐ θεωρηθήσονται ἐν ἀλλήλοις· τὰ γὰρ ὑπάλληλα γένη ἅμα θεωροῦνται ὡς τὸ ἔμψυχον καὶ τὸ ζῷον. τὸ γοῦν μακρὸν καὶ βραχὺ
25 ὑπὸ ἄλλο γένος τελεῖ καὶ τὸ στενὸν καὶ πλατὺ καὶ βαθὺ καὶ τὸ ἐπιπόλαιον· ὥστε οὐ δυνατόν ἐστι κατ' αὐτοὺς τὸ ἐπίπεδον θεωρεῖσθαι ἐν τῷ στερεῷ οὔτε δὲ τὴν γραμμὴν ἐν τῷ ἐπιπέδῳ, ὥσπερ οὐδὲ ὁ ἀριθμὸς ὑπάρχει ἐν αὐτοῖς, ὅτι τὸ μὲν πολὺ καὶ ὀλίγον ἐπὶ ἀριθμοῦ λέγεται, τὸ δὲ βαθὺ καὶ ἐπιπόλαιον ἐπὶ σώματος, καὶ οὐ λέγομεν τὸν ἀριθμὸν ὑπάρχειν
30 ἐν τῷ σώματι, διότι ὑπὸ ἄλλο ἐστὶ γένος τὸ πολὺ καὶ τὸ ὀλίγον ὑπὸ τὸ διωρισμένον, τὸ δὲ βαθὺ καὶ ἐπιπόλαιον ὑπὸ τὸ συνεχές. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· ὁ δὲ ἡμέτερος φιλόσοφός φησι πρὸς αὐτὸν ὅτι θεωροῦνται ταῦτα ἐν ἀλλήλοις οὐχ ὡς ὑπάλληλα γένη ἀλλ' ὡς δεκτικὰ ἀλλήλων· δεκτικὴ γὰρ ἡ μὲν ἐπιφάνεια τῶν γραμμῶν, τὰ δὲ σώματα τῶν ἐπιφα-
35 νειῶν, ὥσπερ καὶ αὐτὸς λέγει τοὺς ἀριθμοὺς θεωρεῖσθαι ἐν τοῖς μεγέ- f. 67v

---

3 τὸ ὄν libri 4 ἁπλῶς λέγοντες—διαφορά (17) Alexandri sunt 7 ἀδιάφορον Alex. 10 ὁ om. D 11 εἴη Alex.: ἢ libri 12 οὕτως Alex.: ὅτι libri 13 ἕν τι οὐ ταὐτὸν οὐδ' ὁμοειδὲς Alex. 15 ἕνα libri 16 ἔπειτα κτλ.] ἕπεται δὲ μὴ ὁμοειδεῖς λέγουσιν εἶναι τὰς μονάδας αὐτοῖς καὶ τὸ προειρημένον ἄπορον Alex. ὁμοειδεῖς ex Alexandro scripsi: ἀνομοειδεῖς libri 17 μονάδων] οὐσῶν ἀπαθῶν add. Alex. 23 οὖν addidi 34 γραμμῶν scripsi: γραμμάτων libri 35 αὐτὸς λέγει] cf. de An. Γ 1 Metaph. M 9 p. 1085a21

θεσι. λέγομεν γὰρ δέκα μεγέθη οὐχ ὡς ὑπάλληλα γένη ἀλλ' ὅτι δεκτικόν ἐστι τὸ μέγεθος τῶν ἀριθμῶν. ἐπὶ μὲν γὰρ τοῦ μεγέθους θεωρεῖται τὸ μέγα καὶ τὸ μικρόν, ἐπὶ δὲ τοῦ ἀριθμοῦ τὸ πολὺ καὶ τὸ ὀλίγον· ταῦτα δὲ οὐχ ὁμογενῆ ὑπάρχουσιν, ἀλλὰ τὸ μέν ἐστι τοῦ συνεχοῦς τὸ δὲ τοῦ διωρισμένου. βουλόμενοι οὖν, φησί, τὰς οὐσίας ἀνάγειν εἰς τὰς ἀρχὰς μήκη μὲν τίθεμεν (ὡς τοῦ αὐτοῦ διδασκαλείου ὑπάρχων) ἐκ μακροῦ καὶ βραχέος. ἀρχαὶ οὖν αὐτῶν τὸ μέγα καὶ τὸ μικρόν· ταύτην γὰρ ἔλεγον τὴν ἀόριστον εἶναι δυάδα. εἰς ταύτην οὖν θέλοντες πάντα ἀνάγειν τοῦ μὲν μήκους ἀρχὴν ἔλεγον τὸ βραχὺ καὶ τὸ μακρόν, ὡς ἐκ μακροῦ τινος καὶ βραχέος τὴν γένεσιν ἔχοντος τοῦ μήκους. ἅπερ ἐστὶ μέγα καὶ μικρόν. τοῦ δὲ στερεοῦ τό τε βαθὺ καὶ ταπεινόν, ὄντα καὶ αὐτὰ μέγα καὶ μικρόν. εἰπὼν δὲ ταῦτα καὶ ἐκθέμενος τὴν δόξαν αὐτῶν ἐπὶ τούτοις ἐπιφέρει τὸ ἄτοπον λέγων καὶ πῶς ἕξει τὸ ἐπίπεδον γραμμήν, ἢ τὸ στερεὸν γραμμὴν ἢ ἐπίπεδον; ἔστι δὲ τοιοῦτον τὸ λεγόμενον. τοῦ μὲν σώματος, ὅπερ στερεόν ἐστι, πέρας ἡ ἐπιφάνεια. ὅπερ ἐπίπεδον εἶπε. καὶ τοῦ ἐπιπέδου πέρας ἡ γραμμή. ὅπερ μῆκος γίνεται· ὥστε καὶ ἐν τῷ ἐπιπέδῳ τὸ μῆκός ἐστι καὶ ἐν τῷ στερεῷ τὸ ἐπίπεδον. λέγεται οὖν τὸ μὲν σῶμα βάθος ἔχειν καὶ πλάτος καὶ μῆκος, ἡ δὲ ἐπιφάνεια πλάτος καὶ μῆκος, ἡ δὲ γραμμὴ μῆκος. ταῦτα μὲν οὕτως ἔχει φύσει· κατὰ δὲ ἐκείνους ἄλλα λέγοντας καὶ διαφέροντα γένη εἶναι τὸ βραχὺ καὶ μακρόν. καὶ στενὸν καὶ πλατύ, καὶ βαθὺ καὶ ταπεινόν, καὶ ὡς ὑπὸ διαφέροντα γένη καὶ οὐχ ὑπάλληλα αὐτὰ ὄντα τιθέντας πῶς δυνήσονται ἔτι ἢ τὸ μῆκος ἐν τῷ ἐπιπέδῳ εἶναι ἢ ταῦτα ἐν τῷ στερεῷ; ὥσπερ γὰρ οὐδὲ ὁ ἀριθμός ἐστιν ἐν τούτων τινί, ὅτι ἄλλαι αἱ τοῦ ἀριθμοῦ ἀρχαὶ κατ' αὐτοὺς ἦσαν, οὕτως οὐδὲ ἐπὶ τούτων [ὅτι] ὑπάρχει οὐδὲν τῶν ἀνωτάτω ἐν τοῖς κάτω, τουτέστι τῶν πρώτων ἐν τοῖς ὑστέροις. ἔστι γὰρ τούτων τῶν τριῶν πρῶτον καὶ ἄνω γραμμή, δεύτερον τὸ ἐπίπεδον, τρίτον τὸ στερεόν· ἔστι γὰρ ἐκεῖνα ἁπλούστερα τοῦ στερεοῦ καὶ προεπινοούμενα· τούτων δὲ πάντων ἓν πρῶτον ὁ ἀριθμός. ὡς οὖν ὁ ἀριθμὸς οὐκ ἔστιν ἐν τούτοις, καίτοι πρῶτος ὤν, διότι ἄλλο γένος τὸ πολὺ καὶ τὸ ὀλίγον, ἐφ' ᾧ ὁ ἀριθμός, τῶν γενῶν ἑκάστου ὑφ' ἃ ταῦτα, οὕτως οὐδὲ ἐπὶ τούτων ἔσται κατ' αὐτοὺς θάτερον ἐν θατέρῳ. οὔτε γὰρ τὸ μῆκος ἐν τῷ ἐπιπέδῳ, ἐπειδὴ τὸ μὲν μῆκος ἐκ βραχέος καὶ μακροῦ, τὸ δὲ ἐπίπεδον ἐκ στενοῦ καὶ πλατέος, ἅ ἐστιν ἕτερα ἀλλήλων γένη, οὔτε δὲ ταῦτα ἐν τῷ στερεῷ. οὐδὲ γὰρ τοῦτο ἔνεστι λέγειν, ὅτι ταῦτα μὲν ἀλλήλων διαφέρει τὰ γένη καὶ ἔστιν ἕτερα. ὑπάλληλα μέντοι ἐστίν, ὡς εἶναι ὑπὸ τὸ πλατὺ τὸ βαθὺ καὶ ὁμοίως ὑπὸ τὸ μακρὸν τὸ πλατύ, καὶ διὰ

---

8 εἰς ταύτην — ὑστέροις (26) pleraque Alexandri sunt 17 λέγεται Alex.: λέγει libri 20 διαφέροντα γένη Alex.: ἀφαιροῦντα ἓν libri 23 ὁ om. D 25 ὅτι delevi Alexandrum secutus ὑπάρχει οὐδὲν scripsi: ὑπάρξει οὐδὲν Alex.: ὑπάρχουσι libri 26 ἔστι γὰρ — ἄλλα (p. 102,3) Alexandri sunt ἄνω Alex. 28 ἓν] ἐστὶ Alex. 30 ὑφ' ὃ ὁ ἀριθμός Alex. ὑφ' ἃ ταῦτα Alex.: ὑφ' ἑαυτὰ libri 32 ἐπιπέδῳ ἔσται, ἐπεὶ Alex. 33 τὸ δὲ Alex.: οὗ libri 33. 34 ἀλλήλων — στερεῷ Alex.: ἀλλήλων ταῦτα τὰ γένη οὔτε δὲ τὸ στερεόν libri 34 ἔνεστι Alex.: ἔν ἐστι libri

τοῦτο δύνασθαι ἐν τῷ στερεῷ ἐκεῖνα εἶναι, ὡς ἔστιν ἐν τῷ ὄρνιθι τὸ πτερωτὸν καὶ τὸ ζῷον. ταῦτα γὰρ τῶν διαφερόντων γενῶν ἃ κοινωνίαν ἔχει πρὸς ἄλληλα· γένος γὰρ τὸ ζῷον τοῦ πτερωτοῦ καὶ ἐν τῷ τί ἐστιν αὐτοῦ κατηγορεῖται· ὑπάλληλα γάρ ἐστιν. ὥστε εἰ ἔστι τοῦ βάθους γένος τὸ πλατύ, καὶ ἔστι βαθὺ μὲν τὸ στερεόν, πλατὺ δὲ τὸ ἐπίπεδον, ἔσται τὸ στερεὸν ὅπερ ἐπίπεδον· καὶ γὰρ τὸ ὄρνεον ὅπερ ζῷον· ἄτοπον δὲ τὸ σῶμα ἐπίπεδον λέγειν, ὁμοίως δὲ καὶ τὸ ἐπίπεδον μῆκος.

p. 992a19 Ἔτι αἱ στιγμαὶ ἐκ τίνος ἐνυπάρχουσι;

Φησὶν οὖν ὅτι κατ' αὐτοὺς οὐκ ἔσονται στιγμαί· οὔτε γὰρ ἐμνημόνευσε τῶν στιγμῶν, ἀλλὰ γραμμῶν καὶ ἐπιπέδων καὶ στερεῶν. ταῖς οὖν στιγμαῖς, φησίν, ὁ Πλάτων καὶ διεμάχετο ὡς ὄντι γεωμετρικῷ δόγματι· ἔλεγε γὰρ ὅτι οὐχ ἁρμόττει τῷ πρώτῳ φιλοσόφῳ περὶ στιγμῶν f.68v διαλέγεσθαι, ἀλλὰ τῷ μαθηματικῷ. καὶ ταῦτα λέγων, φησίν, οὐδὲν ἧττον εἰσέφερε τὰς στιγμάς· ἐκάλει γὰρ ἀρχὴν γραμμῆς, τὴν δὲ ἀρχὴν τῆς γραμμῆς ἔλεγε τὰς ἀτόμους γραμμάς. εἰ τοίνυν πέρατα τῶν γραμμῶν ὑπάρχουσι τὰ σημεῖα, φανερὸν ὅτι εἰσάγων ἄτομον γραμμὴν εἰσῆγε καὶ τὰς στιγμάς. λέγομεν οὖν ἡμεῖς ὅτι συμβολικῶς ταῦτα ἔλεγεν ὁ Πλάτων· διὰ γὰρ τῆς ἀτόμου γραμμῆς τοὺς ἀμεριστοὺς λόγους τῆς ψυχῆς ἐδήλου· ὥσπερ γὰρ ἡ ἄτομος γραμμὴ ἀμέριστος, οὕτω καὶ οἱ λόγοι τῆς ψυχῆς.

p. 992a19 Ἔτι αἱ στιγμαὶ ἐκ τίνος ἐνυπάρχουσιν;

Ὃ λέγει τοιοῦτόν ἐστι. δοκεῖ μὲν τὰ σημεῖα καὶ αἱ στιγμαὶ ἐνυπάρχειν τῷ μήκει καὶ τῇ γραμμῇ, ὥσπερ καὶ αὕτη τῷ ἐπιπέδῳ καὶ τὸ ἐπίπεδον τῷ στερεῷ, εἶναι δὲ ἄλλης φύσεως παρ' ἐκεῖνα ὡς κἀκεῖνα ἀλλήλων. τίνες οὖν αἱ τούτων ἀρχαί; καὶ εἰς τί γένος ταῦτα ὑπαχθήσεται; καὶ πῶς ἀναχθήσεται εἰς τὸ μέγα καὶ τὸ μικρόν; καὶ πῶς ἔσονται ἐν τῷ μήκει; ἀπορήσας δὲ τοῦτο ἐφεξῆς ἱστορεῖ τὴν Πλάτωνος δόξαν περὶ τῶν στιγμῶν· φησὶ γὰρ αὐτὸν μηδὲ τὴν ἀρχὴν παραδέχεσθαι ὡς οὖσάν τινα φύσιν σημείου, ἀλλὰ λέγειν δόγμα τι τοῦτο καὶ θέσιν τινὰ γεωμετρικήν, οὐκ ἐν τῇ φύσει τῶν ὄντων οὖσαν. τὸ μὲν οὖν σημεῖον οὐκ ἔλεγεν εἶναί τι οὐδὲ ὠνόμαζεν, ἐκάλει δέ τινα ἀρχὴν γραμμῆς, ἣν ἄτομον πολλάκις γραμμὴν ἔλεγεν. ἱστορεῖ δὲ καὶ ὡς Πλάτωνος, οὐ μόνον Ξενοκράτους, ἀτόμους γραμμὰς τιθεμένου. καίτοι πᾶσα ἀνάγκη ἐστὶν εἶναί τι πέρας ἀτόμου ταύτης γραμμῆς· ἔστι δὲ πέρατα τὰ σημεῖα· ὥστε ἐξ οὗ λόγου γραμμή ἐστι, καὶ στιγμὴ ὑπάρχει.

---

1 ὡς Alex.: καὶ libri 2 ἃ scripsi: ὃ libri: deest Alexandro, qui post ἄλληλα addit ὅσα ἐστὶν ὑπάλληλα 4 ὑπάλληλον libri ὥστε—μῆκος (7) Alexandri sunt 8. 20 ὑπάρχουσι D 18 ὅπερ D ἡ om. D 21 ὃ λέγει—τιθεμένου (32) Alexandri sunt στιγμαὶ Alex.: γραμμαὶ libri 27 τινὰ Alex.: τινος libri 28 λέγει D 30 τινα deest Alexandro ἣν Alex.: τὴν libri 31 ὡς καὶ Alex.

p. 992a24 Ὅλως δὲ ζητούσης τῆς σοφίας περὶ τῶν φανερῶν τὸ αἴτιον.

Ἐντεῦθεν δείκνυται ὁ Ἀριστοτέλης ἄντικρυς λέγων ποιητικὸν αἴτιον εἶναι τὸν θεόν. φησὶ γὰρ ὅτι ἡ σοφία ζητεῖ τῶν φανερῶν τὸ αἴτιον. οἱ f.69r
5 δὲ Πυθαγόρειοι τοῦτο παραλελοίπασιν· οὐδὲν γὰρ εἰρήκασι περὶ τῆς αἰτίας τῆς ποιητικῆς. ὡς γὰρ ἀνωτέρω ἐδείξαμεν, οἱ τὰς ἰδέας λέγοντες οὔτε ποιητικὸν αὐτὰς αἴτιον δύνανται ὑποτίθεσθαι (οὐδὲν γὰρ αἱ ἰδέαι ποιοῦσιν) οὔτε δὲ τελικόν (τὰ γὰρ γινόμενα οὐ πρὸς αὐτὰ ἐπεστραμμένα ὑπάρχουσιν) οὔτε δὲ εἰδικόν, ἀλλ' εἰ ἄρα, ὑλικόν. λέγομεν οὖν ὅτι καὶ τελικὸν αἴτιον
10 ὑπετίθετο Πλάτων, ἐξ οὗ λαβὼν εἶπεν ὅτι καλῶς ἀπεφήναντο τἀγαθὸν οὗ πάντα ἐφίεται. καὶ ποιητικὸν δὲ λέγων "θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργός", καὶ ὅτι "περὶ τὸν βασιλέα πάντων." αἰτιᾶται οὖν τοὺς περὶ τῶν ἰδεῶν πραγματευσαμένους, ὅτι προκειμένης ζητήσεως τοῖς τὴν τῶν ὄντων θεωρίαν ἐπαγγελλομένοις ἰδεῖν τί ποτέ ἐστιν αἴτιον ποιητικὸν τούτων τῶν αἰσθη-
15 τῶν καὶ φανερῶν, καὶ πῶς ἕκαστα τούτων γίνεται. τὸ μὲν οὖν ζητεῖν τίς ποτέ ἐστιν ἡ αἰτία αὕτη παρέλιπον (οὐδὲν γὰρ λέγουσι περὶ τῆς ποιητικῆς αἰτίας ἢ τίς ποιητική· οὐδενὸς γὰρ ποιητικὸν ἡ ἰδέα· οὐδὲ γὰρ τὴν ἀρχὴν ποιητικόν), οἰόμενοι δὲ τὴν οὐσίαν καὶ τὴν κατὰ τὸ εἶδος ⟨αἰτίαν⟩ αὐτῶν ἀποδιδόναι (τετραχῶς γὰρ τὰ αἴτια) ἄλλας μέν τινας οὐσίας καὶ ἄλλα εἴδη
20 παρὰ τὰ φανερὰ ὑποτίθενται (τὰς γὰρ ἰδέας), πῶς δὲ τούτων ἐκεῖνά ἐστιν εἴδη, οὐκέτι λέγουσιν. ὥσπερ λέγει καὶ ἀλλαχοῦ ὅτι ἐδιπλασίασαν τὰ ὄντα, ὡς ἐντεῦθεν καὶ τὰς αἰτίας τῶν ὄντων ἀποδιδόασι. κενὴν γὰρ φωνὴν προφέρονται τὴν μετοχήν· οὐ γὰρ διασαφοῦσι πῶς ταῦτα τῶν ἰδεῶν μετέχει, ὡς ἤδη εἶπεν. ὥστε εὐλόγως κατὰ τὴν ἀρχὴν αὐτοὺς ἠτιάσατο ὡς
25 τοῖς ζητουμένοις ἰσάριθμα προσθέντας. δείξας τοίνυν ὅτι μήτε ποιητικὰ αἴτια αἱ ἰδέαι μήτε δὲ ὡς εἴδη (τὸ γὰρ εἶδος ἐν τούτῳ οὗ ἐστιν εἶδος † οὔτε μηδὲν οὔτε τὸ τῆς μετοχῆς ὄνομα σημαίνει τι), λέγει ἐπὶ τού- f.69v
τοις ὅτι μηδὲ ὡς τὸ οὗ ἕνεκα καὶ τὸ τέλος αἰτίαι τοῖς οὖσιν αἱ ἰδέαι κατ' αὐτούς, ἥτις αἰτία ἐν πᾶσι τοῖς κατ' ἐπιστήμην καὶ νοῦν καὶ φύσιν
30 γινομένοις ἐστὶ κυριωτάτη αἰτία· πάντα γὰρ τά τε κατὰ φύσιν καὶ κατὰ τέχνην καὶ ἐπιστήμην, ἔτι δὲ καὶ κατὰ προαίρεσιν γινόμενα ἕνεκά του γίνεται, καὶ ἔστιν ἐν αὐτοῖς κυριωτάτη αἰτία· οἷον ἡ ἰατρικὴ ἕνεκα τῆς

---

7 οὐδὲν scripsi: οὐδὲ libri 10 Πλάτων] cf. Platon. Phileb. p. 20 D 11 θεοὶ θεῶν κτλ.] Tim. p. 41 A 12 περὶ — πάντων] Epist. II, p. 312 E αἰτιᾶται — μαθηματικῶν (p. 104,20) Alexandri sunt 15 τίς Alex.: τί libri 16. 17 περὶ τῆς αἰτίας τοῦ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἥτις ἐστὶν ἡ ποιητική Alex.: fort. legendum περὶ τῆς κινητικῆς αἰτίας, ἥτις κτλ. 17 οὐδὲ — ποιητικὸν (18) desunt Alexandro 18 αἰτίαν ex Alexandro addidi 20 τὰ τῶν φανερῶν Alex. 21 ὥσπερ — ἀποδιδόασι (22) desunt Alexandro 22 ὡς] fort. καὶ 24 φθάνει εἰρηκώς Alex. καὶ κατὰ Alex. 25 προσθέντας] ἄλλα μηδὲν αὐτοῖς εἰς τὰ ζητούμενα συντελοῦντα add. Alex. μήτε Alex.: μηδὲ libri 26 post εἶδος lacuna fere VII litterarum AD: εἶδος, αἱ δὲ οὔτε ἐν τούτοις οὔτε κτλ. Alex. 32 οἷον — βούλησις (p. 104,1) desunt Alexandro

ὑγιείας, ὁ νοῦς ἕνεκα τοῦ εὖ, ὁμοίως καὶ ἡ φύσις καὶ ἡ βούλησις. οὐχ οὕτως δὲ αἱ ἰδέαι αἰτίαι τοῖς οὖσι κατ' αὐτούς· οὐ γὰρ τοῦ ⟨εὖ⟩ εἶναι τὰ πρὸς τὰς ἰδέας γινόμενα αἴτια τὰς ἰδέας λέγουσιν, ἀλλὰ τοῦ ὅλως εἶναι· παραδείγματα γὰρ ἀλλ' οὐ τέλη λέγουσιν αὐτάς. πῶς γὰρ ἂν καὶ εἶεν ἐκεῖνα τέλη τούτων; οὔτε γὰρ προὔφέστηκε τὸ τέλος οὗ ἐστι τέλος, ἀλλὰ μόνον προεπινοεῖται ὕστερόν τε ἐπιγινόμενον ἐν τούτῳ ἐστὶν οὗ ἐστι τέλος· αἱ δὲ ἰδέαι καὶ προὔφεστᾶσι καὶ οὔτε γίνονται οὔτε εἰσὶν ἐν τοῖς γινομένοις. δείξας δὲ ὅτι μήτε ποιητικὰ αἴτια αἱ ἰδέαι μήτε δὲ εἴδη τῶν γινομένων μήτε τέλη, λέγει πόθεν αὐτοῖς ἡ τῆς περὶ αὐτὰ πλάνης αἰτία· τῷ γὰρ σπουδάσαι περὶ τὰ μαθήματα καὶ τὸ φιλοσοφεῖν ὑπολαβεῖν εἶναι ἐν τῇ περὶ ταῦτα θεωρίᾳ, καὶ διὰ τοῦτο περὶ ταῦτα μόνα διατρῖψαι, ἦλθον ἐπὶ τὸ ταύτας ἀρχὰς ὑποθέσθαι τῶν ὄντων, ἃς ᾤοντο καὶ τῶν μαθηματικῶν ἀρχὰς εἶναι, καίτοι λέγοντες περὶ τῶν μαθηματικῶν ὅτι μὴ χρὴ ταῦτα ποιεῖσθαι τέλη, ἀλλ' ὅτι δεῖ ἄλλων χάριν ταῦτα μεταδιώκειν πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως. προπαιδείαν γοῦν τὴν τούτων θεωρίαν ἔλεγον, καὶ συνερίθους ὁ Πλάτων φιλοσοφίας τὰς μαθηματικὰς ἐπιστήμας καλεῖ. ὅτι ταῦτα λέγοντες οὐδὲν ἄλλο χωρὶς τούτων φιλοσοφοῦσί τε καὶ πραγματεύονται, καὶ τοῦτο δηλοῦσιν ἔκ τε τοῦ πάντων τῶν ὄντων ἀρχὰς τοὺς ἀριθμοὺς λέγειν καὶ τὰς ἰδέας ἀριθμούς τινας ὑποτίθεσθαι καὶ τὰ f. 70r φυσικὰ γεννᾶν ἐκ τῶν μαθηματικῶν.

p. 992b1 Ἔτι δὲ τὴν ὑποκειμένην οὐσίαν ὡς ὕλην μαθηματικωτέραν ἄν τις ὑπολάβοι.

Ἔτι ἔνστασις πρὸς τὰς ἰδέας ἐκ τῆς ὕλης, ἐπειδὴ βουλόμενος δηλῶσαι ὁ Πλάτων τὴν ὕλην διὰ τοῦ μεγάλου καὶ τοῦ μικροῦ ἐδήλου αὐτήν. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι τὸ μέγα καὶ τὸ μικρὸν ἐπὶ τῶν μεγεθῶν θεωρεῖται, ἅτινα μεγέθη τῶν μαθημάτων ὑπάρχουσιν. ἔπειτα αἱ διαφοραὶ κατηγοροῦνται μᾶλλον ἤπερ ὑπόκεινται· τὸ δὲ κατηγορεῖσθαι τοῖς εἴδεσιν ἁρμόττει. αἱ γὰρ ἐναντιότητες κατὰ τὰ εἴδη θεωροῦνται τὰ ἐν ὑποκειμένῳ τῇ ὕλῃ τὸ εἶναι ἔχοντα· μάχεται γὰρ τὸ λευκὸν τῷ μέλανι καὶ τὸ θερμὸν τῷ ψυχρῷ, ταῦτα δὲ εἴδη ὑπάρχουσιν. αὐτὸς δὲ τὰς ἐναντιότητας κατὰ τὴν ὕλην ἐχαρακτήρισε, τουτέστι κατὰ τὸ μέγα καὶ τὸ μικρόν· διὰ γὰρ τούτων τὴν ὕλην δηλοῖ. ἔπειτα οὐκ ἔδει αὐτὸν εἰπεῖν τὸ μέγα καὶ τὸ μικρόν. ἀλλ' εἰ ἄρα, τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν· τοῖς γὰρ φυσικοῖς πράγμασι ταῦτα μᾶλλον οἰκειότερα. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης. αὖθις δὲ ὁ φιλόσοφός φησιν ὅτι συμβολικῶς ὁ Πλάτων διὰ τοῦ μεγάλου καὶ μικροῦ τὴν ὕλην ἐδήλου, ἐπειδὴ πρῶτον ἡ ὕλη ποσοῦται καὶ ὄγκον δέχεται καὶ τότε ποιότητας, τὸ δὲ μέγα καὶ τὸ μικρὸν τοῦ ποσοῦ ὑπάρχουσιν.

---

2 εὖ Alex.: om. libri 5 τοῦ οὗ Alex. 6 δὲ D 14 πρὸς—φύσεως (15) desunt Alexandro 15 προπαίδευσαν D 16 ὁ Πλάτων] cf. Reip. Z p. 533 D 17 ἐκάλει Alex. 18 καὶ τοῦτο desunt Alexandro 30 τὰ εἴδη A

p. 992b1 Ἔτι δὲ τὴν ὑποκειμένην οὐσίαν ὡς ὕλην μαθηματικωτέραν.

Φησὶν ὅτι καὶ ἡ ὑποκειμένη οὐσία, ἥντινα οὐσίαν ὡς ὕλην ὑποτίθενται τῶν φύσει γινομένων (αὕτη δέ ἐστιν ἡ ἀόριστος δυάς, τὸ μέγα καὶ τὸ μικρόν), μαθηματικὴ μᾶλλόν ἐστιν ἢ φυσική· ἡ γὰρ δυὰς ἀριθμοῦ μᾶλλόν ἐστιν ἀρχὴ ἤπερ τῶν φύσει συνεστώτων· διὸ μαθηματικωτέρα καὶ οὐχ ὑποκειμένη τις φύσις, ἀλλὰ μᾶλλον κατηγορούμενόν τι τῆς ὕλης δόξειεν ἂν εἶναι καὶ διαφορὰν αὐτῆς δηλοῦν ἢ ὑποκείμενόν τι αὐτὸ καὶ f.70v ὕλην. εἰπὼν δὲ καὶ μᾶλλον κατηγορεῖσθαι, πῶς κατηγορεῖται ἐδήλωσεν εἰσενεγκὼν τὸ καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης· αἱ γὰρ διαφοραὶ τοῖς εἴδεσι μᾶλλον ἁρμόττουσιν ἤπερ τῇ ὕλῃ, ὡς εἰρήκαμεν ἐν τῇ θεωρίᾳ. ὡς γὰρ καθ' οὕς ἐστιν ἐν ταῖς ἀρχαῖς τῶν φυσικῶν τὸ μανὸν καὶ τὸ πυκνόν, οὐχ ὕλη ταῦτα ἀλλὰ διαφοραὶ τῆς ὕλης καὶ τοῦ ὑποκειμένου κατ' αὐτούς, εἴτε ἄπειρον εἴτε πῦρ εἴτ' ἄλλο τι ὑποκείμενον, οὕτως καὶ τὸ μέγα καὶ τὸ μικρὸν καὶ ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις διαφοραί τινες μᾶλλον ἂν δόξαιεν εἶναι ὑποκειμένου τινός, καθ' ἃς ἡ μεταβολὴ αὐτῶν, ἀλλ' οὐχὶ αὐτὰ ὑποκείμενα. τὸ δὲ ταῦτα δέ ἐστιν ὑπεροχή τε καὶ ἔλλειψις ἐπὶ τοῦ μανοῦ καὶ τοῦ πυκνοῦ εἶπε· τὸ γὰρ μανὸν ἐν ὑπεροχῇ ἐστιν ὡς πλείονα τόπον κατέχον, τὸ δὲ πυκνὸν ἐν ἐλλείψει ὡς ἧττονα.

p. 992b7 Περί τε κινήσεως, εἰ μέν ἐστι ταῦτα κίνησις, δῆλον ὅτι κινήσεται τὰ εἴδη· εἰ δὲ μή, πόθεν ἦλθεν;

Ἑτέρα ἀντιλογία πρὸς τὰς ἰδέας· καί φησιν ὅτι ἀκίνητοι ὑπάρχουσιν αἱ ἰδέαι ἢ κινοῦνται. εἰ μὲν γὰρ ἐν κινήσει ὑπάρχουσι τὰ εἴδη, φανερὸν ὅτι καὶ αἱ ἰδέαι κινηθήσονται· καθ' ὁμοιότητα γὰρ τῶν ἰδεῶν βούλονται εἶναι τὰ ἐνταῦθα. νῦν δὲ τοῦτο ὑμεῖς οὐχ ὁμολογεῖτε· ἀκινήτους γὰρ ὑποτίθεσθε τὰς ἰδέας. εἰ δὲ μὴ κινοῦνται αἱ ἰδέαι, πόθεν γέγονεν ἐνταῦθα ἡ κίνησις; εἰ γὰρ αἱ ἀρχαὶ ἀκίνητοι, φανερὸν ὅτι καὶ τὰ ἐκ τῶν ἀρχῶν, καὶ οὕτως ἔσται ἀκινησία ἐν τοῖς οὖσι· καὶ οὕτως ἀναιρεθήσεται πᾶσα ἡ φυσικὴ θεωρία, εἴ γε οὐδέν ἐστιν ἕτερον φύσις ἢ ἀρχὴ κινήσεως καὶ ἠρεμίας. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· οὐδὲν δὲ ἧττον καὶ πρὸς τοῦτο ἐνίσταται ὁ φιλόσοφος πρὸς αὐτὸν λέγων 'ὥσπερ σὺ λέγεις τὴν μίαν τῶν πάντων f.71r ἀρχὴν ἀκίνητον εἶναι καὶ ἐξ αὐτῆς προαχθῆναι τὴν ψυχήν, καὶ ὑπὸ τῆς ψυχῆς κινεῖσθαι τὰ σώματα διὰ τῆς ὀρεκτικῆς δυνάμεως, οὕτως καὶ αὐτοί φασι τοὺς λόγους τοὺς δημιουργικοὺς ἀκινήτους εἶναι καὶ γίνεσθαι αἰτίους κινήσεως τῆς ἐνθάδε.' χρὴ δὲ εἰδέναι ὅτι τὸ ἐζωωμένον σῶμα τὸ σύνθετον

---

3 φησὶν ὅτι — εἶπε (18) Alexandri sunt οὐσίαν] ἀρχὴν Alex. 4 καὶ τὸ μέγα Alex. 10 ἐπενεγκὼν Alex. αἱ γὰρ — θεωρίᾳ (12) desunt Alexandro 14 εἴτε ἀὴρ τοῦτο εἴτε ὕδωρ εἴτε τὸ μεταξὺ τούτων, οὕτω κτλ. Alex. 16 αὐτοῖς Alex. 19 πυκνὸν scripsi: μανὸν libri

καθ' αὑτὸ κινεῖται καὶ ἐνεργοῦν καὶ κατὰ τόπον· τοῦτο δέ φημι διὰ τὴν φυσικὴν ψυχήν, ἐπειδὴ ζωή ἐστι τοῦ σώματος, καὶ οὐχ ὥσπερ ἡ λογικὴ ψυχὴ κατὰ συμβεβηκὸς κινεῖται κινουμένου τοῦ σώματος, οὕτως καὶ ἡ φυσικὴ σύνθετος οὖσα. ὥστε, φησίν, οὐδὲ περὶ κινήσεως τι λέγουσι τῶν φύσει γινομένων. πόθεν ἡ κίνησις ἐν αὐτοῖς· καίτοι ⟨τῷ περὶ⟩ τῶν φυσικῶν λέγοντι καὶ παραδείγματα τὰς ἰδέας τιθέντι ἀναγκαιότερος ὁ περὶ κινήσεως λόγος. εἰ μὲν γάρ ἐστι ταῦτα κίνησις, ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις, ἔσται κινούμενα τὰ εἴδη, ἔχοντά γε ὡς ἀρχὰς ἐν ἑαυτοῖς τὴν ὑπεροχήν τε καὶ ἔλλειψιν οὔσας κινήσεις, ὃ οὐ βούλονται· ἀκίνητα γὰρ τὰ εἴδη κατ' αὐτούς. εἰ δὲ μὴ κινήσεις ἐκεῖναι, πόθεν ἡ κίνησις ἐν τοῖς φυσικοῖς τοῖς κατὰ τὴν ἐκείνων μετοχὴν οὖσιν ἃ ἔστι; τὸ γὰρ πρὸς παράδειγμα τὸ εἶναι ἔχον καὶ σύμφυτον ἔχον τὴν κίνησιν παρὰ τοῦ παραδείγματος ἔχειν ⟨δεῖ⟩ τοῦτο, ὄντος καὶ αὐτοῦ τοιούτου, ἢ παρά τινος ἄλλης αἰτίας. ἀναιρουμένης δὲ κινήσεως πᾶσα ἡ περὶ φύσεως ἀναιρεῖται θεωρία.

p. 992b9 Καὶ ὃ δοκεῖ ῥᾴδιον εἶναι, τὸ δεῖξαι ὅτι ἓν τὰ πάντα, οὐ γίνεται· τῇ γὰρ ἐκθέσει οὐ γίνεται τὰ πάντα ἕν.

Πάλιν ἑτέρα ἀντιλογία πρὸς τὰς ἰδέας· καί φησιν ὅτι ἐν ἅπασι τοῖς οὖσίν ἐστιν ἡ ἑνάς. εἰ μὴ γὰρ τῷ ὄντι ὑποθώμεθα εἶναι ἐν ἅπασι τοῖς οὖσι τὴν ἑνάδα, ἀπειρίαν εἰσάξομεν ἐν τοῖς οὖσιν. εἰ μὴ γάρ ἐστιν ἡ μονὰς ἐν ὅλῳ, ἀλλ' ἐν τῷ μέρει· εἰ δὲ μηδὲ ἐν τῷ μέρει, φανερὸν ὅτι ἀπειρία ἔσται. ὥστε φησὶν ὅτι ἐπειδὴ ἐνταῦθά ἐστιν ἑνάς, καὶ ἐνταῦθα ἑνὰς καὶ πανταχοῦ, φανερὸν ὅτι δεῖ εἶναι ἑνάδα ἐξῃρημένην πάντων τού- f.71v
των. ἥτις ἐστὶ παρακτικὴ ἁπασῶν τῶν ἑνάδων. φησὶν οὖν πρὸς αὐτοὺς ὁ Ἀριστοτέλης, ὅτι τὸ οὕτως λέγειν ὅτι ἐπειδὴ ἐνταῦθά ἐστιν ἑνάς, καὶ ἀλλαχοῦ δεῖ εἶναι μονάδα ἐξῃρημένην * * * οὐδὲν γὰρ ἔστιν ἄλλο συνάγειν ἐντεῦθεν ἢ τὸ καθόλου τὸ ἐννοηματικόν. λέγομεν γὰρ ὅτι ὅδε ἄνθρωπος καὶ ὅδε ἄνθρωπος, καὶ ἔχομεν λοιπὸν ἐννοηματικῶς ἅπαντα τὸν ἄνθρωπον ἤγουν τὸ ζῷον. οὐδὲ ὅπερ ἄρα βούλεσθε δείκνυται· βούλεσθε μὲν γὰρ τὸ ἐξῃρημένον αἴτιον δηλῶσαι, οὐ δείκνυται δὲ τοῦτο ἀλλὰ τὸ ἐννοηματικόν, καὶ αὐτὸ ἡνίκα γένος ἐστὶ τὸ κατηγορούμενον, ὡς ἐπὶ ζῴου· εἰ γάρ ἐστιν ὁμώνυμος φωνή, οὐδὲ ἐννοηματικῶς ἔστιν ἐλεῖν τοῦτο (οὐδὲ γὰρ ἔστιν ἐννοηματικῶς ἐλεῖν ὅτι ἔστι καθόλου Αἴας ἢ κύων), ἤγουν ἐπὶ ἀποφάσεων ὅ ἐστι καθολικόν, τὸ οὐ περιπατεῖ ἤγουν τὸ οὐχ ὑγιαίνει. λέγομεν οὖν ἡμεῖς πρὸς αὐτὸν ὅτι καὶ πάνυ ἀκριβῶς λέγουσι περὶ τῆς πρώτης ἑνάδος. φασὶ γὰρ ὅτι πάντα ὀρεγόμενα αὐτοῦ ἐπέστραπται πρὸς αὐτό. εἰ

---

4 οὐδὲ περὶ — θεωρία (14) Alexandri sunt τι Alex.: εἰ libri 5 τῷ περὶ ex Alexandro addidi 5. 6 λέγοντι καὶ π. τ. ἰ. τιθέντι Alex.: λεγόντων π. τ. ἰ. τίθενται libri 7 ἔσται Alex. ταῦτα κίνησις Arist. Alex.: ταύτη τῇ κινήσει libri 9 ὃ Alex.: ἃ libri 12 δεῖ Alex.: om. libri 20 μήτε libri 24 τὸ om. D 25 addendum ψεῦδός ἐστιν vel tale aliquid 28 βούλεσθε (post ἄρα) scripsi: βούλεσθαι libri 35 φασὶ scripsi: φησὶ libri αὐτὸν libri

τοίνυν ἕτερόν ἐστι τὸ ὀρεκτὸν παρὰ τὸ ὀρεγόμενον (οὐδεὶς γὰρ ὀρέγεται οὗ ἔχει), φανερὸν ὅτι ἑτερόν τι ὑποτίθενται εἶναι τὴν πρώτην ἑνάδα, ἣν φασιν ὀρεκτήν, πρὸς ἣν πάντα τὰ ὄντα ἐπεστραμμένα ὑπάρχουσι. διὸ καὶ αὐτὸς ἀπεδέχετο αὐτοὺς λέγοντας τἀγαθὸν οὗ πάντα ἐφίεται.

p. 992ᵃ9 Ὅ τε δοκεῖ ῥᾴδιον εἶναι, τὸ δεῖξαι ὅτι ἓν ἅπαντα.

Ὅπερ δοκεῖ εὐχερὲς εἶναι, τὸ δεῖξαι ὅτι ἓν ὑπάρχουσιν ἅπαντα, οὐ γίνεται· διὰ γὰρ τῆς ἐκθέσεως οὐ γίνεται τὰ πάντα ἕν. ἐξετίθεντο γὰρ τὰ εἴδη, οἷον ἄνθρωπον, ἵππον, κύνα, φυτόν, ζῷον καὶ λίθον, καὶ ἐπὶ πάντων ἐδείκνυον οὖσαν τὴν ἑνάδα, καὶ ὅτι μετέχουσι τῆς ἑνάδος. ἔστ' ἂν ὦσι, διαφθαρέντα δὲ εἰς πολλὰ διαλύονται. ἐντεῦθεν οὖν ἐβούλοντο συλ- f.72r
λογίζεσθαι ὅτι ἐπειδὴ πάντα μετέχουσι τῆς ἑνάδος, ἔστ' ἂν ὦσι, φανερὸν ὅτι ἔστι τις ἑνὰς ἐξῃρημένη προακτικὴ πασῶν τῶν ἑνάδων. κἂν δὲ δοθῇ αὐτοῖς καὶ συγχωρηθῇ τὸ πρὸς παράδειγμα γίνεσθαι τὸ αὐτόεν, καὶ εἶναί τι ἕν, οὐ μετασχέσει ταὐτὰ τὰ πολλὰ ἀλλήλοις ἢ κατὰ εἶδος ἢ κατὰ γένος, οὐδὲ οὕτως γίνονται τὰ πάντα ἕν, ἀλλὰ καθ' ἑκάστην ὁμοιότητα τῶν πολλῶν τούτων αὐτό τι ἓν γίνεται καὶ ἑνάς τις ἐννοηματική· οὐ γὰρ ταῦτα ἕν. ἀλλ' οὐδὲ τοῦτο ἐπὶ πασῶν τῶν ὁμοιοτήτων οἷόν τε δείκνυσθαι καὶ γενέσθαι, ὡς κατὰ πᾶσαν ὁμοιότητα αὐτό τι ἓν εἶναι, κἂν μὴ κατά τι εἶδος ἢ γένος ἡ ὁμοιότης ᾗ τῶν λαμβανομένων· ἡ γὰρ κατὰ τὴν οὐσίαν καὶ τὸ γένος τε καὶ τὸ εἶδος ταυτότης τε καὶ ὁμοιότης ἰδέα, ἀλλ' οὐχ ἡ κατά τι συμβεβηκός. πολλὰ γάρ ἐστιν ἃ διά τινα ὁμοιότητα ἀλλήλοις ὁμοίως λέγεται. τῷ δὲ μὴ εἶναι ταὐτὸν τὴν ὁμοιότητα γένος ἢ εἶδος αὐτῶν οὐδὲ αὐτό τι ἓν ἔσται ἐπ' αὐτῶν· ταῦτα δέ ἐστι τὰ ἀποφατικῶς λεγόμενα. τὸ γὰρ οὐ τρέχει κοινὸν μὲν καὶ ὅμοιον τούτοις ὧν ἀληθῶς κατηγορεῖται, ἀλλ' οὔτε γένος τὸ οὐ τρέχει οὔτε εἶδος οὔτε ἰδέα τὸ οὐ τρέχει καὶ ἄλλα τοιαῦτα.

p. 992ᵇ13 Οὐδένα δὲ ἔχει λόγον οὐδὲ τὰ μετὰ τοὺς ἀριθμοὺς μήκη καὶ ἐπίπεδα.

Πάλιν ἑτέρα ἀντιλογία πρὸς τὰς ἰδέας. φασὶ γὰρ οὕτως ὅτι τὰ μεγέθη δεύτερα ὑπάρχουσι τῶν ἀριθμῶν· ἡ γὰρ γραμμὴ τὸ ἐφ' ἓν διαστατὸν ἐκ τῆς μονάδος ἔχει, ὁμοίως δὲ καὶ τὸ τρίγωνον τὸ ἔχειν τρεῖς πλευρὰς ἐκ τῶν ἀριθμῶν. διὸ εἴρηται καὶ ἐν τῇ ἀριθμητικῇ πραγματείᾳ ὅτι προτέρα ἐστὶ πασῶν τῶν ἐπιστημῶν ἡ ἀριθμητικὴ καὶ παρὰ τῷ θεῷ ἐστιν. εἰ τοίνυν τὰ μεγέθη δεύτερα ὑπάρχουσι τῶν ἀριθμῶν. αἱ δὲ ἰδέαι ἀριθμοί, δῆλον ὅτι οὐχ ὑπάρχουσι τῶν μεγεθῶν ἰδέαι. λέγομεν οὖν πρὸς αὐτὸν f.72v

---

10 δὲ om. D 12 fort. παρακτικὴ κἂν δὲ—οὐ τρέχει (25) Alexandri sunt 13 παράδειγμά τι ταῦτα γίνεσθαι Alex. 14 ταῦτα libri et Alex.: ταὐτὰ coni. Bonitz 16 αὐτό τι Alex.: αὐτότον libri ἐννοηματική deest Alexandro 18 λέγεσθαι ὡς Alex. ὑπό τι ἓν Alex. 19 τὸ εἶδος Alex. 20 οὐχ ἡ Alex.: οὐχὶ libri 21 κατὰ τὸ Alex. 22 ταύτην Alex. 23 τοιαῦτα Alex. 25 γένος τοῦτο ἔχει Alex. 31 ὅτι om. D

ὅτι παραλογίζῃ ἡμᾶς ἐκ τῆς ὁμωνυμίας· αἱ μὲν γὰρ ἰδέαι τῶν μεγεθῶν ὑπάρχουσιν. ἐπειδὴ ἐκεῖναι οὐκ εἰσὶ δεύτεραι τῶν ἀριθμῶν. τὰ γὰρ αἰσθητὰ μεγέθη ὑπάρχουσι δεύτερα τῶν ἀριθμῶν. οὐχ αἱ ἰδέαι τῶν μεγεθῶν. ὃ οὖν λέγει ὁ Ἀριστοτέλης τοῦτό ἐστι· φησὶν ὅτι οὐδένα ἔχει λόγον, τουτέστιν ἰδέαν, οὐδὲ τὰ μετὰ τοὺς ἀριθμοὺς μήκη καὶ ἐπίπεδα καὶ στερεά, οὔτε ὅπως ὑπάρχουσιν ἢ ὑπάρξουσι μὴ ἔχοντα ἰδέας δι' ἣν αἰτίαν εἰρήκαμεν. οὔτε εἰ ἔχουσί τινα δύναμιν τὴν προχειριζομένην αὐτά. ταῦτα γὰρ τὰ μεγέθη ἰδέαι οὐ δύνανται εἶναι (οὐ γὰρ ὑπάρχουσιν ἀριθμοί· δεύτερα γὰρ ὑπάρχουσι τῶν ἀριθμῶν, ὡς ἐδείξαμεν), οὔτε δὲ τὰ μεταξύ· τὰ γὰρ μαθήματα οὐκ ἔχουσιν ἰδέας· λόγοι γάρ εἰσιν ἐν τῇ φαντασίᾳ ὄντες ἤγουν ἐν τῇ ψυχῇ. εἰπὼν οὖν οὔτε τὰ μεταξὺ καὶ βουλόμενος δηλῶσαι τί ἐστι τὰ μεταξύ, φησὶ τὰ μαθηματικὰ γὰρ ἐκεῖνα. οὔτε πάλιν τὰ φθαρτὰ ἰδέαι ὑπάρχουσι, διότι αἱ ἰδέαι ἀίδιοι ὑπάρχουσιν. εἰ τοίνυν μήτε ἰδέαι ὑπάρχουσι μήτε μεταξύ, διότι αἱ μὲν ἰδέαι ἀρχαὶ καὶ ἀδιαίρετοι, τὰ δὲ μαθήματα οὔτε ἀρχαὶ καὶ διαιρεῖται, οὔτε δὲ φθαρτὰ δι' ἣν εἰρήκαμεν αἰτίαν, δῆλον ὅτι τετάρτη τις φύσις τῶν ὄντων ἔσται αὐτοῖς αὕτη, καὶ τέταρτόν τι γένος παρὰ τὰ τρία τὰ ὑπ' αὐτῶν τιθέμενα.

p. 992b18 Ὅλως τε τῶν ὄντων ζητεῖν στοιχεῖα.

Πάλιν ἑτέρα ἐπιχείρησις κατὰ τῶν ἰδεῶν· καί φησιν. ὅτι τὸ ὑποτίθεσθαι στοιχεῖα πάντων τῶν ὄντων οὐκ ἀληθές. ἔλεγον γὰρ τὴν δύαδα καὶ τὴν μονάδα στοιχεῖα εἶναι τῶν πάντων. τοῦτο οὖν εἶναι οὐκ ἔστιν ἀληθές· οὔτε γὰρ τὰ τῶν σωμάτων στοιχεῖα πάντως καὶ τῶν ἀσωμάτων ὑπάρχουσιν ἀρχαί. λέγομεν οὖν ὅτι τὸ μὲν ποιητικὸν καὶ τὸ τελικὸν πάντων τῶν ὄντων ἐστὶν αἴτια (ὁ γὰρ θεὸς πάντων ἐστὶν αἴτιος τῶν ὄντων, f. 73r
ὡς φῆς καὶ αὐτός, καὶ ⟨τὸ⟩ τελικόν. διότι πρὸς αὐτὸ ἐπεστραμμένα ὑπάρχουσι). πάντων μέντοι τῶν ὄντων ὑλικὰ αἴτια ὑποτίθεσθαι οὐκ ἔστιν ἀληθές. καὶ Πλάτων μὲν συμβολικῶς ταῦτα ὑπετίθετο· τὴν γὰρ δυάδα ἀρχὴν τῆς προόδου ὑπετίθετο, τὴν δὲ μονάδα τῆς ἑνώσεως, ἐπειδὴ καὶ ἕνωσίς ἐστιν ἐν πᾶσι τοῖς οὖσι καὶ διαφορὰ καὶ πρόοδος. ὁ λόγος οὖν οὕτως προέρχεται· ὧν μή εἰσι κοιναὶ ἀρχαί, τούτων ἀδύνατον κοινάς τινας ἀρχὰς εὑρεῖν· τῶν δὲ ὄντων οὐκ εἰσιν κοιναὶ ἀρχαί· ὥστε καὶ ἀδύνατόν ἐστιν εὑρεῖν αὐτῶν κοινὰς ἀρχάς. ὅτι δὲ τῶν ὄντων οὐκ εἰσιν ἀρχαὶ κοιναί τε καὶ αἱ αὐταί, φανερὸν ἐντεῦθεν· τῶν πολλαχῶς λεγομένων οὐκ εἰσιν ἀρχαὶ κοιναὶ καὶ αἱ αὐταί· τὰ δὲ ὄντα πολλαχῶς λέγεται· τῶν ὄντων ἄρα οὐκ εἰσιν ἀρχαὶ αἱ αὐταί. ὅτι δὲ τὸ ὂν τῶν πολλαχῶς λεγομένων, ἐν πολλοῖς εἴρηται, εἴ γε ὁμώνυμός ἐστι φωνὴ καὶ κατηγορεῖται πασῶν τῶν κατηγο-

3 οὐχ αἱ scripsi: οὐκ libri 11 τὰ om. D 12 οὔτε πάλιν—ἀίδιοι ὑπάρχουσιν (13)] exspectes οὔτε πάλιν τὰ φθαρτά, διότι ἀίδια ὑπάρχουσιν; sed tota huius loci interpretatio perplexa est; cf. Alex. p. 93,22 sqq. 14 ἀδιαίρετοι scripsi: ἀδιόριστοι libri 15 φθαρτὰ scripsi: φθαρταὶ libri 23 ἀρχὴν D 25 τὸ addidi 28 ἐπειδὴ om. D 30 ὧν μή εἰσι—ἐν ταύτῃ (p. 109,14) Alexandri sunt 31 εἰσιν κοιναὶ ἀρχαί Alex.: ἔστιν εὑρεῖν κοινὰς ἀρχάς libri 36 εἴ γε—κατηγοριῶν (p. 109,1) desunt Alexandro

ριῶν. αἰτιᾶται οὖν αὐτοὺς ὅτι ἐζήτουν ἀρχὰς τῶν ὄντων μὴ πρότερον διελόμενοι αὐτὰ καὶ τὰ σημαινόμενα ἐκθέμενοι τοῦ ὄντος. ἄλλως τε αἰτιᾶται πρότερον τὸ τὰς τοιαύτας τῶν ὄντων ἀρχὰς τὰς αὐτὰς ζητεῖν τὰς ἐξ ὧν εἰσιν· αὗται δέ εἰσιν ἡ ὕλη τε καὶ τὸ εἶδος· τοιαῦται γὰρ ἃς ὑποτι-
5 θενται ἀρχάς, ἥ τε ἀόριστος δυὰς καὶ ἡ μονάς. ἔνια γὰρ τῶν ὄντων οὐδὲ ἔχει κατὰ τὴν οἰκείαν φύσιν τοιαύτας ἀρχὰς καὶ στοιχεῖα. εἰ μὴ κατὰ συμβεβηκός· ἐκ τίνος γὰρ ὕλης τὸ ποιεῖν ἢ πάσχειν; κατὰ συμβεβηκὸς μὲν γὰρ καὶ ταῦτα ὕλην ἔχει· ὅτι γὰρ ταῖς οὐσίαις, ὧν ἐστί τις ὕλη, ταῦτα ὑπάρχει, κατὰ τοῦτο ἂν εἴη τις ὕλη καὶ τῶν τοιούτων, καθ' αὑτὰ δὲ οὔ.
10 ὁμοίως δὲ οὐδὲ τοῦ εὐθέος ὕλη τίς ἐστιν οὐδέ τινος ἄλλου παρὰ τὴν οὐσίαν. διὰ τοῦτο γὰρ εἶπε μὴ εἶναι τούτων λαβεῖν τοιαῦτα στοιχεῖα, ὅτι μηδὲ τὴν ἀρχὴν ἔστι· τὰς γὰρ τοιαύτας ἀρχὰς τὰς ὡς στοιχεῖα καὶ ἐνυπαρχοντα καὶ ἐξ ὧν λέγεταί τι εἶναι μόνης τῆς οὐσίας ἔστιν εὑρεῖν· μόνη f.73v
γὰρ αὕτη τῶν ὄντων ὑποκείμενον, τὰ δὲ ἄλλα ἐν ταύτῃ. ὥστε τὸ ζητεῖν
15 πάντων τῶν ὄντων στοιχεῖα † ποιεῖσθαι οὐκ ἔχει ἀληθές.

p. 992b24 Πῶς δὲ ἄν τις καὶ μάθοι τὰ τῶν πάντων στοιχεῖα;

Ἐντεῦθεν πειρᾶται δεικνύναι αὐτοὺς ἀναιροῦντας γνῶσιν. μεμαθήκαμεν γὰρ ὅτι "πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως." εἰ τοίνυν πάντων τῶν ὄντων αἱ αὐταὶ ἀρχαὶ ὑπάρχουσι, τὰ
20 δὲ πράγματα γινώσκομεν τῶν ἀρχῶν αὐτῶν γινωσκομένων, φανερὸν ὅτι ἀδύνατόν ἐστιν ἐκ τῶν πραγμάτων γνῶναι τὰς ἀρχάς· τοὐναντίον γὰρ ἐκ τῶν ἀρχῶν γινώσκομεν τὰ πράγματα· ὥστε ἢ οὐδὲν εἰσόμεθα, εἴπερ τῶν πάντων αἱ αὐταὶ ἀρχαί, ἢ τῶν ἀρχῶν ἀρχὰς ⟨δεῖ⟩ ζητῆσαι. καίτοι κοινὰς ἀρχάς, καθάπερ αὐτὸς λέγεις, ἀνιχνεύομεν ἢ διὰ τῶν κοινῶν ἐννοιῶν ἢ
25 διὰ ἀναλογίας ἤγουν ἐξ ἀποφάσεως. οὕτως τοίνυν καὶ αὐτὸς ἐν τῇ Φυσικῇ ἀκροάσει πεποίηκας· ἐξ ἀναλογίας γάρ τινος ἔννοιαν ἡμῖν τῆς ὕλης δέδωκας φάσκων ὅτι ὃν τρόπον ὁ χαλκὸς πρὸς ἀνδριάντα καὶ λέβητα, καὶ ξύλον [καὶ] πρὸς ναῦν καὶ κλίνην, τοῦτον καὶ ἡ ὕλη πρὸς τὰ φυσικὰ πράγματα. τοῦτο οὖν ἐστιν ὅπερ λέγει ὁ Ἀριστοτέλης· πῶς δὲ δύνατόν ἐστι γνῶναι τὰ τῶν
30 πάντων στοιχεῖα; εἰ γὰρ πάντων στοιχεῖά εἰσι, φανερόν ἐστιν ὅτι ἀδύνατόν ἐστι προϋπάρχειν γνωριζόμενον, εἴ γε πάντων ὑπόκεινται ἀρχαί, τὰ δὲ ἐκ τῶν ἀρχῶν γινώσκονται τῶν ἀρχῶν γινωσκομένων. ὥσπερ γὰρ τῷ γεωμετρεῖν μανθάνοντι ἄλλα μὲν ἐνδέχεται προειδέναι, οἷον ἀριθμητικὴν μουσικήν, ὧν δέ ἐστιν ἡ ἐπιστήμη καὶ περὶ ὧν μέλλει μανθάνειν, τουτ-
35 έστι περὶ τῶν γεωμετρικῶν θεωρημάτων, οὐδὲν προγινώσκει (οὐκ οἶδε γὰρ τί σημεῖον ἢ τί γραμμὴ ἤγουν ἄλλο τι τοιοῦτον), ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ὥστε εἴ τις τῶν πάντων ἐστὶν ἐπιστήμη, ὥς τινές φασιν, f.74r

---

2 διελόμενοι Alex.: διαλεγόμενοι libri 2. 3 ἄλλως τε ἔτι ἀτοπώτερον Alex.
7 τὸ ποιεῖν τί ἐστιν ἢ τὸ Alex. καὶ πάσχειν D 15 ἢ οἴεσθαι ἔχειν οὐκ ἀληθές Aristoteles 18 πᾶσα διδασκαλία κτλ.] cf. Anal. post A 1 p. 71a1 19 αἱ αὐταὶ scripsi: αὐταὶ αἱ libri 23 δεῖ addidi 25. 26 ἐν τῇ Φυσικῇ ἀκροάσει] Phys. A 7 p. 191a8 sqq. 27 καὶ (ante πρὸς) delevi 30 ἀδύνατον scripsi: δυνατόν libri

οὐδὲ προϋπάρχει ὅπερ δυνατὸν γνωρίζειν, ὡς εἰρήκαμεν. καίτοι πᾶσα μάθησις διὰ προγινωσκομένων πάντων ἢ τινῶν ἐστιν ἢ δι' ἀποδείξεως ἤγουν δι' ὁρισμοῦ· δεῖ γὰρ τὸν μέλλοντα εἰδέναι τί ἐστιν ὁρισμὸς γινώσκειν τὰ ἐξ ὧν ὁ ὁρισμός· ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐπαγωγῆς δεῖ προγινώσκειν τὰ ἐξ
5 ὧν ἡ ἐπαγωγή.

p. 992b33 Ἀλλὰ μὴν καὶ εἰ τυγχάνει σύμφυτος οὖσα.

Ἀντιπῖπτον λύει, ἵνα μή τις εἴποι πρὸς αὐτὸν ὅτι συνουσίωται ἡμῖν ἡ ἐπιστήμη, καὶ ἅτε συνουσιωμένην ἔχοντες αὐτὴν ἐν τῇ ψυχῇ προχειριζόμεθα αὐτήν. πρὸς ταύτην οὖν τὴν ἀπορίαν ἁπαντῶν φησιν ὅτι θαυμα-
10 στόν, πῶς σύμφυτον ἔχοντες αὐτὴν λανθάνομεν τῆς κρατίστης τῶν ἐπιστημῶν μετέχοντες. λέγομεν οὖν πρὸς αὐτὸν ὅτι σύμφυτον αὐτὴν ἔχομεν, ἀλλὰ λοιπὸν πίπτουσα ἡ ψυχὴ εἰς τὴν λήθην τῆς γενέσεως καὶ πληρουμένη τῆς ἐντεῦθεν ἀχλύος ἐπιλανθάνεται καὶ σκοτίζεται· εἰ γὰρ μὴ εἴχομὲν οὐκ ἄν ποτε μεμαθήκαμεν, καθάπερ εἴρηται ἐν τῷ Φαίδωνι, ὅτι τὸ
15 ἀγνοούμενον κἄν τις θεάσηται, οὐδέποτε γινώσκει. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ οἰκέτου τοῦ Μένωνος.

p. 993a2 Ἔτι πῶς τις γνωρίσειεν ἐκ τίνων ἐστί, καὶ πῶς ἔσται δῆλον;

Ἀδύνατόν ἐστι γνωρίζειν τὰ πράγματα μὴ γνωριζομένων τῶν ἀρχῶν.
20 τὰς δὲ κοινὰς ἀρχὰς ἀδύνατόν ἐστιν εὑρεῖν· εἰ γὰρ κοιναὶ ὑπάρχουσιν, οὐ δύνατόν ἐστιν αὐτὰς ἑλεῖν ἐκ προϋπαρχούσης γνώσεως. ἀμέλει τοι, ὥς φησιν αὐτὸς ἐπὶ τῆς σμα συλλαβῆς, οἱ ἀγνοοῦντες τὰ στοιχεῖα, ἐξ ὧν σύγκειται ἡ σμα συλλαβή, οὐδέποτε δύνανται γνῶναι εἴτε ἐκ τοῦ σ σύγκειται εἴτε ἐκ τοῦ ζ ἢ δ· ὥσπερ γάρ ἐστιν ἄδηλον τὸ τι τῶν Ἀλεξανδρέων, ὥς
25 φησιν ὁ ἡμέτερος φιλόσοφος. πῶς οὖν τις, φησί, γνωρίσειε; καὶ γὰρ τοῦτο ἔχει ἀπορίαν. ἀμφισβητήσειε γὰρ ἄν τις, ὥσπερ καὶ περὶ ἐνίας συλλαβάς· οἱ μὲν γὰρ τὴν σμα ἐκ τοῦ σ μ α φασὶν εἶναι, οἱ δέ τινες ἕτερον φθόγγον φασὶν εἶναι καὶ οὐδένα τῶν f.74v γνωρίμων.

p. 993a7 Ἔτι δὲ ὧν ἡ αἴσθησις, ταῦτα πῶς ἄν τις μὴ ἔχων τὴν
30 αἴσθησιν γνοίη;

Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι εἰ κοιναὶ ἀρχαὶ ὑπάρχουσι πάντων τῶν ὄντων καὶ οὐ διήρηνται, ὁ εἰδὼς αὐτὰς φανερὸν ὅτι εἴσεται πάντα τὰ ὄντα. ὁ γοῦν ἐκ γενετῆς τυφλὸς ἢ κωφὸς εἰδὼς τὰς κοινὰς ἀρχὰς εἴσεται καὶ
35 περὶ χρωμάτων καὶ ψόφων. λέγομεν οὖν πρὸς τοῦτο ὅτι ἐὰν οἶδε τὰς

---

14 ἐν τῷ Φαίδωνι] cf. Plato Phaed. p. 72E sqq. τὸ scripsi: τὸν libri 16 τοῦ Μένωνος] cf. Plato Menon. p. 82B sqq.

κοινὰς ἀρχάς, εἰ καὶ μὴ ὡς ψόφους οἶδεν ἢ ὡς χρώματα, ἀλλ' οὖν ὡς ὄντα οἶδεν αὐτὰ καὶ ὡς ἔχοντα ὕπαρξιν, ὥσπερ καὶ αὐτὸς φῄς, ὦ Ἀριστότελες, ὅτι ἴσμεν καὶ τὸν ἰδίᾳ ἄνθρωπον καὶ πάντας ὡς ζῷον λογικὸν θνητὸν ὑπάρχοντα. τοῦτο οὖν ἐστιν ὃ λέγει. ἔτι δὲ ὧν ἔστιν αἴσθησις, ταῦτα πῶς δυνατόν ἐστι γνῶναι, φησίν, τὸν μὴ ἔχοντα αἴσθησιν, ὡς ἄνθρωπον; καίτοι ἔδει, εἴ γε πάντων τὰ αὐτὰ στοιχεῖα τῶν ὄντων· ὁ γὰρ εἰδὼς τὰς ἀρχὰς οἶδε καὶ τὰ ἐκ τῶν ἀρχῶν, ὥσπερ καὶ αἱ σύνθετοι φωναὶ ὑπάρχουσιν ἐκ τῶν οἰκείων στοιχείων, καὶ γινωσκομένων τῶν στοιχείων αὐτῶν καὶ αἱ φωναὶ γινώσκονται.

p. 993a11 Ὅτι μὲν οὖν τὰς εἰρημένας ἐν τοῖς φυσικοῖς αἰτίας ζητεῖν.

Συμπεραίνεται τὰ εἰρημένα πληρώσας τὴν ἀντιλογίαν τὴν πρὸς τὰς ἰδέας, καί φησιν ὅτι σαφὲς ἡμῖν γέγονεν ὅτι πάντες οἱ περὶ ἀρχῶν διαλεχθέντες ἐοίκασι ζητεῖν τὰς ἀρχὰς τὰς εἰρημένας ἐν τοῖς Φυσικοῖς, τουτέστι τελικὴν ποιητικήν, ὑλικὴν εἰδικήν. τούτων γὰρ ἐκτὸς οὐδεμίαν ἐστὶν εἰπεῖν δυνατόν· ἐδείχθη γὰρ ὅτι ἡ παραδειγματικὴ οὐκ ἔστι, τουτέστιν ἡ περὶ τῶν ἰδεῶν. ἀμυδρῶς οὖν περὶ τῶν τεσσάρων τούτων ἀρχῶν εἰρήκασι· καὶ τρόπον μέν τινα πᾶσαι εἴρηνται πρότερον αἱ τέσσαρες ἀρχαὶ ὑπὸ τῶν παλαιοτέρων, διότι οἱ μὲν αὐτῶν μίαν εἰρήκασι τὴν ὑλικήν, ὥσπερ Θαλῆς Ἀναξίμανδρος καὶ Ἡράκλειτος, οἱ δὲ δύο, τὴν ποιητικὴν πρὸς τῇ ὑλικῇ, Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς, οἱ δὲ καὶ τὴν εἰδικήν. ὥσπερ οἱ τὰς ἰδέας· τρόπον οὖν τινα οὐκ εἰρήκασιν. ἀδιαρθρώτως γὰρ γέγονεν ἡ προσεχῶς f. 75r ἐπαναβεβηκυῖα φιλοσοφία, ἤγουν πᾶσα ἡ πρὸ ἡμῶν (Πλάτων μὲν γὰρ ἐμνημόνευσε τῶν τεσσάρων, Ἐμπεδοκλῆς δὲ τῶν τριῶν ἀλλ' οὐ διηρθρωμένως περὶ πάντων), ἅτε νέα τε οὖσα κατ' ἀρχὰς καὶ τὸ πρῶτον. φησὶ δὲ ὁ ἡμέτερος φιλόσοφος ὅτι 'καὶ διηρθρωμένως ὁ Πλάτων καὶ πρὸ σοῦ, καὶ αὐτὸς ἐξ αὐτοῦ λαβὼν λέγεις'.

p. 993a17 Ἐπεὶ καὶ Ἐμπεδοκλῆς ὀστοῦν τὸν λόγον φησὶν εἶναι.

Ἐντεῦθεν βούλεται δεῖξαι πῶς ἐμνημόνευσαν οἱ πρὸ αὐτοῦ τῶν ἀρχῶν, καί φησιν ὅτι ὁ Ἐμπεδοκλῆς ἐμνημόνευσε τοῦ εἰδικοῦ αἰτίου (ἐπειράθη γὰρ ἀποδοῦναι τὸν λόγον τοῦ ὀστέου πῶς γίνεται, καὶ τὴν οὐσίαν αὐτοῦ ἀποδοῦναι), οὐκέτι δὲ καὶ ἐπὶ πάντων τοῦτο εἶπεν· ἔδει γὰρ αὐτὸν καὶ περὶ σαρκὸς καὶ τῶν ἄλλων ἁπάντων ὁμοίως εἰπεῖν. διὰ τὸν λόγον γάρ ἐστι, τουτέστι τὸ εἶδος, καὶ σὰρξ καὶ ὀστοῦν καὶ τῶν ἄλλων ἕκαστον, καὶ οὐ διὰ τὴν ὕλην μόνην, ἣν ἐκεῖνος λέγει πῦρ καὶ γῆν.

---

5 μὴ om. D 6 πάντων Aristoteles: πάντα libri 14 ἐν τοῖς Φυσικοῖς] Phys. B 3. 7 17 εἰρήκασι scripsi: εἴρηκα D: εἴρηκε A 28 legendum τῷ λόγῳ 30 ὁ om. D 35 γῆν] καὶ ὕδωρ καὶ ἀέρα addendum

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισι
τῶν δύο τῶν ὀκτὼ μερέων λάχε νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λεύκ' ἐγένοντο.

εἰ δὲ τοῖς ὀστέοις κατὰ τὸν λόγον καὶ τὸ τί ἦν εἶναι, τουτέστι τὸ εἶδος καὶ τὴν οὐσίαν, ἐστὶν ἡ ὕπαρξις κατ' αὐτόν, δῆλον ὡς καὶ τῇ σαρκὶ καὶ τῷ νεύρῳ καὶ τῷ ξύλῳ καὶ τῷ λίθῳ καὶ ἑκάστῳ τῶν ὄντων· καὶ γὰρ ἐπὶ πᾶσι τὸ εἶδος καὶ ὁ λόγος αἴτιος τοῦ ἕκαστον εἶναι. διὰ γὰρ τὸν λόγον καὶ τὸ εἶδος ἡ διαφορὰ ἐν τοῖς οὖσι, καὶ ἔστιν αὐτῶν τὸ μέν τι σάρξ, τὸ δὲ ὀστοῦν, τὸ δ' ἄλλο τι, ἐπεὶ ἥ γε ὕλη κατ' αὐτὸν πᾶσι τοῖς οὖσιν ἡ αὐτή, ὡς ἔφαμεν· τὰ γὰρ τέσσαρα στοιχεῖα ἡ ὑλικὴ ἀρχὴ αὐτῷ.

p. 993a22 Ἀλλὰ ταῦτα μὲν ἄλλου λέγοντος.

Φησὶν ὅτι εἰ ἔσχε τινὰ ὁ Ἐμπεδοκλῆς χεῖρα ὀρέγοντα καὶ δεικνύντα ὅτι πάντα κατὰ τὸ εἶδος χαρακτηρίζεται, ἠγάπησεν ἂν τὰ λεγόμενα καὶ ἠκολούθησεν αὐτοῖς (αὐτὸς μὲν γὰρ διαρθρῶσαι οὐκ ἴσχυσεν) ὥσπερ καὶ περὶ Ἀναξαγόρου εἶπε τὴν δόξαν αὐτοῦ ἐπανορθῶν, ὅτι ἄλλῳ μὲν ἂν λέγοντι ταῦτα ἐπηκολούθησεν, οὐ μὴν αὐτὸς διήρθρωσε. περὶ γοῦν τῶν ἀρχῶν τούτων, φησί, καὶ πρότερον εἰρήκαμεν ἐν τοῖς Φυσικοῖς· εἶτα πάλιν ἐπαγγέλλεται λέγειν περὶ αὐτῶν ἐν τῷ ἐλάττονι ἄλφα καὶ ἀπορεῖν περὶ αὐτῶν καὶ ἐπιλύεσθαι τὰς ἀπορίας ἐν τοῖς Περὶ φιλοσοφίας. ἐκ γὰρ τῶν ἀπορίων εὐπορώτεροι γινόμεθα εἰς τὰς λύσεις τῶν ἐν τοῖς ὑστέροις ἀπορουμένων· αἱ γὰρ περὶ τῶν ἀρχῶν ἀπορίαι τε καὶ λύσεις ἀρχαὶ τῆς τῶν μετὰ ταῦτα ἀπορουμένων λύσεως γίνονται. καὶ λέγει περὶ τῶν ἀπορουμένων ἐν τῷ ἐλάττονι ᾱ· διὸ ἐφεξῆς ἀναγινώσκεται. f.75v

Τέλος τῶν εἰς τὸ μεῖζον ἄλφα σχολίων Ἀσκληπιοῦ.

---

1 ἡ δὲ χθὼν κτλ.] Empedocl. fragm. ed. Mullach v. 211 sqq. 4 εἰ δὲ — αὐτῷ (10) pleraque Alexandri sunt 5 ἡ om. D 24 Τέλος — Ἀσκληπιοῦ ab altera manu subscriptum A τῶν om. D

ΣΧΟΛΙΑ ΤΟΥ ΑΥΤΟΥ ΑΣΚΛΗΠΙΟΥ ΑΠΟ ΦΩΝΗΣ ΑΜΜΩΝΙΟΥ f. 76r ΤΟΥ ΕΡΜΕΙΟΥ ΕΙΣ ΤΟ ΕΛΑΤΤΟΝ ΑΛΦΑ.

p. 993 a 30 Ἡ περὶ τῆς ἀληθείας θεωρία τῇ μὲν χαλεπή, τῇ δὲ ῥᾳδία. σημεῖον δὲ τὸ μήτε ἀξίως.

Πληρώσαντες τὸ μεῖζον Α νῦν ἥκομεν ἐπὶ τὸ ἔλαττον Α. γνήσιον δέ ἐστι καὶ αὐτοῦ τοῦ Ἀριστοτέλους τὸ βιβλίον. καὶ τοῦτο δῆλον ἔκ τε τῶν δογμάτων καὶ ἐκ τῆς λέξεως· καὶ τῆς φράσεως γὰρ τὸ ποικίλον πατέρα τὸν Ἀριστοτέλην προσαγορεύει. τινὲς δὲ ὑπέλαβον ἀλλότριον αὐτοῦ εἶναι, ἀποβλέψαντες εἴς τε τὴν ἀρχὴν τοῦ βιβλίου καὶ εἰς τὸ συμπέρασμα αὐτοῦ· ἐν μὲν γὰρ τῇ ἀρχῇ περὶ τῶν αἰτίων τῶν πρώτων διαλέγεται, τουτέστι τῶν πρωτίστων ἀρχῶν, ἐν δὲ τῷ συμπεράσματι περὶ φύσεως, ζητῶν τί ἐστι φύσις· τὸ δὲ τοιοῦτον τοῖς Φυσικοῖς μᾶλλον ἁρμόττει ἤπερ τοῖς Μετὰ τὰ φυσικά. ἄλλως τε δὴ ἐν τῷ τέλει τοῦ μείζονος Α ἔλεγε δεῖν ἀπορῆσαι περὶ τῶν ἀρχῶν· ἐνταῦθα δὲ τοῦτο οὐ πεποίηκεν, ἀλλ' ἐν ἀρχῇ τοῦ Β ἀπορεῖ περὶ τῶν ἀρχῶν· ὥστε μᾶλλον τὸ Β ἐστὶν ἐφεξῆς, τοῦτο δὲ παρεμβέβληται. λέγομεν τοίνυν πρὸς ταῦτα ὅτι ἠβουλήθη πρότερον διαλεχθῆναι περὶ τῶν πρωτίστων ἀρχῶν. αἱ γὰρ πρώτισται ἀρχαὶ κυρίως ὄντα ὑπάρχουσι, τὰ δὲ κυρίως ὄντα ἀληθείας ἐστὶ δηλωτικά, ἡ δὲ κυρίως ἀλήθεια καὶ τοῖς ἄλλοις αἰτία γίνεται ἀληθείας. διὰ τοῦτο τοίνυν ἐνταῦθα πρότερον περὶ τῶν πρωτίστων ἀρχῶν διαλέγεται. ἀμέλει τοι καὶ διὰ τοῦτο εἰρήκασιν ἔλαττον αὐτὸ Α προσαγορεύεσθαι, ὡς ἂν ἀρχῆς οὔσης τοῦ ὄντος πρωτίστου τοῦ βιβλίου, ἐπειδὴ περὶ τῶν πρωτίστων ἀρχῶν διαλέγεται, εἶτα λοιπὸν πρὸς τῷ συμπεράσματι διαλέγεται καὶ περὶ τῶν φυσικῶν ἀρχῶν. ἔδει γὰρ περὶ πασῶν ἁπλῶς τῶν ἀρχῶν διαλεχθῆναι· ἡ γὰρ ἀρχὴ ὁμώ- f. 76v νυμός ἐστι φωνὴ ἢ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἐφεξῆς τοίνυν διαλέγεται ἡμῖν περὶ τῆς θεωρητικῆς φιλοσοφίας καὶ δείκνυσιν ὅτι ἡ θεωρητικὴ φιλοσοφία προτέρα ἐστὶ τῆς πρακτικῆς, καὶ ὅτι οὐχ ὑπάρχουσιν αἱ ἀρχαὶ

---

6 αὐτοῦ scripsi: αὐτὸ libri 21 ὄντον libri 21. 22 τοῦ — βιβλίου] τοῦ ὄντος πρωτίστου μέρους τοῦ βιβλίου Brandis: exspectes τοῦ βιβλίου περὶ τοῦ πρωτίστου ὄντος

ἄπειροι οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω. ὃ δὲ λέγει ἐν προοιμίοις τοιοῦτόν ἐστιν, ὅτι ἡ περὶ τῆς ἀληθείας θεωρία κατὰ τὶ μὲν χαλεπή ἐστιν εἰς τὸ θηραθῆναι, κατὰ τὶ δὲ ῥᾳδία. χαλεπὴ μέν ἐστι διὰ τὴν ἡμετέραν φύσιν μὴ δυναμένων ἐξικνεῖσθαι πρὸς τὸ ὕψος τῆς αὐλοῦ δυνάμεως, ὥσπερ καὶ ἐπὶ τῶν νυκτερίδων ὁρῶμεν γινόμενον ὅτι οὐκ ἀντιλαμβάνονται τοῦ ἡλιακοῦ φωτός, οὐ διὰ τὴν τοῦ ἡλίου οὐσίαν (φύσει γὰρ φανοτάτη ἐστίν), ἀλλὰ διὰ τὴν αὐτῶν ἀσυμμετρίαν τε καὶ ἀνεπιτηδειότητα· οὕτως οὖν καὶ ἐπὶ ἡμῶν χαλεπή ἐστιν ἡ περὶ τῆς ἀληθείας θεωρία διὰ τὴν ἡμῶν ἀσθένειαν, οὐ διὰ τὴν ἐκείνων φύσιν. ῥᾳδία δὲ πάλιν ἐστὶ διὰ τὸ πλάτος καὶ τὸ φανότατον τῶν τῆς ἀληθείας δυνάμεων. φησὶ γὰρ ὅτι ⟨ὡς⟩ οἱ πρὸς θύραν τοξεύοντες διὰ τὸ πλάτος τῆς θύρας οὐκ ἀποτυγχάνουσι τοῦ σκοποῦ, οὕτως οὐδὲ οἱ προσβάλλοντες τοῖς νοητοῖς γνησίως καὶ καθαρῶς ἀποτυγχάνουσι τῆς ἀληθείας· ἀλλ' ἕκαστον αἱρεῖν τι ἐξ αὐτῶν· ὥστε τὸ ἐκ πάντων συναθροιζόμενον μέγα τι εἶναι, ἐπειδὴ ὁ μὲν προσβάλλει τῷδε τῷ μέρει τῆς ἀληθείας, ὁ δὲ τῷδε· καὶ λοιπὸν τὸ ἐκ πάντων συναθροιζόμενον μέγα τι γίνεται. οὐκ ἔστιν οὖν, ὡς εἴρηται, ἀλλότρια τὰ νῦν λεγόμενα τῆς προκειμένης πραγματείας, ἀλλ' ἔστι προγραφόμενα· τελείως γὰρ ἐνταῦθα διαλέγεται περὶ τῆς θεωρητικῆς φιλοσοφίας, καὶ τί διαφέρει ἡ θεωρητικὴ τῆς πρακτικῆς, καὶ ὅτι ἡ τῆς αἰτίας γνῶσίς ἐστι κυρίως ἡ θεωρητικὴ φιλοσοφία, καὶ ὅτι εἰς τὴν εὕρεσιν ταύτης ἡ τῶν ἀρχῶν καὶ αἰτιῶν γνῶσις συντελεῖ. f.77r

p. 993a30 Ἡ περὶ τῆς ἀληθείας θεωρία τῇ μὲν χαλεπή, τῇ δὲ ῥᾳδία. σημεῖον δὲ τὸ μήτε ἀξίως μηδένα δύνασθαι τυχεῖν αὐτῆς.

Βούλεται διὰ τῶν νῦν λεγομένων ὑπ' αὐτοῦ ὁ Ἀριστοτέλης καὶ προτρέψασθαι. διὰ μὲν γὰρ τοῦ εἰπεῖν ὅτι χαλεπή ἐστιν ἡ περὶ τῆς ἀληθείας θεωρία συντονωτέρους ἡμᾶς ποιεῖ πρὸς τὴν ἀντίληψιν αὐτῆς διὰ τὴν δυσχέρειαν· διὰ δὲ πάλιν τοῦ εἰπεῖν τῇ δὲ ῥᾳδία προτρέπει, ὅτι οὐ δεῖ, φησίν, ἀποκνεῖν πρὸς τὰ ῥᾷστα τῶν πραγμάτων. εἶτα λοιπὸν δείκνυσι πῶς χαλεπὴ καὶ πῶς ῥᾳδία, καί φησιν ὅτι τὸ χαλεπὸν διττόν ἐστιν, ἢ διὰ τὴν φύσιν τῶν γινωσκομένων ἢ διὰ τὴν τῶν γινωσκόντων. ἡ περὶ τῆς ἀληθείας οὖν θεωρία, τουτέστιν ἡ περὶ τῶν νοητῶν κατάληψις, χαλεπή ἐστι διὰ τὴν ἡμετέραν ἀσθένειαν, οὐ διὰ τὴν οἰκείαν φύσιν· ὥσπερ γὰρ ὁ ἥλιος φανότατος ὢν τῇ ἑαυτοῦ φύσει ἀσύμμετρός ἐστι ταῖς νυκτερίσι διὰ τὴν αὐτῶν ἀσθένειαν (οὔτε γὰρ δύνανται φέρειν τὸ μεθ' ἡμέραν φῶς), οὕτω δὲ καὶ τὰ νοητὰ φανότατα ὑπάρχοντα παντὸς μᾶλλον κατὰ τὴν αὐτῶν φύσιν ὅμως ἡμῖν δύσβατα ὑπάρχουσιν πρὸς ἀντίληψιν διὰ τὴν ἐν ἡμῖν ἀσθένειαν. καὶ ὥς φησιν ὁ Ἀλέξανδρος, ὅτι διὰ τοῦτο οὐ δυνατὸν ἡμᾶς ἀντιλαβέσθαι τῶν νοητῶν, ἐπειδὴ ὁ ἡμέτερος νοῦς ἀσθενής ἐστι πρὸς τὴν τῶν φύσει σαφῶν γνῶσιν, διότι συμπλέκεται αἰσθήσει καὶ φαντασίᾳ· εἰ δὲ

14 μέγα τι—συναθροιζόμενον (15) om. D 17 ἀλλ' ἔστι προγραφόμενα] ἀλλ' ἔστιν ὥσπερ τινὰ προγραφόμενα καὶ προλεγόμενα κοινῶς πάσης τῆς θεωρητικῆς φιλοσοφίας Alex. 26 τῇ μὲν libri 36 ὁ Ἀλέξανδρος] p. 105, 1 sqq. Bz.

χωρισθείη, φησί, ποτέ, ἀντιλήψεται. ὥστε οἶδε καὶ αὐτὸς ἄκων τε καὶ ἑκὼν ὅτι χωριστή ἐστιν ἡ ἡμετέρα ψυχὴ τοῦ σώματος. πάλιν κατασκευάζει τὸ ῥᾴδιον, ἐπειδὴ πάντες οἱ ἐπιχειρήσαντες γνῶναί τι, καὶ οἱ ἐπιπολαιότεροι, μετρίως κατώρθωσαν· παντάπασι γὰρ οὐδεὶς αὐτῆς ἀπέτυχε, καθάπερ, φησί, παροιμιαζόμενοί φαμεν 'τί τις ἂν θύρας ἁμάρτοι'; διότι ὁ εἰς θύραν τοξεύων οὐχ ἁμαρτάνει διὰ τὸ μέγεθος τῆς θύρας. οὕτως οὖν, φησί, καὶ f.77v ὁ περὶ τῶν νοητῶν διαλεγόμενος οὐχ ἁμαρτάνει παντάπασιν, ἀλλὰ μέρος τι γινώσκει διὰ τὸ ὑπερβάλλον τῆς οὐσίας αὐτῶν φανοτάτης οὔσης· ὥστε τὸ ἐκ πολλῶν συναθροιζόμενον γίνεσθαι ἕν τι μέγεθος. εἶτα λοιπὸν καὶ εὐγνωμόνως φερόμενος ἀποδέχεται τοὺς πρὸ αὐτοῦ καὶ τοὺς ἐπιπολαιοτέρους, ἅτε δὴ ἀρχὴν παρεσχηκότας, καὶ τοὺς ὕστερον ἀκριβώσαντας, καί φησιν οὕτως, ὅτι εἰ μὴ γέγονε Τιμόθεος, οὐκ ἂν εἰδέναι ἐμέλλομεν πολλὴν μελοποιίαν· οὗτος γὰρ ἠκρίβωσε· καὶ πάλιν φησὶν ὅτι εἰ μὴ Φρύνις ἀρχὴν ἡμῖν παραδέδωκεν, οὐκ ἄν ποτε Τιμόθεος γέγονεν. οὕτως οὖν, φησί, δεῖ καὶ ἐπὶ τῆς θεωρητικῆς φιλοσοφίας ἀποδέξασθαι καὶ τοὺς ἀρχὴν εἰρηκότας καὶ τοὺς ἀκριβώσαντας. εἶτα ταῦτα εἰρηκώς φησιν ὅτι διττή ἐστιν ἡ ἀλήθεια, ἡ μὲν ἐν τοῖς πράγμασιν ἡ δὲ ἐν τῇ γνώσει. καὶ κρείττων ἐστὶν ἡ ἀλήθεια ἡ ἐν τοῖς πράγμασι τῆς ἀληθείας τῆς ἐκ τῆς γνώσεως, διότι ἡ ἀλήθεια ἡ ἐν τοῖς πράγμασι τὰ νοητὰ ὑπάρχει, ἀεὶ ἔχοντα ταύτην τὴν ἀλήθειαν καὶ διδόντα ἡμῖν. τὰ δὲ παρέχοντα τῶν λαμβανόντων κρείττονα. ὥσπερ γὰρ τὸ εἶναι ἔχει ὁ γεγραμμένος ἄνθρωπος διὰ τὸν Σωκράτην, εἰ τύχοι, οὕτως ἡ ἡμετέρα γνῶσις τὴν ἀλήθειαν ἔχει ἐκ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας. ὥστε λέγει καὶ αὐτὸς ἰδέας εἶναι, εἴ γε ἡ ἐκεῖθέν φησιν ἐνταῦθα παραγίνεσθαι. ἰστέον δὲ ὅτι οὐ μόνον ἐν τῇ θεωρίᾳ ἐστὶν ἀλήθεια. ἀλλὰ καὶ ἐν τῇ πράξει. πῶς οὖν φησιν ἡ περὶ τῆς ἀληθείας θεωρία; καὶ γὰρ ἡ πρακτική τε καὶ πολιτικὴ φιλοσοφία περὶ τὸ ἐν ἐκείνοις ἐστὶν ἀγαθόν· τέλος γὰρ τῶν πράξεων τὸ ἀγαθόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν τεχνῶν. ἀληθείας γὰρ φροντίζει καὶ ὁ ἰατρὸς φάσκων ὅτι ὑγιανεῖ ὁ κάμνων. εἴ γέ ἐστιν ἡ τέχνη ἕξις μετὰ ἀληθοῦς λόγου ποιητική· τέλος δὲ τὸ ἀγα- f.78r θὸν τίθεται. ἀλλ' ἡ θεωρία τὴν γνῶσιν, περὶ δὲ γνώσεώς ἐστιν ὁ λόγος. ἔπειτα ἡ πρᾶξις μερικῶν τινων ἀντιλαμβάνεται καὶ ποτὲ μὲν ὄντων ποτὲ δὲ μὴ ὄντων, καὶ πρός τι, ὥς φησιν αὐτός· νῦν γάρ φησιν ὅτι ὑγιάζεται ἢ ὅτι οἰκοδομεῖ· ἡ μέντοι γε περὶ τὴν θεωρίαν ἀλήθεια, φησί, ἀΐδιος ὑπάρχει, καὶ οὐ ποτὲ μέν ἐστι, ποτὲ δὲ οὐκ ἔστι. πάλιν δὲ καὶ αὕτη ἡ ἀλήθεια ἡ περὶ τὴν θεωρίαν διαιρεῖται· τὸ μὲν γὰρ αὐτῆς μεθεκτόν ἐστι τὸ δὲ ἀμέθεκτον. ἀμεθέκτως μὲν γὰρ μετέχουσι τῆς ἀληθείας τὰ νοητά, τουτέστι τὸ πρῶτον αἴτιον, εἴ γε πηγή ἐστι τῆς ἀληθείας· τὰ δὲ οὐράνια εἰ καὶ ἀΐδια ὑπάρχουσιν, ἀλλ' οὖν γε κατὰ μέθεξιν τῆς ἀληθείας μετέχουσι. ταῦτα τοίνυν εἰρηκὼς μετέρχεται ἐπὶ τὰς ἀρχὰς καὶ δείκνυσιν ὅτι οὐκ ἄπειροι ὑπάρχουσιν οὔτε κατὰ βάθος οὔτε κατὰ πλάτος, ὥστε εἶναι μὲν

5 τί τις ἂν] sic libri, cf. p. 116,34: τίς ἂν Aristoteles 22 ἐν τοῖς om. D 23. 24 φησιν—παραγίνεσθαι] post φησιν fort. excidit τὴν ἀλήθειαν τοῖς 24 περιγίνεσθαι D 25 πράξει scripsi: γνώσει libri 29 δὲ scripsi: γὰρ libri

αἰτίας τὰς ψυχὰς τῆς κινήσεως, ταύτας δὲ ⟨οὐκ⟩ ἀπείρους ὑπάρχειν. εἶτα λοιπὸν δείκνυσιν ἐπὶ τῶν τεσσάρων αἰτιῶν τοῦτο. φησὶ γὰρ ὅτι οὐκ ἔστιν ἄπειρον τὸ ὑλικὸν αἴτιον· ἔστι γὰρ τὰ στοιχεῖα καὶ μετὰ ταῦτα ἡ ὕλη τὸ ὑποκείμενον· ὥστε οὐκ ἄπειρον. ὁμοίως δὲ καὶ τὸ ποιητικὸν αἴτιον καὶ τὸ τελικὸν καὶ εἰδικόν. καὶ λοιπὸν δείκνυσι τοῦτο χαριέντως. ἐὰν γάρ, φησίν, ὑποθώμεθα ἄπειρα τὰ αἴτια, πᾶσα ἀνάγκη ἀναιρεῖσθαι τὸ αἴτιον. ἔστω γὰρ καθ' ὑπόθεσιν τρία αἴτια τὸ α β γ, καὶ ἔστω τὸ μὲν γ αἰτιατόν, τὸ δὲ β μέσον, τὸ δὲ α πρῶτον· δῆλον οὖν ὅτι ἀδύνατόν ἐστι τὸ γ εἶναι αἴτιον· αἰτιατὸν γὰρ μόνον ἐστίν. ἀλλ' οὐδὲ τὸ μέσον ἐστὶν αἴτιον, φημὶ δὴ τὸ β, διότι καὶ αἰτιατόν ἐστι καὶ ἑνὸς μόνου αἴτιον· ὥστε τὸ α μόνως ἐστὶν αἴτιον. εἰ τοίνυν ὑποθώμεθα ἄπειρα εἶναι τὰ αἴτια, οὐκ ἔσται τῷ f.78ᵛ ὄντι αἴτιον· πᾶν γὰρ τὸ λαμβανόμενον καὶ αἴτιον ἔσται καὶ αἰτιατόν, τὸ δὲ κυρίως αἴτιον οὐκ ἔστιν αἰτιατόν.

p. 993ᵃ30 Ἡ περὶ τῆς ἀληθείας θεωρία τῇ μὲν χαλεπή, τῇ δὲ ῥᾳδία.

Τουτέστιν ἡ περὶ πάσης τῆς θεωρητικῆς φιλοσοφίας θεωρία κατὰ τὶ μὲν χαλεπή ἐστι, κατὰ τὶ δὲ ῥᾳδία· χαλεπὴ μὲν καθ' ὅσον πολλῶν ἐπιχειρησάντων αὐτῇ οὐδεὶς κατ' ἀξίαν τοὺς περὶ αὐτῆς πεποίηται λόγους· τοῦ γὰρ δυσεύρετον καὶ χαλεπὴν εἶναι τὴν περὶ αὐτῆς θεωρίαν σημεῖόν ἐστιν ἱκανὸν τὸ μὴ δύνασθαι τοὺς περὶ αὐτῆς λέγοντας ἀξίως τι εἰπεῖν περὶ αὐτῆς. τοῦ δ' αὖ ῥᾳδίαν πάλιν εἶναι σημεῖον ποιεῖται τὸ μὴ πάντῃ τοὺς περὶ αὐτῆς εἰπόντας ἀποπλανηθῆναι, ἀλλὰ τῶν εἰπόντων ἕκαστον εἰπεῖν ὑγιές τι περὶ αὐτῆς. καθ' ἕκαστον μὲν γὰρ τῶν ταῦτα φιλοσοφησάντων εἰ ἐπισκοποίημεν, ὀλίγα παντελῶς ἕκαστον αὐτῶν ὑγιῶς ἂν εὕροιμεν λέγοντα· εἰ δὲ τὰς ἁπάντων ἀθροίσομεν εἰς ταὐτὸ δόξας, ἀξιόλογος ἤδη καὶ μεγάλη ἡ περὶ αὐτὰ θεωρία φανεῖται, ὥσπερ ἐν τῷ πρὸ τούτου εἶπεν ὅτι ἕκαστος τῶν πρώτων μέρος τι εἶπε περὶ τῶν ἀρχῶν. τὸ δὲ τῆς φύσεως προσκείμενον τὸ πρὸ πάσης τοῦτο τῆς θεωρητικῆς φιλοσοφίας εἶναι τὸ βιβλίον συνίστησι. δῆλον οὖν ὅτι κατὰ φύσιν ἡμῖν ἁρμόττει ἤδε ἡ πραγματεία, διὰ τὸ μηδένα ἀποτυγχάνειν ταύτης ποτέ.

p. 993ᵇ4 Ὥστε εἴπερ ἔοικεν ἔχειν καθάπερ τυγχάνομεν παροιμιαζόμενοι.

Ὅτι ῥᾳδία ἐστὶν ἡ περὶ τῆς ἀληθείας θεωρία, σημεῖον παρέθετο τὴν παροιμίαν προσχρησάμενος αὐτῇ 'τί τις ἂν θύρας ἁμάρτοι', ἥτις λέγεται

1 οὐκ addidi 4 ἄπειρον scripsi: ἄπειρος libri 9 οὐδὲ scripsi: οὔτε libri 17 χαλεπὴ μὲν — φανεῖται (26) Alexandri sunt 20 κατ' ἀξίαν Alex. 22 εἰπόντων Alex.: πάντων libri 24 λέγοντα Alex.: λέγοντας libri 26. 27 ἕκαστος τῶν εἰπόντων Alex. 27 τὸ δὲ — συνίστησι (29) Alexandri sunt 27. 28 προσκείμενον Alex.: προκείμενον libri 33. 34 ἔδειξε τῇ παροιμίᾳ προσχρ. τῇ Alex. 34 ἥτις — τοῦτο (p. 117,5) Alexandri sunt

μὲν περὶ τῶν εὐκόλων καὶ μηδὲν χαλεπὸν καὶ δυσεύρετον ἐχόντων· εἴληπται δὲ ἀπὸ τῶν τοξοτῶν τῶν ἐπὶ σκοπὸν τοξευόντων· οὗτοι γάρ, ἂν μὲν στενὸς ἦ ὁ προκείμενος σκοπός, οὐ ῥᾳδίως αὐτοῦ τυγχάνουσιν, ἐὰν δὲ πλατὺς f.79r ὥσπερ θύρα, ῥᾴδιον αὐτοῖς τὸ τούτου τυχεῖν. εἰ οὖν τοῦ ῥᾳδίου πάντες ἐπιτυγχάνουσι, ῥᾴδιόν ἐστι τοῦτο.

p. 993ᵇ6 Τὸ δ' ὅλον τ' ἔχειν καὶ μέρος μὴ δύνασθαι δηλοῖ τὸ χαλεπὸν αὐτῆς.

Ἐντεῦθέν φησιν ὡς ἔστι δυσχερὲς ἡ κατάληψις αὐτῆς. διότι, φησίν, ἀδύνατόν ἐστι τελείως αὐτὴν γνῶναι· μέρος γὰρ αὐτῆς οὐδεὶς δύναται γνῶναι, εἴ γε καὶ ἀμερής ἐστι, τὸ δὲ ὅλον πολύ ἐστι γνῶναι· χαλεπή ἐστιν ἄρα ἡ περὶ αὐτῆς θεωρία. ἀλλ' εἴποι ἄν τις ὅτι 'πῶς φησιν ἐνταῦθα ὅτι τὸ μέρος οὐ δυνατόν ἐστι γνῶναι, ἀνωτέρω δὲ ἔλεγεν ὅτι μέρη νοοῦσι διάφορα, καὶ τὸ ἐκ πάντων συναθροιζόμενον ἕν τι γίνεται'; πρὸς ὃ ἐροῦμεν ὅτι ἀνωτέρω μέρος ἔλεγε τὸ ὅλως ἐλθεῖν εἰς ἔννοιαν καὶ ἐφάψασθαι αὐτῆς, οὐ τῆς οὐσίας αὐτῆς, ἀλλ' ἐννοῆσαι περὶ αὐτῆς ὅτι ἀσώματός ἐστιν, εἰ τύχοι· ἐνταῦθα δέ φησι περὶ τῆς οὐσίας· ἡ γὰρ ὕπαρξις αὐτῆς ἢ ὅλη διαγινώσκεται ἢ οὐ γινώσκεται. δοκεῖ οὖν ὁ φιλόσοφος, ὡς εἴρηται, τὰ ἀντικείμενα λέγειν. προείρηκε μὲν γὰρ ὅτι κατὰ μέρος ἕκαστος ἐπιβάλλει τῇ τῶν ὄντων ἀληθείᾳ, ὅλου δὲ ἀποτυγχάνει· νῦν δὲ δοκεῖ λέγειν τὸ μὲν ὅλον ἔχειν τοὺς ἐπιβάλλοντας αὐτῇ, τὸ δὲ μέρος μὴ δύνασθαι. μήποτε δὲ οὕτως ἀκούειν ἄμεινον τῆς λέξεως, τὸ δείκνυσθαι τὸ χαλεπὸν τῆς πραγματείας διὰ τοῦ † πρὸς τὸ ὅλον ἔχειν μηδὲ μέρος ὁλοκλήρως ἔχειν δύνασθαι. φησὶν οὖν ὅτι ἡ χαλεπότης κατὰ δύο τρόπους χαρακτηρίζεται. ἢ διὰ τὰ γινωσκόμενα ἢ διὰ τὰ γινώσκοντα. ἡ οὖν χαλεπότης οὐκ ἔστιν ἐν τοῖς πράγμασι, τουτέστιν οὐ διὰ τὰ γινωσκόμενα, ἀλλ' ἐν ἡμῖν, τουτέστι διὰ τὴν ἡμετέραν ἀσθένειαν. ὥσπερ γὰρ αἱ νυκτερίδες ἔχουσι πρὸς τὸ μεθ' ἡμέραν φῶς (οὐ γὰρ διὰ τὸν ἥλιον οὐκ ἀντιλαμβάνονται, εἴ γε φανότατός ἐστιν ὁ ἥλιος, ἀλλὰ διὰ τὴν τῶν ὀμμάτων ἀσθένειαν), οὕτω καὶ τῆς ἡμε- f.79v τέρας ψυχῆς ὁ νοῦς πρὸς τὰ τῇ φύσει φανερώτατα πάντων ὀκλάζει, οὐ διὰ τὴν ἐκείνων κρύψιν, εἴ γε φανότατα ὑπάρχουσιν, ἀλλὰ διὰ τὴν ἡμετέραν ἀσθένειαν· ἡ γὰρ παρὰ τὰ αἰσθητὰ ἡμῶν συνεχὴς γινομένη ἐνέργεια ταῖς κεχωρισμέναις τῆς αἰσθήσεως ἐνεργείαις ἐμποδὼν γίνεται.

p. 993ᵇ11 Οὐ μόνον δὲ χάριν ἔχειν δίκαιον.

Ἐντεῦθεν εὐγνωμόνως ἀποδέχεται καὶ τοὺς πρὸ αὐτοῦ εἰρηκότας περὶ

---

1 ἐχόντων om. D 4 ὥσπερ scripsi: ὡς εἶναι libri: καθάπερ θύρα Alex. cod. L, om. Alex. vulg. οὐ χαλεπὸν τὸ τούτου τυγχάνειν Alex. 5 ἐπιτυγχάνουσι, καὶ οὐ πάντες ἐπιτυγχάνουσι ῥᾴδιον Alex. 13 διάφορα scripsi: διάφοροι libri 17 δοκεῖ οὖν—δύνασθαι (20) excerpta ex Alexandro δοκεῖ γὰρ δι' αὐτῆς τὸ ἀντικείμενον λέγειν οὗ προείρηκε Alex. 20 μὴ δύνασθαι] sequitur apud Alexandrum altera interpretatio, cui subiecta sunt vv. μήποτε δὲ κτλ. 22 διὰ τοῦ μήτε τὸ ὅλον ἔχειν μήτε Alex.: fort. πρὸς τῷ τὸ ὅλον μὴ ἔχειν 31 ἡ γὰρ — γίνεται (32) Alexandri sunt 34 ἀγνωμόνως D

τῶν ἀρχῶν, φάσκων οὕτως, ὅτι οὐ μόνον δεῖ ἔχειν χάριν τοῖς ἀκριβές τι εἰποῦσι καὶ ὧν ἂν ταῖς δόξαις ἀνὴρ φιλόσοφος συγκαταθῆται, ἀλλὰ καὶ τοῖς ἐπιπολαιοτέρως ἀποφηναμένοις· καὶ γὰρ οὗτοι πάνυ συνεβάλοντο, καθὸ εὑρεταὶ γεγόνασι τῆς ἀρχῆς. τὴν γὰρ ἕξιν, ὥς φησιν αὐτός, προήσκησαν ἡμῶν. τὴν γὰρ ἕξιν, τουτέστι τὴν δύναμιν ἡμῶν, ἥτινι δυνάμει τῆς ψυχῆς τὰ τοιαῦτα ζητεῖν δυνάμεθα (αὕτη δέ ἐστιν ἡ κατὰ τὸν νοῦν), ταύτην προήσκησαν θήξαντές πως καὶ κινήσαντες ταῖς ζητήσεσιν ἃς ἐποιήσαντο, καὶ ἐπιστήσαντες εἰς τὸ καὶ αὐτοὺς ζητεῖν περὶ τούτων καὶ εἰς ἔννοιαν ἀγαγόντες ὡς ἔστιν οἰκεία ἡμῖν ἡ περὶ ὧν ἐπραγματεύσαντο θεωρία. εἰ μὴ γάρ, φησί, Τιμόθεος ἐγένετο, οὐκ ἐμέλλομεν ἔχειν πολλὴν μελοποιίαν· αὐτὸς γὰρ ἠκρίβωσεν· εἰ δὲ μὴ Φρῦνις, Τιμόθεος οὐκ ἐγένετο. ἀρχαιότερος γὰρ Φρῦνις Τιμοθέου, ὃς καὶ τὴν ἀρχὴν εὗρε τῆς μελοποιίας, οὕτως οὖν δεῖ ἔχειν καὶ περὶ τῶν ἀποφηναμένων περὶ τῆς ἀληθείας· παρὰ μὲν γάρ τινων παρειλήφαμέν τινας δόξας ἀκριβεῖς, αἷς ἄξιον χρῆσθαι ὡς ἐχούσαις περιττόν τι, ἄλλοι δὲ τοῦ γενέσθαι τούτοις αἴτιοι γεγόνασι τὰς ἀρχὰς εὑρίσκοντες.

p. 993b19 Ὀρθῶς δὲ ἔχει καὶ τὸ καλέσαι τὴν φιλοσοφίαν ἐπιστήμην τῆς ἀληθείας.

Χρησάμενος τῷ τῆς ἀληθείας ὀνόματι ἐπὶ τῆς θεωρητικῆς φιλοσοφίας. νῦν ὅτι εὐλόγως οὕτως καλεῖται συνίστησι φάσκων ὅτι ὀρθῶς ἔχει τὸ καλέσαι τὴν φιλοσοφίαν ἐπιστήμην τῆς ἀληθείας. φιλοσοφίαν γὰρ ἰδίως 1.86r τὴν θεωρητικὴν λέγει, ὡς δι' ὧν ἐπιφέρει δηλοῖ, λέγων θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια· καὶ ταύτης ἔτι μᾶλλον τὴν περὶ τῶν πρώτων ἀρχῶν τε καὶ αἰτιῶν τῶν παντάπασιν αἰσθήσεως κεχωρισμένων καὶ τῇ αὐτῶν φύσει ὄντων, ἣν καὶ σοφίαν καλεῖ. συνίστησι δὲ τὸ προειρημένον οὕτως. ἐπεὶ τέλος τῆς θεωρητικῆς φιλοσοφίας ἀλήθεια, ἀπὸ δὲ τοῦ τέλους καὶ τοῦ σκοποῦ ἑκάστη μέθοδος χαρακτηρίζεταί τε καὶ τὸ εἶναι ἔχει, εἰκότως αὕτη παρὰ τῆς ἀληθείας καλεῖται· τοῦτο γὰρ αὐτῇ τέλος. καὶ ἐκ τῆς παραθέσεως δὲ τῆς πράξεως τοῦτο ἔδειξεν ὅτι μᾶλλον ἀλήθεια θεωρεῖται ἐν τῇ θεωρίᾳ (ἐπεὶ καὶ ἀίδιος) ἤπερ ἐν τῇ πράξει. διό φησι θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια καὶ γνῶσις, πρακτικῆς δὲ ἔργον· ἐὰν γὰρ τὸ πῶς ἔχει σκοπῶμεν, ἡ πρᾶξις οὐ τὸ ἀίδιον καθ' αὑτὸ ἔχει, ἀλλὰ πρός τι. ἡ γὰρ πρᾶξις πρός τινα καιρὸν συμβάλλεται, καὶ ἔστιν ἀληθὲς τὸ μερικῶν πραγμάτων τὰς πράξεις ὑπάρχειν. τὰ γὰρ πρακτὰ οὐ καθόλου, ἀλλὰ μεταπίπτουσι κατὰ τὰς ἡλικίας τῶν πραττόντων καὶ τὰς

4 ἕξις libri 5 τὴν γὰρ—θεωρία (9) Alexandri sunt 7. 8 ἃς ἐποίησαντο] ἅτε ὁδοποιήσαντες Alex. 19 χρησάμενος—τέλος (28) pleraque Alexandri sunt 20. 21 φάσκων—ἀληθείας desunt Alexandro 22. 23 θεωρητικὴν μὲν et ἀληθείας libri 24 αὐτῶν Alex.: αὐτῇ libri 28 παρὰ Alex.: περὶ libri 29 παραθέσεως scripsi (τῇ τῶν πρακτικῶν ἐπιστημῶν παραθέσει Alex.): παραδόσεως libri 30 ἤπερ scripsi: εἴπερ libri 34 πρακτὰ scripsi: πρακτικὰ libri 35 ἀλλὰ—ἀναφορά (p. 119,4) Alexandri sunt μεταπίπτοντα Alex.

τύχας καὶ κατὰ τὰς πρὸς οὓς πράττεται σχέσεις. καὶ γὰρ ⟨αἱ⟩ ἐπὶ τῶν ἀρετῶν καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν ζητήσεις εἰ μὴ θεωρίας χάριν γίνοιντο μόνης. ἐν τοῖς πρακτοῖς εἰσι καὶ περὶ τὰ καθ' ἕκαστα· ἐπὶ γὰρ ταῦτα αὐτῶν ἡ ἀναφορά. ἄλλως τε ἐκ τῆς θεωρίας ἔχει ἡ πρᾶξις τὴν
5 ἀλήθειαν. πρὸς τούτοις δὲ οὐ δυνατόν ἐστι γνῶναι τὸ ἀληθὲς ἄνευ τῆς αἰτίας.

p. 993ᵇ24 Ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων.

Φησὶν ὅτι τὸ αὐτὸ αἴτιόν ἐστι τῶν ἄλλων· καὶ ἐχρήσατο Πλατωνικῇ λέξει τῇ αὐτὸ ἐνδεικνύμενος τὰς ἰδέας· τὸ γὰρ αὐτὸ αἴτιον τοῖς ἄλλοις τοῦ
10 εἶναι, τουτέστι τὸ νοητόν, φημὶ δὴ τὴν ὕπαρξιν τοῦ νοητοῦ, καθ' ὃ τοῖς ἄλλοις ὑπάρχει συνωνύμως, τουτέστιν ὁμωνύμως ἢ ὡς ἀφ' ἑνὸς καὶ πρὸς 180v
ἕν. οἷον τὸ πῦρ φαμεν εἶναι θερμότατον, ἐπειδὴ καὶ τοῖς ἄλλοις αἴτιόν ἐστι θερμότητος. ὥστε καὶ ἀληθέστατον τὸ αἴτιον τοῖς ὑστέροις τῆς ἀληθείας. εἰ τοίνυν τὴν ἀλήθειαν ἔχομεν ἐκ τῶν νοητῶν, δῆλον ὅτι κυρίως
15 ἀληθινὰ ἐκεῖνα ὑπάρχουσιν. οὐ γὰρ ποτὲ ἀληθῆ ὑπάρχουσιν, οὐδὲ ἐκείνοις ἄλλα αἴτια τοῦ εἶναι, ἀλλ' ἐκεῖνα τοῖς ἄλλοις· οἴκοθεν γὰρ ἔχουσι τὴν ἀλήθειαν συνουσιωμένην. οὔτε γάρ φαμεν ὅτι πᾶν ἀληθὲς δεῖ ἐξ αἰτίας γνωρίζειν· οὕτως γὰρ ἐπ' ἄπειρόν τε ἂν εἴη τὰ αἴτια καὶ οὐδὲν γνωστὸν ἂν εἴη, ὡς μετ' ὀλίγον δείξει· ἀλλὰ δῆλον ὅτι τούτων τῶν πρακτῶν τὸ
20 ἀληθὲς οὐχ οἷόν τε γνῶναι χωρὶς αἰτίας τῶν ἐχόντων αἰτίας. ἔστι γάρ τινα γνωστὰ χωρὶς αἰτίας· τοιαῦτα γὰρ τὰ πρῶτα καὶ αἱ ἀρχαί, τουτέστι τὰ νοητὰ πάντα. διό φησι καὶ ἐν τῇ Ἀποδεικτικῇ ὅτι οὐκ ἐπ' ἄπειρον αἱ ἀρχαί, καὶ ἐν τῇ Φυσικῇ ὅτι ἀναγκαία ἐστὶν ἡ περὶ τῶν ἀρχῶν θεωρία· οὐ μέντοι γε αἱ πρώτισται ἀρχαὶ ἀρχὰς ἔχουσιν, ἀλλὰ ὑπάρχουσι κοιναὶ
25 ἔννοιαι. διὸ τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας.

p. 993ᵇ29 Οὐ γὰρ ποτὲ ἀληθεῖς, οὐδ' ἐκείναις αἴτιόν τί ἐστι τοῦ εἶναι, ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις. ὡς δὲ ἕκαστον ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας.

30 Ἐντεῦθεν δείκνυσιν ὅτι σύνδρομοι ὑπάρχουσιν αἱ ἐνέργειαι ταῖς οὐσίαις. διό φησι τέσσαρας εἶναι ἐνεργείας, ἐπειδὴ καὶ τέσσαρες οὐσίαι, νοηταί, διανοηταί, δοξασταί, αἰσθηταί. φησὶν οὖν, ὡς ἕκαστον ἔχει οὐσίας, οὕτω καὶ ἀληθείας. σύνδρομοι γὰρ αἱ ἐνέργειαι ταῖς οὐσίαις· εἰ τοίνυν αἱ νοεραὶ οὐσίαι θεῖαι ὑπάρχουσι καὶ ἀληθεῖς καὶ ἀεὶ ὡσαύτως ἔχουσαι καὶ ἀναίτιοι,

1 αἱ Alex.: om. libri 2. 3 αἱ μὴ θεωρίας χάριν ἐγίνοντο Alex. 3 μόνης Alex.: μόνοι libri πρακτοῖς Alex.: πρακτικοῖς libri περὶ γὰρ Alex. 7 lemma in libris non significatur 11 ἢ om. A 18 οὕτως γὰρ — αἰτίας (21) Alexandri sunt οὐδὲν Alex.: οὐδὲ libri 19 τῶν πρακτῶν desunt Alexandro 22 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 3 23 ἐν τῇ Φυσικῇ] Phys. A 1 p. 184ᵃ14 sqq.

φανερὸν ὅτι καὶ αἱ ἐνέργειαι αὐτῶν τοιαῦται. ἐπὶ μέντοι γε ἡμῶν ἡ οὐσία οὐ τοιαύτη· οὐκοῦν οὐδὲ αἱ ἐνέργειαι· ἐκεῖθεν γὰρ ἐπινάονται.

p. 994a1 Ἀλλὰ μὴν ὅτι γε ἔστιν ἀρχή τις καὶ οὐκ ἄπειρα τὰ αἴτια τῶν ὄντων.

Εἰπὼν τὴν θεωρητικὴν φιλοσοφίαν περὶ ἀληθείας ἐπιστήμην εἶναι, f. 81r ἥτις διὰ τὴν τῶν αἰτίων γνῶσιν γίνεται, εἰπὼν δὲ καὶ μάλιστα ἀληθῆ τὰ αἴτια εἶναι, καὶ διὰ τούτων συστησάμενος ἀναγκαίαν οὖσαν τῇ θεωρητικῇ φιλοσοφίᾳ τὴν τῶν αἰτίων γνῶσιν, ἐπεὶ τὰ αἴτια τοῦ εἶναι τοῖς ἀιδίοις τῶν ὄντων μάλιστά ἐστιν ἀληθῆ, ἀναγκαίως καὶ ἀκολούθως τοῖς προειρημένοις δείκνυσιν ὅτι ἔστι τινὰ αἴτια καὶ ἔστι τις ἀρχὴ ἐν αὐτοῖς, τουτέστι πρῶτον αἴτιον, καὶ οὐκ ἐπ' ἄπειρον ἡ πρόοδος. ἐντεῦθεν βούλεται δεῖξαι ὅτι οὐκ ἄπειροι ὑπάρχουσιν αἱ ἀρχαὶ οὔτε εἰς εὐθυωρίαν, τουτέστι κατὰ βάθος, ὥστε εἶναι μὲν τόδε τοῦδε αἴτιον, ἄλλου δὲ ἄλλο καὶ τοῦτο ἐπ' ἄπειρον, οὔτε κατ' εἶδος, τουτέστι κατὰ πλάτος, ὥστε εἶναι μὲν τὰς ψυχὰς αἰτίας, ταύτας δὲ ἀπείρους ὑπάρχειν. οὔτε γάρ, φησίν, ὡς ἐξ ὕλης τόδε ἐκ τοῦδε δυνατὸν εἶναι ἐπ' ἄπειρον, οἷον, ὥς φησιν αὐτός, σάρκα μὲν ἐκ γῆς, γῆν δὲ ἐξ ἀέρος, ἀέρα δὲ ἐκ πυρός, καὶ τοῦτο μηδέποτε, φησίν, ἵστασθαι, ἀλλὰ ἄλλην ἄλλης ὕλην γίνεσθαι· πάλιν δὲ καὶ ἐπὶ τοῦ ποιητικοῦ αἰτίου, οἷον τὸν μὲν ἄνθρωπον ὑπὸ τοῦ ἀέρος κινηθῆναι, τοῦτον δὲ ὑπὸ τοῦ ἡλίου, τὸν δὲ ἥλιον ὑπὸ τοῦ νείκους, καὶ τούτου μηδὲν εἶναι πέρας. ὁμοίως δὲ, φησί, καὶ ἐπὶ τοῦ τελικοῦ αἰτίου οὐ δυνατόν ἐστιν ἀπειρίαν εἶναι, βάδισιν μὲν ὑγείας ἕνεκα, ταύτην δὲ εὐδαιμονίας, τὴν δὲ εὐδαιμονίαν ἄλλου, καὶ τοῦτο ἐπ' ἄπειρον· ὁμοίως καὶ ἐπὶ τοῦ εἰδικοῦ αἰτίου.

p. 994a11 Τῶν γὰρ μέσων ὧν ἐστιν ἔξω τι ἔσχατον καὶ πρότερον.

Ἐντεῦθεν δείκνυσιν ὅτι οὐ δυνατόν ἐστιν ἐπ' ἄπειρον γίνεσθαι τὴν πρόοδον τῶν αἰτίων, ἐπεὶ οὕτως οὐκ ἔσται αἴτιον. τῶν γὰρ μέσων, φησίν, αἰτίων, ὧν ἐστιν ἔξω ἔσχατον καὶ πρότερον. εἰ γὰρ λάβωμεν τρία αἴτια, πρῶτον, μέσον, ἔσχατον, ἐρωτηθῶμεν δὲ ποῖον ἐξ αὐτῶν ἐστιν αἴτιον, f. 81v φανερὸν ὅτι τὸ πρῶτον ἐροῦμεν· οὔτε γὰρ τὸ ἔσχατον αἴτιόν ἐστιν, εἴ γε πάντων ἐστὶ τελευταῖον καὶ αἰτιατὸν ἀλλ' οὐκ αἴτιον, οὔτε δὲ τὸ μέσον δυνατόν ἐστιν εἰπεῖν αἴτιον· ἑνὸς γὰρ μόνου αἴτιόν ἐστι τοῦ ἐσχάτου, ἄλλως τε καὶ αἰτιατόν ἐστι τοῦ πρώτου. εἰ οὖν ἄπειρα τὰ αἴτια, πάντα μέσα, καὶ οὕτως οὐδὲν ἔσται πρῶτον. ταὐτὸ οὖν ἐστι πρὸς τὸ παράδειγμα καὶ ὀλίγα λαβεῖν καὶ πλείονα· εἰ γὰρ ἐν πᾶσιν αἴτιον τὸ πρῶτον ἀλλὰ μὴ τῶν μέσων τι, ἐφ' ὧν ἡ τοιάδε τάξις, ἐν οἷς μηδέν ἐστι πρῶτον ἀλλὰ μέσα πάντα, ἐν τούτοις δὲ αἴτιον οὐκ ἔστιν οὐ μόνον πρῶτον ἀλλ' οὐδὲ

5 Εἰπὼν—πρόοδος (11) Alexandri sunt 6 τῆς τ. αἰτ. γνώσεως Alex. 7 συστήσας Alex. 8 γνῶσιν] οὖσῃ τἀληθοῦς θεωρητικῇ add. Alex. 16 δυνατὸν scripsi: δύναται libri 17 γῆν] τὴν D 17 ἀέρα] ἄστρα D 25 post μέσων add. φησὶν αἰτίων D

τῶν μεταξύ τι. δηλωτικὸν δ' ἂν εἴη τὸ τοῦτον τὸν τρόπον προσκείμενον [ἐν] τοῖς αἰτίοις τοῦ κατ' ἐνέργειαν ἀπείρου· ἐν γὰρ τοῖς οὕτως ἀπείροις οὐδέν ἐστι πρῶτον, καὶ ἐπὶ τοῦ ἀνομοειδοῦς· τῶν γὰρ ἀπείρων μὲν ὁμοειδῶν δὲ πᾶν τὸ ληφθὲν ὁμοίως αἴτιον. ἓν δέ. καὶ ταῦτα μὲν ὁ Ἀλέξανδρος· ὁ δὲ ἡμέτερος φιλόσοφος Ἀμμώνιός φησιν ὅτι τὸ τοῦτον τὸν τρόπον δηλωτικόν ἐστι καὶ ἀντιδιαστολτικὸν τῆς δυνάμεως, ὅτι δυνατόν ἐστιν ἀπείρου δυνάμεως οὔσης εἶναί τι πρῶτον αἴτιον· τὸ γὰρ πρῶτον αἴτιον ἀπειροδύναμόν ἐστι καὶ ὁμοίως αἴτιον πάντων. τὸ γοῦν κατὰ δύναμιν ἄπειρον ἐνδέχεται, τὸ δὲ κατ' ἀριθμὸν οὐκ ἐνδέχεται. ἄλλως τε δὲ τοῦ ἀπείρου πάντα τὰ μόρια μέσα μέχρι τοῦ νῦν, τουτέστι μέχρι τοῦ πέρατος. εἰ δὲ τὸ μέσον ἐδείχθη μὴ ὂν αἴτιον, φανερὸν ὅτι οὐκ ἔστιν αἴτιον, εἴπερ ἄπειρα τὰ αἴτια. εἰ οὖν ἔστιν ἄπειρα, οὐδὲν ἐστι πρῶτον· εἰ δὲ οὐκ ἔστι πρῶτον, αἴτιον ⟨οὐδέν ἐστιν⟩. ἀλλὰ μὴν τοῦτο ἀδύνατον· ἔστιν ἄρα πρῶτον.

p. 994a19 Ἀλλὰ μὴν οὐδ' ἐπὶ τὸ κάτω οἷόν τέ ἐστιν ἐπ' ἄπειρον ἰέναι τοῦ ἄνω ἔχοντος ἀρχήν.

Δείξας διὰ τῶν προλαβόντων ὅτι οὐ δυνατὸν εἶναι ἐπὶ τὸ ἄνω ἄπειρον τὴν ἀρχὴν τοῦ κάτω ὡρισμένου ὑπάρχοντος, ἐπεὶ οὕτω συμβήσεται ἀναρεῖσθαι τὸ κυρίως αἴτιον (τὸ γὰρ κυρίως ἐστὶν αἴτιον τὸ μόνως ὑπάρχον αἴτιον· εἰ δὲ ὑποθώμεθα ἀπείρους τὰς ἀρχάς, ἔσται τὸ αὐτὸ καὶ αἴτιον καὶ αἰτιατόν· τὸ δὲ τοιοῦτον, ὡς εἴρηται, οὐκ ἔστι κυρίως αἴτιον), ταῦτα τοίνυν δείξας διὰ τῶν προλαβόντων, ἐντεῦθεν δείκνυσιν ὅτι πάλιν τῆς ἀρχῆς ὡρισμένης ὑπαρχούσης, ἀδύνατόν ἐστι τὰ ἐξ αὐτῆς προερχόμενα ἄπειρα εἶναι. καὶ μή τις οἰηθείη ὅτι τὰ ἐνταῦθα λεγόμενα ὅμοιά ἐστι τοῖς ἐν τῇ Ἀποδεικτικῇ εἰρημένοις· ἐκεῖσε γὰρ περὶ τῶν κατηγοριῶν τὸν λόγον ἐποιεῖτο δεικνὺς ὅτι οὐχ ὑπάρχουσιν ἄπειροι αἱ κατηγορίαι οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω, ἐνταῦθα μέντοι γε περὶ τῶν πραγμάτων αὐτῶν ἀποδείκνυσιν ὅτι οὐχ ὑπάρχουσι τὰ πράγματα ἄπειρα οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω. ὡς οὖν εἴρηται, ταῦτα δείξας ὅτι οὐχ ὑπάρχουσιν ἄπειρα ἐπὶ τὸ ἄνω, νῦν δείκνυσιν ὅτι οὐδὲ τῆς ἀρχῆς ὡρισμένης ὑπαρχούσης τὰ ἐξ αὐτῆς προερχόμενα ἄπειρα ὑπάρχουσι. πρὸς δὲ τὴν δεῖξιν ταύτην λαμβάνει ὅτι τὰ ἔκ τινος γινόμενα τριχῶς λέγονται· λέγεται γὰρ τὸ ἐκ τοῦδε γίνεσθαι ἢ κατὰ χρόνον ἢ κατὰ ὕλην ἢ κατὰ τὸ ἀτελὲς καὶ τὸ τέλειον. κατὰ χρόνον μὲν ὡς ἐὰν εἴπω ὅτι μετὰ τὰ Ὀλύμπια γέγονε τὰ Ἴσθμια, καὶ πάλιν ἐκ τῶν Ἰσθμίων τὰ Νέμεα. ἐξ ὕλης δὲ ὡς ἐὰν ὑποθώμεθα ἐξ ἀέρος γίνεσθαι ὕδωρ καὶ ἐξ ὕδατος γῆν, εἰ τύχοι, καὶ ἐκ γῆς πῦρ. καὶ πάλιν ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον, ὥσπερ φαμὲν ἐξ ἐμβρύου

f. 82r

---

1 δηλωτικὸν δ' ἂν εἴη — αἴτιον (4) Alexandri sunt 2 ἐν delevi Alexandrum secutus 3 ἐπὶ Alex.: ἔτι libri 4 ἓν δέ deest Alexandro 13 οὐδέν ἐστιν ex Alexandro addidi 24. 25 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 19. 20 30 οὔτε libri

γίνεσθαι βρέφος καὶ μειράκιον καὶ ἐκ μειρακίου ἄνδρα, καὶ πάλιν ἐξ ἀμαθοῦς ἐπιστήμονα. ἰστέον οὖν ὅτι τῷ πρώτῳ σημαινομένῳ οὐ κέχρηται τῷ κατὰ τὸν χρόνον. διότι οὐ κυρίως φαμὲν ἐπὶ τοῦ χρόνου τόδε ἐκ τοῦδε f.82v γίνεσθαι ἀλλὰ τόδε μετὰ τόδε, οἷον Ὀλύμπια, ἔπειτα Ἴσθμια· ταῦτα γὰρ πάντα ὑπάρχουσι. δυνατὸν γὰρ καὶ ἐξ Ἰσθμίων Ὀλύμπια γενέσθαι καὶ πάλιν ἐξ Ὀλυμπίων Ἴσθμια· ὡς γὰρ εἴρηται, οὐκ ἔστι τοῦτο πραγματειῶδες ἀλλὰ θέσει. ἐπὶ τῆς ὕλης δέ φαμεν τόδε ἐκ τοῦδε γίνεσθαι, οἷον ἐκ πυρὸς ἀέρα καὶ ἐξ ἀέρος ὕδωρ καὶ ἐξ ὕδατος γῆν. ἡ τοίνυν τοιαύτη πρόοδος οὐκ ἔστιν ἄπειρος ἀλλ' ἀνακάμπτει· πάλιν γὰρ καὶ ἐκ γῆς γίνεται πῦρ. ὅτι γὰρ ἀνάγκη πᾶσά ἐστιν ἀνακάμπτειν, φανερὸν ἐντεῦθεν. ἡ γὰρ ὕλη ἄφθαρτός ἐστιν· εἰ γὰρ ὑποθώμεθα αὐτὴν φθαρτὴν εἶναι, ἐπειδὴ πᾶν τὸ φθειρόμενον εἰς ὕλην φθείρεται, ἔσται ἐφθαρμένη ἡ ὕλη πρὸς τῆς γενέσεως αὐτῆς, καὶ ἐφθαρμένη ἅμα καὶ σωζομένη, ὅπερ ἐστὶν ἀδύνατον, διότι εἰς ὕλην πάλιν φθείρεται. ὥστε ἄφθαρτος, φησίν, ἔστιν ἡ ὕλη. εἰ δὲ ἄφθαρτος, δῆλον ὅτι καὶ δύναμιν ἔχει καὶ ἐπιτηδειότητα τοῦ γενέσθαι πάλιν πῦρ. εἰ τοίνυν μὴ μάτην ἔχει τὴν δύναμιν ταύτην, φανερὸν ὅτι πάλιν ἀνακάμπτει καὶ γίνεται πῦρ ἐκ γῆς καὶ τὸ ἐναντίον. εἰ δὲ ἀνακάμπτει, οὐκ ἐπ' ἄπειρον ἡ πρόοδος ὑπάρχει κατὰ τὸ σημαινόμενον τὸ ἐκ τῆς ὕλης γινόμενον τόδε ἐκ τοῦδε. ἀλλ' οὐδὲ πάλιν κατὰ τὸ σημαινόμενον, καθ' ὃ γίνεται τόδε ἐκ τοῦδε κατὰ τὸ ἀτελὲς καὶ τὸ τέλειον, ἐπ' ἄπειρόν ἐστι πρόοδος, καθώς φαμεν ἐκ μὲν ἐμβρύου μειράκιον, ἐκ μειρακίου δὲ ἄνδρα ἢ ἐξ ἀμαθοῦς ἐπιστήμονα. δῆλον δὲ ὅτι ταῦτα πάντα σκοπὸν ἔχουσι καὶ πρὸς τέλος ἐπείγονται· εἰ δὲ ἄπειρον ὑποθώμεθα τὴν πρόοδον, φανερὸν ὅτι οὐδέποτε τεύξεται τοῦ σκοποῦ καὶ μάτην προελεύσεται. πρὸς τούτοις δὲ καὶ μάτην ἕξει τὸν σκοπόν, ὅπερ οὐ θέμις· οὐδὲν γὰρ μάτην οὔτε ὁ θεὸς οὔτε ἡ φύσις ποιεῖ. ὥστε οὐδ' ἐπὶ τὸ κάτω ἄπειρός ἐστιν f.83r ἡ πρόοδος τῶν πραγμάτων. ἀλλ' εἴποι ἄν τις ὅτι δι' ἣν αἰτίαν μὴ καὶ ταῦτα ἀνακάμπτουσιν, ὥσπερ τὸ πῦρ καὶ ὁ ἀὴρ γίνονται ἐξ ἀλλήλων καὶ ἀνακάμπτουσι, μὴ καὶ ἐπὶ τῶν ἀτελῶν ⟨καὶ τελείων⟩ γίνεται ἀνάκαμψις, καὶ γίνεται ἔμβρυον ἐκ μειρακίου καὶ ἐξ ἀνδρὸς μειράκιον καὶ ἐξ ἐπιστήμονος ἀμαθής; λέγομεν οὖν πρὸς τὴν τοιαύτην ἀπορίαν ὅτι ἐπὶ μὲν τῆς ὕλης ἐναντιότης ἐστιν, ὅπου δὲ ἐναντιότης, ἐκεῖ καὶ ἀνάκαμψις (ἔστι γὰρ ἐναντιότης πρὸς πῦρ καὶ ὕδωρ, καὶ ἐπειδὴ ἔχει ἐν ἑαυτῇ ἡ ὕλη ἐπιτηδειότητα κοινὴν οὖσαν ἀμφοτέρων, εἰκότως ἀνακάμπτουσιν εἰς ἄλληλα τὰ στοιχεῖα, τῶν εἰδῶν ἄλλοτε ἄλλου ἐπικρατεστέρων γινομένων, καὶ τῆς ὕλης ἀμφότερα δεχομένης διὰ τὴν ἐπιτηδειότητα)· ἐπὶ μέντοι γε τοῦ ἐμβρύου καὶ τοῦ ἀνδρὸς οὐκ ἔστιν ἐναντιότης οὔτε δὲ ἐπιτηδειότης τοιαύτη· σπεύδει γὰρ ἐπὶ τὸ τέλος. ἡ γὰρ ὁδὸς οὐκ ἔστιν ἐναντία τῷ τέλει, ἐπεὶ οὐκ ἄν ποτε εἰς τὸ ἐναντίον ἠπείγετο. διὸ καὶ φυλαττομένου τοῦ εἴδους τοῦ ἐξ ἀρχῆς οὕτως γίνεται προσθήκη· σωζόμενος γὰρ ὁ ἄνθρωπος αὔξει καὶ πάλιν γίνεται ἐπιστήμων. ἐπὶ μέντοι γε τῶν στοιχείων φθειρομένου τοῦ

---

18 τὸ ἐκ] fort. καθ' ὃ ἐκ 19 οὔτε libri 22 δὲ] fort. γὰρ 29 καὶ τελείων addidi 33 πρὸς—ὕδωρ] fort. πυρὶ πρὸς ὕδωρ 41 φθειρομένων D

πυρὸς οὕτως γίνεται ὕδωρ καὶ τὸ ἀνάπαλιν. ὥστε εἰκότως οὐ γίνεται ἐπὶ τούτων ἀνάκαμψις, διότι ἡ λεύκανσις οὐκ ἔστιν ἐναντία τῇ λευκότητι τῷ ἑαυτῆς τέλει, ὡς εἴρηται ἐν τῇ Φυσικῇ, ἀλλὰ τῇ μελάνσει ἐστὶν ἐναντία, τῇ ὁδῷ τῇ ἀγούσῃ ἐπὶ μελανίαν. καὶ ταῦτα δέ, ὥς φησι, κυκλικῶς γίνε-
5 ται, καὶ ἔστιν εὐθεῖα κύκλον μιμουμένη· γίνεται γὰρ ἀπὸ σπέρματος ἔμβρυον, εἶτα μειράκιον, εἶτα ἀνήρ, εἶτα πάλιν σπέρμα. ὁμοίως δέ, φησί, καὶ ἐπὶ τῶν φυτῶν καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. πάλιν δέ φησιν ὅτι f.83v
οὐδὲ τὸ τελικόν ἐστιν αἴτιον ἄπειρον· ὁρῶμεν γὰρ ὅτι πάντα τὰ πράγματα πρὸς τέλος ἐπείγονται, καὶ ἡ φύσις καὶ ὁ νοῦς τέλους ἕνεκα πάντα πράττει·
10 διὸ καλῶς ἀπεφήναντο τἀγαθὸν οὗ πάντα ἐφίεται. εἰ τοίνυν ὑποθώμεθα ἄπειρον τὸ τελικὸν αἴτιον, πάντα ἄσκοπα ἔσονται, καὶ ἐντεῦθεν ἀναιρεῖται πᾶσα πρᾶξις, εἴ γε τέλους ἕνεκα πράττονται τὰ πραττόμενα, καὶ οὐδὲ νοῦς ἔσται ἐν τοῖς οὖσιν· ἕνεκα γάρ τινος πράττει ὅ γε νοῦν ἔχων· πρὸς πέρας γὰρ ἐπείγεται. ὥστε πᾶσά ἐστιν ἀνάγκη εἶναι τὸ τελικὸν αἴτιον. διό φησιν
15 ἐκεῖνος "ἔκ σεο πάντα πέφηνε, σὺ δ' οὐδενὸς εἵνεκα μοῦνος". καὶ ἔστιν ἀρχὴ μὲν ὡς προακτικὸν τῶν πάντων, τελικὸν δὲ διὰ τὸ πάντα πρὸς αὐτὸ ἐπεστράφθαι.

p. 994ᵃ19 Ἀλλὰ μὴν οὐδ' ἐπὶ τὸ κάτω οἷόν τέ ἐστιν ἐπ' ἄπειρον ἰέναι, τοῦ ἄνω ἔχοντος ἀρχήν.

20 Δείξας ὅτι οὐκ ἔστιν εἰς ἄπειρον τῶν αἰτίων κατ' εὐθυωρίαν ἐπὶ τὸ ἄνω ἡ πρόοδος, ἀλλ' ἀνάγκη, εἰ ἔστι τι αἴτιον ὅλως, εἶναί τι πρῶτον καὶ ἀρχήν. νῦν πάλιν δείκνυσιν ὅτι οὐδ' ἐπὶ τὸ κάτω οἷόν τε κατ' εὐθυωρίαν ἐπ' ἄπειρον ἰέναι τὰ αἴτια. οὔσης ἀρχῆς τῶν αἰτίων καὶ πρώτου τινὸς αἰτίου, ὡς εἶναι πᾶν τὸ αἰτιατὸν ἄλλου πάλιν τινὸς αἴτιον διαφέροντος κατ'
25 εἶδος τῶν ἤδη γεγονότων. τοῦτο οὖν ἐδήλωσεν ἐπὶ τῆς ὕλης παραδείγματι χρησάμενος ὥστε ἐκ πυρὸς μὲν ὕδωρ γίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ, καὶ οὕτως αἰεὶ ἄλλο τι γίνεται γένος, γένος εἰπὼν ἀντὶ τοῦ εἶδος. φησὶν οὖν ὅτι οὐ δυνατὸν πάλιν ἐπὶ τὰ κάτω ἐπ' ἄπειρον τὴν πρόοδον γίνεσθαι, ὥστε ἐκ πυρὸς μὲν γίνεται ὕδωρ, ἐξ ὕδατος δὲ ἀήρ, καὶ
30 τοῦτο ἐπ' ἄπειρον. ἀνακάμπτει γὰρ ἡ πρόοδος διὰ τὴν εἰρημένην αἰτίαν ἐν τῇ θεωρίᾳ.

p. 994ᵃ22 Διχῶς γὰρ γίνεται τόδε ἐκ τοῦδε. f.84r

Κυρίως διχῶς λέγεται γίνεσθαι τόδε ἐκ τοῦδε, ὑλικῶς καὶ πραγματειωδῶς· οὔτε γὰρ κυρίως λέγεται τόδε ἐκ τοῦδε ἐπὶ τοῦ χρόνου, οἷον ἐξ
35 Ἰσθμίων Ὀλύμπια, καὶ διὰ τοῦ εἰπεῖν μὴ ὡς τόδε ἐδήλωσεν ὅτι οὐ κυρίως λέγεται ἐπ' αὐτῶν τόδε ἐκ τοῦδε. ὡς γὰρ εἴρηται ἐν τῇ θεωρίᾳ, ἐπὶ

3 ἐν τῇ Φυσικῇ] E 5. 6 8 οὔτε libri 9 πάντων D 13 ἐν om. D 15 ἐκεῖνος] nescio quis; cf. p. 20,27. 28 20 Δείξας—εἶδος (25) excerpta ex Alexandro 24 πάλιν αὐτὸ αἴτιον Alex. 29 ἀήρ] an γῆ?

τούτων τόδε μετὰ τόδε ἐστί· θέσει γάρ ἐστι, καὶ δυνατὸν τὸ αὐτό πρότερον καὶ ὕστερον γίνεσθαι. ἀλλὰ κυρίως τόδε ἐκ τοῦδε γίνεσθαι λέγεται καὶ πραγματειωδῶς, ἡνίκα ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον ἡ πρόοδος γίνεται, καὶ γίνεται ἐκ παιδὸς μεταβάλλοντος ἀνήρ, καὶ ἐξ ὕλης, ἡνίκα ἐξ
5 ὕδατος γίνεται ἀήρ. ἡνίκα οὖν ἐκ παιδὸς ἄνδρα γίνεσθαί φαμεν, ὡς ἐκ τοῦ γινομένου τὸ γεγονός (γινόμενον δὲ λέγει τὸν παῖδα, γεγονὸς δὲ τὸν ἄνδρα) ἢ ἐκ τοῦ τελουμένου τὸ τετελεσμένον, ὡς ἐπὶ τῶν ἀτελῶν τῶν ὑπομενόντων καὶ εἰς τὴν οἰκείαν τελειότητα προϊόντων διὰ τὴν ἐν αὐτοῖς μεταβολήν. οὕτως γὰρ ἐκ παιδὸς ἀνὴρ γίνεται, καὶ ἔστιν ἡ τοιαύτη μετα-
10 βολὴ ἤγουν γένεσις κατὰ αὔξησιν· ἀλλὰ καὶ ἐκ τοῦ μανθάνοντος ἐπιστήμων (ἔστι δὲ ἡ τοιαύτη κατὰ ἀλλοίωσιν), καὶ ἐκ τοῦ μὴ νοοῦντος ὁ νοῶν· αὕτη κατ' εἶδος μεταβολή. τοιαύτη καὶ ἡ τοῦ πρωῒ εἰς τὴν ἡμέραν μεταβολή· τελειοῦται γὰρ ὁ ὄρθρος προϊὼν εἰς τὴν ἡμέραν καὶ τὸ οἰκεῖον εἶδος λαμβάνει. τὴν μὲν οὖν τοιαύτην γένεσιν ἐκ τοῦ γινομένου γίνεσθαι λέγει,
15 ὅτι ἐξ ἤδη γεγονότος καὶ ὄντος τινός. ἀτελοῦς δὲ καὶ διὰ τοῦτο [ἤδη] γινομένου γίνεται· γεγονότος γὰρ καὶ ἤδη ὄντος τινὸς εἰς τὸ τέλειον ἡ πρόοδος.

p. 994a25 Ὡς μὲν οὖν ἐκ παιδὸς ἄνδρα γίνεσθαί φαμεν.

Δηλώσας τὸ διττὸν τοῦ ἔκ τινος εἴς τι μεταβάλλειν λεγομένου διὰ παραδείγματος, ἑκάτερον λαβὼν τῶν παραδειγμάτων. πῶς γίνεται δείκνυσι.
20 καὶ τίς αὐτῶν ἡ πρὸς ἄλληλα διαφορά. τὰ μὲν δὴ οὕτως λεγόμενα f.84v γίνεσθαι ὡς ἐκ παιδὸς ἀνὴρ καὶ ἐκ τοῦ μανθάνοντος ὁ ἐπιστήμων ἴδιον ἔχει τὸ ⟨ἐκ⟩ τοῦ γινομένου τε καὶ ὄντος ἤδη καὶ τελειουμένου καὶ μεταξὺ ὄντος μεταβεβληκέναι εἰς τὸ γεγονὸς καὶ τὸ τέλειον· ὅ τε γὰρ ἀνὴρ ἐκ τοῦ παιδὸς γέγονεν, ὄντος τε ἤδη καὶ [μὴ] ὑπομένοντος τοῦ ἐξ οὗ γίνεται, καὶ
25 αὐτοῦ γινομένου καὶ μεταβάλλοντος εἰς τὸ τέλειον εἶδος τὸ τοῦ ἀνδρὸς ἐκ τοῦ ἀτελεστέρου· ὁμοίως δὲ καὶ † ἐκ τοῦ μεμαθηκότος καὶ οὐ φθειρομένου ἀλλ' ὑπομένοντος καὶ μεταβάλλοντος εἰς τελειότητα. ὁ γὰρ οὕτω γεγονὼς ἐκ τοῦ γινομένου καὶ ὄντος ἤδη γέγονε καὶ ἐκ τοῦ ἐπιτελουμένου τετελείωται· τὸ γὰρ γινόμενον τὸ συντελούμενόν ἐστιν. εἰπὼν δὲ οὕτως
30 γίνεσθαι τὰ τοιαῦτα ὡς ἐκ τοῦ γινομένου τὸ γεγονός, πῶς εἶπεν ἐκ τοῦ γινομένου δείκνυσι, καὶ ὅτι ἔστι τὸ γινόμενον μεταξὺ ⟨τοῦ⟩ τε ὄντος καὶ τοῦ μὴ ὄντος. ὡς γὰρ τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι μεταξὺ γένεσίς ἐστιν οὖσα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι μεταβολή. ἥτις οὔτε μὴ ὂν οὔτε ὂν ἤδη (διὰ γὰρ γενέσεως ἡ ἐκ τοῦ μὴ εἶναί τι εἰς τὸ εἶναι μεταβολή). οὕτως
35 ἀναλόγως ἔχει καὶ τὸ γινόμενον, οὗ ἐστιν ἡ γένεσις, πρός τε τὸ ἁπλῶς

7 τῶν (post ἀτελῶν) om. D 15 ἤδη delevi γινομένου scripsi: coll. vv. 22. 28 sqq.: γενομένου libri 18 Δηλώσας—ἀντιφάσεως (p. 125,8) Alexandri sunt 18. 19 διὰ παραδειγμάτων Alex. 22 ἐκ ex Alexandro addidi 24 μὴ delevi Alexandrum secutus 25 εἶδος τὸ Alex.: ἤδη libri 26 locus ex Alexandro emendandus, qui habet ὁμοίως δὲ καὶ ὁ μεμαθηκὼς ἐκ τοῦ μανθάνοντος καὶ μεταβάλλοντος Alex. 27 τὸ γὰρ οὕτως γεγονὸς Alex. 29 ἐπιτελούμενον Alex. 30 τὸ γεγονὸς desunt Alexandro 30. 31 πῶς—γινομένου desunt Alexandro 31 τοῦ Alex.: om. libri 32 μεταξὺ—εἰς τὸ εἶναι (34) om. D

ὂν καὶ πρὸς τὸ ἁπλῶς μὴ ὄν, μεταξὺ ὂν αὐτῶν. δεικνύοι δ' ἂν τοῦτο διὰ τὸ δοκεῖν πᾶν τὸ γινόμενον διά τινος μεταξὺ γίνεσθαι καὶ ἔκ τινος μεταξύ. ὡς γὰρ ἐκ τῆς γενέσεως μεταξὺ οὔσης τοῦ τε εἶναι καὶ τοῦ μὴ εἶναι γίνεται τὰ οὕτως γινόμενα, οὕτως καὶ τὸ ἐκ τοῦ γινομένου γινόμενον
5 ἐκ μεταξύ τινος καὶ αὐτὸ γίνεται· μεταξὺ γὰρ τὸ γινόμενον τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος. πῇ γὰρ ὂν τὸ γινόμενον καὶ πῇ μὴ ὄν· οὔτε γὰρ ἁπλῶς ὄν (οὐ γὰρ τέλειον) οὔτε ἁπλῶς μὴ ὄν (ἔστι γὰρ ἀτελές)· διὸ οὐδέ τι μεταξὺ τῆς ἀντιφάσεως.

p. 994ᵃ27 Ἀεὶ γάρ ἐστί τι μεταξύ, ὥσπερ τοῦ εἶναι καὶ μὴ εἶναι
10 γένεσις.

Φησὶν ὅτι μεταξύ ἐστί τι τοῦ ἀτελοῦς τοῦ ὁδεύοντος ἐπὶ τὴν τελειότητα αὕτη ἡ μέλλουσα κατὰ μέρος αὔξησις γίνεσθαι ἤγουν προσθήκη, ὥσπερ ἐστὶ μεταξὺ τοῦ εἶναι καὶ μὴ εἶναι γένεσις. ἡνίκα γὰρ μέλλει γίνεσθαι ὕδωρ ἐξ ἀέρος, ἔστι μεταξὺ ἡ γένεσις τοῦ μήπω ὄντος, φημὶ f.85r
15 δὴ τοῦ ὕδατος, καὶ τοῦ μέλλοντος γίνεσθαι αὐτοῦ τοῦ ὕδατος. οὕτως οὖν καὶ τὸ γινόμενον μεταξύ ἐστι τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος. μὴ ὂν δὲ λέγει τὸν ἄνδρα· τὸ γὰρ παιδίον οὔπω ἐστὶν ἀνήρ· ὂν δὲ λέγει αὐτὸ τὸ παιδίον τὸ γινόμενον. διό φησιν ἔστι δὲ ὁ μανθάνων γινόμενος ἐπιστήμων καὶ τοῦτό ἐστιν ὅπερ λέγουσιν, ὅτι γίνεται ἐπιστήμων ἐκ μαν-
20 θάνοντος, ἡ μεταβολὴ ἡ ἀπὸ ἀγνοίας ἐπὶ γνῶσιν.

p. 994ᵃ30 Τὸ δὲ ὡς ἐξ ἀέρος ὕδωρ.

Εἰρηκὼς καὶ ἐκθέμενος τὴν μεταβολὴν τὴν ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον νῦν ἐκτίθεται τὴν μεταβολὴν τὴν κατὰ γένεσιν. φησὶν οὖν ὅτι τόδε ἐκ τοῦδέ φαμεν γίνεσθαι ὡς ἐξ ἀέρος ὕδωρ φθειρομένου τοῦ ἑτέρου·
25 οὔτε γὰρ ἀὴρ γίνεται ὕδωρ, ἀλλὰ φθειρομένου τοῦ ἀέρος οὕτως γίνεται ὕδωρ. διὸ ἐκεῖνα μὲν τὰ προειρημένα οὐκ ἀνακάμπτουσιν εἰς ἄλληλα. καὶ τὴν αἰτίαν ἐξεθέμεθα ἐν τῇ θεωρίᾳ· οὐ γὰρ γίνεται ἐξ ἀνδρὸς παῖς· οὔτε γὰρ τὸ γινόμενον γίνεται ἐκ τῆς γενέσεως. ὡς γὰρ εἴρηται ἐν τῇ Φυσικῇ, 'οὐκ ἔστι γενέσεως γένεσις οὔτε κινήσεως κίνησις.' ἡ γένεσις
30 οὖν τοῦ παιδός ἐστιν, ὅταν γένηται ἀνήρ, γινόμενον δὲ τὸ παιδίον. εἰ οὖν μηδὲν γίνεται ἐκ τῆς γενέσεως, τουτέστιν ἐκ τοῦ τέλους τοῦ ἑαυτοῦ, φανερὸν ὅτι οὐδέποτε, φησί, ἐξ ἀνδρὸς παῖς· οὔτε γὰρ ἔχουσιν ἐναντιότητας, ἵνα καὶ ἀνάκαμψις γένηται ὡς ἐπὶ τῶν στοιχείων· ἀλλ' ἔστιν ἀνὴρ μετὰ τὴν γένεσιν. οὕτω γὰρ καὶ ἡμέραν φαμὲν γίνεσθαι ἐκ τοῦ ὄρθρου τοῦ

---

1 ἁπλῶς μὴ Alex.: μὴ ἁπλῶς libri 5 τοῦ τε — γινόμενον (6) om. D 6 ὂν τὸ Alex.: ὄντος A μὴ ὄν Alex.: μὴ ὄντος libri 7 ἔστι γὰρ ἀτελές desunt Alexandro 8 τι ex Alex. scripsi: τὰ libri 12 αὕτη] fort. αὐτὴ 14. 15 exspectes τοῦ μήπω ὄντος ὕδατος, φημὶ δὴ τοῦ ἀέρος 20 ἡ ἀπὸ om. D 22 τὴν ἀπὸ — μεταβολὴν (23) om. D 27 τὴν] τν A: τὶν D 29 ἐν τῇ Φυσικῇ] E 2 p. 225ᵇ15

ἔχοντος ἀμυδρὸν τὸ φῶς· ἀμέλει τοι μετὰ τὸν ὄρθρον γίνεται ἡμέρα, τουτέστι τὸ τέλειον ἐκ τοῦ ἀτελοῦς· οὐ γὰρ τὸ ἀτελὲς γίνεται ἐκ τοῦ τελείου, τουτέστι τὸ πρωῖ ἐκ τῆς ἡμέρας. τὰ γὰρ ὁδεύοντα ἀπὸ ἀτελοῦς ἐπὶ τὸ τέλειον ὁδεύουσιν, οὐ τὸ ἀνάπαλιν· ἡ γὰρ φύσις τῶν πραγμάτων μετὰ
5 τάξεως προέρχεται τῆς δοθείσης ὑπὸ τῆς προνοίας. τὰ δὲ γινόμενα ἀνακάμπτει, καὶ γίνεται ἐκ πυρὸς ἀὴρ καὶ τὸ ἀνάπαλιν, διὰ τὸ [μὴ] εἶναι f.85v μίαν ὅλην καὶ ἐπιτηδειότητα ἐν αὐτῇ τοῦ δέχεσθαι ἀμφότερα καὶ θεωρεῖσθαι ἐν αὐτῇ τὴν τῶν ἐναντίων ἐπιτηδειότητα.

p. 994a32 Οὐ γὰρ γίνεται ἐκ τῆς γενέσεως τὸ γινόμενον ἀλλὰ
10 μετὰ τὴν γένεσιν.

Τουτέστιν οὐ γὰρ ἐκ τῆς ἄλλου φθορᾶς καὶ τῆς γενέσεως αὐτῆς τὸ οὕτω γινόμενον γίνεται, ἀλλ' ἐκ τοῦ ἤδη γεγονότος· μετὰ γὰρ τὴν γένεσιν τὸ γεγονέναι. τὰ μὲν γὰρ κατὰ φθορὰν τῶν ἐξ ὧν λέγεται γίνεσθαι γινόμενα ἀρχὴν τοῦ εἶναι τὴν γένεσιν ἔχει (ἡ γὰρ ἐκείνων μεταβολὴ καὶ φθορὰ
15 τούτων γένεσις, ἀλλ' οὐκ ἐκεῖνα), τὰ δὲ τελειούμενα μένοντα καὶ γινόμενα καὶ οὕτως ἔκ τινων λεγόμενα γίνεσθαι οὐκ ἐκ τῆς γενέσεως καὶ τῆς πρώτης μεταβολῆς γίνεται, ἀλλὰ μετὰ τὴν γένεσιν· τὸ μὲν γὰρ κινούμενόν ἐστι τὸ ἐκ τῆς γενέσεως γεγονός, οἷον τὸ βρέφος, ὃ προϊὸν παῖς καὶ ἀνὴρ γίνεται, ὁ δὲ ἀνὴρ οὐκ ἐκ τῆς γενέσεως ἀλλ' ἐκ τοῦ γινομένου ἐκ τῆς
20 γενέσεως καὶ τελειουμένου γίνεται· ὥστε οὐκ ἐκ τῆς γενέσεως ἀλλὰ μετὰ τὴν γένεσιν γίνεται τὰ οὕτως γινόμενα. εἰπὼν δὲ ὅτι μετὰ τὴν γένεσιν. οὐκ ἐκ τῆς γενέσεως τὰ τελειούμενα γίνεται, παρέθετο οὕτως γίνεσθαι καὶ ἡμέραν ἐκ τοῦ πρωΐ· διὸ ἐκ μὲν τοῦ πρωΐ ἡμέραν, ἐκ δὲ τῆς ἡμέρας οὐκέτι πρωΐ, ἐπειδὴ τοῦ χρόνου οὐκ ἔστιν ἡ τοιαύτη ἀναλογία.

25 p. 994b3 Ἀμφοτέρως δὲ ἀδύνατον εἰς ἄπειρον ἰέναι.

Ἐντεῦθεν δείκνυσιν ὅτι κατ' οὐδένα τῶν κυρίως τρόπων, καθ' οὓς φαμεν τόδε ἐκ τοῦδε γίνεσθαι (ταῦτα γὰρ κυρίως αἴτια καὶ ἐξ αἰτιῶν γίνονται· τὰ γὰρ τοῦ χρόνου οὐ τοιαῦτα, ἀλλὰ θέσει καὶ μόνῃ ὑπάρχουσι, διὸ καὶ παρῃτήσατο αὐτά· οὔτε γὰρ θάτερον αὐτῶν εἰς θάτερον μεταβάλλει
30 οὔτε δὲ συντελεῖ τὰ Ἴσθμια εἰς τὰ Ὀλύμπια), λαβὼν οὖν τοὺς δύο τρόπους τοὺς προρρηθέντας, καθ' οὓς κατὰ μεταβολήν τινος ὑποκειμένου τόδε τι γίνεται, δείκνυσι κατὰ μηδέτερον αὐτῶν ἐπ' ἄπειρον δυναμένην τὴν πρόό- f.86r δον γίνεσθαι. τὰ μὲν γὰρ κατὰ φθοράν τινος ἐξ αὐτοῦ λεγόμενα γίνεσθαι, ⟨ἃ⟩ ἐκ τῆς γενέσεως γίνεσθαι λέγει, οὐκ ἐκ τοῦ γινομένου καὶ ἤδη ὄντος,

6 μὴ delevi 11 Τουτέστιν—πρωΐ (24) Alexandri sunt 13 τῶν ἔξωθεν γιγνόμενα Alex. 15. 16 ἐκεῖνα ὑπομένοντα καὶ γιγνόμενα· τὰ δὲ τελειούμενα καὶ οὕτως κτλ. Alex. 17 κινούμενον] γιγνόμενον Alex. 22. 23 ὡς καὶ ἡμέρα γίγνεται Alex. 25 ἀμφότερον D 34 ἃ ex Alexandro addidi καὶ ἤδη scripsi: ἤδη καὶ libri

ἀνακάμπτειν εἰς ἄλληλα· ὡς γὰρ ἐξ ὕδατος ἀήρ, οὕτω καὶ ἐξ ἀέρος ὕδωρ γίνεσθαι. καὶ τοῦτο ἐναργές· διὸ καὶ ταὐτὸν αὐτοῖς τὸ ὑποκείμενον καὶ ἡ ὕλη. τὰ δὲ ἀνακάμπτοντα φανερὸν ὅτι οὐκ ἐπ' ἄπειρον προέρχονται. τὰ δὲ ἐκ τοῦ γεγονότος ἤδη καὶ ὑπομένοντος αὐτοῦ καὶ γινομένου μεταβάλ-
5 λοντα εἴτε κατ' αὔξησιν εἴτε ⟨εἰς⟩ τὴν κατ' εἶδος τελειότητα, οὐκ ἀνακάμπτει μὲν εἰς ἄλληλα, ἐπὶ δὲ τὸ τελειωθῆναι ἐπείγεται. τῶν μὲν οὖν οὕτως γινομένων ὡς τῶν μεταξὺ ὑπομενόντων καὶ τελειουμένων ὁρῶμεν ὅτι πάντων τέλος τί ἐστιν, ὃ γίνεται, καὶ οὐκ ἔστιν εἰς ἄπειρον ἡ εἰς τὴν τελειότητα τὴν οἰκείαν γινομένη πρόοδος αὐτῶν, ἐπεὶ οὕτως μάτην τοῦ τέλους
10 ἐφίενται. τῶν δὲ κατὰ φθορὰν ἡ θατέρου φθορὰ θατέρου ἐστὶν γένεσις, καὶ διὰ τοῦτο ἀνακάμπτουσιν εἰς ἄλληλα· εἰ δὲ ἀνακάμπτουσιν, οὐκ ἐπ' ἄπειρον προέρχεται κατ' εὐθυωρίαν † ἔπειτα οὕτως αἴτια * * * ἐπὶ τῶν οὕτως γινομένων μήτε ἐπὶ τῶν ἐκείνως ἐπ' ἄπειρον γίνεται ἄλλο ἄλλου αἴτιον κατ' εὐθυωρίαν, μόνως δὲ οὕτως ἄλλο ἐξ ἄλλου γίνεται, οὐδὲ ὅλως
15 ἂν εἴη ἐπ' ἄπειρον κατ' εὐθυωρίαν ἄλλο ἐξ ἄλλου γινόμενον.

p. 994ᵇ6 Ἅμα δὲ καὶ ἀδύνατον τὸ πρῶτον ἀίδιον ⟨ὂν⟩ φθαρῆναι.

Φησὶν ὅτι ἀδύνατόν ἐστι τὴν πρώτην ὕλην ἀίδιον οὖσαν φθαρῆναι, ἐπεὶ οὕτως ἔσται πρὸ τῆς φθορᾶς αὐτῆς ἐφθαρμένη, ὅπερ ἀδύνατον· πᾶν γὰρ τὸ φθειρόμενον εἰς ὕλην φθείρεται, καὶ ἔσται ἅμα σωζόμενον καὶ ἐφθαρμένον.
20 ἐπεὶ οὖν, ὡς ἐδείχθη, οὐκ ἔστιν ἄπειρος ἡ γένεσις ἐπὶ τὸ ἄνω, ⟨ἀνάγκη⟩, ἐξ οὗ φθαρέντος πρώτου τι ἐγένετο, μὴ ἀίδιον εἶναι, οἷον τὸ πῦρ, εἰ τύχοι, ἵνα ὑποθώμεθα ὅτι ἐξ αὐτοῦ πρώτου ἡ γένεσις. εἰ f.86v οὖν ἐξ αὐτοῦ πρώτου ἐγένετο φθαρέντος, φανερὸν ὅτι οὐκ ἂν ἦν τὸ πρῶτον ἀίδιον. δείξας οὖν κοινῶς πρῶτον μὲν ὅτι μὴ ἐπὶ τὸ ἄνω οἷόν τε ἄπειρα
25 εἶναι τὰ αἴτια, δεύτερον δὲ ὅτι μηδὲ ἐπὶ τὸ κάτω, νῦν καὶ περὶ ἑκάστου ἰδίᾳ τῶν αἰτίων δείκνυσιν, ὅτι μὴ οἷόν τε ἐπ' ἄπειρον αὐτὰ εἶναι· καὶ πρῶτόν γε ὅτι μὴ ἡ ὑλικὴ αἰτία ἐπ' ἄπειρόν ἐστι. συγχρῆται δὲ εἰς τὴν δεῖξιν ⟨τούτου τῷ⟩ μὴ εἶναι εἰς τὸ ἄνω ἐπ' ἄπειρον προιόντα τὰ αἴτια, ὃ πρῶτον ἔδειξε· τούτου γὰρ οὕτως ἔχοντος ἀνάγκη τὸ πρῶτον ὑποκείμενον
30 ἀίδιον εἶναι. εἰ γὰρ ἐγένετο, ἦν ἄν τι πρῶτον αὐτοῦ, ἐξ οὗ ὑποκειμένου ἐγένετο, οὕτως δὲ οὐκέτ' ⟨ἂν⟩ ἦν πρῶτον· ἐπειδὴ δὲ μὴ τοῦτο, ἀίδιον καὶ ἀγένητον τὸ πρῶτον ὑποκείμενον. ἐξ οὗ ἄρα φθειρομένου γίνεταί τι, οὐκ ἔστι τοῦτο πρῶτον ὑποκείμενον· οὐ γὰρ ἀίδιον τὸ φθειρόμενον, τὸ δὲ πρῶτον ὑποκείμενον ἀίδιον. οὐκ ἄρα, φησίν, ἡ ὕλη φθείρεται ἀλλ' ἡ αὐτὴ
35 μένει. πρώτου δὲ φθαρέντος εἶπεν ὡς ἴσον τῷ ἐξ οὗ καθ' αὑτό τι

5 εἰς addidi 6 ἐπὶ scripsi: ἐπεὶ libri 12 locus corruptus: legendum videtur κατ' εὐθυωρίαν τὰ οὕτως αἴτια. ἐπεὶ οὖν μήτε ἐπὶ τῶν οὕτως κτλ. 16 ὂν ex Aristotele addidi; cf. quae sequuntur 21 ἀνάγκη ex Aristotele addidi 24 δείξας—ὑπόκειται (p. 128,8) Alexandri sunt 26 ἐπ' ἄπειρόν τι αὐτῶν εἶναι οἷόν τε Alex. 28 δεῖξιν Alex.: δόξαν libri τούτου τῷ addidi ex Alexandri cod. L, cuius lectionem a vulgata longe diversam libri usque ad ἀίδιον εἶναι (30) exhibent 31 ἐγίγνετο Alex. ἂν ex Alexandro addidi 32 τοῦτο τὸ πρῶτον Alex. 33 δὲ Alex.: γὰρ libri 35 τι] sic etiam Alex.: expunxit Bonitz

καὶ οὐ κατὰ συμβεβηκὸς φθαρέντος ἐγένετό τι, μὴ ἀίδιον εἶναι. κατὰ συμβεβηκὸς μὲν γὰρ ἡ ὕλη φθείρεται, ὅτι τὸ συμβεβηκὸς αὐτῇ ἡ στέρησις φθείρεται ἐν τῇ γενέσει τῶν ἐκ τῆς ὕλης· τοῦτο γὰρ τὸ καθ' αὑτὸ φθειρόμενον· καθ' αὑτὴν δέ φησιν ἄφθαρτον. φθείροιτο δ' ἂν καθ' αὑτήν, εἰ ἐπ' ἄπειρον ἄλλη ἐξ ἄλλης γίνοιτο καὶ μὴ πᾶσιν ἡ αὐτὴ μένοι τοῖς γινομένοις. ὁ λέγων οὖν ἐπ' ἄπειρον ἐπὶ τὸ κάτω ἄλλο ἄλλου γίνεσθαι ὕλην. οὗτος φθείρεσθαι λέγοι ἂν τὸ πρῶτον ὑποκείμενον, ὃ ἀνάγκη, φησίν, ἀίδιον εἶναι, εἴ γε μηκέτι τούτῳ ἄλλο ὑπόκειται· οὔτε γὰρ ἄνω οὔτε κάτω ἐπ' ἄπειρον τὰ αἴτια.

p. 994b9 Ἔτι τὸ οὗ ἕνεκα τέλος, τοιοῦτον δὲ ὃ μὴ ἄλλου ἕνεκα.

Φησὶν ὅτι καὶ ἐπὶ τοῦ τελικοῦ αἰτίου οὐκ ἐπ' ἄπειρόν ἐστιν ἡ πρόοδος τοῦ οὕτως αἰτίου. ἔστι γὰρ τὸ τελικὸν αἴτιον οὗ χάριν τὰ ἄλλα, f.87r αὐτὸ δὲ μηδενός· τὸ δὲ τοιοῦτον ἔσχατον. ὥστ' εἰ μὲν ἔστι τὸ ἔσχατον αἴτιον ἐν τοῖς φύσει γινομένοις, τοῦτο δέ ἐστι τὸ τελικόν, οὐκ ἐπ' ἄπειρον ἡ πρόοδος ἐπὶ τὸ κάτω· εἰ δὲ ἔστιν ἐπ' ἄπειρον, οὐκ ἔστι τὸ τελικὸν αἴτιον οὐδὲ τὸ οὗ ἕνεκεν ἐν τοῖς γινομένοις φύσει. ἀλλὰ τὸ λέγειν μὴ εἶναι τὴν τοιαύτην ἐν τοῖς φύσει γινομένοις αἰτίαν ἐξαιρεῖν ἐστι τὴν τοῦ ἀγαθοῦ φύσιν ἐκ τῶν γινομένων· τὰ γὰρ ἄλλα ἀγαθοῦ ἕνεκα γίνονται, τουτέστι τοῦ τελικοῦ. καὶ τοῦτο δῆλον ἐκ τῆς ἐπαγωγῆς· "πᾶσα γὰρ τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινος ἐφίεσθαι δοκεῖ", ὡς εἶπεν ἀρχόμενος τῶν Νικομαχείων· καὶ ἔστι τὸ κυριώτατον ἀγαθόν, "οὗ πάντα ἐφίεται." ὥστε ἐν πᾶσι τοῖς κατὰ λόγον ἢ φύσιν γινομένοις τὸ ἀγαθὸν τέλος ἐστίν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐγχειρεῖ τις πράττειν καὶ ποιεῖν, εἰ μὴ μέλλοι ἐπὶ τέλος ἄξειν αὐτό. ὥστ' εἰ σκοπὸς τῶν πραττομένων τὸ τέλος, καὶ τὸ τοιοῦτον αἴτιον εἰ μὴ εἴη, οὐδ' ἂν τὴν ἀρχὴν εἴη τι γιγνόμενον. ἔτι ἀναιρεθήσεται τὸ νοῦν εἶναι καὶ φύσιν ποιητικὰ ἐν τοῖς οὖσι· πάντα μὲν γὰρ τὰ κατὰ φύσιν καὶ τὰ κατὰ νοῦν * * * γίνεται, οὐδ' ἂν κατὰ νοῦν τι ἢ φύσιν γίνοιτο. ἔτι, ὡς εἶπεν ἐν τοῖς Ἠθικοῖς, μάτην ἂν ἡ ὄρεξις εἴη, εἰ μὴ εἴη τι τέλος ἁπάντων τῶν πρακτῶν, ἀλλὰ ἐπ' ἄπειρον ἄλλο ἄλλου χάριν γίνοιτο. καίτοι οὐδεὶς ἂν ἐγχειρήσειε. διὰ τῆς ἐνάργειας οὖν ἔδειξεν ὅτι ἀδύνατον τὴν τοιαύτην αἰτίαν ἐκ τῶν ὄντων ἀνῃρῆσθαι. ἔτι δὲ εἰ ἔστιν ἐφ' ἑκάστου τῶν γινομένων τὸ τέλος ὡρισμένον, οὐκ ἂν ἐπ' ἄπειρον ἡ κατὰ τὸ τέλος αἰτία προΐοι. συστησάμενος οὖν τὸ εἶναι τὴν κατὰ τὸ τέλος αἰτίαν, μεταλαβὼν

---

2 ὅτι γὰρ τὸ Alex. 3 post ὕλης add. γιγνομένων Alex. 6 καὶ εἴη ἂν τὸ λεγόμενον ἴσον τῷ ὁ λέγων κτλ. Alex. ἄνω Alex. 11 οὐκ ἐπ' ἄπειρον — οὐκ ἄπειρα (p. 129,2) Alexandri sunt 12 τοῦ ὄντως αἰτίου D 13 ἔστιν ἔσχατον Alex. 18 τὸ γὰρ οὗ ἕνεκεν τὰ ἄλλα γίγνεται τὸ ἀγαθόν. τοῦτο δὲ δῆλον κτλ. Alex. 25 εἰ μὴ] sic etiam Alex. L: εἰ τοῦτο μὴ Alex. vulg. 27. 28 κατὰ νοῦν γίνεται] sic etiam Alex. L: vulgata integra est κατὰ νοῦν γινόμενα ἕνεκά τινος γίνεται, μὴ ὄντος δὲ τοῦ οὗ ἕνεκα τὰ κατὰ φύσιν καὶ κατὰ νοῦν γίνεται 28. 29 ἐν τοῖς Ἠθικοῖς] Eth. Nicom. A 1 p. 1094a21 31 ἐναργείας Alex.: ἐνεργείας libri 32 ἐφ' ἑκάστῳ Alex. 33 συστησάμενος οὖν] sic etiam Alex. L: συστήσας δὲ Alex. vulg.

τὸ τέλος εἰς τὸ πέρας ἔδειξε καὶ οὕτως ὅτι μὴ ἐπ' ἄπειρον τὰ αἴτια· ὧν γὰρ πέρας ἐστί, ταῦτα οὐκ ἄπειρα.

p. 994ᵇ16 Ἀλλὰ μὴν οὐδὲ τὸ τί ἦν εἶναι ἐνδέχεται ἀνάγεσθαι εἰς ἄλλον ὁρισμόν. f. 87v

Προέκειτο αὐτῷ δεῖξαι ὅτι οὐχ ὑπάρχουσιν ἄπειρα τὰ αἴτια. δείξας τοίνυν διὰ τῶν φθασάντων ὅτι οὐκ ἔστιν ἐπ' ἄπειρον τὸ ποιητικὸν αἴτιον, ἐπεὶ οὕτως τὸ αὐτὸ ἔσται καὶ αἴτιον καὶ αἰτιατόν, καὶ ἀναιρεθήσεται τὸ κυρίως ποιητικὸν αἴτιον (δεῖ γὰρ τὸ κυρίως αἴτιον μόνον αἴτιον εἶναι, οὐ μέντοι γε καὶ αἰτιατόν· εἰ δὲ οὕτως ὑποθώμεθα, ⟨ἐπ'⟩ ἄπειρον ἔσται τὸ αὐτὸ καὶ αἴτιον καὶ αἰτιατόν, καὶ οὕτως, ὡς εἴρηται, ἀναιρεθήσεται τὸ ποιητικὸν αἴτιον), δείξας οὖν ὅτι οὐκ ἔστιν ἄπειρον τὸ ποιητικόν, ἔδειξεν ὅτι οὐδὲ τὸ ὑλικόν, ἐπεὶ οὕτως δεησόμεθα ἑτέρας ὕλης, καὶ ἔσται οὕτως πρὸ τῆς γενέσεως αὐτῆς· εἶτα πάλιν ἔδειξεν ὅτι οὐδὲ τὸ τελικὸν αἴτιόν ἐστιν ἐπ' ἄπειρον, ἐπεὶ οὕτως ἀναιρεθήσονται αἱ πράξεις καὶ αἱ τέχναι καὶ ἡ φύσις, καὶ ὁ νοῦς ἔσται ἀνόητος μὴ ἔχων τέλος. ταῦτα τοίνυν δείξας διὰ τῶν προλαβόντων ἐντεῦθεν δείκνυσιν ὅτι οὐδὲ τὸ εἰδικὸν αἴτιόν ἐστιν ἐπ' ἄπειρον. τὸ γὰρ εἰδικὸν αἴτιον οὐδέν ἐστιν ἄλλο ἢ ὁρισμός. οἱ δὲ ὁρισμοὶ κρατύνονται ἐκ τῶν ἀμέσων προτάσεων. εἰ οὖν ἐπ' ἄπειρον ὑποθώμεθα εἶναι τοὺς ὁρισμούς, οὐκ ἔσται ἄμεσος πρότασις· εἰ δὲ μὴ ὑπάρχουσιν ἄμεσοι προτάσεις, ἀναιρεθήσεται γνῶσις. ὡς γὰρ εἴρηται ἐν τῇ Ἀποδεικτικῇ, μὴ οὔσης προτάσεως ἀναποδείκτου καὶ ἀμέσου οὐδὲν ἔσται ἀποδεικτόν· δεήσει γὰρ πασῶν τῶν προτάσεων ζητεῖν ἡμᾶς ἀποδείξεις ἐπ' ἄπειρον· τὸ δὲ ἄπειρον ἀδιεξίτητον, ὥστε ἀναιρεθήσεται γνῶσις. εἰ γὰρ τῷ ὄντι ἀπείρους ὑποθώμεθα τοὺς ὁρισμούς, ἀδύνατον δέ ἐστι τὸ ἄπειρον διεξελθεῖν, δεόμεθα δὲ πάντως τῶν ὅρων πρὸς τὸ γνῶναι τὸ πρᾶγμα, εἴ γε διὰ τῶν ὁρισμῶν αἱ οὐσίαι δηλοῦνται, δῆλον ὅτι ἀναιρεθήσεται πᾶσα γνῶσις. πρὸς τούτοις εἰ δεόμεθα ἑτέρου ὁρισμοῦ πρὸς τὸ f. 88r γνῶναι ὅτι ὁ ἄνθρωπος ζῷον λογικὸν θνητόν ἐστι, τούτου αὐτοῦ οὐ δυνατόν ἐστιν οὐδὲ τὸν ἀποδιδόμενον ὁρισμὸν εἶναι, τοῦ ἀνθρώπου. εἰ γὰρ μὴ ἐφαρμόζει τὸ ζῷον τῷ ἀνθρώπῳ, οὐδὲ ὁ ὁρισμὸς τοῦ ζῴου ἐφαρμόζει αὐτῷ· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ λογικοῦ καὶ θνητοῦ καὶ τοῦ νοῦ καὶ ἐπιστήμης δεκτικοῦ. τῷ ὄντι γὰρ τὰ προσεχῆ μᾶλλον ἐφαρμόττουσι τοῖς πράγμασιν ἤπερ τὰ πορρωτέρω· διὸ ὁ λέγων τὸν Σωκράτην ἄνθρωπον μᾶλλον κατορθοῖ ἤπερ ὁ λέγων αὐτὸν ζῷον. οὕτως οὖν φαμεν καὶ ἐπὶ τῶν ὁρισμῶν, ὅτι μᾶλλον ἐφαρμόττουσιν οἱ προσεχεῖς ὁρισμοὶ τοῖς πράγμασιν ἤπερ οἱ πορρωτέρω.

---

9 ἐπ' addidi 11. 13 οὔτε libri 17 τὸ γὰρ—γνῶσις (23) eadem fere in Alexandri cod. L leguntur: vulgata non habet 20. 21 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 2. 3
29 οὔτε libri 31 νοῦ scripsi: νῦν libri

p. 994ᵇ16 Ἀλλὰ μὴν οὐδὲ τὸ τί ἦν εἶναι ἐνδέχεται ἀνάγεσθαι.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι οὐδὲ τὸ τί ἦν εἶναι, τουτέστι τὸν ὁρισμόν, ἐνδέχεται ἀνάγεσθαι εἰς ἄλλον ὁρισμόν, ὥστε εἶναι ἄπειρον τὸ εἰδικὸν αἴτιον. τὸ δὲ πλεονάζοντα τῷ λόγῳ πάνυ καλῶς προστέθεικε, διότι οἱ ὁρισμοὶ ἀεὶ πλεονάζουσι τῶν πραγμάτων, οἷον ζῷον λογικὸν θνητὸν πλεονάζει τοῦ ἀνθρώπου. εἰ οὖν ἔστι καὶ τούτου τοῦ ὁρισμοῦ ἕτερος ὁρισμός, δῆλον ὅτι ὁ προσεχὴς ὁρισμὸς μᾶλλόν ἐστιν ὁρισμός, ὡς εἰρήκαμεν ἐν τῇ θεωρίᾳ, ὁ δ' ὕστερος οὐκ ἔστι κυρίως. εἰ οὖν ὁ προσεχὴς ὁρισμὸς ὁ λέγων ζῷον λογικὸν θνητὸν οὐκ ἐφαρμόττει, πολλῷ μᾶλλον οὐδ' ὁ ἐχόμενος ἐφαρμόσει. δείκνυσιν οὖν καὶ ἐπὶ τῆς κατὰ τὸ εἶδος αἰτίας (τοῦτο γάρ ἐστι τὸ τί ἦν εἶναι) μὴ γινομένην ἐπ' ἄπειρον τὴν πρόοδον, ὡς ἀεὶ τοῦ ληφθέντος εἴδους καὶ ὁρισμοῦ ἄλλον πάλιν ὁρισμὸν καὶ ἄλλο τι εἶδος εἶναι. τοῦτο δὲ ἐδήλωσε προσθεὶς τὸ πλεονάζοντα τῷ λόγῳ. δοκεῖ γὰρ ὁ ὁρισμὸς ἀεὶ τοῦ ὁριστοῦ πλεονάζειν τῷ λόγῳ. οὐ γὰρ ἕν ἐστι τῇ λέξει ἄνθρωπος καὶ ζῷον λογικὸν θνητόν· ἕκαστον ⟨δὲ⟩ ὁριστὸν ὀνόματος χώραν πρὸς τὸν ἀποδιδόμενον αὐτοῦ ὁρισμὸν ἔχει. καὶ αὐτὸ τοῦτο ὡς f. 88v ἄτοπον προστέθεικεν· εἰ γὰρ ὁ μὲν ὁρισμὸς πλεονάζει τοῦ ὁριστοῦ τῷ λόγῳ, ἐπ' ἄπειρον δὲ οἱ ὁρισμοὶ γίνοιντο, ἐπ' ἄπειρον ἂν οἱ λόγοι αὔξοιντο δι' ὧν οἱ ὁρισμοί· τοῦτο δὲ ἄτοπον. οὔτε δὲ οἷόν τε τοῦ ἀποδοθέντος ὁρισμοῦ ὁρισμόν τινα εἶναι, ὡς εἶναι τοῦ μὲν ζῴου τὸ οὐσίαν ἔμψυχον αἰσθητικὴν ὁρισμόν, τοῦ δὲ ὁρισμοῦ τούτου πάλιν ἄλλον τινὰ ὁρισμόν, ἢ καὶ ἑκάστου τῶν ἐν τῷ ὁρισμῷ. ὅσῳ γὰρ ἂν πορρωτέρω προέλθῃ τοῦ προσεχοῦς λόγου τοῦ ἀνθρώπου ὃν ὁρίζεται, ἔλαττον ἀποδώσει ⟨τὸ⟩ τοῦ ἀνθρώπου εἶδος καὶ ἔλαττον αὐτὸν ὁριεῖται· ἀεὶ γὰρ ὁ πρῶτος καὶ προσεχὴς λόγος ἀποδοθεὶς ὁρισμός ἐστι τοῦ πράγματος, ὁ δὲ ὕστερος οὐκέτι ἐκείνου ἀλλὰ τοῦ περὶ ἐκείνου ἀποδοθέντος. εἰ οὖν ὁ πρῶτος ἀποδοθεὶς μή ἐστιν ὁρισμός, οὔτε ὁ δεύτερος οὔτε δὲ ὁ τρίτος. ἕκαστος γὰρ τούτων ὁρισμὸς γίνεται τοῦ πρὸ αὐτοῦ ἀποδοθέντος ὁρισμοῦ, ἀλλ' οὐ τοῦ πράγματος· οὗ γὰρ μή ἐστιν ὁρισμὸς τὸ πρῶτον ἀποδοθέν, τούτου πολὺ ἧττον ἂν εἴη ὁρισμὸς τὸ μετὰ τὸ πρῶτον ἀποδοθέν. εἰ γὰρ ὁ μὲν πρῶτος ἀποδοθεὶς ὡς τοῦ πράγματος ἀποδέδοται, ὁ δὲ δεύτερος ὡς τοῦ λόγου τοῦ περὶ τοῦ πράγματος ἀποδεδομένου, εἰ ὁ πρῶτος μή ἐστι τοῦ πράγματος, οὐδ' ἂν ὁ δεύτερος αὐτοῦ εἴη, ἐπεὶ καὶ ὁ πρῶτος ἠδύνατο αὐτοῦ εἶναι.

10 δείκνυσιν — εἴη (p. 131,2) Alexandri sunt 14 ἀεὶ deest Alexandro ἓν] ἴσον Alex. 15 δὲ Alex.: om. libri 16 χώραν Alex.: χάριν libri 16. 17 δοκεῖ δέ μοι καὶ αὐτὸ τοῦτο ὡς ἄτοπον προσθεῖναι Alex. 18 ἐπ' ἄπειρον — γίνοιντο desunt Alexandro 19 οὔτε δὲ οἷόν τε] οὐ δὴ οἷόν τε Alex. vulg.: οὐχ οἷόν τε δὲ Alex. cod. L ante τοῦ add. ἀεὶ Alex. 23 τὸ addidi 25 ὁ δὲ ὕστερος Alex.: ὁ δεύτερος libri 26 ἐφ' ὧν οὖν Alex. 27 οὐδ' ἂν ὁ δεύτερος ἢ ὁ τρίτος ἢ ἄλλος τις εἴη Alex. 29 πρῶτον — ὁρισμὸς τὸ (30) om. D 33 ἐπεὶ — εἶναι] ἦν γὰρ καὶ οὗτος δυνάμενος αὐτοῦ εἶναι, εἰ ὁ πρῶτος ἀποδεδομένος, οὗ ὁ δεύτερος ἀποδέδοται, ἦν αὐτοῦ Alex.

καθόλου γὰρ ἐν οἷς τὸ πρῶτον μή ἐστιν, οὐδὲ τὸ δεύτερον. ὥστε ὧν μή ἐστιν ὁρισμός τις πρῶτος, οὐδ' ἂν δεύτερος αὐτῶν εἴη.

p. 994b20 Ἔτι τὸ ἐπίστασθαι ἀναιροῦσιν οἱ οὕτω λέγοντες.

Ὅτι οἱ ὑποτιθέμενοι ἀπείρους εἶναι ὁρισμοὺς ἀναιροῦσι τὴν γνῶσιν· οὐ γὰρ οἷόν τε γνῶναι πρὶν ἢ εἰς τὰ ἄτομα ἐλθεῖν, τουτέστιν εἰς τὰς ἀμέσους προτάσεις. ἐκ γὰρ τῶν ἀμέσων προτάσεων τὸ εἶναι ἔχουσιν οἱ ὁρισμοί· εἰ δὲ ἄπειροι οἱ ὁρισμοί, ἄπειροι καὶ αἱ προτάσεις, καὶ οὕτως οὐκέτι ἔσται γνῶσις. ἡ γὰρ ἀπόδειξις τὸ εἶναι ἔχει ἐκ τῶν ἀμέσων προτάσεων· διό φησιν οὐ γὰρ οἷόν τε εἰδέναι πρὶν εἰς τὰς ἀμέσους προ- f. 89r
τάσεις ἐλθεῖν. τὰ γὰρ οὕτως ἄπειρα οὐ δυνατὸν νοεῖν· ἡ γὰρ νόησις πεπερασμένου ἐστὶ πράγματος νόησις. οὐ γάρ ἐστιν ὅμοιον ἐπὶ τῆς γραμμῆς, ἥτις ἐπ' ἄπειρον διαιρεῖται, ὅμως μέντοι γε ἡ νόησις αὐτῆς οὐκ ἐπ' ἄπειρον γίνεται, πενταχῇ αὐτῆς διαιρουμένης, εἰ τύχοι, ἢ ἑκατονταχῇ ἤ τι ἄλλο τοιοῦτον· διόπερ, φησίν, οὐκ ἀριθμήσει τὰς τομὰς ὁ τὴν ἄπειρον γραμμὴν διεξιών. ἀλλὰ καὶ τὴν ὕλην αὐτήν, ἥτις, ὡς εἴρηται ἐν τῇ Φυσικῇ ἀκροάσει, ἐξ ἀναλογίας γινώσκεται, ὅτι ὥσπερ χαλκὸς πρὸς ἀνδριάντα καὶ λέβητα καὶ ξύλον πρὸς κλίνην καὶ θρόνον, οὕτως καὶ ἡ ὕλη ἔχει πρὸς τὰ ἡμέτερα σώματα (διὸ καὶ ὁ Πλάτων νόθῳ λογισμῷ λῃστὴν αὐτὴν εἶναι ἔλεγεν, ἐπειδὴ τῷ οἰκείῳ λόγῳ ἄπειρός ἐστι καὶ ἀόριστος, εἴ γε ἀνείδεος, τὸ δὲ εἶδός ἐστι τὸ περατοῦν αὐτὴν καὶ ὁρίζον) ἡ οὖν νόησις οὐδέποτε τὴν ὕλην αὐτὴν καθ' αὑτὴν γινώσκει, ἀλλ' ὥς φησιν αὐτός, ἐν κινουμένῳ νοεῖν ἀνάγκη, τουτέστιν ἐν αἰσθητῷ πράγματι· οὔτε γάρ, ὡς εἴρηται, αὐτὴν καθ' αὑτὴν τὴν ὕλην γινώσκει, ἀλλὰ μετά τινος εἴδους ἢ ἀνθρωπείου ἢ ἱππείου, ἢ φυτοῦ ἢ λίθου ἤ τινος ἄλλου τοιούτου. καὶ ἀπείρῳ, φησίν, οὐδενὶ ἔσται εἶναι· εἰ δὲ μή, οὐκ ἄπειρόν γέ ἐστι τὸ ἀπείρῳ εἶναι. τῷ λέγειν οὐσιῶσθαι τὸ ἄπειρον πέρας αὐτῷ παρέχομεν· ὡς γὰρ μεμαθήκαμεν ἐν Κατηγορίαις, ἄλλο ἐστὶ τὸ ζῷον [εἶναι] καὶ ἄλλο τὸ ζῴῳ εἶναι· καὶ ζῷον μέν ἐστι τὸ σύνθετον, ζῴῳ δὲ εἶναι αὐτὸ τὸ εἶδος. εἰ οὖν ὑποθώμεθα λέγοντες ὅτι συνουσίωται τῷ ἀπείρῳ εἶναι, εἶδος αὐτῷ προσάψομεν· εἰ δὲ εἶδος, καὶ πέρας· καὶ οὕτως οὐδὲν ἔσται κατ' οὐσίαν ἄπειρον τῶν ἐνταῦθα.

p. 994b20 Ἔτι τὸ ἐπίστασθαι ἀναιροῦσιν οἱ οὕτω λέγοντες.

Ἔστι καὶ οὕτως ἐξηγήσασθαι τὸ χωρίον. ἄτομα, φησί, λέγει τὰ ἀμέσως ὑπάρχοντα· ἐκ γὰρ τῶν προσεχῶν καὶ ἀμέσων ὑπαρχόντων αἱ f. 89v

1 οὐδὲ Alex.: οὔτε libri 2 οὐκ ἂν δεύτερος εἴη Alex. 16 ἐν τῇ Φυσικῇ ἀκροάσει] A 7 p. 191a8 18 Πλάτων Tim. p. 52 B 25 εἰ δὲ μή scripsi ex Aristotele: ἐπειδὴ libri, sed cf. p. 133,10 26 τῷ scripsi: τὸ libri 26. 27 αὐτῷ παρέχομεν scripsi: αὐτοῦ παρεχομένη libri 27 ἐν Κατηγορίαις] c. 5, quamquam verba ipsa illic non leguntur 28 εἶναι delevi 29. 30 fort. τῷ ἀπείρῳ τὸ ἀπείρῳ εἶναι 33 ἄτομα — διεξιών (132,29) Alexandri sunt 34 προσεχῶς καὶ ἀμέσως Alex.

ἐπιστῆμαι, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ· ὅπερ ἀδύνατόν ἐστιν εἶναι, εἰ τῶν ἐν τῷ ὁρισμῷ παραλαμβανομένων πάντων εἶεν ὁρισμοὶ καὶ ἐκ τούτων τῶν τοῦ ὁρισμοῦ ὁρισμῶν ὁ ὁρισμὸς εἴη τοῦ προκειμένου συμπληρούμενος. νῦν μὲν γὰρ τὸ διὰ τὸν ὁρισμόν τινι ὑπάρχειν δειχθὲν ἀμέσως ὑπάρχειν αὐτῷ δοκεῖ· ἂν δὲ ᾖ παντὸς ὁρισμοῦ ὁρισμὸς ἐπ' ἄπειρον, αἰεί τις μέσος ὅρος ἔσται τοῦ αἰτίου δι' οὗ δείκνυται ὑπάρχειν ⟨τί⟩ τινι καὶ τοῦ ὑποκειμένου ᾧ ὑπάρχειν * * * τινί τι ληφθῆναι, αἰεὶ δὲ τοῦ εἰλημμένου παντὸς ὁρισμὸς ἂν εἴη. οὐ γὰρ ἀμέσως τὸ ζῷον τῷ ἀνθρώπῳ ὑπάρξει, ἀλλὰ διὰ τὸ εἶναι αὐτὸν οὐσίαν ἔμψυχον αἰσθητικήν· πάλιν δὲ ἡ οὐσία ἔμψυχος αἰσθητικὴ ὑπάρξει αὐτῷ διὰ τὸν ἴδιον ὁρισμόν, κἀκεῖνο ὁμοίως διὰ τὸν ἴδιον, καὶ τοῦτο ἐπ' ἄπειρον· αἰεὶ γὰρ οἱ λαμβανόμενοι ὁρισμοὶ τῶν ὁρισμῶν μέσοι ὅροι γίνονται, δι' ὧν ὑπάρξει τὰ ὧν οἱ ὁρισμοὶ τοῖς ὁριστοῖς. ἀναιρεθήσονται ἄρα αἱ ἄτομοι καὶ ἄμεσοι προτάσεις, ὧν ἀναιρεθεισῶν ἀναιρεῖται ἐπιστήμη τε καὶ ἀπόδειξις. εἰπὼν οὖν τὰ ἄπειρα ἄγνωστα εἶναι, ἐπειδὴ δοκεῖ καὶ τὰ συνεχῆ ἄπειρά πως εἶναι διὰ τὴν ἐπ' ἄπειρον τομὴν καὶ μὴ εἶναι ἄγνωστα (ἔστι γὰρ τῆς ἐπ' ἄπειρον αὐτῶν τομῆς νόησις), ὅτι μὴ ὁμοίως ἐν ἐκείνοις τε ἡ ἀπειρία καὶ ἐν τοῖς αἰτίοις, εἰ ἐπ' ἄπειρον κατ' εὐθυωρίαν πρόεισι, δείκνυσιν ἑξῆς εἰπὼν τὰ γὰρ οὕτως ἄπειρα πῶς ἐνδέχεται νοεῖν; ἄπειρα λέγων τὰ ἐνεργείᾳ. ἐπ' ἄπειρον μὲν γὰρ ἡ γραμμὴ διαιρεῖται ὁμολογουμένως τῷ μὴ ἵστασθαι τὴν τομήν, ἀλλ' ἡμεῖς οὐδέποτε νοοῦμεν αὐτὴν εἰς ἄπειρα διαιρουμένην, ἀλλ' ὅταν νοῶμεν, τὰς τομὰς ἱστάμεθα καὶ παυόμεθα τοῦ τέμνειν καὶ λαμβάνομεν πεπερασμένας. πῶς μὲν γὰρ ἐπ' ἄπειρον ἡ τομὴ γίνεται τῆς γραμμῆς καὶ ὅλως τῶν συνεχῶν νοοῦμεν, οὐ μὴν καὶ τὰς ἀπείρους αὐτῆς διαιρέσεις· αἰεὶ γὰρ ἃς νοοῦμεν πεπερασμένας νοοῦμεν. τοῦτο γάρ ἐστι τὸ νοῆσαι δὲ οὐκ f. 90r ἔστι μὴ στήσαντα· τὰς γὰρ πεπερασμένας νοοῦμεν. διὸ οὐδὲ ⟨ὁ⟩ διεξιὼν τὴν συνεχῆ γραμμὴν τὴν ἐπ' ἄπειρον διαιρετὴν ἀριθμῶν τὰς τομὰς καὶ ἐνεργείᾳ λαμβάνων, καθ' ⟨ὅσον⟩ οἷόν τε τμηθῆναι αὐτὰς ἦν, οὕτω δίεισιν· οὐδέποτε γὰρ ἂν διεξέλθοι οὕτως αὐτὴν διεξιών.

p. 994ᵇ25 Ἀλλὰ καὶ τὴν ὕλην ἐν κινουμένῳ νοεῖν ἀνάγκη.

Τοῦ τὸ ἄπειρον ἄγνωστον εἶναι τῇ αὐτοῦ φύσει παρατίθεται σημεῖον τὸ καὶ τὴν ὕλην, ἐπεὶ δοκεῖ κατὰ τὸν αὐτῆς λόγον ἄπειρος εἶναι, ἀσχημά-

1 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 2. 3 3 τοῦ ὁρισμοῦ deest Alexandro συμπληρούμενος Alex.: συμπληρουμένου libri 7 lacuna ex Alexandro explenda, qui haec habet ὑπάρχειν τι δείκνυται. οὐδέποτε γὰρ δυνήσεται ἀμέσως τι ὑπάρχον τινὶ ληφθῆναι αἰεὶ δὲ] εἰ ἀεὶ Alex. 8 ἂν εἴη scripsi: αἰεί libri: εἴη Alex. ὑπάρξει Alex.: ὑπάρχει libri 9 δὲ αὖ τὸ οὐσία Alex. 12 γίνονται] ἔσονται Alex. 15 τομὴν—ἄπειρον (16) om. D 17 ὁμοίως ἔνεστιν ἐν Alex. 17. 18 ἡ ἐπ' ἄπειρον κατ' εὐθυωρίαν πρόοδος Alex. 21 διῃρημένην Alex. 22 ἱστῶμεν Alex. 25 τοῦτο γὰρ—νοοῦμεν (26) om. D 26 ὁ Alex.: om. libri 28 ὅσον ex Alexandro addidi αὐτὰς ἦν Alex.: αὐτὰ ἦν A: αὐτὰ τὴν D 31 Τοῦ τὸ—δοξαστή (p. 133,4) Alexandri sunt 32 τὸ καὶ deest Alexandro

τιστος οὖσα κατὰ τὴν ἰδίαν φύσιν καὶ οἰκεῖον πέρας οὐκ ἔχουσα. τῷ δὴ τοιαύτην αὐτὴν εἶναι οὐδ' ἐπιστήμην αὐτῆς ἔχομεν· δοξαστὴ γάρ ἐστι καὶ οὐκ ἐπιστητή, καὶ ὡς ὁ Πλάτων φησί, νόθῳ λογισμῷ ληπτή, ὡς δὲ Ἀριστοτέλης φησί. κατὰ ἀναλογίαν γνωστὴ καὶ ληπτὴ καὶ δοξαστή. νοεῖται
5 οὖν ἐν κινουμένῳ, τουτέστιν ἔχουσα εἶδος ἢ ἀνθρώπειον ἢ ἵππειον, ἢ φυτοῦ ἢ λίθου ἢ ἄλλου τινὸς τοιούτου· αὐτὴ γὰρ καθ' αὑτὴν οὐ νοεῖται, διότι ἄπειρος ὑπάρχει διὰ τὸ ἀεὶ ἐν κινήσει καὶ μεταβολῇ νοεῖσθαι. ἐπεὶ γὰρ μὴ ἔχει οἰκεῖον σχῆμα ἤ τινα ποιότητα, ἄλλοτε ἄλλο εἶδος ἀμείβει καὶ μεταβάλλει· τὸ δὲ οὕτως ἔχον ἄπειρον.

10 p. 994ᵇ27 Εἰ δὲ μή, οὐκ ἄπειρόν γέ ἐστι τὸ ἀπείρῳ εἶναι.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι ὥσπερ τὸ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι διαφέρει, καὶ ἐπὶ πάντων ἐφ' ὧν τὸ πρᾶγμα σύνθετον (τὸ γὰρ εἶναι ἑκάστῳ κατὰ τὸν λόγον καὶ κατὰ τὸ εἶδός ἐστιν· ὁ μὲν γὰρ ἄνθρωπος ἐξ ὕλης καὶ εἴδους, τὸ δὲ ἀνθρώπῳ εἶναι ἁπλοῦν· κατὰ γὰρ τὸ εἶδός ἐστιν
15 αὐτῷ τὸ ἀνθρώπῳ εἶναι. ἐπὶ μὲν γὰρ τῶν ἀσωμάτων ταὐτὸν τὸ πρᾶγμα καὶ τὸ εἶναι αὐτῷ· ταὐτὸν γὰρ ψυχὴ καὶ τὸ εἶναι ψυχῇ· ἐπὶ δὲ τῶν ἐν ὕλῃ τὸ εἶναι ἐχόντων διαφέρουσι), καὶ τὸ ἄπειρον οὖν τὸ ἐνεργείᾳ ἄγνωστόν ἐστιν, ἀλλὰ τὸ ἀπείρῳ αὐτῷ εἶναι οὔτε ἄπειρον οὔτε ἄγνωστον. ὁ γὰρ λόγος ὁ δηλῶν αὐτοῦ τὴν φύσιν καὶ τὸ εἶδος οὐκ ἄπειρος. τὸ δὲ
20 ἀπείρῳ οὐδενὶ ἔστιν εἶναι ἤτοι εἶπεν ἀντὶ τοῦ ἄπειρον οὐδέν ἐστιν ἐνεργείᾳ, ἢ ὅτι οὐδέν ἐστι [τὸ] πρᾶγμα ᾧ ὁ τοῦ ἀπείρου λόγος ἐφαρμόζει. f. 90v εἰ δὲ καὶ τεθείη ἐφαρμόζειν, ἀλλ' αὐτός γε ὁ λόγος τοῦ ἀπείρου καθ' ὃν ἡ γνῶσις αὐτοῦ, οὐκ ἔστιν ἄπειρος.

p. 994ᵇ27 Ἀλλὰ μὴν καὶ εἰ ἄπειρά γε ἦσαν πλήθει τὰ εἴδη.

25 Δείξας διὰ τῶν φθασάντων ὅτι οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω ἄπειρά εἰσι τὰ αἴτια οὔτε τὸ ποιητικὸν οὔτε τὸ τελικὸν οὔτε τὸ εἰδικὸν οὔτε τὸ ὑλικόν, ἐντεῦθέν φησιν ὅτι οὐδὲ αὐτὰ τὰ εἴδη ἄπειρα ὑπάρχουσιν, ἵνα μή τις εἴπῃ ὅτι πλείονα ὑπάρχουσι ποιητικὰ αἴτια, οἷον θεὸς φύσις ἄνθρωπος καὶ ὅσα ἄλλα τοιαῦτα, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ὑλικοῦ αἰτίου
30 ὅτι πολλὰ ὑπάρχουσι τοῦ ἄνω ὡρισμένου ὄντος, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. φησὶν οὖν ὅτι οὐ δυνατόν· εἰ γὰρ ὑποθώμεθα ταῦτα, ἀναιρεῖται πάλιν ἡ γνῶσις· *τότε γὰρ εἰδέναι οἰόμεθα, ὅταν τὰ αἴτια γνωρίσωμεν* καὶ τὰς ἀρχάς. [ἢ] τὸ οὖν ἄπειρον τὸ τῇ προσθέσει, τουτέστι τὸ κατ' ἐνέρ-

---

2 ἔχομεν] κινουμένῳ γάρ τινι γιγνώσκομεν αὐτήν add. Alex. 3 ὁ Πλάτων φησί] Tim. p. 52B γνωστή Alex. 4 Ἀριστοτέλης] Phys. A 7 p. 191ᵃ8 11 ὃ λέγει — ἄπειρος (23) Alexandri sunt ἀνθρώπῳ Alex.: ἀπείρῳ libri 17 διαφέρει Alex. εἰ καὶ τὸ Alex. 21 τὸ delevi Alexandrum secutus ἐφαρμόζει] τῷ δηλονότι μηδὲν εἶναι ἄπειρον add. Alex. 22 ἐφαρμόζειν τινί Alex. 25 ἐπὶ τὸ ἄνω — αἴτια οὔτε (26) om. D 26 αἴτια scripsi: εἴδη A 27 ὅτι οὔτε libri 33 ἢ delevi

γειαν, οὐκ ἔστιν ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν· τὸ μὲν γὰρ δυνάμει καὶ τῇ διχοτομίᾳ οἷόν τε διελθεῖν ἐν πεπερασμένῳ χρόνῳ, τὸ δὲ ἐνεργείᾳ καὶ τῇ προσθέσει ἀδύνατον, τῷ αἰεὶ τῷ περιληφθέντι καὶ νοηθέντι ἄλλο τι ὑπολειπόμενον προστίθεσθαι. ἄλλως τε δή, εἰ τοῦτο ὑποθώμεθα, τετρα-
5 πλασιασθήσεται τὸ ἄπειρον πρὸς τὰ τέσσαρα αἴτια. εἰ δέ τις ὑποθῆται τὸ μὲν ποιητικὸν ἄπειρον εἶναι τὰ δ' ἄλλα πεπερασμένα, πρῶτον μὲν ἀποκληρωτικὸς ἔσται ὁ λόγος, ἔπειτα πάλιν ταῦτα προστιθέμενα τῷ ἀπείρῳ ἐπαύξουσι τὸ ἄπειρον, ὅπερ ἀδύνατον.

p. 994ᵇ32 Αἱ δὲ ἀκροάσεις κατὰ τὰ ἔθη συμβαίνουσι.

10 Κάλλιστον θεώρημα ἐντεῦθεν ἡμῖν παραδίδωσι, πῶς δεῖ εἶναι τὸν μέλλοντα ἀκροᾶσθαι θεολογικῆς πραγματείας καὶ ὁποῖον δεῖ εἶναι τὸν τοιοῦτον ἀκροατήν. καί φησιν ὅτι ὡς ἂν ἔχῃ προπαιδεύσεως, οὕτω καὶ τούτων ἀκροᾶται· εἰ μὲν γὰρ ἤχθη γεωμετρικῶς, δῆλον ὅτι τραφεὶς κατὰ γεωμετρικὴν λεπτουργίαν ἀπαιτήσει τὸν διδάσκοντα ἀποδεικτικῶς αὐτῷ f. 91r
15 ἐξηγήσασθαι· εἰ δὲ ποιηταῖς σχολάσας * * *, φεύγει τὴν ἀκρίβειαν καὶ χαίρει μύθοις μᾶλλον. ὥστε δεῖ μᾶλλον τοὺς μέλλοντας τοιούτων λόγων ἀκροᾶσθαι προπαιδεύεσθαι γεωμετρικὰ θεωρήματα. ἵνα ἱκανοὶ ὦσι παρακολουθεῖν ἀποδείξει καὶ τοιαύτην ἀκρίβειαν ἀπαιτεῖν τὸν ἐξηγούμενον. οἱ γὰρ τοῖς ποιηταῖς σχολάσαντες ἤ τισι μύθοις οὐ χαίρουσιν ἀκριβείᾳ, ἀλλὰ
20 καθάπερ φησὶν ὁ Πλάτων, ἐοίκασιν οἱ τοιοῦτοι τοῖς διὰ σχεδίας πλέουσιν· οὐ γὰρ ἀκριβῶς οἱ τοιοῦτοι ναυτίλλονται ἀλλ' ἐπιπολαίως καὶ σφαλερῶς. εἶτά φησιν ὅτι οὐ δεῖ ἐν πᾶσι τὴν αὐτὴν ἀκρίβειαν ἀπαιτεῖν τοὺς διδασκάλους· ἐν μὲν γὰρ γεωμετρίᾳ δεῖ πᾶσαν ἀκρίβειαν αὐτοὺς ἀπαιτεῖν, διότι οὐ προσδέονται ὕλης τὰ μαθήματα, καὶ ἐν τοῖς ἀύλοις πᾶσιν· ἐν
25 μέντοι γε τοῖς φυσικοῖς πράγμασιν οὐ δεῖ τοιαύτην ἀπαιτεῖν λεπτουργίαν, ἐπειδὴ μετὰ ὕλης ὑπάρχουσιν, ἡ δὲ ὕλη ἀόριστός ἐστι καὶ ἐπισκοτεῖ διὰ τὴν ἑαυτῆς ἀοριστίαν. διὸ οὔτε τὰ ἐν τοῖς Μετεώροις εἰρημένα δεῖ ἀκριβῶς ἐξετάζειν ἀλλὰ πιθανῶς, καὶ * * ἡνίκα μηδὲν ἔχουσιν ἐναντίον προφανές, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων φυσικῶν πραγματειῶν.

30 p. 994ᵇ32 Αἱ δὲ ἀκροάσεις.

Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι καθόλου αἱ ἀκροάσεις συμβαίνουσιν ἡμῖν κατὰ τὰ ἔθη· ὡς γὰρ εἰώθαμεν καὶ προεπαιδεύθημεν, οὕτως ἀξιοῦμεν λέγεσθαι ἡμῖν καὶ παρὰ τῶν διδασκάλων, καὶ τὰ λεγόμενα ἡμῖν παρὰ ταῦτα, τουτέστι παρ' ἃ εἰθίσθημεν καὶ ἐπαιδεύθημεν, οὐχ ὅμοια ἡμῖν
35 φαίνεται, ἀλλὰ καταγέλαστα δοκοῦσιν ἡμῖν εἶναι καὶ ξενικώτερα· παντὶ γὰρ τὸ σύνηθες γνώριμον ὑπάρχει. καὶ τούτου δὲ φέρει κατασκευήν, πῶς

---

1 τὸ μὲν γὰρ—προστίθεσθαι (4) Alexandri sunt 3 καὶ νοηθέντι om. D 15 post σχολάσας lacuna VIII fere litterarum AD: an τύχῃ? 20 ὁ Πλάτων] Phaed. p. 85 D ἐπὶ σχεδίας Plato l. l. 23 πᾶσαν scripsi: πάσας libri 24 ἀύλοις om. D 28 καὶ] addendum ἀγαπᾶν

τὰ συνήθη γνώριμα ἡμῖν ὑπάρχουσι, φάσκων ὅτι ἡλίκην δὲ ἰσχὺν ἔχει f. 91v τὸ ἔθος, δηλοῦσιν οἱ νόμοι, ἐν οἷς τὰ μυθώδη καὶ παιδαριώδη μᾶλλον ἰσχύει τοῦ γινώσκειν περὶ αὐτῶν τὸ ἀληθὲς διὰ τὸ ἔθος· οἷον ὥσπερ φαμὲν τὸ Φοινικικὸν ψεῦσμα ὅτι ὁ Κάδμος ἐφύτευσε τοὺς ὀδόν-
5 τας τοῦ δράκοντος καὶ ἀνεβλάστησαν γηγενεῖς ἄνθρωποι. διό φησι καὶ ὁ Πλάτων ὅτι δεῖ ἡμᾶς ψεύσασθαι πρὸς τοὺς πολίτας ἡμῶν τὸ Φοινικικὸν ψεῦσμα, ἵνα νομίζοντες τῷ ὄντι τὴν ἀρχὴν ἐκ τῆς γῆς ἐσχηκέναι μᾶλλον ἀγαπήσουσι τὴν πατρίδα.

p. 995ᵃ6 Οἱ μὲν οὖν ἐὰν ⟨μὴ⟩ μαθηματικῶς λέγῃ τις.

10 Φησὶν ὅτι οἱ σχολάσαντες γεωμετρικῇ θεωρίᾳ καὶ ἐν τούτοις τραφέντες οὐκ ἀνέχονται τῶν λεγομένων, ἐὰν μὴ μαθηματικῶς λέγωνται ὑπὸ τῶν διδασκάλων, τουτέστι κατὰ γεωμετρικὴν ἀκρίβειαν. ἄλλοι δὲ οὐκ ἀνέχονται, ἐὰν μὴ παραδειγματικῶς λέγωνται, καθάπερ καὶ ὁ Πλάτων ἐποίει· διὰ γὰρ παραδειγμάτων, φησί, φῶς ἀνάπτει τοῖς λεγομένοις ὑπ' αὐτοῦ.
15 ἕτεροι δὲ ἀξιοῦσι ποιητὰς παράγεσθαι καὶ παντελῶς φεύγουσι τὴν ἀκρίβειαν. διό φησι καὶ οἱ μὲν πάντα ἀκριβῶς ζητοῦσι καὶ πολυπραγμονοῦσιν, ἐνίους δὲ λυπεῖ τὸ ἀκριβὲς ἢ διὰ τὸ μὴ συνείρειν, τουτέστι παρακολουθεῖν, ἢ διὰ τὸ μὴ προπαιδευθῆναι, ὡς εἴρηται, διὰ τὴν μικρολογίαν· τὴν γὰρ ἀκρίβειαν οἱ τοιοῦτοι μικρολογίαν εἶναι ὑποτίθενται, οἷον
20 τὸ εἰπεῖν τὸν Δημοσθένην 'μὴ ἐγκείσθω ὑπὸ τοῦ Φιλίππου τὸ δίδωμι ἀλλὰ τὸ ἀποδίδωμι·' καὶ πάλιν ὅ φησιν ὁ Ἀριστοφάνης διαβάλλων τοὺς φιλοσοφοῦντας ὅτι σπεύδουσιν ἴχνη ψυλλῶν μετρεῖν τῶν δὲ ἄλλων καταφρονοῦσι. 'μισῶ δὲ καὶ Σωκράτη τὸν πτωχὸν ἀδολέσχην, ὃς τῶν ἄλλων μὲν πεφρόντικε, πόθεν δὲ φάγῃ, τούτου κατημέλησεν', ὡς τῶν ἐν τῷ βίῳ
25 ὄντων μειζόνων. ὁμοίως δὲ καὶ ὁ Καλλικλῆς φησι πρὸς τὸν Σωκράτη ὅτι οὐ δεῖ περὶ τὰ οὕτω σμικρὰ καταγίνεσθαι καὶ ἐντεῦθεν πειρᾶσθαι παράλογα. ἔχει γάρ τι, φησί, τὸ ἀκριβὲς τοιοῦτο, τουτέστι σμικρολόγον, f. 92r καὶ τὴν τῶν πραγμάτων ἀκρίβειαν σμικρολογίαν καλοῦσιν.

p. 995ᵃ11 Ὥστε καθάπερ ἐπὶ τῶν συμβολαίων καὶ τῶν λόγων.

30 Ὃ λέγει, τοῦτό ἐστιν, ὅτι καθάπερ ἐπὶ τῶν συναλλαγμάτων καὶ τῶν λόγων περὶ ἐλάχιστον ὁ καταγινόμενος μέχρι ὀβολοῦ, εἰ τύχοι, ἀνελεύθερος δοκεῖ εἶναι. οὕτω καὶ ἐν τοῖς λόγοις ἀνελεύθερόν ἐστι τὸ καταγίνεσθαι περὶ τὴν τῶν πραγμάτων ἀκρίβειαν. ἀνελεύθερον οὖν ἤδη τισὶ δοκεῖ καὶ τὸ ἐν τοῖς λόγοις ἄγαν ἀκριβὲς καὶ περὶ τῶν μικρῶν ἐξεταστικόν, ὥσπερ καὶ τὸ

4. 6 Φοινικικὸν scripsi; cf. Plato Reip. Γ 414 C: Φοινικὸν libri 9 μὴ ex Aristotele addidi 20 Δημοσθένην] cf. de Halonn. p. 77. 78; sed verba ipsa illic non leguntur 21 Ἀριστοφάνης] Nub. 145. 831 23 μισῶ κτλ.] Eupolidis fragm. 352 (Comic. Att. fragm. ed. Kock I 351) 25 ὁ Καλλικλῆς] Plat. Gorg. p. 486 C sq. 26. 27 παράλογα] addendum fort. συνάγειν 29 καὶ ἐπὶ τῶν Aristoteles 33 ἀνελεύθερον — ἐπιδεχόμενα (p. 136, 7. 8) Alexandri sunt

ἐν τοῖς συναλλάγμασιν. προειπὼν δὲ ταῦτα καὶ δείξας τὴν τῶν ἐθῶν ἰσχύν, καὶ ὅτι κατ' οἰκειότητα τὴν κατὰ τὰ ἔθη καὶ τὰ λεγόμενα ἀποδέχονται, ἐπιφέρει διὸ δεῖ πεπαιδεῦσθαι πῶς ἕκαστα ἀποδεκτέον· "πεπαιδευμένου γάρ ἐστιν ἐπὶ τοσοῦτον τὸ ἀκριβὲς ἐπιζητεῖν καθ' ἕκαστον γένος, ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται." ἐνδείκνυται γὰρ ἡμῖν ὅτι καθόλου μὲν δεῖ πεπαιδεῦσθαι καὶ εἰδέναι πῶς χρὴ τῶν λεγομένων ἀκούειν ἕκαστον· οὐ γὰρ πάντα ὅμοια οὐδ' ἴσην τὴν ἀκρίβειαν ἐπιδεχόμενα. δεῖ οὖν, φησί, πρῶτον ἐν τοῖς ἀναλυτικοῖς γεγυμνάσθαι καὶ τοῖς λογικοῖς, καὶ εἰδέναι τοὺς τρόπους τῶν ἀποδείξεων καὶ τὰς τῶν λόγων συναγωγάς· ἄτοπον γὰρ ἅμα τε ζητεῖν ἐπιστήμην τινός, καὶ περὶ αὐτῆς τῆς ἐπιστήμης ζητεῖν τίνα τρόπον γίνεται. δεῖ γὰρ πρότερον γινώσκειν τὸν τρόπον καθ' ὃν δεῖ θηρᾶσθαι αὐτήν. καὶ τότε αὐτὴν τὴν ἐπιστήμην· οὐδέτερον γὰρ τούτων ῥᾴδιον θηρᾶσθαι. οὔτε τὸν τρόπον οὔτε δὴ τὴν ἐπιστήμην.

p. 995a14 Τὴν δὲ ἀκριβολογίαν τὴν μαθηματικὴν οὐκ ἐν ἅπασιν ἀπαιτητέον.

Ὁμοίως γάρ ἐστι, φησὶν ἐν τοῖς Ἠθικοῖς, μαθηματικοῦ πιθανολογοῦντος ἀποδέχεσθαι καὶ ῥητορικὸν ἀποδείξεις ἀπαιτεῖν. τοῦτο οὖν λέγει καὶ νῦν, ὅτι f.92v τὴν ἀκριβολογίαν τὴν μαθηματικὴν οὐκ ἐν ἅπασι δεῖ ἀπαιτεῖν, ἀλλ' ἐν τοῖς ἀύλοις, ὁποῖά ἐστι τὰ ἐξ ἀφαιρέσεως. ὥστε οὐ φυσικός ἐστιν ὁ τρόπος ὁ μαθηματικός· ἅπασα γὰρ ἴσως ἡ φύσις ἔχει ὕλην. καλῶς τὸ ἴσως προσέθηκε διὰ τὰ οὐράνια. οὐ γὰρ κυρίως ἐπ' ἐκείνων ὕλη θεωρεῖται.

p. 995a17 Διὸ σκεπτέον πρῶτον τί ἐστι φύσις.

Διὰ τοῦ εἰπεῖν 'δεῖ ἡμᾶς πρότερον ἐπισκέψασθαι τί ἐστι φύσις' ἐπανατρέχει πάλιν ἐπὶ τὰ φυσικὰ καὶ περὶ φύσεως διαλέγεται, καὶ οὐκέτι ἐστὶ θεολογία ἡ πραγματεία. λέγομεν οὖν πρὸς τοῦτο ἢ ὅτι οὐ κυρίως τὸ βιβλίον τοῦτο τῆς Μετὰ τὰ φυσικά ἐστι πραγματείας, ἀλλὰ προγραφόμενον πάσης τῆς θεωρητικῆς φιλοσοφίας, ἢ ὅτι δεῖ πρότερον προγυμνάζεσθαι εἰς τὰ φυσικὰ θεωρήματα· τότε οὖν δυνατὸν παρακολουθῆσαι τοῖς ἐνταῦθα λεγομένοις. μανθάνοντες γὰρ τί ἐστι φύσις γινώσκομεν καὶ περὶ τίνος ἡ φυσική ἐστι πραγματεία, καὶ εἰ μιᾶς ἐπιστήμης ἢ πλειόνων τὰ αἴτια καὶ τὰς ἀρχὰς θεωρῆσαί ἐστι. καὶ λέγομεν ὅτι μιᾶς ἐπιστήμης θεωρῆσαι τὰ τέσσαρα αἴτια, τὸ ποιητικὸν τὸ τελικόν, τὸ εἰδικὸν τὸ ὑλικόν. οἷον τῆς φυσικῆς τὰ ἄλλα προσεχῆ· τὰ γὰρ πορρωτέρω αἴτια, οἷον περὶ τοῦ ὄντος πρώτου αἰτίου καὶ τῆς ἀνειδέου ὕλης καὶ τοῦ τελικοῦ αἰτίου καὶ τοῦ εἰδικοῦ, τοῦ πρώτου ἐστὶ φιλοσόφου ἔργον θεωρῆσαι.

---

3 ἀποδεκτέον, ἴσον λέγων τῷ καὶ αὐτῷ ἐν τοῖς Ἠθικοῖς εἰρημένῳ τῷ πεπαιδευμένου γὰρ κτλ. Alex. 4 πεπαιδευμένου κτλ.] Eth. Nicom. A 1 p. 1094b23 5 ἐνδεικνύμενος Alex. 8 δεῖ—γίνεται (11) Alexandri sunt 15 ἐν τοῖς Ἠθικοῖς] Eth. Nicom. A 1 p. 1094b23 24 οὐ om. D 32 γὰρ] fort. δὲ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Β ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ f. 93r ΓΕΝΟΜΕΝΑ ΥΠΟ ΑΣΚΛΗΠΙΟΥ ΑΠΟ ΦΩΝΗΣ ΑΜΜΩΝΙΟΥ ΤΟΥ ΕΡΜΕΙΟΥ.

p. 995a24 Ἀνάγκη πρὸς τὴν ζητουμένην ἐπιστήμην ἐπελθεῖν
5 ἡμᾶς, περὶ ὧν ἀπορῆσαι δεῖ.

Ἐν τῷ μείζονι Α διελέχθη ἡμῖν περὶ τῆς πρώτης φιλοσοφίας, ἥτις καταγίνεται περὶ τὸ ὄντως ὄν, εἶτα πρὸς τούτοις ἐζήτησε περὶ τῶν ἀρχῶν καὶ ἐξέθετο τὰς τῶν παλαιοτέρων δόξας περὶ αὐτῶν, καὶ τὰς μὲν ἤλεγξε, τὰς δὲ ἀπεδέξατο· καὶ ὕστερον ἐπήγαγε τὴν ἑαυτοῦ δόξαν, δεικνὺς ὅτι
10 τέσσαρες ὑπάρχουσιν ἀρχαί, ὑλικὸν εἰδικόν, ποιητικὸν τελικόν. καὶ ἐπιστώσατο τὸν λόγον καὶ ἐκ τῶν παλαιοτέρων καὶ ἐκ τοῦ λόγου. ἐφεξῆς ἐν τῷ ἐλάττονι Α ἔδειξεν ὅτι πεπερασμέναι ὑπάρχουσιν αἱ ἀρχαὶ καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω καὶ κατ' εἶδος. ἐνταῦθα σκοπός ἐστι τῷ προκειμένῳ βιβλίῳ, τουτέστι τῷ Β, ἀπορῆσαι πρὸς τὴν πρώτην φιλοσοφίαν.
15 καὶ ἐκτίθεται πλείστας ὅσας ἀπορίας, φάσκων ὅτι, ὥσπερ οἱ δεδεμένοι οὐ δύνανται προελθεῖν, ἐὰν μὴ πρότερον τὸν δεσμὸν διαρρήξωσι, διαρρῆξαι δὲ οὐ δύνανται τὸν δεσμόν, εἰ μὴ γνῶσι τὸν τρόπον τῆς λύσεως τοῦ δεσμοῦ, οὕτως φημὶ καὶ ἐπὶ τῶν ἀπορούντων, ὅτι οὐ δυνατὸν αὐτοὺς γνῶναι τὸ πρᾶγμα καὶ τὴν ἀλήθειαν, εἰς ἣν ἐπείγονται, εἰ μὴ πρότερον
20 μάθωσι τὰς ἀπορίας τὰς φερομένας κατ' αὐτῆς τῆς ἐπιστήμης καὶ ἐπιλύσωνται αὐτάς· ἐπιλύσασθαι δὲ αὐτὰς τῶν ἀδυνάτων ἐστίν, εἰ μὴ πρότερον γνῶσιν αὐτὴν τὴν ἀπορίαν καὶ τὸ πρᾶγμα, καθ' οὗ φέρεται ἡ ἀπορία. ἐκτίθεται οὖν, ὡς εἴρηται, πάσας τὰς ἀπορίας καὶ ἐπιχειρεῖ ἐφ' ἑκάτερα. καὶ τὰς λύσεις τῶν ἀπορι῾ῶν ἐπάγει ἐν τῷ Γ· ἡμεῖς δὲ ἐνίας ἐξ αὐτῶν καὶ f. 93v
25 ἐνταῦθα ἐπιλυόμεθα. φησὶν οὖν ὅτι δεῖ ἐκτίθεσθαι πάσας τὰς ἀπορίας καὶ μὴ ἐρήμην καταψηφίζεσθαι τῆς ἀληθείας, ἀλλὰ τοῦτο ἑλέσθαι ὅπερ ὑπαγορεύει ἡμῖν ἡ τοῦ λόγου ἀλήθεια. ἡ γὰρ ἀπορία συμβάλλεται ἡμῖν καὶ πρὸς τὴν κατάληψιν τῶν πραγμάτων. ὡς γάρ φησιν ὁ Πλάτων, καθάπερ

23 ὁ Πλάτων] Reip. Δ p. 435 A

τὰ πυρεῖα παρατριβόμενα ἀλλήλοις φῶς ἐκπέμπουσιν, οὕτω δὲ καὶ αἱ ἀπορίαι γεννῶσιν εὐπορίαν. συμβάλλονται δὲ ἡμῖν καὶ πρὸς ἕξιν· ἀσφαλεστέραν γὰρ ἕξιν λαμβάνει ὁ ἀπορῶν διὰ τὴν συνεχῆ κίνησιν τῶν θεωρημάτων. συμβάλλεται δὲ ἡμῖν, φησί, καὶ πρὸς τὸ μὴ πιστεύειν, ὡς
5 ἔτυχε, τοῖς λεγομένοις· δεῖ γὰρ ἑκατέρους λέγειν τοὺς λόγους καὶ ὕστερον κρατύνειν τὸ ἀληθὲς ἀδεκάστως κρίνοντας, πάντων προτιμῶντας τὴν ἀλήθειαν. διὸ καὶ ὁ Πλάτων εἰσάγει πρόσωπα συνηγοροῦντα τῇ ἀδικίᾳ, τῇ ἀκολασίᾳ, τῷ εἶναι θνητὴν τὴν ψυχήν, καὶ τότε ἐπιρραπίζει αὐτὰ συνηγορήσας αὐτοῖς πρότερον κατὰ τὸ καρτερόν.

10 p. 995a24 Ἀνάγκη πρὸς τὴν ζητουμένην ἐπιστήμην ἐπελθεῖν ἡμᾶς.

Ὃ λέγει τοῦτό ἐστιν. ἀναγκαῖον, φησίν, ἐστὶ πρὸς τὴν εὕρεσιν τῆς ἐπιστήμης ταύτης, τουτέστι τῆς πρώτης φιλοσοφίας, καὶ τῶν κατὰ τὴν ἐπιστήμην ταύτην ζητουμένων ἐπελθεῖν ἡμᾶς πρῶτον καὶ ἐξαριθμήσασθαι
15 αὐτά, περὶ ὧν δεῖ πρῶτον ἀπορῆσαι. τοῦτο δὲ λέγει, ἐπειδὴ πρῶτον τὰς ἀπορίας ἐκτίθεται. ἔστι δὲ καὶ καθολικώτερον ἀκοῦσαι τοῦ εἰρημένου, ὅτι ἀναγκαῖον πρὸς πᾶσαν ἐπιστήμην ζητουμένην ἐπελθεῖν περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον· διὰ γὰρ τούτων ἡ τῶν ἐπιστημῶν εὕρεσις· εἰ δὲ πρὸς πᾶσαν, καὶ πρὸς ταύτην.

20 p. 995a25 Ταῦτα δέ ἐστιν ὅσα τε περὶ αὐτῶν ἄλλως ὑπειλήφασίν τινες.

Εἶναι γάρ φησί τινα περὶ ὧν οὐκ εἰκότως ὑπέλαβον ὄντως ἀλλὰ διημαρτημένως. ἢ ὅτι ἄλλοι ἄλλως ὑπέλαβον. ταῦτα δὲ μάλιστα ἀπορίαν παρέχει. περὶ ὧν προκαταβέβληνται διάφοροι δόξαι ὑπὸ τῶν πραγματευ-
25 σαμένων. κἂν εἴ τι χωρὶς τούτων τυγχάνοι παρεωραμένον, ἐπειδὴ ἐξέθεντο καὶ οἱ παλαιότεροι ἀπορίας κατὰ τῆς πρώτης φιλοσοφίας ἀλλ' οὐ πάσας. δεῖ οὖν ἡμᾶς ἐκθέσθαι καὶ τὰς ὑπ' ἐκείνων μὴ τεθείσας. εἶτα ταῦτα εἰρηκὼς καθόλου κατασκευάζει καὶ δείκνυσιν ὅτι χρήσιμον πᾶσι τοῖς πραγματευομένοις περί τινος πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν τὸ
30 πρῶτον περὶ αὐτῶν διαπορεῖν· ἡ γὰρ εὐπορία αὐτῶν καὶ ἡ εὕρεσις καὶ ἡ κατασκευὴ ἐκ τῆς λύσεως τῶν ἠπορημένων ἤρτηται. ἔστι δὲ καὶ ἄλλως σαφέστερον τὸ προκείμενον ῥητὸν ἐξηγήσασθαι· ἡ γὰρ λύσις, φησί, τῶν προηπορημένων αἰτία τῆς ὕστερον γινομένης εὐπορίας.

---

1 πυρία libri 8 αὐτὰ scripsi: αὐτὰς libri 9 αὐτοῖς scripsi: αὐταῖς libri 12 ἀναγκαῖον — ταύτην (19) pleraque Alexandri sunt 12. 13 τῆς τε ἐπιστήμης αὐτῆς Alex. 20 ἄλλως ex Aristotele scripsi; cf. v. 23: ἄλλοι libri 23 ἢ ὅτι — πραγματευσαμένων (24. 25) Alexandri sunt ἀπορίας Alex. 28 καθόλου—ἤρτηται (31) Alexandri sunt 31 εὑρέσεως Alex. 32 ἡ γὰρ — εὐπορίας (33) Alexandri sunt

p. 995a29 Λύειν δὲ οὐκ ἔστιν ἀγνοοῦντας τὸν δεσμόν.

Φησὶν ὅτι τῶν ἀδυνάτων ἐστὶ λῦσαι τὸν δεδεμένον τὸν ἀγνοοῦντα τὴν οὐσίαν καὶ τὴν πλοκὴν τοῦ δεσμοῦ. ἀλλὰ ἡ τῆς διανοίας ἀπορία δηλοῖ τὴν τοῦ πράγματος ἀκαταληψίαν· ὅταν γὰρ ἀπορῶμεν περί τινος καὶ ἴσμεν ὅτι ἀποροῦμεν, ἴσμεν ὅτι, ἐν ὅσῳ ἀποροῦμεν, ἀκατάληπτός ἐστιν ἡ τοῦ πράγματος φύσις. καθὸ γὰρ ἀπορεῖ τις, ἔοικε τοῖς δεδεμένοις· οὔτε γὰρ ὁ ἀπορῶν οὔτε ὁ δεδεμένος προέρχεται εἰς τὸ ἐφεξῆς, ἀλλ' ὁ μὲν σωματικῶς ὁ δὲ ψυχικῶς. διὰ τοῦτο οὖν δεῖ πρότερον θεωρεῖν καὶ ἀνιχνεύειν τὰς δυσχερείας καὶ τὰς ἀπορίας πρότερον τὰς φερομένας κατὰ τοῦ πράγματος, περὶ οὗ τὸν λόγον ποιούμεθα, καὶ ἐπιλύεσθαι αὐτάς. οἱ γὰρ ζητοῦντες ἄνευ τοῦ ⟨ἀπορῆσαι⟩ ἐοίκασι τοῖς ἀγνοοῦσι ποῖ ⟨δεῖ⟩ βαδίζειν, καὶ διὰ f.94v τοῦτο οὐδέποτε τοῦ τέλους τυγχάνουσι. δεῖ γὰρ τοὺς βαδίζοντας πρότερον ὁρίζειν τὸν τόπον ἐν ᾧ δεῖ αὐτοὺς ἀπελθεῖν, καὶ λοιπὸν τὰς ὁδοὺς τὰς ἐκεῖσε αὐτοὺς ἀπαγούσας, ποία μέν ἐστι κρημνώδης, ποία δὲ δύσβατος ἢ τελματώδης. δεῖ οὖν εἰδέναι τὴν ὁδὸν ὁποία ποτέ ἐστι, τὴν ἐπὶ τὸ τέλος ἀπάγουσαν, καὶ αἱρεῖσθαι τὴν κρείττονα· εἰ γὰρ μὴ εἰδείησαν τὴν ὁδόν, οὐδέποτε τὸ ζητούμενον τέλος εὑρήσουσιν. ὁ γὰρ τὴν ὁδὸν ἀγνοῶν καὶ τὸ τέλος ἀγνοήσει κυρίως. διό φησιν τὸ γὰρ τέλος τούτῳ μὲν οὐ δῆλον ὑπάρχει, τῷ δὲ προηπορηκότι δῆλον· ὁ γὰρ εἰδὼς τὰ πράγματα καὶ τὰς ἀπορίας τὰς φερομένας κατὰ τοῦ πράγματος καὶ ἐπιλυόμενος αὐτὰς εἴσεται καὶ τὸ τέλος. εἰ τοίνυν ἡ εὕρεσις καὶ ἡ κατασκευὴ τῶν ζητουμένων ἤρτηται τῆς τῶν ἀπορουμένων λύσεως, λύειν δὲ οὐκ ἔστι τὸν δεσμόν τινος, εἰ μὴ πρότερον γνῶμεν αὐτόν, τουτέστι καθὸ δέδεται (πῶς γὰρ ἂν λύσειέ τις τῷ ὄντι κατ' ἐπιστήμην τὸν ἀγνοούμενον δεσμόν;) δεσμὸς δὲ ἐν τοῖς ζητουμένοις ἡ τῆς διανοίας ἀπορία, δεῖ οὖν γνωρίζειν τὸν δεσμόν, εἰ μέλλοι τις λύειν αὐτόν· οὐκ ἐᾷ γὰρ προελθεῖν εἰς τὸ ἔμπροσθεν. οἱ οὖν ἀποροῦντες ἐοίκασι τυφλοῦ πορείᾳ· οὐ γὰρ ἔχουσι σκοπὸν χωρὶς τοῦ ἐπεσκέφθαι τὰ ἀπορούμενα. ὁδηγεῖ γὰρ τὰ προηπορημένα τοὺς ἀπορήσαντας πρὸς τὸ τὰς ζητήσεις ποιεῖσθαι κατὰ λόγον· οἱ γὰρ χωρὶς τοῦ ἀπορῆσαι ζητοῦντες περί τινων, οὐκ εἰδότες περὶ ὧν δεῖ ζητεῖν ζητοῦσι. προστίθησι δὲ τούτοις τὸ ὁμοίους εἶναι τοῖς ποῖ δεῖ βαδίζειν ἀγνοοῦσιν· οἷς δὲ ἀγνοεῖται τὸ τέλος, τούτοις οὐδέποτε γίνεται γνώριμον. τοῖς δὲ προηπορηκόσι γνώριμον τὸ τέλος καὶ ὁ σκοπός· ἡ γὰρ τῶν ἀπορεῖσθαι περί τινων δυναμένων λύσις τὸ τέλος τε καὶ ἡ εὕρεσις αὐτοῦ. προστίθησι δὲ τοῖς προειρημένοις καὶ ἄλλην αἰτίαν, ὅτι ἀναγκαῖόν ἐστι τὸ προαποreῖν. γίνεται δὲ τοιαύτη· ὥσπερ γάρ, φησίν, ἐν ταῖς κρίσεσιν ἄμεινον f.95r κρίνουσιν οἱ ἀμφοτέρων τῶν ἀντιδικούντων ἀλλήλοις ἀκούσαντες καὶ μὴ

11 ἀπορῆσαι et δεῖ addidi coll. v. 30. 31 et Metaph. 995a35. 36 21 εἰ — ἀπορία (25) pleraque Alexandri sunt 22 ἤρτηται Alex.: εὕρηται libri 27 οὐ γὰρ - σκοπός (33) magnam partem excerpta ex Alexandro 32 fort. οἷς γὰρ 33 ἡ γὰρ — ζητήσεις (p. 140,8) Alexandri sunt

μόνον θατέρου, οὕτως καὶ ἐπὶ τῶν ζητουμένων ὑγιεστέρα ἡ κρίσις ἡ περὶ αὐτῶν γίνεται, εἰ πάντα τις τὰ ἀπορεῖσθαι δυνάμενα καὶ λέγεσθαι πρὸς τὴν κατασκευὴν αὐτῶν καὶ θέσιν ἐπέλθοι τε καὶ λύσει. διὰ δὲ τῶν προειρημένων περὶ τοῦ δεῖν διαπορεῖν πρῶτον εἴη ἂν αὐτῷ δεικνύμενον ἅμα καὶ τὸ χρήσιμον τῆς διαλεκτικῆς πρὸς φιλοσοφίαν καὶ τὴν τοῦ ἀληθοῦς εὕρεσιν· τῆς γὰρ διαλεκτικῆς τὸ ἀπορεῖν καὶ ἐπιχειρεῖν εἰς ἑκάτερον. ἀληθὲς ἄρα τὸ ἐν τοῖς Τοπικοῖς εἰρημένον τὸ χρήσιμον εἶναι τὴν διαλεκτικὴν πρὸς τὰς κατὰ φιλοσοφίαν ζητήσεις.

p. 995 b 4 Ἔστι δὲ ἀπορία πρώτη μὲν περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις διηπορήσαμεν.

Ἐντεῦθεν ἄρχεται ὁ φιλόσοφος ἀπορεῖν πρὸς τὴν πρώτην ἐπιστήμην· καὶ ἔστιν αὕτη πρώτη ἀπορία. ἄξιον γάρ ἐστι, φησίν, ἀπορίας. ἆρα πλείους ἐπιστῆμαι γινώσκουσι τὰ διάφορα αἴτια, ἄλλη μὲν τὸ ποιητικὸν ἄλλη δὲ τὸ ὑλικόν, ἄλλη τὸ εἰδικὸν ἄλλη τὸ τελικόν, ἤγουν μία ἐπιστήμη. πρῶτον τοῦτο ἄξιον ἀπορῆσαι, καὶ οὕτως ἀπορήσας ἐᾷ τὸν λόγον νῦν· ἡμεῖς δέ φαμεν ὅτι μία καὶ μόνη ἐπιστήμη γινώσκει τὰ τέσσαρα αἴτια καθόλου. οὐ γὰρ δυνατὸν διαφόρους ἐπιστήμας εἰδέναι αὐτά, ἐπεὶ οὕτως οὐκ εἴσεται κυρίως τὴν πρώτην φιλοσοφίαν ἡ εἰδυῖα ἓν μόνον αἴτιον· ὥστε οὐδὲ ἐπιστήμη ἐστὶν ἀγνοοῦσα τὰς ἀρχάς. νῦν δὲ καὶ ὑπόκειται ἐπιστήμη εἶναι, καὶ ὡς μὲν τῆς πρώτης φιλοσοφίας τὰς ἁπλῶς ἀρχὰς οἶδεν, ὡς δὲ τῶν μερικῶν τὰ κατὰ μέρος, οἷον ἐπὶ ἰατρικῆς ὅτι ὑλικὸν τὰ ἀνθρώπινα σώματα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν καὶ αἰτίων. ἔστιν οὖν, φησίν, ἀπορία πρώτη μὲν περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις διηπορήσαμεν· ἠπόρησε γὰρ πρὸς τῷ τέλει τοῦ ἐλάττονος A, ἡνίκα ἔλεγεν "εἰ f. 95v μιᾶς ἐπιστήμης [ἐστὶν] ἢ πλειόνων τὰ αἴτια καὶ τὰς ἀρχὰς θεωρῆσαί ἐστι". τοῦτο οὖν καὶ ἐνταῦθα λέγει, ὅτι πότερον μιᾶς ἐπιστήμης ἢ πολλῶν ἐστι τὸ θεωρῆσαι τὰς αἰτίας. εἰρήκαμεν δὲ καὶ τὴν λύσιν.

p. 995 b 6 Καὶ πότερον τὰς τῆς οὐσίας ἀρχάς.

Ἐντεῦθεν δευτέραν ἀπορίαν ἐκτίθεται· ἔστι δὲ τοιαύτη ὅτι ἆρά γε τὰς ἀρχὰς μόνας ἐπίσταται τῆς οὐσίας ἡ πρώτη φιλοσοφία τὰς πρώτας τῆς κυρίως, ἧς ὁ νοῦς μόνος θιγγάνει ἁπλαῖς ἐπιβολαῖς, ἢ καὶ τὰς κοινὰς ἐννοίας ἐπίσταται. καὶ λέγομεν ὅτι καὶ τὰς ἀρχὰς οἶδε τῆς οὐσίας τὰς πρώτας καὶ τὰς κοινὰς ἐννοίας. καὶ λοιπὸν ἐξ αὐτῆς λαμβάνουσιν οἱ κατὰ μέρος ἐπιστήμονες, οἷον ὁ φυσικὸς ἔχει κοινὴν ἔννοιαν ταύτην εἰληφὼς ἀπὸ τοῦ πρώτου φιλοσόφου, ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος· εἰ γὰρ ὑποθώμεθα γίνεσθαί τι ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος,

4 ἂν Alex.: ἐν libri 5 τῆς ἀληθείας Alex. 6 διαπορεῖν Alex. ἑκάτερα Alex. 7 ἐν τοῖς Τοπικοῖς] A 2 25 ἐστὶν delevi 36 εἰ γὰρ — ὄντος om. D

πρῶτον προϋπάρξει, φησί, τὸ μηδαμῇ μηδαμῶς ὂν τοῦ ὄντος. ἔπειτα δύναμιν ἔχει τοῦ γενέσθαι ἢ οὐκ ἔχει. εἰ μὲν οὖν ἔχει δύναμιν τοῦ γενέσθαι, ὕλη ἐστί (πάντα γὰρ τὰ γινόμενα κατὰ χρόνον ἔνυλά φασιν οἱ φιλόσοφοι), καὶ ἔσται προτέρα ἡ ὕλη· εἰ δὲ μὴ ἔχει δύναμιν τοῦ γενέσθαι, οὐδ' ἄν ποτε γένοιτο. πάλιν ἐπὶ γεωμέτρου, ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα· καὶ ἐπὶ ἰατροῦ, ὅτι ἐκ τῶν τεσσάρων χυμῶν συνεστήκασι τὰ ἡμέτερα σώματα· καὶ ἐπὶ λογικῶν, ὅτι ἐπὶ παντὸς ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύει. ὥστε ἡ πρώτη φιλοσοφία καταγίνεται καὶ περὶ τὰς ἀρχὰς τῆς οὐσίας τῆς κυρίως τὰς πρώτας καὶ περὶ τὰς κοινὰς ἐννοίας, καὶ μερίζει ταύτας ταῖς διαφόροις ἐπιστήμαις. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι πότερον τὰς τῆς οὐσίας ἀρχὰς τὰς πρώτας τοῦ σοφοῦ καὶ τοῦ πρώτου φιλοσόφου καὶ τῆς προκειμένης ἐπιστήμης ἐστὶ μόνον θεάσασθαι, τὰς ἀρχὰς τῆς πρώτης οὐσίας, ἢ οἰκεῖόν ἐστιν αὐτῇ τὸ καὶ τὰς ἀποδεικτικὰς f.96r ἀρχὰς ἰδεῖν, ἐξ ὧν αἱ ἀποδείξεις κοινῶν ἀρχῶν οὐσῶν γίνονται, ἅπερ ἀξιώματα καλοῦνται; ἀρχαὶ γὰρ αἱ τοιαῦται πάσης ἐπιστήμης· διό φησιν ἢ καὶ περὶ τῶν ἀρχῶν ἐξ ὧν δεικνύουσι πάντες, οἷον πότερον ἐνδέχεται τὸ αὐτὸ καὶ ἓν ἅμα φάναι καὶ ἀποφάναι ἢ οὔ, καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων.

p. 995b10 Εἴ τε ἔστι περὶ τὴν οὐσίαν, πότερον μία περὶ πάσας ἢ πλείονές εἰσιν.

Ἐντεῦθεν τρίτην ἀπορίαν ἐκτίθεται ὁ φιλόσοφος καί φησιν, ἆρα πάσας τὰς οὐσίας μία ἐπιστήμη γινώσκει ἢ πλείονες; καί φαμεν ἡμεῖς ἐπιλυόμενοι ὅτι καὶ μία καὶ πλείους. κατὰ γὰρ τὸ εἶναι οὐσία μία εἰσὶ πᾶσαι, κατὰ δὲ τὴν ὑπόστασιν πολλαὶ ὑπάρχουσιν. ὡς οὖν μίαν οὐσίαν οὖσαν μία ἐπιστήμη λαμβάνει αὐτήν, ὡς δὲ πλείους οὐσίας πολλαὶ ἐπιστῆμαι. καὶ ἡ γεωμετρία γὰρ περὶ οὐσίαν καταγίνεται καὶ ἡ ἀριθμητικὴ καὶ ἡ ἀστρονομία καὶ ἡ ἰατρική, ὥστε διάφοροι ἐπιστῆμαι ὑπάρχουσι τῶν διαφόρων οὐσιῶν. τετάρτην ἀπορίαν ἐπάγει τοιαύτην λέγων οὕτως. πάλιν ἄξιον ἀπορῆσαι ὅτι, εἰ πλείονές εἰσιν ἐπιστῆμαι, πότερον ἅπασαι συγγενεῖς ὑπάρχουσιν ἀλλήλαις ἢ οὔ; εἰ οὖν τῶν τῆς οὐσίας αἰτίων μία ἐπιστήμη ἢ πλείους εἶεν, πότερον συγγενεῖς καὶ σοφίαι, ἢ αἱ μὲν σοφίαι αἱ δὲ ἄλλο τι ἐπιστήμης εἶδος; φαμὲν οὖν ὅτι κυρίως σοφία ἐστὶν ἡ πρωτίστη, συγγενεῖς δὲ αὐτῆς αἱ ἄλλαι ὑπάρχουσιν, ἀλλὰ αἱ μὲν πλησιαίτερον αἱ δὲ πορρώτερον· οἷον ἀριθμητικὴ μᾶλλον πλησιάζει τῇ πρώτῃ φιλοσοφίᾳ ἤπερ γεωμετρία, καὶ γεωμετρία μᾶλλον ἁρμονικῆς, εἰ τύχοι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. αὗται δὲ πᾶσαι ἐπιστῆμαι ὑπάρχουσι.

8 ἢ ἀπόφασις D 25 οὐσίας scripsi: οὐσίαι libri 30 εἰ οὖν — εἶεν (31)] διαφέροι δ' ἂν αὕτη ἀπορία τῆς πρώτης καὶ τῷ ἐν ἐκείνῃ μὲν ἁπλῶς περὶ τῶν αἰτίων εἰρηκέναι, οὐ τῶν τῆς οὐσίας, ἐν ταύτῃ δέ, εἰ τῶν τῆς οὐσίας αἰτίων μία ἐπιστήμη ἢ πλείους ⟨καὶ εἰ πλείους add. Br.⟩ εἶεν Alex. 31 πότερον πᾶσαι συγγενεῖς Alex. 32 ἐπιστημῶν Alex.

p. 995ᵇ13 Καὶ τοῦτο δὲ αὐτὸ τῶν ἀναγκαίων ἐστὶ ζητῆσαι.

Ἐντεῦθεν ἑτέραν ἀπορίαν ἐκτίθεται φάσκων οὕτως, ὅτι ἀναγκαῖόν ἐστι ζητῆσαι, ἆρά γε μόνα τὰ αἰσθητὰ οὐσίαι ὑπάρχουσιν, ἢ καὶ τὰ νοητά. διὸ ὁ πολὺς ἄνθρωπος τὰ μὴ ὄντα αἰσθητὰ οὐδὲ εἶναι ὑπολαμ- f. 96v
5 βάνει· ὃ δέ φησί τις τῶν φιλοσόφων, ὅτι κυρίως οὐσίαι τὰ νοητὰ μόνα ὑπάρχει· τὰ γὰρ αἰσθητὰ οὐδὲ ὑπάρχουσι, διότι ἐν ῥύσει εἰσί. 'τὶ τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τὶ τὸ γινόμενον, ὂν δὲ οὐδέποτε.' καὶ ὁ Πλάτων πάλιν ἐν τῇ Πολιτείᾳ λαμβάνει μίαν εὐθείαν καὶ τέμνει αὐτὴν δίχα εἰς νοητὴν οὐσίαν καὶ αἰσθητήν, καὶ τὴν νοητὴν διαιρεῖ εἴς τε νοητὴν
10 καὶ διανοητήν· καὶ πάλιν τὴν ἄλλην εἰς αἰσθητὴν καὶ εἰκαστήν· εἰκαστὰ δὲ ὑπάρχουσιν οἷον τὰ ἐν ἐσόπτροις φαινόμενα καὶ τὰ ἐν γραφαῖς. φησὶν οὖν ὅτι ὃν λόγον ἔχουσι τὰ αἰσθητὰ πρὸς τὰ εἰκαστά, τὸν αὐτὸν ἔχουσι καὶ τὰ νοητὰ πρὸς τὰ διανοητά· ὥστε κυρίως οὐσίαι τὰ νοητὰ μόνα ὑπάρχουσιν· οὐσίαι γάρ εἰσιν ἀμιγεῖς τινος ἄλλου. τῶν οὖν ἀναγκαίων ἐστὶ τὸ ζητῆσαι, πότε-
15 ρον τὰς αἰσθητὰς οὐσίας μόνας φαμὲν εἶναι ἢ καὶ παρὰ ταύτας ἄλλας, καὶ πότερον μοναχῶς, ἢ πλείονα γένη τῶν οὐσιῶν ὑπάρχουσιν, οἷον οἱ ποιοῦντες τὰ εἴδη τὰ παντελῶς χωριστὰ καὶ τὰ μαθηματικά· τὰ γὰρ μαθηματικὰ μεταξὺ τούτων ὑπάρχουσι τῶν πρώτων οὐσιῶν. ὡς πολλάκις εἴρηται, καὶ τῶν αἰσθητῶν. δεῖ οὖν ἡμᾶς, φησί, καὶ περὶ
20 τούτων διαπορῆσαι, καὶ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνη ἐστὶν ἢ καὶ περὶ τὰ συμβεβηκότα καθ' αὑτὰ ταῖς οὐσίαις. εἰδέναι οὖν χρὴ ὅτι ἐν ταῖς πρωτίσταις οὐσίαις οὐ θεωροῦνται τὰ συμβεβηκότα· ἐκεῖναι γὰρ ἐνέργειαι ὑπάρχουσιν ἄνευ δυνάμεως, ὥς φησιν ἀλλαχοῦ, καὶ ὁ νοῦς αὐτὸς θιγγάνων αἱρεῖ αὐτὰ ἁπλαῖς ἐπιβολαῖς, ὥς φησιν ὁ Πλάτων. τὰ δὲ καθ'
25 αὑτὸ συμβεβηκότα τοῖς καθόλου ὑπάρχουσιν, οἷον τῷ ἁπλῶς τριγώνῳ τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας· εἰ γὰρ καὶ τὸ μερικὸν ἔχει, ἀλλὰ οὐ πρώτως· πρώτως γὰρ τὸ καθόλου ἐστὶ τὸ ἔχον. τὰ δὲ μερικὰ συμβεβηκότα οὐκ ἔχουσι καθ' ὕπαρξιν ἀλλ' ἐπεισοδιωδῶς, οἷον τὸ καθέ- f. 97r
ζεσθαι, τὸ σιμόν, τὸ γρυπὸν καὶ ὅσα ἄλλα τοιαῦτα. ἔχουσι καὶ τὰ οὐράνια,
30 ἀλλὰ κατὰ σχέσιν, διότι ποτὲ τρίγωνον σχῆμα ἀποτελοῦσι πρὸς ἑαυτοὺς οἱ ἀστέρες ἢ τετράγωνον ἢ τι ἄλλο τοιοῦτο. καθ' ὕπαρξιν δὲ οὐκ ἔχουσι τὰ συμβεβηκότα· οὔτε γὰρ ποτὲ μέν ἐστι σφαιροειδὴς ὁ ἥλιος ποτὲ δὲ οὐκ ἔστιν, ὥσπερ ἐνταῦθα· δυνατὸν γὰρ τὸν γρυπὸν σιμὸν γενέσθαι ἀπὸ πληγῆς τινος, ἢ τὸν καθήμενον ἀναστῆναι. φησὶν οὖν ὁ Πορφύριος ὅτι πρώ-
35 τως ἐν τοῖς ἀτόμοις θεωροῦνται τὰ συμβεβηκότα, καὶ δεύτερον ἐν τοῖς εἴδεσι. καὶ οὐδὲν οὕτως ἐθαύμαζε τῶν εἰρημένων ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου ὁ Πρόκλος ὡς τοῦτο, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος Ἀμμώνιος. τὰ γὰρ εἴδη ὡς ἀσώματα οὐκ ἔχουσιν ἐν ἑαυτοῖς συμβεβηκότα· ὁ γὰρ

3 τὸ ζητῆσαι D 6 τί τὸ ὂν κτλ.] cf. Plat. Tim. p. 27 D 7 γιγνόμενον μὲν ἀεί Plato l. l. 8 ἐν τῇ Πολιτείᾳ] VI p. 509 D sq. 23 ἀλλαχοῦ] Metaph. Λ 7 24 ὁ Πλάτων] de Rep. VI p. 511 B 34 ὁ Πορφύριος] Isag. c. 6 p. 13, 20 Busse

λόγος ὁ παρὰ τῷ δημιουργῷ τοῦ κόρακος οὐκ ἔστι μέλας, ἀλλὰ κατὰ συμβεβηκὸς λέγεται τὸ εἶδος εἶναι μέλαν τῷ θεωρεῖσθαι ἐν τοῖς κατὰ μέρος ἀτόμοις, τουτέστι τοῖς καθ' ἕκαστα κόραξιν. ὡς οὖν εἴρηται, τὰ καθ' αὐτὸ συμβεβηκότα ἐν τοῖς καθόλου θεωρεῖται, ἅτινα συμβάλλονται ἡμῖν εἰς τοὺς ὁρισμοὺς τῶν πραγμάτων.

p. 995ᵇ20 Πρὸς δὲ τούτοις περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου καὶ ἀνομοίου.

Πάλιν ἐντεῦθεν ἑτέραν ἀπορίαν ἐπάγει τοιαύτην, φάσκων οὕτως, ἀρά γε τὸ ζητεῖν περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ἐναντιότητος καὶ ὁμοίου καὶ ἀνομοίου καὶ περὶ προτέρου καὶ ὑστέρου καὶ τῶν ἄλλων τῶν τοιούτων τῆς πρώτης φιλοσοφίας ἢ ἄλλης τινὸς ἐπιστήμης. καί φαμεν ὅτι οὔτε ὁ γεωμέτρης ζητεῖ περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου καὶ ἀνομοίου καὶ προτέρου καὶ ὑστέρου οὔτε ὁ ἀριθμητικὸς ἁπλῶς οὔτε ἄλλος τις τῶν κατὰ μέρος ἐπιστημόνων, τουτέστιν ὁ φυσικὸς ἢ ὁ ἰατρός, ἀλλ' ὁ πρῶτος φιλό- f. 97v σοφος. καὶ εἰκότως, ἐπειδὴ σκοπὸν ἔχει ὁ πρῶτος φιλόσοφος περὶ πάντων τῶν ὄντων διαλέγεσθαι, ταῦτα δὲ διὰ πάντων τῶν ὄντων διαπεφοιτήκασιν, ἡ ἑτερότης καὶ ἡ ταυτότης καὶ ἡ ὁμοιότης καὶ τὸ πρότερον καὶ τὸ ὕστερον. ἀμέλει τοι καὶ ὁ Πλάτων πρὸς τῇ οὐσίᾳ τὰ γένη τῶν ὄντων ὑπαγορεύων φησὶν εἶναι ἑτερότητα καὶ ταυτότητα, ἐπειδὴ διαπεφοιτήκασι διὰ πάντων τῶν ὄντων· ὁμοίως δὲ καὶ ἡ ἐναντιότης. τὸ γὰρ μὴ ὄν, ὥς φησιν ὁ Πλάτων, οὐκ ἔστιν παρ' ἔλαττον τοῦ ὄντος, οὐ τὸ μηδαμῇ μηδαμῶς ὄν, ἀλλὰ τὸ πῇ μὴ ὄν· πάντα γὰρ τὰ ὄντα ὡς πρὸς ἄλλα παραβαλλόμενα πῇ μὴ ὄντα ὑπάρχουσιν, ὥστε εἰκότως φησὶν ὁ Πλάτων ὅτι οὐκ ἔλαττόν ἐστι τοῦ ὄντος τὸ μὴ ὄν, πῇ μὴ ὂν δηλονότι. ἀλλὰ καὶ ἡ ἐναντιότης θεωρεῖται ἐν ἅπασι τοῖς οὖσι. τὸ γὰρ μὴ ὂν θάτερόν ἐστιν, ἐπιτεινόμενον δὲ τὸ θάτερον ἴσχει ἐναντιότητα. ἀμέλει τοι καὶ τὰς Κατηγορίας ἔγραψεν ὁ Ἀριστοτέλης ὡς πρῶτος φιλόσοφος, ἐπειδὴ διὰ πάντων τῶν ὄντων διαπεφοιτήκασιν ἡ οὐσία τὸ ποσὸν καὶ αἱ ἄλλαι κατηγορίαι. τὸ γὰρ περὶ τοιούτων διαλέγεσθαι, ὡς πολλάκις ἡμῖν εἴρηται, τοῦ πρώτου ἐστὶ φιλοσόφου· λοιπὸν οἱ καθ' ἕκαστα ἐπιστήμονες περὶ τῶν ὑποβεβλημένων αὐτοῖς διαλέγονται. ἠπόρησε δὲ Ἀσκληπιὸς ὁ τῆς ἰατρικῆς τέχνης διδάσκαλος ὁ σὺν ἡμῖν ἐνδιατρίψας τοῖς μαθήμασιν· 'εὖ δέ τις ἀπορήσειεν ὅτι καὶ πῶς ἐν Τόποις διαλέγεται περὶ ταὐτοῦ καὶ ἑτέρου, ἅτινα λέγομεν πεφοιτηκέναι διὰ πάντων τῶν ὄντων;' ὁ δὲ ἡμέτερος φιλόσοφός φησι πρὸς αὐτόν, ὅτι ἐπειδὴ ὁ διαλεκτικὸς ὑποδύεται τὸν πρῶτον φιλόσοφον, τούτου χάριν καὶ αὐτὸς διαλέγεται περὶ τῶν διαπεφοιτηκότων διὰ πάντων τῶν ὄντων, ἀλλὰ ἐνδόξως, ὥσπερ ὁ σοφιστὴς σοφιστικῶς· ὁ μέντοι γε f. 98r πρῶτος φιλόσοφος ἀληθινῶς καὶ ἀποδεικτικῶς διαλέγεται. προτίθεται οὖν

---

18 ὁ Πλάτων] Soph. p. 254 E sqq. 21 ὁ Πλάτων] Soph. p. 258 B sqq. 32 ἐνδιατρίψας scripsi: ἐνδιατρίψαι libri εὖ scripsi: εἰ libri 33 ἐν Τόποις] Top. H p. 151ᵇ28 sqq. 38 προτίθεται—ἀποδεικνύουσι (p. 144, 6) Alexandri sunt

ζητῆσαι καὶ αὐτὸς περὶ τούτων, ἐπειδὴ καὶ αὐτὸς χρῆται αὐτοῖς ἐν τοῖς ἀποδεικνυμένοις ὑπ' αὐτοῦ κατὰ τήνδε τὴν πραγματείαν. καὶ γὰρ τῷ ταὐτῷ, ὅπερ ἐπὶ οὐσιῶν λέγεται, χρῆται· ζητεῖ οὖν εἰ αἱ αὐταί εἰσι πᾶσαι αἱ οὐσίαι ἀλλήλαις ἢ οὔ, ἀλλ' ἕτεραι· ἀλλὰ καὶ τοῖς ἄλλοις οἷς κατ-
5 έλεξε πᾶσιν ἐν ταῖς δείξεσιν ἀναγκαῖον αὐτῷ προσχρῆσθαι· κοινὰ γὰρ ταῦτα ὄργανα τοῖς ἀποδεικνύουσι.

p. 995ᵇ20 Πρὸς δὲ τούτοις καὶ περὶ ταὐτοῦ καὶ ἑτέρου.

Φησὶν ὅτι ἄξιόν ἐστιν ἀπορῆσαι τίνος ἐστὶ τὸ ζητῆσαι περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου καὶ ἀνομοίου καὶ ἐναντιότητος, περὶ προ-
10 τέρου καὶ ὑστέρου καὶ τῶν ἄλλων ἁπάντων τῶν τοιούτων, περὶ ὅσων οἱ διαλεκτικοὶ πειρῶνται σκοπεῖν ἐξ ἐνδόξων καὶ μόνων ὁρμώμενοι. ἄξιον οὖν ἐστιν ἀπορίας, τίνος ἐστὶ θεωρῆσαι περὶ πάντων τούτων. καὶ εἰρήκαμεν ἐν τῇ θεωρίᾳ ὅτι τοῦ πρώτου φιλοσόφου, ἐπειδὴ περὶ ὧν διαλέγεται πεφοιτήκασι διὰ πάντων τῶν ὄντων.

15 p. 995ᵇ25 Ἔτι δὲ τούτοις ὅσα καθ' αὑτὰ συμβέβηκε· καὶ μὴ μόνον τί ἐστιν ἕκαστον αὐτῶν.

Φησὶν ὅτι δεῖ ἡμᾶς πρὸς τούτοις ἀπορῆσαι ὅσα καθ' αὑτὰ συμβέβηκε τούτοις, οἷον εἰ ἄρα τῷ ἑνὶ ἓν ἐστιν ἐναντίον ἢ πολλά, καὶ εἰ δυνατόν ἐστι τὰ ἐναντία ὑπὸ διάφορα γένη ἀνάγεσθαι. φαμὲν οὖν ὅτι ἀδύνατον
20 δύο ἑνὶ ἐναντία εἶναι· οὔτε γὰρ οὕτως ἄδικός ἐστιν ἡ φύσις, καθάπερ ἐν τῷ Περὶ ἑρμηνείας λέγεται, ὥστε δύο ἑνὶ ἀντιτάξαι, ἡνίκα περὶ τοῦ ἀγαθοῦ λόγος ἐγίνετο, ἀλλ' ἓν ἑνὶ ἐναντίον ἐστί. πάλιν φησὶν ὅτι ἡ δικαιοσύνη καὶ ἀδικία ἐναντία ὑπάρχουσι. καὶ ἡ μὲν δικαιοσύνη ὑπὸ τὴν ἀρετὴν ἀναφέρεται, ἡ δὲ ἀδικία ὑπὸ τὴν κακίαν. λέγομεν οὖν ὅτι καὶ ταῦτα f.98v
25 ὑπὸ ἓν γένος τελοῦσι τὴν ποιότητα· καὶ ἡ ἀρετὴ γὰρ καὶ ἡ κακία ὑπὸ τὴν ποιότητα τελοῦσιν. εἰ δέ φασιν ὅτι τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐξήρηται, φαμὲν ὅτι καὶ αὐτὰ ὑπὸ τὸ ποιὸν τελοῦσι, τὸ ⟨ἀγαθὸν καὶ τὸ⟩ κακὸν τὸ ἐνταῦθα, ἐπεὶ ἐν τῷ πρώτῳ οὐκ ἔστι κακόν. ἐν αὐτῷ γὰρ οὔθ' ἑτερότης θεωρεῖται οὔτε δὲ ταυτότης· ὑπὲρ τὴν ἑτερότητα γὰρ ἐστι καὶ τὴν
30 ταυτότητα. διὸ οὐδὲ ἄτομόν τι δεῖ λέγειν τὸν θεόν· τὸ γὰρ ἄτομον ὑπὸ τῆς ὕλης τέμνεται καὶ περιγράφεται, ὁ δὲ θεὸς ἄυλός ἐστιν ὡς καὶ προακτικὸς πάντων. οὔτε δὲ κακία ἐστὶν ἐκεῖσε· ἡ γὰρ κακία ὑπὸ ἀσθενείας τῆς ψυχῆς γίνεται, καὶ τῆς φύσεως ἀσθενούσης γίνεται τὸ κακόν. δείκνυται γὰρ καὶ ἐν τῷ Γοργίᾳ ὅτι τὰ κακὰ ὑπὸ ἀδυναμίας γίνονται. ἐξηγήσατο

1 ζητεῖν καὶ περὶ τούτων Alex. 2 πρὸς αὐτοῦ Alex. 3 εἰσι Alex.: οὐσίαι libri 4 οὐσίαι Alex.: αὐταὶ libri 20. 21 ἐν τῷ Περὶ ἑρμηνείας] cf. de Interpr. c. 14, sed verba ipsa illic non leguntur 22 φησὶν] fort. φασὶν 27 ἀγαθὸν καὶ τὸ addidi 29 alterum τὴν om. D 30 οὔτε libri 31. 32 πρακτικὸς D 34 ἐν τῷ Γοργίᾳ] Plato Gorg. p. 468 E 470 A ἐξηγήσατο — ἐστι (p. 145,6) Alexandri sunt

οὖν, τίνα λέγει τὰ καθ' αὑτὸ συμβεβηκότα διά [τε] τοῦ εἰπεῖν καὶ μὴ μόνον τί ἐστιν· ἐν γὰρ τῷ τί ἐστι τὰ καθ' αὑτὸ ὑπάρχοντα ἐμπεριέχεται. εἴη δ' ἂν τῇ ἐναντιότητι καθ' αὑτὸ συμβεβηκὸς τὸ ἔμμεσον, τὸ ἄμεσον, ἔτι τὸ ὑπ' αὐτοῦ προστεθειμένον περὶ τοῦ εἰ ἓν ἑνὶ ἐναντίον ἐστὶν ἢ μή, ὃ καὶ αὐτὸ δοκεῖ θεώρημα εἶναι διαλεκτικόν· δεῖν γάρ φησιν ἐπισκέψασθαι, εἰ καὶ τὸ περὶ τούτου τὴν ἀλήθειαν ἐξετάσαι τοῦ σοφοῦ ἐστι. δεῖ οὖν [καὶ] τὴν οὐσίαν αὐτῶν γινώσκουσι καὶ τὰ καθ' αὑτὸ συμβεβηκότα ὑπάρχειν αὐτοῖς.

p. 995ᵇ27 Καὶ πότερον αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα τὰ γένη ἐστὶν ἢ εἰς ἃ διαιρεῖται ἐνυπάρχοντα ἕκαστον.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι ἄξιόν ἐστιν ἀπορίας, [ἆρά γε] ποῖα γένη ὑπάρχουσι τῶν ὄντων, πότερον αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα ἢ εἰς ἃ διαιρεῖται ἕκαστον, τουτέστιν ἆρά γε ἡ ὕλη καὶ τὸ εἶδος ἢ τὰ τέσσαρα στοιχεῖα ἢ τὰ πρὸ τῶν πολλῶν εἴδη, τουτέστι τὸ ζῷον αὐτὸ καὶ τὰ ἄλλα τὰ ἐξῃρημένα εἴδη. καὶ λέγομεν ὅτι ἀμφότερα· ὡς μὲν γὰρ προσεχῆ αἴτια τὰ τέσσαρα στοιχεῖα, μᾶλλον δὲ τὸ εἶδος καὶ ἡ ὕλη, ὡς δὲ ἐξῃρημένα αἴτια f. 99r τὸ αὐτοζῷον * * τὰ πρὸ τῶν πολλῶν γὰρ αἴτια ὑπάρχουσι τῶν τῇδε πάντων πραγμάτων. τουτέστιν οἱ δημιουργικοὶ λόγοι. ζητεῖ οὖν ἐνταῦθα, εἰ τὰ γένη ἀρχαὶ τούτων ὧν ἐστι γένη (δοκεῖ γὰρ τὰ γένη πρῶτα εἶναι τῇ φύσει, τὰ δὲ πρῶτα ἀρχαί) ἢ ταῦτα εἰς ἃ διαιρεῖται ἕκαστον ἐνυπάρχοντα ἐν τοῖς μέρεσιν (ἕκαστον γὰρ ἐνυπάρχει ἐν τοῖς ἑαυτοῦ μέρεσιν), ὡς ἡ οὐσία δοκεῖ εἰς ὕλην τε καὶ εἶδος, ἢ τὰ τέσσαρα στοιχεῖα ἢ ἅπερ ἄν τις ὑποθῆται. εἰς ταῦτα γὰρ διαιρεῖται ἕκαστον ἐξ ὧν καὶ σύγκειται. ταῦτα δὲ ἑκάστου ἀρχαὶ δοκοῦσιν εἶναι ἐξ ὧν πρώτων σύγκειται, ὡς τῆς φωνῆς τὰ στοιχεῖα. ἀλλ' εἰ καὶ τὰ γένη ἀρχαί, πάλιν φησὶν ἄξιον ζητεῖν πότερον τὰ ἀνωτάτω γένη ἢ τὰ προσεχῆ τοῖς ἀτόμοις, ἃ εἴδη ὄντα ἄτομα κοινότερον γένη ὠνόμακεν· οἷον πότερον τὸ ζῷόν ἐστι τὸ γένος ἢ ὁ ἄνθρωπος ἀρχή τε καὶ μᾶλλόν ἐστι παρὰ τὸ καθ' ἕκαστον. καί φαμεν ὅτι ἐπὶ μὲν τῶν πρὸ τῶν πολλῶν τὸ ζῷόν ἐστι γένος, ἐπὶ δὲ τοῖς πολλοῖς καὶ ὑστερογενέσι, τουτέστιν ἐν τῇ φαντασίᾳ, ὁ ἄνθρωπος μᾶλλον παρὰ τὸ καθ' ἕκαστον· ἀκριβέστερον γάρ τις ὁρίζοιτο τὸν Καλλίαν ἄνθρωπον λέγων ἤπερ ζῷον.

---

1 τε expunxi Alexandrum secutus 2 ἐμπεριέχεται] sic etiam Alex.: οὐ περιέχεται ci. Br. 3 φησὶν εἶναι τὰ καθ' αὑτὰ συμβεβηκότα οἷον πάσης ἐναντιότητος καθ' αὑτὸ κτλ. Alex. 4 ἔτι] ἢ οἷόν ἐστι Alex. 5 δεῖ Alex. 7 καὶ (post οὖν) delevi 11 ἆρά γε delevi 17 lacunam indicavi 19 εἰ τὰ γένη — ὠνόμακεν (27) pleraque Alexandri sunt 20 ταῦτα — ἑαυτοῦ μέρεσιν (21) desunt Alexandro 22 ἢ (ante τὰ) Alex.: εἰ libri 23 σύγκειται ἕκαστον πρώτων Alex. 24 πρώτων Alex.: πρῶτον libri 25 φησὶν Alex.: φασὶν libri 30 παρὰ scripsi coll. v. 28: δὲ libri

p. 995ᵇ31 Μᾶλλον δὲ ζητητέον καὶ πραγματευτέον.

Φησὶν ὅτι πολλῆς ἄξιόν ἐστιν ἀπορίας καὶ ζητήσεως τὸ τοιοῦτο, ἆρά γε ἔστι τι παρὰ τὴν ὕλην αἴτιον καθ' αὑτὸ ὑπάρχον ἢ οὔ· καὶ τοῦτο ἆρά γε χωριστόν ἐστιν ἢ οὐκ ἔστι· καὶ τοῦτο ἕν ἐστι κατ' ἀριθμὸν ἢ πολλά. φαμὲν οὖν ὅτι ἔστιν ὁμολογουμένως αἴτια χωριστὰ τῆς ὕλης πάντα τὰ νοητὰ τὰ καὶ προακτικὰ τῆς ὕλης ὑπάρχοντα· τὸ γὰρ πρῶτόν ἐστι τὸ κοσμοῦν τὴν ὕλην. διὰ τοῦτο γὰρ ἐλέγομεν καὶ τὴν ὕλην θεόθεν παρῆχθαι· οὐκ ἂν γὰρ ἐκόσμησε τὸ μὴ παραχθὲν ὑπ' αὐτοῦ. ταῦτα οὖν λέγει διὰ τοὺς παλαιοὺς φυσικούς, ἐπειδὴ ἐκεῖνοι τὴν ὕλην καὶ μόνην αἰτίαν f. 99v ἐτίθεντο καὶ τὰ ταύτης πάθη κατὰ συμβεβηκὸς ἐτίθεντο αἴτια. καθ' αὑτὸ μὲν γὰρ αἴτιον ἦν αὐτοῖς ὁ ἀὴρ ἢ τὸ ὕδωρ ἢ τὸ μεταξὺ ἤ τι ἄλλο, ὃ ἀρχὴν καὶ στοιχεῖον ὑπετίθεντο· κατὰ συμβεβηκὸς δὲ ἡ μανότης καὶ ἡ πυκνότης, καὶ ἡ σύγκρισις καὶ ἡ διάκρισις. ζητεῖ οὖν, εἰ ἔστιν αἴτιόν τι παρὰ τὴν ὕλην, πότερον αὐτὸ καθ' αὑτό ἐστιν ὑφεστὸς κεχωρισμένον τῆς ὕλης, ἢ ἐν τῇ ὕλῃ ἔχει τὸ εἶναι, ὁποῖόν ἐστι τὸ ἔνυλον εἶδος, καὶ ὡς τοῖς ἀπὸ τῆς Στοᾶς ἔδοξεν ὁ θεὸς καὶ τὸ ποιητικὸν αἴτιον ἐν τῇ ὕλῃ εἶναι.

p. 995ᵇ34 Καὶ πότερον ἔστι τι παρὰ τὸ σύνολον· λέγω δὴ τὸ σύνολον.

Πάλιν ἐντεῦθεν ἑτέραν ἀπορίαν κινεῖ λέγων οὕτως, ὅτι ἆρά γε ἔστι τι παρὰ τὸ σύνολον, τουτέστι παρὰ τὸ σύνθετον; οἷον κατηγορεῖται τῆς ὕλης τὸ κακὸν καὶ τὸ αἰσχρόν· ἆρα οὖν, φησίν, ἔστι τι αὐτὸ καθ' αὑτὸ τὸ αἰσχρὸν καὶ τὸ κακὸν ἢ οὐδέν ἐστιν αὐτὸ καθ' αὑτὸ ἄνευ τῆς ὕλης; ἢ τῶν μέν ἐστιν ἰδέα, τουτέστι τῶν οὐσιῶν, τῶν δὲ κακῶν οὐκ εἰσιν ἰδέαι· οὐδὲν γὰρ κακὸν παρὰ τῷ δημιουργῷ ὑπάρχει. τὰ γὰρ κακὰ ἐνταῦθα γίνονται ὑπὸ ἀσθενείας τῆς ψυχῆς ἢ τῆς φύσεως· οὔτε γὰρ ἐν αὐτῇ τῇ ψυχῇ θεωρεῖται κακόν (ἀγαθὴ γάρ ἐστιν), ἀλλ' ἐκ τῆς σχέσεως τῆς πρὸς τὸ σῶμα ἀναδέχεται τὸ φερόμενον κακόν. ἐναντίον οὖν ἐστι τὸ κακὸν τῷ ἀγαθῷ τῆς ψυχῆς τῷ θεωρουμένῳ ἐν τῇ ψυχῇ μετὰ τῆς τοῦ σώματος σχέσεως, οὐκ αὐτῷ τῷ ἀγαθῷ τῷ συνουσιωμένῳ τῇ ψυχῇ· ἐκείνῳ γὰρ οὐδέν ἐστιν ἐναντίον· τὰ γὰρ φαινόμενα κακὰ περὶ τὴν ὕλην θεωροῦνται. οὔτε δὲ τῶν καθ' ἕκαστα ὑπάρχουσιν αἱ ἰδέαι· αἱ γὰρ ἰδέαι τῶν καθόλου ὑπάρχουσι τῶν διαμενόντων ἀεί. τοῦτο οὖν ζητεῖ, εἰ ἔστι τι χωριστὸν εἶδος παρὰ τὸ κοινὸν ἢ οὐδέν ἐστι παρὰ τὸ κοινόν, ἢ τῶν μέν ἐστι, τῶν δὲ οὐκ ἔστιν, ὡς δοκοῦσι λέγειν οἱ λέγοντες μήτε τῶν παρὰ φύσιν εἶναι μήτε τῶν κακῶν μήτε δὲ τῶν τεχνητῶν. σύνολον δὲ λέγει τὸ συναμ- f. 100r φότερον.

---

6 τὰ om. D 10 καθ' αὑτὸ — διάκρισις (13) Alexandri sunt

p. 996a1 Ἔτι αἱ ἀρχαὶ πότερον ἀριθμῷ ἢ εἴδει ὡρισμέναι.

Ἐντεῦθεν ζητεῖ περὶ τῶν κυρίως ἀρχῶν, καί φησιν ὅτι αἱ ἀρχαὶ ἆρα ὡρισμέναι ὑπάρχουσι τῷ ἀριθμῷ ἢ τῷ εἴδει; καὶ καταχρηστικῶς εἶπε τὸν ἀριθμόν· ἐπὶ γὰρ τοῦ πρώτου αἰτίου οὔτε μονὰς οὔτε δυὰς θεωρεῖται· ἐπέκεινα γάρ ἐστι καὶ τοῦ ἑνός, εἴ γε παρακτικόν ἐστι τοῦ ὄντος καὶ τοῦ ἑνὸς καὶ τῆς δυάδος. ἰστέον οὖν ὅτι ὥρισται ὁ ἀριθμὸς τῶν νοητῶν καὶ οὐκ ἔστιν ἄπειρος· τὰ γὰρ πλησιαίτερον τῆς πρώτης ἀρχῆς μᾶλλον ἥνωνται. καὶ ὥς φησιν ὁ Πλωτῖνος, ὅτι μία μέν ἐστιν ἀρχή, πολλῶν δὲ προακτικὴ δυνάμεων, καὶ κατὰ τοῦτο θαυμάζεται, καθὸ μείζονα παράγει. καὶ τῷ εἴδει δὲ διάφοροι ὑπάρχουσι κατὰ τὴν ὑπόβασιν, οὐκ ἔστι δὲ ἄπειρα τὰ εἴδη αὐτῶν, ἀλλὰ καὶ αὐτὰ ὡρισμένα ὑπάρχουσι. ζητῆσαι οὖν, φησί, δεῖ καὶ περὶ τῶν ἀρχῶν καὶ τῶν αἰτιῶν, εἰ ὑπάρχουσι πεπερασμέναι, πότερον κατ' εἶδός εἰσι μόνον πεπερασμέναι κατ' ἀριθμὸν δὲ οὔ, ἢ καὶ κατ' ἀριθμόν εἰσι πεπερασμέναι, ὡς εἶναι ἓν κατ' ἀριθμὸν τὸ ποιητικὸν καὶ μίαν τὴν ὅλην καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἢ εἰ καὶ μὴ ἓν ἀριθμῷ τὸ αἴτιον καθ' ἕκαστον εἶδος αἰτίου, ἀλλὰ πεπερασμένα γε, ὡς ἔδειξεν ἐν τῷ πρὸ τούτου.

p. 996a1 Καὶ εἰ ἐν τοῖς λόγοις καὶ ἐν τῷ ὑποκειμένῳ.

Διπλῆ ἐξήγησις φέρεται τοῦ ῥησειδίου τούτου· μία μὲν τοιαύτη, εἰ ἐν τοῖς λόγοις, τουτέστι τὸ ποιητικὸν αἴτιον καὶ τὸ τελικὸν καὶ τὸ εἰδικόν, ὑποκείμενον δὲ τὸ ὑλικόν· ἢ ἐν τοῖς λόγοις ταῖς τῶν παλαιῶν δόξαις, ὅτι καὶ οἱ παλαιότεροι πεπερασμένας ὑπέθεντο τὰς ἀρχάς, καὶ τὸ ὑποκείμενον δέ. καὶ ἀληθῶς οὕτως ἔχει ὅτι οὐχ ὑπάρχουσιν ἄπειροι αἱ ἀρχαί.

p. 996a2 Καὶ πότερον τῶν φθαρτῶν καὶ ἀφθάρτων.

Ἑτέραν ἀπορίαν κινεῖ ἐντεῦθεν γλαφυρωτάτην λέγων οὕτως, ὅτι ἆρά γε τῶν φθαρτῶν καὶ ἀφθάρτων μία ἐστὶν ἡ ἀρχή, ἢ τῶν μὲν ἀφθάρτων ἄφθαρτος, τῶν δὲ φθαρτῶν φθαρτή. λέγομεν οὖν ἡμεῖς, ὅτι πάντων καὶ τῶν φθαρτῶν καὶ τῶν ἀφθάρτων κυρίως ἄφθαρτός ἐστιν ἡ ἀρχὴ ἡ πρωτίστη πασῶν· πρώτως γὰρ αὕτη πάντα παράγει, καὶ διὰ μέσου τὰ οὐράνια· τῶν δὲ ἀφθάρτων ὁμολογουμένως ἡ ἀρχὴ ἄφθαρτος, τουτέστι τῶν ψυχῶν καὶ τῶν οὐρανίων, ὥς φησι· προσεχῶς γὰρ ὁ θεὸς ταῦτα παράγει. τῶν δὲ φθαρτῶν καὶ ἄφθαρτός ἐστιν ἡ ἀρχὴ καὶ φθαρτή· ἄφθαρτος μὲν

---

8 ὁ Πλωτῖνος] cf. Enn. VI 9,6 11 ζητῆσαι—πεπερασμένα γε (16) Alexandri sunt 13. 14 καθ' ἀριθμὸν—πεπερασμέναι desunt Alexandro 16 πεπερασμένον γε Alex.: πεπερασμέναι libri 31 ὁμολογουμένως scripsi: ὁμολογουμένων libri

ὡς ὁ θεὸς καὶ τὰ οὐράνια, φθαρτὴ δὲ ὁ πατήρ, φησίν· "ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος." διό φησι καὶ ὁ Τίμαιος ὅτι δανειζομένη ἐκ τῆς ὁλότητος τῶν στοιχείων καὶ πάλιν εὐγνωμόνως ἀποδίδωσιν ἡ φύσις· ὥστε οὐ δεῖ λέγειν, φησί, σῶμα ἄφθαρτον κατ' αὐτούς.

5 p. 996a4 Ἔτι δὲ τὸ πάντων χαλεπώτατον καὶ πλείστην ἀπορίαν ἔχον.

Φησὶν ὅτι χαλεπωτάτη ἐστὶν ἀπορία καὶ δυσαντίβλεπτος ἡ περὶ τοῦ αὐτοόντος καὶ αὐτοενός, καθάπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων φασὶν εἶναί τι αὐτοὲν καὶ αὐτοόν, οὐχ ἕτερόν τι ἀλλ' οὐσίαν τῶν ὄντων, ἐξ ἧς τὰ 10 πάντα προάγοντάι. τοῦτο δὲ αὐτὸ καὶ ὁ Ἀριστοτέλης ὑποτίθεται, ἐκ τῆς μιᾶς τῶν πάντων ἀρχῆς τὰ πάντα προάγεσθαι. ὅτι γὰρ πάντα ἐκεῖθεν ἔχουσι τὴν ὑπόστασιν, φανερόν ἐστιν ἐκ τοῦ πάντα ἐπεστράφθαι πρὸς αὐτό· οὐκ ἂν δὲ ἐπεστρέφοντο, εἰ μὴ ἐκεῖθεν προῆλθον. τοῦτο δὲ οὐκ ἔχει ἑτερότητα ἐν ἑαυτῷ, ἀλλὰ ὑπὲρ τὴν ἑτερότητά ἐστι καὶ τὸ ὄν· ἡ γὰρ 15 ἑτερότης ἐν τοῖς τῇδε θεωρεῖται. ἐφεξῆς φησι καὶ περὶ Ἐμπεδοκλέους, ὅτι ὑπετίθετο τὸ νεῖκος καὶ τὴν φιλίαν. τοῦτο δὲ ὡς Πυθαγόρειος· διὰ μὲν γὰρ τῆς φιλίας τὴν ἕνωσιν ἐδείκνυε, διὰ δὲ τοῦ νείκους τὴν διάστασιν. ἐπειδὴ ἐκεῖθεν προέρχεται καὶ ἡ ἕνωσις καὶ τὸ πλῆθος. ἄλλοι δὲ ἀρχὰς τῶν ὄντων τὸ πῦρ ὑπετίθεντο, καθάπερ Ἡράκλειτος, διὸ καὶ με- 20 γάλῳ πτώματι περιέπεσεν· ἢ ὕδωρ, καθάπερ Θαλῆς, ἀέρα Ἀναξιμένης. f. 101r

p. 996a9 Καὶ πότερον αἱ ἀρχαὶ καθόλου εἰσὶν ἢ ὡς τὰ καθ' ἕκαστα τῶν πραγμάτων.

Ἐντεῦθεν αὖθις ἑτέραν κινεῖ ἀπορίαν τοιαύτην, ὅτι πότερον ἡ ἀρχὴ καθόλου ἐστὶν ἢ καθ' ἕκαστα. φαμὲν δὴ ἡμεῖς ὅτι ἡ πρωτίστη ἀρχὴ οὔτε 25 καθ' ἕκαστά ἐστιν οὔτε δὲ καθόλου. τὸ γὰρ καθ' ἕκαστα ἐν ὕλῃ ἔχει τὸ εἶναι· ἄτομον γὰρ γίνεται τεμνόμενον ὑπὸ τῆς ὕλης· τὸ δὲ τοιοῦτο ἔνυλον εἶδός ἐστιν· ἡ δὲ πρώτη ἀρχὴ ἄυλος, εἴ γε παρακτική ἐστι τῆς ὕλης. ἀλλ' οὐδὲ καθόλου ἐστὶν ἡ πρώτη ἀρχή· τὰ γὰρ καθόλου ἢ ἐν τῇ φύσει θεωρεῖται ἤγουν ἐν τῇ ψυχῇ. ἔχει γὰρ ἡ ψυχὴ τοὺς λόγους ἐν ἑαυτῇ 30 τῶν πραγμάτων γνωστικούς, ἡ δὲ φύσις δημιουργικούς· ὁ δὲ θεός ἐστιν ὁ ἐνσπείρων ἐν ταῖς ψυχαῖς καὶ τῇ φύσει τοὺς λόγους τούτους τοὺς καθόλου· ὥστε καὶ ὑπὲρ τὸ καθόλου ἐστί, καὶ οὐδὲν δυνάμει ἐστὶ παρ' αὐτῷ, ἀλλὰ ἐνέργεια ἄνευ δυνάμεως ἐπὶ τοῦ νοῦ, ἡ δὲ πρωτίστη ἀρχὴ καὶ ὑπὲρ ἐνέργειάν ἐστιν.

---

1 ἄνθρωπος κτλ.] cf. Phys. B 2 p. 194b13 2 ὁ Τίμαιος] cf. Platonis Tim. p. 42E 4 φησι] fort. φυσικὸν 8 αὐτοέν libri 9 οὐσία libri 13 προσῆλθον D 28 οὔτε libri

p. 996a11 Ἔτι δὲ πότερον ἄλλως ἢ κατὰ κίνησιν.

Ἡ πρωτίστη ἀρχὴ ἀρά γε ἀκίνητος ὑπάρχει ἢ κινουμένη; καὶ λέγομεν ὅτι τὰ μὲν νοητὰ ἀκίνητα ὑπάρχουσι, τὰ δὲ αἰσθητὰ κινούμενα, τουτέστι τὰ οὐράνια. πρὸς δὲ τούτοις ἄξιόν ἐστιν ἀπορῆσαι πότερον οἱ ἀριθμοὶ καὶ τὰ μήκη καὶ τὰ σχήματα καὶ αἱ στιγμαὶ οὐσίαι τινές εἰσιν ἢ οὔ. οὐ λέγει δὲ τοῦτο ὅτι ἄξιον ἀπορίας, πότερον ταῦτα τῶν ὄντων ἐστὶν ἢ οὔ· ὡμολόγηται γὰρ ὅτι τῶν ὄντων ὑπάρχουσιν· ἀλλὰ ἀπορεῖ ὅτι τὰ ἐν τῇ φαντασίᾳ περὶ ἀριθμῶν καὶ στιγμῶν καὶ τῶν ἄλλων τῶν εἰρημένων ἆρά γε οὐσία ὑπάρχει ἢ οὔ. καὶ φαμὲν ὅτι τὰ μὲν αἰσθητὰ πάντα οὐσίαι ὑπάρχουσι, τὰ μέντοι γε ἐν τῇ φαντασίᾳ οὐχ ὑπάρχουσιν οὐσίαι. καὶ εἰ ὑπάρχουσι, φησίν, οὐσίαι, ἄξιον ἀπορῆσαι πότερον κεχωρισμέναι τῶν αἰσθητῶν ἢ οὔ, ἀλλ' ἐν τούτοις εἰσί. περὶ τούτων οὖν ἁπάντων οὐ μόνον χα- f. 101v
λεπόν ἐστι τὸ εὐπορῆσαι λύσεως καὶ ἀληθείας, ἀλλ' οὐδὲ τὸ ἀπορῆσαι καλῶς περὶ αὐτῶν εὐχερὲς ὑπάρχει.

p. 996a18 Πρῶτον μὲν οὖν περὶ ὧν πρῶτον εἴπομεν, πότερον μιᾶς ἢ πλειόνων ἐστὶν ἐπιστημῶν.

Ἐκθέμενος τὰς ἀπορίας διὰ τῶν προλαβόντων τὰς περὶ τῆς πρώτης φιλοσοφίας ἐντεῦθεν πειρᾶται ἐφ' ἑκάτερα ἐπιχειρεῖν καὶ ἀνασκευάζειν αὐτὰς καὶ κατασκευάζειν διὰ τὸ γυμνάσαι τὴν διάνοιαν. δεῖ δὲ ἡμᾶς τὰ μὲν ἀληθῶς λεγόμενα ὑπ' αὐτοῦ κρατῦναι, τὰ δὲ γυμνασίας χάριν διελέγξαι. χρὴ δὲ καὶ τοῦτο ἐπισημήνασθαι, ὅτι οὐ κατὰ τὴν αὐτὴν τάξιν, καθ' ἣν ἐξέθετο τὰς ἀπορίας, καὶ τὴν ἐπιχείρησιν ποιεῖται τὴν ἐφ' ἑκάτερα, ἀλλὰ πολλάκις τὴν τρίτην ἀπορίαν τετάρτην τάττει καὶ τὴν τετάρτην, εἰ τύχοι, δευτέραν, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. ἦν δὲ ἡ πρώτη ἀπορία τοιαύτη ὅτι ἆρά γε τῶν ἀρχῶν πλείους ἐπιστῆμαι ὑπάρχουσιν ἢ μία; δείκνυσιν οὖν ἐντεῦθεν ὅτι καὶ πλείους καὶ μία· πρότερον δὲ ὅτι πλείους δείκνυσι τοῦτον τὸν τρόπον. φησὶν ὅτι αἱ ἀρχαὶ οὐχ ὑπάρχουσιν ἐναντίαι, καθὸ ἀρχαί, καὶ μάλιστα αἱ πρώτισται, οἷον τὸ ποιητικὸν τὸ τελικόν, τὸ εἰδικὸν τὸ ὑλικόν. αἱ οὖν ἀρχαὶ οὐχ ὑπάρχουσιν ἐναντίαι, ἡ δὲ μία ἐπιστήμη τῶν ἐναντίων ἐστί· τῶν ἄρα ἀρχῶν οὐκ ἔστι μία ἐπιστήμη, ἐπειδὴ οὐδὲ ἐναντίαι ὑπάρχουσιν ἀρχαί. πῶς γὰρ δύναται τὸ ποιητικὸν τῷ τελικῷ εἶναι ἐναντίον, εἴ γε καὶ παράγει αὐτό, ἢ τὸ εἰδικὸν τῷ τελικῷ, εἴ γε καὶ συντρέχει αὐτῷ; οὕτως τοίνυν δείκνυσιν ὁ Ἀριστοτέλης ὅτι πλείους ἐπιστῆμαι ὑπάρχουσι τῶν ἀρχῶν καὶ οὐ μία. φαμὲν δὲ ἡμεῖς συνηγοροῦντες τῇ ἀληθείᾳ κατὰ τὰ ἐπηγγελμένα, ὅτι ὁ παραλογισμὸς γέγονε παρὰ τὴν μείζονα πρότασιν· τῶν μὲν γὰρ ἐναντίων ὁμολογουμένως μία ἐστὶν ἐπιστήμη, f. 102r
οὐκέτι δὲ τῶν μὴ ἐναντίων οὐκ ἔστι μία ἐπιστήμη· ἐπί τινων γὰρ καὶ

30 οὐκέτι D . οὔτε libri

τῶν μὴ ἐναντίων μία ἐστὶν ἐπιστήμη. οὐδὲ γὰρ ὁ γεωμέτρης ἐπιστημονικῶς ὅτι αἱ τρεῖς γωνίαι τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσαι ὑπάρχουσιν. καὶ ὅμως τῷ τοιούτῳ οὐδέν ἐστιν ἐναντίον· ὁμοίως δὲ καὶ ἐπὶ ἄλλων πολλῶν. πάλιν τοίνυν καὶ ἐξ ἄλλου λόγου πειρᾶται δεικνύναι ὅτι τῶν ἀρχῶν πλείους ὑπάρχουσιν ἐπιστῆμαι καὶ οὐ μία, φάσκων οὕτως ὅτι πολλοῖς τῶν ὄντων οὐχ ὑπάρχουσι πᾶσαι αἱ ἀρχαί, οἷον τοῖς ἀκινήτοις· οὔτε γὰρ τὸ ποιητικὸν αἴτιον θεωρεῖται ἐπ' αὐτῶν οὔτε δὲ τὸ τελικόν. καὶ εἰκότως· τὸ μὲν ⟨γὰρ⟩ ποιητικὸν θεωρεῖται ἐπὶ τῶν γινομένων, τὰ δὲ γινόμενα ἐν κινήσει ὑπάρχουσι· διὸ τὴν φύσιν ποιητικὸν αἴτιον οὖσάν φαμεν εἶναι ἀρχὴν κινήσεως καὶ ἠρεμίας. τὰ οὖν ἀκίνητα παντελῶς οὐ γίνονται· διὸ ἐπὶ τῶν μαθημάτων οὔτε ποιητικὸν αἴτιον θεωρεῖται οὔτε δὲ τελικόν. ποῖον γάρ ἐστι ποιητικὸν αἴτιον τοῦ ἔχειν τὸ τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας, ἢ ὅτι τῶν ἰσοσκελῶν αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις ὑπάρχουσιν, ἢ ποῖον τέλος; ὁ γὰρ μαθηματικὸς ᾗ μαθηματικὸς τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασιν ἀποδείκνυσι· καθ' αὑτὸ γὰρ ὑπάρχει τῷ τριγώνῳ, ὡς μεμαθήκαμεν ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ, τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. διὸ καὶ ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ οὐ φησι τὰ μαθήματα κυρίως εἶναι ἐπιστήμας, ἐπειδὴ καὶ τὰς ἀρχὰς ἀποδεικτὰς οὔσας ὁμολογουμένως λαμβάνουσιν, οἷον ὅτι τὸ σημεῖον ἀμερές, καὶ τὰ ἄλλα ὅσα προλαμβάνουσιν ὡς ὁμολογούμενα. ὥστε οὐχ ὁρᾷ πρὸς τέλος τι ὁ μαθηματικὸς καθὸ μαθηματικός. καὶ διὰ ταῦτα Ἀρίστιππος ὁ σοφιστὴς προεπηλάκιζε τὰ μαθήματα, ὡς δῆθεν τῆς ὀψοποιίας ἐχούσης τέλος, τῶν δὲ f.102ᵛ μαθημάτων μὴ ἐχόντων τέλος. ἔλεγε γὰρ ὅτι πᾶσαι αἱ ἄλλαι τέχναι καὶ αἱ βάναυσοι ἀγαθοῦ τινος ἕνεκα ποιοῦσιν ἃ ποιοῦσιν, ἰατρικὴ ὑγείας, ῥητορικὴ τοῦ εὖ λέγειν, σκυτοτομικὴ τοῦ περισώζεσθαι τὸ σῶμα καὶ ὀψοποιική, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. εἰ οὖν καὶ ἡ πρώτη φιλοσοφία ἀκίνητός ἐστι καὶ περὶ ἀκίνητα καταγίνεται, φανερὸν ὡς ὅτι οὐχ ἕξει οὔτε ποιητικὸν αἴτιον οὔτε δὲ τελικόν. εἰ γὰρ τὰ ἀκίνητα καὶ νοητὰ παντελῶς, φησίν, οὐ γίνονται ἀλλ' ἀεί εἰσι, δῆλον ὅτι οὐκ ἔστιν ἐκεῖσε ποιητικὸν αἴτιον· ὡς γὰρ εἴρηται, τὸ ποιητικὸν αἴτιον ἐπὶ τῶν γινομένων θεωρεῖται. ἀλλ' οὐδὲ τελικὸν αἴτιον. τὸ γὰρ τέλος ἀγαθοῦ ἕνεκα γίνεται, οἷον ἡ ἰατρεία ἕνεκεν τοῦ ἀγαθοῦ γίνεται, τουτέστι τῆς ὑγείας, τὸ δὲ ἀγαθὸν ἐν πράξει θεωρεῖται· πᾶσαι δὲ αἱ πράξεις μετὰ κινήσεως ὑπάρχουσιν. ὥστε οὐδὲ τελικὸν αἴτιον θεωρεῖται. εἰ τοίνυν ἡ πρώτη φιλοσοφία οὐκ ἔχει οὔτε ποιητικὸν αἴτιον οὔτε δὲ τελικόν (πῶς γὰρ δυνατὸν ἔχειν αὐτὴν τὰ μὴ ὄντα;) φανερὸν ὅτι ἄλλη ἐπιστήμη καταγίνεται περὶ τὸ ποιητικὸν αἴτιον καὶ τὸ τελικόν· οὔτε γὰρ παντελῶς ἀνῄρηται ἡ τούτων φύσις ἐκ τῶν ὄντων. ὥστε πᾶσά ἐστιν ἀνάγκη πλείους ἐπιστήμας καταγίνεσθαι περὶ τὰς ἀρχάς, οἷον, εἰ τύχοι, τὴν μὲν σοφίαν περὶ τὸ εἰδικόν, ἄλλας δὲ περὶ τὸ ποιητικὸν καὶ τὸ τελικόν. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης γυμναστι-

---

3 ἐπὶ τῶν ἄλλων omisso πολλῶν D 8 γὰρ addidi 16 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 4 p. 73ᵇ31 17 ἐν τῇ Πολιτείᾳ] Plato Reip. Z p. 533 B sqq. 19 fort. ὁμολογουμένας 31 οὔτε libri

κῶς προερχόμενος· ἡμεῖς δέ φαμεν ὅτι καὶ ἐπὶ τῶν μαθημάτων θεωρεῖται τὸ τελικὸν αἴτιον. τῷ γὰρ ὄντι ὁ μαθηματικός, καθὸ μαθηματικὸς ὑπάρχει, οὐκ ἐπισκοπεῖ τὸ τελικὸν αἴτιον, ἀλλ' ὡς εἴρηται τὰ καθ' αὑτὸ ὑπάρχοντα· ὁ μέντοι γε πρῶτος φιλόσοφος καὶ τοῦτο ἐπισκοπεῖ. διό φησιν ὁ
5 Πλωτῖνος 'δοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου f. 103r φύσεως'· ὥστε πάνυ ἡμῖν συμβάλλονται πρὸς τὸ ἐθίζεσθαι ἀφαντασιάστως ἐνεργεῖν, ὅπερ ἐστὶ κεφάλαιον τῶν ἀγαθῶν. ἄλλως τε δή, ὥς φησι καὶ ὁ Πλάτων, ὅτι ὁ κύκλος συμβολικῶς λαμβάνεται εἰς τὸν νοῦν. διὰ τί γάρ, φησί, κύκλῳ κινεῖται ὁ οὐρανός; ὅτι νοῦν μιμεῖται. ὥσπερ οὖν ὁ κύκλος
10 πρὸς ἑαυτὸν ἐπέστραπται, οὕτως καὶ ὁ νοῦς ἡ πρὸς ἑαυτὸν καὶ τὰ νοητὰ ἐπεστραμμένος πρὸς ἑαυτόν· διὸ οὐ δεῖται τῶν ἔξωθεν ὥσπερ ἡ αἴσθησις, καθάπερ εἴρηται ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ. πάλιν ἡ εὐθεῖα συμβολικῶς λαμβάνεται εἰς τὴν ψυχήν, διὰ τὸ ποθέν ποι συλλογίζεσθαι αὐτὴν καὶ ὁδεύειν ἀπὸ προτάσεως ἐπὶ συμπέρασμα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν
15 ἄλλων ἁπάντων. ἰστέον δὲ ὅτι καὶ ἐν ταῖς ἀρχαῖς ταῖς πρωτίσταις ἐστὶ καὶ ποιητικὸν αἴτιον, ἔστι δὲ καὶ τελικόν. ὅτι μὲν γάρ ἐστι ποιητικὸν αἴτιον φανερὸν ἐντεῦθεν ἐξῃρημένον· εἰ γὰρ ὑποθώμεθα πολλὰ αἴτια, ἄδηλον ποία ἐστὶν αὐτῶν ἀρχή, εἴ γε πάντα ὁμότιμα ὑπάρχουσι. δεῖ οὖν τὸ ἓν ἐξῃρῆσθαι τὸ κατ' οὐσίαν πάντων, ἵνα καὶ οὕτως γένοιτο προαγωγὸν τῶν
20 ἄλλων. ἔπειτα δὲ πολλὰ πρῶτα εἶναι οὐ δύναται· διό φησιν "οὐκ ἀγαθὸν πολυκοιρανίη". ποιητικὸν οὖν ἐστιν αἴτιον οὐχ ὡς γινομένων τῶν ἀκινήτων ἀλλ' ὡς ὄντων. πάλιν δὲ καὶ τελικόν ἐστιν αἴτιον, εἴ γε πάντα ἐπέστραπται πρὸς αὐτὸ ὡς μετέχοντα τῆς αὐτοῦ ἀγαθότητος, καὶ ἐκεῖθεν προελθόντα καὶ ἔχοντα τὴν ὑπόστασιν. καὶ ἔστι τὸ αὐτὸ καὶ τελικὸν καὶ
25 ποιητικόν, ἀλλ' ὡς μὲν προαγωγὸν ποιητικόν, ὡς δὲ ἐπιστρέφον καὶ καλοῦν πρὸς ἑαυτὸ τελικόν· ὥστε τῷ μὲν ἀριθμῷ ἡ ταυτότης ἐστὶν ἐπὶ τοῦ πρώτου τῷ ποιητικῷ καὶ τῷ τελικῷ, τῇ δὲ σχέσει διαφέρει. ἄλλως τε δὴ ἐπὶ τῶν πράξεων τὸ μερικὸν ἀγαθὸν θεωρεῖται, οἷον ἡ ὑγεία Σωκράτους ἤ τι ἄλλο τοιοῦτο· ἐπὶ δὲ τοῦ πρώτου τὸ καθόλου ἀγαθὸν θεωρεῖται τὸ f. 103v
30 πάντα ἀγαθῦνον καὶ περιέχον. διὸ καὶ πάντα ἐπέστραπται πρὸς αὐτό, ἅτε δὴ ἀγαθυνόμενα ὑπ' αὐτοῦ, καὶ τὸ τέλειον ἑκάστου ἕνεκα τοῦ τυχεῖν τοῦ τέλους ἐκείνου ὑπάρχει.

p. 996a18 Πρῶτον μὲν οὖν περὶ ὧν πρῶτον εἴπομεν.

Δεῖ ἡμᾶς, φησί, πρότερον ἐξετάσαι περὶ ὧν πρότερον ἠπορήσαμεν,
35 πότερον μιᾶς ἐστιν ἐπιστήμης ἢ πλειόνων τὸ γινώσκειν πάσας τὰς ἀρχάς.

---

4. 5 ὁ Πλωτῖνος] Enn. I 3, 3; ceterum illic legitur πίστεως ἀσωμάτου 9 φησί] cf. Plato Tim. p. 34 A; verba ipsa non sunt Platonis 10 locus corruptus: exspectes tale quid ὁ νοῦς ὁρῶν ἐν ἑαυτῷ τὰ νοητά κτλ. 11 ἐπεστραμμένον libri 12 ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ] B 5 p. 417b 19 sqq. 17 ἐξῃρημένον fortasse post αἴτιον (16) transferendum 20 φησιν] Metaph. Λ 10 p. 1076a4 21 οὐχ om. D 23 αὐτὸ scripsi cf. v. 30: ἑαυτὸ libri 24 προελθόντα scripsi: προσελθόντα libri 27 τῷ ποιητικῷ καὶ τῷ τελικῷ scripsi: τὸ ποιητικὸν καὶ τὸ τελικὸν libri 29 ἐπὶ δὲ scripsi: ἐπειδὴ libri 31 ἅτε δὴ] οὔτε δὲ D fort. ἑκάστῳ

μιᾶς μὲν γὰρ ἐπιστήμης οὐκ ἔστι τοῦτο ἑλεῖν, ἐπειδὴ οὐχ ὑπάρχουσιν ἐναντίαι αἱ ἀρχαί, τῶν δὲ ἐναντίων μία ἐστὶν ἐπιστήμη. ὁ οὖν συλλογισμὸς προέρχεται τοῦτον τὸν τρόπον. ὧν διαφερόντων [ὄντων] κατ' εἶδος ἡ αὐτὴ ἐπιστήμη, ταῦτα ἐναντία ἀλλήλοις· τὰ δὲ αἴτια οὐκ ἔστιν ἐναντία ἀλλήλοις· οὐκ ἄρα ἡ αὐτὴ ἐπιστήμη τῶν διαφερόντων κατ' εἶδος αἰτίων. ἔστι μὲν οὖν ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι, ὅσον ἐπὶ τῷ τρόπῳ ὑγιής τε καὶ συλλογιστικός, ἔχει δὲ τὴν μείζονα πρότασιν οὐκ ἀληθῆ· οὐ γὰρ ἀληθὲς τὸ ὧν διαφερόντων κατ' εἶδος ἡ αὐτὴ ἐπιστήμη, ταῦτα ἐναντία ἀλλήλοις, ἀλλ' ἔστιν ὑγιὲς ὅτι τῶν ἐναντίων ἡ αὐτή ἐστιν ἐπιστήμη.

p. 996a21 Ἔτι δὲ πολλοῖς τῶν ὄντων οὐχ ὑπάρχουσι πᾶσαι.

Ἐντεῦθεν ἕτερον λόγον ἐπιφέρει, δι' οὗ δείκνυσιν ὅτι τῶν ἀρχῶν οὐ μία ἐστὶν ἐπιστήμη ἀλλὰ πολλαί. καί φησιν οὕτως, ὅτι πολλοῖς τῶν ὄντων οὐχ ὑπάρχουσι πᾶσαι αἱ ἀρχαί· τὰ γὰρ ἀκίνητα τῶν ὄντων οὐ δεῖται κινητικῆς αἰτίας. ἀκίνητα δὲ λέγει τὰ ἀγένητα καὶ ἄφθαρτα, φησί, κινήσεως δὲ ἀρχὴν λέγει τὸ ποιητικὸν αἴτιον. ἐν δὲ τοῖς ἀκινήτοις τίθησι καὶ τὰ μαθηματικά· ἐν γὰρ τούτοις οὔτε τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεώς ἐστι, τοῦτο δέ ἐστι τὸ ποιητικόν· πῶς γὰρ ἂν ἐν τοῖς ἀκινήτοις καὶ ἀγενήτοις αἴτιον ποιητικὸν καὶ κινητικόν; ὥστε ἐν τοῖς ἀκινήτοις οὐκ ἔστι τὸ ποι- f.104r
ητικὸν αἴτιον. ἀλλ' οὐδὲ τὸ τελικόν. καὶ τοῦτο ἐδήλωσεν εἰπὼν ἢ τὴν τοῦ ἀγαθοῦ φύσιν πῶς δυνατὸν εἶναι ἐν τοῖς ἀκινήτοις, εἴπερ πᾶν, ὃ ἂν ὑπάρχῃ ἀγαθὸν καθ' αὑτὸ καὶ διὰ τὴν αὑτοῦ φύσιν, τέλος ἐστί. διὰ γὰρ τὸ ἀγαθὸν πάντα τὰ ἄλλα γίνονται, οἷον φλεβοτομία διὰ τὴν ὑγείαν (ἀγαθὸν δὲ ἡ ὑγεία) ναυτικὴ διὰ τὸ τρέφεσθαι (ἀγαθὸν δὲ τὸ τρέφεσθαι), ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων· ὥστε τὸ ὡς ἀγαθὸν αἴτιόν ἐστι τὸ οὗ χάριν τἆλλα γίνονται, αὐτὸ δὲ οὐδενός· τὸ δὲ τοιοῦτο τέλος. ἀλλὰ μὴν τὸ τέλος καὶ ⟨τὸ⟩ τινὸς χάριν τὰ πρὸ τοῦ τέλους ποιεῖν ἐν πράξεσίν ἐστι καὶ ἐν ταῖς ποιητικαῖς καὶ πρακτικαῖς τῶν ἐπιστημῶν· ἐν οἷς δὲ ποίησις καὶ πρᾶξις, καὶ κίνησις ὑπάρχει, ὥστε ἐν τοῖς ἀκινήτοις οὐκ ἂν εἴη οὐδὲ αὐτὴ ἡ αἰτία ἡ τελική, ἥτις ἐστὶ τὸ ἀγαθὸν τὸ τῇ αὑτοῦ φύσει καὶ ἁπλῶς. τοῦτο γὰρ λέγοι ἂν διὰ τοῦ καθ' αὑτὸ καὶ διὰ τὴν αὑτοῦ φύσιν, ὃ καὶ αὐτοαγαθὸν εἶπε. διὸ καὶ ἐν τοῖς μαθήμασιν οὐδὲν δείκνυται διὰ ταύτης αἰτίας, τουτέστι τῆς τελικῆς. οὐδέ ἐστιν ἀπόδειξις οὐδὲ μία διότι βέλτιον ἢ χεῖρον, ἀλλ' οὐδὲ τὸ παράπαν οὐδεὶς οὐδενὸς μέμνηται τῶν τοιούτων. ποῖον γὰρ τέλος τὸ λέγειν ὅτι αἱ τρεῖς γωνίαι τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσαι ὑπάρχουσι; καὶ διὰ τοῦτο Ἀρίστιππος ὁ σοφιστὴς προεπηλάκιζεν, ὥς φησιν αὐτός, τὰ μαθήματα· ἐν μὲν γὰρ ταῖς ἄλλαις τέχναις

1 οὐκέτι D 3 ὧν διαφερόντων — ἐπιστήμη (9) Alexandri sunt ὄντων delevi Alexandrum secutus 6 ὁ λόγος Alex. 7 τὴν πρώτην εἰλημμένην πρότασιν Alex. 9 ὑγιὲς Alex.: ὑγιὴς libri 14 ἀκίνητα δὲ — κινητικόν (18) Alexandri sunt 17 ἂν εἴη ἐν Alex. 21 αὐτοῦ libri 24 ὡς ἀγαθὸν — εἶπε (31) Alexandri sunt 26 τὸ τινὸς χάριν Alex.: τίνος χάριν libri 29 et 30 αὐτοῦ libri 30 λέγοι Alex.: λέγει libri

ταῖς λογικαῖς καὶ ταῖς βαναύσοις, τουτέστι ταῖς ἀλόγοις, ἐν τεκτονικῇ φημι καὶ σκυτικῇ, ἔστι τέλος εὑρεῖν, οἷον ἐν ἰατρικῇ ὑγείαν, ἐν τεκτονικῇ οἶκον ἤ τι ἄλλο τοιοῦτο, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· τὰς δὲ μαθηματικὰς μηδὲν ἔχειν τι αἴτιον τοιοῦτο μηδὲ ποιεῖσθαί τινα λόγον περὶ ἀγαθῶν καὶ
5 κακῶν· ὥστε καταδεεστέραν αὐτὴν εἶναι τῶν ἄλλων ἐπιστημῶν ἤγουν f. 104v τεχνῶν.

p. 996b1 Ἀλλὰ μὴν εἴ γε πλείους ἐπιστῆμαι τῶν αἰτίων.

Ἐντεῦθεν τῷ ὄντι μαρτυρεῖ καὶ συνηγορεῖ τῇ ἀληθείᾳ δεικνὺς ὅτι μία καὶ μόνη ἐπιστήμη ἐστὶ τῶν ἀρχῶν καὶ οὐ πολλαί. δείκνυσι δὲ τοῦτον
10 τὸν τρόπον, λέγων οὕτως. ὅτι εἰ ὑποθώμεθα πλείους ἐπιστήμας τῶν ἀρχῶν καὶ ἔστιν ἑτέρα ἐπιστήμη ἑτέρας ἀρχῆς, οἷον ἄλλη μὲν τοῦ ποιητικοῦ αἰτίου, ἄλλη δὲ τοῦ τελικοῦ, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ἄδηλον ποία ἐστὶν ἡ σοφία, ἆρά γε ἡ εἰδυῖα τὸ τελικὸν αἴτιον ἢ ἡ εἰδυῖα τὸ ποιητικὸν ἤγουν τῶν ἄλλων τι αἰτίων, ὅπερ ἐστὶν ἄτοπον, καὶ τίς μάλιστά ἐστιν ἐπιστήμων,
15 ὁ εἰδὼς τὸ ποιητικὸν αἴτιον ἢ ὁ εἰδὼς τὸ τελικὸν ἤγουν τῶν ἄλλων ⟨τι⟩ αἰτίων. ἄλλως τε δὴ δυνατόν ἐστι συντρέχειν ἅμα πάντα τὰ αἴτια, ὥστε ἐξ ἀνάγκης γινώσκειν τὸν αὐτὸν πάντα τὰ αἴτια, οἷον ὡς ἐπὶ οἴκου· ἔστι γὰρ καὶ τὸ ὑλικὸν αἴτιον τὰ πηλὰ καὶ οἱ λίθοι, καὶ τὸ εἰδικὸν αὐτὸς ὁ οἶκος, καὶ τὸ τελικὸν τὸ εἶναι σκέπασμα κωλυτικὸν ὄμβρου καὶ φθορᾶς,
20 καὶ τὸ ποιητικὸν ὁ οἰκοδόμος· καὶ πᾶσά ἐστιν ἀνάγκη εἰδέναι πάντα τὰ αἴτια, ἐπεὶ οὐκέτι ὁ τοιοῦτος ἐπιστήμων ὑπάρχει ἑνὸς τῶν αἰτίων ἀγνοουμένου, εἴ γε δεῖ συντρέχειν τὰ τέσσαρα αἴτια. ἄλλως τε δὴ τὸ τελικὸν καὶ τὸ εἰδικὸν συντρέχουσι καὶ τῷ ἀριθμῷ τὰ αὐτὰ ὑπάρχουσι, τῇ δὲ σχέσει διαφέρουσιν· εἰδικὸν μὲν γάρ ἐστιν ὡς πρὸς τὸ ὑποκείμενον, τελικὸν
25 δὲ ὡς πρὸς τὸ ποιητικὸν αἴτιον, οἷον τὸ ζῷον λογικὸν θνητὸν ὡς μὲν πρὸς τὸν Σωκράτη τὸ ὑποκείμενον εἰδικόν ἐστιν αἴτιον, ὡς δὲ πρὸς τὴν φύσιν τελικόν· τοῦτο γὰρ τέλος τῆς φύσεως τὸ παραγαγεῖν τὸν Σωκράτη τοιοῦτον. τὸ δὲ ποιητικὸν τῷ τελικῷ κατ' εἶδός ἐστι τὸ αὐτό, ἐξήλλακται δὲ κατ' ἀριθμόν· διαφέρει γὰρ ὁ Σωφρονίσκος τοῦ Σωκράτους κατ' ἀριθμόν, κατὰ f. 105r
30 μέντοι γε τὸ εἶδος ὁ αὐτὸς ὑπάρχει· αἴτιον δέ φημι τὸ προσεχές. ἀπορεῖ οὖν, ὡς εἴρηται, τίνα μάλιστα τοῦ πράγματος τοῦ ζητουμένου ἐπιστήμονα τῶν ἐχόντων πάντα τὰ αἴτια ἡγεῖσθαι χρή· ἐνδέχεται γὰρ τῷ αὐτῷ πάντας τοὺς τρόπους τῶν αἰτίων ὑπάρχειν. κατὰ ποίου οὖν αἰτίου γνῶσιν καὶ ὁ ποῖον εἰδὼς τούτων τῶν αἰτίων ἔσται τοῦ πράγματος τοῦ προκειμένου
35 ἐπιστήμων; εἰ γὰρ ἄλλης αἰτίας ἄλλη ἐπιστήμη γνωστική, ἐν οἷς πράγμασι τὰ τέσσαρά ἐστιν αἴτια, τούτων τῶν πραγμάτων ὁ ποῖον τῶν τεσσάρων αἰτίων εἰδὼς ἐπιστήμων ἔσται τούτων; ὅπερ ἀδύνατον, διότι ἐπί τινων ἀδύνατον, μᾶλλον δὲ ἐπὶ πάντων, εἶναι ἐπιστήμονα τὸν μὴ γινώσκοντα τὰ

---

3 τὰς δὲ—κακῶν (5) Alexandri sunt 15 τι addidi 18 τὰ πολλὰ D
28 τῷ τελικῷ scripsi: τοῦ τελικοῦ libri 31 τίνα μάλιστα—ἔσται (37) Alexandri sunt 32 λέγεσθαι χρή Alex. 34 ὁ ποῖον εἰδὼς Alex., cf. 36. 37: ὁποῖον εἶδος libri

τέσσαρα αἴτια. ἄλλως τε δή, ὡς ὁ λόγος ἔδειξε, συντρέχει τὸ εἰδικὸν τῷ τελικῷ καὶ ταὐτόν ἐστι τῷ ἀριθμῷ, καὶ μάλιστα ἐπὶ τῶν πρώτων καὶ τῶν φυσικῶν· ὥστε ὁ εἰδὼς τὸ εἰδικὸν ἐξ ἀνάγκης εἴσεται καὶ τὸ τελικὸν καὶ τὸ ποιητικόν. εἰ τοίνυν ὑπόκειται εἰδυῖα ἡ σοφία τὸ εἰδικόν, ἐξ ἀνάγκης εἴσεται καὶ τὰς ἄλλας· ἀδύνατον γὰρ εἶναι ἐπιστήμονα ἄνευ πάντων τῶν αἰτίων, ὡς ἐπὶ τοῦ οἴκου ὁ λόγος ἔδειξε. μάλιστα δὲ ταῦτα συντρέχει ἐπὶ τοῦ πρώτου.

p. 996b8 Ἐκ μὲν οὖν τῶν πάλαι διωρισμένων.

Ἐντεῦθεν δείκνυσιν ὅτι ἕκαστον αἴτιον ἱκανόν ἐστι σοφίαν ἐμποιῆσαι γινωσκόμενον, ὡς εἴρηται αὐτῷ ἐν τῷ μείζονι Α. τοῦτ' ἔστιν ὃ λέγει, ὅτι ἐκ μὲν οὖν τῶν πάλαι διωρισμένων ἐν τῷ μείζονι Α, τίνα χρὴ καλεῖν σοφίαν, ἔχει λόγον ἑκάστην τῶν ἐπιστημῶν σοφίαν προσαγορεύειν, καὶ τὴν εἰδυῖαν τὸ ποιητικὸν καὶ τὸ τελικὸν καὶ τὸ εἰδικόν. ἡ μὲν γὰρ ἀρχικωτάτη καὶ ἡγεμονικωτάτη, ᾗ τινι οὐδὲ ἀντειπεῖν τὰς ἄλλας ὥσπερ δούλας οὔσας δίκαιόν ἐστιν, ἡ τελική ἐστιν αἰτία καὶ τοῦ ἀγαθοῦ· ταῦτα γὰρ τὰ ἄλλα τοῦ ἀγαθοῦ ἕνεκα πράττονται, διότι πάντα ἐπέστραπται f. 105v πρὸς τὸ ἀγαθόν. διό φησιν ὅτι καλῶς ἀπεφήναντο τὸ ἀγαθὸν οὗ πάντα ἐφίεται. διότι τὴν ὑγείαν τελικόν φαμεν αἴτιον, καὶ πάντα τὰ ἄλλα δι' αὐτό γίνεται, οἷον † ποιμεντάριοι ἔφεσις βοτανῶν διάφορα ὄργανα τροῦλλα καὶ ὅσα ἄλλα τοιαῦτα ἕνεκα τοῦ ἰατροῦ παραλαμβάνεται, ἐπειδὴ αὐτὸς ἐργάζεται, φησί, τὸ τελικὸν αἴτιον, τουτέστι τὴν ὑγείαν. ὥστε ἀναγκαῖον εἰδέναι μάλιστα πάντων τὸ τελικὸν αἴτιον, καὶ ἀδύνατον εἶναι ἐπιστήμονα τὸν μὴ εἰδότα τὸ τελικὸν αἴτιον. ἐφεξῆς δὲ δείκνυσιν ὅτι ἀναγκαῖον εἰδέναι καὶ τὸ εἰδικὸν αἴτιον.

p. 996b13 Ἡ δὲ τῶν πρώτων αἰτίων καὶ τοῦ μάλιστα ἐπιστητοῦ.

Ἥτις, φησί, τῶν πρώτων καὶ τοῦ μάλιστα ἐπιστητοῦ διωρίσθη εἶναι, ἡ τῆς οὐσίας ἂν εἴη, τουτέστι τοῦ εἰδικοῦ αἰτίου. πολλαχῶς δυνατόν ἐστι γινώσκειν τὸ αὐτὸ καὶ καταφατικῶς καὶ ἀποφατικῶς· ἀποφατικῶς μέν, ὅταν εἴπω 'σημεῖόν ἐστιν οὗ μέρος οὐδέν', καταφατικῶς δὲ 'εὐθεῖά ἐστιν ἧς τὰ πέρατα σημεῖα ὑπάρχουσιν. ἀκριβεστέρα τοίνυν καὶ ἀσφαλεστέρα ἐστὶν ἡ καταφατικὴ γνῶσίς τε καὶ ἐπιστήμη τῆς ἀποφατικῆς· αὐτῶν δὲ τούτων τῶν καταφατικῶν κυριωτέρα ἐστὶ γνῶσις ἡ τοῦ τί ἐστι, τουτέστιν ἡ τοῦ εἰδικοῦ· ἐρχόμενοι γὰρ εἰς ταύτην παυόμεθα τῆς ζητήσεως. οἷον διὰ τί μανθάνει ὅδε μουσικήν; ἵνα παιδευθῇ. διὰ τί δὲ ἵνα παιδευθῇ; ἐπειδὴ λογικὸς ὑπάρχει. διὰ τί δὲ λογικός ἐστιν; ἐπειδὴ ἡ οὐσία αὐτοῦ τοιαύτη ὑπάρχει· καὶ ἐρχόμενοι εἰς τὸν ὁρισμὸν καὶ εἰς τὸ εἶδος ἀποπαυόμεθα τῆς ζητήσεως. ὥστε πᾶσά ἐστιν ἀνάγκη τὸν ἐπιστήμονα γινώσκειν

10. 11 ἐν τῷ μείζονι A] c. 2 16 ταῦτα] fort. πάντα 17 φησιν] Eth. Nicom. A 1 p. 1094a2
18 διότι] fort. διὸ 19 locus corruptus διάφοροι libri 27 τὸ εἰδικὸν αἴτιον libri

καὶ τὸ εἰδικὸν αἴτιον. πάλιν διὰ τί παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι ὑπάρχουσι: καὶ ἐρχόμεθα ἕως τοσούτου, ἕως ὅτε καταντήσωμεν εἰς τὸν ὁρισμὸν τὸν λέγοντα, ὡς ἂν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιεῖ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν. ὥστε ἡ κυρία f. 106r
5 γνῶσις ἡ τοῦ ὁρισμοῦ ὑπάρχει καὶ τοῦ εἴδους, ἀλλ' οὐ τοῦ ποσοῦ ἢ τοῦ ποιοῦ, ἤγουν τοῦ ποιεῖν ἢ πάσχειν, διότι τὰ τοιαῦτα παρακολουθοῦσιν. ἔτι δὲ καὶ ἐν τοῖς ἄλλοις ἅπασι τὸ εἰδέναι ἕκαστον καὶ ὧν ἀποδείξεις ὑπάρχουσι, τότε οἰόμεθα ὑπάρχειν, ὅταν γνῶμεν τὸ τί ἐστι, τουτέστι τὸ εἰδικὸν αἴτιον· οἷον τί ἐστι τὸ τετραγωνίζειν, ὅτι μέσης εὕρεσις.
10 ζητοῦμεν γὰρ δύο δοθεισῶν εὐθειῶν μέσην ἀνάλογον προσευρεῖν. λαμβάνω μίαν πλευρὰν $\bar{\delta}$ καὶ μίαν $\bar{\vartheta}$· ἡ οὖν μέση ἐστὶν ἡ ἔχουσα $\bar{\varsigma}$· ὁ γὰρ $\bar{\vartheta}$ τοῦ $\bar{\varsigma}$ ἡμιόλιος καὶ ὁ $\bar{\varsigma}$ τοῦ $\bar{\delta}$. τὸ τετράγωνον οὖν τὸ γινόμενον ἐκ τοῦ πολυπλασιασμοῦ τοῦ $\bar{\delta}$ πρὸς τὸν $\bar{\vartheta}$ τετράκις τὰ ἐννέα, τριάκοντα ἕξ, τοῦτο γίνεται ἐκ τοῦ πολυπλασιάζεσθαι τὸν $\bar{\varsigma}$ πρὸς ἑαυτόν· ἑξάκις γὰρ ἓξ τριάκοντα ἕξ.
15 ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων.

p. 996b22 Περὶ δὲ τὰς γενέσεις καὶ τὰς πράξεις.

Φησὶν ὅτι καὶ περὶ τὰς γενέσεις τὰς ἄλλας καὶ τὰς πράξεις, καὶ καθόλου καὶ περὶ πᾶσαν μεταβολὴν τότε γινώσκομεν, ὅταν μάθωμεν τὴν ἀρχὴν τῆς κινήσεως. οἷον ὡς ἐπὶ ἰατρικῆς· φησὶ γὰρ ὁ ἰατρὸς ὅτι δεῖ
20 ψῦξαι τοῦτον, ἐπειδὴ θερμὸς χυμὸς ἐνοχλεῖ τῷ μορίῳ, ἤγουν ὑγρᾶναι ἢ ξηρᾶναι. καὶ διὰ τί δεῖ ψῦξαι: ἐπειδὴ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα. καταντήσαντες οὖν εἰς τὸν ὁρισμὸν παυόμεθα τῆς ζητήσεως. τοῦτο δὲ τὸ εἰδικὸν ἕτερόν ἐστι καὶ ἀντικείμενον τῷ τέλει, ἐπεὶ τὸ τέλος πράξεώς ἐστι. τὸ δὲ εἶδος θεωρίας· ὡς πολλάκις δὲ μεμαθήκαμεν. ἡ ἀρχὴ τῆς θεωρίας
25 γίνεται τέλος τῆς πράξεως, καὶ τὸ τέλος τῆς πράξεως ἀρχὴ τῆς θεωρίας.

p. 996b24 Ὥστε ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι.

Ὁ Ἀλέξανδρος 'οὐκ ἄλλης' γράφει· φησὶ γὰρ ὅτι εἰ ταῦτα οὕτως ἔχει, οὐκ ἄλλης ἂν δόξειεν εἶναι ἐπιστήμης τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαστον, ἀλλὰ μιᾶς καὶ τῆς αὐτῆς, ἐπειδὴ ἕκαστον αὐτῶν ἀναγκαῖόν
30 ἐστι καὶ πρὸς τούτοις καὶ συνεζευγμένα ἀλλήλοις ὑπάρχουσι. κἂν μὴ f. 106v
γράφηται δὲ 'οὐκ ἄλλης', δυνατόν ἐστιν ἴστασθαι ὥστε ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαστον, ὅπερ ἐστὶν ἄτοπον (ἵνα ἔξωθεν ὑπακούσωμεν τὸ ὅπερ ἐστὶν ἄτοπον) διὰ τὰ εἰρημένα, ὅτι οὐ δυνατὸν πλείονας εἶναι ἐπιστήμας τῶν ἀρχῶν, ἀλλὰ μίαν, ὡς
35 ὁ λόγος ἔδειξε.

Τούτοις οὖν φησι προσχρώμενος ὡς ἔστι πως καθ' ἕκαστον αἴτιον ἐπιοῦσι δεικνύναι τὴν γνωστικὴν αὐτοῦ σοφίαν οὖσαν, ὅτι εἰκότως ἕκαστον

4 fort. ποιῇ 27 οὐκ ἄλλης Alex. p. 142,10: οὐκ ἄλλη libri 30 συνεζευγμέναι ἀλλήλαις libri 36 Τούτοις — αἴτια (p. 157,14) ex Alexandro hic addita sunt, quamquam pleraque ad superiora lemmata pertinent προσχρώμενος ὡς Alex.: προσχρωμένους libri

αἴτιον γινώσκει ἡ σοφία. καθ' ὅσον μὲν γὰρ ἡ σοφία ἡγεμονικωτάτη ἐστὶ καὶ ἀρχιτεκτονικωτάτη ἐπιστήμη, καὶ καθάπερ δέσποινα τῶν ἄλλων ἐπιστημῶν, ἡ τοῦ τέλους ἂν γνῶσις εἴη· τοῦτο γὰρ τὸ ἀγαθόν, καὶ τούτου χάριν τὰ ἄλλα· πρὸς γὰρ τὸ τέλος ὁρῶντες ἐπιτάσσουσιν ἃ δεῖ ποιεῖν. ἀρχι-
5 κωτάτη οὖν καὶ τελειοτάτη καὶ ἀρίστη ἡ τοῦ ἀρίστου τῶν αἰτίων γνῶσις· τοιοῦτον δὲ οὗ χάριν τὰ ἄλλα. κατὰ μὲν οὖν τοῦτο δόξει ἡ σοφία εἶναι τοῦ τέλους γνωστική· καθὸ δὲ ἡ τῶν πρώτων αἰτίων καὶ τοῦ μάλιστα ἐπιστητοῦ διωρίσθη εἶναι, ἡ τῆς οὐσίας ἂν εἴη τοιαύτη. καθ' ὅσον, φησί, πάλιν ἡ σοφία ἐλέχθη τῶν πρώτων αἰτίων εἶναι γνωστικὴ
10 καὶ τῶν μάλιστα ἐπιστητῶν, κατὰ τοῦτο δόξει πάλιν ἡ τοῦ εἴδους καὶ τῆς τοιαύτης αἰτίας γνῶσις σοφία εἶναι. εἰπὼν δὲ πρῶτον περὶ τοῦ ὡς τέλους αἰτίου τοῦ ἐν τοῖς * * * θεωρητοῖς. ὅτι δὲ τὸ εἶδος μάλιστα γνωστόν, δείκνυσι διὰ τοῦ ἐπὶ πάντων τότε λέγεσθαι εἰδέναι τινά, ὅταν τὸ εἶδος εἰδείη τίς τινος καὶ τὴν τοιαύτην αἰτίαν. πολλαχῶς γὰρ ἐπισταμένων
15 τὸ αὐτὸ μᾶλλον μὲν εἰδέναι φαμὲν τὸν τῷ εἶναι γνωρίζοντα τί τὸ πρᾶγμα ἢ τῷ μὴ εἶναι. δείκνυς ὅτι ὁ τὴν κατ' εἶδος αἰτίαν τοῦ ἐπιστητοῦ γνωρίζων μάλιστα οἶδεν αὐτό, λαμβάνει οὖν πρῶτον μὲν ὅτι μᾶλλον ἴσμεν τὸ προκείμενον, ὅταν ἐκ τῶν ὑπαρχόντων αὐτῷ γινώσκωμεν αὐτὸ ἢ ἐκ τῶν μὴ ὑπαρχόντων· γίνονται γὰρ διδασκαλίαι τινὲς καὶ λόγοι
20 ἐξ ἀποφάσεως, ὥσπερ τὸ σημεῖον, ὅτι σημεῖόν ἐστιν οὗ μέρος οὐθέν· ἐκ f. 107r
γὰρ τοῦ μὴ ὑπάρχοντος αὐτῷ τὴν ἀπόδοσιν τοῦ λόγου ποιεῖται. ὁμοίως δὲ καὶ ὁ λέγων συμβεβηκὸς εἶναι ὃ μήτε ὅρος ἐστὶ μήτε γένος μήτε ἴδιον. ὁ δὲ λέγων ὃ δυνατὸν εἶναι καὶ μὴ εἶναι ἐκ τοῦ ὑπάρχοντος ὁρίζεται τὰ συμβεβηκότα. τῶν δὲ γινωσκόντων ἐκ τοῦ εἶναι μάλιστά φαμεν γινώσκειν
25 τὸν γνωρίζοντα ἐκ τοῦ τί ἐστι· τὸ δὲ τί ἐστι τὸ εἶδος ὑπάρχει. ὥστε ὁ τὸ εἶδός τινος εἰδὼς μάλιστα οἶδεν αὐτό. εἰ τοίνυν ἡ τοῦ εἴδους καὶ ⟨ταύτης⟩ τῆς αἰτίας μάλιστά ἐστι γνῶσις καὶ ἐπιστήμη τοῦ πράγματος, ἡ δὲ μάλιστα ἐπιστήμη ἦν σοφία, εἴη ἂν κατὰ τοῦτον τὸν λόγον πάλιν σοφία ἡ τῆς κατὰ τὸ εἶδος αἰτίας ἐπιστήμη. ἔτι δὲ καὶ ἐν τοῖς ἄλλοις τὸ εἰδέναι ἕκαστον
30 τότε οἰόμεθα ὑπάρχειν ὧν ἀποδείξεις εἰσίν, ὅταν εἰδῶμεν τὸ τί ἐστι. τὸ δὲ καὶ ἐν τοῖς ἄλλοις εἶπεν ὡς ἴσον τῷ ἐν πᾶσιν ὧν εἰσιν ἀποδείξεις. ὅτι δὲ ἡ τοῦ εἴδους γνῶσις μάλιστα γνῶσίς ἐστι τοῦ πράγματος, δείκνυσι διὰ τοῦ καὶ ἐν ταῖς ἀποδείξεσι τότε ἡμᾶς οἴεσθαι ἀπόδειξιν ἔχειν τοῦ προκειμένου, ὅταν γνῶμεν τὸν ὁρισμὸν καὶ τὸν λόγον τοῦ προ-
35 κειμένου. ὅταν γὰρ τὸν ὁρισμὸν μάθωμεν τοῦ προκειμένου, καὶ διὰ τοῦ ὁρισμοῦ τὸ δεικνύμενόν τινι ὑπάρχειν δείξωμεν ὑπάρχειν αὐτῷ, τότε ἡγού-

---

4 γὰρ Alex.: γε libri 9 ἐρρήθη Alex. 12 addendum ex Alexandro πρακτοῖς, δεύτερον εἶπε περὶ τοῦ ὡς τέλος αἰτίου ἐν τοῖς 14. 15 ἐπιστάμενόν τε αὐτὸ libri 17 οὖν deest Alexandro 18. 19 εἰδῶμεν ἢ ὅταν ἐκ Alex. 23 ὁ Alex.: οὐ libri 24. 25 τῶν δὲ τῷ εἶναι γνωριζόντων μάλιστα εἰδέναι λέγομεν τὸν τί ἐστι τὸ πρᾶγμα εἰδότα ἢ τὸν ὅτι αὐτῷ συμβέβηκεν· τὸν γὰρ ἀπὸ τῆς οὐσίας γνωρίζοντα αὐτό, οὐ τὸν ἀπό τινος συμβεβηκότος. ἕκαστον δέ ἐστι τοῦτο ὅ ἐστι κατὰ τὸ εἶδος, ὥστε κτλ. Alex. 24 γινώσκειν scripsi: γίνεσθαι libri 26 ταύτης ex Alexandro addidi 34 ἔχειν Alex.: ἔχει libri 36 τινι ὑπάρχειν δείξωμεν Alex.: τίνι ὑπάρχει δόξωμεν libri ὑπάρχον Alex.

μεθα τὴν κυριωτάτην ἀπόδειξιν ἔχειν αὐτοῦ. οἷον τί ἐστι σελήνης ἔκλειψις τότε ἴσμεν, ὅταν μάθωμεν ὅτι ἀντίφραξις γῆς ἐστιν, ὅ ἐστιν ὁρισμὸς τῆς ἐκλείψεως. ὁμοίως καὶ ἐπὶ τοῦ τετραγωνισμοῦ.

p. 996b22 Περὶ δὲ τὰς γενέσεις καὶ τὰς πράξεις.

Δείξας ὅτι δύναται ἡ σοφία εἶναι κατὰ τὴν τοῦ εἰδικοῦ αἰτίου γνῶσιν, ὅτι καὶ κατὰ τὴν τοῦ ποιητικοῦ αἰτίου γνῶσιν δύναται ἡ σοφία εἶναι δείκνυσιν· ἐν γὰρ πᾶσι τοῖς γινομένοις καὶ πραττομένοις καὶ ὅλως μεταβάλλουσιν αἴτιον τῆς γνώσεως αὐτῶν ἡ τοῦ ποιητικοῦ αἰτίου γνῶσις, ὅπερ ἐστὶν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· τότε γὰρ ἴσμεν τὴν αἰτίαν τοῦ Τρωϊκοῦ πολέμου, ὅταν γνῶμεν τὴν τῆς Ἑλένης ἁρπαγήν, ὅπερ ἐστὶν ἀρχὴ καὶ f.107v αἰτία τοῦ πολέμου, καὶ τότε ἴσμεν τὴν αἰτίαν τῆς μάχης, ὅταν τὴν λοιδορίαν γνῶμεν, ἥτις ἤρξατο τῆς μάχης. εἰπὼν δὲ περὶ τοῦ ποιητικοῦ αἰτίου ἐπήνεγκε τοῦτο δὲ ἕτερον καὶ ἀντικείμενον τῷ τέλει, κατὰ τοῦτο λέγων ἀντικεῖσθαι ταῦτα τὰ αἴτια, ὅτι τὸ μὲν προϋπάρχει (τοιοῦτον γὰρ τὸ ποιητικὸν αἴτιον), τὸ δὲ ὕστερον ἐπιγίνεται. ὥστε οὐκ ἔστιν ἄλλης ἐπιστήμης τὸ θεωρῆσαι περὶ τῶν αἰτίων τούτων εἰ μὴ μόνης τῆς σοφίας.

p. 996b26 Ἀλλὰ μὴν καὶ περὶ τῶν ἀποδεικτικῶν ἀρχῶν, πότερον μιᾶς ἐστιν ἐπιστήμης ἢ πλειόνων.

Ὅπερ ζητεῖ διὰ τῶν νῦν λεγομένων παρ' αὐτοῦ τοιοῦτόν ἐστιν. ζητεῖ. εἰ ἄρα μία ἐπιστήμη ἐστὶν ἡ γινώσκουσα τὰς οὐσίας τῶν πραγμάτων καὶ τὰς ἀποδείξεις τὰς περὶ τῶν οὐσιῶν τῶν πραγμάτων, ἤγουν ἄλλη μὲν ἐπιστήμη γινώσκει τὰς οὐσίας τῶν πραγμάτων, ἄλλη δὲ τὰς ἀποδείξεις τὰς δεικνυούσας τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασιν. εἶτα λοιπὸν ἐφ' ἑκάτερα ἐπιχειρεῖ κατὰ τὸ εἰωθὸς ἑαυτῷ ὁ φιλόσοφος, δεικνὺς ὅτι καὶ μία καὶ οὐ μία· καὶ πρότερον δείκνυσιν ὅτι οὐ μία. ἰστέον δὲ ὅτι μία ἐστὶν ἐπιστήμη. εἰ γὰρ ὑποθώμεθα ἄλλην μὲν ἐπιστήμην γινώσκειν τὰς οὐσίας τῶν πραγμάτων, ἄλλην δὲ τὰς ἀποδείξεις τὰς περὶ αὐτῶν, πρῶτον μὲν διαμαχήσονται πρὸς ἀλλήλας ἀμφότεραι αἱ ἐπιστῆμαι περὶ τῶν πρωτείων· τῷ ὄντι γὰρ ἄδηλόν ἐστι, ποία πρώτη ἐπιστήμη ὑπάρχει. ἆρά γε ἡ εἰδυῖα τὰς οὐσίας τῶν πραγμάτων ἤγουν ἡ τὰ ἀξιώματα καὶ τὰς ἀποδείξεις τὰς περὶ τῶν οὐσιῶν. ἄλλως τε δὴ εἰ ὑποθώμεθα τὰς μὲν οὐσίας εἰδέναι, τὰς δὲ ἀποδείξεις ἀγνοεῖν τὰς δεικνυούσας τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασι, συμβήσεται ἀνεπιστημόνως τοὺς ἐπιστήμονας γινώσκειν τὰς οὐσίας τῶν πραγμάτων, ἀγνοοῦντας τὰ καθ' αὑτὸ ὑπάρχοντα ταῖς οὐσίαις. πῶς δὲ f.108r δυνατόν ἐστι γινώσκειν τὰς οὐσίας ἀγνοοῦντα τὰ ὑπάρχοντα ταῖς οὐσίαις; εἰ δὲ πάλιν ὑποθώμεθα γινώσκειν μὲν τὰς ἀποδείξεις, ἀγνοεῖν δὲ τὰς οὐσίας τῶν πραγμάτων, ἔσται ἡ γνῶσις διὰ κενῆς ὑπάρχουσα. εἰ δὲ αὐταὶ καθ' αὑτὰς αἱ ἀποδείξεις ἀνύπαρκτοι ὑπάρχουσιν ἄνευ τῶν οὐσιῶν περὶ ὧν δια-

10 ὅταν εἰδῶμεν ὅτι διὰ τὴν Alex. 20 εἰ om. D 26 γινώσκει D 29 ὑπάρχη D

λέγονται (τὰ γὰρ καθ' αὑτὰ συμβεβηκότα, ὧν εἰσιν αἱ ἀποδείξεις, τὴν ὕπαρξιν ἔχουσιν ἐν ταῖς οὐσίαις), πῶς οὖν δυνατόν ἐστιν εἰδέναι τὰς ἀποδείξεις τῶν πραγμάτων ἀγνοοῦντα τὰ πράγματα;

p. 996ᵇ26 Ἀλλὰ μὴν καὶ περὶ τῶν ἀποδεικτικῶν ἀρχῶν.

Ἐνταῦθα οὐ μνημονεύει τῆς οὐσίας ὡς ἀνωτέρω μνησθείς, καὶ ὑποκατιὼν δὲ μνημονεύει τῶν οὐσιῶν. φησὶν οὖν ὅτι ἔχεται ἀπορίας καὶ ἀμφισβητήσεως περὶ τῶν ἀποδεικτικῶν ἀρχῶν καὶ τῶν οὐσιῶν, πότερον μία ἐπιστήμη γινώσκει καὶ τὰς οὐσίας τῶν πραγμάτων καὶ τὰς ἀποδείξεις τὰς περὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων τοῖς πράγμασιν, ἤγουν πλείονες ἐπιστῆμαι, οἷον ὅτι ἔστι ψυχὴ καὶ ὅτι ἀθάνατος καὶ ἀίδιος ὑπάρχει ἡ λογικὴ δηλονότι. λέγω δὴ ἀποδεικτικὰς ἀρχὰς τὰς κοινὰς ἐννοίας. καὶ παρατίθεται πρότερον ἀξίωμα τὸ τῆς ἀντιφάσεως, καί φησιν ὅτι ἀδύνατόν ἐστι τὴν ἀντίφασίν ποτε συναληθεύειν ἢ συμψεύδεσθαι· ὡς γὰρ πολλάκις εἴρηται, ἐπὶ πάντων τῶν ὄντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, καὶ ὥς φησιν ὁ Πλάτων, ὡς ὅτι οὐδὲν τῶν ὄντων καυχήσεται ἐκφυγεῖν τὴν ἀντίφασιν. καὶ ταῦτα μὲν οἱ περὶ τὸν Ἀριστοτέλη· εἰδέναι μέντοι γε χρὴ ὅτι τῶν ἀδυνάτων ἐστί ποτε συναληθεῦσαι τὴν ἀντίφασιν, συμψεύσασθαι μέντοι γε αὐτὴν οὐκ ἔστιν ἀδύνατον· ἐπὶ γὰρ τοῦ πρώτου οὔτε ἡ κατάφασις ἔχει χώραν οὔτε δὲ ἡ ἀπόφασις, εἴ γε ὑπερβέβηκε καὶ τὸ ὂν καὶ πᾶσαν ἔννοιαν ἀν- f. 108v
θρωπίνην καὶ ἁπλῶς εἰπεῖν νοερὰν ἐνέργειαν. κἂν γὰρ λέγῃ ὁ Πλάτων ὅτι τί μέν ἐστιν οὐκ οἶδα, τί δὲ οὐκ ἔστιν οἶδα, ⟨οὐκ⟩ ἤδη καὶ περιλαμβάνει αὐτὸ ἡ ἀπόφασις, ἀλλὰ μόνον ἀναίρεσιν δηλοῖ τῆς καταλήψεως, οὐ μέντοι γε λαμβάνεται, ὡς εἴρηται· ὑπὲρ πᾶσαν γάρ ἐστιν ἔννοιαν. εἶτα πάλιν ἕτερον ἀξίωμα τὸ λέγον ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ ὅτι οὐδὲν γίνεται. φησί, ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ἐπεὶ οὕτως, φησί, ἔσται πρότερον ἐνεργείᾳ τὸ μηδαμῇ μηδαμῶς ὂν τοῦ ὄντος, καὶ οὕτω κρεῖττόν ἐστι τὸ ἀνύπαρκτον τῆς ὑπάρξεως. καὶ πάλιν ὅτι οὐδὲν μάτην οὔτε ὁ θεὸς οὔτε δὲ ἡ φύσις ποιεῖ. καὶ ὅσα ἄλλα τοιαῦτα ὑπάρχει ἀξιώματα. διὰ μέντοι γε τοῦ εἰπεῖν οἷον ὅτι ἀναγκαῖον ἢ φάναι ἢ ἀποφάναι ἐδήλωσεν ὅτι οὐ δυνατόν ἐστι συμψεύσασθαι τὴν ἀντίφασιν, διὰ δὲ πάλιν τοῦ εἰπεῖν ἢ καὶ ἀδύνατον ἅμα εἶναι καὶ μὴ εἶναι ἐδήλωσεν ὡς ὅτι οὐ δυνατόν ἐστι τὴν ἀντίφασιν ἅμα συναληθεύειν. ἆρα οὖν, φησί, μία ἐστὶν ἐπιστήμη τούτων τῶν ἀξιωμάτων καὶ τῆς οὐσίας, ἢ ἑτέρα μὲν ἐπιστήμη τῆς οὐσίας, ἑτέρα δὲ τῶν ἀξιωμάτων; εἰ δὲ μή ἐστι μία ἐπιστήμη ἀλλὰ πλείους, ποίαν δεῖ κυρίως προσαγορεύειν ἐπιστήμην, τὴν γινώσκουσαν τὰς ἀρχὰς ἀγνοοῦσαν δὲ τὰ ἀξιώματα, ἢ τὸ ἀνάπαλιν;

---

9 ὑπαρχουσῶν libri 14. 15 ὥς φησιν ὁ Πλάτων] verba apud Platonem non leguntur; fort. respicit ad Soph. p. 258 D sqq. 20 ὁ Πλάτων] cf. Ep. II p. 312 D sq.
21 οὐκ (ante ἤδη) addidi

p. 996b33 Μιᾶς μὲν οὖν οὐκ εὔλογον εἶναι· τί γὰρ μᾶλλον γεωμετρίας.

Ἐντεῦθεν ἄρχεται ἐπιχειρεῖν καὶ λέγειν ὅτι οὐ δυνατὸν εἶναι μίαν ἐπιστήμην τὴν γινώσκουσαν τὰς οὐσίας τῶν πραγμάτων καὶ τὰ ἀξιώματα. αἱ γὰρ ἐπιστῆμαι κατὰ τὴν ἀπόδειξιν οὐ διαφέρουσιν ἀλλήλων· ὥσπερ γὰρ γεωμετρία ἀποδείκνυσιν, οὕτως καὶ ἀριθμητικὴ καὶ αἱ ἄλλαι πᾶσαι ἐπιστῆμαι. εἰ τοίνυν ὑποθώμεθα μίαν καὶ τὴν αὐτὴν ἐπιστήμην γινώσκειν καὶ τὰς οὐσίας τῶν πραγμάτων καὶ τὰς ἀποδείξεις, ἐπειδὴ οὐ διαφέρουσιν f. 109r ἀλλήλων αἱ ἐπιστῆμαι κατὰ τὰς ἀποδείξεις, συμβήσεται τὴν πρώτην ἐπιστήμην μὴ διαφέρειν τῶν ἄλλων ἐπιστημῶν τῶν κατὰ μέρος, φημὶ δὴ γεωμετρίας καὶ ἀριθμητικῆς καὶ ὅσαι ἄλλαι τοιαῦται. εἰ οὖν ἐκεῖναι οὐκ ἴσασι τὰς οὐσίας τῶν πραγμάτων, φανερὸν ὅτι οὐδὲ ἡ πρώτη ἐπιστήμη οἶδε τὰς οὐσίας τῶν πραγμάτων. ἡ γὰρ γεωμετρία οἶδεν ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ ὅτι τὸ σημεῖον ἀμερές· οὐ μέντοι γε τὰς αἰτίας οἶδε καὶ τὴν οὐσίαν αὐτὴν τοῦ πράγματος· ὥστε οὐδὲ ἡ πρώτη ἐπιστήμη. καὶ οὕτως ὁ Ἀριστοτέλης· φαμὲν δὲ ἡμεῖς πρὸς αὐτὸν λέγοντες ὅτι τὸ μὲν συνημμένον τοῦ συλλογισμοῦ ἔρρωται, ἡ δὲ πρόσληψις οὐδαμῶς ὑγιῶς ἔχει· τὸ γὰρ λέγειν ὅτι αἱ ἀποδείξεις, καθὸ ἀποδείξεις ὑπάρχουσιν, οὐδὲν ἀλλήλων διαφέρουσι, καὶ ὅτι ἀποδείξεσι κέχρηνται καὶ αἱ κατὰ μέρος καὶ αἱ πρῶται οὐκ ἄτοπον· τὸ δὲ λέγειν 'ἀλλὰ μὴν ὅμοιαι διὰ τοῦτο' πάνυ ἐστὶν ἄτοπον. ἡ μὲν γὰρ πρώτη ἐπιστήμη οἶδε καὶ τὰς οὐσίας τῶν πραγμάτων καὶ τὰς ἀρχὰς τῶν ἀποδείξεων, τὰς μὲν οὐσίας δι' ὁρισμῶν, τὰς δὲ ἀποδείξεις διὰ τῶν ἀρχῶν διὰ τὰς εἰρημένας αἰτίας ἐν τῇ θεωρίᾳ· αἱ μέντοι γε κατὰ μέρος ἐπιστῆμαι τὰς μὲν ἀποδείξεις ἴσασι, τὰς δὲ ἀρχὰς οὐκ ἴσασιν· ἀρκοῦνται γὰρ τῇ δόξῃ τῆς πρώτης φιλοσοφίας. τοῦτο οὖν ἐστιν ὃ λέγει ὁ Ἀριστοτέλης, ὅτι εἰ πᾶσαι ὁμοίως αἱ ἀποδεικτικαὶ ἐπιστῆμαι χρῶνται τοῖς ἀξιώμασι πρὸς τὰ οἰκεῖα ἀποδεικτά, καὶ μὴ πᾶσαι περὶ αὐτῶν λέγουσιν, οὐδὲ μία τις τῶν ὁμοίως αὐτοῖς χρωμένων ἐρεῖ περὶ αὐτῶν. ἀλλὰ μὴν τὸ πρῶτον· πᾶσαί τε γὰρ αὐτοῖς χρῶνται, ὥσπερ καὶ ἡ περὶ τὰς τῆς οὐσίας ἀρχάς τε καὶ αἰτίας οὖσα, καὶ οὐ λέγουσι πᾶσαι περὶ αὐτῶν· οὔτε γὰρ γεωμετρία περὶ αὐτῶν οὔτε μουσικὴ λέγει, καίτοι χρῶ- f. 109v μεναι αὐτοῖς. τὸ ἄρα δεύτερον. εἰρήκαμεν δὲ ὅτι ἡ πρόσληψις ἡμάρτηται· οὔτε γὰρ πᾶσαι ὁμοίως αὐτοῖς χρῶνται· ἡ γὰρ πρώτη καὶ τὰ ἀξιώματα οἶδε καὶ τὰς οὐσίας αὐτῶν· διὸ καὶ προϊὼν ἀποδείκνυσι τὴν ἀντίφασιν ἐν τῷ Γ. ἔστι καὶ οὕτως εἰπεῖν. εἰ ὁμοίως πᾶσαι αἱ ἐπιστῆμαι περὶ τὰ ἀξιώματα ἔχουσιν ὡς καὶ ἡ περὶ τὴν οὐσίαν, ἢ πᾶσαι περὶ αὐτῶν ἐροῦσιν ἢ οὐδὲ αὐτή. ἀλλὰ μὴν ὁμοίως πᾶσαι ἔχουσι περὶ αὐτῶν ὡς αὐτή (πᾶσαι

---

6 καὶ (post οὕτως) scripsi: γὰρ libri 26 εἰ πᾶσαι—δεύτερον (32) Alexandri sunt 27 κατὰ τὰ Alex. 28 et 29 αὐτοῖς Alex.: αὐταῖς libri 30 καὶ αἰτίας desunt Alexandro 34 αὐτῶν fort. delendum 34. 35 ἐν τῷ Γ] c. 4. 5 35 εἰ ὁμοίως—ἂν εἴη (p. 160,5) Alexandri sunt 37 αὐτή (post ὡς) Alex.: αὐταί libri πᾶσαι γὰρ—αὐτή (p. 160,2) om. Alex. vulg.: habet cod. L

γὰρ αὐτοῖς ὁμοίως πρὸς τὰς τῶν οἰκείων ἀποδείξεις χρῶνται ὥσπερ καὶ αὐτή), καὶ οὐ πᾶσαι περὶ αὐτῶν λέγουσιν· ὥστε οὐδ' ἂν ἡ περὶ τὰς οὐσίας λέγοι· εἰ δὲ τοῦτο, οὐχ ἡ αὐτὴ περί τε τῆς οὐσίας καὶ τῶν ἀξιωμάτων. ὡς γὰρ τῶν ἄλλων τῶν χρωμένων αὐτοῖς ὁμοίως ταύτῃ οὐκ ἔστιν οἰκεῖον τὸ περὶ αὐτῶν λέγειν, οὕτως οὐδὲ ταύτης ἂν εἴη. ὥστε μιᾶς ἐπιστήμης οὐκ εὔλογον εἶναι τὸ γινώσκειν τὰς οὐσίας καὶ τὰ ἀξιώματα· ὁμοίως γὰρ ἐπαΐει καὶ γινώσκει καὶ γεωμετρία καὶ αἱ ἄλλαι ἐπιστῆμαι, καθάπερ εἰρήκαμεν. εἴπερ οὖν ἅπασαι ὁμοίως χρώμεναι τοῖς ἀξιώμασιν ἀποδεικνύουσι τὰ ὑποβεβλημένα αὐταῖς πράγματα, γεωμετρία μὲν μεγέθη, ἀριθμητικὴ δὲ ἀριθμούς, οὐδὲ μία δὲ αὐτῶν γινώσκει τὰς οὐσίας καὶ τὰ ἀξιώματα, ὥσπερ οὖν ἐπὶ τῶν ἄλλων, οὕτως οὐδὲ τῆς γνωριζούσης τὰς οὐσίας, τουτέστι τῆς πρώτης ἐπιστήμης, ἴδιόν ἐστι τὸ γινώσκειν περὶ αὐτῶν τῶν ἀξιωμάτων. πρὸς τούτοις δὲ πῶς δυνατόν ἐστι γινώσκειν τὰ ἀξιώματα; χρεία γάρ ἐστιν ἄλλων ἀξιωμάτων πρὸς τὸ γνῶναι αὐτά· καὶ τοῦτο ἐπ' ἄπειρον. καὶ ὅπερ φησὶν ἐν τῇ Ἀποδεικτικῇ, ὅτι εἰ πάντα ὑπάρχουσιν ἀποδεικτά, οὐδὲν ἔσται ἀποδεικτόν.

p. 997a3 Τί μὲν γὰρ ἕκαστον τούτων τυγχάνει ὂν καὶ νῦν γνωρίζομεν.

Τί σημαίνει ἕκαστον τῶν ἀξιωμάτων φανερὸν ἡμῖν ὑπάρχει. ἐπιστάμεθα γὰρ ἢ δι' ὁρισμῶν ἢ δι' ἀποδείξεως. καὶ τῶν οὖν ἀξιωμάτων f. 110r εἴπερ ἔστιν ἐπιστήμη, ἤτοι τοῦ τί ἐστιν ⟨ἕκαστον⟩ αὐτῶν ἔσται δεικτικὴ ἢ ἀποδεικτικὴ [ἢ] περί τινος τῶν ὑπαρχόντων αὐτοῖς. ἀλλὰ τὸ μὲν τί ἐστιν ἕκαστον αὐτῶν γνώριμον πᾶσιν αὐτόθεν· χωρὶς γὰρ ἐπιστήμης γνώριμον τί σημαίνει τὸ κατὰ παντὸς ⟨ἢ⟩ ἡ κατάφασις ἤγουν ἡ ἀπόφασις, καὶ τί σημαίνει τὸ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα εἶναι· ὡς γὰρ γνωρίμοις αὐτοῖς πᾶσαι αἱ ἐπιστῆμαι χρῶνται, οὐδὲν δεόμεναι τῆς διδαξούσης ἐπιστήμης.

p. 997a5 Εἰ δὲ ἀποδεικτικὴ περὶ αὐτῶν ἐστι, δεήσει τι γένος εἶναι ὑποκείμενον.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι εἰ ὑποθώμεθα τὰ ἀξιώματα θηρᾶσθαι διὰ ἀποδείξεων, ἐπειδὴ πᾶν τὸ ὑποπῖπτον ἀποδείξει ἔχει καὶ ὑποκείμενον, ἔχει δὲ καὶ κατηγορούμενον, φανερὸν ὅτι χρεία ἐστὶν ἑτέρου ἀξιώματος πρὸς τὸ γενέσθαι ἀρχὴν ἀποδείξεως τῆς ἀποδεικνύσης τὸ ἀξίωμα. καὶ τοῦτο ἐπ' ἄπειρον· καὶ οὕτως οὐδὲν ἔσται ἀποδεικτόν, καθάπερ εἴρηται ἐν τῇ Ἀποδεικτικῇ

---

2 περὶ τῆς οὐσίας Alex. 6 εἶναι τὸ scripsi: ἐστὶ libri 15 et 34 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 22 p. 84a1 sqq. 19. 20 ἐπιστάμεθα — ἐπιστήμης (27) Alexandri sunt 21. 22 ἤτοι — ἀποδεικτικὴ desunt Alexandro 21 ἕκαστον addidi 22 ἢ delevi 24 ἐπὶ παντὸς Alex. ἢ ex Alexandro addidi 26 διδαξάσης Alex.

πραγματείᾳ, ὅτι εἰ ὑποθώμεθα πάντα ἀποδεικτὰ εἶναι, οὐδενὸς ἔσται ἀπόδειξις. ὥστε δεῖ τὰ κοινὰ ἀξιώματα ὁμολογούμενα εἶναι. εἰ οὖν ἔστιν ἀπόδειξις τῶν ἀξιωμάτων καὶ ἀποδεικτική τις ἐπιστήμη, δεήσει τὰ ἀξιώματα εἶναι τὰ πρῶτα ἕν τι γένος καὶ μίαν τινὰ φύσιν ὑποκειμένην, εἶναί τε αὐτῶν τὰ μὲν πάθη, τουτέστι τὰ ἀποδεικνύμενα ὑπάρχειν αὐτοῖς (τὰ γὰρ καθ' αὑτὰ ὑπάρχοντα, ἅπερ ἐστὶ τὰ ἀποδεικτά, πάθη εἶπε) τὰ δέ τινα ἄλλα ἀξιώματα, δι' ὧν τὰ ὑπάρχοντα αὐτοῖς καθ' αὑτὰ δείκνυται (χρεία γάρ ἐστιν ἀξιωμάτων ἐπὶ πάσης ἀποδείξεως). ἀξιώματα λέγων τὰς ἀναποδείκτους καὶ ἀμέσους προτάσεις. τὸ δὲ περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι εἶπεν ὡς ἀκόλουθον τῷ δεήσει τι γένος εἶναι ὑποκείμενον, καὶ τὰ μὲν πάθη τὰ δὲ ἀξιώματα αὐτῶν. εἰ οὖν ἀποδεικτὰ τὰ ἀξιώματα, χρεία ἐστὶν ἄλλων ἀξιωμάτων ἀναποδείκτων· οὐ f.110v γὰρ δυνατὸν πάντα ἀποδεικτὰ εἶναι, ἐπεὶ οὕτως οὐδὲν ἔσται ἀποδεικτόν. τίς οὖν χρεία μὴ ἵστασθαι εἰς τὰ προφανῶς ἀξιώματα καὶ λέγειν ὅτι ἀναπόδεικτα ὑπάρχουσιν; οὐδὲ γὰρ τῶν λαμβανομένων πρὸς τήν τινων δεῖξιν οἷόν τε πάντων ἀπόδειξιν εἶναι. τὸ δὲ ἑξῆς ἀνάγκη γὰρ ἔκ τινων εἶναι καὶ περί τι καὶ τινῶν τὴν ἀπόδειξιν συνάπτει τῷ δεήσει τι γένος εἶναι ὑποκείμενον. καὶ τὰ μὲν πάθη τὰ δὲ ἀξιώματα. καὶ ἔστι τὸ μὲν ἔκ τινων τῶν ἀξιωμάτων δι' ὧν ἡ δεῖξις δηλωτικόν, τὸ δὲ περί τι τοῦ ὑποκειμένου γένους, ᾧ δείκνυταί τι ὑπάρχον ἢ μὴ ὑπάρχον. τὸ δὲ τινῶν τῶν ἀποδεικνυμένων ὑπάρχειν ἢ μὴ ὑπάρχειν τῷ ὑποκειμένῳ, ἃ εἶπε πάθη. τὸ δὲ ὥστε συμβαίνει πάντων εἶναι γένος ἕν τι τῶν δεικνυμένων ἴσον ἂν εἴη τῷ 'οὕτως τε συμβήσεται, εἴπερ ἔστιν ἀπόδειξις περὶ τῶν ἀξιωμάτων, καὶ ἔστιν ἕν τι γένος καὶ μία τις φύσις ὑποκειμένη τὰ ἀξιώματα, πάντα τὰ ἀποδεικνύμενα διὰ τῶν ἀξιωμάτων μιᾶς τινος φύσεως εἶναι, εἴ γε πᾶσαι μὲν αἱ ἐπιστῆμαι καὶ αἱ ἀποδείξεις διὰ τῶν ἀξιωμάτων δεικνύουσι τὰ προκείμενα, τὰ δὲ ἀξιώματα μιᾶς καὶ τῆς αὐτῆς φύσεώς ἐστιν, ὡς δείκνυμεν, τὰ δὲ τῆς αὐτῆς φύσεως ἀλλήλοις ὄντα μιᾶς τινος φύσεώς ἐστι δεικτικά, εἴ γε ἐκ τῶν καθ' αὑτὰ ὑπάρχόντων αἱ ἀποδείξεις, μιᾷ δὲ φύσει καθ' αὑτὰ ὑπάρχειν ἀνάγκη τὰ μιᾶς καὶ τῆς αὐτῆς φύσεως ὄντα ἀλλήλοις.' ἓν δὲ γένος εἶπεν ἀντὶ τοῦ μίαν φύσιν. εἰ οὖν ἔστιν ἐπιστήμη τις καὶ ἀπόδειξις τῶν ἀξιωμάτων, δεήσει εἶναί τι γένος ὑποκείμενον αὐτοῖς· πᾶσα γὰρ ἀπόδειξις καὶ πᾶσα ἐπιστήμη ἀποδεικτικὴ περί τι γένος ὡρισμένον, καὶ πᾶν τὸ ἀποδεικτὸν γένει τινὶ ὡρισμένῳ ὑπάρχει. καὶ τοῖς ἀξιώμασιν ἄρα, εἰ ἔστιν ἀποδεικτὰ καὶ ἔστιν f.111r ἐπιστήμη τις αὐτῶν ἀποδεικτική, ὡρισμένον τι γένος ὑπόκειται, ᾧ δείκνυται

---

2 εἰ οὖν—αὐτῶν (11) Alexandri sunt 4 τὰ—εἶναι (5) desunt Alexandro πρῶτα scripsi: ποτὲ libri 7 ἄλλα deest Alexandro 8 χρεία—ἀποδείξεως desunt Alexandro 15 οὐδὲ—ὑπάρχοντα (p. 162,1) Alexandri sunt 19 δι' ὧν deest Alexandro 20 ᾧ Alex.: ὡς libri 26 διότι πᾶσαι Alex. 29 εἴ γε Alex.: εἰ δὲ libri 29. 30 ὑπάρχόντων Alex.: ὑπάρχουσιν libri 30 ὑπάρχειν Alex.: ὑπάρχει libri 32 ἢ τὸ λεγόμενόν ἐστιν, εἰ ἔστιν κτλ. Alexander alteram interpretationem exorsus 35 ὡρισμένῳ Alex.: ὡρισμένων libri

ὑπάρχοντα. ὥστε καὶ τῶν ἀξιωμάτων ἓν γένος ἔσται ⟨καὶ⟩ ἕτερον ἀξίωμα δι' οὗ δείκνυνται, εἰ ἄρα δείκνυνται, ἐπειδὴ πᾶσαι αἱ ἀποδείξεις χρῶνται τοῖς ἀξιώμασιν.

p. 997a11 Ἀλλὰ μὴν εἰ ἑτέρα ἡ τῆς οὐσίας καὶ ἡ περὶ τούτων.

Ἐντεῦθεν πειρᾶται δεῖξαι τὸ ἀληθές, ὅτι μία καὶ ἡ αὐτή ἐστιν ἐπιστήμη τῶν οὐσιῶν, τουτέστιν ἡ γινώσκουσα καὶ τὰς οὐσίας τῶν πραγμάτων καὶ τὰ ἀξιώματα, τουτέστι τὰς ἀποδείξεις, καθάπερ ἐν τῇ θεωρίᾳ ἐδείξαμεν. φησὶ γὰρ ὅτι εἰ ὑποθώμεθα ἑτέραν μὲν ἐπιστήμην εἶναι τῶν οὐσιῶν καὶ ἑτέραν τῶν συμβεβηκότων, ταύταις μάχη γενήσεται, ποία ἄρα αὐτῶν ἐστι κυριωτέρα καὶ προτέρα, ἆρά γε ἡ τὰς οὐσίας γινώσκουσα ἤγουν ἡ τὰ συμβεβηκότα ταῖς οὐσίαις. καθόλου γὰρ μάλιστα καὶ πάντων ἀρχαὶ ὑπάρχουσι τὰ ἀξιώματα, ἐπειδὴ καὶ ἀρχαὶ γίνονται ἀποδείξεων. εἰ δὲ μή ἐστι τοῦ φιλοσόφου τοῦ πρώτου θεωρῆσαι περὶ τῶν ἀξιωμάτων καὶ εἰδέναι αὐτά, τίνος ἄρα ἄλλου ἔσται τὸ θεωρῆσαι περὶ αὐτῶν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος; ζητεῖ οὖν ποτέρα αὐτῶν ἐστι σοφία καὶ ποτέρα κυριωτέρα καὶ προτέρα, πότερον ἡ περὶ τὰς τῆς οὐσίας ἀρχὰς ἢ ἡ περὶ τὰς τῆς ἀποδείξεως. ὅτι δὲ εὔλογον εἶναι λέγειν τοιαύτην τὴν περὶ τὰ ἀξιώματα, οὕτως ἐπιχειρεῖ. ἡ περὶ τὰ πρῶτα πρώτη, τὰ δὲ ἀξιώματα πρῶτα, ὃ ἔδειξε διὰ τοῦ εἰπεῖν ὅτι καθόλου· τὰ γὰρ καθόλου πρῶτα τῶν ὑφ' αὑτὰ δέδεικται τῇ φύσει ὄντα, τοιαῦτα δὲ τὰ ἀξιώματα κοινὰ πάντων καὶ καθόλου· ὥστε καὶ ἀρχαί, ἐπεὶ τὰ ἄλλα διὰ τῶν ἀξιωμάτων ἀποδείκνυνται. νῦν οὖν δείκνυσιν, ὡς εἴρηται, ὅτι εὔλογον τὸν φιλόσοφον διαλέγεσθαι περὶ τῶν ἀξιωμάτων, ἅ εἰσιν ἀποδείξεως ἀρχαί, δι' ὧν τὸ ἐν πᾶσι τοῖς ζητουμένοις ἀληθὲς f. 111v πρῶτον δείκνυται. ἄτοπον γὰρ τὸ ἄλλον τινὰ λέγειν περὶ τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους. τὸ δὲ περὶ αὐτῶν λέγοιτο ἂν περὶ τῶν προτάσεων· ἐν αὐταῖς γὰρ καὶ τὰ ἀξιώματα. τίνος γὰρ ἄλλου τὸ περὶ τοῦ ἐν προτάσεσιν ἀληθοῦς τε καὶ ψεύδους διαλέγεσθαι παρὰ τὸν φιλόσοφον; ἐνδείκνυται δὲ διὰ τούτων ὅτι εἰ καὶ μὴ τοῦ πρώτου φιλοσόφου ἐστὶ τὸ περὶ ἀποδείξεως καὶ τῶν ταύτης ἀρχῶν διαλαμβάνειν, ἀλλὰ ἁπλῶς φιλοσόφου γε.

p. 997a15 Ὅλως τε τῶν οὐσιῶν πότερον μία πασῶν ἐπιστήμη ἐστὶν ἢ πλείους ἐπιστῆμαι.

Ἐπεὶ τῶν οὐσιῶν αἱ μὲν ὑπάρχουσι νοηταί τε καὶ ἀκίνητοι, αἱ δὲ αἰσθηταί τε καὶ ἐν κινήσει, ζητεῖ πότερον περὶ πασῶν τῶν οὐσιῶν μιᾶς

---

1 ὑπάρχοντα Alex.: ὑπάρχον libri καὶ addidi 7. 8 ἀπεδείξαμεν D 15 ζητεῖ—καθόλου (20) Alexandri sunt κυριωτάτη Alex. 18 εἰ ἡ Alex. 21 δείκνυσιν—γε (29) pleraque Alexandri sunt 22 διαλέγεσθαι deest Alexandro 24 δείκνυται, πραγματεύεσθαι, ὃ ἐνεδείξατο διὰ τοῦ δεῖξαι ὅτι ἄτοπον Alex. 25 ψεύδους πραγματεύεσθαι Alex. 25. 26 ἐν αἷς καὶ Alex. 27 διαλαμβάνειν Alex. δείκνυται Alex. 29 ἀλλὰ τοῦ φ. Alex. 32 ἐπεὶ—εὔλογον εἶναι (p. 163,4) Alexandri sunt

ἐστι τὸ θεωρεῖν ἐπιστήμης, ἢ πλειόνων καὶ διαφόρων. καὶ εἰ ⟨μὴ⟩ μιᾶς. ποίας οὐσίας ἠγητέον τὴν προκειμένην νῦν ἡμῖν· ἔστι δὲ αὕτη ἡ σοφία. τὸ γὰρ μίαν πασῶν ὑπολαμβάνειν τῶν οὐσιῶν ἐπιστήμην εἶναι οὔ φησιν εὔλογον εἶναι. εἰ οὖν μὴ μία ἐστὶν ἐπιστήμη, ποίας οὐσίας θετέον τὴν ἐπιστήμην ταύτην. ἆρά γε νοητῆς ἢ αἰσθητῆς: πάλιν δὲ τὸ λέγειν μίαν ἐπιστήμην εἶναι πασῶν οὐκ εὔλογον ὑπάρχει. εἰ γὰρ εἴη μία, μία ἂν εἴη καὶ ἡ ἀποδεικτικὴ πάντων τῶν ταῖς οὐσίαις καθ' αὑτὰ συμβεβηκότων, εἴπερ πᾶσα ἀποδεικτικὴ περί τι ὑποκείμενον θεωρεῖ τὰ καθ' αὑτὰ συμβεβηκότα ἐκ τῶν κοινῶν δοξῶν, οἷον ἀριθμητικὴ μὲν περὶ ἀριθμούς, γεωμετρία δὲ περὶ μεγέθη, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων πασῶν ἐπιστημῶν. φαμὲν οὖν πρὸς αὐτὸν ἡμεῖς ὅτι αἱ μὲν κατὰ μέρος ἐπιστῆμαι τὰ κατὰ μέρος συμβεβηκότα ἐπισκέψονται, οἷον ἀριθμητικὴ τὰ ἐν τοῖς ἀριθμοῖς. γεωμετρία δὲ τὰ ἐν τοῖς μεγέθεσιν, ἡ μέντοι γε πρώτη φιλοσοφία τὰ καθόλου συμβεβηκότα ἐπισκέπτεται· ὥστε ἡ μία ἐπιστήμη περὶ πάντων τῶν συμβεβηκότων διαλέγεται, ἐπεὶ καὶ περὶ πασῶν τῶν οὐσιῶν. ἐκ γὰρ τῶν f. 112r
συμβεβηκότων ἐσπούδαζε δεικνύναι τὸ ἄτοπον ὁ φιλόσοφος. περὶ οὖν τὸ αὐτὸ γένος (ἀντὶ τοῦ περὶ οὖν ἓν γένος) τὰ [καθ' αὑτὰ] καθ' αὑτὸ συμβεβηκότα διὰ τῶν κοινῶν δοξῶν. τουτέστι μιᾶς ἐστι θεωρῆσαι τὰ καθ' αὑτὸ συμβεβηκότα τοῖς μεγέθεσι, καὶ πάλιν ἑτέρας τοὺς ἀριθμούς· ὥστε καὶ τῶν οὐσιῶν διάφοροι ἐπιστῆμαι, ἐπεὶ καὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων ταῖς οὐσίαις. εἰρήκαμεν δὲ ἡμεῖς τὸ ἀληθές, ὥστε τῆς αὐτῆς ἐστιν ἐπιστήμης τὸ εἰδέναι καὶ τὸ ὑποκείμενον καὶ τὰ καθ' αὑτὸ ὑπάρχοντα τῷ ὑποκειμένῳ. περί τε τὸ ὅτι μιᾶς καὶ ἐξ ὧν· ὅ φησι τὸ ὑποκείμενον, ἐξ ὧν δὲ δείκνυται. καὶ τὸ ὅτι, φημὶ δὴ τὴν οὐσίαν, μιᾶς ἐστιν ἐπιστήμης τὸ θεωρῆσαι, καὶ ἐξ ὧν, τουτέστι τὰ καθ' αὑτὸ ὑπάρχοντα τῇ οὐσίᾳ, μιᾶς ἐστιν * * * ἄλλης θεωρῆσαι ἐπιστήμης. ὃ οὖν λέγει, τοιοῦτόν ἐστιν. εἰπὼν ὅτι εἴπερ ἓν γένος ἐστὶν ἡ οὐσία ὑποκείμενον, μία ἔσται καὶ ἡ πάντων τῶν καθ' αὑτὰ ὑπαρχόντων τῇ οὐσίᾳ ἀποδεικτικὴ ἐπιστήμη, ἐπήνεγκε καθόλου περί τε γὰρ τὸ ὅτι μιᾶς καὶ ἐξ ὧν μιᾶς, εἴτε τῆς αὐτῆς εἴτε ἄλλης· ὥστε καὶ τὰ συμβεβηκότα, εἴτε αὗται θεωρήσουσιν εἴτε ἐκ τούτων μία. εἴη δ' ἂν τὸ λεγόμενον τοιοῦτον. τῆς αὐτῆς, φησίν, ἐστὶν ἐπιστήμης τό τε ὑποκείμενον θεωρεῖν τί ποτέ ἐστι, καὶ τὰ τούτῳ καθ' αὑτὰ ὑπάρχοντα· ἐκ γὰρ τούτων καὶ ἐν τούτοις ἐκείνῳ τὸ εἶναι. ἀλλὰ μὴν ἧς τὸ τὰ καθ' αὑτὰ ὑπάρχοντά τινι εἰδέναι, ταύτης καὶ τὸ ἀποδεικνύναι τὰ καθ' αὑτὰ συμβεβηκότα ἐκείνῳ. δύναται δὲ τὸ καὶ ἐξ ὧν μιᾶς εἰρηκέναι ἀντὶ τοῦ καὶ ἐξ ὧν αἱ περὶ ἐκείνου τοῦ ὑποκειμένου ἀποδείξεις γίνονται· διὰ γὰρ τῶν καθ' αὑτὰ ὑπαρχόντων αἱ

1 μὴ ex Alexandro addidi 5 νοητὴν ἢ αἰσθητὴν libri 16 περὶ οὖν — θεωρῆσαι (18) Alexandri sunt 17 καθ' αὑτὰ delevi 18 post δοξῶν fort. addendum μιᾶς ἐστι θεωρῆσαι 20 ὑπαρχόντων scripsi: ὑπαρχουσῶν libri 23. 29 τὸ ὅτι scripsi (cf. 24), quamquam in ὅ φησι (23) apparet altera lectio περί τε γὰρ ὅ quae eadem apud Alexandrum occurrit: τὸ οὐδὲν utrobique libri 26 addendum εἴτε τῆς αὐτῆς εἴτε 27 εἰπὼν – ἀποδεικτική (164,18) Alexandri sunt 28 ὑπαρχόντων Alex.: ὑπάρχουσα libri 34 ἧς Alex.: εἰ γὰρ A: ἡ γὰρ D 36 καὶ τὰ ἐξ ὧν Alex. 37 γινόμεναι Alex.

ἀποδείξεις, ἃ δεῖ εἰδέναι τὸν περὶ ἐκεῖνο καταγινόμενον. ὥστε οὐ τὸ εἰδέναι τὴν ὑποκειμένην φύσιν, τούτου ἐστὶ τὸ εἰδέναι καὶ τὰ ταύτῃ ὑπάρχοντα καθ' αὑτά· διὰ γὰρ τούτων ἡ γνῶσις τῆς οὐσίας τοῦ προκειμένου, δι' f. 112v ὧν καὶ αἱ περὶ τῶν ὑπαρχόντων αὐτῇ ἀποδείξεις. ἧς δὲ τὸ ταῦτα εἰδέναι, ταύτης καὶ τὸ τὰ καθ' αὑτὸ συμβεβηκότα τῷ γένει τούτῳ δεικνύναι, τουτέστι τὰ διὰ ἀποδείξεως * * * τὸ δὲ εἴτε τῆς αὐτῆς εἴτε ἄλλης εἴη ἂν λέγων, εἴτε τῆς αὐτῆς τό τε ὁρίσασθαι τὸ αὐτὸ καὶ τὸ ἀποδεῖξαι τὰ καθ' αὑτὸ ὑπάρχοντα τῷ αὐτῷ, τουτέστιν εἰ ἡ αὐτὴ ἐπιστήμη ἐστὶν ὁριστική τε καὶ ἀποδεικτική, εἴτε καὶ ἑκάτερα αὐτῶν ἑτέρα ἐστὶ καὶ μὴ μιᾶς ἅμφω μόρια· ἀκολουθήσει γοῦν καὶ τὰ καθ' αὑτὰ συμβεβηκότα τῷ αὐτῷ γένει μίαν ἀποδεικνύναι. λείπει γὰρ τοῦτο τῇ λέξει τῇ ὥστε καὶ τὰ συμβεβηκότα· ἐνδεῖ γὰρ αὐτῷ τὸ 'μιᾶς ἔσται θεωρεῖν τε καὶ δεικνύναι'. ἧς γὰρ τὸ εἰδέναι τὰ ἐξ ὧν, ταύτης [τε] καὶ τὸ τὰ συμβεβηκότα τῷ ὑποκειμένῳ δεικνύναι· εἴτε ἑκατέρα τούτων ἑτέρα οὖσα τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ ὑποκειμένῳ θεωρεῖ, καὶ ἡ μὲν ὁριστικὴ λαμβάνουσα, ἡ δὲ ἀποδεικτικὴ ἀποδεικνύουσα, εἴτε καὶ μία ἐστὶν ἐπιστήμη ἐξ ἀμφοτέρων τοῦ τε ὁρίζεσθαι καὶ τοῦ ἀποδεικνύναι συγκειμένη. ὡς γὰρ μία ἡ ὁριστικὴ καὶ δεικτικὴ τοῦ τί ἦν εἶναι τοῦ ἑνός, οὕτως μία καὶ ἡ ἀποδεικτική. καὶ τὰ συμβεβηκότα οὖν αἱ αὐταὶ θεωρήσουσι, τουτέστιν ἡ ὁριστική τε καὶ ἀποδεικτική, ἢ ἐκ τούτων μία, τουτέστιν ἡ ἀποδεικτική, ὥσπερ καὶ τὸ ὑποκείμενον ἢ ἀμφότεραι ἤγουν μία.

p. 997a25 Ἔτι δὲ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνον ἐστὶν ἢ καὶ περὶ τὰ συμβεβηκότα.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι ἆρά γε ἡ παροῦσα θεωρία τὰς οὐσίας μόνας ζητεῖ ἢ καὶ τὰ συμβεβηκότα ταῖς οὐσίαις; οἷον εἰ τὸ στερεὸν οὐσία τίς ἐστι καὶ γραμμὴ καὶ ἐπίπεδα, πότερον τῆς αὐτῆς ταῦτα γνωρίζειν ἐστὶν ἐπιστήμης καὶ τὰ συμβεβηκότα περὶ ἕκαστον γένος, περὶ ὧν αἱ μαθηματικαὶ δεικνύουσιν, ἢ ἄλλης; εἰ μὲν γάρ τις ὑποθοῖτο τῆς αὐτῆς εἶναι, συμβήσεται καὶ ἡ τῆς οὐσίας ἐπιστήμη ἀποδεικτικὴ εἶναι, ὅπερ ἐστὶ παρὰ f. 113r τὰ φαινόμενα· οὐ δυνατὸν γὰρ τῶν ὁρισμῶν εἶναι ἀποδείξεις. εἰ δὲ ἑτέρας, τίς ἐστιν ἡ θεωροῦσα περὶ τὴν οὐσίαν τὰ συμβεβηκότα; τοῦτο εὑρεῖν πάνυ χαλεπόν ἐστι. λέγομεν οὖν πρὸς τοῦτο ὅτι τῆς αὐτῆς ἐστι θεωρῆσαι καὶ τὰς οὐσίας καὶ τὰ καθ' αὑτὸ συμβεβηκότα, ἀλλὰ τὰς μὲν οὐσίας διὰ τῶν ὁρισμῶν, τὰ δὲ καθ' αὑτὸ συμβεβηκότα διὰ τῶν ἀποδείξεων. ὁ γὰρ γεωμέτρης οἶδε καὶ τὸ τρίγωνον καὶ τὰ συμβεβηκότα τῷ τριγώνῳ· ὁμοίως

---

1 τὸν περὶ — εἰδέναι om. D οὐ τὸ Alex.: τοῦ A 2 τὰ ταύτῃ ὑπάρχοντα Alex.: τὸ ταύτῃ ὑπάρχον τὰ libri 6 addendum ex Alexandro ὑπάρχειν δεικνύμενα αὐτῷ 8 εἰ ἡ αὐτὴ Alex.: εἴη αὐτῆς libri 9 ἑκατέρα αὐτῶν desunt Alexandro 12 ἐνδεῖ Alex.: ἓν· δεῖ libri 15 ἡ μὲν λαμβάνουσα ὁριστική, ἡ δὲ ἀποδεικνύουσα ἀποδεικτική Alex. 22 τῇ θεωρία libri 28 τὴν αὐτὴν libri 29 ἀποδεικτικὴ corr. D: ἀποδεικτὴ A pr. D 30. 31 ἕτερον libri

δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ἀπορήσας οὖν, εἴτε τῆς αὐτῆς ἅμφω ἐστὶν εἴτε ἄλλης μὲν τὸ ὁρίσασθαι ἄλλης δὲ τὸ ἀποδεῖξαι, νῦν ἀπορεῖ καὶ ζητεῖ, ἆρά γε ἡ σοφία τῶν οὐσιῶν μόνων ἐστὶ θεωρητικὴ ἢ τὸ εἶναι τῆς οὐσίας ἐξετάζουσα καὶ τίς ἡ φύσις αὐτῆς ὁριζομένη, ἢ καὶ περὶ τῶν καθ' αὐτὰ συμβεβηκότων τῇ οὐσίᾳ θεωρεῖ, ὡς εἶναι ἅμα καὶ ἀποδεικτική. εἰ μὲν γὰρ ἡ αὐτὴ θεωρεῖ τὴν οὐσίαν καὶ τὰ καθ' αὐτὰ συμβεβηκότα, εἴη ἂν ἀποδεικτική· ἀποδεικτικῆς γὰρ τὸ δεικνύναι τὰ καθ' αὐτὸ ὑπάρχοντα. τοῦτο δὲ οὐ καλῶς λαμβάνει· τὸ μὲν γάρ τί ἐστιν ἀναπόδεικτον λαμβάνει, ἀποδείξει δὲ τὰ καθ' αὐτὸ ὑπάρχοντα. οἱ μὲν οὖν γεωμέτραι οὐκ ἔχουσιν οὐσίας τὰ ὑποκείμενα αὐτοῖς ἃ ὁρίζονται, ἡ δὲ φυσικὴ οὐσίας τε ἔχει τὰ ὑποκείμενα καὶ οὐδὲν ἔλαττον αὐτὰς ὁρίζεται, ἀποδείκνυσι δὲ τὰ καθ' αὐτὸ ὑπάρχοντα. τί μὲν γάρ ἐστιν ἥλιος ἢ κόσμος, φησί, ⟨ὁρίζεται⟩, περὶ δὲ τῶν καθ' αὐτὸ ὑπαρχόντων αὐτοῖς ἀποδείκνυσι σχημάτων ἤ τινων τοιούτων. ὁμοίως καὶ ὁ γεωμέτρης ὁρίζεται τί ἐστιν εὐθεῖα καὶ τρίγωνον, ἀποδείκνυσι δὲ τὸ σύμπτωμα τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. πάλιν εἴ τίς ἐστιν ἐπιστήμη παρὰ τὴν τῆς οὐσίας θεωρητικήν τε καὶ ἀποδεικτικὴν διαφέρουσα ἐκείνης, εὑρεῖν πάνυ χαλεπόν.

p. 997a34 Ἔτι δὲ πότερον τὰς αἰσθητὰς οὐσίας μόνας εἶναι φα- f. 113v
τέον ἢ καὶ παρὰ ταύτας ἄλλας.

Ὅπερ ζητεῖ ἐνταῦθα, τοῦτό ἐστιν, ὅτι ἆρά γε αἱ αἰσθηταὶ οὐσίαι μόναι ὑπάρχουσιν ἢ καὶ ἕτεραι παρὰ ταύτας, τουτέστιν νοηταί; καὶ εἰ ὑπάρχουσιν ἕτεραι οὐσίαι παρὰ τὰς αἰσθητάς, πότερον μοναχῶς ἢ πλεοναχῶς; καί φησιν ὅτι πλεοναχῶς· φασὶ γὰρ ὑπάρχειν καὶ νοητὰς οὐσίας καὶ διανοητάς, περὶ ἃς καταγίνονται αἱ μαθηματικαὶ ἐπιστῆμαι. ἡ γὰρ γεωμετρία καταγίνεται περὶ τὸ εἶδος τοῦ κύκλου καὶ τοῦ τριγώνου τοῦ ἁπλῶς· ταῦτα δὲ πάντα διανοητὰ ὑπάρχουσι. διανοηταὶ δὲ οὐσίαι ὑπάρχουσιν οἱ λόγοι οἱ ἐν τῇ ψυχῇ. ἄμεινον οὖν ἦν αὐτὸν ζητῆσαι, ἆρα ὑπάρχουσιν ἕτεραι οὐσίαι παρὰ τὰς νοητάς· κυρίως γὰρ οὐσίαι αἱ νοηταὶ μόναι ὑπάρχουσι. 'τὶ τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τὶ τὸ γινόμενον, ὂν δὲ οὐδέποτε'· ὥστε τὸ ἐναντίον ἔδει αὐτὸν ζητῆσαι, καθάπερ εἴρηται. ὅτι γὰρ ὑπάρχουσι νοηταὶ οὐσίαι φανερὸν ἐντεῦθεν. ὁ γὰρ νοῦς κεχωρισμένην ἔχει οὐσίαν τῶν αἰσθητῶν, ὡς δείκνυται ἐν τῷ Φαίδωνι, ὥστε καὶ χωριστὴν ἐνέργειαν καὶ κρείττονα τῶν αἰσθητῶν. εἰ οὖν μὴ μάτην ἔχει τὴν ἐνέργειαν ὁ νοῦς, δῆλον ὡς ὅτι ἀντιλήψεται τῶν νοητῶν. ὥστε ὑπάρχουσι πολλῷ μᾶλλον τῶν αἰσθητῶν τὰ νοητά. πρὸς τούτοις δέ φαμεν ὅτι καὶ νοηταὶ οὐσίαι ὑπάρχουσιν οἱ λόγοι οἱ παρὰ τῷ δημιουργῷ, καθ' οὓς λόγους ποιεῖ τε πάντα καὶ προάγει· οὔτε γὰρ ἀλόγως ποιεῖ·

---

1 ἀπορήσας — ὑπάρχοντα (7) pleraque Alexandri sunt 9 οἱ μὲν οὖν — ὑπάρχοντα (12) Alexandri sunt 11 αὐτάς τε ὁρίζεται καὶ τίνα ἐστὶν αὐτοῖς τὰ καθ' αὑτὰ ὑπάρχοντα ἀποδείκνυσιν Alex. 12 ὁρίζεται addidi 25 περὶ scripsi: πρὸς libri 29 τὶ τὸ ὂν κτλ.] Plato Tim. p. 27 D 37 ποιεῖ τε scripsi: ποιεῖται libri

πάντων γὰρ τῶν ὄντων ἔχει λόγους ἐν ἑαυτῷ. εἰσὶ δὲ καὶ οὐσίαι διανοηταὶ οἱ λόγοι οἱ ἐν τῇ ψυχῇ ὑπάρχοντες, καθ' οὓς θεωρεῖ τὰ πάντα. εἰ μὲν γὰρ περὶ τὰ καταδεέστερα ἐνεργεῖ ὀρθῶς ἡ ψυχή, ἡ τοιαύτη ἀρετὴ πολιτικὴ ὑπάρχει· εἰ δὲ πρὸς ἑαυτὴν ἐπιστρέφεται θεωροῦσα τὴν φύσιν
5 ἑαυτῆς καὶ τὰ ὅμοια, καθαρτική· εἰ δὲ περὶ τὸ θεῖον ἐπέστραπται, θεω- f.114r
ρητικὴ ὑπάρχει.

p. 997a34 Ἔτι δὲ πότερον τὰς αἰσθητὰς οὐσίας μόνας εἶναι φατέον.

Καθάπερ εἴρηται, ἀπορητικῶς προέρχεται καί φησιν ὅτι ἀρά γε τὰς αἰ-
10 σθητὰς οὐσίας μόνας εἶναι δεῖ ὑπολαμβάνειν. ἢ καὶ παρὰ τὰς αἰσθητὰς ἄλλας οὐσίας; καὶ πότερον αἱ ἄλλαι οὐσίαι αἱ παρὰ τὰς αἰσθητὰς μοναχῶς ὑπάρχουσιν, ἢ πλείονα γένη τετύχηκεν ὄντα τῶν οὐσιῶν; οἷον οἱ λέγοντες τά τε εἴδη, τουτέστι τὰ νοητά, καὶ τὰ μεταξύ, τουτέστι τὰ διανοητά, περὶ ἃ διανοητὰ καταγίνονται αἱ μαθηματικαὶ ἐπιστῆμαι. περὶ γὰρ τοῦ εἴδους
15 τοῦ τριγώνου διαλέγονται καὶ τοῦ κύκλου καὶ τῶν ὁμοίων, ἅτινα διανοητὰ ὑπάρχουσι· τὸ γὰρ εἶναι ἐν τῇ ἡμετέρᾳ ψυχῇ ἔχουσι. πότερον οὖν μοναχῶς εἰσιν αὗται, ἢ πλείω γένη τῶν τοιούτων οὐσιῶν, ὡς εἶναι τὰς μέν τινας ἰδέας καὶ παραδείγματα, τὰς δέ τινας μεταξὺ τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν, ὡς τὰς μαθηματικάς; ⟨κατὰ⟩ ταύτην γὰρ τὴν χώραν τὰ μαθηματικὰ
20 ἔταττον οἱ περὶ Πλάτωνα, οὐσίας καὶ ταῦτα λέγοντες εἶναι ἔξω ὄντα καὶ κεχωρισμένα τῶν τε αἰσθητῶν οὐσιῶν καὶ τῶν ἰδεῶν.

p. 997b3 Ὡς μὲν οὖν λέγομεν αἴτιά τε καὶ οὐσίας εἶναι καθ' ἑαυτὰς εἴρηται ἐν τοῖς πρώτοις λόγοις.

Ὡς τοῦ αὐτοῦ διδασκαλείου ὑπάρχων ὁ Ἀριστοτέλης φησὶ τὸ λέ-
25 γομεν. ἱκανῶς οὖν ἀντείπομεν ἐν τῷ μείζονι Α πρὸς τὰς ἰδέας ἐλέγχοντες ὅτι οὔτε ἀριθμοὺς δυνατὸν λέγειν αὐτὰς οὔτε ἕτερόν τι τοιοῦτο, καὶ ὅσα ἄλλα εἴρηνται ἐν ἐκείνοις. καὶ πρὸς πάντα δὲ ἀπελογησάμεθα, ὡς φησιν ὁ ἡμέτερος φιλόσοφος, δεικνύντες ὡς ὅτι αἴτια ὑπάρχουσι τῶν τῇδε. οἱ γὰρ λόγοι οἱ δημιουργικοὶ παρακτικοὶ ὑπάρχουσι τῶν τῇδε καὶ οὐσίαι
30 οὖσαι ἐν τῷ δημιουργῷ· οὔτε γὰρ αὐταὶ καθ' αὑτὰς ὑπάρχουσιν ὥσπερ τὰ αἰσθητά. οὐ γὰρ τοῦτο ἔλεγεν ὁ Πλάτων ὅτι ἄνθρωπός τίς ἐστιν αὐτὸς f.114v
καθ' αὑτὸν ὑπάρχων ὁ ἔχων ὄνυχας καὶ τρίχας, καὶ ἵππος καὶ ὅσα ἄλλα τοιαῦτα, ἀλλὰ λόγους δημιουργικοὺς ὑπετίθετο ὄντας ἐν τῷ δημιουργῷ, καθ' οὓς λόγους παράγει πάντα ἅπερ παράγει· οὐ γὰρ ἀλόγως ποιεῖ καθάπερ
35 τὰ ἄψυχα. ὁ οὖν Ἀριστοτέλης διαμάχεται τοῖς κακῶς ἐκλαμβάνουσι τὰ τοῦ Πλάτωνος. καὶ ὅτι πρὸς τοὺς λέγοντας εἶναι ἄνθρωπον αὐτὸν καθ'

---

16 πότερον — ἰδεῶν (21) Alexandri sunt 19 κατὰ addidi τοῖς μαθηματικοῖς Alex.
20 οὐσίας καθ' αὑτὰς Alex. 21 ἰδεῶν Alex.: ἰδίων libri 22 λέγομεν τὰ εἴδη αἴτιά τε Aristoteles 24 διδασκαλίου D 32 ὁ ἔχων om. D

αὐτὸν ὄντα ἤγουν ἵππον, καὶ οὕτως ἐξ αὐτῶν γίνεσθαι τὰ τῇδε μάχεται ὁ Ἀριστοτέλης, σαφῶς ἐνταῦθα ἀποκαλύπτει τὴν ἑαυτοῦ διάνοιαν. τί γάρ; φησὶν ὅτι πολλαχῇ ἔχοντος δυσκολίαν τοῦ πράγματος τοῦ κατὰ τὰς ἰδέας οὐδενὸς ἧττόν ἐστιν ἄτοπον τὸ ὑποτίθεσθαι εἶναί τινας φύσεις παρὰ τὰς ἐν τῷ οὐρανῷ. καὶ ὑπὲρ τὸν οὐρανὸν γὰρ ἔλεγον εἶναι τὰς ἰδέας, εἴ γε ὁ οὐρανὸς αἰσθητὸς ὑπάρχει, ὑπὲρ πᾶν δὲ αἰσθητὸν ἔλεγον εἶναι τὰς ἰδέας, εἴ γε καὶ νοητὰς αὐτὰς ὑπετίθεντο. ταύτας δὲ τὰς νοητὰς τὰς αὐτὰς ὑπετίθεντο εἶναι τοῖς αἰσθητοῖς. ὥσπερ ἐστὶν οὐρανός, φησίν, αἰσθητός, οὕτως καὶ διανοητὸς καὶ νοητός· διαφέρειν δὲ λέγει, ὅτι τὰ μὲν αἰσθητὰ φθαρτὰ ὑπάρχουσι, τὰ δὲ νοητὰ ἄφθαρτα. ὥστε οἶδεν ὁ Ἀριστοτέλης τοὺς Πλατωνικοὺς λέγοντας φθαρτὸν εἶναι τὸν οὐρανόν. εἴ γε καὶ πάντα τὰ αἰσθητά φησιν αὐτοὺς λέγειν φθαρτά· διό φησι πλὴν ὅτι τὰ μὲν ἀίδια, τὰ δὲ φθαρτά. αὐτὸ γὰρ ἄνθρωπόν φασιν εἶναι καὶ ἵππον καὶ ὑγείαν. ἰδοῦ πῶς μάχεται πρὸς τοὺς λέγοντας νοητὸν εἶναι ἄνθρωπον αὐτὸν καθ' αὑτὸν καὶ τὰ ἄλλα ὁμοίως, καὶ οὕτως ἐξ αὐτοῦ παράγεσθαι τὰ αἰσθητὰ πάντα. οἱ οὖν τοιοῦτοι, φησίν, ἐοίκασι τοῖς γραφεῦσι τοῖς ποιοῦσιν ἀνθρωποειδεῖς θεούς· ἀμφότεροι γὰρ οὐδὲν ἄλλο ποιοῦσιν εἰ μὴ ἀνθρώπους ἀιδίους, ἐπεὶ καὶ ὁ θεὸς ἀίδιός ἐστιν, ἀνθρωποειδεῖς δὲ θεοὺς ὑποτίθενται. εἰ γὰρ f.115r νοητὸν ἄνθρωπον λέγουσιν εἶναι ἐν ὑποστάσει, τοῦτον δὲ ἄφθαρτον ὑποτίθενται, φανερὸν ὅτι οὐδὲν ἄλλο λέγουσιν ἢ ἄφθαρτον εἶναι ἄνθρωπον καὶ ἵππον καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ πρὸς τούτους μὲν διαμάχεται ὁ Ἀριστοτέλης, ὡς εἴρηται, πρὸς τοὺς λέγοντας εἶναι ἄνθρωπον αὐτὸν καθ' αὑτὸν ἐν ὑποστάσει, καὶ οὕτως ἐξ αὐτοῦ παράγεσθαι τὰ ἄλλα, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὁ μέντοι γε Πλάτων, ὡς πολλάκις εἴρηται, οὐ τοῦτο ὑποτίθεται, ἀλλὰ λόγους δημιουργικοὺς εἶναι παρὰ τῷ θεῷ τοῦ ἀνθρώπου καὶ πάντων τῶν γινομένων· καὶ τοῦ οὐρανοῦ λόγος ὑγείας, εἴ γε μέλλει διατελεῖν ἀγήρως καὶ ἄνοσος, καὶ τῶν ἄλλων ἁπάντων. εἰ γὰρ ὁ ἰατρὸς ἔχει λόγους ἐν ἑαυτῷ ὑγείας, πολλῷ μᾶλλον καὶ ὁ θεὸς ἔχει λόγον ὧν παράγει. ὁμοίως δὲ καὶ αἱ ψυχαὶ ἔχουσιν ἐν ἑαυταῖς τοὺς λόγους τῶν πραγμάτων, εἴ γε αὐτός φησιν ὁ Ἀριστοτέλης 'εὖ γε οἱ τὴν ψυχὴν εἰρηκότες τόπον εἰδῶν', καὶ ὅτι ὁ κατ' ἐνέργειαν νοῦς τὰ πράγματα. ὥστε καὶ νοηταὶ οὐσίαι ὑπάρχουσιν οἱ λόγοι οἱ παρὰ τῷ δημιουργῷ καὶ διανοηταὶ οἱ λόγοι οἱ ἐν τῇ ψυχῇ· οὐκέτι μέντοι γε αὐτοίππος καὶ βοῦς καὶ τὰ τοιαῦτα αὐτὰ καθ' αὑτὰ ἐν ὑποστάσει ὄντα, ὥσπερ καὶ τὰ αἰσθητά. τίνες οὖν αἱ πολλαὶ δυσκολίαι, εἴρηκαμεν ἐν τῷ πρώτῳ. τὸ δὲ παρὰ τὰς ἐν τῷ οὐρανῷ λέγει ἀντὶ τοῦ παρὰ τὰς ἐν τῷ κόσμῳ καὶ αἰσθητάς (οὐρανὸν γὰρ τὸν κόσμον λέγει) καὶ ἐν τόπῳ οὔσας καὶ φύσει συνεστώσας. φησὶν οὖν ὅτι πολλῶν ὄντων ἀτόπων τῶν ἑπομένων τῷ περὶ τῶν ἰδεῶν δόγματι (καὶ γὰρ τίς ἡ ὑπόστασις αὐτῶν ἄτοπον, πότερον ἡ οὐσία, καὶ τίς

26 καὶ τοῦ οὐρανοῦ κτλ.] cf. Plat. Tim. p. 33 A 30 αὐτός φησιν] de An. Γ 4 p. 429a27 31 ὅτι—πράγματα] cf. de An. Γ 5 p. 430a19, 7 p. 431a1 35 τίνες οὖν—οὐσίας (p. 168,18) Alexandri sunt 35 et 36 παρὰ τὰ libri 36 αἰσθητὰ libri 37 ὡς καὶ ἐν τόπῳ Alex. 39 ἄτοπον] ἀπορεῖ Alex. οὐσία ἢ οὔ Alex.

ὁ τῆς μεθέξεως τρόπος, καὶ ὅσα εἴρηται ἐν τῷ μείζονι A) οὐδενὸς ⟨ἥττον⟩ ἄτοπον εἶναι καὶ ὃ νῦν τίθησιν ὡς ἑπόμενον αὐτοῖς. λέγουσι μὲν γὰρ εἶναί τινας φύσεις παρὰ τὰς αἰσθητὰς καὶ φύσει συνεστώσας ταύτας, ἃς δὴ ἰδέας λέγουσι, ταύτας δὲ τὰς φύσεις τὰς αὐτὰς τίθενται τοῖς αἰσθητοῖς καὶ ἐν f. 115v
5 τῷ οὐρανῷ οὖσι, μόνῳ τῷ ἀιδίους εἶναι τῶν αἰσθητῶν διαφερούσας. ὅτι δὲ ἕπεται τῷ δόγματι, ἐπιστώσατο ἐκ τοῦ παρ' αὐτῶν λεγομένου· αὐτὸ γὰρ ἄνθρωπόν φασιν εἶναι καὶ αὐτοίππον καὶ αὐτοϋγείαν, ἄλλο δὲ οὐδὲν λέγουσι περὶ αὐτῶν. εἰ δὲ ἔστι κἀκεῖνα ἄνθρωποι καὶ ἵπποι, τῷ ἀιδίῳ διαφέροντες τῶν αἰσθητῶν. τὰ μὲν ἄλλα τοῖς αἰσθητοῖς ἕξουσι τὰ
10 αὐτά· τοὺς γοῦν ὁρισμοὺς αὐτῶν λέγοντες εἶναι ἐφαρμόζειν * * * ὥστε ἔσται κἀκεῖνα αἰσθητά. πῶς οὖν φασιν αὐτὰ ὑπὲρ τὰ αἰσθητά; ὡς γὰρ οἱ θεοὺς λέγοντες καὶ τούτους ἀνθρωπομόρφους ποιοῦντες ἀνθρώπους ἀιδίους αὐτοὺς ἐποίουν διὰ τοῦ ὀνόματος τοῦ θεοῦ τὸ ἀίδιον αὐτοῖς χαριζόμενοι, οὕτως καὶ οἱ τὰ αὐτὰ τὰ εἴδη τοῖς αἰσθητοῖς ποιοῦντες πλεονεκτοῦντα τῇ τοῦ
15 αὐτὸ προσθήκῃ αἰσθητὰ εἶναι ἀίδια τὰς ἰδέας. ἀδύνατον γὰρ ἄνθρωπον ἢ ἵππον καὶ τὸν τούτων λόγον ἀναδεχόμενον μὴ αἰσθητόν τε καὶ αἰσθητικὸν εἶναι. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη διὰ τῆς τῶν ἰδεῶν θέσεως ἀναιρούμενον τὸ μόνας εἶναι τὰς αἰσθητὰς οὐσίας.

p. 997b12 Ἔτι δὲ εἴ τις παρὰ τὰ εἴδη καὶ τὰ αἰσθητὰ τὰ μεταξὺ
20 θήσεται, πολλὰς ἀπορίας ἕξει.

Φησὶν ὅτι πολλὰς ἀπορίας ἕξει ὁ ὑποτιθέμενος παρὰ τὰς νοητὰς οὐσίας καὶ τὰς αἰσθητὰς πάλιν ἄλλας οὐσίας. φημὶ δὴ τὰς μεταξύ, τουτέστι τὰς διανοητάς· πρὸς αὐτὰς γὰρ νῦν διαμάχεται. φανερὸν ὡς ὅτι ἔσονται καὶ γραμμαὶ διανοηταὶ καὶ αἰσθηταὶ καὶ νοηταὶ καὶ ἕκαστον τῶν ἄλλων γενῶν.
25 ἐπεὶ οὖν ἡ ἀστρονομία τῶν μαθηματικῶν ἐστιν ἐπιστημῶν, αἱ δὲ μαθηματικαί, ὡς ἀνωτέρω εἰρήκαμεν, καταγίνονται περὶ τὰ διανοητά, δῆλον ὅτι ἔσται τις καὶ οὐρανὸς παρὰ τὸν αἰσθητὸν οὐρανόν, ἕτερος οὐρανὸς διανοητὸς καὶ ἥλιος καὶ σελήνη καὶ τὰ ἄλλα ὁμοίως τὰ κατὰ τὸν οὐρανόν. πῶς δὲ δυνατόν ἐστι τοῖς τοιούτοις λόγοις πιστεύειν; καθὸ μὲν γάρ ἐστιν οὐρανός,
30 δεῖ αὐτὸν κινεῖσθαι, καθὸ δὲ διανοητός, ἔσται ἀκίνητος· ὥστε ὁ αὐτὸς f. 116r
καὶ κινούμενος καὶ ἀκίνητος, ὅπερ ἐστὶν ἀδύνατον. λέγομεν τοίνυν πρὸς τοῦτο ὅτι καὶ αἰσθητός ἐστιν οὐρανὸς ὁ φαινόμενος καὶ διανοητὸς ὁ λόγος τοῦ οὐρανοῦ ὁ ἐν τῇ ψυχῇ ἡμῶν ὑπάρχων· οὗτος δὲ ἀκίνητός ἐστι λόγος ὑπάρχων. ἔτι δὲ καὶ νοητὸς οὐρανὸς ὁ λόγος ὁ ἐν τῷ δημιουργῷ, καθ'
35 ὃν προήχθη ἐξ αὐτοῦ· ὁμοίως δὲ καὶ ἐπὶ ἡλίου καὶ σελήνης καὶ τῶν

---

1 ἐν τῷ μείζονι A] c. 9 ὅσα ἐν τῷ πρώτῳ προσηπόρησε τῇ δόξῃ Alex. ἥττον ex Alexandro addidi 3 δὴ Alex.: δὲ libri 8. 9 μόνῳ τῷ αὐτὸ διαφέροντες Alex. 10 ἐφαρμόζειν φασὶν αὐτοὺς καὶ τούτοις· διοίσουσι δὲ μόνῳ τῷ ἀίδιοι εἶναι· τούτου γὰρ μηνυτικὸν εἶναι δοκεῖ τὸ προσκείμενον, ὅπερ ἐστὶ τὸ αὐτό· ὥστε ἔσται κτλ. Alex. 11 πῶς — αἰσθητά desunt Alexandro 13 τὸ ἀίδιον αὐτῶν κατηγοροῦντες Alex. 15 αἰσθητὰ ἐποίουν ἀίδια Alex. ἄνθρωπόν τι ὂν ἢ Alex.

ἄλλων ἁπάντων. εἰ οὖν ἔστι τις γραμμὴ κατ' αὐτοὺς παρὰ τὴν αἰσθητὴν καὶ τὴν ἰδέαν ἡ μαθηματική, περὶ ἣν ἡ γεωμετρία καταγίνεται, οὕτως ἕξει καὶ ἐπὶ τῶν ἄλλων, δηλονότι τῶν μαθηματικῶν· πάντες γὰρ οἱ μαθηματικοὶ λέξουσί τινας μεταξὺ φύσεις, περὶ ὧν θεωροῦσιν. ἐπεὶ οὖν ἐστιν [ἡ] μαθηματικὴ καὶ ἡ ἀστρονομία, οὖσα περί τε οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, ἔσται καὶ τούτων ἕκαστον μεταξὺ τῶν τε αἰσθητῶν, οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, καὶ τῶν ἰδεῶν, περὶ ὧν ὁ μαθηματικὸς ἀστρονόμος λέγει. πῶς δὲ οἷόν τε εἶναί τινα ἥλιον μαθηματικὸν μὴ κινούμενον, ἢ κόσμον ἤ τινα τῶν ἄλλων ἄστρων; ἡ γὰρ οὐσία καὶ ἡ φύσις τούτων μετὰ τῆς τοιᾶσδε κινήσεως· οἱ δέ φασι τὰ μαθηματικὰ ἀκίνητα εἶναι. ἄτοπον οὖν τὸ λέγειν αὐτὰ κινούμενα καὶ οὐκ αἰσθητά· ἀδύνατον δὲ κινεῖσθαι τὸ μὴ ὑπάρχον ἔνυλον καὶ αἰσθητὸν τῇ αὐτοῦ φύσει. διό φησι καίτοι πῶς δεῖ πιστεῦσαι τούτοις; οὐδὲ γὰρ ἀκίνητον εὔλογον εἶναι (λέγει τὸν οὐρανόν), κινούμενον δὲ ὑποθέσθαι αὐτὸν παντελῶς ἀδύνατον ὑπάρχει, εἴ γε ἄυλον αὐτὸν λέγουσιν.

p. 997b20 Ὁμοίως δὲ καὶ περὶ ὧν ἡ ὀπτικὴ πραγματεύεται.

Φησίν ὅτι καὶ ἡ ὀπτικὴ τῶν μαθηματικῶν ἐστιν ἐπιστημῶν· ὥστε ἔσται οὐ μόνον αἰσθητὴ ὄψις ἀλλὰ καὶ διανοητὴ καὶ νοητή. πῶς δὲ δυνατόν ἐστιν ὑποθέσθαι ὄψιν διανοητὴν ἤγουν αἰσθητήν; φαμὲν οὖν πρὸς τοῦτο ὅπερ αὐτὸς ὁ Ἀριστοτέλης φησὶν ἐν τοῖς Μετεώροις, ὅτι οἱ ἐπὶ f.116v σμικρὸν βλέποντες * * * τῷ ὄντι γάρ ἐστι καὶ αἰσθητὴ ὄψις καθ' ἣν ὁρῶμεν, ἔστι δὲ καὶ νοητή, καθ' ἣν φαμεν 'νοῦς ὁρῇ καὶ νοῦς ἀκούει'· ἄνευ γὰρ νοῦ οὐδὲ τῶν αἰσθητῶν γίνεται ἀντίληψις. ἔστιν οὖν ὁ λόγος ὁ δημιουργικὸς ὁ καὶ εἰς τὸ εἶναι παράγων τὴν ὄψιν, ἔστι δὲ καὶ ὁ λόγος τῆς ὀπτικῆς αἰσθήσεως, καθ' ἣν πολυπραγμονοῦμεν πῶς ὁρᾷ ὁ ὀφθαλμός. πάλιν τῶν μαθηματικῶν ἐστι καὶ ἡ ἁρμονική. ἔστιν οὖν καὶ αἰσθητὴ ἁρμονική, ἔστι δὲ καὶ διανοητὴ οἱ λόγοι τῆς ἀφράστου ἁρμονίας ἧς ἔχομεν ἐν τῇ ἡμετέρᾳ ψυχῇ· ἔστι δὲ καὶ νοητὴ ἁρμονία, καθ' ἣν ἐδημιουργήθη καὶ εἰς συναφὴν ἄκραν συνῆλθον τὰ στοιχεῖα ὑπὸ τῆς ἀφράστου καὶ ἐνθέου ἑνώσεως. λέγεται δὲ πάλιν ἁρμονία νοητὴ καὶ ἐπιστροφὴ τῶν νῶν τῶν κινούντων τὰς οὐρανίας σφαίρας πρὸς τὴν μίαν τῶν πάντων ἀρχήν. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι ἀδύνατον εἶναι καὶ ταῦτα τὰ ἁρμονικὰ παρὰ τὰ αἰσθητὰ διὰ τὰς αὐτὰς αἰτίας, ἐπεὶ οὕτως συμβήσεται τὸ αὐτὸ καὶ κινούμενον καὶ ἀκίνητον, καθάπερ ἐπὶ τοῦ οὐρανοῦ εἴρηται, ὅπερ ἐστὶν ἀδύνατον. εἰ γάρ ἐστιν αἰσθητὰ μεταξὺ καὶ αἰσθήσεις, δῆλον ⟨ὅτι⟩ καὶ ζῷα ἔσονται

---

1 εἰ οὖν—ἀκίνητα εἶναι (11) ex Alexandro sumpta initio paullum mutato 3 δηλονότι Alex.: δῆλον libri 4 ἕξουσι Alex. 5 ἡ delevi: ἐν τοῖς μαθηματικοῖς Alex. 8 μ. ἢ ἀστρολόγος Alex. 9 ἢ ἄλλο τι τῶν ἄστρων Alex. 12 δὲ] fort. γὰρ 13 αὐτοῦ libri 20 αἰσθητήν] an νοητήν? 22 lacunam indicavi: fort. respicit ad Meteorol. Γ 373b2 sqq. 23 νοῦς ὁρῇ κτλ.] Epicharm. fragm. v. 253 p. 144 Mullach 24 οὔτε libri 32 κινούντων scripsi: κινουσῶν libri 36 αἰσθήσεις scripsi: αἰσθήσεως libri ὅτι addidi

μεταξὺ αὐτῶν τε τῶν νοητῶν καὶ τῶν αἰσθητῶν, ἅτινά ἐστι φθαρτά. φαμὲν οὖν ὅτι ὁμολογουμένως ὑπάρχουσι ζῷα, τουτέστιν ὁ λόγος τῶν ζῴων ἐν τῇ ἡμετέρᾳ ψυχῇ. ὁ αὐτὸς οὖν λόγος, φησί, καὶ περὶ τῆς ὀπτικῆς καὶ περὶ ὧν αὕτη πραγματεύεται, καὶ περὶ τῆς ἁρμονικῆς τῆς μαθηματικῆς· αὕτη δέ ἐστιν οὐχ ἡ τὰς χορδὰς ἁρμόζομεν (αὕτη γὰρ δοκεῖ αὐτοῖς περὶ τὰ αἰσθητὰ εἶναι), ἀλλὰ ἡ δεικνῦσα ἐν τίνι λόγῳ ἀριθμῶν ἐστιν ἑκάστη συμφωνία· αὕτη γὰρ ἡ μαθηματική, ἥτις δηλονότι περὶ τὰ μαθηματικὰ ἔσται. πᾶσαι γὰρ αὗται μαθηματικαὶ οὖσαι ἕξουσί τινας οὐσίας μαθηματικὰς ὑποκειμένας, μεταξὺ οὔσας τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν. πῶς f.117r δὲ οἷόν τε ὁρατὰ εἶναί τινα μὴ αἰσθητά, περὶ ἃ ἡ ὀπτική, ἢ ἀκουστὰ μὴ αἰσθητά, περὶ ἃ ἡ ἁρμονική; τὸ γὰρ ὀπτικῇ εἶναι τὸ περὶ ὁρατῶν λέγειν καὶ τὸ ἁρμονικῇ τὸ περὶ ἀκουστῶν. τούτῳ γὰρ ἀκολουθήσει καὶ αἰσθήσεις τινὰς μεταξὺ λέγειν καὶ ἄλλας τινὰς παρὰ ταύτας, δι' ὧν ἡ ἀντίληψις ἐκείνων τῶν μεταξύ. εἰ δὲ ὅτι αἰσθήσεις, δῆλον ὅτι καὶ ζῷα τὰ τὰς αἰσθήσεις ἐκείνας ἔχοντα, μεταξὺ ὄντα αὐτῶν τε τῶν ζῴων, τουτέστι τῶν ἰδεῶν, καὶ τῶν φθαρτῶν· οὐ γὰρ δὴ αἰσθήσεις οἷόν τε ἄνευ ζῴων εἶναι.

p. 997b25 Ἀπορήσειε δ' ἄν τις καὶ παρὰ ποῖα τῶν ὄντων δεῖ ζητεῖν ταύτας τὰς ἐπιστήμας.

Ἐντεῦθεν πάλιν ἀπορῶν ἕτερον ἔγκλημα ἐπιφέρει τοῖς ὑποτιθεμένοις εἶναι διανοητὰς οὐσίας αὐτὰς καθ' αὑτὰς ὑπαρχούσας. φησὶν οὖν ὅτι ἡ γεωδαισία περὶ τὰ αἰσθητὰ καταγίνεται· διὰ τοῦτο γὰρ καὶ γεωδαισία λέγεται, παρὰ τοὺς δασμοὺς τῆς γῆς· ἡ μέντοι γεωμετρία οὐ περὶ αἰσθητῶν διαλέγεται, ἀλλὰ περὶ τῶν ἐξ ἀφαιρέσεως. ἐπεὶ οὖν ἡ γεωδαισία περὶ αἰσθητὰ καταγίνεται, ταῦτα δὲ τὰ αἰσθητὰ φθαρτὰ ὑπάρχουσι, δῆλον ὡς ὅτι φθειρομένων τῶν αἰσθητῶν καὶ ἡ ἐπιστήμη ἡ ἔχουσα περὶ αὐτὰ φθείρεται. λέγομεν τοίνυν ἡμεῖς ὅτι εἰ μὲν περὶ ἓν αἰσθητὸν εἴη ἡ γεωδαισία καὶ ὡς ἐν ὑποκειμένῳ ἐθεωρεῖτο ἡ γεωδαισία, εὖ ἂν εἶχεν· ἐπειδὴ δὲ οὐκ ἔχει περὶ ἕν, ἀλλὰ κἂν τοῦτο φθαρῇ τὸ αἰσθητόν, φανερὸν ὅτι σώζεται ἕτερον, οὐ δεῖ λέγειν ὅτι συμφθείρεται ἡ ἐπιστήμη. τοῦτο οὖν φησιν ὅτι ἄξιόν ἐστιν ἀπορίας· ἐπεὶ ἔλεγον τὰς μαθηματικὰς ἐπιστήμας ⟨περὶ τὰ⟩ μεταξὺ εἶναι τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν, ζητεῖ παρὰ τίνα τῶν αἰσθητῶν ἐστι τὰ μεταξὺ ταῦτα, περὶ ἃ αἱ μαθηματικαί. ὡς γάρ, φησίν, ἔχει ἡ γεωδαισία πρὸς τὴν γεωμετρίαν, οὐδενὶ ἄλλῳ διαφέρουσαν τῆς γεωδαισίας ἢ τῷ ταύτην μὲν περὶ τὰ αἰσθητὰ εἶναι καὶ τὰ τούτων μέτρα, εὑρεθεῖσαν ἐν Αἰγύπτῳ διὰ τὴν χρείαν τῆς κατὰ τὴν χώραν διαιρέσεως τῷ τοὺς φθάσαντας f.117v ὅρους συγχεῖσθαι ὑπὸ τῆς τοῦ Νείλου ἀναβάσεως, τὴν δὲ γεωμετρίαν μὴ

---

3 ὁ αὐτὸς—ζῴων εἶναι (16) Alexandri sunt 4 αὕτη Alex.: αὐτὴ libri 17 lemma in libris non distinguitur 21 et 23 γειωδαισία A 30 ἐπεὶ—ἰατρικῆς (p. 171,3) Alexandri sunt περὶ τὰ ex Alexandro addidi 32. 33 ὡς δὲ παρὰ τὴν γεωδαισίαν φησὶ τὴν γεωμετρίαν εἶναι Alex. 36 ὅρους κεῖσθαι συγχεῖσθαι Alex.

περὶ τὰ αἰσθητὰ εἶναι, ἀλλὰ περὶ τὰ νοητὰ τὰ μεταξύ, εἶναι δὲ ἄλλην τὴν περὶ τὰς τούτων ἰδέας, ὡς οὖν ἐπὶ τῆς γεωδαισίας καὶ γεωμετρίας, οὕτως τις ἀξιώσει καὶ ἐπὶ ἰατρικῆς καὶ ἔσται τις ἰατρικὴ ἀνάλογος οὖσα τῇ γεωμετρίᾳ μεταξὺ ὑπάρχουσα, καὶ πάλιν ἄλλη ἰατρικὴ αἰσθητή, καὶ ἄλλη ἰατρικὴ νοητή. καίτοι πῶς τοῦτο δυνατὸν ὑπάρχειν; καὶ γὰρ ἡ ὑγεία ἐπὶ σωμάτων θεωρεῖται ἐχόντων συμμετρίαν καὶ σύνθεσιν τοιάνδε· οὐ δυνατὸν δὲ ταύτην θεωρεῖσθαι καὶ ἐπὶ διανοητῶν οὔτε ἐπὶ νοητῶν. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης. φαμὲν δὲ πρὸς αὐτὸν ὅτι ἔστι καὶ διανοητὴ ἰατρική. αὐτὸς ὁ λόγος ὁ τῆς ἰατρικῆς ὑπάρχων ἐν τῇ ἡμετέρᾳ ψυχῇ, ἔστι δὲ καὶ νοητὴ ἰατρική, ὁ λόγος ὁ παρὰ τῷ δημιουργῷ, φησί, καθ' ὃν λόγον ἐστὶν ὁ κόσμος, ὥς φησιν, ἄνοσος καὶ ἀγήρως. ἅμα δὲ οὐδὲ τοῦτο ἀληθὲς ὑπάρχει, ὡς ὅτι ἡ γεωδαισία τῶν αἰσθητῶν ἐστι μεγεθῶν καὶ φθαρτῶν· ἐφθείρετο γὰρ ἂν φθειρομένων. πῶς δὲ οὐ φθείρεται, εἴρηται.

p. 997b34 Ἀλλὰ μὴν οὐδὲ τῶν αἰσθητῶν ἂν εἴη μεγεθῶν.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι οὐδὲ τῶν αἰσθητῶν μεγεθῶν ἐστιν ἡ γεωμετρία. εἰ γὰρ περὶ τὰ αἰσθητὰ μεγέθη κατεγίνετο. φανερὸν ὅτι οὐκ ⟨ἂν⟩ εἶχεν ἀκρίβειαν λέγουσα ὅτι εὐθεῖα κύκλου κατὰ ἓν σημεῖον ἅπτεται· αἰσθητῶς γὰρ οὐχ ἅπτεται κατὰ ἓν σημεῖον, ἀλλὰ κατὰ πλείονα. ὥστε ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν λαμβάνει τὰ εἴδη ἡ γεωμετρία, καὶ οὕτως αὐτὰ ἀκριβῶς πολυπραγμονεῖ. καὶ δῆλον ὅτι οὐκ ἔχει περὶ διανοητά, ὥς φασιν, ἀλλὰ περὶ τὰ ἐξ ἀφαιρέσεως. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· φαμὲν δὲ ἡμεῖς πρὸς αὐτὸν ὅτι ὡς ἔχει τὸ γνωστὸν πρὸς τὸ γνωστόν, οὕτως ἔχει καὶ ἡ γνῶσις πρὸς τὴν γνῶσιν. εἰ τοίνυν τὰ μὲν αἰσθητὰ πρωτουργὰ ὑπάρχουσι, τὰ δὲ ἐξ ἀφαιρέσεως ἐκ τῶν αἰσθητῶν τὸ εἶναι ἔχουσι, κρεῖττον δὲ τὸ f. 41 r παράδειγμα τῆς εἰκόνος, φανερὸν ὅτι καὶ αἱ αἰσθήσεις ὡς πρωτουργοὶ κρείττονες ἔσονται τῶν ἐξ ἀφαιρέσεως· ὥστε καὶ ἡ γνῶσις κρείττων ἔσται ἡ καταγινομένη περὶ τὰ αἰσθητὰ τῆς καταγινομένης περὶ τὰ ἐξ ἀφαιρέσεως· καὶ οὕτως κρείττων ἔσται γεωδαισία γεωμετρίας, ὅπερ προφανῶς ἄτοπον. ὅτι γὰρ ἔχομεν τοὺς λόγους τῶν πραγμάτων ἐν ἑαυτοῖς καὶ οὐκ ἐκ τῶν αἰσθητῶν, δῆλον ἐκ τοῦ καταγινώσκειν ἡμᾶς πάντων τῶν αἰσθητῶν, καὶ τοῦ κύκλου τοῦ αἰσθητοῦ καὶ τῶν ἄλλων ὁμοίως ἁπάντων τῶν αἰσθητῶν· εἰ δὲ ἦσαν παραδείγματα τὰ αἰσθητά, οὐκ ἄν ποτε αὐτῶν κατέγνωμεν. ἐφεξῆς οὖν δείκνυσιν ὡς ὅτι οὐδὲ ἡ ἀστρολογία περὶ αἰσθητῶν λέγει, οἷον περὶ τοῦδε τοῦ οὐρανοῦ καὶ τῶνδε τῶν ἄστρων· ἀδύνατον γὰρ τὸν περὶ αἰσθητῶν διαλεγόμενον ἀκριβῶς διαλεχθῆναι· ἀλλὰ δῆλον ὡς ὅτι ἐξ ἀφαιρέσεως. ὁμοίως δὲ καὶ ἐπὶ γραμμῶν· οὔτε γὰρ αἱ αἰσθηταὶ γραμμαὶ τοιαῦται ὑπάρχουσιν οἷας λέγει ὁ γεωμέτρης· οὐδὲν γὰρ εὐθὺ τῶν αἰσθητῶν οὕτως οὐδὲ στρογγύλον. ὁ γὰρ κύκλος ὁ αἰσθητὸς τοῦ κανόνος καὶ τοῦ αἰσθητοῦ ἐπιπέδου οὐ κατὰ στιγμὴν ἅπτεται, καθάπερ φησὶν ὁ γεωμέτρης,

1 ἀλλὰ — εἶναι desunt Alexandro 2. 3 οὕτω χρὴ καὶ ἐπὶ Alex. 13 φθειρομένων Aristoteles: φθειρομένη libri 16 ἂν addidi 17 λέγουσα scripsi: λέγουσαν libri

ἀλλ' ὡς Πρωταγόρας ἔλεγεν ἐλέγχων τοὺς γεωμέτρας. ἔφερε γὰρ κανόνα καὶ προσῆπτε τῷ κύκλῳ καὶ ἐδείκνυεν ὅτι οὐ κατὰ ἓν σημεῖον γίνεται ἡ ἁφή, ἀγνοῶν καὶ αὐτὸς ὅτι μὴ περὶ τούτων ὁ λόγος αὐτοῖς, ἀλλὰ περὶ τῶν ἐξ ἀφαιρέσεως. ἀλλ' οὐδὲ αὐτοῦ τοῦ οὐρανοῦ αἵ τε κύκλῳ γινόμεναι καὶ αἱ κατὰ ἕλικας τοιαῦται, ὁποίας λαμβάνει ὁ ἀστρολόγος * * * καὶ τὴν ἕλικα καὶ τὸν κύκλον ἅ ἐστι μήκη ἀπλατῆ, καὶ ἐπὶ τούτων τὰς κινήσεις ὑποτίθεται· οὐδὲν δὲ ἔστιν ἐν τοῖς αἰσθητοῖς μῆκος ἄνευ πλάτους λαμβάνειν, ⟨ἀλλὰ⟩ δῆλον ὅτι ἐξ ἀφαιρέσεως λαμβάνει. καὶ πάλιν λαμβάνει σημεῖον ἀντὶ ἄστρου, λέγων ὅτι ἔστιν τὸ σημεῖον ἀστήρ, ὅπερ οὐκ ἔστιν· f. 118v
οὐχ ὅτι κἀκεῖνα ἔχουσι τὰ οὐράνια ἀλλ' ὅτι αἰσθητῶς ἡμεῖς οὐ δυνάμεθα αὐτὰ ἑρμηνεῦσαι.

p. 998a7 Εἰσὶ δέ τινες οἵ φασιν εἶναι μὲν τὰ μεταξὺ ταῦτα λεγόμενα τῶν τε εἰδῶν καὶ τῶν αἰσθητῶν.

Φησὶν ὅτι ὑπάρχουσί τινες οἵτινες ὑποτίθενται διανοητὰς οὐσίας, φασὶ δὲ αὐτὰς εἶναι ἐν τοῖς αἰσθητοῖς. ἐροῦμεν πρὸς αὐτοὺς ὅτι εἰ ἄρα τὰς διανοητὰς οὐσίας ἐναποτίθεσθε ἐν τοῖς αἰσθητοῖς, διὰ τί μὴ καὶ τὰς νοητάς; τί γάρ ἐστι τὸ κωλῦον; πρὸς τούτοις δὲ συμβήσεται πρᾶγμα ἀκίνητον καὶ στερεὸν εἶναι ἐν κινουμένῳ· καὶ οὕτως δύο σώματα ἔσονται ἅμα ἐν τῷ αὐτῷ τόπῳ, ὅπερ ἐστὶν ἀδύνατον, ὁ αἰσθητὸς οὐρανός, εἰ τύχοι, καὶ ὁ διανοητός. ὃ οὖν λέγει τοιοῦτόν ἐστιν, ὅτι εἰσὶ δέ τινες οἵτινες λέγουσιν εἶναι μὲν τὰ μεταξὺ ταῦτα λεγόμενα τῶν τε αἰσθητῶν οὐσιῶν καὶ τῶν νοητῶν (λέγει δὲ τὰς διανοητὰς οὐσίας), οὐ μὴν κεχωρισμένα ὑπάρχουσι τῶν αἰσθητῶν ἀλλ' ἐν τούτοις εἰσίν. οἷς τὰ συμβαίνοντα ἄτοπα καὶ ἀδύνατα, πλείονος δὲ λόγου δεῖται καὶ οὐκ ἔστι τοῦ παρόντος καιροῦ· ἱκανὸν δὲ καὶ τὰ τοιαῦτα θεωρῆσαι καὶ εἰπεῖν. οὔτε γὰρ ἐπὶ τῶν διανοητῶν οὕτως ἔχειν εὔλογον μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν νοητῶν, ὡς ὅτι καὶ τὰ νοητὰ ἐν τοῖς αἰσθητοῖς ἔχουσι τὸ εἶναι. δεῖ γὰρ λόγου τινός, διότι ταῦτα μέν ἐστιν ἐν τοῖς αἰσθητοῖς, ἐκεῖνα δὲ οὐκέτι. συμβήσεται οὖν δύο στερεὰ ἐν τῷ αὐτῷ τόπῳ εἶναι, τό τε μαθηματικόν (ἔστιν γὰρ καὶ μαθηματικὸν στερεόν, περὶ ὃ ἡ στερεομετρία) καὶ τὸ αἰσθητόν, ⟨εἰ⟩ ἐκεῖνο ἐν τούτῳ ⟨ἔσται⟩. ἔσται γὰρ σῶμα διὰ σώματος οὕτως. ἔτι δὲ οὐδὲ ἀκίνητα ἔσται τὰ μαθηματικά, ὄντα ἐν τοῖς αἰσθητοῖς· κινουμένων γὰρ τούτων ἀνάγκη καὶ τὰ ἐν αὐτοῖς κινεῖσθαι, οὐχ ὡς τὰ συμβεβηκότα, ἀλλ' ὡς καὶ αὐτὰ ὄντα ἐν τόπῳ, εἴ γε καὶ αὐτὰ μεγέθη καὶ ἐν διαστάσει· καὶ ἔσται κινούμενα ὁμοίως τοῖς τῶν σωμάτων βίᾳ καὶ ὑπό τινος κινουμένοις, οὐ κατὰ f. 119r
τὴν ἑαυτῶν ῥοπήν. καθόλου δὲ τίνος χάριν δεῖ λέγειν μὲν αὐτὰ εἶναι,

---

4 ἀλλ' οὐδὲ — πλάτους (7) Alexandri sunt, qui praemittit vv. ἀλλ' οὐδὲ αἱ κινήσεις αὐτῶν κατὰ τὸν οὐρανὸν 5 τοσαῦται libri addendum ex Alexandro γραμμὰς γὰρ λαμβάνει ὁ ἀστρολόγος 6 τὸν ἕλικα libri 8 ἀλλὰ addidi 22 νοητὰς D κεχωρισμέναι libri 27 δεῖ — τόπῳ εἶναι (p. 173,8) ex Alexandro sunt excerpta 30. 31 εἰ et ἔσται ex Alexandro addidi

⟨εἶναι⟩ δὲ ἐν τοῖς αἰσθητοῖς; οὐδὲ μίαν γὰρ φαίνεται αὐτοῖς χρείαν παρεχόμενα, ὄντα γε μὴ καθ' αὑτὰ ἀλλ' ἐν τούτοις. πρὸς γὰρ τούτοις τοῖς προειρημένοις ἀτόποις καὶ ὅσα εἴπετο τοῖς κεχωρισμένα ποιοῦσιν αὐτά, καὶ τοῦτο ἀκολουθήσει· ἔσται γάρ τις οὐρανὸς καὶ ἄλλος καὶ κατὰ τούτους παρὰ τὸν αἰσθητὸν οὐρανόν, ὁμοίως καὶ ἥλιος καὶ τῶν ἄστρων ἕκαστον, πλὴν ὅτι οὐ καθ' αὑτοὺς ὄντες ἀλλ' ἐν τούτοις, ἥλιος ἐν ἡλίῳ καὶ σελήνη ἐν σελήνῃ καὶ οὐρανὸς ἐν οὐρανῷ, πρὸς ἐκείνῳ τῷ ἀτόπῳ καὶ τοῦτο προσειληφότα τὸ δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ εἶναι.

p. 998a20 Περί τε τούτων οὖν ἀπορία πολλὴ πῶς δεῖ θέμενον τυχεῖν τῆς ἀληθείας.

Ἐξ ἀρχῆς προέθετο εἰπεῖν περὶ πλειόνων προβλημάτων τοῦ προκειμένου βιβλίου, ἅτινα καὶ ἐξέθετο· καὶ ἐνταῦθα μὲν ἐφ' ἑκάτερα ἐπιχειρεῖ, τὰς δὲ λύσεις ἐν τῷ Γ ἐπιφέρει. ἦσαν οὖν τῶν προβλημάτων τῶν ἐκτεθέντων ὑπ' αὐτοῦ καὶ ἡ περὶ ταὐτοῦ ζήτησις καὶ ὁμοίου καὶ ἀνομοίου, παρέλιπε δὲ τὸν περὶ αὐτῶν λόγον ἐνταῦθα· λέγει δὲ ἀκριβῶς περὶ αὐτῶν ἐν τῷ Γ στοιχείῳ καὶ ἐν τῷ Ι. πρόκειται τοίνυν αὐτῷ ἐνταῦθα ζητῆσαι περὶ τῶν ἀρχῶν· καί φησιν ὅτι ἄξιον ἀπορίας, ποῖαι ἄρα μᾶλλον ἀρχαὶ τῶν ὄντων ὑπάρχουσι, πότερον τὰ στοιχεῖα ἢ τὰ γένη. καὶ ἐπιχειρεῖ κατ' ἀμφοτέρους τοὺς λόγους. εἰδέναι μέντοι γε χρὴ ὅτι καὶ τὰ στοιχεῖα καὶ τὰ γένη δύνανται εἶναι ἀρχαὶ τῶν ὄντων· ἀλλὰ τὰ μὲν στοιχεῖα ὡς ὑλικὰ αἴτια, οἷον τὰ τέσσαρα στοιχεῖα ἀρχαὶ ὑπάρχουσι τῶν σωμάτων ὡς ὑλικὰ αἴτια, τὰ μέντοι γε γένη τὰ πρώτιστα οἱ λόγοι οἱ παρὰ τῷ δημιουργῷ ποιητικοὶ ὑπάρχουσι καὶ παρακτικοὶ πάντων τῶν ὄντων. ἔχει δὲ καὶ ἡ ψυχὴ τούτους τοὺς λόγους, ἀλλὰ γνωστικῶς μόνον, οὐκέτι καὶ δημιουργι- f. 119v
κῶς. παλιν ζητεῖ ὅτι εἰ ἄρα τὰ γένη ὑπάρχουσι στοιχεῖα τῶν ὄντων, πότερον τὰ καθόλου ἢ τὰ προσεχῆ. χρὴ μέντοι γε γινώσκειν ὅτι εἰ τὰ ἐπὶ τοῖς πολλοῖς λαμβάνομεν καὶ ὑστερογενῆ, τουτέστι τὰ ἐν τῇ φαντασίᾳ, μᾶλλον τὰ προσεχῆ ὑπάρχουσιν (ὡς γὰρ εἴρηται ἐν Κατηγορίαις. μᾶλλον ἔστιν ἑλεῖν τὸν Σωκράτη ἐκ τοῦ εἰπεῖν ὅτι ἄνθρωπος ἢ ἐκ τοῦ εἰπεῖν ὅτι ζῷον· δύναται γὰρ καὶ ὁ ἵππος ζῷον εἶναι), εἰ δὲ τὰ πρὸ τῶν πολλῶν, δῆλον ὅτι καὶ ὁ ἀληθὴς λόγος ἔχει οὕτως, ὅτι δεῖ λαβεῖν τοὺς λόγους τοὺς δημιουργικούς, οἷον, εἰ τύχοι, τὸν λόγον τοῦ ζῴου, καθ' ὃν παράγονται πάντα τὰ ζῷα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων.

p. 998a20 Περί τε τούτων οὖν ἀπορία πολλὴ πῶς δεῖ θέμενον.

Φησὶν ὅτι πολλή ἐστιν ἀπορία καὶ περὶ τῶν φθασάντων, εἴτε μόνη ἐστὶν αἰσθητὴ οὐσία εἴτε καὶ ἄλλη τις παρὰ ταύτην, καὶ εἰ ἔστιν ἄλλη,

---

1 εἶναι ex Alexandro addidi 2 γε Alex.: τε libri ὄντα γε καὶ καθ' αὑτά. ἀλλ' ἐπὶ τούτοις τοῖς προειρημένοις Alex. 3. 4 καὶ τούτοις Alex. 11 τοῦ προκειμένου — προβλημάτων (13) om. D 28 ἐν Κατηγορίαις] 5 p. 2b31 sqq.

πότερον μία ἢ πλείους, τουτέστιν ἡ νοητὴ καὶ ἡ διανοητή. περὶ οὖν τούτων πολλή ἐστιν ἀπορία· ὁμοίως δὲ καὶ περὶ τῶν ἀρχῶν τῶν ὄντων, πότερον δεῖ ἡμᾶς ὑπολαμβάνειν ἀρχὰς καὶ στοιχεῖα τῶν ὄντων ὑπάρχειν τὰ γένη, ἢ μᾶλλον ἐξ ὧν ἐνυπαρχόντων ἐστὶν ἕκαστον πρῶτον, τουτέστιν ἢ μᾶλλον ἀρχαὶ τῶν ὄντων ὑπάρχουσι τὰ στοιχεῖα· οἷον φωνῆς στοιχεῖα καὶ ἀρχαὶ δοκοῦσιν εἶναι ταῦτα ἐξ ὧν σύγκεινται αἱ φωναὶ πᾶσαι πρώτων, τουτέστι τὰ κὸ στοιχεῖα, ἀλλ' οὐ τὸ κοινὸν ἡ φωνή ἐστιν ἀρχή· τουτέστιν οὐκ ἔστιν ἡ ἁπλῶς φωνὴ ἡ κατηγορουμένη κατὰ πάντων τῶν ζῴων τῶν φωνούντων ἀρχή. καὶ πάλιν τῶν διαγραμμάτων, τουτέστι τῶν θεωρημάτων τῶν ἐν γεωμετρίᾳ, ταῦτα στοιχεῖα λέγομεν, ὧν αἱ ἀποδείξεις ἐνυπάρχουσιν ἐν ταῖς τῶν ἄλλων ἀποδείξεσιν ἢ πάντων ἢ πλείστων. τὸ γὰρ θεώρημα τὸ λέγον ὅτι τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γω- f.120r νίαι ἴσαι ἀλλήλαις ὑπάρχουσιν ἀποδείκνυται ἐκ τοῦ πρὸ αὐτοῦ, ὥστε στοιχεῖον ἐστι τὸ πρὸ αὐτοῦ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. καινῶς δὲ προσέθηκε τὸ ἢ πάντων ἢ πλειόνων, ὅτι τὸ μέρος τοῦτο τοῦ θεωρήματος τὸ λέγον ὅτι τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις ὑπάρχουσι, πρὸς μεγάλα ἡμῖν συμβάλλεται, πρὸς πάντα σχεδὸν εἰπεῖν· τὸ δὲ ἕτερον αὐτοῦ μέρος τὸ λέγον 'καὶ προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν αἱ ὑπὸ τὴν βάσιν γωνίαι ἴσαι ἀλλήλαις ὑπάρχουσι' πρὸς ἕν τι συμβάλλεται. χρὴ γὰρ εἰδέναι ὅτι ἔδειξεν ὁ γεωμέτρης ἐπὶ τοῦ θεωρήματος τοῦ λέγοντος 'ἐπὶ τῆς αὐτῆς εὐθείας δύο ταῖς αὐταῖς εὐθείαις ἄλλαι δύο εὐθεῖαι ἴσαι οὐ συσταθήσονται ἐπὶ τὰ αὐτὰ σημεῖα'. καὶ ἔδειξε τοῦτο ὁ Εὐκλείδης ἐκτὸς πιπτουσῶν τῶν εὐθειῶν. ἐὰν οὖν τις ἀπορήσῃ λέγων ὅτι πόθεν δῆλον μὴ ἐντὸς πίπτουσιν, ἔστι τοῦτο δεῖξαι διὰ τοῦ μέρους τοῦ θεωρήματος τοῦ λέγοντος 'καὶ προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν αἱ ὑπὸ τὴν βάσιν γωνίαι ἴσαι ἀλλήλαις ὑπάρχουσι.' διὰ τοῦτο τοίνυν καὶ στοιχεῖα ταῦτα λέγονται ἐξ ὧν ταῦτα ἀποδείκνυνται.

p. 998a28 Ἔτι δὲ τῶν ⟨σωμάτων⟩ καὶ οἱ πλείω λέγοντες στοιχεῖα.

Ὅτι ἀρχαὶ τῶν ὄντων τὰ στοιχεῖα ὑπάρχουσι, κέχρηται μάρτυρι Ἐμπεδοκλεῖ εἰρηκότι τὰ τέσσαρα στοιχεῖα καὶ τοῖς ἄλλοις φυσιολόγοις τοῖς εἰρηκόσιν ἓν εἶναι στοιχεῖον ἀρχὰς τῶν ὄντων, οἷον Ἡρακλείτῳ ἢ Ἀναξιμένει καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. τοῦτο οὖν ἐστιν ὃ λέγει ὅτι πρὸς τούτοις δὲ τῶν σωμάτων καὶ οἱ πλείω λέγοντες εἶναι στοιχεῖα καὶ οἱ ἕν, ἐξ ὧν σύγκειται καὶ ἐξ ὧν συνέστηκεν ἀρχὰς λέγουσιν εἶναι, οἷον Ἐμπεδοκλῆς πῦρ καὶ ὕδωρ καὶ τὰ μετὰ τούτων στοιχεῖα, τουτέστιν ἀέρα καὶ γῆν. ἐξ ὧν ἐστι τὰ ὄντα ἐνυπαρχόντων· οὔτε γὰρ ὡς γένη τῶν ὄντων f.120v ὑποτίθεται αὐτά, ἀλλ' ὡς στοιχεῖα. πρὸς δὲ τούτοις καὶ τῶν ἄλλων εἴ

---

6 πρώτων Aristoteles: πρῶται libri 14 κενως A αι 18 καὶ προσεκβληθεισῶν κτλ.] cf. Euclid. elem. A 5 19 αἱ] μὴ D 21 ἐπὶ τῆς αὐτῆς κτλ.] cf. Euclid. elem. A 7 22 ἴσαι ἑκατέρα ἑκατέρᾳ οὐ συσταθήσονται πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι ταῖς ἐξ ἀρχῆς εὐθείαις Euclid. l. l.
28 σωμάτων addidi coll. v. 32. 33 29 κέχρηται scripsi: κέχρηνται libri

τις ἐθέλει τὴν φύσιν σκοπεῖν, εὑρήσει ὡς ὅτι ἀρχὰς τῶν ὄντων στοιχεῖα ὑποτίθενται. οἷον κλίνης ἀρχὰς † ὅ ἐστι δίποδας καὶ ὅσα ἄλλα τοιαῦτα· ταῦτα δὲ στοιχεῖα ὑπάρχουσιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ὥστε ἐκ τούτων τῶν λόγων οὐκ ἂν εἴησαν ἀρχαὶ τὰ γένη τῶν ὄντων. καὶ
5 ἀπὸ τῶν οὖν τεχνητῶν τοῦτο δείκνυσιν, ὡς εἴρηται· καὶ γὰρ κλίνης καὶ ἑκάστου τῶν τοιούτων τοῖς βουλομένοις τίς ἡ φύσις ἑκάστου αὐτῶν σκοπῆσαι ἡ γνῶσις ἐξ ὧν συνέστηκε μορίων. ἀρχαὶ γὰρ ἑκάστου αὐτῶν τὰ ἐξ ὧν συνέστηκεν· ἐκ μὲν γὰρ τοῦ γνωρίσαι τὰς ἀρχὰς γνώριμον καὶ τὸ ἐκ τῶν ἀρχῶν γίνεται· τούτων δὲ ἕκαστον γνωρίζεται, ὅταν τὰ ἐξ ὧν σύγκειται
10 καὶ ὁ τρόπος τῆς συνθέσεως γνώριμος γένηται.

p. 998b4 Εἰ δὲ ἕκαστον μὲν γνωρίζομεν διὰ τῶν ὁρισμῶν.

Δείξας ὅτι ἀρχαὶ τῶν ὄντων τὰ στοιχεῖα, ἐντεῦθεν πειρᾶται δεῖξαι ὅτι μᾶλλον τὰ γένη ὑπάρχουσιν ἀρχαὶ τῶν ὄντων. εἰ γάρ, φησί, τὰ πράγματα γινώσκονται ἐκ τῶν ὁρισμῶν, οἱ δὲ ὁρισμοὶ τὸ εἶναι ἔχουσιν ἐκ γενῶν
15 καὶ διαφορῶν. δῆλον ὅτι τὰ γένη ἀρχαὶ εἶεν ἂν τῶν ὄντων. χρὴ μέντοι γε γινώσκειν ὅτι εἰ μὲν τὰ πορρωτέρω γένη λέγει, τῷ ὄντι ἀρχαὶ τῶν ὄντων ὑπάρχουσιν, ὡς ἐδείξαμεν ἐν τῇ θεωρίᾳ. οἱ λόγοι οἱ δημιουργικοὶ οἱ ἐξῃρημένοι· ἐπεὶ δυνατὸν εἰπεῖν ὅτι καὶ τὸ γένος καὶ ἡ διαφορὰ στοιχεῖα τοῦ ὁρισμοῦ ὑπάρχουσιν, ἐπειδὴ ἐξ αὐτῶν σύγκειται ὁ ὁρισμός. τοῦτο οὖν ἐστιν
20 ὃ λέγει, ὅτι εἰ τὰ πράγματα γινώσκονται ἐκ τῶν ὁρισμῶν αὐτῶν, ἀρχαὶ δὲ τὰ γένη τῶν ὁρισμῶν ὑπάρχουσιν, ἀνάγκη πᾶσα καὶ τῶν ὁριστῶν ἀρχὰς εἶναι τὰ γένη· ἕκαστον γὰρ γνωρίζομεν διὰ τῶν ὁρισμῶν. ἡ οὖν ἐπιχείρησις δυνάμει τοιαύτη ἐστίν. εἰ ἐξ ὧν ἕκαστον γνωρίζομεν, ταῦτα f. 121r
ἐκείνου ἀρχή (κεῖται γὰρ ὅτι ἐκ τοῦ τὰ αἴτια καὶ τὰ στοιχεῖά τινων εἰδέναι
25 καὶ τὰς ἀρχὰς γίνεται τὸ καὶ αὐτὰ εἰδέναι) ἐκ δὲ τῶν ὁρισμῶν γινώσκομεν ἕκαστον τῶν ὄντων, οἱ ὁρισμοὶ ἄρα ἀρχαί. ἀλλὰ μὴν πάλιν αὐτῶν τῶν ὁρισμῶν τὰ γένη ἀρχαί· ἀρχὴ γὰρ τῶν ὁρισμῶν ἡ τοῦ γένους λῆψις. ὥστε καὶ τῶν ὁριστῶν ἀρχαὶ τὰ γένη ὑπάρχουσι.

p. 998b6 Κἂν εἰ ἔστι τὴν τῶν ὄντων λαβεῖν ἐπιστήμην.

30 Ἐπιστήμονες γινόμεθα τῶν πραγμάτων τὰ εἴδη θηρῶντες· ἕκαστον γὰρ τῶν ὄντων κατὰ τὸ εἶδος τὸ ἑαυτοῦ χαρακτηρίζεται, τὸ δὲ εἶδος οὐκ ἔστιν ἑλεῖν ἄνευ τοῦ γένους, ὡς εἴρηται ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου, εἴ γε τῶν πρός τι ὑπάρχουσιν· ὥστε καὶ ἐντεῦθεν ἔστιν ἑλεῖν ὅτι τὰ γένη ἀρχαὶ τῶν ὄντων ὑπάρχουσι. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι τότε γινώσκομεν τὰ
35 ὄντα, ὅταν λάβωμεν τὴν τῶν εἰδῶν ἐπιστήμην, ἐπειδὴ κατὰ τὰ εἴδη τὰ

2 ὅ ἐστι δίποδας] fort. ἐξ ὧν ἐστιν, πόδας 3 ἐκ] ἐπὶ libri 5 καὶ γὰρ—γένηται (10) Alexandri sunt 22 ἡ οὖν—λῆψις (27) pleraque Alexandri sunt 23 εἰ deest Alexandro 26 ἀλλὰ μὴν — γένη ἀρχαί desunt Alexandro, qui post λῆψις (27) habet ὥστε τὸ γένος ἀρχή 27 ἀρχὴ scripsi: ἀρχαὶ libri 32 ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου] p. 15,16 sqq. Busse

πράγματα χαρακτηρίζονται, τῶν δὲ εἰδῶν ἀρχαὶ τὰ γένη εἰσίν· ὥστε τῶν ὄντων ἀρχαὶ τὰ γένη ὑπάρχουσι. καὶ γὰρ οἱ ὁρισμοὶ αὐτῶν κατὰ τὰ εἴδη· τῶν γὰρ καθ' ἕκαστα οὐκ ἔστι κυρίως ὁρισμός, ἀλλὰ ὑπογραφή. εἰ οὖν ἐκ τῆς τούτων γνώσεως ἡ τῶν ὄντων γνῶσις ἤρτηται, εἴδη ἂν εἶεν ἀρχαὶ τῶν καθ' ἕκαστα, καθ' ἃ εἴδη εἰσίν. ἀλλὰ μὴν ἀρχαὶ τῶν εἰδῶν τὰ γένη· ἐκ γὰρ τῆς τούτων διαιρέσεως τὰ εἴδη, καὶ οἱ τῶν εἰδῶν ὁρισμοὶ διὰ τῶν γενῶν. καὶ τῶν ὄντων ἄρα ἀρχαὶ πάντων τὰ γένη.

p. 998b9 Φαίνονται δέ τινες καὶ τῶν λεγόντων στοιχεῖα.

Ὅτι γένη ὑπάρχουσιν ἀρχαὶ τῶν ὄντων, μάρτυρα παράγει Πλάτωνα καὶ τοὺς Πυθαγορείους. φησὶ γὰρ ὅτι ἀρχὰς τῶν ὄντων ἔλεγον ἐκεῖνοι τὸ ἓν τὸ ὂν καὶ τὴν δυάδα, καὶ γένη ταῦτα ὑπετίθεντο. δῆλον δὲ ὅτι συμβολικῶς τὸ μὲν ἓν ὡς προακτικὸν τῶν πάντων, τὸ δὲ ὂν ὡς αἴτιον τῆς τῶν πάντων ὑποστάσεως, τὴν δὲ δυάδα ὡς αἰτίαν τῆς προόδου. τοῦτο f.121v οὖν ἐστιν ὃ λέγει, ὅτι φαίνονται δέ τινες καὶ τῶν λεγόντων στοιχεῖα τῶν ὄντων τὸ ἓν ἢ τὸ ὂν ἢ τὸ μέγα καὶ μικρὸν ὡς γένεσιν αὐτοῖς χρῆσθαι. κατὰ πάντων γὰρ τῶν ὄντων κατηγορεῖ ὁ Πλάτων τὸ ἓν καὶ τὴν δυάδα καὶ τὸ ὄν. καθ' ὅσον μὲν γὰρ τόδε τί ἐστιν ἕκαστον τῶν ὄντων (τοιοῦτον δὲ κατὰ τὸ εἶδος), τὸ ἓν αὐτοῦ καὶ τὸ ὂν κατηγορεῖ· καθ' ὅσον δὲ ἐν ῥύσει συνεχεῖ καὶ μεταβολῇ παρὰ τοῦ ὑποκειμένου ἐστί, παρὰ τοῦτο τὸ μέγα καὶ τὸ μικρὸν αὐτοῦ κατηγορεῖ.

p. 998b11 Ἀλλὰ μὴν οὐδὲ ἀμφοτέρως οἷόν τε λέγειν ἀρχάς.

Ἀδύνατον διχῶς ὑποτίθεσθαι ἀρχὰς καὶ λέγειν ὅτι καὶ γένη καὶ στοιχεῖα· ἡ γὰρ ἀρχὴ ἕν τι πρᾶγμά ἐστιν, οὐ δυνατὸν δὲ ἑνὸς πράγματος δύο ὁρισμοὺς ἀποδοῦναι. ὁ γὰρ κυρίως ὁρισμός, ὡς εἴρηται ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς, εἷς ἐστι. λέγομεν δὲ ἡμεῖς ὅτι τῷ ὄντι κατὰ ταὐτὸν οὐ δυνατὸν ἑνὸς πράγματος εἶναι δύο ὁρισμούς, κατ' ἄλλο μέντοι γε καὶ ἄλλο οὐδέν ἐστιν ἄτοπον· ἑτέρα γάρ ἐστιν ἡ ὑλικὴ ἀρχὴ καὶ ἕτερος ὁ ὁρισμὸς ὅτι ἐκ ξύλων καὶ λίθων, καὶ ἕτερος πάλιν ὁρισμὸς ὁ ἐκ τοῦ εἴδους, τὸ σκέπασμα κωλυτικὸν ὄμβρου καὶ φθορᾶς. ὃ οὖν λέγει τοῦτό ἐστιν, ὅτι οὐ δυνατόν ἐστι διχῶς ὑποτίθεσθαι τὰς ἀρχάς. ὁ μὲν γὰρ λόγος τῆς οὐσίας τοῦ πράγματος εἷς ἐστιν, ἕτερος δέ ἐστιν ὁ ὁρισμὸς ὁ διὰ τῶν γενῶν καὶ ὁ λέγων ἐξ ὧν ἐστιν ἐνυπαρχόντων, τουτέστι καὶ ἕτερος ὁ τῶν στοιχείων ὡς ἀρχῶν· ὥστε ἔσονται τοῦ αὐτοῦ πράγματος δύο ὁρισμοί, ὅπερ ἐστὶν ἀδύνατον.

---

15 γένεσιν ex Aristotele scripsi: γένεσθαι libri 17 καθ' ὅσον—μικρὸν (20) Alexandri sunt 18 κατηγορεῖται Alex. 19 μεταβολῇ ἑώρα τὸ ὑποκείμενον, κατὰ τοῦτο κτλ. Alex. 24. 25 ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς] Alexandrum secutus ad Anal. post. transfert, quae Top. Z 4 p. 141a35 leguntur; cf. Bonitz ad Alex. p. 159
29. 30 ἀδύνατον D

p. 998b14 Πρὸς δὲ τούτοις εἰ καὶ ὅτι μάλιστα.

Κἂν ὑποθώμεθα τὰ γένη ἀρχὰς εἶναι τῶν ὄντων, πάλιν ἔτι ἄπορος μένει ὁ λόγος, ποῖα ἄρα γένη δεῖ ἡμᾶς νομίζειν ἀρχὰς εἶναι τῶν ὄντων, τὰ πρῶτα καὶ ἐξῃρημένα, ἤγουν τὰ ἔσχατα καὶ προσεχῶς κατηγορούμενα τῶν ἀτόμων. καὶ δῆλον ὅτι κυρίως τὰ πρῶτα, τουτέστι τοὺς λόγους τοὺς δημιουργικούς, τὸ ἁπλῶς ζῷον. ἄξιον οὖν ζητήσεως πότερον τὰ ἀνωτάτω f. 122r γένη χρὴ τίθεσθαι ἀρχὰς καὶ τὰ κοινότατα, ἢ τὰ ἔσχατα καὶ τὰ προσεχῆ τοῖς καθ' ἕκαστα, ἅπερ ἄτομα εἴδη καλεῖται. γένη γὰρ καὶ τὰ εἴδη νῦν λέγει.

p. 998b17 Εἰ μὲν γὰρ ὅτι τὰ καθόλου μᾶλλον ἀρχαί.

Φησὶν ὅτι ἐὰν ὑποθώμεθα ἀρχὰς εἶναι τῶν ὄντων τὰ καθόλου, δῆλον ὡς ὅτι τὰ ἀνωτάτω λαμβάνομεν τῶν γενῶν· ταῦτα γὰρ λέγεται κατὰ πάντων, καὶ ἐφ' ὅσων λέγονται τὰ προσεχῆ, λέγονται καὶ ταῦτα. ἐφ' ὅσων δὲ ταῦτα, οὐ λέγονται τὰ προσεχῆ· ὥστε μᾶλλον ταῦτα γένη ὑπάρχουσι τὰ πορρωτάτω. τοσαῦταί γ' ἄρα ἔσονται ἀρχαί, ὅσα καὶ γένη πρῶτα· οἷον εἰ δέκα γένη τῶν κατηγοριῶν, φανερὸν ὅτι καὶ δέκα ἀρχαὶ ἔσονται τῶν ὄντων. ὥστε ἔσται τό τε ὂν καὶ τὸ ἓν ἀρχὴ καὶ οὐσία· ταῦτα γὰρ κατὰ πάντων μάλιστα λέγεται τῶν ὄντων, ὡς ἐδείξαμεν. εἰ γὰρ εἴη ταῦτα πάντων τῶν ὄντων κατηγορούμενα ὡς γένη, ταῦτα ἂν εἶεν ἀρχαὶ καὶ αἴτια τῶν ὄντων.

p. 998b22 Οὐχ οἷόν τε δὲ τῶν ὄντων ἓν εἶναι γένος οὔτε τὸ ἓν οὔτε τὸ ὄν.

Ἐζήτησεν ἄρα πόσα δεῖ καλεῖν ἀρχὰς τῶν ὄντων, πότερον τὰ γένη ἢ τὰ στοιχεῖα· καὶ ἐπεχείρησεν ἐφ' ἑκάτερα δεικνὺς ὅτι οὔτε τὰ γένη οὔτε δὲ τὰ στοιχεῖα, γυμναστικῶς προσάγων τὸν λόγον. ἐντεῦθεν οὖν πάλιν ζητεῖ, εἰ ἄρα τὰ γένη ὑποθώμεθα ἀρχὰς τῶν ὄντων, πότερον τὰ πορρωτάτω γένη δεῖ ἡμᾶς ὑποτίθεσθαι ἢ τὰ προσεχῆ. καὶ πρότερον γυμναστικῶς προϊὼν ἐπιχειρεῖ δεικνύναι ὅτι οὐ δυνατὸν τὰ πόρρω, ἔπειτα δὲ ἀναιρεῖ καὶ τὰ προσεχῆ. καὶ ὕστερον αὐτοφυῶς καὶ τῇ φύσει τῶν πραγμάτων ἑπόμενος δείκνυσιν ὅτι μᾶλλον τὰ πορρωτάτω ὑπάρχουσιν ἀρχαὶ τῶν ὄντων· τέως δ' οὖν ὅτι οὐκ εἰσιν ἐπιχειρεῖ δεῖξαι. καὶ προάγει τὸν λόγον τοῦτον τὸν τρόπον. φησὶν ὅτι εἰ ὑποθώμεθα τὰ πορρωτάτω γένη ἀρχὰς εἶναι τῶν ὄντων, πᾶσά ἐστιν ἀνάγκη, ὅσα τὰ γένη ὑπάρχουσι, τοσαῦται καὶ αἱ f. 122v ἀρχαί· εἰ δέκα τὰ γένη, καθάπερ αὐτός φησι, δέκα καὶ αἱ ἀρχαί. ποῖα οὖν μᾶλλον δοκεῖ γένη εἶναι τῶν ὄντων; φανερὸν ὅτι τὸ ἓν καὶ τὸ ὄν, ἐπειδὴ ταῦτα διὰ πάντων τῶν ὄντων πεφοιτήκασι· πάντα γὰρ τὰ ὄντα

6 πότερον — λέγει (9) Alexandri sunt 18 εἰ γὰρ — ὄντων (20) Alexandri sunt

μετέχει καὶ τῆς ἑνάδος, ὡς ἐκεῖθεν προελθόντα, καὶ τοῦ ὄντος, εἴ γε τὸ μὴ ὂν οὐδὲ ἔστι. δείκνυσιν οὖν ὅτι οὐ γένη ταῦτα δύνανται εἶναι καὶ διὰ τοῦτο οὐδὲ ἀρχαί. καὶ τί λέγω περὶ τούτων; προϊὼν γὰρ καὶ περὶ τῶν ὁμολογουμένως γενῶν δείκνυσιν ὅτι οὐκ ἔστι γένη γυμναστικῶς. τί οὖν φησιν; ὅτι οὐδέποτε οὔτε τὰ εἴδη τῶν διαφορῶν κατηγοροῦνται, οὔτε δὲ τὰ γένη αὐτῶν καθ' αὑτῶν τῶν διαφορῶν, δῆλον· οὐδεὶς γὰρ κατηγορεῖ τὸν ἄνθρωπον τοῦ λογικοῦ, οὔτε δὲ τὸ ζῷον κατηγορεῖται τῆς λογικότητος, ἀλλ' εἰ ἄρα, τοῦ λογικοῦ τοῦ ἐν ὑποκειμένῳ θεωρουμένου. εἰ τοίνυν τὸ ὂν καὶ τὸ ἓν κατηγοροῦνται καὶ τῶν διαφορῶν αὐτῶν καθ' αὑτῶν, τουτέστι τῆς λογικότητος, φανερὸν ὅτι οὐχ ὑπάρχουσι γένη. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· ὁ δὲ ἡμέτερος φιλόσοφος πρὸς αὐτόν, ὅτι ἡ λογικότης αὐτὴ καθ' αὑτὴν ἀνυπόστατος ὑπάρχει· ἀμέλει τοι καὶ ὁ λόγος ὁ παρὰ τῷ δημιουργῷ οὐκ ἔστι τῆς λογικότητος ἀλλὰ τοῦ λογικοῦ. αὐταὶ γὰρ καθ' αὑτὰς αἱ διαφοραὶ ἀνύπαρκτοι καὶ ἀνυπόστατοι ὑπάρχουσιν, ὥστε οὐδὲ τὸ ὂν οὐδὲ τὸ ἓν τῆς λογικότητος κατηγοροῦνται τῆς μὴ οὔσης, ἀλλὰ σὺν τῷ μετέχοντι, τουτέστι τῷ λογικῷ, ὥσπερ καὶ τὸ ζῷον. ὥστε γένη ὑπάρχουσι τὸ ὂν καὶ τὸ ἕν, καὶ διὰ τοῦτο καὶ ἀρχαί. πάλιν τοίνυν φησὶν ὁ Ἀριστοτέλης ὅτι ἔνθα τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστι, τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος. διὰ τοῦτο γάρ φαμεν τὴν ψυχὴν μὴ εἶναι γένος τῶν κατὰ μέρος ψυχῶν, ἐπειδὴ ἡ φυσικὴ προτέρα ἐστὶν ὡς συναναιροῦσα, μὴ συναναιρουμένη δὲ· τὸ γὰρ συναναιροῦν μέν, μὴ συναναιρούμενον δὲ φύσει πρότερον ὑπάρχει. εἰ τοίνυν καὶ ἐπὶ τῶν ὄντων φύσει προτέρα f. 123r
ὑπάρχει ἡ οὐσία ὡς συναναιροῦσα, μὴ συναναιρουμένη δὲ τοῖς συμβεβηκόσι, δῆλον ὡς ὅτι τὸ ὂν καὶ τὸ ἓν οὐκ ἔστι γένος, ἐπειδὴ θεωρεῖται ἐπ' αὐτῶν τὸ πρότερον καὶ τὸ ὕστερον (δυνατὸν γάρ ἐστιν εἶναι οὐσίαν καὶ ποσὸν ἄνευ τῶν ἄλλων συμβεβηκότων) καὶ ὅτι ἐν τῇ οὐσίᾳ ἔχουσι τὸ εἶναι τὰ συμβεβηκότα. εἰ οὖν μή ἐστι γένος, δῆλον ὡς ὅτι οὐδὲ ἀρχαί. ἰστέον οὖν ὅτι οἱ ἐκ τοῦ Περιπάτου οὐ πάνυ διήρθρωσαν τὴν περὶ τῶν διαφορῶν θεωρίαν· δυνάμει γὰρ λέγουσιν εἶναι τὰς διαφορὰς ἐν τοῖς γένεσι. διὰ τοῦτο γὰρ καὶ ὁ Πορφύριός φησιν ὅτι "ἀλλ' ὡς ἀξιοῦσιν" ὡς μὴ δεχόμενος τὰ παρ' αὐτῶν. ἐνεργείᾳ γὰρ ὑπάρχουσιν αἱ διαφοραί, καὶ οὐδὲν ἄτοπον· οὔτε γὰρ τόπος ἐστὶν ἐκεῖσε οὔτε μόριον, οὔτε δὲ ἐναντία ὑπάρχουσι. τί οὖν ἄτοπον τὸ θεωρεῖσθαι τὰς διαφορὰς ἐν τοῖς γένεσιν; ὡς γὰρ εἴρηται, οὐκ εἰσιν αὐταὶ καθ' αὑτὰς αἱ διαφοραί. φαμὲν οὖν ἡμεῖς πρὸς αὐτὸν ὅτι τῷ ὄντι ἐπὶ τῶν κατατεταγμένων γενῶν ἔρρωται ὁ λόγος, καὶ ἔνθα τὸ πρότερον καὶ τὸ ὕστερον θεωρεῖται, τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος, ἐπεὶ ἐν τῇ ὅλῃ θεωροῦνται καὶ ὑπάρχουσιν ἐννοηματικά· διὸ ἐπὶ τῶν ὑστερογενῶν καὶ ἐννοηματικῶν κρείττονα τὰ αἰσθητὰ καὶ τὰ ἄτομα τῶν γενῶν, ὡς ἐν Κατηγορίαις ἐλέγετο. ἐπὶ μέντοι γε τῶν ἐξῃρη-

2 οὔτε libri οὐ scripsi: οὔτε libri 3 διὰ τοῦτο οὐδὲ scripsi: δι' αὐτὰ οὔτε libri 4 ὁμολογουμένων D 8 εἰ (ante ἄρα) scripsi: ἢ libri 16 μετεχομένῳ τουτέστι τοῦ λογικοῦ libri 20. 21 sqq. συναιροῦσα, συναιρουμένη et reliqua pariter D 27 οὔτε libri 30 ὁ Πορφύριος] Isag. p. 11,4 Busse 36 τὸ κοινῶς — θεωροῦνται (37) om. D 39 ἐν Κατηγορίαις] c. 5

μένων οὐδέν ἐστιν ἄτοπον τὸ ὂν καὶ τὸ ἓν γένη ὑποτίθεσθαι· τὰ γὰρ ἐξῃρημένα γένη ὑπὸ περιουσίας δυνάμεως προΐσχουσιν ἅμα πάσας τὰς διαφοράς, αἵτινες διαφοραὶ παρακτικαὶ γίνονται τῶν τῇδε. καὶ τῷ ὄντι γένος ἐστὶ τό τε ὂν καὶ τὸ ἓν ὡς παρακτικὸν πάντων ὑπάρχον ἀθρόως. ἀμέλει
5 τοι καὶ ἐν τοῖς ζῴοις θεωρεῖται τὸ πρότερον ὂν καὶ τὸ ὕστερον· πρότερα γάρ, εἰ τύχοι, ὑπάρχει τὰ οὐράνια ζῷα, ἥλιόν φημι καὶ σελήνην καὶ τὰ ἄλλα οὐράνια, ἔπειτα τὰ χερσαῖα καὶ τὰ ἄλλα. καὶ ἐν αὐτοῖς δὲ τοῖς χθονίοις ζῴοις πλείστη ὅση ἐστὶ διαφορά· λέγεται γὰρ ζῷον καὶ ὁ ἄν- f. 123v
θρωπος καὶ ὁ μύρμηξ, καὶ πρότερόν ἐστιν ὁ ἄνθρωπος ὡς τίμιος. ὅμως
10 λέγεται εἶναι γένος τὸ ζῷον τὸ ἐξῃρημένον, ἐπειδή, ὡς εἴρηται, ἐκ περιουσίας δυνάμεως προάγει ἀθρόως ἐκ τούτου τὰς διαφοράς, αἵτινες ἀπογεννῶσι τὰ ἄλλα πάντα. ὥστε ἐπὶ τῶν ἐξῃρημένων γενῶν χώραν ἔχει λέγειν τὰ τοιαῦτα πάντα γένη· οὐκέτι μέντοι γε ἐπὶ τῶν κατατεταγμένων καὶ ἐν τῇ ὕλῃ θεωρουμένων. ἐντεῦθεν ἐπιλυόμεθα καὶ τὸ ἐν Κατηγορίαις περὶ
15 τῆς οὐσίας. ὅτι εἰ θεωρεῖται ἐπ' αὐτῆς τὸ πρότερον καὶ τὸ ὕστερον, ὥς φησιν Ἀριστοτέλης προτέραν λέγων οὐσίαν τὴν ἄτομον, πῶς τὸ κοινῶς κατηγορούμενον, τουτέστιν ἡ οὐσία, γένος ὑπάρχει;

p. 998b22 Οὐχ οἷόν τε δὲ τῶν ὄντων ἓν εἶναι γένος οὔτε τὸ ἓν οὔτε τὸ ὄν.

20 Οὐκ ἐκ παραλλήλου λέγει τὸ ἕν, ἀλλὰ δεῖ προσυπακούειν τὸ κοινόν· οὐ δυνατόν, φησί, τῶν ὄντων ἓν κοινὸν γένος εἶναι τὸ ὂν καὶ τὸ ἕν, καθάπερ καὶ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. ἀνάγκη μὲν γὰρ τὰς διαφορὰς ἑκάστου γένους καὶ εἶναι καὶ μίαν εἶναι ἑκάστην· πᾶσα γὰρ διαφορὰ γένους διαιρετικὴ καὶ ὂν καὶ ἕν ἐστιν, ὥστε καὶ αἱ τοῦ ἑνὸς καὶ αἱ τοῦ ὄντος διαφοραί, εἰ γένη
25 ταῦτα τό τε ὂν καὶ τὸ ἕν, [ταῦτα] καὶ ἑκάστη αὐτῶν ἔσται ἓν καὶ ὄν. ἀλλ' εἰ ὂν καὶ ἓν ἑκάστη τοῦ ὄντος διαφορά, γένους ὄντος τοῦ ὄντος καὶ τοῦ ἑνὸς κατηγοροῖτο ἂν τῶν οἰκείων διαφορῶν τὰ γένη αὐτῶν καθ' αὑτῶν. τοῦτο δὲ ἀδύνατόν φησιν εἶναι. καθόλου δὲ οὔτε τὸ εἶδος τὸ ὡς γένους ὂν εἶδος (πολλαχῶς γὰρ τὸ εἶδος) τῆς οἰκείας κατηγορεῖται διαφορᾶς. εἰ
30 καθ' αὑτὴν ἡ διαφορὰ λαμβάνοιτο· ἡ γὰρ διαφορὰ ἐπὶ πλέον κατηγορεῖται τοῦ εἴδους, ὥσπερ τὸ λογικὸν τοῦ ἀνθρώπου, τὸ δὲ ἐπ' ἔλαττον λεγόμενον τοῦ ἐπὶ πλέον λεγομένου οὐχ οἷόν τε ἀληθῶς κατηγορεῖσθαι. διὰ τοῦτο γὰρ εἶπε τῶν οἰκείων διαφορῶν, ἴσον λέγων τῷ ὑφ' ὧν εἰδοποιεῖται. ἔτι τὸ μὲν εἶδος συναμφότερον, ἡ δὲ διαφορὰ μέρος τοῦ συναμφοτέρου. f. 124r
35 ἔτι μόριον ἡ διαφορὰ τοῦ εἴδους, καθ' ὅσον τῶν ἐν τῷ ὁριστικῷ λόγῳ παραλαμβανομένων ἕκαστον μόριόν ἐστιν ἐκείνου οὗ συμπληροῖ τὴν οὐσίαν, καὶ μόριον ἀνομοιομερές· οὐ γὰρ ταὐτὸν τὸ γένος σημαίνει ἐν τῷ ὁρισμῷ καὶ ἑκάστη τῶν διαφορῶν· τὸ δὲ τοιοῦτον ὅλον οὐ κατηγορεῖται τῶν αὐτοῦ

---

23 πᾶσα γὰρ — μερῶν (p. 180,1) Alexandri sunt 25 ἔσται ex Alexandro scripsi, qui habet εἰ γένη ταῦτα, καὶ ἓν ἑκάστη αὐτῶν καὶ ὂν ἔσται: πᾶσι libri ταῦτα delevi
26 εἰ τὸ ὂν καὶ ἓν ἑκάστη Alex. 27 αὐτῶν καθ' αὑτῶν desunt Alexandro

μερῶν. διὰ ταῦτα γὰρ οὐδὲ τοῦ γένους τὸ εἶδος κατηγορεῖται. ἀλλ' οὐδὲ τὰ γένη κατηγορεῖται τῶν οἰκείων διαφορῶν, ὅταν αἱ διαφοραὶ χωρὶς τῶν εἰδῶν λαμβάνωνται, καὶ μὴ ἐν αὐταῖς τὰ εἴδη περιέχωσι. τὸ γὰρ ζῷον ὅταν λογικοῦ κατηγορῆται, τοῦ ζῴου λογικοῦ κατηγορεῖται (τοῦτο γὰρ ἐξα-
5 κούεται τότε ἐκ τοῦ λογικοῦ), ἐπεὶ αὐτῆς τε καθ' αὑτὴν τῆς διαφορᾶς ἄνευ τοῦ εἴδους λαμβανομένης οὐ κατηγορεῖται, οἷον τῆς λογικότητος· ποιότητες γάρ τινες αἱ διαφοραί, καθ' ὧν πῶς οἷόν τε τὸ ζῷον οὐσίαν συναμφότερον σημαῖνον κατηγορεῖν; οὔτε ἄρα τὰ εἴδη οὔτε τὰ γένη τῶν διαφορῶν κατηγορεῖται.

10 p. 998b26 Ὥστε εἴπερ τὸ ὂν γένος.

Φησὶν ὅτι εἰ ὑποθώμεθα τὸ ὂν ἢ τὸ ἓν γένος, οὐδεμία διαφορὰ οὔτε [τὸ] ὂν οὔτε [τὸ] ἓν ἔσται, ἐπεὶ συμβήσεται εἶναι αὐτὰς καθ' αὑτάς, τουτέστι τὴν λογικότητα καὶ τὰς ἄλλας διαφοράς, ὅπερ ἐστὶν ἀδύνατον· καθ' αὑτὰς γὰρ αἱ διαφοραὶ οὖσαι ἀνύπαρκτοί εἰσιν. εἰ οὖν ταῦτα
15 ὑποθώμεθα γένη, οὐκ ἔσονται διαφοραί. αἱ οὖν τοῦ ὄντος καὶ ἑνὸς διαφοραί, εἰ γένη ταῦτα, οὔτε ὄντα οὔτε ἑκάστη αὐτῶν ἓν ἔσται, τουτέστιν οὐδὲ μία διαφορὰ οὔτε ὂν οὔτε ἓν ἔσται (πᾶσαι γὰρ τοῦ ὄντος ἔσονται), ὅπερ ἄτοπον. εἰ οὖν μὴ ἀνῄρηνται αἱ διαφοραί, οὐ γένη ταῦτα ὑπάρχουσιν.

20 p. 998b27 Ἀλλὰ μὴν εἰ μὴ γένη, οὐδὲ ἀρχαὶ ἔσονται.

Ἐντεῦθεν δείκνυσι συλλογιζόμενος ἐν δευτέρῳ σχήματι ὅτι εἰ μὴ γένη ταῦτα, οὐδὲ ἀρχαὶ ὑπάρχουσιν· αἱ ἀρχαὶ γένη, τὸ ὂν καὶ τὸ ἓν οὐ γένη, οὐκ ἄρα ἀρχαὶ τὸ ὂν καὶ τὸ ἕν. λέγομεν οὖν ὅτι ἡμάρτηται ἡ καταφα- f. 124v
τικὴ πρότασις ἡ λέγουσα ὅτι αἱ ἀρχαὶ γένη. τὶς γὰρ ἀρχή ἐστι γένος·
25 οὔτε γὰρ πᾶσαι ἀρχαὶ γένη· οὐδέπω γὰρ καὶ ἡ ὑλικὴ ἀρχὴ γένος ὑπάρχει.

p. 998b28 Ἔτι καὶ τὰ μεταξὺ συλλαμβανόμενα.

Ἀσθενὴς ἡ ἐπιχείρησις ἡ δεικνύουσα νῦν ὅτι οὐ γένη τό τε ἓν καὶ τὸ ὄν. τὸν δὲ λόγον οὕτως προφέρει. φησὶ γὰρ ὅτι τὰ μεταξὺ συλλαμβανόμενα γένη ὑπάρχουσιν, οἷον τὸ ζῷον πτηνὸν καὶ τὸ πεζὸν δίπουν·
30 ὥστε εἰ ὑποθώμεθα γένος τὸ ὂν καὶ τὸ ἕν, ἔσονται καὶ αἱ διαφοραὶ αὐτῶν γένος μετ' αὐτῶν μέχρι τῶν ἀτόμων, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ὁρῶμεν τὸ τοιοῦτο γινόμενον· νῦν δὲ τὰ μὲν δοκεῖ ἐν τούτοις ἔχειν, τὰ δὲ οὐ δοκεῖ. οὐδὲ γὰρ καὶ ἐπὶ τῶν στερήσεων, οἷον τὸ δίπουν ζῷόν ἐστι γένος, οὐδέπω δὲ καὶ τὸ ἄπουν ζῷον· στέρησις γάρ ἐστι τὸ ἄπουν. φαμὲν οὖν

1 ἀλλ' οὐδὲ — κατηγορεῖν (8) Alexandri sunt 3 περιέχωνται Alex. 5 τε etiam Alex.: γε recte Bonitz 12 τὸ utrobique delevi coll. v. 17 15 αἱ οὖν—ἄτοπον (18) Alexandri sunt 17 ἔσται Alex.: ἐστὶ libri 24 αἱ om. D 26 τὰ om. D

ἡμεῖς πρὸς τοῦτο, ὅτι οὐκ ἄτοπον καὶ τὰς διαφορὰς συμπλεκομένας μετὰ τῶν γενῶν λέγεσθαι γένη, οἷον τὸ ζῷον πτηνόν, ἐπειδὴ οὐκ ἴσχυσεν ἡ συνήθεια ἑνὶ ὀνόματι ἀμφότερα προσαγορεῦσαι. ὥστε καλῶς ἐλέγετο ὡς ὅτι λογικωτέρα ἐστὶν ἡ ἐπιχείρησις.

5 p. 998b30 Πρὸς δὲ τούτοις ἔτι μᾶλλον αἱ διαφοραὶ ἀρχαὶ ἢ τὰ γένη.

Πάλιν ἑτέρα κατασκευὴ ὅτι μᾶλλον αἱ διαφοραὶ ἀρχαὶ ὑπάρχουσιν ἤπερ τὰ γένη. αἱ γὰρ διαφοραί, φησίν, εἴδει ἀναλογοῦσι, τουτέστι τὸ λογικόν. τὸ δὲ γένος ὕλῃ ἀναλογεῖ. ὡς εἴρηται ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου· 10 μᾶλλον δὲ τὸ εἶδος ἀρχὴ ἤπερ ἡ ὕλη, ὥστε μᾶλλον αἱ διαφοραὶ ἀρχαὶ ὑπάρχουσιν ἤπερ τὰ γένη. εἰ δὲ ὑποθώμεθα ἀρχὰς εἶναι τὰς διαφοράς, ἄπειροι ἔσονται αἱ ἀρχαί· ἄπειροι γάρ εἰσιν αἱ διαφοραί, ἄλλως τε κἂν τις ἀρχὴν ὑποθῆται εἶναι τὴν πρώτην, τουτέστι τὸ ὂν ἤγουν τὸ ἕν. οὕτως γὰρ ἄπειροι τῷ ὄντι ἔσονται ἀρχαί, ἐάν τις ὑποθῆται διαφορὰς πάντων 15 τῶν ἐμψύχων, τουτέστι βοτανῶν μυρίαι ὅσαι ὑπάρχουσι, καὶ ἀψύχων πάλιν ὁμοίως. φαμὲν οὖν ἡμεῖς πρὸς τοῦτο, ὅτι τὸ γένος τὸ ἐξῃρημένον ἕν f. 125r ἐστι καὶ οὐκ ἄπειρον, ἐξ οὗ τὰ ἄλλα πάντα προέρχονται· λοιπὸν ἐκεῖθεν προερχόμενα ἄπειρα γίνονται, καὶ ἔστι θαυμάσαι τὴν ἀένναον πηγὴν ἐκείνην τὴν ἀεὶ μὲν χορηγοῦσαν καὶ μηδέποτε ἐπιλείπουσαν· τοῦτο δὲ αὐτῇ προσ- 20 γίνεται ἐκ περιουσίας δυνάμεως. καλῶς δὲ προστέθεικεν ὁ Ἀριστοτέλης εἰπὼν ἄλλως τε κἂν τις πρῶτον γένος ἀρχὴν τιθῇ. ἐὰν γὰρ λάβωμεν προσεχὲς γένος, οὐ γίνονται ἄπειροι αἱ διαφοραί, οἷον τὸ προσεχὲς τὸ ζῷον· ὀλίγαι γάρ εἰσιν ὑπ' αὐτὸ διαφοραί· ὁ δὲ Ἀριστοτέλης ὡς πρὸς τὸ ὂν τὴν ἐπιχείρησιν ἐποίησεν. εἴρηται δὲ ὅτι καὶ τὸ γένος, ὅπερ ἐστὶν 25 ἀρχή, τὸ ἐξῃρημένον ἕν ἐστι· λοιπὸν ἐξ αὐτοῦ προΐασιν αἱ διαφοραὶ ἄπειροι οὖσαι. ὥστε οὐκ ἄπειροι αἱ ἀρχαί, ἐπεὶ τῷ ὄντι οὕτως οὐκέτι ἔσονται ἀρχαί.

p. 999a1 Ἀλλὰ μὴν καὶ εἰ μᾶλλόν γε ἀρχοειδὲς τὸ ἕν.

Ἑτέρα ἐπιχείρησις, καί φησιν ὅτι μᾶλλον ἀρχοειδές ἐστι τὸ ἕν. ἓν 30 δὲ κυρίως ἐστὶ τὸ ἀδιαίρετον· μᾶλλον οὖν τὸ εἶδος ἀρχὴ ὡς ἀδιαίρετον ἤπερ τὸ γένος· ὁ γὰρ ἄνθρωπος οὐ διαιρεῖται ὥσπερ τὸ ζῷον εἰς τὰς οἰκείας διαφοράς. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· ἡμεῖς δέ φαμεν ὅτι καὶ κατὰ τοῦτο ἔστι θεάσασθαι τὴν δύναμιν τοῦ γένους καὶ τὴν ὑπερβολὴν τῆς δυνάμεως τῆς οὐσίας, ἐπειδὴ οὐ δαπανᾶταί τι ἐξ αὐτοῦ τοσούτων ἀπογεννω- 35 μένων καὶ προερχομένων ἐξ αὐτοῦ. ἐξ οὗ δέ τι ἀπογεννᾶται καὶ προέρχεται, ἐκεῖνο μᾶλλον γένος θετέον ἤπερ τὸ μηδὲν ἀπογεννῶν. ἅπαν οὖν,

2 γενῶν om. D 3 ἐλέγετο κτλ.] cf. Alex. p. 161,21 Bz. qui tamen alio spectat
9 ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου] p. 11,12 sqq. Busse 10 ἀρχαὶ scripsi: γένη libri 18 ἀένναον A corr. D 22 οἷον — διαφοραί (23) om. D

φησί, τὸ ἀδιαίρετον ἢ κατὰ ποσόν ἐστιν ἢ κατ' εἶδος. πρότερον δέ ἐστι τὸ κατ' εἶδος, ἐπεὶ ἡ κατ' εἶδος διαίρεσις ἐν πάσαις ταῖς κατηγορίαις θεωρεῖται, ἡ δὲ κατὰ ποσὸν ἐν μόνῳ τῷ ποσῷ· ὥστε εἰκότως προτέραν φησὶν ὁ Ἀριστοτέλης τὴν κατ' εἶδος διαίρεσιν. τὰ δὲ γένη διαιρετά ἐστιν εἰς εἴδη. ὥστε μᾶλλον ἓν ἐστι τὸ ἔσχατον κατηγορούμενον· οὐ γάρ ἐστι γένος ἄνθρωπος τῶν τινῶν ἀνθρώπων, ἵνα καὶ διαιρεθῇ εἰς αὐτούς.

p. 999a6 Ἔτι ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστιν, οὐχ οἷόν τε.

Ὅπερ εἰρήκαμεν ἐν τῇ θεωρίᾳ. τοῦτο οὖν λέγει ὁ Ἀριστοτέλης, ὅτι f.125v ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον κατηγορεῖται, οὐχ οἷόν τε τὸ ἐπὶ τούτων εἶναί τι παρὰ ταῦτα, τουτέστι τὸ κοινῶς κατηγορούμενον τούτων οὐκ ἔστιν γένος. οἷον ἐπειδὴ ἡ δυὰς πρώτη ἐστὶ τῶν ἀριθμῶν, καὶ ἡ τριὰς καὶ ἑφεξῆς, οὐκ ἔστι τις ἀριθμὸς παρὰ τὰ εἴδη τῶν ἀριθμῶν, ⟨ὃς⟩ γένος ὑπάρχει τῶν ἀριθμῶν, ⟨ἐπεὶ⟩ τὸ πρότερον καὶ τὸ ὕστερον θεωρεῖται ἐν τοῖς ἀριθμοῖς. ὁμοίως δὲ οὐδὲ σχῆμά ἐστι παρὰ τὰ εἴδη τῶν σχημάτων, ἐπειδὴ καὶ ἐν αὐτοῖς θεωρεῖται τὸ πρότερον καὶ τὸ ὕστερον· φαμὲν γάρ, εἰ τύχοι, πρότερον εἶναι τὸ τρίγωνον, εἶτα τὸ τετράγωνον καὶ ἑφεξῆς. εἰ τοίνυν ἐπὶ τούτων τὸ κοινῶς κατηγορούμενόν οὐκ ἔστι γένος, σχολῇ γε ἐπὶ τῶν ἄλλων, τουτέστιν οὐδαμῶς ἐπὶ τῶν ἄλλων, τὸ κοινῶς κατηγορούμενον γένος ἐστίν, ἐπεὶ τούτων μᾶλλον δοκοῦσιν εἶναι γένη, τουτέστι τῶν σχημάτων καὶ τῶν ἀριθμῶν. ἐν δὲ τοῖς ἀτόμοις οὐκ ἔστι τὸ μὲν πρότερον τὸ δὲ ὕστερον· οὔτε γὰρ ἵππον πρότερόν φαμεν ἀνθρώπου ἢ ἄνθρωπον ἵππου· καὶ διὰ τοῦτο τὸ κοινῶς κατηγορούμενον γένος ἐστί, τουτέστι τὸ ζῷον.

p. 999a13 Ἔτι ὅπου τὸ μὲν βέλτιον τὸ δὲ χεῖρον, ἀεὶ τὸ βέλτιον πρότερον.

Ἐντεῦθεν πειρᾶται δεῖξαι ὅτι οὐδὲ τὰ κυρίως νομιζόμενα γένη ὑπάρχουσι, τουτέστι τὸ ζῷον ἤ τι τοιοῦτο. ὅπου μὲν γὰρ θεωρεῖται τὸ μὲν βέλτιον τὸ δὲ χεῖρον, αὐτὸ τὸ βέλτιον πρότερον, ὥστε πρότερος ὁ ἄνθρωπος τοῦ ἵππου· ἐν οἷς δὲ τὸ πρότερον καὶ ὕστερον θεωρεῖται, τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος, ὥστε οὐδὲ τοῦτο ἂν εἴη γένος. οὐκ ἄρα ἔστι [δὲ] γένος τὸ ζῷον τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου· ἔστι γὰρ προτέρου τρόπος καὶ τὸ βέλτιον, ⟨ὡς⟩ ἐν τῇ τοῦ προτέρου διαιρέσει ἐν Κατηγορίαις ἐδείχθη· ἐν πᾶσι δὲ τοῖς γένεσιν ἔστι τὸ μὲν βέλτιον, τὸ δὲ χεῖρον τῶν εἰδῶν. ὥστε οὐδὲν τῶν γενῶν ἀρχή, ἀλλὰ μᾶλλον τὰ ἄτομα ⟨εἴδη⟩, ἐπειδὴ τῶν ὑπ' f.126r αὐτὰ ἀτόμων οὐκ ἔστι τὸ μὲν πρότερον τὸ δὲ ὕστερον.

1 διαιρετόν libri 12 καὶ] fort. εἶτα 13. 14 ὅς et ἐπεὶ addidi 29 τὸ δὲ—τὸ βέλτιον om. D πρότερον D 32 δὲ delevi ἔστι—ὕστερον (36) Alexandri sunt 33 ὡς addidi ἐν Κατηγορίαις] 12 p. 14b4 35 ἀρχή Alex. vulg.: ἀρχαί libri et Alex. cod. L, qui tamen antea οὐδὲ habet εἴδη ex Alexandro addidi

p. 999a14 Ἐκ μὲν οὖν τούτων μᾶλλον φαίνεται τὰ ἐπὶ τῶν ἀτόμων.

Ἐκ τῶν εἰρημένων λόγων μᾶλλον φαίη ἄν τις τὰ ἐπὶ τῶν ἀτόμων κατηγορούμενα ἀρχὰς εἶναι ἅπερ τὰ γένη, ἐπειδή, ὡς εἴρηται, οὐ θεωρεῖ-
5 ται ἐν τοῖς ὑπ' αὐτὰ ἀτόμοις τὸ πρότερον καὶ τὸ ὕστερον.

p. 999a16 Πάλιν δὲ πῶς αὖ δεῖ ταύτας ὑπολαβεῖν ἀρχάς, οὐ ῥᾴδιον.

Ἐντεῦθεν αὐτοφυῶς καὶ τῇ φύσει τῶν πραγμάτων ἑπόμενος δείκνυσιν ὅτι μᾶλλον τὰ γένη ἀρχαὶ τῶν ὄντων ὑπάρχουσι, τὰ ἐξῃρημένα δῆλον· καὶ
10 τοῦτο σαφῶς ἐνδείκνυται. τί γάρ; φησὶν ὅτι δεῖ τὴν ἀρχὴν καὶ τὴν αἰτίαν εἶναι κεχωρισμένην παρὰ τὰ πράγματα, ὧν ἐστιν ἀρχή, καὶ δύνασθαι χωριζομένην εἶναι αὐτῶν· τοῦτο δέ ἐστι τὸ παρὰ τὰ καθ' ἕκαστα ὑπάρχον, τουτέστι τὸ καθόλου. καὶ δεῖ σημειώσασθαι ὅτι φησὶ 'δεῖ τὴν ἀρχὴν τὴν παρακτικὴν κεχωρίσθαι τῶν πραγμάτων, ὧν ἐστιν ἀρχή'· ὥστε οἶδε καὶ
15 αὐτὸς τὰς ἰδέας καὶ τοὺς λόγους τοὺς δημιουργικοὺς τῶν πραγμάτων ἐξῃρημένους καὶ χωριστοὺς ὄντας. τί γάρ; φησὶν ὅτι δεῖ εἶναι τὴν ἀρχὴν καθόλου καὶ κεχωρίσθαι τῶν αἰσθητῶν· εἰ δὲ τοῦτο, τί ἄν τις ὑπολάβοι πλὴν ὅτι καθόλου κατηγορεῖται καὶ κατὰ πάντων; ἀλλὰ μὴν εἰ διὰ τοῦτό ἐστιν ἀρχή, διὰ τὸ καθόλου κατηγορεῖσθαι καὶ κατὰ πάντων τὸ εἶδος, τὰ μᾶλ-
20 λον καθόλου καὶ προσεχῆ ὄντα τῇ μιᾷ τῶν πάντων ἀρχῇ μᾶλλον θετέον ἀρχάς· ὥστε κυρίως ἀρχαὶ τὰ πρῶτα ἂν εἴησαν γένη ὡς κατὰ πλειόνων κατηγορούμενα μᾶλλον καὶ προακτικὰ τῶν πάντων καὶ προσεχῆ τῇ μιᾷ τῶν πάντων ἀρχῇ. [εἰ μὲν οὖν μηδὲν εἴη παρὰ τὰ καθ' ἕκαστα, ἀναιρεθήσεται ἐπιστήμη· τὰ μὲν γὰρ καθ' ἕκαστα ἄπειρα, τῶν δὲ ἀπείρων οὐκ
25 ἔστι γνῶσις· κατὰ γὰρ τὸ καθόλου κοινῶς αὐτῶν κατηγορούμενόν ἐστιν ἡ f.126v γνῶσις, ὅπερ καθόλου εἰ μὴ εἴη, οὐδ' ἂν γνῶσις αὐτῶν δύναται γενέσθαι. εἰ δὲ ἡ ἐπιστήμη καὶ γνῶσις, ὅλως ἀκολουθήσει τὸ καὶ παρὰ τὰ καθ' ἕκαστα εἶναι τὸ κοινόν, καθ' ὃ ἡ γνῶσις καὶ ἡ ἐπιστήμη συστήσονται. τοῦτο δέ ἐστι τὸ γένος ἢ τὸ ἔσχατον, ὃ κυρίως εἶδος καλεῖται, ἢ τὸ πρῶ-
30 τον, ὃ γένος ἐστίν.] ἐντεῦθεν, ὡς εἴρηται, ἐπιχειρεῖ λέγων ὅτι οὐδὲ τὰ ἄτομα δύνανται εἶναι ἀρχαί. ἡ δὲ ἐπιχείρησίς ἐστι τοιαύτη. δεῖ τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τινὸς εἶναι παρὰ τὸ πρᾶγμα τὸ οὗ ἀρχὴ καὶ αἰτία ἐστί, καὶ δύνασθαι χωρὶς εἶναι ἐκείνου, οὗ ἐστιν αἰτία. οὐδὲν δὲ δυνατὸν εἶναι καθ' αὑτὸ κεχωρισμένον, ὃ μή ἐστι καθ' ἕκαστα. εἰ γάρ τις τὰ εἴδη
35 λέγοι εἶναι, ὅτι καθόλου πάντων τῶν ὑφ' αὑτὰ καὶ τῶν καθ' ἕκαστα κατηγορεῖται, καὶ ἔστιν ἄλλο ἑκάστου αὐτῶν, καὶ διὰ τοῦτο ἀρχὰς αὐτὰ λέγοι,

---

12 ὑπάρχον scripsi: ὑπάρχειν libri 23 εἰ μὲν οὖν—ἐστίν (30) Alexandri sunt, qui ea verba proximo lemmati subicit; eademque fere infra (p. 184,6 sqq.) iterum leguntur 30 fort. ante ἐντεῦθεν lemma πάλιν δὲ—ῥᾴδιον repetitum erat 31 ἡ δὲ ἐπιχείρησις—κατηγορεῖται (p. 184,2) Alexandri sunt 33 οὗ Alex.: οὐκ libri

τούτῳ τῷ λόγῳ τὰ ἐπαναβεβηκότα γένη μᾶλλον ἀρχαὶ τῶν εἰδῶν ἔσονται· μᾶλλον γὰρ ἐκεῖνα κοινὰ καὶ πλειόνων κατηγορεῖται.

p. 999a24 Ἔστι δὲ ἐχομένη τούτων ἀπορία καὶ πασῶν χαλεπωτάτη.

Ἐντεῦθεν πειρᾶται δεῖξαι ὅτι οὐχ ὑπάρχουσι μόνα τὰ αἰσθητὰ πράγματα. εἰ γὰρ ὑποθώμεθα μόνα εἶναι τὰ αἰσθητὰ ἐν τοῖς οὖσιν, ἐπειδὴ ἄπειρα ταῦτα ὑπάρχουσι, τῶν δὲ ἀπείρων οὐκ ἔστι γνῶσις, φανερὸν ὡς ὅτι ἀναιρεθήσεται γνῶσις καὶ ἐπιστήμη, εἰ μή τις κατὰ τὸν Πρωταγόραν εἰς τὸ αὐτὸ περιαγάγοι τὴν αἴσθησιν καὶ τὴν ἐπιστήμην. τῶν γὰρ καθόλου ἐστὶν ἡ γνῶσις καὶ ἡ ἐπιστήμη καὶ οἱ ὁρισμοί, ὡς δέδεικται ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ· τὰ δὲ καθόλου οὐκ ἔστιν αἰσθητὰ ἀλλὰ μᾶλλον νοητά. ὥστε εἰ ὑποθώμεθα μόνα εἶναι τὰ αἰσθητά, ἀναιρεῖται γνῶσις καὶ ἐπιστήμη, ὡς εἴρηται. πρὸς τούτοις δὲ καὶ μάτην ἔσται ὁ νοῦς, εἴ γε ὁ νοῦς τῶν καθόλου ἀντιλαμβάνεται. ὥστε ἀναγκαῖον εἶναί τι παρὰ τὰ καθ' ἕκαστα f.127r τὰ γένη ἤτοι τὰ ἔσχατα ἢ τὰ πρῶτα. τοῦτο δέ, φησί, ὅτι ἀδύνατον εἶναι ἄρτι διηπορήσαμεν. καὶ καλῶς προσέθηκε τὸ διηπορήσαμεν· τῷ ὄντι γὰρ ἠπόρησε μέν, οὐκ ἤλεγξε δέ· τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

p. 999a24 Ἔτι δὲ ἐχομένη τούτων ἀπορία.

Ἐμνήσθη καὶ ταύτης τῆς ἀπορίας ἀνωτέρω· οὐκ ἐφεξῆς δὲ αὐτῶν μνησθεὶς ἐνταῦθα συνέταξεν αὐτὰς εἰκότως, ὡς ἔχονται ἀλλήλων, ὥς φησιν αὐτός· μετὰ γὰρ τὸ διαπορῆσαι περὶ τῶν γενῶν τῶν πόρρω καὶ τῶν ἐσχάτων, ἐφεξῆς ἀπορεῖ καὶ περὶ τῶν αἰσθητῶν. ἡ οὖν ἐχομένη, φησί, τούτων ἀπορία πασῶν χαλεπωτάτη καὶ ἀναγκαιοτάτη εἰς τὸ θεωρῆσαι, περὶ ἧς ὁ λόγος τῆς προσεχῶς εἰρημένης, ὅτι κυρίως γένη τὰ πόρρω ὑπάρχουσιν. εἰ γὰρ μηδὲν ὑποθώμεθα εἶναι παρὰ τὰ καθ' ἕκαστα, ταῦτα δὲ ἄπειρα ὑπάρχουσιν, ἀναιρεθήσεται ἐπιστήμη, ἐπειδὴ τὰ καθ' ἕκαστα, ὡς εἴρηται, ἄπειρα ὑπάρχουσι, τῶν δὲ ἀπείρων οὐκ ἔστι γνῶσις. καθὸ γάρ ἕν τι καὶ ταὐτὸν ὑπάρχει, καὶ ᾗ καθόλου ὄντα τὰ πράγματα, οὕτως αὐτὰ γνωρίζομεν, οἷον τὸν καθόλου ἄνθρωπον ὡς ἕν τι γνωρίζομεν, καὶ τὸν καθόλου ἵππον πάλιν ὡς ἕν τι γνωρίζομεν. ὡς γὰρ εἴρηται, ἡ ἐπιστήμη τῶν καθόλου ὑπάρχει, καὶ καθὸ ἕν τί ἐστι τὰ πράγματα, οὕτως αὐτὰ γνωρίζομεν. ἡ οὖν γνῶσις καὶ ἡ ἐπιστήμη τῶν καθ' ἕκαστα γίνεσθαι δοκεῖ, καθὸ ἕν τι καὶ ταὐτό ἐστι πᾶσιν αὐτοῖς· κατὰ γὰρ τὸ καθόλου κοινῶς αὐτῶν κατηγορούμενον· ὃ εἰ μὴ εἴη, οὐδ' ἂν γνῶσις αὐτῶν δύναται γενέσθαι. εἰ δὲ εἴη ἐπιστήμη, δῆλον ὡς ὅτι καὶ τὰ καθόλου ὑπάρχουσιν. εἰ οὖν τοῦτο ἀναγκαῖόν ἐστι καὶ δεῖ τι εἶναι παρὰ τὰ καθ' ἕκαστα, ἀναγκαῖον

9 γὰρ om. D 10 ἡ (post καὶ) om. D 34 καὶ ταὐτὸ Alex.: καθ' αὐτὸ libri

ἂν εἴη τὰ γένη εἶναι παρὰ τὰ καθ' ἕκαστα· ταῦτα γάρ ἐστι τὰ καθόλου· καὶ φανερὸν ὡς ὅτι ἤτοι τὰ ἔσχατα ἢ τὰ πρῶτα. τοῦτο δὲ f. 127v
ὅτι ἀδύνατον εἶναι ἄρτι διηπορήσαμεν. καλῶς δὲ εἶπε τὸ διηπορήσαμεν, ἐπειδὴ τὸ ἀληθὲς ὑπ' οὐδενὸς ἐλέγχεται· ἠπόρησε γὰρ μόνον
5 ὅτι οὐκ εἰσιν, οὐ μὴν ἤλεγξεν.

p. 999a32 Ἔτι εἰ ὅτι μάλιστα ἔστι τι παρὰ τὸ σύνολον, ὅταν κατηγορηθῇ τι τῆς ὕλης.

Ὅπερ ἀπορεῖ διὰ τῶν ἐνταῦθα λεγομένων, τοιοῦτόν ἐστιν, ὅτι εἰ ὑποθώμεθα εἶναι χωριστὸν εἶδος αὐτὸ καθ' αὑτὸ χωρὶς τοῦ συνθέτου, πᾶσά
10 ἐστιν ἀνάγκη ἢ πάντων εἶναι χωριστὰ εἴδη τῶν γενητῶν, καὶ τῶν κατὰ φύσιν καὶ τῶν παρὰ φύσιν καὶ τῶν κακῶν ἁπλῶς, ἤγουν τινῶν, ἢ τινῶν μὲν τινῶν δὲ οὔ. καὶ οὐκ ἔστι παρὰ ταῦτα, καὶ τῷ ὄντι ἐστὶν ἄφυκτος ἡ διαίρεσις. φαμὲν τοίνυν ἡμεῖς ὅτι μόνων τῶν κατὰ φύσιν ὑπετίθεντο εἶναι ἰδέας. ὡς γὰρ εἴρηται ἐν τῷ μείζονι Λ, οὔτε τῶν κακῶν λόγους
15 ὑπετίθεντο οὔτε δὲ τῶν παρὰ φύσιν οὔτε τῶν τεχνητῶν. οὐ γὰρ ἔλεγον εἶναι εἶδος κλίνης αὐτὸ καθ' αὑτὸ παρὰ τῷ δημιουργῷ· τοῦτο γὰρ καταγέλαστον ὑπάρχει. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι εἰ ἔστι τι παρὰ τὸ σύνολον, τουτέστιν τὸ σύνθετον, εἶδος αὐτὸ καθ' αὑτὸ κεχωρισμένον. ὅταν κατηγορηθῇ τι τῆς ὕλης, τουτέστιν ὅπερ ὡς χωριστὸν ὑπάρχον κατηγορεῖται τῆς
20 ὕλης, πότερον, εἰ ἔστιν εἶδος κεχωρισμένον, ἆρα πάντων τῶν πραγμάτων ἐστὶν ἢ τινῶν, ἤγουν τινῶν μέν ἐστι τινῶν δὲ οὐκ ἔστιν, ἢ οὐδενός ἐστιν. εἰ μὲν οὖν μηδέν ἐστι παρὰ τὰ καθ' ἕκαστα, οὐδὲν ἂν εἴη νοητόν, ἀλλὰ πάντα αἰσθητά, καὶ οὕτως οὐδενὸς ἔσται ἐπιστήμη· ἀναιρεῖται γάρ, εἰ μή τις ὑποθῆται τὴν αἴσθησιν εἶναι ἐπιστήμην, καθάπερ ἔλεγε Πρωταγόρας.

25 p. 999b3 Ἔτι οὐδὲ ἀίδιον οὐδὲν οὐδὲ ἀκίνητον.

Φησὶν ὅτι εἰ ὑποθώμεθα μόνα εἶναι τὰ αἰσθητά, οὐδὲν ἔσται ἀίδιον οὐδὲ ἀκίνητον· τὰ γὰρ αἰσθητὰ πάντα φθείρεται, ἅτε δὴ ἐν κινήσει ὑπάρχει· πᾶσα δὲ κίνησις καὶ πέρας ἔχει, ὥστε καὶ φθοράν. καὶ δοκεῖ f. 128r
ἐνταῦθα ἑαυτῷ πως ἐναντιοῦσθαι ὁ Ἀριστοτέλης· εἰ γὰρ πάντα τὰ αἰσθητὰ
30 φθείρονται, φανερὸν ὡς ὅτι καὶ ὁ οὐρανὸς φθείρεται· αἰσθητὸς γὰρ ὑπάρχει. πῶς οὖν ἐν ἄλλοις αὐτὸς ἡμᾶς ἐδίδαξεν ὅτι ἄφθαρτός ἐστι καὶ ἀίδιος ὁ οὐρανός; τί οὖν ἐνταῦθα ἑαυτῷ ἐναντιοῦται; καί φασιν ὅτι οὐκ ἐναντιοῦται ἑαυτῷ, ἀλλὰ καὶ ἐνταῦθα ἀκολουθεῖ τοῖς εἰρημένοις ἐν τῷ Τιμαίῳ. κατ' οὐσίαν μὲν γὰρ φθαρτός ἐστιν ὁ οὐρανός· διό φησιν ἐν ἐκείνοις ὁ Πλάτων
35 ὡς ἀπὸ τοῦ θεοῦ λέγοντος πρὸς τὰ οὐράνια, ὅτι ἀθάνατα μὲν οὐκ ἐστέ, ἐπεὶ ὅλως ἐγένεσθε, ἔσεσθε δὲ ἄφθαρτα καὶ ἀγήρω ἐμοῦ γε ἐθέλοντος.

---

10 τῶν (post εἴδη) scripsi: καὶ libri 11 fort. ἢ τινῶν, ἤγουν, cf. v. 21 12 post οὔ fort. addendum ἢ οὐδενός; cf. v. 21 27 ἅτε δὲ libri 28 ὑπάρχει] volebat ὑπάρχοντα 31 ἐν ἄλλοις] de Caelo A 10 sqq. 34 φησὶν ἐν ἐκ. ὁ Πλάτων] cf. Tim. p. 41 A sqq.

ὥστε κατ᾽ οὐσίαν μὲν φθαρτός ἐστιν ὁ οὐρανός. διαρκεῖ δέ, φησίν. ἐπινα-
ύμενος ἐκ τῆς μιᾶς τῶν πάντων ἀρχῆς, μέχρις ὅτε ἐπινάεται, ὡς εἴρηται
αὐτῷ ἐν τῷ ὀγδόῳ λόγῳ τῆς Φυσικῆς πραγματείας. διὸ καὶ ὁ Πλάτων
ἔλεγεν ὅτι γίνεται μὲν ἀεὶ ὁ οὐρανός (καθ᾽ ἕκαστον γὰρ νῦν φησιν αὐτὸν
5 παράγεσθαι ὑπὸ τοῦ θεοῦ), ἄλλως τε δὴ τὴν ἐνέργειαν τῶν οὐρανῶν φησι
φθείρεσθαι, διότι ἐν κινήσει ἐστί· πᾶν γὰρ τὸ ἐν κινήσει ὑπάρχον φθείρε-
ται κατὰ τὴν ἐνέργειαν. ἡνίκα γὰρ γίνεται ὁ ἥλιος ⟨ἐν⟩ ταύρῳ, φανερὸν
ὡς ὅτι ἐφθάρη ἡ ἐνέργεια αὐτοῦ καθ᾽ ἣν ὑπάρχει ἐν τῷ κριῷ, γέγονε δὲ
ἐν ταύρῳ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων οὐρανίων σωμάτων· ὥστε ἔχουσι
10 τὴν κατὰ κίνησιν φθορὰν καὶ γένεσιν. τὰ μέντοι γε νοητὰ καὶ ἐξῃρημένα
παντελῶς τῆς ὕλης οὐδεμίαν ἔχουσι μεταβολήν· διὸ οὔτε κατ᾽ οὐσίαν οὔτε
κατὰ τὴν ἐνέργειαν δυνατόν ἐστιν ὑποτίθεσθαι αὐτὰ φθαρτά· αἱ γὰρ ἐνέργειαι
αὐτῶν οὐσίαι ὑπάρχουσι. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι εἰ ὑποθώμεθα μόνα
εἶναι τὰ αἰσθητά, οὐδὲν ἔσται ἀίδιον, οἷον τὰ οὐράνια, οὐδὲ ἀκίνητον·
15 τὰ γὰρ αἰσθητὰ πάντα φθείρεται καὶ ἐν κινήσει ἐστίν. ἀλλὰ μὴν
εἰ ὑποθώμεθα μηδὲν εἶναι ἀίδιον, οὐδὲ γένεσιν εἶναι δυνατόν· τὰ γὰρ f.128v
γινόμενα ἐξ ἀιδίου τινὸς γίνεται. οὐ γὰρ δυνατόν, φησί, τὶ γενέσθαι ἐκ
τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ἐπεὶ εἰ τοῦτο ὑποθώμεθα. πρῶτον μὲν ὑπό-
στασιν καὶ ὕπαρξιν παρέξομεν τῷ μὴ ὄντι, ὅπερ οὐχ οἷόν τε, καὶ κρεῖττον
20 ποιήσομεν τὸ μὴ ὂν τοῦ ὄντος. πρὸς ἐπὶ τούτοις δὲ εἶχε δύναμιν τοῦ γε-
νέσθαι, φησίν, ἢ οὐκ εἶχεν. εἰ μὲν οὖν μὴ εἶχεν, οὐδὲ ἐγίνετο· τὸ γὰρ
μὴ ἔχον δύναμιν, φησί, τοῦ γενέσθαι οὐδέποτε γίνεται (ὁ γὰρ λίθος οὐχὶ
γίνεται γράμμα, ἐπειδὴ οὐδὲ δύναμιν ἔχει τοιαύτην)· εἰ δ᾽ εἶχε δύναμιν,
δῆλον ὡς ὅτι ὕλη ὑπῆρχεν. ὥστε πᾶσά ἐστιν ἀνάγκη ἀγένητον ὑποθέσθαι,
25 φησί, τὴν ὕλην κατὰ χρόνον, οὐ μέντοι γε κατ᾽ αἰτίαν, ἐπειδὴ πᾶν τὸ ἔχον
ἀρχὴν χρονικὴν πάντως καὶ πέρας σχήσει χρονικόν· εἰ δὲ ἔχει πέρας ἡ
ὕλη, ἐπειδὴ πᾶν τὸ φθειρόμενον εἰς ὕλην καὶ εἶδος φθείρεται, δῆλον ὡς
ὅτι καὶ ὕλη φθειρομένη εἰς ὕλην φθαρήσεται· ὥστε ἔσται ἐφθαρμένη πρὸ
τῆς φθορᾶς ἑαυτῆς, ὅπερ ἐστὶν ἀδύνατον. ὅτι δὲ τὸ ἔχον χρονικὴν ἀρχὴν
30 καὶ πέρας ἔχει, μανθάνομεν ἐντεῦθεν. ἰστέον ὅτι τὸ γινόμενον οἷον τὸ
σπέρμα δύναμιν ἔχει τοῦ γενέσθαι ἄνθρωπος. ὅταν οὖν ἐστι σπέρμα, τὴν
μὲν δύναμιν ἔχει ἐν ὑποστάσει τοῦ εἶναι σπέρμα, τὴν δὲ ἐνέργειαν τοῦ γε-
νέσθαι ἄνθρωπος ἐν στερήσει. ἡνίκα οὖν γένηται ἄνθρωπος, τὴν μὲν ἐνέρ-
γειαν ἔχει ἐν ὑποστάσει (ὑπάρχει γὰρ ἄνθρωπος). τὴν δὲ δύναμιν ἐν στε-
35 ρήσει τοῦ φθαρῆναι. εἰ οὖν μὴ μάτην ἔχει τὴν δύναμιν, δῆλον ὡς ὅτι
ἥξει καὶ ἡ δύναμις εἰς ὑπόστασιν, ὥσπερ ἦλθε καὶ ἡ ἐνέργεια· ὥστε πάντῃ
πάντως καὶ πέρας ἕξει τὸ ἐσχηκὸς ἀρχὴν χρονικήν. εἰ δέ τις εἴποι περὶ
τῶν ἀριθμῶν ὅτι ἀρχὴν μὲν ἔχουσι, πέρας δὲ οὐκ ἔχουσιν, ἐροῦμεν πρὸς
αὐτόν, ὅτι ἡμῖν ὁ λόγος ἐστὶ περὶ τῶν γινομένων, οἱ δὲ ἀριθμοί, φησίν,
40 οὐ γίνονται ἀλλὰ ὑπάρχουσιν.

— —

1 διαρκεῖ scripsi: διαρκεῖν libri φησίν scripsi: φασίν libri 1. 2 ἐπινώμενος D
3 τῆς Φυσικῆς πραγματείας] fort. respicit Phys. Θ 6 7 ἐν addidi 21. 23 οὔτε libri 36 ἥξει scripsi: ἕξει libri

p. 999b5 Ἀλλὰ μὴν εἴ γε ἀίδιον μή ἐστιν, οὐδὲ γένεσιν εἶναι δυνατόν.

Εἰ μόνα τὰ αἰσθητὰ ὑπάρχουσιν, οὐδὲν ἔσεται ἀίδιον, ἐπειδὴ πάντα f.129r τὰ αἰσθητὰ ἐν φθορᾷ ὑπάρχουσιν. εἰ δὲ μηδέν ἐστιν ἀίδιον, οὐδὲ γένεσιν εἶναι δυνατόν· ἀνάγκη γὰρ εἶναί τι τὸ γινόμενον ἕτερόν τι πρὸ τῆς γενέσεως αὐτοῦ, οἷον σπέρμα πρὸ τοῦ ἀνθρώπου (ἐπειδὴ γάρ, φησίν, οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος), καὶ ἐξ οὗ γίνεται, τουτέστι τὸ ὑλικὸν αἴτιον. ἔδειξε δὲ ὁ λόγος, πῶς πᾶσά ἐστιν ἀνάγκη προϋφίστασθαι τὸ ὑλικὸν αἴτιον· διό φησι καὶ τούτων τῶν γινομένων τὸ ἔσχατον, τουτέστι τὸ ὑλικὸν αἴτιον, πᾶσά ἐστιν ἀνάγκη εἶναι ἀεί, εἴπερ ἵσταναί τε καὶ οὐκ ἐπ' ἄπειρον ὑπάρχουσιν αἱ ἀρχαὶ οὔτε ἐπὶ τὰ κάτω οὔτε δὲ ἐπὶ τὰ ἄνω, ὡς ἔδειξεν ἐν τῷ ἐλάττονι A, καὶ ὅτι οὐδέν ἐστι δυνατὸν γενέσθαι ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ὡς ὁ λόγος ἀνωτέρω ἀπέδειξεν. ἔτι δὲ γενέσεως οὔσης πᾶσά ἐστιν ἀνάγκη καὶ πέρας εἶναι, ἐπειδὴ ἡ γένεσις οὐκ ἄνευ κινήσεως δέδεικται ἐν τοῖς τελευταίοις λόγοις τῆς Φυσικῆς ἀκροάσεως, οὐκ ἔστι δὲ ἄπειρος οὐδὲ μία κίνησις ἀλλὰ πάσης ἐστὶ τέλος. εἰ γὰρ μὴ ἔχει τέλος, πᾶσά ἐστιν ἀνάγκη ἄσκοπον αὐτὴν εἶναι, οὕτως δὲ μάτην ἔσται· οὐδὲν δὲ μάτην οὔτε ὁ θεὸς οὔτε δὲ ἡ φύσις ποιεῖ ὄργανον οὖσα θεοῦ. ἔστιν οὖν αὐτὸ καὶ συλλογίσασθαι τοῦτον τὸν τρόπον. ἡ πεπερασμένη κίνησις δύναται γενέσθαι· πᾶν τὸ δυνάμενον γενέσθαι μόνον γίνεται· ἡ πεπερασμένη ἄρα κίνησις μόνη γίνεται, καὶ οὐχ ἡ ἄπειρος. δῆλον δὲ ὅτι καὶ ἡ οὐρανία κίνησις πεπερασμένη ἐστίν· ἀεὶ γάρ ἐστιν ἐν πέρατι καὶ ἐν τέλει, καὶ πᾶν ὃ ἂν λάβοις αὐτῆς καὶ πέρας ἐστὶ καὶ ἀρχή· ἐπὶ γὰρ τοῦ κύκλου ⟨οὐ⟩ δυνατόν ἐστι διακρῖναι τὸ πέρας τῆς ἀρχῆς, εἰ μήτι γε ἄρα θέσει. ὥστε οὐκ ἔστιν ἄπειρος οὐδεμία κίνησις διὰ τοὺς εἰρημένους λόγους, ἀλλὰ πάσης ἐστὶ τέλος διὰ τὸ ἔχειν σκοπὸν ⟨τοῦ⟩ γενέσθαι. δυνατὸν οὖν ἐστι τὸ δυνάμενον γενέσθαι, τὸ δὲ γεγονὸς ἀνάγκη εἶναι, ὅτε πρῶτον γέγονεν· ὅτε γὰρ γέγονεν ὁ Σωκράτης, δῆλον ὡς ὅτι ὑπῆρχε. φησὶν οὖν ὁ Ἀλέξανδρος ὅτι f.129v ἡνίκα φησὶ πάντα τὰ αἰσθητὰ φθαρτὰ εἶναι, κατὰ τὸ ἔνδοξον ἐπιχειρῶν ταῦτα λέγει, καθ' οὓς ἐδόκει πάντα τὰ αἰσθητὰ γενητὰ εἶναι καὶ φθαρτά. μάλιστα δὲ τοῦτο ἐδόκει Πλάτωνι· καὶ γάρ, φησίν, εἰ ὑπετίθετο τὸν κόσμον μὴ φθαρήσεσθαι, ἀλλὰ τῇ γε αὐτοῦ φύσει φθαρτὸν αὐτὸν ἔλεγεν εἶναι· ἐπεὶ τῷ Ἀριστοτέλει κινεῖσθαι μὲν δοκεῖ πάντα τὰ αἰσθητά, οὐ μὴν καὶ φθαρτὰ εἶναι· τὸ γὰρ κυκλοφορητικὸν σῶμα ἀγέννητόν τε καὶ ἄφθαρτον ἡγεῖται. ἀλλὰ νῦν, φησίν, κατὰ τὸ ἔνδοξον ἐπιχειρεῖ. οἷς γὰρ δοκεῖ πάντα τὰ αἰσθητὰ ἔνυλά τε εἶναι καὶ ἐν ῥύσει συνεχεῖ, τούτοις τὸ καὶ φθαρτὰ αὐτὰ εἶναι δοκεῖ. λαβὼν δὲ τὸ μηδὲν ἔσεσθαι ἀίδιον, εἰ μὴ εἴη τι παρὰ

1 post μή lacuna VIII litterarum AD 3 ἔσεται] sic libri 5 γινόμενον scripsi coll. p. 188,2. 3. 9 sqq.: γενόμενον libri 9 διό φησι — αἴτιον (10) om. D 19 κίνησις — πεπερασμένη (20) om. D 23 οὐ addidi 26 τοῦ addidi 28 ὁ Ἀλέξανδρος] p. 167,16. sqq. Bz. 30 καὶ καθ' οὓς Alex.

τὰ αἰσθητά, ἐπιφέρει τούτῳ ὡς ἀκόλουθον ἀλλὰ μὴν εἴ γε ἀίδιον οὐδέν ἐστιν, οὐδὲ γένεσιν εἶναι δυνατόν· ἀνάγκη γὰρ εἶναί τι τὸ γινόμενον καὶ ἐξ οὗ γίνεται, καὶ τούτων τὸ ἔσχατον ἀγένητον, εἴπερ ἵσταταί τε καὶ ἐκ μὴ ὄντος, φησί, γενέσθαι ἀδύνατον· δεικνὺς ὅτι εἰ μή ἐστί τι ἀίδιον, οὐδὲ γένεσις ἔσται, εἰ δὲ μὴ γένεσις, οὐδὲ τὰ γενητὰ εἴδη, εἰ δὲ μὴ τὰ γενητά, οὐδὲ τὰ αἰσθητά, εἴ γε τὰ αἰσθητὰ γενητά. ᾧ ἀκολουθεῖ τὸ εἰ μόνα τὰ αἰσθητά ἐστι, μηδὲ τὰ αἰσθητὰ ἔσεσθαι. ὅτι δὲ εἰ μή ἐστί τι ἀίδιον, οὐδὲ γένεσις ἔσται, οὕτως ἔδειξεν. εἰ γίνεταί τι, ἀνάγκη εἶναί τι τό τε γινόμενον, τουτέστιν ὃ γίνεται τὸ γινόμενον, καὶ ἄλλο τούτου τὸ ἐξ οὗ γίνεται· οἷον εἰ ἄνθρωπος γίνεται, δεῖ εἶναί γε καὶ δύνασθαι εἶναι καὶ τοῦτο ὃ γίνεται, τὸν ἄνθρωπον· ἀνυπάρκτου γὰρ ὄντος τοῦ ἀνθρώπου οὐδ' ἂν γίνοιτο ἄνθρωπος. καὶ τὸ ἐξ οὗ γίνεται, φησί· πᾶν γὰρ τὸ γινόμενον ἔκ τινος γίνεται ἄλλου ὄντος παρὰ τὸ γινόμενον ἐξ αὐτοῦ, τοῦτο δέ ἐστι τὸ ὑποκείμενον καὶ ἡ ὕλη. πλείω γὰρ τὰ προσεχῆ ὑποκείμενα· ἄλλῳ γὰρ ἄλλο τῶν ὑποκειμένων τὸ προσεχῶς ὑποκείμενον. τούτων δὲ τῶν ὑποκειμένων ἀνάγκη τὸ ἔσχατον ὑποκείμενον ἀίδιον [ἀνάγκη], φη- f. 130r
σίν, εἶναι. ἔσχατον δὲ ὑποκείμενον, φησίν, ἐστὶν ἡ πρώτη ὕλη. ἀναλύοντες γὰρ τὰ προσεχῆ ὑποκείμενα ἐν ἐκείνῃ ἐσχάτῃ παυόμεθα. ὅτι οὖν ἀίδιος, φησίν, ἐστὶ δείκνυσιν ἐκ τοῦ εἰ μή ἐστί τι ἔσχατον ὑποκείμενον ἀίδιον, ἐξ οὗ ἡ γένεσις, ἀκολουθήσει ἢ ἐπ' ἄπειρον γίνεσθαι ἄλλο ἐξ ἄλλου ἢ ἐκ τοῦ μὴ ὄντος, φησί, γίνεσθαι· ἀμφότερα δὲ ἀδύνατα, ὡς ἐδείξαμεν, φησίν. εἶτά φησιν ὅτι πάσης κινήσεως τέλος ἐστιν, εἴ γε πᾶσα κίνησίς ποθέν ποι. τό τε γὰρ αὐξόμενον πέρας ἔχει τῆς αὐξήσεως, ὁμοίως δὲ καὶ τὸ ἀλλοιούμενον καὶ τὸ φθειρόμενον. ὥσπερ γὰρ πάσης κινήσεώς ἐστι πέρας, οὕτω δὲ καὶ γενέσεως. ὃ γὰρ οὐχ οἷόν τε γενέσθαι, οὐδέποτε γίνεται (ἡ γὰρ διάμετρος οὐδέποτε γίνεται σύμμετρος τῇ πλευρᾷ), ἀδύνατον δὲ γενέσθαι τὸ πέρας μὴ ἔχον τῆς γενέσεως ἀλλὰ γινόμενον ἐπ' ἄπειρον, ὥστε οὐδὲ τὴν ἀρχὴν γίνεται. πᾶν ἄρα τὸ γινόμενον γενέσθαι δύναται, τὸ δὲ δυνάμενον γενέσθαι κἂν γένοιτο. ἀλλὰ μὴν ⟨τὸ⟩ γεγονὸς ἀνάγκη εἶναι, ὅτε πρῶτον γέγονε· τὸ γὰρ ὂν ὅτε ἔστι πέπαυται γινόμενον· δέδεικται γὰρ τοῦτο ἐν τῷ Z τῆς Φυσικῆς. εἰ δὲ ἔστι τὸ πρῶτον γεγονός, ἔστι πάντως πέρας τοῦ γινομένου.

p. 999b12 Ἔτι δὲ εἴπερ ἡ ὕλη ἐστὶ διὰ τὸ ἀγένητος εἶναι, πολὺ ἔτι μᾶλλον εὔλογον εἶναι τὴν οὐσίαν.

Δείξας, φησί, διὰ τῶν φθασάντων ὅτι ἀίδιός ἐστιν ἡ ὕλη, φησὶν ὅτι

1 τούτῳ Alex.: τοῦτο D, ex τούτω corr. A · 6 εἴδη deest Alexandro 8 τι ἀίδιον Alex.: τις ἀίδιος libri 10 τούτου Alex.: τοῦτο libri 11 ὃ γίνεται ἄνθρωπος Alex. 14 ante πλείω add. τούτων ὑποκειμένων ἐξ ὧν γίνεται τὰ γινόμενα Alex. 16 δὴ Alex. ἀνάγκη delevi 17 ἐστὶν Alex.: εἶναι libri 20 ἢ ἐκ Alex.: καὶ ἐκ libri 21 ἀδύνατα Alex.: ἀδύνατον libri 23 αὐξάμενον libri 24 ὥσπερ δὲ Alex. 27 ἐπ' ἄπειρον Alex.: τε ἄπειρον libri 28 γενέσθαι Alex.: γίνεσθαι libri 29 κἂν Alex.: καὶ libri τὸ addidi 30 τὸ γὰρ γεγονὸς Alex. 31 ἐν τῷ Z τῆς Φυσικῆς] c. 5 35 ἡ om. D

εἰ ἐδείχθη ἀΐδιος οὖσα ἡ ὕλη, πολλῷ μᾶλλον ἔδει καὶ τὸ εἶδος τὸ κοσμοῦν τὴν ὕλην ἀΐδιον ὑπάρχειν. ὅπερ εἰδός ποτε ἐκείνη ἡ ὕλη γίνεται κοσμουμένη ἐξ αὐτοῦ. εἰ γὰρ μήτε τὸ εἶδός ἐστι μήτε δὲ ἡ ὕλη, οὐδὲν ἔσται τὸ παράπαν, εἴ γε πᾶν τὸ γινόμενον ἐξ ὕλης καὶ εἴδους τὴν γένεσιν ἔχει. εἰ δὲ τοῦτό ἐστιν ἀδύνατον τὸ μὴ δύνασθαι εἶναι τὰ σύνθετα ἄνευ τοῦ προϋφεστάναι τὰ ἁπλᾶ, ἀνάγκη τι εἶναι παρὰ τὸ σύνολον, τουτέστι παρὰ τὸ σύνθετον, τὸ κεχωρισμένον εἶδος. εἰ δὲ πάλιν τι ὑποθῆται εἶναι αὐτὸ f.130v κεχωρισμένον εἶδος παρὰ τὸ σύνθετον, πάλιν ἑτέρα ἀπορία ἀναφύεται ἡ ζητοῦσα ἐπὶ ποίων μὲν πραγμάτων ὑποθῆται χωριστὰ εἴδη, καὶ ἐπὶ τίνων μὴ ὑποθῆται. ὅτι μὲν οὖν ἐπὶ πάντων οὐ δυνατόν ἐστιν ὑποθέσθαι εἴδη χωριστὰ προφανές· οὐ γὰρ ἂν θείημεν εἶδος οἰκίας παρὰ τὰς κατὰ μέρος οἰκίας. ἡμεῖς δὲ εἰρήκαμεν ὅτι οὐδὲ ἐκεῖνοι πάντων ὑπετίθεντο εἶναι ἰδέας, ἀλλὰ τῶν κατὰ φύσιν καὶ φυσικῶν πραγμάτων· τῶν γὰρ τεχνητῶν οὐδὲ ἐκεῖνοι ὑπετίθεντο εἶναι ἰδέας οὔτε δὲ τῶν κακῶν· ἄτοπον γὰρ τὸ λέγειν τὸ ὑπὸ τοῦ τεχνίτου εἶδος ἐγγενόμενον προϋπάρχειν τε καὶ ἀΐδιον εἶναι.

p. 999b20 Πρὸς δὲ τούτοις πότερον ἡ οὐσία μία πάντων ἔσται.

Ὃ ζητεῖ διὰ τῶν ἐνταῦθα τοιοῦτόν ἐστι. φησὶν ὅτι εἰ ὑποτιθέμεθα εἴδη χωριστά, ἆρά γε ἑκάστου εἴδους μία ἐστὶν οὐσία ἢ διάφορος; οἷον ἀνθρώπων μία οὐσία καὶ πάλιν ἐστὶν ἵππων μία οὐσία, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἢ διάφορος; εἰ μὲν γὰρ ὑποθώμεθα μίαν εἶναι οὐσίαν, πόθεν ἡ διαφορὰ τοῖς ἐνταῦθα ἐφήκει; ἔδει γὰρ πάντας ἀνθρώπους ὁμοίους εἶναι ἀλλήλοις κατὰ μηδὲν διαφέροντας. εἰ δὲ πάλιν ὑποθώμεθα διάφορον εἶναι τὴν οὐσίαν ἐκείνην, καὶ οὕτως πάλιν ἄτοπόν τι ἕψεται τῷ λόγῳ· ἡ γὰρ διαφορὰ τοῖς πράγμασιν ἐκ τῆς ὕλης βλαστάνει· τὰ γὰρ νοητὰ πάντα ἀδιάφορα ἀλλήλοις ὑπάρχουσι. καὶ οὕτως μὲν προέρχεται ἡ ἀπορία· ἡμεῖς δέ φαμεν ὅτι πρῶτον μέν, καθὸ ἄνθρωποι, οὐδὲν ἀλλήλων διαφέρουσι· πρὸς δὲ τούτοις τὸ κατατεταγμένον εἶδος τὸ κατ' ἀριθμὸν ὑπάρχον διάφορόν ἐστιν (ἄλλο γὰρ εἶδος τοῦ Σωκράτους καὶ ἄλλο τοῦ Πλάτωνος), τὸ δὲ ἀκατάτακτον ὡς ἐξῃρημένον ἕν ἐστι καὶ μονοειδές, καὶ διὰ τὴν γόνιμον αὐτοῦ δύναμιν, κἂν μονοειδὲς ὑπάρχει, διάφορα καὶ πολλὰ ἀπογεννᾷ. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι πότερον ἡ οὐσία μία πάντων ἐστίν, οἷον ἀνθρώ- f.131r πων; ἀλλὰ τοῦτο ἄτοπον· οὐ γὰρ ἓν ἅπαντα ὑπάρχουσιν, ὧν ἐστιν ἡ οὐσία μία. ἀλλὰ πολλὰ καὶ διάφορα: διαφέρουσι γὰρ ἀλλήλων οἱ ἄνθρωποι. ἀλλὰ καὶ τοῦτο ἄλογον τὸ ὑποτίθεσθαι διαφορὰν ἐν τῷ νοητῷ· ἡ γὰρ διαφορὰ ἐκ τῆς ὕλης βλαστάνει. τὴν δὲ λύσιν ἡμεῖς εἰρήκαμεν.

p. 999b23 Ἅμα δὲ καὶ πῶς γίνεται ἡ ὕλη τούτων ἕκαστον.

Πάνυ δριμυτάτην ἀπορίαν κινεῖ ἐνταῦθα ὁ Ἀριστοτέλης, ἥντινα ἐζήτησε

6 τὰ] τῶν D 7 αὐτῷ D 11 θείη μὲν libri 13 οὔτε libri 15 τεχνητοῦ D ἐν γενόμενον A 30 κἂν scripsi: καὶ libri

καὶ ὁ Πλάτων καὶ ἐν τῷ Φαίδωνι καὶ ἐν τῷ Παρμενίδῃ. καί φησιν ὅτι πῶς τὸ εἶδος θεωρεῖται ἐν τῇ ὕλῃ; πῶς λέγεται ἕκαστον τέλειον εἶδος ἔχειν, ὅλον δὲ πάλιν οὐ δυνατόν, διότι ἐν διαφόροις ὑποκειμένοις ὑπάρχει: πῶς δὲ ἐν ἑνὶ δυνατὸν ὅλον εἶναι τὸ ὑπάρχον ἐν διαφόροις ὑποκειμένοις; φαμὲν οὖν ἡμεῖς, ὃ λέγεται καὶ ἐν τῷ Φαίδωνι, ὅτι οὔτε ὡς μόριον θεωρεῖται, οὔτε δὲ ὡς ὅλον ἐν ἡμῖν τὸ κεχωρισμένον εἶδος, ἀλλὰ μόνον καταλάμπει τὴν ὕλην· ὥσπερ γὰρ ὁ ἥλιος ἀπείρους ὀφθαλμοὺς καταλάμπων οὐ λέγεται εἶναι ἐν τοῖς ὀφθαλμοῖς οὔτε μόριον αὐτοῦ οὔτε ὅλον ἄλλους καταλάμπων, οὕτως φημὶ καὶ ἐπὶ τῶν εἰδῶν γίνεσθαι. τοῦτο οὖν ζητεῖ ὁ Ἀριστοτέλης ὅτι πῶς γίνεται ἡ ὕλη ἕκαστον τῶν εἰδῶν καὶ ἔστι τὸ σύνθετον ἄμφω ταῦτα τό τε εἶδος καὶ ἡ ὕλη.

p. 999b24 Ἔτι δὲ καὶ περὶ τῶν ἀρχῶν καὶ τόδε ἀπορήσειεν ἄν τις.

Πάλιν ἑτέραν ἐκτίθεται ἀπορίαν, ἣν ἀνωτέρω ἠπόρησε· φησὶ γὰρ ὅτι ἄξιόν ἐστιν ἀπορῆσαι περὶ τῶν ἀρχῶν, πότερον εἴδει ὑπάρχουσιν ἓν ἢ ἀριθμῷ. ἀμφοτέρως γὰρ ἄτοπα ἕπεται τῷ ὄντι, εἰ ὑποθώμεθα τὴν πρώτην ἀρχὴν ἢ εἴδει μίαν εἶναι ἢ ἀριθμῷ. εἰ μὲν γὰρ εἴδει μία ἐστί, συμβήσεται καὶ τὰ ἐκ τῆς ἀρχῆς γινόμενα εἴδει ἔχειν τὸ ἓν καὶ οὐκέτι ἀριθμῷ, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν· ἕκαστον γὰρ τῶν ὄντων ἀριθμῷ ἔχει τὸ ἕν, οἷον Σωκράτης Πλάτων, Βαλίος Ξάνθος, καὶ ὅσα ἄλλα τοιαῦτα ὑπάρχουσιν αἰσθητά. πρὸς τούτοις δὲ οὐκ ἔσται οὐδεμία ἀρχή· τὸ γὰρ εἶδος πολλὰ ἔχει ἐν ἑαυτῷ καὶ οὐχ ὥσπερ τὸ ἀριθμῷ ἓν αὐτὸ τοῦτο ἕν ἐστιν, f.131v
οὕτως καὶ τὸ ἓν τῷ εἴδει ἕν ἐστιν, ἀλλὰ πολλά. συμβήσεται δὲ ἀναιρεῖσθαι καὶ τὴν ἐπιστήμην. ἡ γὰρ ἐπιστήμη θεωρεῖται ἐπὶ τῶν κατὰ πλειόνων λεγομένων, τουτέστι τῶν καθόλου· τῶν οὖν ἀτόμων μὴ ὄντων οὐκέτι ἔσται τὸ κατὰ πλειόνων κατηγορούμενον· κατὰ τίνος γὰρ ἔχει κατηγορηθῆναι: ὥστε καὶ ἐπιστήμη ἀναιρεῖται. εἰ ὑποθώμεθα τὴν ἀρχὴν τῷ εἴδει ἔχειν τὸ ἕν. πάλιν δὲ εἰ ὑποθώμεθα τὴν ἀρχὴν τῷ ἀριθμῷ ἔχειν τὸ ἕν, καὶ οὕτως πολλὰ ἔσεται ἄτοπα· συμβήσεται γὰρ μὴ θεωρεῖσθαι διαφορὰν ἐν τοῖς πράγμασιν, ὅπερ πάλιν ἐστὶ παρὰ τὴν ἐνάργειαν, ὡς δείξει προϊὼν ὁ λόγος. οἷον γινέσθω ἡμῖν τὸ παράδειγμα ὡς ἐπὶ τῶν $\overline{κδ}$ στοιχείων. ἐὰν γὰρ ὑποθώμεθα τὰ ἐν διαφόροις συλλαβαῖς ἄλφα $\overline{βα}$ $\overline{γα}$ $\overline{δα}$ καὶ ὅσα ἄλλα τοιαῦτα, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων στοιχείων ἀριθμῷ τὰ αὐτὰ ὑπάρχειν καὶ μὴ εἴδει, δῆλον ὡς ὅτι τοσαῦτα ἔσονται τὰ γράμματα, ὅσα καὶ τὰ στοιχεῖα, εἴτε ἐφεξῆς λαμβάνεται τὰ $\overline{κδ}$ στοιχεῖα εἴτε καὶ διαφόρως· ὥστε μία ἔσται σύνθεσις καὶ τὸ ἄλφα ἅπαξ συντίθεται, εἴ γε τὰ διάφορα τὰ αὐτὰ ὑπάρχουσι τῷ ἀριθμῷ. ὁ γὰρ Πλάτων πολυειδῶς θεωρεῖσθαι οὐ δύναται, ἐπειδὴ ἄτομόν τι ὑπάρχει, ὁ δὲ ἄνθρωπος, ἐπειδὴ εἶδος θεωρεῖται

---

1 ἐν τῷ Φαίδωνι καὶ ἐν τῷ Παρμενίδῃ] Phaed. p. 100 B sqq. Parmen. p. 131 A sqq. 5 ἐν τῷ Φαίδωνι] immo ad Parmen. p. 131 B respicit 8 ἄλλους] fort. αὐτοὺς vel ἄλλους καὶ ἄλλους 11 ἡ om. D 14 περὶ] παρὰ margo D 15 ἀμφοτέρω D 18 ὅπερ scripsi: ἅπερ libri 20 οὔτε μία libri 21 τὸ scripsi: τῷ libri 26 εἴδει — ἀρχὴν τῷ (27) om. D

ἐν πλείοσιν ἀνθρώποις. οὕτως οὖν φημι καὶ ἐπὶ τῶν ἀρχῶν, ὅτι εἰ ὑποθώμεθα τὴν ἀρχὴν ἓν εἶναι κατ' ἀριθμόν, δῆλον ὡς ὅτι οὐκ ἔσεται διάφορος ἡ σύνθεσις τῶν πραγμάτων ἡ ἐξ αὐτῆς προερχομένη, ἀλλὰ μία ἔσται σύνθεσις ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν· ὁρῶμεν γὰρ διαφόρους συνθέσεις ἵππου, ἀνθρώπου, κυνὸς καὶ ἄλλων πλείστων. οὕτως τοίνυν ἐφ' ἑκάτερα ἐπιχειρῶν δείκνυσιν ὅτι οὔτε εἴδει ἓν δύναται εἶναι ἡ ἀρχὴ οὔτε δὲ ἀριθμῷ. φαμὲν δὲ ἡμεῖς ὅτι τῷ ὄντι οὔτε ἀριθμῷ ἐστιν οὔτε δὲ εἴδει· ὑπὲρ γὰρ ἀριθμόν ἐστι καὶ ὑπὲρ εἶδος ἡ πρώτη ἀρχή. τὸ γὰρ ἀριθμῷ ἓν f. 132r ἔνυλον ὑπάρχει· ὑπὸ γὰρ τῆς ὕλης τεμαχιζόμενα τὰ ἄτομα οὕτως διαιροῦνται ἐν διαφόροις ὑποκειμένοις καὶ λέγονται ἀριθμῷ ἔχειν τὸ ἓν· ἡ δὲ πρωτίστη ἀρχὴ ἄυλός ἐστιν. οὔτε δὲ πάλιν δυνατὸν αὐτὴν ὑποτίθεσθαι εἴδει ἔχειν τὸ ἕν, εἴ γε ὑπὲρ πᾶν εἶδός ἐστιν, ἐπεὶ καὶ παρακτική ἐστι πάντων τῶν εἰδῶν.

p. 999b24 Ἔτι δὲ περὶ τῶν ἀρχῶν καὶ τόδε ἀπορήσειεν ἄν τις.

Φησὶν ὅτι ἄξιόν ἐστιν ἀπορῆσαι περὶ τῶν ἀρχῶν. εἰ μὲν γὰρ εἴδει ὑπάρχουσιν ἕν, δῆλον ὡς ὅτι καὶ τὰ ἐξ αὐτῶν γινόμενα εἴδει ἔσονται ἕν. καὶ οὕτως οὐδὲν ἔσεται ἀριθμῷ ἕν, οὔτε δὲ λοιπὸν ἔσται ἡ φύσις τοῦ ἑνὸς καὶ τοῦ ὄντος, ἐπεὶ κυρίως τὸ ἓν ἐπὶ ἀριθμοῦ λέγεται. ἄλλως τε δή, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ἀναιρεθήσεται καὶ ἡ ἐπιστήμη, εἰ μή τι ἔσται ἓν κατὰ πλειόνων κατηγορούμενον, περὶ ὃ ἔχουσι τὸ εἶναι αἱ ἐπιστῆμαι. τῶν δὲ ἀριθμῷ ἓν ἀναιρεθησομένων οὐκέτι ἔσται τὸ κατὰ πλειόνων κατηγορούμενον· οὔτε γὰρ ὑπάρχουσιν ἐκεῖνα ὧν κατηγοροῦνται. καθάπερ οὖν εἴρηται, ὃ ἀπορεῖ περὶ τῶν ἀρχῶν, τοῦτό ἐστι. πότερον ἑκάστη αὐτῶν, εἴτε μίαν τις εἴτε πλείους ὑποτίθεται τὰς ἀρχάς, κατὰ τὸ εἶδος τὸ ἓν ἔχουσιν ἢ κατ' ἀριθμόν, οἷον εἰ ἡ ὕλη μία, ἀριθμῷ μία ἢ εἴδει, καὶ ⟨εἰ⟩ εἶδος ἕν, ἀριθμῷ εἶτ' οὖν εἴδει. εἰ μὲν γὰρ εἴδει μία ἑκάστη τῶν ἀρχῶν, ἀριθμῷ δὲ πολλαί, οὐδὲν ἔσται, φησίν, ἐν ταῖς τῶν γινομένων ἀρχαῖς ἓν κατ' ἀριθμόν· εἰ δὲ μηδεμία τῶν ἀρχῶν ἓν κατ' ἀριθμὸν ἔσται, οὐδ' ἂν τῶν ἐκ τῶν ἀρχῶν συγκειμένων ἕν τι εἴη κατ' ἀριθμόν· τὰ γὰρ ἐξ ἑνὸς οὐ τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει συγκείμενα ἓν τῷ εἴδει, οὐ τῷ ἀριθμῷ. εἰ γὰρ τὰ ἐξ ἑνὸς κατ' ἀριθμὸν συγκείμενα ἓν τῷ ἀριθμῷ, φανερὸν ὡς τὰ ἐξ ἑνὸς τῷ εἴδει τὸ εἶναι ἔχοντα ὁμοίως ἐκείνοις ἕξει τὸ ἕν. ᾧ ἄτοπον ἑπόμενον ἐπήνεγκε τὸ μηδὲ τὸ αὐτοὲν καὶ αὐτοὸν ἓν κατ' ἀριθμὸν ἔσεσθαι, ἃ καὶ αὐτὰ ἐν ταῖς ἀρχαῖς ἐτίθεντο ⟨οἱ⟩ τὰς ἰδέας ἀρχὰς εἶναι λέγοντες. ἀλλὰ μὴν εἰ μή ἐστι τὸ αὐτοὲν ἓν κατ' f. 132v ἀριθμόν, τούτου δὲ μετουσία πᾶν ἐστιν ἕν, οὐδ' ἂν τῶν ἄλλων τι ἓν κατ' ἀριθμὸν εἴη τῶν πρὸς ἐκεῖνο τὸ εἶναι ἐχόντων· πρὸς γὰρ ἓν τῷ εἴδει

14 καὶ τόδε scripsi coll. p. 190,12: καίτοι libri 20 ὃ scripsi coll. p. 192,4. 5 23. 24 πότερον—ἀρχῶν (p. 192,3) Alexandri sunt 24 ex Alexandro correxi: ἕκαστον γίνεται αὐτῶν καὶ εἴτε libri 26 εἰ ex Alexandro addidi 33 ᾧ Alex.: ὡς libri 34 οἱ ex Alexandro addidi

ὁμοιούμενα ὁμοίως ἂν ἐκείνῳ καὶ αὐτὰ τὸ ἓν ἔχοι. οὐδὲν ἄρα ἔσται ἓν κατ' ἀριθμόν, εἰ μήτε τῶν γινομένων πρός τι ἓν κατ' ἀριθμόν ἐστι, μήτε τὸ αὐτοέν ἡ ἀρχή, ἀλλὰ μηδὲ ἄλλη τις τῶν ἀρχῶν ⟨ὧν⟩ εἶπεν. ὥστε οὐδὲ ἐπιστήμη ἔσται. αἱ γὰρ ἐπιστῆμαι τὸ εἶναι ἔχουσιν ἐν τοῖς κατὰ πλειόνων κατηγορουμένοις· τῶν τοίνυν καθ' ἕκαστα μὴ ὄντων οὐκέτι κατὰ πολλῶν κατηγοροῦνται τὰ κατηγορούμενα, ὥστε καὶ ἐπιστήμη ἀναιρεθήσεται.

p. 999b27 Ἀλλὰ μὴν εἰ ἀριθμῷ πάντα ἓν καὶ μία ἑκάστη τῶν ἀρχῶν.

Δείξας τί ἄτοπον ἑπόμενον, εἰ λέγοιντο αἱ ἀρχαὶ τῷ εἴδει μία, μὴ τῷ ἀριθμῷ, νῦν πάλιν ἐπιχειρεῖ πρὸς τὸ μηδὲ κατ' ἀριθμὸν δύνασθαι τὸ ἓν ἔχειν τὰς ἀρχάς. ἀπάγει δὲ πάλιν τὸν λόγον ἐπὶ τὰς ἀρχὰς τὰς ὡς στοιχεῖα λεγομένας, ἐξ ὧν κατὰ σύνθεσιν γίνεται τὸ ἐξ αὐτῶν ⟨ὡς⟩ ἐπὶ τῶν στοιχείων, καὶ δείκνυσιν ἐπὶ τῶν οὕτως λεγομένων ἀρχῶν. εἰ ἑκάστη αὐτῶν μία κατ' ἀριθμὸν εἴη, ὅτι οὐ πλείω τὰ ὄντα τῶν στοιχείων ἔσονται. ὡς γὰρ [αἱ] κατὰ τὸ εἶδος ἀλλήλαις αἱ αὐταὶ συλλαβαί, κατὰ δὲ τὸν ἀριθμὸν οὔ, τῷ τὰ στοιχεῖα ἐξ ὧν συντίθενται [αἱ] κατὰ τὸν ἀριθμὸν ἄπειρα δύνασθαι λαμβάνεσθαι κατ' εἶδος ὄντα τὰ αὐτά, γίνονται, οὕτως, εἰ μὴ εἴη κατ' ἀριθμὸν τὰ στοιχεῖα πολλά, ἀλλ' ἓν εἴη κατ' ἀριθμὸν β καὶ α ἕν, ἀνάγκη καὶ συλλαβὴν ἐξ αὐτῶν τούτων συντιθεμένων γίνεσθαι μίαν, οὐδὲ ἔσται πλείω λαβεῖν συλλαβὰς ἐχούσας τὸ β, εἰ ἓν ἐστιν ἀριθμῷ τὸ β, ἀλλὰ μόνη ἔσται ἡ βα συλλαβὴ ἔχουσα τὸ β, οὔτε δὲ ἡ βε οὔτε ἡ βη· ὅλως γὰρ ἐν οὐδενὶ ἄλλῳ β ἔτι ἐνυπάρξει, ⟨εἰ⟩ ἓν ὂν ἐστιν ἐν τῇ βα συλλαβῇ. ὡς οὖν ἐπὶ τῶν συλλαβῶν καὶ τῶν στοιχείων ἔχει, εἰ ἓν κατ' ἀριθμὸν τὰ στοιχεῖα (οὐ πλείω ἔσται ἐν ταῖς συλλαβαῖς, ἀλλὰ τοσαῦτα ὅσα ἐστὶν αὐτά), οὕτως καὶ ἐπὶ τῶν ὄντων φησὶν ἕξειν, εἰ ἓν αὐτῶν αἱ f. 133r ἀρχαὶ κατ' ἀριθμὸν ἑκάστη μία. ἐξηγήσατο δὲ καὶ τὸ ἀριθμῷ ἓν τί ἐστιν, ὅτι τὸ καθ' ἕκαστον, καὶ τί τὸ καθόλου, ὅτι τὸ ἐπὶ τοῖς καθ' ἕκαστον κοινὸν λαμβανόμενον· τοῦτο δέ ἐστιν εἶδός τε καὶ γένος. εἰπὼν δὲ τὸ ὥσπερ οὖν εἰ τὰ τῆς φωνῆς ἀριθμῷ ἦν στοιχεῖα ὡρισμένα, ἦν ἂν καὶ τὰ γράμματα τοσαῦτα τὰ γραφόμενα ὅσα αὐτῶν καὶ τὰ στοιχεῖα, οὐκέτι ἀνταποδέδωκε τὸ οὕτως δὲ καὶ ἐπὶ τῶν ὄντων, καὶ τὸν ἀριθμὸν τὸν τούτων ἕξει· οὐδὲν γὰρ ἄλλο παρὰ τὰ στοιχεῖα ἔσται, τουτέστιν οὐ πλείω τὰ ὄντα τῶν στοιχείων ἔσται· ἀλλ' ὡς γνωρίμου τῆς

---

2 ἔσται Alex. 3 ὧν addidi 10 δείξας—ἔχει (p. 193,4) Alexandri sunt 12 ἀπάγει A: ἐπάγει D: ἄγει Alex. 13 ὡς ex Alexandro addidi 16 ὡς γὰρ Alex.: γὰρ ὡς libri 16. 17 αἱ (ante κατὰ) delevi Alexandrum secutus 17 οὔ] ἄπειροι Alex. οὔ, τῷ scripsi: οὔ. οὐ τῷ A: οὔ. οὕτω D 23 ἄλλως γὰρ Alex. ἄλλῳ Alex.: ἄλλων libri εἰ ex Alexandro addidi ἓν ὂν Alex.: ἑνόν libri ἐστὶν ἢ ἐν Alex. 27 τὸ scripsi: τῷ libri 33 τὸν ἀριθμὸν τὸν Alex. cod. L: τοῦ ἀριθμοῦ Alex. vulg.: τῶν ἀριθμῶν τῶν libri

ἀκολουθίας οὔσης παρέλιπεν αὐτὴν ἐπενεγκεῖν. εἰ γάρ ἐστιν ἀριθμῷ μία γῆ καὶ ἕκαστον τῶν τεσσάρων, ταῦτα δὲ εἴη ἐν τῷδέ τινι τῷ σώματι, δῆλον ὅτι ἀδύνατον ἐξ αὐτῶν ἄλλο τι σῶμα εἶναι. σφόδρα δὲ διαλεκτικῶς καὶ λογικῶς ἡ ἐπιχείρησις ἔχει. πολυτρόπως γὰρ συντιθεμένων τῶν τεσ-
5 σάρων στοιχείων οὕτως γίνεται τὰ ἡμέτερα σώματα, ἅπερ ἐστὶν ἓν τῷ ἀριθμῷ ἕκαστον αὐτῶν· τὸ γὰρ μέρος τοῦ ἀέρος ἀήρ ἐστιν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων στοιχείων. εἰ τοίνυν, φησίν, ἀριθμῷ ἕν ἐστιν ἡ ἀρχὴ καὶ μία ἐστὶν ἑκάστη τῶν ἀρχῶν τῷ ἀριθμῷ, καὶ μὴ ὥσπερ ἐπὶ τῶν αἰσθητῶν ἄλλαι ἄλλων, οἷον τῆσδε τῆς συλλαβῆς τῆς βα εἶδει τῆς αὐτῆς
10 οὔσης τῇ $\overline{\gamma\alpha}$ (ἀμφότεραι γὰρ ἔχουσι διάφορα ἄλφα, εἴδει τὰ αὐτὰ ὑπάρχοντα) καὶ αἱ ἀρχαὶ εἴδει αἱ αὐταὶ ὑπάρχουσι· καὶ γὰρ αὐταὶ αἱ ἀρχαὶ ἀριθμῷ ἕτεραι ὑπάρχουσιν· εἰ δὲ μὴ τοῦτο ὑποθώμεθα, ἀλλ' αἱ τῶν ὄντων ἀρχαὶ ἀριθμῷ ὑπάρχουσιν αἱ αὐταί, οὐκ ἔσται παρὰ τὰ στοιχεῖα οὐδὲν ἕτερον. ἀλλ' ὅσα στοιχεῖα, ὥς φησιν αὐτός, τοσαῦτα καὶ γράμματα.
15 ἐπειδὴ οὐ δύναται δὶς λαμβάνεσθαι. τὸ γὰρ ἀριθμῷ ὑπάρχον ἓν δὶς λαμβάνεσθαι οὐ δύναται· τὸ γὰρ ἀριθμῷ ἓν ταὐτόν ἐστι τοῖς καθ' ἕκαστα, οἷον Σωκράτει, Πλάτωνι, τὰ δὲ καθ' ἕκαστα κατὰ πλειόνων οὐ δυνατόν f.133v ἐστι λαμβάνεσθαι· καθόλου δέ ἐστι τὸ κατηγορούμενον τῶν καθ' ἕκαστα. ὥσπερ οὖν ἐπὶ τῶν φωνῶν εἰ ἔλεγον τὰ στοιχεῖα ἓν εἶναι τῷ ἀριθμῷ
20 ὡρισμένα. ἀναγκαῖον ὑπῆρχε τοσαῦτα εἶναι γράμματα ὅσα καὶ στοιχεῖα. ἐπειδὴ οὐ δυνατὸν ἦν αὐτὰ δὶς λαμβάνεσθαι διὰ τὸ ὑποκεῖσθαι ἓν εἶναι τῷ ἀριθμῷ, μὴ ὄντων γε δύο τῶν αὐτῶν μηδὲ πλειόνων αὐτῶν, οὕτως καὶ ἐπὶ τῶν ἀρχῶν, εἰ ὑπάρχει ἡ ἀρχὴ μία τῷ ἀριθμῷ, πᾶσα ἦν ἀνάγκη μίαν σύνθεσιν γίνεσθαι καὶ οὐ δύο· τὸ γὰρ ἀριθμῷ ἓν κατὰ πλειόνων
25 φέρεσθαι οὐ δύναται.

p. 1000a5 Οὐθενὸς δὲ ἐλάττων ἀπορία παραλέλειπται καὶ τοῖς νῦν καὶ τοῖς πρότερον.

Ἣν ἀναγκαίαν φησὶν οὖσαν ἀπορίαν κατευθυνθῆναι, ἐπειδὴ πάντες οἱ πρὸ αὐτοῦ παραλελοίπασί τι εἰπεῖν περὶ αὐτῆς. εἴρηται μὲν οὖν καὶ αὕτη
30 ⟨ἡ⟩ ἀπορία κατ' ἀρχὰς τοῦ βιβλίου, ὥσπερ οὖν καὶ αἱ ἄλλαι πᾶσαι. πάνυ δέ ἐστιν ἀξιόλογος ἡ παροῦσα ἀπορία καὶ ἀξία οὖσα ζητήσεως. ζητεῖ γὰρ πότερον αἱ αὐταὶ ὑπάρχουσιν ἀρχαὶ τῶν τε φθαρτῶν καὶ ἀφθάρτων, ἢ ἄλλαι μὲν τῶν φθαρτῶν ἄλλαι δὲ τῶν ἀφθάρτων. εἰ μὲν γὰρ ὑποθώμεθα τὰς αὐτὰς εἶναι ἀρχὰς τῶν τε φθαρτῶν καὶ τῶν ἀφθάρτων,
35 τῷ ὄντι ἄπορος ὑπάρχει ὁ λόγος· δι' ἣν γὰρ αἰτίαν αἱ αὐταὶ οὖσαι καὶ ἄφθαρτοι τὰ μὲν ἄφθαρτα παράγουσι τὰ δὲ φθαρτά. εἰ δὲ ὑποθώμεθα

---

8 ὥσπερ ἐπὶ ex Aristotele scripsi: ὡς πέρας libri 9 εἴδη libri 10 τῆς $\overline{\gamma\alpha}$ libri 12 ἀλλ' αἱ ex Aristotele scripsi: ἀλλὰ libri 22 οὕτως scripsi: ὡς libri 23 εἰ scripsi: καὶ libri 28 ἣν ἀναγκαίαν οὖσαν ἀπορίαν κατευθυνθῆναί φησι πᾶσι τοῖς πρὸ αὐτοῦ παραλελεῖφθαι, εἴρηται μὲν καὶ αὕτη Alex. 29 αὐτῆς scripsi: αὐτῶν libri 29. 30 αὕτη ἡ scripsi: αὕτη Alex.: αὐτὴ libri 36 τὰ (ante μὲν) om. D

ἑτέρας εἶναι ἀρχὰς τὰς παραγούσας τὰ φθαρτὰ καὶ ἑτέρας τὰ ἄφθαρτα. πάλιν ἐρωτῶμεν αὐτούς, πότερον αἱ παράγουσαι τὰ φθαρτὰ ἄφθαρτοι ὑπάρχουσιν ἢ φθαρταί. εἰ μὲν γὰρ ἄφθαρτοι, διὰ τί μή, ὥσπερ αἱ ἄλλαι ἄφθαρτοι ἄφθαρτα παράγουσι, καὶ αὐταὶ οὖσαι ἄφθαρτοι παράγουσιν
5 ἄφθαρτα; εἰ δὲ φθαρταὶ εἶεν αἱ ἀρχαὶ αἱ παράγουσαι τὰ φθαρτά, φανερὸν ὅτι φθείρονται καὶ ἀναλύονται εἰς ἐκεῖνα ἐξ ὧν καὶ συνετέθησαν. οὐδὲν γάρ, φησίν, εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν χωρεῖ, οὔτε δὲ γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος. διὰ τοῦτο γὰρ καὶ τὰ αἴτια τὰ πρῶτα ἄφθαρτα λέγομεν, ἐπειδὴ πάντα τὰ φθειρόμενα εἴς τι ἀναλύεται· τοῦτο f. 131r
10 δὲ εἰς τί ἔχει ἀναλυθῆναι. εἴ γε μηδὲν ἔχει ἄλλο πρὸ αὐτοῦ: φθειρομένων οὖν τῶν ἀρχῶν οὐκέτι οὐδὲν γίνεται. ὥστε πανταχόθεν ἄπορος ὁ λόγος. καὶ οὕτως μὲν προφέρει τὴν ἀπορίαν ὁ Ἀριστοτέλης γυμνάζων ἡμᾶς· ἡμεῖς δέ φαμεν ὅτι τῷ ὄντι πάντα καὶ τὰ φθαρτὰ καὶ τὰ ἄφθαρτα παράγονται ὑπὸ τῆς μιᾶς τῶν πάντων ἀρχῆς. διὰ γὰρ περιουσίαν δυνάμεως
15 παράγει πάντα μέχρι αὐτῆς τῆς ὕλης, εἴ γε καὶ αὐτὴν τὴν ὕλην παράγει, καὶ οὐ ποτὲ μὲν τὴν φαινομένην παράγει ποτὲ δὲ οὔ, ἀλλὰ καθ' ἕκαστον νῦν παράγει τὰ πάντα: τοῦ τοίνυν ἀεὶ εἶναι τὴν γένεσιν αἴτιος, φησίν, ἐστὶν ὁ θεός, τῆς δὲ φθορᾶς καὶ τῆς γενέσεως αἴτια τὰ οὐράνια, τῶν δὲ καθ' ἕκαστα Σωκράτους καὶ Ἀλκιβιάδου οἱ γονεῖς ὡς ἀτόμων. λέγομεν οὖν ὅτι
20 τὰ ἀίδια προσεχῶς γίνονται ὑπὸ τῆς ἀκινήτου οὐσίας καὶ ἀεὶ ὡσαύτως ἐχούσης καὶ ἀτρέπτου καὶ ἀναλλοιώτου καὶ οὐ ἡ ἐνέργεια σύνδρομός ἐστι τῇ οὐσίᾳ· τὰ δὲ φθαρτὰ γίνονται καὶ αὐτά, φησίν, ὑπὸ ἀιδίου ἀρχῆς τοῦ πρώτου, ἀλλ' οὐ προσεχῶς, ἀλλὰ διὰ μέσων τῶν οὐρανίων, ἅτινα, φησί, καὶ αὐτὰ ἀίδια ὑπάρχουσιν, ἀλλ' οὐκέτι ἔχουσι τοιαύτην ἀιδιότητα. κατὰ
25 μὲν γὰρ τὴν οὐσίαν, φησίν, ἀίδια τὰ οὐράνια, κατὰ δὲ τὴν ἐνέργειαν οὐκέτι ἀίδια, εἴ γε φθείρονται αἱ ἐνέργειαι, ἅτε δὴ ἐν κινήσει ὑπάρχουσαι· ἡνίκα γὰρ γίνεται ὁ ἥλιος ἐν ταύρῳ, ἡ ἐνέργεια αὐτοῦ, καθ' ἣν ὑπάρχει ἐν κριῷ, ἔφθαρται. ὥστε, φησί, τὰ μὲν ὑπὸ ἀκινήτου οὐσίας καὶ ἀιδίου γινόμενα ἄφθαρτα ὑπάρχουσι, τὰ δὲ ὑπὸ ἀιδίου καὶ κινουμένου φθαρτά,
30 ἐπειδὴ ἐνέργειαν, φησίν, ἔχει φθαρτήν. καὶ οὕτως μὲν ἐπιλυόμεθα τὴν ἀπορίαν· ἰστέον δὲ ὅτι ὡς τοῦ διδασκαλείου ὢν τοῦ Πλατωνικοῦ φησιν ὅτι οὐδεὶς οὐδὲν εἶπε περὶ τῆς τοιαύτης ἀπορίας· ἄντικρυς γὰρ φαίνεται ὁ Πλάτων διαλεγόμενος περὶ αὐτῆς ἐν Τιμαίῳ. μετὰ γάρ, φησί, τὸ ποιῆσαι f. 134r
τὰ οὐράνια εἶπε πρὸς αὐτὰ 'θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργός, ἄλυτα μὲν
35 πάμπαν οὐκ ἔσεσθε, ἐπειδὴ ὅλως ἐγένεσθε, τυχόντες δὲ τῆς ἐμῆς βουλήσεως κρείττονος οὔσης μυρίων δεσμῶν ἔσεσθε ἀγήρω καὶ ἀθάνατα'. καὶ διὰ τούτου, φησίν, ἐνδείκνυται τὴν ἐπιτηδειότητα τοῦ οὐρανοῦ, καθ' ἣν δυνατὸν δέχεσθαι τὴν τοῦ θεοῦ ἔλλαμψιν. καὶ ἀεί φησιν διαμένειν· διὰ δὲ πάλιν τοῦ εἰπεῖν 'πάμπαν ἄλυτα οὐκ ἔσεσθε' ἐδήλωσεν ὅτι ὡς σύνθετα
40 κατ' ἐπίνοιαν φθείρονται· τὰ γὰρ ἄυλα οὐδὲ κατ' ἐπίνοιαν φθαρτὰ ὑπάρχουσιν. εἰπεῖν οὖν φαμεν πρὸς αὐτὰ 'ἐπειδὴ ἐξ ἐμοῦ ἐγένεσθε, ἀίδιά

---

1. 2 καὶ—αὐτούς om. D 26 ὑπάρχουσαι scripsi: ὑπάρχουσιν libri 29 κινουμένου] γινομένου D 33 ἐν Τιμαίῳ] p. 41 A sq. 37 τούτου scripsi: τοῦτο libri 40 οὔτε libri

ἐστε· τὸ γὰρ καλῶς ἁρμοσθὲν λύειν ἐθέλειν κακοῦ· ὑμεῖς δὲ τρέπεσθε ἐπὶ τὴν τῶν θνητῶν γένεσιν', διὰ τὸ ἔχειν τάξιν καὶ πρῶτα, φησί, καὶ μέσα καὶ ἔσχατα. ὥστε καὶ πρὸ αὐτοῦ ὁ Πλάτων τοῦτο αὐτὸ ἐζήτησε καὶ ἀπεφήνατο. εἶτα λοιπὸν ἐφεξῆς μνημονεύει Ἡσιόδου τε καὶ τῶν
5 ἄλλων θεολόγων. φησὶν οὖν ὅτι πάντες οἱ πρώην θεολόγοι τοῦ πιθανοῦ μόνου ἐφρόντισαν, τοῦ δόξαντος αὐτοῖς πιθανοῦ εἶναι, ἡμῶν δὲ καὶ τοῦ ἡμᾶς διδάξαι καὶ πεῖσαι ὠλιγώρησαν. ὑποθέμενοί τε γὰρ τὰς ἀρχὰς θεούς τε καὶ ἀιδίους εἶναι καὶ πάντα ἐξ ἐκείνων τὰ ὄντα εἶναι καὶ γεγονέναι, φασὶν ὅτι τὰ γευσάμενα τῆς ἀμβροσίας καὶ τοῦ νέκταρος ἀίδιά τε ὑπάρ-
10 χουσι καὶ ἀθάνατα, καὶ τὰ ἀψευδῆ, τὰ δὲ μετέχοντα ψεύδους καὶ μήτε γευσάμενα τῆς ἀμβροσίας μήτε δὲ τοῦ νέκταρος ταῦτα φθαρτὰ ὑπάρχουσι· πρῶτον μὲν οὖν τὴν ἀμβροσίαν καὶ τὸ νέκταρ τὰ θεοποιὰ ὀνόματα αὐτοῖς ἴσως γνώριμα λέγοντες· οὐ γὰρ δή γε ἡμῖν, τουτέστι τῶν ἄλλων οὐθενί. δεύτερον δὲ καὶ περὶ αὐτῆς τῆς προφορᾶς τούτων ἁπλῶς εἶπον καὶ οὐδα-
15 μῶς γνώριμον. τίνος γὰρ χάριν ἦλθον ἐπὶ τὸ γεύσασθαι τούτων ἅπερ αἴτια αὐτοῖς τῆς ἀθανασίας; εἰ μὲν γὰρ ἡδονῆς χάριν αὐτῶν γεύονται, f. 135r
οὐδὲν εἰς τὸ εἶναι αὐτοῖς συντελεῖ τὸ νέκταρ καὶ ἡ ἀμβροσία (οὔτε γὰρ τὰ εἴδεα πάντως σώζουσιν), ὥστε οὐ διὰ τὸ γεύσασθαι ἀθάνατα· εἰ δὲ εἰς τὸ εἶναι ἡ τούτων γεῦσις αὐτοῖς συντελεῖ, δῆλον ὡς τροφή ἐστιν αὐτοῖς·
20 τὰ δὲ τρεφόμενα καὶ μὴ μένοντα, εἰ μὴ τρέφοιτο, πῶς οἷόν τε λέγειν ἀίδια, φησίν, εἶναι; τοσαῦτα δὲ Ἡσιόδου τε καὶ τῶν ἄλλων, φησί, θεολόγων μνησθεὶς τὸ μὲν τὰς τούτων δόξας μετὰ σπουδῆς ἐξετάζειν μύθους λεγόντων καὶ διὰ μύθων τὰ ψευδῆ συναγόντων τε καὶ συνιστάντων παραιτεῖται· τὸ γὰρ μυθικῶς σοφιζομένων ἴσον τῷ διὰ μύθων παρακρουόν-
25 των ταληθές. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· ἡμεῖς δέ φαμεν ὅτι εἰκότως θεὸν εἴποι τὴν ἀρχήν· ἡ γὰρ κυρίως ἀρχὴ πάντων τῶν ὄντων θεός ἐστιν ὁ καὶ τὰ πάντα παράγων. ἐπεὶ οὖν οὐ σκοπὸν εἶχον οἱ περὶ τὸν Ἡσίοδον διδασκαλίαν ἡμῖν παραδοῦναι ἐν τῇ θεογονίᾳ, ἀλλὰ μαινομένῳ στόματι, φησί, θεολογῆσαι, ἐσπούδασαν δὲ καὶ μαθεῖν τὰ παρ' αὐτῶν τὰς τῶν
30 πολλῶν φαντασίας, τούτου χάριν ἀσαφῶς ἡρμήνευσαν. ἰστέον οὖν ὅτι ἄλλα τινὰ ἐδήλουν διὰ τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας. αἱ ἡμέτεραι γὰρ ψυχαὶ ἡνίκα τελειοῦσιν ἑαυτάς, οὐ δύνανται φροντίζειν τῶν αἰσθητῶν πραγμάτων· πάλιν δὲ ἡνίκα περὶ τὰ αἰσθητὰ καταγίνονται, οὐ δύνανται ἐπιμελεῖσθαι τῆς ἑαυτῶν τελειότητος. ὁ δὲ θεὸς καὶ τὴν τελειότητα ἔχων
35 ἐν ἑαυτῷ, οὐδὲν ἧττον φροντίζει τῶν καταδεεστέρων πάντων καὶ ἁπλῶς εἰπεῖν τῶν ὄντων ἁπάντων, ὥσπερ καὶ ὁ ἥλιος μὴ χωριζόμενος τοῦ οὐρανοῦ καταλάμπει πάντα τὰ τῇδε. ἐπεὶ τοίνυν δύο τελειότητες θεωροῦνται περὶ τὸ θεῖον, ἡ μὲν περὶ τὴν οὐσίαν αὐτοῦ, ἡ δὲ περὶ τὴν πρόοδον

---

7 ὑποθέμενοι—ταληθές (25) eadem fere apud Alexandrum θείας Alex. 9 φασιν Alex.: φησὶν libri 12 θεοποιὰ νάματα Alex. 13 οὐθενί scripsi: θείων libri 14 δεύτερον Alex.: δευτέραν libri προσφορᾶς Alex. 15 γνωρίμως Alex. 24 τῷ Alex.: τῶν libri 24. 25 παρακρουομένων Alex. 31 διὰ τῆς libri 33 οὐ om. D

καὶ τὴν ἐνέργειαν, διὰ μὲν τῆς ἀμβροσίας ἐδήλουν τὴν τελειότητα αὐτοῦ τὴν περὶ ἑαυτὸν καὶ τὴν οὐσίαν αὐτοῦ θεωρουμένην, ἥτις τῷ ὄντι ἐστὶ f. 135v τελειοτάτη, ἐπεὶ καὶ ἡ τοιαύτη τροφὴ στερεὰ ὑπάρχει (διὰ τοῦτο γὰρ καὶ λέγεται ἀμβροσία παρὰ τὸ ἐστερῆσθαι βροτοῦ καὶ φθορᾶς καὶ θνητῆς πάσης δυσχερείας)· διὰ δὲ τοῦ νέκταρος ἐδήλουν τὴν κατὰ τὴν πρόοδον τελειότητα, ἐπειδὴ τὸ νέκταρ ὡς ῥευστὸν ῥεῖ, τοιαύτη δὲ καὶ ἡ πρόοδος προερχομένη μέχρι καὶ τῆς ὕλης αὐτῆς. τούτου χάριν διὰ τοῦ νέκταρος τὴν κατὰ τὴν πρόοδον τοῦ θεοῦ ἐνέργειαν ἐδήλουν (διὰ τοῦ $\overline{\text{νη}}$ τοῦ στερητικοῦ καὶ τοῦ κτείνειν ἄνευ τοῦ κτείνειν), εἴ γε ζωοποιός ἐστιν ἡ τοῦ θεοῦ ἐνέργεια.

p. 1000a5 Οὐθενὸς δὲ ἐλάττων ἀπορία παραλέλειπται.

Φησὶν ⟨ὅτι⟩ οὐδενός ἐστιν ἐλάττων ἡ ἀπορία ἡ νῦν λεγομένη παραβαλλομένη πρὸς τὰς ἄλλας ἀπορίας, ἥτις ἀπορία παραλέλειπται καὶ τοῖς νῦν οὖσι καὶ τοῖς προτέροις, πότερον αἱ αὐταὶ ἀρχαὶ ὑπάρχουσι τῶν τε φθαρτῶν καὶ ἀφθάρτων, ἢ ἕτεραι μὲν ἀρχαί εἰσι τῶν φθαρτῶν ἕτεραι δὲ τῶν ἀφθάρτων. εἰ μὲν γὰρ αἱ αὐταὶ ἀρχαὶ ὑπάρχουσι, διὰ τί τὰ μὲν ἄφθαρτα παράγουσι, τὰ δὲ φθαρτά, καὶ διὰ ποίαν αἰτίαν ταῦθ' οὕτως ἔχει; οἱ μὲν οὖν περὶ Ἡσίοδον καὶ ἄλλοι θεολόγοι, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ἐφρόντισαν τοῦ πιθανοῦ τοῦ πρὸς αὐτούς, τουτέστι τὰ δόξαντα αὐτοῖς εἰρήκασι. περὶ δὲ τοῦ διδάξαι ἡμᾶς οὐδὲν ἐφρόντισαν· θεοὺς γὰρ ὑπετίθεντο εἶναι τὰς ἀρχὰς καὶ ἐκ θεῶν γεγονέναι, καὶ τὰ μὴ γευσάμενα τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας φασὶ θνητὰ γενέσθαι. διὰ τὸ μὴ προσεχῶς ἀπολαύειν τῆς τοῦ θεοῦ ἐλλάμψεως ἀλλὰ διὰ μέσων τῶν οὐρανίων. ταῦτα δὲ τὰ ὀνόματα ἴσως αὐτοῖς θεμένοις γνώριμα ὑπάρχουσιν, ἡμῖν δὲ ἄγνωστα. καὶ περὶ αὐτῆς δὲ τῆς προφορᾶς τῶν ὀνομάτων ὑπὲρ ἡμᾶς εἰρήκασιν· εἰ μὲν γὰρ ἡδύτητα αὐτοῖς προσάπτει ἡ ἀμβροσία καὶ τὸ νέκταρ καὶ ἡδονήν, οὔκ εἰσιν αἴτια τοῦ εἶναι· οὐδὲ γὰρ ἡ ἡδονὴ αἰτία τοῦ εἶναι τοῖς ἐνταῦθα, ἀλλὰ καὶ πολλάκις βλάπτει· εἰ δὲ τοῦ ἁπλῶς εἶναι αὐτοῖς αἰτία f. 136r ἐστὶν ἡ ἀμβροσία καὶ τὸ νέκταρ, τουτέστιν ἡ τροφή, πῶς δυνατὸν αὐτοὺς εἶναι ἀιδίους τοὺς δεομένους τροφῆς πρὸς τὸ σώζεσθαι; εἰ γὰρ ἐλλείψοιεν τροφαί, ἀπόλλυνται, φησίν. οὐ δεῖ οὖν τὰ μυθικῶς λεγόμενα μετὰ σπουδῆς ἐξετάζειν, τουτέστι τὰ παρ' ἐκείνων μυθάρια, δεῖ δὲ ἐκείνους πολυπραγμονεῖν καὶ ἐρωτᾶν τοὺς σπουδάζοντας μετὰ ἀποδείξεως λέγειν ἅπερ λέγουσι, διὰ ποίαν αἰτίαν ἐκ τῶν αὐτῶν ὄντα ἀρχῶν πάντα τὰ μὲν τῶν γινομένων ἀίδια ὑπάρχουσι τὰ δὲ φθαρτά, ἐπειδὴ οὔτε αἰτίαν περὶ τούτου λέγουσιν οὔτε δὲ εὔλογον οὕτως ἔχειν· ὥστε οὐδὲ αἱ αὐταὶ ἀρχαὶ καὶ αἰτίαι πάντων εἶεν τῶν φθαρτῶν καὶ τῶν ἀφθάρτων, ἀλλὰ ἕτεραι μὲν τῶν φθαρτῶν, ἕτεραι δὲ τῶν ἀφθάρτων. εἰ οὖν, φησί, μήτε αἰτίαν τινὰ

---

9 κλίνειν utrobique D 12 ὅτι addidi 18 post εἰρήκαμεν lacuna V litterarum AD: addendum ex Aristotele μόνον 26 εἰ ex Aristotele scripsi: ἡ libri 36 αἱ om. D

τούτου λέγουσι μήτε ἄλλως εὔλογόν τι ἔχει ἡ δόξα, φανερὸν ὡς οὐκ ἂν εἶεν αἱ αὐταὶ πάντων ἀρχαί.

p. 1000a24 Καὶ γὰρ ὅνπερ οἰηθείη λέγειν ἄν τις μάλιστα ὁμολογουμένως.

Μετὰ τὸ ἐλέγξαι τὸν Ἡσίοδον μετέρχεται ἐπὶ τὸν Ἐμπεδοκλέα. ἀκόλουθα μὲν ἑαυτῷ λέγει καὶ αὐτός, οὐ συμφωνεῖ δὲ τῇ φύσει τῶν πραγμάτων. ἀκόλουθα μὲν γὰρ ἑαυτῷ λέγει, διότι ἐξ ἀφθάρτων ἀρχῶν τοῦ νείκους καὶ τῆς φιλίας φησὶ γεννᾶσθαι πάντα φθαρτά, καὶ οὐ τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα· οὐχ ἕπεται δὲ τῇ φύσει τῶν πραγμάτων, ἐπειδὴ ὑποτίθεται φθορᾶς μὲν αἴτιον τὸ νεῖκος, γενέσεως δὲ τὴν φιλίαν· ἑκάτερον δὲ αὐτῶν ἐστιν αἴτιον καὶ φθορᾶς καὶ γενέσεως, ὡς εἴρηται ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς· τὸ γὰρ νεῖκος φθείρει μὲν τὸν σφαῖρον, γεννᾷ δὲ τὸν αἰσθητὸν κόσμον, καὶ πάλιν ἡ φιλία φθείρει μὲν τὸν αἰσθητὸν κόσμον, γεννᾷ δὲ τὸν σφαῖρον. ἄλλως τε δή, φησίν, ἐπειδὴ πρὸ τῆς δυάδος εἶναι τὴν μονάδα * * * ὁ Ἐμπεδοκλῆς, τί ἐστιν αἴτιον τῆς ἁπλῶς κινήσεως; οὐ γὰρ δεῖ λέγειν ἁπλῶς ὅτι οὕτως πέφυκεν, ἐπεὶ οὕτω πάντα ῥᾷστα ἐπιλύεσθαι. λέγομεν οὖν ὃ πολλάκις εἴρηται, ὅτι πάντα ταῦτα f. 136v συμβολικῶς ἔλεγεν ὁ Ἐμπεδοκλῆς· οὔτε γὰρ τὸν σφαῖρον ὑπετίθετο φθείρεσθαι, ὥς φησιν, οὔτε δὲ τὸν αἰσθητὸν κόσμον, ἀλλὰ διὰ τούτων ἐδήλου τὴν ἄνοδον καὶ τὴν κάθοδον τῆς ψυχῆς. διὸ ἔλεγεν "ὡς καὶ ἐγὼ δεῦρ' εἰμὶ φυγὰς θεόθεν καὶ ἀλήτης νείκεϊ αἰθομένῳ πίσυνος". ἔστι γὰρ καὶ ἐν τῷ σφαίρῳ διάκρισις, εἴ γε πολλὰ νοητά, ἀλλὰ καλύπτεται ὑπὸ τῆς ἀφράστου ἑνώσεως. καὶ ἐν τῷ αἰσθητῷ δέ ἐστιν ἕνωσις, ἀλλὰ μᾶλλον ἐπικρατεῖ ἡ διάκρισις. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι ἐκεῖνος, ὃν μάλιστα ὑπολάβοι τις σύμφωνα ἑαυτῷ λέγειν, τουτέστιν ὁ Ἐμπεδοκλῆς, καὶ οὗτος τὸ αὐτὸ πέπονθε. τῆς φθορᾶς γὰρ αἴτιόν φησιν εἶναι τὸ νεῖκος, ὡς δοκεῖ τὰ παρ' αὐτοῦ λεγόμενα ἔχειν· οὐ μὴν ἀλλὰ φαίνεταί γε καὶ γενέσεως τὸ νεῖκος αὐτῷ ἐν πολλοῖς τὴν αἰτίαν ἔχειν. τοῦ δὲ εἶναι καὶ τῆς γενέσεως αἴτιον [οὐ] λέγει τὴν φιλίαν· καὶ αὐτὴ δὲ αἰτία ἐστὶ φθορᾶς. ὅτι γὰρ γενέσεως ὑποτίθεται αἴτιον τὸ νεῖκος, φανερὸν ἐντεῦθεν· πάντα γὰρ ἐκ τούτου ἀπογεννᾷ πλὴν τῆς φιλίας ἣν καλεῖ θεόν. φησὶν οὖν ὅτι πάντα καὶ τὰ γενόμενα καὶ τὰ μέλλοντα γίνεσθαι ἐξ αὐτοῦ ἐβλάστησαν. φησὶ γὰρ οὕτως ὅτι "δένδρεά τ' ἐβλάστησαν καὶ ἀνέρες ἠδὲ γυναῖκες, θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς, καί τε θεοὶ δολιχαίωνες". καὶ χωρὶς δὲ τῶν ἐπῶν φανερὸν ὡς ὅτι γενέσεώς ἐστιν αἴτιον τὸ νεῖκος· εἰ γὰρ μὴ ἦν διάκρισις τοῖς πράγμασιν, ἔμελλε πάντα ἓν εἶναι. διό φησιν,

11. 12 ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς] B 6 15 post μονάδα lacuna VII fere litterarum AD: addendum τίθεται 20 ὡς καὶ ἐγὼ κτλ. Empedocl. fragm. v. 10 Mullach 24 ὃν scripsi: ω A: ῳ D 29 οὐ delevi 33 ὅτι scripsi: τί libri δένδρεά τ' ἐβλάστησαν κτλ.] Empedocl. fragm. v. 129 sqq.

ὅταν γὰρ συνέλθῃ τὸ πᾶν, τότε "ἐξ ἔσχατον ἵστατο νεῖκος" κρατούσης τῆς φιλίας. ἄφθαρτα οὖν ὑποτίθεται τὰ στοιχεῖα, τὰ δὲ ἐξ αὐτῶν πάντα φθαρτά· καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν ἄφθαρτα λέγει. καὶ ταύτῃ μὲν δοκεῖ τοῦ φθείρεσθαι τὰ φθειρόμενα αἴτια νυνὶ ἀπολείπειν καὶ ὁμολογούμενα λέγειν ἑαυτῷ, ἄλλην μὲν γενέσεως ἄλλην δὲ φθορᾶς ἀποδιδοὺς αἰτίαν· καθὸ δὲ ἀμφότερα καὶ γεννῶσι καὶ φθείρουσιν, οὐ σύμφωνα λέγει. f. 137r

p. 1000b3 Διὸ καὶ συμβαίνει τὸν εὐδαιμονέστατον θεόν.

Ὅπερ εἶπεν ἐν τῇ Περὶ ψυχῆς, τοῦτο λέγει καὶ ἐνταῦθα, ὅτι συμβαίνει κατ' αὐτὸν τὸν εὐδαίμονα θεόν, τουτέστι τὴν φιλίαν, ἧττον εἶναι φρόνιμον τῶν ἄλλων· οὔτε γὰρ γνωρίζει πάντα τὰ στοιχεῖα, ἐπεὶ μήτε ἔχει τὸ νεῖκος ἐν ἑαυτῷ, ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῷ ὁμοίῳ· "γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖον". φαμὲν οὖν ὅτι ἐκεῖνος ὡς ἐξῃρημένα οὐ δεῖται ταῦτα ἔχειν, ἵνα οὕτως αὐτὰ γνῷ, ἀλλ' ὡς παρακτικά· οὕτως αὐτὰ γινώσκει, οὐχ ὡς ὅμοια.

p. 1000b9 Ἀλλ' ὅθεν γε ὁ λόγος, τοῦτό γε φανερόν.

Ὁ λόγος ἦν αὐτῷ, διὰ τί τῶν γινομένων τὰ μὲν φθαρτὰ ὑπάρχουσι, τὰ δὲ ἄφθαρτα, εἰ ὑπὸ ἀφθάρτου αἰτίας γίνονται· εἶτα ἐξετράπη ἐντεῦθεν ἐπὶ τὸν Ἐμπεδοκλέα. πάλιν οὖν ἐπὶ τὸ προκείμενον ἐπανατρέχει καί φησιν ἀλλ' ὅθεν γε ὁ λόγος, τοῦτο φανερόν, ὅτι συμβαίνει αὐτῷ τὸ νεῖκος ὥσπερ τῆς φθορᾶς, οὕτω καὶ τῆς γενέσεως αἴτιον, εἴ γε πάντα τὰ αἰσθητὰ ἀπογεννᾷ. ὁμοίως δὲ καὶ ἡ φιλία· συνάγουσα γὰρ εἰς τὸ ἓν πάντα φθείρει τὰ αἰσθητά. πρὸς τούτοις δὲ τῆς ἁπλῶς μεταβολῆς οὐ λέγει τί ἐστι τὸ αἴτιον ἀλλ' ὅτι οὕτως πέφυκεν, ὅπερ εὐχερές, φησίν, ἐπὶ πάντων λέγειν.

p. 1000b14 Ἀλλ' ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη.

Πάλιν ἔπη παρατίθεται Ἐμπεδοκλέους. ἰστέον οὖν ὅτι ἡ μονὰς αἰτία ἐστὶ τῆς ἑνώσεως καὶ συνεχείας τῶν πραγμάτων, ἡ δὲ δυὰς τῆς προόδου· τὸ οὖν ἁπλῶς αἴτιον τῆς ἑνώσεως καὶ τῆς προόδου τὸ ἔχον ἀμφότερα Πυθαγόρας καὶ Παρμενίδης καὶ Ἐμπεδοκλῆς ὡς Πυθαγόρειοι χρόνον ἐκάλουν. ἐπειδὴ ὥσπερ ὁ χρόνος μετρητικὸς καὶ περιοριστικὸς ὑπάρχει τῶν ὑπὸ τὸν χρόνον, οὕτως καὶ τὸ πρῶτον μετρητικὸν καὶ περιοριστικὸν τῶν πάντων ὑπάρχει. ἔλεγε δὲ αὐτὸν καὶ ὅρκον ὡς περατοῦντα καὶ συνέχοντα πάντα. τοῦτο οὖν φησιν ὁ Ἐμπεδοκλῆς, ὅτι 'ἡνίκα τὸ νεῖκος ἐπεκράτησε καὶ ὥρμησεν εἰς τιμὰς προελθὸν ἐκ τοῦ χρόνου, ὃς σφιν ἀμοιβαῖος f. 137v πλατέος παρελήλατο ὅρκου'· καὶ πλατὺν αὐτὸν ἐκάλεσεν ὡς πάλιν χορη-

1 ἐξ ἔσχατον κτλ.] Empedocl. fragm. v. 162 3 καὶ ταύτῃ—αἰτίαν (5. 6) Alexandri sunt · 4 αἴτια] sic etiam Alex. cod. L: αἰτίαν Alex. vulg. 8 ἐν τῇ Περὶ ψυχῆς] A 5 p. 410b4 sqq. 11 γαίῃ κτλ.] Empedocl. fragm. v. 378 sqq. 24 Ἀλλ' ὅτε κτλ.] Empedocl. fragm. 177 sqq.

γοῦντα τὰ πάντα, ἀμοιβαῖον δέ φησιν οὐχ ὅτι ἐκ διαδοχῆς μετὰ τὴν φιλίαν τὸ νεῖκος, ἀλλ' ὥσπερ λέγομεν ἐν τῇ συνηθείᾳ ὅτι ἀμείψασθαι αὐτὸν βούλομαι, τουτέστιν εὐεργετῆσαι ὡς εὐεργετήσαντα, καὶ ἀμοιβαῖον λέγει τὴν ἐπιτηδειότητα, ἣν ἔχει ἡ δυὰς πρὸς τὸ δέξασθαι τὴν ἔλλαψιν τοῦ χρόνου, φημὶ δὴ τῆς ἑνάδος, καὶ παραπέμψαι τοῖς τῇδε. ταῦτα οὖν φησιν ὁ Ἐμπεδοκλῆς, ὡς δέον ἐξ ἀνάγκης μεταβάλλειν ἐκ τοῦ σφαίρου εἰς τὸν αἰσθητὸν κόσμον, αἰτίαν δὲ τῆς ἀνάγκης οὐδὲ μίαν δηλοῖ. ἀλλ' ὅμως κατὰ τοῦτο ἀκόλουθα ἑαυτῷ λέγει· οὐ γὰρ τὰ μὲν φθαρτὰ ποιεῖ τὰ δὲ ἄφθαρτα τῶν ὄντων, ἀλλὰ πάντα φθαρτὰ πλὴν τῶν στοιχείων. ἡ δὲ νῦν ἀπορία ἐστὶ διότι τὰ μὲν φθαρτὰ ὑπάρχουσι τῶν γινομένων, τὰ δὲ ἄφθαρτα, εἴπερ πάντα ἐκ τῶν αὐτῶν ὑπάρχουσιν.

p. 1000b21 Ὅτι μὲν οὖν οὐκ ἂν εἴησαν αἱ αὐταὶ ἀρχαί.

Συμπεραίνεται τὰ εἰρημένα λέγων οὕτως. ὅτι μὲν οὖν οὐχ ὑπάρχουσιν αἱ αὐταὶ ἀρχαὶ τῶν φθαρτῶν καὶ ἀφθάρτων, τοσαῦτα ἡμῖν εἰρήσθω. εἰ δὲ πάλιν ὑποθώμεθα ἑτέρας ἀρχάς, πάλιν ἀναφύεται ἀπορία. πότερον ἄφθαρτοι καὶ αὐταὶ ἔσονται ἢ φθαρταί. εἰ μὲν γὰρ φθαρταί, φανερὸν ὡς ἀναγκαῖον καὶ τὰς ἀρχὰς ἐξ ἄλλων εἶναι ἀρχῶν, ἐπειδὴ πάντα τὰ φθειρόμενα εἰς ἐκεῖνα φθείρονται ἐξ ὧν καὶ συνεστήκασιν, ὥσπερ τὰ ἐκ τῶν τεσσάρων στοιχείων συγκείμενα· ὥστε εἰ φθαρταὶ ὑπάρχουσιν, ἔσονται καὶ αὐτῶν ἀρχαί, ὥστε συμβαίνει τῶν ἀρχῶν ἑτέρας ἀρχὰς εἶναι προτέρας. τοῦτο δὲ ἀδύνατον ὑπάρχει, καὶ εἰ ὑποθώμεθα ἵστασθαι τὰς ἀρχὰς καὶ εἰ εἰς ἄπειρον βαδίζειν. τὸ μὲν γὰρ ἄπειρον κατ' ἐνέργειαν εἶναι οὐ δυνατόν· πάλιν δὲ ἀρχῆς ἀρχὴν εἶναι ἀδύνατον. εἰ ἄρα ἔστιν ἀρχή, ὥσπερ ἐπὶ τῆς ὕλης ἐλέγομεν, ἐπεὶ φθείρεται καὶ οὕτως ἔσται ἐφθαρμένη πρὸ τῆς φθορᾶς ἑαυτῆς. ὡς δέδεικται ἐν τῷ πρώτῳ λόγῳ τῆς Φυσικῆς ἀκροάσεως, ὅπερ f.138r ἐστὶν ἀδύνατον. ἄλλως τε δὴ τῶν ἀρχῶν φθαρτῶν οὐσῶν καὶ φθειρομένων πῶς ἔσονται τὰ φθαρτά; τί οὖν ἐστιν αἴτιον τοῦ ἀεὶ εἶναι τὰ φθαρτά; εἰ δὲ πάλιν ἀφθάρτους ὑποθώμεθα τὰς ἀρχάς, διὰ τί ἐκ μὲν τούτων ἀφθάρτων οὐσῶν φθαρτὰ ὑπάρχουσι τὰ γινόμενα ἐξ αὐτῶν, ἐκ δὲ τῶν ἀφθάρτων τῶν ἄλλων ἄφθαρτα; τοῦτο γὰρ οὐκ εὔλογον, μᾶλλον δὲ ἀδύνατον ἢ πολλοῦ λόγου δεῖται εἰς τὸ δεῖξαι τοῦτο. καλῶς εἶπεν ὅτι ὁ λόγος δεῖται ὡς εἰδὼς ὅτι ⟨οὐκ⟩ ἀδύνατόν ἐστι τούτου ἀποδοῦναι αἰτίαν, ἣν ἡμεῖς φθάσαντες ἀνωτέρω εἰρήκαμεν, ὅτι τὰ ὑπὸ ἀκινήτου οὐσίας γινόμενα καὶ ἀφθάρτου ἀΐδια, τὰ δὲ ὑπὸ κινουμένου καὶ ἀφθάρτου φθαρτά, ἐπειδὴ φθαρτὰς ἔχει τὰς ἐνεργείας. πρὸς τούτοις δέ φησιν ὅτι οὐδὲ ἐπεχείρησεν οὐδεὶς ἑτέρας λέγειν ἀρχάς, ἀλλὰ τὰς αὐτὰς πάντων εἶναι τῶν φθαρτῶν καὶ τῶν ἀφθάρτων· καὶ λοιπὸν τὸ πρῶτον ἀπορηθὲν ἀποτρώγουσιν, ὥσπερ οἱ μύες οἱ ἐσθίοντες ἄρτον καὶ φθείροντες δέει τοῦ ἁλῶναι πρὶν ἢ ὅλον καταφά-

6 δέον] δὲ ὂν libri 14 ἀρχαὶ om. D 21 ἀδύνατον scripsi: δυνατὸν libri 25 τῆς Φυσικῆς ἀκροάσεως] A 9 p. 192a32 sqq. 31 ὁ λόγος] immo πολλοῦ λόγου 32 οὐκ addidi 34 αἴτια D καὶ ἀφθάρτου scripsi coll. p. 194,29: καὶ φθαρτοῦ libri 38 φθείροντες scripsi: φθείρουσι libri δέει scripsi: δὲ εἰ libri

γωσιν. οὕτως οὖν καὶ οἱ πρὸ ἡμῶν ἀδιαρθρώτως, φησίν, εἰρήκασι περὶ αὐτῶν καὶ ἀτελῶς, ὥσπερ τοῦτο μικρόν τι λαμβάνοντες τὸ ἀδιαρθρώτως παραδοῦναι. ὑποθέμενοι οὖν τὸ πρῶτον ἀπορηθέν, πῶς ἐκ τῶν αὐτῶν ἀρχῶν τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα γίνεται, παραπέμπονται καὶ ἀφαι-
5 ροῦσι· τοῦτο γὰρ ἂν σημαίνοι τὸ ἀποτρώγουσιν, ὡς δῆλον καὶ ἐξ οὗ ἐπήνεγκεν, ὅ ἐστιν ὥσπερ τοῦτο μικρόν τι λαμβάνοντες· ὡς γὰρ μικρόν τι καὶ οὐκ ἔχον ἀπορίαν ὑποτιθέμενοι τὸ τὰς αὐτὰς ἀρχὰς πάντων εἶναι οὐδένα λόγον ἐποιοῦντο τῆς ἀπορίας. ἢ τὸ ἀποτρώγουσιν εἴρηκεν ἀντὶ τοῦ διά τινων πιθανῶν αὐτοῖς δοκούντων παραμυθεῖσθαι πειρῶνται,
10 ὡς εἶπε περὶ Ἡσιόδου καὶ ὧν φησι θεολόγων τῶν ἀρχαίων. ἔτι δὲ περὶ Ἐμπεδοκλέους, ὃς ἐκ τῶν αὐτῶν ποιῶν πάντα τὸ μέν τι αἴτιον γενέσεως ἐφίστη τὸ δὲ φθορᾶς, ὡς οὐ μέγα καὶ δύσλυτόν τι ὑποτιθέμενοι. κατὰ f.138v μέντοι αὐτὸν οὔτε αἱ αὐταὶ ἀρχαὶ τῶν ἀιδίων τε καὶ τῶν φθαρτῶν, ἔν τε τοῖς φθαρτοῖς οὔτε πᾶσαι αἱ ἀρχαὶ ἀίδιοι (τὸ γὰρ εἶδος, φησίν, οὐκ
15 ἀίδιον). ἥ τε ὕλη ἀίδιος μὲν ἀλλ' οὐκ ἀπαθής. ἀλλὰ παθητή τε καὶ ἀλλοιωτή. καλῶς δὲ εἴρηται ὅτι ἀδύνατον, φησί, τῶν ἀρχῶν ἀρχὰς εἶναι· ⟨οὐ γὰρ⟩ γίνονται ἐκ τῶν ἀρχῶν ἀρχαί, εἴτε ἵσταιντο ἐπί τινος εἴτε εἰς ἄπειρον προχωροῖεν. εἰ μὲν γὰρ ἵσταιντο, ἐκεῖναί τε εἶεν ἀρχαὶ τῶν ὑποτεθεισῶν ἀρχῶν, ἐν αἷς ἵστατο ἡ φθορά· εἰ δὲ εἰς ἄπειρον προίοιεν, ἀεὶ
20 τῆς φθειρομένης ἀρχῆς ἐκείνη εἰς ἣν φθείρεται ἔσται ἀρχή. οὐ δυνατὸν δὲ οὐδέποτε ἀρχὴν ἀρχῆς εἶναι. ὡς δέδεικται ἐν τῷ πρὸ τούτου βιβλίῳ, εἴ γε οὐκ ἄπειροι αἱ ἀρχαί. * * * φησὶν ὁ Ἀλέξανδρος ὅτι κατὰ Ἀριστοτέλην ὁ πρῶτος νοῦς ἑαυτὸν μόνον νοεῖ καί φησιν ὅτι ἄμεινον ἔνια μὴ νοεῖν, οἷον τὰ κακά.

25 p. 1001a4 Πάντων δὲ καὶ θεωρῆσαι χαλεπώτατον καὶ πρὸς τὸ γνῶναι τἀληθὲς ἀναγκαιότατον.

Ἐντεῦθεν ζητεῖ περὶ τοῦ ὄντος καὶ τοῦ ἑνός, εἴτε αὐτὰ καθ' αὑτὰ ὑφίστανται (εἴτε γὰρ αὐτό ἐστιν ὂν καὶ αὐτοέν) εἴτε ἐν ὑποκειμένοις τὸ εἶναι ἔχουσιν. ἐπιχειρεῖ δὲ ὥσπερ καὶ ἐν τοῖς ἄλλοις κατ' ἀμφότερα, καί
30 φησιν ὅτι ἡ περὶ τούτου ζήτησις χαλεπωτάτη ἐστί, καὶ πρὸς τὸ γνῶναι τὴν περὶ τούτου ἀλήθειαν ἀναγκαιότατόν ἐστι πρᾶγμα. ζητεῖ οὖν, ὡς εἴρηται, εἴ γε αὐτὸ καθ' αὑτό ἐστι τὸ ἓν καὶ τὸ ὂν αὐτοὲν καὶ αὐτοόν, εἴτε ἐν ἄλλῳ ὑποκειμένῳ ἔχουσι τὸ εἶναι [οὐχ] ἕτερα ὄντα. ὥσπερ ἐπὶ τοῦ Σωκράτους φαμέν· ὁ γὰρ Σωκράτης ἕτερόν τι ὄν ἐστι ζῷον· οὐ γὰρ ᾗ Σω-
35 κράτης ὑπάρχει ζῷον, ἐπεὶ οὕτως ἔδει τὸν Σωκράτη μόνον εἶναι ζῷον.

3 ὑποθέμενοι—ἀλλοιωτή (16) Alexandri sunt 5 σημαίνει D 16 ἀδύνατον—ἀρχή (20) Alexandri sunt 17 οὐ γὰρ ex Alexandro addidi ἐκ Alex.: δὲ libri τινος Alex.: τινὰς libri 18. 19 ὑποτεθεισῶν Alex.: ἀποτεθεισῶν libri 19 προίοιεν ἀεὶ Alex.: προϊέναι ἢ libri 20 ἐκείνη scripsi: ἐκείνης libri 22 lacunam indicavi; quae sequuntur ad Metaph. p. 1000b3—9 pertinent, cf. Alex. p. 176,4 Bz. 33 οὐχ delevi coll. v. 34

οὐχ ᾗ οὖν Σωκράτης ἐστὶ ζῷον, ἀλλ' ἕτερόν τι ὂν ὑπάρχει ζῷον· κατη-
γορεῖται γὰρ αὐτοῦ τὸ ζῷον, τὸ δὲ κατηγορούμενον οὐκ ἔστι ταὐτὸν ᾧ
κατηγορεῖται. οὐκ ἔστιν οὖν ὁ Σωκράτης αὐτοζῷον ἤγουν αὐτοάνθρωπος,
ἀλλ' ἕτερόν τί ἐστιν. οἱ τοίνυν Πυθαγόρειοι καὶ ὁ Πλάτων αὐτὸ ἔλεγον
5 εἶναι τὸ ὂν καὶ αὐτοὲν καὶ οὐχ ἕτερόν τι ὄν· οὔτε γὰρ ἐν ὑποκειμένῳ
ἔλεγον εἶναι τὸ ὂν ἤγουν τὸ ἕν, ἀλλὰ αὐτὰ καθ' αὑτὰ ὄντα ἐν οἰκείᾳ f. 139r
περιγραφῇ καὶ ὅρῳ. καὶ τὸ μὲν ἓν κατηγόρουν τοῦ ὄντος, τοῦ δὲ ἑνὸς
οὐ κατηγόρουν τὸ ὄν· τὴν γὰρ ἑνάδα ἔλεγον εἶναι καὶ ὑπὲρ αὐτὸ τὸ ὄν,
εἴ γε τὸ ὂν εἶδός ἐστιν, ὑπὲρ πᾶν δὲ εἶδος ἔλεγον εἶναι τὴν ἑνάδα ὡς καὶ
10 πάντων προακτικὴν καὶ αὐτῶν τῶν εἰδῶν, καὶ πάντα καταλάμπουσαν.
ἐφεξῆς τοίνυν ὑπερηγορεῖ τοῖς Πυθαγορείοις καὶ τῷ Πλάτωνι, ταὐτὸ δὲ
εἰπεῖν τῷ ἀληθεῖ λόγῳ. εἰ γὰρ ὑποθώμεθα μὴ εἶναι αὐτὸ καθ' αὑτὸ τὸ
ὂν καὶ τὸ ἕν, ἀλλ' ἐν ὑποκειμένῳ ἑτέρῳ ἔχειν τὸ εἶναι, ἐπειδὴ τὰ καθόλου
αὐτὰ καθ' αὑτὰ ὑπάρχουσι, πάντων δὲ καθολικώτερα τὸ ὂν καὶ τὸ ἕν, εἴ
15 γε πάντα τὰ ἄλλα τὸ εἶναι ἐξ αὐτῶν ἔχουσι, συμβαίνει οὕτως ἀναιρεῖσθαι
πάντα τὰ καθόλου· τῶν δὲ καθόλου ἀναιρουμένων ἀναιροῦνται καὶ τὰ καθ'
ἕκαστα, καὶ οὕτως οὐδὲν ἔσται πάντων ἀναιρουμένων, ὅπερ οὐδὲ θέμις
λέγειν. πρὸς ἐπὶ τούτοις δὲ ἀναιρεῖται καὶ ὁ ἀριθμός. εἰ γὰρ ὁ ἀριθμὸς
ἐξ ἑνάδων σύγκειται (οὐδὲν γὰρ ἄλλο ἐστὶν ἀριθμὸς ἢ πλῆθος ἐξ ἑνάδων
20 συγκείμενον), φανερὸν ὡς ὅτι ἀναιρεθήσεται καὶ ὁ ἀριθμός. καὶ ταῦτα
μέν φησιν ὁ Ἀριστοτέλης ὑπερηγορῶν τῇ Πλατωνικῇ δόξῃ. ὁ δὲ τρόπος
ὁ ἐλεγκτικὸς ὁ περὶ τοῦ ἀριθμοῦ οὐκ ἔχει ὑγιῶς· οὔτε γὰρ ἡ ἑνὰς ἐκείνη
ἐν σχέσει θεωρεῖται, ἀλλὰ ἄσχετος ὑπάρχει προάγουσα τὸν νοητὸν ἀριθμόν.
οὐχ ὥσπερ γὰρ ἐνταῦθα ἐκ τῶν ἑνάδων σύγκειται τὸ πλῆθος τοῦ ἀριθμοῦ,
25 οὕτως καὶ ἐπὶ τῆς πρώτης ἑνάδος· ὡς γὰρ εἴρηται, ἄσχετός ἐστιν ἐκείνη
ἡ ἑνὰς καὶ προακτικὴ τῶν πάντων. οὐκ ἄρα δεῖ λέγειν ἐξ ἐκείνης συντί-
θεσθαι τὸν ἀριθμόν, ἀλλὰ μᾶλλον προάγεσθαι· ὥστε ὅσον ἐπὶ τούτοις δεῖ
εἶναι αὐτὸ τὸ ὂν καὶ τὸ ἓν κεχωρισμένα παντελῶς καὶ αὐτὰ καθ' αὑτὰ
ὑπάρχοντα. οἱ μέντοι γε περὶ Ἐμπεδοκλέα καὶ οἱ φυσικοὶ πάντες οἱ ἐκ
30 τοῦ Ἰωνίου διδασκαλείου ἑτέρᾳ ὑποκειμένῃ φύσει ἔλεγον εἶναι τὸ ὂν καὶ f. 139v
τὸ ἕν. τῷ γὰρ ὄντι εἰ ὑποθώμεθα αὐτὸ εἶναι τὸ ὂν καθ' αὑτὸ καὶ τὸ
ἕν, συμβήσεται ἀληθεύειν τὸν Παρμενίδειον λόγον τὸν λέγοντα τὸ παρὰ τὸ
⟨ὂν⟩ οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν· ὥστε ἀναιρεῖται τὸ πλῆθος
ἐκ τῶν ὄντων, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν. εἰ γὰρ τῷ ὄντι ὑποθώ-
35 μεθα, φησίν, αὐτὸ καθ' αὑτὸ εἶναι τὸ ὂν καὶ τὸ ἕν, φανερὸν ὡς ὅτι τὸ
ἐξ αὐτοῦ προαγόμενον ἓν ἔσται καὶ οὐδὲν διοίσει τοῦ ἐξ οὗ προήχθη· ὥστε
οὐδὲν ἔσται παρὰ τὸ ὄν, καὶ οὕτως ἀναιρεῖται τὸ πλῆθος ἐκ τῶν ὄντων.
καὶ οὕτως μὲν ἐπρέσβευον οἱ φυσικοί, οἱ μὲν πῦρ ὑποτιθέμενοι, οἱ δὲ
ἀέρα ἤ τι ἄλλο τοιοῦτο· ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς λέγων τὴν φιλίαν.
40 φαμὲν οὖν ὅτι ὁ Ἐμπεδοκλῆς ὡς Πυθαγόρειος συμβολικῶς ταῦτα ὑπετίθετο.
ἔλεγε γὰρ ἐκεῖνος ὅτι τὸ ὂν ἕν ἐστιν, ἔλεγε δὲ ἓν τὴν φιλίαν, ἥτις δεύ-

2 ᾧ] fort. τῷ οὗ 19 σύγκειται — ἑνάδων om. D 21 fort. τῆς Πλ. δόξης 33 ὂν addidi

τερα μέτρα ἔχει ἀπὸ τῆς ἑνάδος. καὶ διὰ μὲν τῆς φιλίας ἐδήλου τὴν μονάδα, ἥτις αἰτία ἐστὶ τῆς ἑνώσεως τοῖς οὖσιν· οὐδὲν γάρ ἐστιν ὃ οὐ μετέχει τῆς ἑνάδος. εἰ μὴ γὰρ τοῦτο ὑποθώμεθα, συμβήσεται πολλαπλασιασθῆναι τὸ ἄπειρον. τὸ γὰρ μέρος ἕν ἐστιν ἢ πολλά· εἰ μὲν οὖν ἕν, ἔχω τὸ ζητούμενον, εἰ δὲ πολλά, πάλιν καὶ περὶ ἐκείνου ὁ αὐτὸς λόγος, τουτέστι τῶν μερῶν ἐκείνου, καὶ τοῦτο εἰς ἄπειρον· ὥστε πολλαπλασιασθήσεται τὸ ἄπειρον. πᾶσα οὖν ἐστιν ἀνάγκη ἐν ἅπασι θεωρεῖσθαι τοῖς οὖσι τὴν μονάδα. διὰ μέντοι γε τοῦ νείκους τὴν δυάδα ἐδήλου, τουτέστι τὴν πρόοδον τῶν πραγμάτων· πρώτη γὰρ ἡ δυὰς ἔχει τὸ ποθέν ποι. πᾶσα ἄρα ἀνάγκη αὐτὸ τὸ ὂν καὶ τὸ ἓν κεχωρίσθαι καὶ μὴ ἐν ὑποκειμένῳ ἔχειν τὸ εἶναι· ἡ γὰρ ἑνὰς διὰ τὴν γόνιμον αὐτῆς δύναμιν μένουσα ὅπερ ἐστὶ καὶ μὴ ἐλαττουμένη πάντα παράγει. ὁ γὰρ Παρμενίδης ἔλεγε τὸ παρὰ τὸ ὂν οὐκ ὂν ὡς νοητόν· τῷ ὄντι γὰρ τὰ αἰσθητὰ ὡς νοητὰ οὐκ ὄντα ὑπάρχουσιν, ὡς καὶ ὁ Πλάτων φησὶ "τὶ τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, f. 140r καὶ τὶ τὸ γινόμενον, ὂν δὲ οὐδέποτε". ὅτι γὰρ οἴεται ὁ Παρμενίδης πλῆθος ἐν τοῖς οὖσι, φανερὸν ἐντεῦθεν. τί γάρ; φησὶν "οὐ γὰρ ἔην, οὐκ ἔσται ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον". εἰ οὖν πᾶν λέγει, δῆλον ὡς ὅτι οἶδε τό γε πλῆθος. καὶ πάλιν ἀλλαχοῦ "μεσσόθεν ἰσοπαλές"· εἴ γε μέσα ἔχει, φανερὸν ὅτι καὶ ἄκρα· ὥστε οἶδε τὸ πλῆθος. ἡ οὖν ἑνὰς γόνιμος οὖσα, ὡς εἰρήκαμεν, πάντα παράγει καὶ οὐ διὰ τοῦτο μειοῦταί τι αὐτῆς, ὥσπερ τὸ παράδειγμα, τουτέστιν ὁ Σωκράτης, οὐδὲν μειοῦται μυρίων εἰκόνων γινομένων ἐξ αὐτοῦ. προέρχεται οὖν ἐκ τῆς ἑνάδος ἐκείνης ὁ νοητὸς ἀριθμός, τουτέστιν ἡ μονὰς καὶ ἡ δυάς, εἶτα κατὰ τάξιν ἐκεῖθεν ἡ ἐνταῦθα μονάς, ἥτις ἐστὶν ἡ φύσις, καὶ ἡ δυάς, ἥτις ἐστὶν ἡ ὕλη, καὶ οὕτως γίνεται ἐντεῦθεν τὰ σύνθετα πράγματα· ἐν γὰρ τῷ σπέρματι ὑπάρχουσιν οἱ λόγοι οἱ δημιουργικοί, ἐν παντὶ μέρει τοῦ σπέρματος, καὶ οὕτως ἡ ὕλη δεχομένη διαιρεῖ αὐτούς. ὅτι γὰρ πρὸ πάντων ἐστὶν ἡ ἑνάς, δῆλον ἐντεῦθεν. ἡ γὰρ ζωὴ ὑπὲρ τὸν νοῦν ἐστι· πᾶν γὰρ τὸ μετέχον νοῦ καὶ ζωῆς μετέχει, τὸ δὲ ζωῆς μετέχον οὐ μετέχει νοῦ. πάντως πάλιν τὸ ὂν ὑπὲρ τὴν ζωήν ἐστι· τὸ γὰρ μετέχον ζωῆς καὶ τοῦ ὄντος μετέχει, τὸ δὲ τοῦ ὄντος μετέχον ζωῆς οὐ πάντως μετέχει. ἡ μέντοι γε ἑνὰς καὶ ὑπὲρ τὸ ὄν ἐστιν, εἴ γε ὑπὲρ ὕπαρξίν ἐστι.

p. 1001 a 4 Πάντων δὲ θεωρῆσαι χαλεπώτατον.

Ἡ ἀπορία ἣν χαλεπωτάτην [ὡς] φησὶν εἶναι καὶ πρὸς τὴν τῆς ἀληθείας γνῶσιν ἀναγκαιοτάτην, τοιαύτη ἐστίν. ἆρά γε, φησί, τὸ ὂν καὶ τὸ ἓν οὐσίαι τῶν ὄντων ὑπάρχουσι, τουτέστιν ἀρχαὶ τῶν ὄντων, αὐτὸ τοῦτο

---

8 κείνους D 10 ἔχει D 11 γόνιμον scripsi coll. v. 19 et 206,19: μόνιμον libri 14 ὁ Πλάτων φησὶ] Tim. p. 27 D 16 οὐ γὰρ ἔην κτλ.] Parmen. fragm. v. 61 Mullach 18 μεσσόθεν ἰσοπαλές Parmen. fragm. v. 104: ἰσοπαγές libri 21. 22 γενομένων D 26 μέρει] μερου (sic) libri 34 ἡ ἀπορία—οὐσία (p. 203,17) pleraque Alexandri sunt ὡς delevi 36 αὐτὸ Alex.: αὐτοῖς libri

ἓν καὶ [τὸ] ὂν κεχωρισμένα καὶ αὐτὰ καθ' αὑτὰ ὑπάρχοντα καὶ μὴ δεόμενα ἑτέρου πρὸς τὸ εἶναι, τουτέστιν οὐκ ἄλλῳ τινὶ ὄντι ὑπάρχουσαι καὶ ταύτην τὴν φύσιν δηλοῦσαι καὶ ἐν ἐκείνοις ὧν κατηγοροῦνται, ἢ ἔστιν ἄλλη τις φύσις ὑποκειμένη τούτοις, ἥτις ἐστὶν ἀρχὴ καὶ οὐσία τῶν ὄντων, ἣν δεῖ
5 ζητεῖν τίς ἐστι, πότερον πῦρ ἢ ἀὴρ ἢ ἄλλο τι ἢ καὶ πλείω. ὅτι δὲ f. 140v ἀναγκαία ἐστὶν ἡ ζήτησις, δῆλον καὶ ἐκ τοῦ πολλοὺς διαφωνῆσαι περὶ αὐτῆς, καὶ τοὺς μὲν ἐκείνως τοὺς δὲ τοιῶσδε ἀποφήνασθαι, καὶ ἐξ ὧν δὲ ἀπορήσει προϊών, καὶ ὅτι ἐν τῇ περὶ τῆς ἀληθείας θεωρίᾳ ἡ περὶ τοῦ ὄντος ζήτησις κυριωτάτη, καὶ ὅτι ἐκ τούτου ἤρτηται τὸ τοὺς ἀριθμοὺς
10 δύνασθαι τῶν ὄντων ἀρχὰς καὶ στοιχεῖα λέγεσθαι. ἀναγκαιοτάτη οὖν πρὸς τὴν τῆς ἀληθείας γνῶσιν ἡ περὶ τούτων ζήτησις, ἀλλὰ καὶ χαλεπωτάτη ἡ περὶ αὐτῶν διάκρισις· ἡ γὰρ τῶν νοητῶν καὶ τῶν πρώτων αἰτίων τε καὶ ὄντων γνῶσις χαλεπωτάτη. ἐξηγήσατο δὲ αὐτὸς τὸ πότερόν ποτε τὸ ὂν καὶ τὸ ἓν οὐσία τῶν ὄντων εἰσί, διὰ τοῦ καὶ ἑκάτερον αὐτῶν οὐχ
15 ἕτερόν τι ὂν τὸ μὲν ὂν [καὶ τὸ ἓν τῶν ὄντων] ἐστὶ τὸ δὲ ἕν. ἴσον γὰρ τὸ εἰρημένον τῷ ἐπεὶ τὸ ὂν καὶ τὸ ἓν τῶν ὄντων ἐστί, πότερον ὡς οὐσίαι ὄντα ἐστὶν ἢ ὡς συμβεβηκότα τῇ οὐσίᾳ. ὁ γὰρ Σωκράτης ἕτερόν τι ὄν ἐστι ζῷον· οὔτε γάρ ἐστιν αὐτοζῷον ὄν, ἐπεί, εἰ καθὸ Σωκράτης ἦν ζῷον, ἔδει αὐτὸν μόνον εἶναι ζῷον. ταῦτα δὲ αὐτοόν ἐστι καὶ αὐτοὲν καὶ
20 οὐχ ἕτερα ὄντα, καθάπερ καὶ ἐν τῇ θεωρίᾳ ἐδείξαμεν. ὥσπερ οὖν καὶ περὶ τοῦ ἀπείρου διαφερόντως ἔδειξεν ἐν τῷ πρώτῳ τῆς Φυσικῆς ἀκροάσεως, οὕτως καὶ ἐνταῦθα· οἱ μὲν γὰρ αὐτῶν φύσιν τινὰ τοῦ ἀπείρου ἐποίουν. τουτέστιν οἱ Πυθαγόρειοι τὸν ἄρτιον ἀριθμόν, οἱ δὲ συμβεβηκέναι τινὶ τὸ ἄπειρον ἔλεγον. τὸ δὲ ὡς οὔσης τῆς οὐσίας ταὐτοῦ ἑνὶ εἶναι ⟨καὶ⟩
25 ὄντι, ἴσον ἂν εἴη τῷ ὡς τῆς ταὐτῆς οὔσης οὐσίας τοῦ ἑνός τε καὶ τοῦ ὄντος καὶ ταὐτοῦ ὄντος ἑνί τε καὶ ὄντι εἶναι.

p. 1001a5 Πότερόν ποτε τὸ ὂν.

Ἔδει ἡμᾶς ζητῆσαι πότερον τὸ ὂν καὶ τὸ ἓν οὐσίαι τῶν ὄντων καὶ ἀρχαὶ ὑπάρχουσιν αὐτοὸν ὄντα καὶ αὐτοέν, καὶ οὐχ ἕτερόν τι ὂν τὸ μέν
30 ἐστιν ὄν, τὸ δὲ ἕν, καθάπερ ἐπὶ τοῦ Σωκράτους εἰρήκαμεν, ὅτι οὐχ ᾗ Σωκράτης ἐστὶ ζῷον, ἀλλὰ καθ' ἕτερόν τι, καθὸ οὐσία ἔμψυχος αἰσθητική. οὕτως ἔδει ζητεῖν καὶ ἐπὶ τοῦ ὄντος καὶ τοῦ ἑνὸς † ὅτι ἕτερα f. 141r ὄντα οὕτως εἰσὶν ὂν καὶ ἕν, ἤγουν αὐτοόν ἐστι καὶ αὐτοέν, ἢ πάλιν δεῖ ἡμᾶς ζητεῖν τί ποτέ ἐστι τὸ ὂν καὶ τὸ ἓν ὡς ὑποκειμένης ἄλλης φύσεως,

---

1 τὸ delevi 5 τί ἐστι Alex. 7 δὲ (post ὧν) Alex.: δὶς libri 13 et 27 ποτε] πότε libri 15 τι ex Aristotele scripsi: τὸ libri καὶ — ὄντων delevi 17 οὐσίαι Alex.: οὐσία libri 21 περὶ τοῦ ἀπείρου ἔδειξε διαφερομένους τοὺς εἰρηκότας Alex. 21. 22 ἐν τῷ πρώτῳ τῆς Φυσικῆς ἀκροάσεως] immo Γ 4; idem vitium habent Alexandri codices 24 ταὐτοῦ] τοῦτο αὐτὸ p. 204,6, sed cf. quae proxime sequuntur 29 ὄντα om. D μέν scripsi: ἕν libri 32 ὅτι ἕτερα] legendum, ut videtur, πότερον οὐχ ἕτερα 34 ὑποκειμένης ex Aristotele scripsi: ὑποκείμενα libri

τουτέστιν ὡς θεωρουμένων αὐτῶν ἐν ἄλλοις ὑποκειμένοις καὶ ἐν ἄλλῳ ὄντι ἐχόντων τὸ εἶναι. οἱ μὲν γὰρ ὑπολαμβάνουσιν αὐτὰ καθ' αὑτὰ ὑφίστασθαι οἱ δὲ ἐν ἄλλοις ἔχειν τὸ εἶναι. Πλάτων μὲν οὖν καὶ οἱ Πυθαγόρειοι οὐχ ἕτερόν τί φασι τὸ ὂν οὐδὲ τὸ ἕν, ἀλλὰ τοῦτο αὐτῶν τὴν φύσιν εἶναι, τὸ μὴ δεῖσθαι ἑτέρου πρὸς ὕπαρξιν, ἀλλ' αὐτὰ καθ' αὑτὰ ὑφίστασθαι, ὡς οὔσης τῆς οὐσίας τοῦτο αὐτὸ ἑνὶ εἶναι καὶ ὄντι, τουτέστιν αὐτοὸν καὶ αὐτοέν, καὶ οὐχ ἕτερα ὄντα οὕτως εἶναι ὂν καὶ ἕν, ἀλλ' αὐτοὲν καὶ αὐτοὸν ἐν ἰδίᾳ ὑποστάσει καὶ μὴ δεῖσθαι ἄλλου, τὰ δὲ ἄλλα πάντα ἐξ αὐτῶν παράγεσθαι. οἱ δὲ φυσιολόγοι οἷον ὁ Ἐμπεδοκλῆς ὡς εἰς γνωριμώτερον ἀνάγων τὸν λόγον τὴν φιλίαν ὑποτιθεὶς τὸ ὂν ταύτης κατηγόρει τὸ ἕν, ὡς τῆς φιλίας αἰτίας οὔσης πᾶσιν ἑνώσεως. τὴν δὲ δόξαν τοῦ ἀνδρὸς ἀνεπτύξαμεν ἐν τῇ θεωρίᾳ. αἰτία οὖν κατ' αὐτὸν πᾶσιν ἡ φιλία συνάγουσα καὶ συγκρίνουσα αὐτὰ ἀλλήλοις. ἄλλοι δὲ τῶν φυσικῶν πῦρ ὑπέβαλλον τῷ ἑνὶ καὶ τῷ ὄντι ὡς Ἡράκλειτος, οἱ δὲ ἀέρα ὡς Ἀναξιμένης, οἱ δὲ ἄλλο τι· ὁ γὰρ ἕκαστος αὐτῶν ἀρχὴν τῶν ὄντων καὶ αἰτίαν ὑπετίθετο, ταύτης καὶ τὸ ἓν καὶ τὸ ὂν κατηγόρει. ἀλλὰ καὶ καθ' οὓς τὰ στοιχεῖα πλείω τῶν ὄντων ἦν, καὶ κατὰ τούτους ἕκαστον ἕν τε ἦν καὶ ὄν.

p. 1001ª19 Συμβαίνει δὲ εἰ μέν τις μὴ θήσεται εἶναί τινα οὐσίαν.

Ἐντεῦθεν ὑπερηγορεῖ τῆς Πλάτωνος δόξης δεικνὺς ὅτι πάντῃ πάντως δεῖ εἶναι αὐτοὲν καὶ αὐτοὸν αὐτὰ καθ' αὑτὰ ὑπάρχοντα καὶ μὴ δεόμενα ἑτέρου πρὸς ὕπαρξιν. εἰ τοίνυν, φησί, μὴ λέγοι τις τὸ ὂν καὶ τὸ ἓν οὐσίας εἶναι καὶ αὐτὰς καθ' αὑτὰς ὑπάρχειν καὶ μὴ δεῖσθαι ἑτέρου πρὸς ὕπαρξιν, συμβήσεται μηδὲ ἄλλο τι τῶν κοινῶν καὶ καθόλου οὐσίαν λέγειν. μάλιστα γὰρ πάντων καθόλου τε καὶ κατὰ πάντων κατηγορεῖται τὸ ὂν καὶ τὸ ἕν· ἄνθρωπος γὰρ κατὰ ἀνθρώπου μόνον, ὁμοίως δὲ καὶ ζῷον, τὸ δὲ ὂν καὶ τὸ ἓν κατὰ πάντων· πάντα γὰρ μετέχει τοῦ ὄντος καὶ τοῦ ἑνός, ὡς ἐν τῇ θεωρίᾳ ἐδείξαμεν. εἰ τοίνυν τὰ μάλιστα καθόλου μὴ ὑπάρχουσι, πολλῷ μᾶλλον οὐδὲ τὰ ἄλλα, ὥστε οὐδὲ τὰ καθ' ἕκαστα· καὶ οὕτως συμβήσεται πάντα ἀναιρεῖσθαι. f. 141v

p. 1001ª24 Ἔτι δὲ μὴ ὄντος τοῦ ἑνὸς οὐσίας.

Φησὶν ὅτι εἰ μὴ ὑποθώμεθα τὸ ἓν οὐσίαν εἶναι καὶ ἀρχὴν αὐτὴν καθ' αὑτὴν οὖσαν, οὐδὲ ἀριθμὸς ἔσται αὐτὸς καθ' αὑτὸν ὡς κεχωρισμένος καὶ καθ' αὑτὸ ὑπάρχων, ὡς ἐδόκει τοῖς Πυθαγορείοις τε καὶ Πλάτωνι, εἰ μὴ εἴη τὸ ἓν οὐσία τις. καὶ λέγει τὴν αἰτίαν· ὁ γὰρ ἀριθμός, φησί, μονάδων ἐστὶ σύνθεσις, ἡ δὲ μονὰς ταὐτὸν καὶ τὸ ἕν· ὥστε εἰ μὴ τὸ ἓν

---

1 θεωρουμένων scripsi: θεωρούμενα libri 2 ἐχόντων scripsi: ἔχουσι libri 7 εἶναι scripsi: εἰσὶν libri 9 οἱ δὲ—καὶ ὄν (17) pleraque Alexandri sunt 14 ὁ γὰρ Alex.: ὧν libri 33 ὡς ἐδόκει—συμβεβηκός (p. 205,3) Alexandri sunt δοκεῖ Alex.

οὐσία, οὐδὲ αἱ μονάδες· εἰ μὴ αἱ μονάδες, οὐδὲ ὁ ἀριθμός. συμβεβηκὸς ἄρα ὁ ἀριθμὸς ἔσται ἀλλ' οὐκ οὐσία, εἴ γε καὶ τὸ ἓν μὴ οὐσία τις ἀλλὰ ἄλλῳ τινὶ συμβεβηκός. τὸ δὲ ἡ δὲ μονὰς ὅπερ ἓν τί ἐστιν ἀντὶ τοῦ κυρίως ἓν τί ἐστιν. εἰ τοίνυν ἐστί τι αὐτὸ ἓν καὶ ⟨ὄν⟩, ἀνάγκη πᾶσα οὐσίαν αὐτῶν εἶναι τὸ ὂν καὶ τὸ ἕν· οὐ γὰρ ἕτερόν τι καθόλου κατηγορεῖται τοῦ ἑνὸς καὶ τοῦ ὄντος, ὥσπερ τοῦ Σωκράτους τὸ ζῷον, ἀλλὰ ταῦτα αὐτά. ταὐτόν γάρ ἐστιν ὄντι εἶναι καὶ οὐσίᾳ εἶναι, ὁμοίως δὲ καὶ ἑνὶ εἶναι καὶ οὐσίᾳ εἶναι· οὐδέτερον γὰρ ⟨ἕτερόν⟩ τι ὂν ἕν ἐστιν ἢ ὄν, ἀλλὰ τὴν ὑπόστασιν ἔχει ἐν τῷ ὄντι καὶ ἐν τῷ ἑνί· ὂν ⟨γὰρ⟩ ὑπάρχει καὶ ἕν· ὥστε αὐτὰ καθ' αὐτὰ ὑπάρχουσιν.

p. 1001ᵃ29 Ἀλλὰ μὴν εἴ γε ἐστὶ τὸ αὐτοὸν καὶ αὐτοέν, πολλὴ ἀπορία.

Δείξας διὰ τῶν προλαβόντων ὅτι τὸ ὂν καὶ τὸ ἓν αὐτοὸν ὑπάρχει καὶ αὐτοὲν καὶ οὐ θεωροῦνται ἐν ἄλλῳ ὄντι, ἐντεῦθεν εἰς τὸ ἐναντίον ἐπιχειρεῖ δεικνὺς ὅτι ἐν ἑτέρῳ δεῖ ἔχειν αὐτὰ τὸ εἶναι. τί γάρ; φησὶν ὅτι f. 142r εἰ ὑποθώμεθα αὐτοὸν εἶναι καὶ αὐτοέν, πάλιν μεγίστη ἡμῖν ἀπορία ἀναφύεται, λέγω δὴ πῶς ἔσται πλείω ἑνὸς τὰ ὄντα. τὸ γὰρ ἕτερον τοῦ ὄντος οὐκ ἔστι· τὸ μὲν γὰρ παρὰ τὸ ὂν οὐκ ὄν, ὡς Παρμενίδης ἔλεγε, τοῦτο δὲ τὸ ὂν ὑπῆρχε τὸ ἕν· ὥστε ὅπερ ἂν παρὰ τὸ ἓν ὑπῆρχε, τοῦτο οὐκ ἔστι. τὸ γὰρ αὐτὸ γίνεται καὶ παρὰ τὸ ὄν, εἴπερ καὶ παρὰ τὸ ἕν, τοῦτο δὲ ὡς τοῦ αὐτοῦ ὄντος καὶ τοῦ ἑνὸς καὶ τοῦ ὄντος. ὥστε οὐκ ἔσται πολλά· τὰ γὰρ πολλὰ παρὰ τὸ ἕν, τὰ δὲ παρὰ ⟨τὸ⟩ ἓν παρὰ τὸ ὂν ἦν, τὰ δὲ παρὰ τὸ ὂν οὐκ ἔστι. τοῦτο γὰρ συμβαίνει, εἰ τὸ ὂν καὶ τὸ ἓν οὐσίαι εἰσὶ καὶ μὴ ὁμωνύμως λέγεται. ἔσται δή, καθάπερ Παρμενίδης ἔλεγεν, ἓν ἅπαντα τὰ ὄντα, καὶ τοῦτο μόνον ἔσται τὸ ὄν.

p. 1001ᵇ1 Ἀμφοτέρως δὲ δύσκολον· ἄν τε γὰρ μὴ ᾖ τὸ ἓν οὐσία.

Φησὶν ὅτι ἀμφότεροι οἱ λόγοι δυσχερεῖς ὑπάρχουσι· κἂν γὰρ ὑποθώμεθα τὸ ἓν καὶ τὸ ὂν οὐσίαν εἶναι αὐτὴν καθ' αὑτὴν καὶ αὐτοέν, κἄν τε δὲ μὴ ὑποθώμεθα αὐτὴν καθ' αὑτὴν ἀλλὰ συμβαίνειν ἅτε δὴ ἐν ἄλλῳ ὄντι ἔχουσαν τὸ εἶναι, ἀδύνατον τὸν ἀριθμὸν εἶναι οὐσίαν. ἐὰν μὲν οὖν μὴ ὑπάρχῃ τὸ ἓν οὐσία καὶ αὐτοέν, δῆλον ὡς ὅτι οὐδὲ ὁ ἀριθμὸς ἔσται οὐσία· ἐκ μονάδων γὰρ σύγκειται ὁ ἀριθμός, ὡς ἐλέγομεν· ἐὰν δὲ ὑπάρχῃ τὸ ἓν οὐσία καὶ αὐτοέν, ἡ αὐτὴ πάλιν ἀπορία ἀναφύεται καὶ περὶ τοῦ ὄντος, τουτέστι τὸ αὐτὸ ἀπορηθήσεται ἐπὶ τοῦ ἑνός. ὅ καὶ περὶ τοῦ ὄντος·

---

4 ὄν addidi 7 ὄντι scripsi: ὄν καὶ τὶ libri 8 ἕτερον addidi 9 γὰρ addidi 15 τί γὰρ — εἶναι (16) om. D 17 πλείω ex Aristotele scripsi: πάλιν libri 18 τὸ μὲν γὰρ — τὸ ὄν (25) Alexandri sunt 22 τὸ ex Alexandro addidi 23 οὐσίαι εἰσὶ Alex.: οὐσία τι ἐστὶ libri 25 τοῦτο τὸ ἓν Alex. 29 καθ' αὑτὴν om. A 31 τὸ αὐτὸ - ἀριθμὸς (p. 206,7) Alexandri sunt

ὡς γὰρ παρὰ τὸ ὂν οὐκ ὄν, οὕτως καὶ τὸ παρὰ τὸ ἓν οὐχ ἕν, οὗτινος δηλωτικόν ἐστι τὸ ἐκ τίνος γὰρ παρὰ τὸ ἓν ἔσται αὐτὸ ἄλλο ἕν; ἀνάγκη γὰρ μὴ εἶναι παρὰ τὸ ἓν ἄλλο ἐξ οὗ ἔσται τὸ ἄλλο ἕν. ὡς γὰρ οὔσης οὐσίας τοῦ ὄντος οὐδεμία ἄλλη οὐσία ἐγίνετο, τῷ τὸ παρὰ τὴν οὐσίαν μὴ οὐσίαν εἶναι, οὕτως εἰ καὶ ἔστιν ἓν τὸ ὄν, τὸ παρ' ἐκείνων πᾶν οὔτε ὂν οὔτε ἓν ἔσται. εἰ δὲ οὕτως, οὐδὲ πολλά· τῶν γὰρ πολλῶν ἕκαστον ἕν ἐστιν· ἐξ ἑνάδων γὰρ τὰ πολλὰ καὶ ὁ ἀριθμὸς ἀεί. εἰ γάρ ἐστιν f. 142v
αὐτοέν, οὐκ ἔσται ἀριθμός· δεῖ γὰρ καὶ ἄλλο ἓν προάγεσθαι, εἰ μέλλοι ἀριθμὸς ἔσεσθαι· τοῦτο δὲ τὸ γινόμενον ἓν ἀνάγκη μὴ ὂν ἓν γίνεσθαι ἕν· ἐκ μὴ ἑνὸς οὖν ἔσται. τί οὖν ἔσται τοῦτο τὸ μὴ ἕν; εἰ γὰρ πάντα τὰ ὄντα ἢ ἓν ἢ πολλά, τὰ δὲ πολλὰ ἐξ ἑνάδων ἐστίν, ἐξ ὧν οὐ γίνεται ἕν, οὐδὲν ἂν εἴη, ἐξ οὗ τὸ ἓν γίνεται. τὸ δὲ ἀληθὲς ἐν τῇ θεωρίᾳ εἴρηται. πῶς οὖν δυνατὸν παρὰ τὸ ἓν ἄλλο εἶναι ἕν; τὸ γὰρ παρὰ τὸ ἓν οὐδέν ἐστιν, εἴ γε τὸ ἓν ὄν ἐστι, τὸ δὲ παρὰ τὸ ὂν οὐκ ὄν· ἅπαντα δὲ τὰ ὄντα ἢ ἓν ἢ πολλὰ ὑπάρχουσιν, ὧν ἓν ἕκαστόν ἐστι· καὶ τὸ πλῆθος γὰρ ἐκ μονάδων σύγκειται. εἰ τοίνυν μηδέν ἐστι τὸ παρὰ τὸ ἕν, φανερὸν ὅτι οὐδὲ πλῆθος ἔσται οὐδὲ ἀριθμός· ὥστε ἀναιρεῖται ὁ ἀριθμός, κἂν ὑποθώμεθα εἶναι αὐτὸ ἓν καὶ ὄν. εἴρηται δὲ ἐν τῇ θεωρίᾳ ὅτι οὐκ ἀναιρεῖται. διὰ γὰρ τὴν γόνιμον αὐτοῦ δύναμιν πάντα προάγων οὐκ ἐλαττοῦται, ὥσπερ ἐπὶ τοῦ Σωκράτους εἰρήκαμεν καὶ τῆς εἰκόνος.

p. 1001 b 7 Ἔτι εἰ ἀδιαίρετον αὐτὸ τὸ ἕν.

Φησὶν ὅτι εἰ ὑποθώμεθα τὸ ἓν αὐτοὲν εἶναι καὶ ἀδιαίρετον, οὐδέν ἐστι, καθάπερ Ζήνων ἐδόκει λέγειν. σπουδάζει γὰρ ἀναιρεῖν τὰ ἀδιαίρετα κεχρημένος λόγῳ τοιούτῳ. ὅπερ μήτε προστιθέμενον μήτε δὲ ἀφαιρούμενον μεῖζον ἢ ἔλαττον ποιεῖ, τοῦτο οὐκ ἔστιν. εἰ τοίνυν τὸ σημεῖον τοιοῦτο, δῆλον ὡς ὅτι οὐκ ἔστι, καὶ ἔτι πᾶν ἀδιαίρετον. πάλιν τὴν γραμμὴν καὶ τὴν ἐπιφάνειαν πῇ μὲν ὄντα ἔλεγε πῇ δὲ οὐκ ὄντα. ἡ μὲν γὰρ γραμμὴ κατὰ μῆκος προστιθεμένη ποιεῖ αὔξησιν καὶ μείωσιν, κατὰ δὲ πλάτος οὐκέτι. ὁμοίως δὲ ἡ ἐπιφάνεια κατὰ πλάτος προστιθεμένη καὶ ἀφαιρουμένη ποιεῖ αὔξησιν καὶ μείωσιν, κατὰ δὲ βάθος οὐκέτι. τὸ μέντοι γε σῶμα κατὰ πάσας διαστάσεις καὶ αὔξησιν καὶ μείωσιν ὑπομένει. διὰ ταῦτα τοί- f. 143r
νυν τὴν μὲν ἐπιφάνειαν καὶ τὴν γραμμὴν ἔλεγε πῇ μὲν εἶναι ὄντα πῇ δὲ οὐκ ὄντα. ὁ τοίνυν Ἀριστοτέλης φορτικὴν ἀποκαλεῖ τὴν ἀπορίαν αὐτοῦ. ὅσον γὰρ ἐπὶ τούτῳ, ἀναιροῦνται πάντα τὰ ἀσώματα, ἐπειδὴ οὔτε μεῖζον ποιοῦσιν ᾧ προστίθενται οὔτε δὲ ἔλαττον ἀφαιρούμενα. τὸ οὖν σημεῖον αὐτὸ καθ' αὑτὸ οὐχ ὑφέστηκεν, ἀλλ' ἐν τῇ γραμμῇ τὸ εἶναι ἔχει. ἄλλως

3 ἄλλο ἐξ οὗ Alex. cod. L: ἀλλ' ἐξ οὗ libri 4 οὐσία ἔστι Alex. 5 παρ' ἐκείνων] sic etiam Alex.: exspectes παρ' ἐκεῖνο 7 ἀεί] ἃ εἰ μὴ εἶεν, οὔτ' ἂν πολλὰ οὔτ' ἂν ἀριθμὸς εἴη Alex. εἰ γὰρ—γίνεται (12) pleraque Alexandri sunt 8 ἄλλο ἓν προσγενέσθαι Alex. 10 τὸ μὴ ἓν] sic etiam Alex. cod. L: τὸ μὴ ὂν Alex. vulg.
24 καὶ χρήμενος D

τε δή, φησίν, ἡ ἑνὰς μέγεθος μὲν οὐ ποιεῖ προστιθέμενον, αὔξει δὲ τὸ πλῆθος. τοῦτο οὖν ἐστιν ὃ λέγει· τὸ ἓν τοῦτο ὡς ἀσώματον καὶ αὐτοὲν εἰ ἀδιαίρετον ὑπάρχει. κατὰ μὲν τὸν Ζήνωνος λόγον οὐκ ἔσται· ὃ γὰρ μήτε προστιθέμενον μήτε ἀφαιρούμενον ποιεῖ μεῖζον ἢ ἔλαττον, οὐ λέγει τὸ τοι-
5 οῦτον εἶναι τῶν ὄντων. ὡς ἐντεῦθεν δεικνὺς ὅτι τὸ ὂν μέγεθός ἐστι, τὸ δὲ ἀσώματον οὐκ ἔστι, καὶ μέγεθος σωματικόν, ἐπεὶ ἡ γραμμὴ καὶ ἡ ἐπιφάνεια μεγέθη μὲν ὑπάρχουσιν, οὐ σώματα δὲ καὶ ἔχουσι βάθη. κυρίως γὰρ ὂν ἐλέγετο τὸ τριχῇ διαστατόν· τὰ δὲ ἄλλα ποτὲ μὲν προστιθέμενα αὔξουσι ποτὲ δὲ οὔ, οἷον ἡ ἐπιφάνεια καὶ ἡ γραμμή· ἡ δὲ στιγμὴ καὶ ἡ
10 μονὰς οὐδαμῶς ὑπάρχουσιν, ἐπειδὴ πάντῃ ἀδιαίρετοί εἰσιν. ἐπειδή, φησίν, οὕτως φορτικῶς διαλέγεται ὁ Ζήνων, καὶ ἐνδέχεται εἶναι ἀδιαίρετόν τι ὥσπερ τὸ ἀσώματον· ὅμως καὶ εἰ ὑποθώμεθα ἀληθῆ τὰ παρ' αὐτοῦ. καὶ οὕτως δυνατόν ἐστιν ἀπολογίας εὐπορῆσαι· ἡ γὰρ μονὰς προστιθεμένη μεῖζον μὲν οὐ ποιεῖ, πλέον δὲ ποιεῖ. ἀλλὰ πῶς γίνεται μέγεθος ἐκ μιᾶς
15 μονάδος ἤγουν πλειόνων; τοῦτό ἐστιν ἄπορον· ὅμοιον γὰρ τοῦτο λέγειν καὶ τὴν γραμμὴν λέγειν συντίθεσθαι ἐκ σημείων, ὅπερ ἐστὶν ἀδύνατον· δέδεικται γὰρ ὅτι ἀδύνατον. πῶς οὖν ἐκ τῆς μονάδος καὶ τοῦ αὐτοῦ ἑνὸς παράγονται τὰ μεγέθη; λέγομεν δὲ ὅτι προσεχῶς μὲν παράγει κατὰ τὴν γόνιμον f. 143v
αὐτοῦ δύναμιν τοὺς νοητοὺς ἀριθμούς, εἶτα ἐκεῖνοι τὴν φύσιν καὶ τὴν
20 ὕλην, καὶ ἐκεῖνα τὰ τῇδε, ὡς ἐν τῇ θεωρίᾳ εἴρηται.

p. 1001ᵇ19 Ἀλλὰ μὴν καὶ ⟨εἴ⟩ τινες οὕτως ὑπολαμβάνουσι.

Κἂν ὑποθώμεθά τινα οὕτως ὑπολαμβάνειν ὥστε γίνεσθαι, καθάπερ τινές φασιν, ἐκ τοῦ ἑνὸς αὐτοῦ, τουτέστιν ἐκ τῆς μονάδος, καὶ τῆς δυάδος, τουτέστιν ἐκ τῆς φύσεως καὶ τῆς ὕλης. τὴν γὰρ ὕλην δυάδα καλεῖ διὰ τὸ
25 διῃρημένον αὐτῆς· ὥσπερ γὰρ ἡ δυὰς πρώτη ἔσχε τὸ ποθέν ποι, οὕτως καὶ ἡ ὕλη τοὺς δημιουργικοὺς λόγους ἡνωμένους μερίζει πανταχοῦ· ἡ δὲ μονὰς ἡ φύσις ὡς ἓν οὖσα καὶ προάγουσα. ὃ οὖν λέγει τοῦτό ἐστιν, ὅτι εἰ καὶ ὑποθώμεθα γίνεσθαι τὸν ἀριθμὸν ἐκ τῆς μονάδος καὶ τῆς δυάδος, οὐδὲν ἧττον ἄξιόν ἐστιν ἀπορῆσαι, διά τί ποτὲ μὲν ἀριθμὸς γίνεται ἐντεῦθεν,
30 ποτὲ δὲ μέγεθος, εἴπερ τὸ μὴ ἓν ἡ ἀνισότης ἐστὶ καὶ ἀεὶ ἡ αὐτὴ φύσις ἐστίν· οὔτε γὰρ πῶς ἐκ τῆς μονάδος καὶ ταύτης τῆς δυάδος, οὔτε πάλιν πῶς ἐξ ἀριθμοῦ τινος καὶ ταύτης τῆς δυάδος γίνονται τὰ μεγέθη, φανερὸν ὑπάρχει. ἐκεῖνο οὖν ἄξιον ἀπορῆσαι, πῶς ἐκ τοῦ τοιούτου ἑνὸς ἢ πλειόνων τοιούτων γίνεται μέγεθος· ὅμοιον γὰρ τοῦτο τῷ τὴν γραμμὴν ἐκ στιγ-
35 μῶν λέγειν συγκεῖσθαι. ταῦτα δὲ λέγει πρὸς τοὺς ἀρχὰς καὶ στοιχεῖα πάντων τοὺς ἀριθμοὺς ὑποτιθεμένους· ἐγίνοντο γὰρ καὶ τῶν μεγεθῶν ἀρχαί. οὗτοι δὲ ἦσαν οἱ Πυθαγόρειοι. ἑξῆς δὲ προσαπορεῖ τῇ Πλάτωνος δόξῃ, ὃς

---

15 πλειόνων scripsi: πλεῖον libri 19 ἐκεῖνοι scripsi: ἐκείνην libri 21 εἰ ex Aristotele addidi 27 ἓν οὖσα scripsi: ἑνοῦσα libri 30 εἴπερ ex Aristotele scripsi: εἰ περὶ libri 33 ἐκεῖνο — γεννᾶσθαι (p. 208,17) Alexandri sunt 36 γίνονται Alex.

ἀρχὰς ὑπετίθετο τοῦ ἀριθμοῦ τε καὶ τῶν ἄλλων τὸ ἓν καὶ ἄλλο τι οὐχ ἕν, φημὶ δὴ ἀριθμόν τινα· τούτου γὰρ δηλωτικὸν τὸ καὶ ἄλλου μὴ ἑνός· τοῦτο δὲ ἦν ἡ ἀνισότης καὶ ἡ ἀόριστος δυάς, ὃ μέγα καὶ μικρὸν ἔλεγεν· ἐξ ὧν ἔλεγε πρῶτον μὲν τὸν ἀριθμὸν γεννᾶσθαι, ὁριζομένης τῆς ἀορίστου
5 δυάδος ὑπὸ τοῦ ἑνὸς καὶ γινομένης δυάδος, ἔπειτα τὰ ἄλλα. ἀπορεῖ δὲ πῶς ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος συνελθόντων ποτὲ μὲν ἀριθμὸς f. 144r γίνεται ποτὲ δὲ μέγεθος· οὐ γὰρ οἱ ἀριθμοὶ μόνοι ἀλλὰ καὶ * * * ἡ ἀνισότης καὶ ἡ ἀόριστος δυὰς ἡ αὐτὴ φύσις οὖσα ἀρχὴ καὶ ἀριθμῶν καὶ μεγεθῶν ἐστι. πῶς οὖν ἐξ ἑνὸς καὶ ταύτης συντιθεμένων οἷόν τε μέγεθος
10 γενέσθαι; ἀριθμῶν γὰρ ταῦτα γεννητικά. ἢ εἰ πρῶτόν τις λέγοι τὸν ἀριθμὸν ἐκ τούτων γίνεσθαι, εἶθ' οὕτως ἐκ τοῦ ἀριθμοῦ τὰ μεγέθη, πῶς ἐξ ἀριθμῶν ἤγουν ἐξ ἀριθμοῦ καὶ τῆς ἀνισότητος οἷόν τε μέγεθος συντεθέντων γενέσθαι; ἄπορον γὰρ πῶς τὰ ἀμερῆ μεγέθους οἷόν τε εἶναι ποιητικά. τὸ δὲ εἴπερ τὸ μὴ ἓν ἡ ἀνισότης, καὶ ἡ αὐτὴ φύσις ἦν ἴσον ἐστὶ
15 τῷ εἴπερ τὸ μὴ ἓν κατ' αὐτὸν ἡ ἀνισότης, καὶ αὕτη ἡ αὐτὴ φύσις οὖσα καὶ ἀριθμῶν καὶ μεγεθῶν ἦν ἀρχὴ κατ' αὐτόν, πῶς ἐκ τῶν αὐτῶν ἀρχῶν οἷόν τε καὶ μεγέθη καὶ ἀριθμοὺς γεννᾶσθαι; φαμὲν οὖν ὅτι συμβολικῶς ταῦτα ὁ Πλάτων ἔλεγε. διὰ μὲν γὰρ τῆς μονάδος ἐδήλου τὴν φύσιν, ἥτις ἐστὶν αἰτία τῆς προόδου, διὰ δὲ τῆς δυάδος, ὡς πολλάκις εἴρηται,
20 τὴν ὕλην, ἐπειδὴ ἐν αὐτῇ μερίζονται τὰ εἴδη καὶ διίστανται αὐτὰ καθ' αὑτὰ ἀδιάστατα ὑπάρχοντα· τὴν δὲ ἑνάδα τὸ πρῶτον αἴτιον, ἐξ οὗ πάντα βλαστάνειν διὰ τὴν γόνιμον αὐτοῦ δύναμιν.

p. 1001b26 Τούτων δὲ ἐχομένη ἀπορία, πότερον οἱ ἀριθμοὶ καὶ τὰ σώματα καὶ τὰ ἐπίπεδα.

25 Καὶ ταύτην τὴν ἀπορίαν ἐξέθετο κατ' ἀρχὰς τοῦ παρόντος βιβλίου· ζητεῖ γὰρ εἰ ἄρα τὰ σημεῖα καὶ αἱ γραμμαὶ καὶ αἱ ἐπιφάνειαι οὐσίαι ὑπάρχουσιν, εἴτε οὐχ ὑπάρχουσιν, ἐπεὶ οὐδέποτε αὐτὰ καθ' αὑτὰ ὑφίστανται. οὐ δυνατὸν γάρ ἐστιν εὑρεῖν ἕν τι τούτων αὐτὸ καθ' αὑτὸ ὑφιστάμενον, ἀλλ' ἐν ἑτέροις τὸ εἶναι ἔχουσι, τουτέστιν ἐν τοῖς σώμασιν· ὥστε οὐχ
30 ὑπάρχουσιν οὐσίαι. αἱ γὰρ οὐσίαι θέλουσιν αὐθυπόστατοι εἶναι καὶ μὴ δεῖσθαι ἑτέρου πρὸς ὕπαρξιν, ὡς μεμαθήκαμεν ἐν Κατηγορίαις· ὥστε οὐχ ὑπάρχουσιν οὐσίαι. εἰ τοίνυν μὴ ὑπάρχουσιν αὗται οὐσίαι, φανερὸν ὡς f. 144v ὅτι πᾶσα οὐσία ἀναιρεθήσεται, καὶ ἁπλῶς οὐδὲν ἔσται ἐν τοῖς οὖσιν, εἴ γε ταῦτα μὴ ὑπάρχουσιν, ἅτινα μᾶλλον δοκοῦσιν εἶναι οὐσίαι. ὅτι γὰρ μᾶλλον
35 τῶν σωμάτων δοκοῦσιν εἶναι οὐσίαι, φανερὸν ἐντεῦθεν, εἴ γε τὰ σώματα ὁρίζουσι καὶ περατοῦσι καὶ συνέχουσι, τὰ δὲ ὁρίζοντα καὶ περατοῦντα εἰ-

---

1 τοῦ ἀριθμοῦ Alex.: τοὺς ἀριθμοὺς libri 2 μὴ ἑνός scripsi: μηδενός libri 7 ἀλλὰ καὶ τὰ μεγέθη ἐξ ἐκείνων κατ' αὐτόν. εἰ γὰρ ἡ ἀνισότης Alex. 8 φύσει Alex. 12 ἀριθμῶν ἤγουν ἐξ om. D 16 ἦν scripsi: ἡ libri πῶς γὰρ ἐκ Alex. 20 ἐπειδὴ scripsi: εἶναι δὴ libri αὐτὰ om. D 30 αὐθυπόστατοι scripsi: ἀνθυπόστατοι libri 31 ἐν Κατηγορίαις] c. 5

δους λόγον ἐπέχουσι, τὰ δὲ ὁριζόμενα καὶ περατούμενα ὕλης λόγον ἐπέχει· εἰ τοίνυν τὸ εἶδος μᾶλλον οὐσία τῆς ὕλης, εἴ γε κατὰ τὰ εἴδη χαρακτηρίζονται [ἢ] τὰ πράγματα (κατὰ γὰρ τὴν ὕλην οὐδὲν ἀλλήλων διαφέρουσι), φανερὸν ὡς ὅτι μᾶλλον ὑπάρχουσιν οὐσίαι γραμμαὶ καὶ στιγμαὶ καὶ ἐπι-
5 φάνειαι ἤπερ τὰ σώματα. εἰ τοίνυν τὰ μᾶλλον ὑπάρχοντα οὐκ εἰσι, δῆλον ὡς ὅτι οὐδὲ τὰ σώματα ὑπάρχουσι, καὶ οὕτως οὐδὲν ἔσται ἐν τοῖς οὖσιν. ἄλλως τε δὴ καὶ φύσει πρότεραι αἱ ἐπιφάνειαι καὶ αἱ γραμμαὶ τῶν σωμάτων, εἴ γε συναναιροῦσι μέν, μὴ συναναιροῦνται δέ, ὥσπερ καὶ ἐπὶ τῶν γενῶν ἐλέγομεν καὶ τῶν διαφορῶν ὅτι φύσει πρότερα ὑπάρχουσι τὰ γένη
10 τῶν διαφορῶν· ὅπου γὰρ διαφορά, ἐκεῖσε πάντως καὶ γένος, οὐχ ὅπου δὲ γένος, καὶ διαφορά· ἔστι γὰρ ζῷον αὐτὸ καθ' αὑτό, τὸ μέντοι γε λογικὸν πάντως καὶ ζῷον ὑπάρχον. οὕτως οὖν φημι καὶ ἐνταῦθα ὅτι ὅπου σῶμα, πάντως ἐκεῖσε καὶ ἐπιφάνεια ὑπάρχει καὶ γραμμὴ καὶ στιγμή· ἀδύνατον γάρ ἐστιν εἶναι σῶμα ἄνευ ἐπιφανείας, ὅθεν καὶ ἐν τῷ τοῦ σώματος λόγῳ
15 παραλαμβάνεται ἡ ἐπιφάνεια· σῶμα γὰρ ὃ ἔχει τρεῖς διαστάσεις, ὥστε παραλαμβάνεται καὶ τὸ ἐπίπεδον. ἐπὶ μέντοι γε τοῦ ὅρου τῆς ἐπιφανείας ἤγουν τῆς γραμμῆς οὐ παραλαμβάνεται τὸ σῶμα· φαμὲν γὰρ οὕτως ὁ μῆκος καὶ πλάτος μόνον ἔχει, μηδὲν δεηθέντες τοῦ σώματος· ὥστε φύσει προτέρα ὑπάρχει ἡ ἐπιφάνεια τοῦ σώματος. εἰ τοίνυν προτέρα ὑπάρχει
20 φύσει, οὐκ ἔστι ⟨δὲ⟩ οὐσία, φανερὸν ὡς ὅτι οὐδὲ τὸ σῶμά ἐστιν οὐσία· f. 145r
ὥστε ἀναιρεθήσεται ἡ φύσις τῶν οὐσιῶν ἐκ τῶν ὄντων. ὅτι γὰρ οὐκ ἔστιν ἐν ὑποστάσει ἡ ἐπιφάνεια ἤγουν οὐσία, δῆλον ἐντεῦθεν. τὸ γὰρ δεόμενον τοῦ ὑποκειμένου πρὸς τὸ εἶναι οὐκ ἔστιν ἀρχή· ἢ κυρίως ἀρχὴ ἔξωθεν οὖσα τοῦ πράγματος θέλει παράγειν ἐκεῖνα ὧν ἐστιν ἀρχή, καθάπερ
25 ὁρῶμεν ἐπὶ τοῦ τέκτονος καὶ τοῦ ἀβακίου· ἔξωθεν γάρ ἐστιν ὁ τέκτων τοῦ ξύλου. εἰ τοίνυν ἡ θερμότης καὶ ἡ ψυχρότης καὶ ἡ ξηρότης καὶ ἡ ὑγρότης μή εἰσιν οὐσίαι ἀλλὰ συμβεβηκότα, εἴ γε ἐν τῷ τριχῇ διαστατῷ ἔχουσι τὸ εἶναι, μήτε δὲ τὸ τριχῇ διαστατόν, τὰ † δύο ὑποκείμενα. ἐστὶν οὐσία (ἡ γὰρ ὕλη οὐκ ἔστιν οὐσία. ἀλλὰ μᾶλλον τὸ εἶδος, καθάπερ μεμαθήκαμεν
30 ἐν τῇ Φυσικῇ ἀκροάσει), φανερὸν ὡς ὅτι ἀνῄρηται ἡ οὐσία ἐκ τῶν ὄντων. καὶ οὕτως μὲν ἀπορεῖ, φησίν, ὁ Ἀριστοτέλης· φαμὲν δὲ ἡμεῖς πρὸς αὐτὸν ὅτι τῷ ὄντι ἡ ἐπιφάνεια καὶ ἡ γραμμὴ αὐταὶ καθ' αὑτὰς ἀνυπόστατοι ὑπάρχουσι καὶ διὰ τοῦτο οὐχ ὑπάρχουσι κυρίως οὐσίαι, οἱ μέντοι γε λόγοι αὐτῶν οἱ ἐξῃρημένοι, ἐξ ὧν ταῦτα τὸ εἶναι ἔχουσι, καὶ δι' ἃ ἐπιγίνονται
35 τῇ ὕλῃ καὶ κοσμοῦσιν αὐτήν, αὐθυπόστατοι ὑπάρχουσι. καὶ πρῶτόν γε θεωροῦνται ἐν τῇ φαντασίᾳ, εἶτα ἐν τῇ δόξῃ καὶ ἐν τῷ νῷ καὶ παρὰ τῷ δημιουργῷ. οὕτως φαμὲν καὶ ἐπὶ τῆς φύσεως ὅτι ἡ ὁλικὴ φύσις καὶ ὁ

---

2 κατὰ scripsi: καὶ libri 3 ἢ delevi 7 πρότερα D 8 μὴ om. D 11 λογικὸν scripsi: λογίζον libri 13 γραμμαὶ D 18 δεηθέντες scripsi: δεηθέντος libri 20 δὲ addidi 23 ἀρχή] exspectes οὐσία, sed v. quae sequuntur; locus fort. corruptus 26 ἢ τοίνυν D 28 τὰ δύο ὑποκειμένα] fort. τὰ τούτοις ὑπ. 30 ἐν τῇ Φυσικῇ ἀκροάσει] fort. respicit Phys. A 7 p. 191 a 7 sqq. 35 αὐθυπόστατοι scripsi: οὐθ' ὑπόστατοι libri

λόγος αὐτῆς, καθ' ὃν τὸ εἶναι ὑπάρχει, αὐθυπόστατός ἐστιν, ὅς ἐστιν αἴτιος τοῦ εἶναι καὶ τῇ φύσει καὶ τοῖς σώμασιν. οὗτος οὖν ὁ λόγος συντιθεὶς τὰ εἴδη τῇ ὕλῃ ἀποτελεῖ ἐξ ἀμφοτέρων τὴν οὐσίαν.

p. 1001ᵇ26 Τούτων δὲ ἐχομένη ἀπορία, πότερον οἱ ἀριθμοὶ καὶ τὰ σώματα.

Δείξας, φησί, δι' ὧν ἠπόρησεν, ὅτι οἱ ἀριθμοὶ οὐκ οὐσίαι ἔσονται, ἐφεξῆς ἀπορεῖ τοῖς προηπορημένοις, πότερον οἱ ἀριθμοὶ καὶ τὰ σώματα καὶ αἱ στιγμαί, δηλονότι καὶ ⟨αἱ⟩ ἐπιφάνειαι καὶ αἱ γραμμαί, οὐσίαι ὑπάρχουσιν ἢ οὐχ ὑπάρχουσιν· εἰ γὰρ μὴ ταῦτα ὑπάρχουσιν οὐσίαι, οὐδ' ἂν ὅλως f.145v εἴη τις οὐσία· διό φησι διαφεύγει τί τὸ ὄν. τίνες γὰρ ἔσονται οὐσίαι τῶν ὄντων; τὰ γὰρ ἄλλα πάθη οὐσίας ἐστὶ καὶ οὐκ οὐσία, οἷον λευκότης λεύκανσις, ἡ τοιάδε σχέσις καὶ οἱ ὁρισμοὶ τούτων· ταῦτα γὰρ πάντα ἐν οὐσίᾳ τὸ εἶναι ἔχουσιν, οὐκ οὐσίαι ὑπάρχουσιν. αἱ οὖν ποιότητες (ταῦτα γὰρ λέγει ⟨τὰ⟩ πάθη καὶ τὰς κινήσεις) καὶ τὰ πρός τι καὶ αἱ διαθέσεις, ἃ καὶ αὐτὰ ποιότητες, καὶ οἱ λόγοι (λόγους δὲ τοὺς ὁρισμοὺς καλεῖ) ἐν οὐσίᾳ, ὡς εἴρηται, θεωροῦνται, ἀλλ' οὐκ αὐτὰ οὐσίαι ὑπάρχουσι. τὸ δὲ οὐθενὸς δοκοῦσιν οὐσίαν σημαίνειν εἶπεν ὡς ἴσον τῷ οὐκ εἰσιν οὐσίαι. ὁμοίως δὲ τούτοις καὶ τὰ ἄλλα τὰ ὑπὸ τὰς ἐννέα κατηγορίας οὐκ οὐσία· πάντα γὰρ καθ' ὑποκειμένου τινὸς λέγεται, τουτέστιν ἐν ὑποκειμένῳ τινί ἐστι καὶ ὑποκείμενόν τι ἄλλο ἔχει καὶ οὐκ αὐτὰ ὑπόκειται. οὐδὲ ἔστι τι αὐτῶν ὑπὸ δεῖξιν πῖπτον ὡς ὑποκείμενον καθ' αὑτὸ ὄν. ἃ δὲ μάλιστα δοκοῦσι δηλοῦν οὐσίαν, ταῦτά ἐστιν ὕδωρ καὶ πῦρ καὶ γῆ καὶ ἀήρ, ἐξ ὧν τὰ σύνθετα σώματα συνεστήκασι. τούτων οὖν θερμότης μὲν καὶ ψυχρότης καὶ ξηρότης καὶ ὑγρότης καὶ τὰ τοιαῦτα πάθη, οὐκ οὐσίαι ὑπάρχουσιν, ἅ γε ἐν ἄλλοις ὑποκειμένοις ἔχουσι τὸ εἶναι· τὸ δὲ σῶμα, τουτέστι τὸ τριχῇ διαστατὸν τὸ δεχόμενον ταῦτα μόνον ὑπομένει ὡς ὄν τι καὶ οὐσία τις οὖσα, διότι, φησί, αὐτὸ καθ' αὑτὸ ὑφέστηκεν. ἀλλὰ πάλιν τὸ σῶμα ἧττόν ἐστιν οὐσία τῆς ἐπιφανείας, ἐπειδὴ ἡ μὲν περατοῖ, τὸ δὲ περατοῦται, τὸ δὲ περατοῦν εἶδους λόγον ἐπέχει, τὸ δὲ περατούμενον ὕλης, τὸ δὲ εἶδος μᾶλλόν ἐστιν οὐσία τῆς ὕλης· ὥστε μᾶλλον οὐσία ἡ ἐπιφάνεια τοῦ σώματος. εἰ τοίνυν μᾶλλον οὖσα οὐσία οὐκ ἔστι, φανερὸν ὡς ὅτι οὐδὲ τὸ σῶμά ἐστι, καὶ οὕτως ἀναιρεθήσονται αἱ οὐσίαι ἐκ τῶν πραγμάτων. καὶ τὰ μὲν ἄνευ σώματος δυνατὸν εἶναι, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, τὸ δὲ σῶμα ἄνευ τούτων εἶναι οὐ δυνατόν· ὥστε μᾶλλον ταῦτα οὐσία. εἰ δὲ τὸ μᾶλλον f.146r οὐσία ὑπάρχον οὐκ ἔστι, φανερὸν ὡς ὅτι οὐδὲ τὸ σῶμά ἐστι τὸ ἧττον

---

1 καθ' ὃν scripsi: καθ' ἣν libri ἀντυπόστατος libri 6 δείξας—οὐσία (10) Alexandri sunt 8 δηλονότι Alex.: δῆλον libri αἱ (ante ἐπιφ.) addidi 10 τις Alex.: τί libri 13 αἱ οὖν ποιότητες—καθ' αὑτὸ ὄν (21) pleraque Alexandri sunt 14 τὰ (ante πάθη) addidi παθητικὰς κινήσεις Alex: 14. 15 ἃ καὶ αὐτὰ Alex.: καὶ αὐτῶν libri 18 ἐννέα] δέκα Alex. 20 αὐτὰ Alex.: αὐτὸ libri 21 καθ' αὑτό] ὃν δὲ τὴν οὐσίαν νῦν λέγει pergit Alex. 24 οὐσία D ἅ γε] ὅ γε libri 26 διότι scripsi: διό libri 32 ἀναιρεθήσονται scripsi: διαιρεθήσονται libri

ὑπάρχον οὐσία. διὰ τοῦτο τοίνυν οἱ πολλοὶ καὶ οἱ παλαιοὶ τὴν οὐσίαν καὶ τὸ ὂν ὑπελάμβανον εἶναι σῶμα ὡς αὐθυπόστατον ὑπάρχον, τὰ δὲ ἄλλα τὰ ἐν αὐτῷ θεωρούμενα ποιότητας αὐτοῦ· ὅθεν καὶ τὰς ἀρχὰς τῶν σωμάτων οἱ πάντα σώματα λέγοντες ἀρχὰς τῶν ὄντων πάντων ἔλεγον εἶναι, οἷον πῦρ
5 ἀέρα ὕδωρ γῆν. οἱ δὲ ὕστεροι καὶ σοφώτεροι τούτων εἶναι δόξαντες τοὺς ἀριθμοὺς ἔλεγον ἀρχὰς τῶν ὄντων· λέγει δὲ τοὺς Πυθαγορείους καὶ Πλάτωνα, σοφωτέρους δέ φησιν αὐτούς, ἐπειδὴ ἀνήγαγον ἑαυτοὺς ἀπὸ τῆς ὕλης ἐπὶ ἀσωμάτους δυνάμεις. καθάπερ οὖν εἰρήκαμεν, εἰ μὴ ἔστιν οὐσία ταῦτα, ἐπιφάνεια γραμμή, ὅλως οὐδὲ μία ἐστὶν οὐσία ⟨οὐδὲ ὄν⟩
10 οὐδέν· οὐ γὰρ δίκαιον τὰ συμβεβηκότα τούτοις, τουτέστι τὰς ποιότητας οὐσίας καλεῖν, ἐπειδὴ οὐδὲ αὐθυπόστατα ὑπάρχουσιν. ἀλλὰ μὴν εἰ τοῦτο δέδεικται, ὅτι μᾶλλον οὐσία τὰ μήκη τῶν σωμάτων καὶ αἱ στιγμαί, ταῦτα δὲ οὐχ ὁρῶμεν ἐν ὑποστάσει ὄντα, ποίων ἂν εἶεν σωμάτων; ἐν γὰρ τοῖς αἰσθητοῖς εἶναι αὐτὰ ἀδύνατον ὄντα αὐθυπόστατα, τουτέστι τοῖς λόγοις αὐ-
15 τῶν, εἴ γε ἐξῃρημένα ὑπάρχουσιν, ὡς ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. δείκνυσιν οὖν ὅτι τὸ σῶμα τοῦτο ἧττόν ἐστιν οὐσία κατά τι τῶν οἰκείων περάτων· μᾶλλον γὰρ ὂν καὶ μᾶλλον οὐσία ἐπιφάνεια μὲν σώματος, ἐπιφανείας δὲ γραμμή, γραμμῆς δὲ στιγμή. ὁ οὖν ἀναιρῶν ταύτας οὐσίας εἶναι συναναιρήσει καὶ τὸ σῶμα οὐσίαν εἶναι τῷ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον χρησά-
20 μενος τόπῳ. εἰ γὰρ αἱ μᾶλλον οὐσίαι μὴ οὐσίαι, οὐδὲ αἱ ἧττον ἐκείνων οὐσίαι οὐσίαι ἂν εἶεν. ὅτι οὖν κρείττων ἡ τῆς ἐπιφανείας πρῶτον μὲν δείκνυσιν οὕτως. οἷς ὁρίζεταί τι καὶ εἰδοποιεῖται, ἐκεῖνα τοῦ ὁριζομένου ὑπ' αὐτῶν οὐσία· τὰ γὰρ ὁρίζοντά τι μᾶλλον ὄντα καὶ μᾶλλον οὐσία τοῦ f. 146v
ὁριζομένου καὶ εἰδοποιουμένου· διὰ τοῦτο γοῦν καὶ εἶδος μᾶλλον τῆς ὕλης
25 οὐσία. ὑπὸ δὲ ἐπιφανείας καὶ γραμμῆς καὶ στιγμῆς ὁρίζεται τὸ σῶμα· ταῦτα ἄρα μᾶλλον οὐσίαι τοῦ σώματος. δευτέρα δὲ τοιαύτη. ὧν τὸ μὲν ἄνευ θατέρου δύναται εἶναι, τὸ δὲ μὴ δύναται χωρὶς τοῦ ἑτέρου, τὸ καθ' αὑτὸ δυνάμενον εἶναι μᾶλλον οὐσία· τῶν δὲ περάτων τοῦ σώματος καὶ τοῦ σώματος τὰ μὲν πέρατα χωρὶς τοῦ σώματος εἶναι δύναται, τὸ δὲ
30 σῶμα χωρὶς τῶν περάτων οὐ δύναται· οὐ γὰρ ἄπειρον τὸ σῶμα * * * τὸ δὲ ἐνδέχεσθαι δοκεῖ εἶναι πάνυ καλῶς προστέθεικε· τῇ μὲν γὰρ ὑποστάσει οὐδὲν τούτων χωρὶς σώματος οἷόν τε εἶναι, ὥσπερ οὐδὲ τὸ σῶμα ἄνευ τούτων, τῇ δὲ ἐπινοίᾳ καὶ τῷ λόγῳ οἷόν τε· σῶμα μὲν γὰρ ἄνευ ἐπιφανείας οὐχ οἷόν τε νοηθῆναι. οὐδ' αὖ ἐπιφάνειαν ἄνευ γραμμῆς, οὐδὲ

2 ἀνθυπόστατον libri 9 οὐδὲ ὂν ex Aristotele addidi 10 ποιότητας scripsi: ποιητὰς libri 11 οὔτε libri 11 et 14 ἀνθυπόστατα libri 14 ὄντα scripsi: τὰ libri 15 δείκνυσιν — σωμάτων (p. 212,11) pleraque Alexandri sunt 18 ὁ οὖν — εἶναι] εἶτα ἐπὶ τούτοις τῷ ταῦτα οὐσίας μὴ εἶναι Alex. 20 ἃ μᾶλλον οὐσίαι ταῦτα μὴ Alex. 22 δείκνυσιν Alex.: δοκοῦσιν libri 23 ὑπ' αὐτῶν οὐσία] sic etiam Alex. cod. L: post αὐτῶν add. μᾶλλον Alex. vulg. τι Alex.: τὸ libri 26 δευτέρα] sic etiam unus cod. Alexandri, quia apud eum antecessit (cf. v. 22) δείκνυσιν τοιαύτῃ ἐπιχειρήσει 30 οὐ γὰρ — σῶμα deest Alexandro, qui rursus conclusionem addit in Asclepii libris omissam τὰ ἄρα πέρατα τοῦ σώματος μᾶλλον οὐσίαι τοῦ σώματος 34 οὐχ — ἐπιφάνειαν om. D

ταύτην χωρὶς σημείου. ἐν γοῦν τοῖς ὁρισμοῖς αὐτῶν συμπαραλαμβάνεται κἀκεῖνα· σῶμα μὲν γὰρ λέγεται εἶναι τὸ μῆκος πλάτος καὶ βάθος ἔχον, ἐπιφάνεια δὲ ὁ μῆκος καὶ πλάτος ⟨ἔχει⟩, γραμμὴ δὲ μῆκος ἀπλατές, ἧς πέρατα σημεῖα. σημεῖον δὲ νοεῖται χωρὶς γραμμῆς, καὶ γραμμὴ χωρὶς
5 ἐπιπέδου, καὶ ἐπίπεδον χωρὶς σώματος. προστίθησιν οὖν τούτοις εἰς πίστιν τοῦ ταῦτα μᾶλλον οὐσίας εἶναι τοῦ σώματος καὶ τὰς τῶν πρὸ αὐτοῦ δόξας, ὧν οἱ μὲν ἀρχαιότεροι καὶ μηδέπω μετ' ἐπιτάσεως περὶ τῶν ὄντων λέγοντες τὰς οὐσίας τῶν ὄντων καὶ τὰς ἀρχὰς σωματικὰς ὑπετίθεντο, οἱ δὲ μετ' ἐκείνους γενόμενοι καὶ σοφώτεροι δοκοῦντες ἤδη εἶναι τοὺς ἀριθμοὺς ἀρ-
10 χὰς ἔλεγον, ὡς οἱ Πυθαγόρειοι καὶ Πλάτων, ὡς τούτων μᾶλλον οὐσιῶν ὄντων ἢ τῶν σωμάτων.

p. 1002a18 Ἔτι φαίνεται ταῦτα πάντα διαιρέσεις ὄντα τοῦ σώματος.

Πάλιν ἕτερον λόγον ἐπάγει κατασκευαστικὸν τοῦ ὅτι οὐχ ὑπάρχουσιν
15 οὐσίαι γραμμὴ καὶ ἐπιφάνεια καὶ σημεῖον. εἴ γε οὐδὲ ὁρίσταται αὐτὰ καθ' f. 147r
αὑτά. τί γάρ; φησὶν ὅτι διαιρέσεις αὗται ὑπάρχουσι τοῦ σώματος, αἱ δὲ διαιρέσεις τὸ εἶναι ἔχουσιν ἐν ἐκείνοις, ὧν ὑπάρχουσι διαιρέσεις. διαιρέσεις οὖν ὑπάρχουσιν εἰς βάθος μὲν ἡ ἐπιφάνεια, εἰς πλάτος δὲ ἡ γραμμή, εἰς μῆκος δὲ τὸ σημεῖον. πρὸς δὲ τούτοις ὁμοίως ἐστὶν ἐν τῷ στερεῷ ἓν
20 ἕκαστον σχῆμα· δυνάμει γάρ ἐστιν ὁ χαλκὸς ἀνδριὰς καὶ πρόβατον καὶ ἵππος, μέχρις ὅτε γένηται· ἡνίκα δὲ γένηται, τότε λοιπὸν ἐνεργείᾳ ἐστίν. οὕτως οὖν, φησί, καὶ ἐπιφάνεια δυνάμει ἐστὶν ἐν τῷ κύβῳ * * * ἡνίκα τμηθῇ δίχα ὁ κύβος· εἰ μὴ γὰρ ἦν δυνάμει, ἔδει αὐτὴν φαίνεσθαι καὶ πρὸ τῆς τομῆς. φαμὲν οὖν ὅτι καὶ δυνάμει ἐστὶν ἡ τμηθεῖσα, ἔστι δὲ καὶ ἡ
25 ἔξω ἐπιφάνεια πάντων, εἴπερ δέδεικται μὴ ὂν ἄπειρον σῶμα· ὥστε ἐξ ἀνάγκης ἐστὶ καὶ ἐπιφάνεια ἐνεργείᾳ καὶ γραμμὴ καὶ σημεῖον. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι ὁ αὐτὸς λόγος ἐπὶ γραμμῆς καὶ μονάδος. ὥστε εἰ μάλιστα μὲν οὐσία τὸ σῶμα ὑπάρχει, τούτου δὲ μᾶλλον ταῦτα, μὴ ὑπάρχουσι δὲ ταῦτα οὐσίαι, ἐκπεφεύγασι τῶν ὄντων αἱ οὐσίαι.
30 Ἀλλὰ μὴν οὐδὲν τούτων ἐστὶν ἐν τοῖς αἰσθητοῖς. ὁ Ἀλέξανδρος οὕτως ἐξηγεῖται τὸ χωρίον. οὐδέν. φησίν, ἔστι λαβεῖν ⟨ἐν⟩ αἰσθητῷ σώματι μῆκος παντάπασι κεχωρισμένον πλάτους, ὁμοίως δὲ οὐδὲ ἐπιφάνειαν χωρὶς βάθους. εἰ δὴ ὄντα μὲν οὐσίαι, ἦν ἂν ἐν τοῖς σώμασι τοῖς αἰσθητοῖς·

---

1 ὁρισμοῖς Alex.: ἀριθμοῖς libri 3 ἔχει ex Alex. addidi 9 σωματώτεροι D 15 οὔτε libri 18 εἰς βάθος μὲν — εἰς πλάτος δὲ scripsi: εἰς πλάτος μὲν — εἰς βάθος δὲ libri 22. 23 κύβῳ et κύβος scripsi: κύκλῳ et κύκλος libri 22 lacunam indicavi: addendum μέχρις ὅτε τμηθῇ, ἐνεργείᾳ δ' ἐστὶν vel tale aliquid 30 ἀλλὰ μὴν — αἰσθητοῖς] falso Aristoteli tribuit quae Alexandri sunt; pertinent autem ea verba ad Metaph. p. 1002a17 ὁ Ἀλέξανδρος] p. 186,7 sqq. Bz. 31 ἐν ex Alexandro addidi 32 μῆκος παντάπασι Alex.: μὴ ὡς πάντα πᾶσι libri 33 εἴ δὴ Alex.: εἴδει libri ὄντα μὲν οὐσίαι] sic etiam Alexandri codices plerique: ὄντα μὲν ἦσαν καὶ οὐσίαι ceteri ἂν ἐν Alex.: μὲν libri

ταῦτα γὰρ ἐν ὑποστάσει μόνα· εἰ δὲ μὴ ἔστι, οὐδ' ἂν οὐσίαι εἶεν. δείκνυσι δὲ μὴ ὄντα αὐτὰ ἐν ὑποστάσει καὶ ἐκ τοῦ πάθη ταῦτα καὶ διαιρέσεις εἶναι τῶν σωμάτων, τουτέστι κατὰ ταῦτα τὰς τῶν σωμάτων γίνεσθαι διαιρέσεις. αἱ δὲ διαιρέσεις τοῦ σώματος οὐχ ὑποκείμενα οὐδὲ ὄντα τινὰ ἐπ' οἰκείας φύσεως· πάθη γάρ, τὰ δὲ πάθη οὐκ οὐσίαι. κατὰ μὲν γὰρ πλάτος ὑπὸ γραμμῆς τέμνεται, κατὰ δὲ βάθος ὑπὸ ἐπιφανείας, κατὰ δὲ μῆκος ὑπὸ στιγμῆς. ἐπὶ τούτοις ὅτι μὴ ἔστιν ἐν τοῖς σώμασι ταῦτα, ἥ τε f. 147v ἐπιφάνεια καὶ ἡ γραμμὴ καὶ τὸ σημεῖον, οὕτως δείκνυσιν. ἐπεὶ τῇ ἐπινοίᾳ ταῦτα ἐν τοῖς σώμασι λέγεται εἶναι (οὐ γὰρ δή γε τῇ ὑποστάσει καὶ τῷ χωρίζεσθαι δύνασθαι), τούτῳ συγχρώμενος λέγει, ὅτι ἐν τῷ σώματι ἔστιν ὁποιονοῦν σχῆμα καὶ ὁποιανοῦν ἐπιφάνειαν ὁμοίως ὄντα λαβεῖν. τὴν γὰρ ἐπίνοιαν ἐν τῷ λίθῳ τῷ ἀργῷ καὶ τὸ τοῦ Ἑρμοῦ καὶ τὸ τοῦ Ἀπόλλωνος καὶ ἄλλου τινὸς ὁμοίως ἔστι λαβεῖν σχῆμα· ἀλλὰ καὶ ἐν τῷ κύβῳ τὸ ἥμισυ τοῦ κύβου τῇ ἐπινοίᾳ ἐστί, καὶ ἡ ἐπιφάνεια ἡ διαιροῦσα αὐτὸ εἰς δύο ἡ ἐν τῷ βάθει ληφθῆναι δυναμένη· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. εἰ οὖν πάντα μὲν ὁμοίως τὰ σχήματα καὶ αἱ ἐπιφάνειαι ἐν τῷ σώματι (τῇ γὰρ ἐπινοίᾳ), μὴ ἔστι δὲ ἐν αὐτῷ ταῦτα τῷ δύνασθαι γενέσθαι ἐν αὐτῷ ἐπινοίᾳ λαμβανόμενα, οὐδ' ἂν ἄλλο τι εἴη· ὥστε εἰ μὴ τὸ τοῦ Ἑρμοῦ σχῆμα ἐν τῷ λίθῳ, οὐδ' ὃ δοκεῖ ἔχειν, ⟨καὶ⟩ εἰ μὴ ἐν τῷ κύβῳ ἡ διαιροῦσα δίχα ἐπιφάνεια. οὐδὲ ἣν δοκεῖ ἔχειν. ἡ δὲ τοῦ λόγου παραγωγὴ τὸ ὁμοίως λαβεῖν εἶναι πάντα τὰ σχήματα ἐν τῷ ὑποκειμένῳ τά τε δυνάμει καὶ τὰ ἐνεργείᾳ. τούτου δὲ τὸ πιθανὸν ἐκ τοῦ ἐπινοίᾳ καὶ τὰ ἐνεργείᾳ ὄντα δοκεῖν εἶναι ἐν τῷ ὑποκειμένῳ ὡς καὶ τὰ δυνάμει· τοῦτο δέ, ἐπεὶ μή ἐστι χωριστά. ὡς δὲ ἐπὶ τῆς ἐπιφανείας, οὕτως καὶ ἐπὶ γραμμῆς καὶ ἐπὶ στιγμῆς καὶ μονάδος· καὶ γὰρ ἡ μονὰς στιγμή τίς ἐστιν· ἔνεστι γὰρ καὶ ἐπὶ τούτων ὁμοίως τῇ ἐπινοίᾳ ἐν τῷ ὑποκειμένῳ σώματι λέγειν ὁποιανοῦν [λέγειν] εἶναι, καὶ λαμβάνοντάς τινα τῶν δυνάμει καὶ δεικνύντας ὅτι μὴ ἔστιν ἐν αὐτῷ (τὸ γὰρ δυνάμει ὂν ἔν τινι οὐδέπω ἐστὶν ἐν αὐτῷ) ὅτι μηδὲ τὰ ἐνεργείᾳ δοκοῦντα εἶναι ἐν αὐτῷ ἔστι δεικνύναι. δείξας δὲ διὰ τούτων ὅτι μὴ οὐσίαι αἱ ἐπιφάνειαι καὶ αἱ γραμμαὶ καὶ αἱ στιγμαὶ καὶ μονάδες, ὡς ἀκόλουθον τοῖς δεδειγμένοις λαμβάνει τὸ μηδὲ τὸ σῶμα ἔσεσθαι οὐσίαν τὸ ὑπὸ τούτων ὁριζόμενον. ἔδειξε δὲ ταῦτα οὐ μόνον οὐκ f. 148r οὐσίας ὄντα ἀλλὰ τὴν ἀρχὴν οὐδὲ ὄντα.

1 εἰ δὲ μὴ ἔστι Alex.: μὴ ἔστι δὲ libri 2 καὶ διαιρέσεις — κατὰ ταῦτα (3) om. D 3 τουτέστι — γίνεσθαι διαιρέσεις 4 desunt Alexandro 6 τέμνεται] τὸ σῶμα add. Alex. 8 ἐπεὶ τῇ desunt Alexandro 11. 12 τῇ γὰρ ἐπινοίᾳ Alex. 13 κύβῳ Alex.: κύκλῳ libri 14 κύβου Alex.: κύκλου libri αὐτὸ] sic etiam Alex. 15 εἰς Alex.: ὡς libri ληφθῆναι Alex.: ὀφθῆναι libri ὁμοίως καὶ ἡτισοῦν Alex. 17 ἔστι δὲ ἐν αὐτῇ Alex. ταῦτα — ἐν αὐτῷ desunt Alexandro τῷ Bonitz: αὐτῷ libri 18 λαμβανόμενα Alex.: λαμβανόμενον libri 19 οὐδ' ὃ Alex.: οὐδὲν libri καὶ ex Alexandro addidi κύκλῳ libri 20 τὸ] sic etiam Alex.: τῷ ci. Brandis 22 τὰ (ante ἐνεργείᾳ ὄντα) Alex.: om. libri 26 ἐπιφανείᾳ D 27 λέγειν delevi 29 ἐν αὐτῷ ἔστιν ἐν αὐτῷ δεικνύναι Alex. 30 στιγμαὶ καὶ μονάδες Alexandrum secutus scripsi: οὐσίαι libri

p. 1002a28 Πρὸς γὰρ τοῖς εἰρημένοις καὶ τὰ περὶ τὴν γένεσιν καὶ τὴν φθοράν.

Ἰστέον ὅτι πᾶσα οὐσία τῶν ἐν γενέσει καὶ φθορᾷ διὰ γενέσεως ἔρχεται ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν καὶ διὰ φθορᾶς ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. ἐὰν οὖν, φησί, ταῦτα ὑποθώμεθα εἶναι οὐσίας, συμβήσεταί τινα οὐσίαν ἔρχεσθαι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν οὐ διὰ γενέσεως καὶ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὂν οὐ διὰ φθορᾶς, ὅπερ ἐστὶν ἀδύνατον. οἷον ἐὰν γάρ τις λάβῃ εὐθεῖαν καὶ τέμῃ αὐτὴν καυληδόν, ἔσονται δύο στιγμαὶ ἀχρόνως γενόμεναι, ὥστε οὐ διὰ γενέσεως γέγονεν ἡ οὐσία, τουτέστιν ἡ στιγμή· οὔτε γὰρ δυνατόν ἐστιν εἰπεῖν ὅτι ἡ ἀδιαίρετος στιγμὴ διαιρέσεις ἐποίησε τὰς δύο. καὶ πάλιν συνερχομένων τῶν εὐθειῶν χωρεῖ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὂν οὐ διὰ φθορᾶς. ὥστε εἰ μὴ δυνατὰ ταῦτα, οὐχ ὑπάρχουσιν οὐσίαι τὰ τοιαῦτα. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι πρὸς τοῖς εἰρημένοις καὶ τὰ περὶ τὴν γένεσιν καὶ τὴν φθορὰν ἔσονται ἄλογα. δοκεῖ μὲν γάρ, ἐπὰν ἡ οὐσία μὴ οὖσα πρότερον γένηται, ἢ πρότερον οὖσα ὕστερον μηκέτι ἔσται, διὰ γενέσεως καὶ φθορᾶς ταῦτα ὑπομένειν ἤγουν πάσχειν· τὰς δὲ στιγμὰς καὶ τὰς γραμμὰς καὶ τὰς ἐπιφανείας οὐκ ἐνδέχεται οὔτε γίνεσθαι οὔτε φθείρεσθαι, ὁτὲ μὲν οὔσας ὁτὲ δὲ οὐκ οὔσας. ὅταν γὰρ ἅπτηται ἤγουν διαιρῆται τὰ σώματα, ἅμα ὁτὲ μὲν μία γίνεται στιγμὴ ἁπτομένων τῶν εὐθειῶν ἀλλήλων, ὁτὲ δὲ δύο στιγμαὶ γίνονται διαιρουμένων τῶν εὐθειῶν· ὥστε οὔτε συντιθεμένων τῶν εὐθειῶν εἰσιν αἱ δύο στιγμαί. ἀλλ' ἔφθαρται ἡ μία οὐ διὰ φθορᾶς. διαιρεθεισῶν δὲ πάλιν τῶν εὐθειῶν εἰσιν αἱ στιγμαὶ αἱ πρότερον μὴ ὑπάρχουσαι. οὔτε γὰρ δυνατόν ἐστιν εἰπεῖν ὅτι αὕτη ἡ ἀδιαίρετος στιγμὴ διῃρέθη εἰς δύο στιγμάς· εἰ γὰρ ἀδιαίρετός ἐστι, δῆλον ὡς ὅτι οὐ διαιρεῖται. ἄλλως τε δή, εἰ γίνονται καὶ f.148v φθείρονται, χρείαν ἔχουσι καὶ ὕλης, περὶ ἣν ὄντα γίνονται καὶ φθείρονται· ποίαν δὲ δυνατόν ἐστιν ὕλην ὑποθέσθαι ἐπὶ τοῦ σημείου; ὁμοίως δὲ ἔχει καὶ περὶ τὸ νῦν τὸ ἐν τῷ χρόνῳ, καθάπερ ἐλέγομεν ἐν τῷ τετάρτῳ λόγῳ τῆς Φυσικῆς ἀκροάσεως. ἔτι καὶ τῷ μὲν ὑποκειμένῳ τὰ αὐτὰ ὑπάρχουσι, τῇ δὲ σχέσει διαφέρουσι. μεταβάλλουσι γὰρ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ ὂν ἄνευ φθορᾶς καὶ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἄνευ γενέσεως· οὔτε γάρ ἐστιν ὕλη ἐπ' αὐτῶν, ἵνα καὶ γίνωνται καὶ φθείρωνται· πρὸς ἐπὶ τούτοις δὲ καὶ ἀχρόνως γίνονται. ὅμως ἕτερόν τι δοκεῖ εἶναι, ὡς οὐκ οὐσία τις οὖσα. ὁμοίως δὲ ἔχει καὶ περὶ τὰς στιγμὰς καὶ γραμμὰς καὶ τὰ ἐπίπεδα, ⟨ἃ⟩ οὔτε γίνονται οὔτε φθείρονται· ὁ γὰρ αὐτὸς λόγος· ἅπαντα γὰρ ὁμοίως ἢ πέρατα ὑπάρχουσιν ἢ διαιρέσεις εἰσίν, ὥστε οὐκ οὐσία ὑπάρχουσι.

---

3. 4 ἔρχεται scripsi; cf. v. 5. 6: ἄρχεται libri 4 ἐκ τοῦ ὄντος — ὑποθώμεθα (5) om. D 12 δυνατὰ scripsi: δυνατὸν libri 15 ἢ scripsi: ἡ libri 19 διαιρῆται ex Aristotele scripsi: ἀνήρηται libri 24 διῃρέθη ex Aristotele scripsi: διαιρεθῇ libri 28. 29 τῆς Φυσικῆς ἀκροάσεως] Δ 10 sqq.: τῆς φωνῆς ἀκρ. D 29 ante ἔτι videntur aliqua excidisse 34 ἃ addidi

p. 1002ᵃ28 Πρὸς γὰρ τοῖς εἰρημένοις καὶ τὰ περὶ τὴν γένεσιν καὶ τὴν φθοράν.

Ὁ Ἀλέξανδρος οὕτως ἐξηγεῖται τὸ χωρίον, ὅτι καὶ αὕτη ἡ ἐπιχείρησις αὐτῷ δείκνυσιν ὅτι μὴ οὐσία τὰ πέρατα τοῦ σώματος, ἃ μᾶλλον οὐσίας ἔδειξε τοῦ σώματος. αἱ μὲν γὰρ μὴ οὖσαι πρότερον, εἶτα ὕστερον οὖσαι διὰ γενέσεως εἰς τὸ εἶναι προΐασιν, ὁμοίως δὲ καὶ αἱ πρότερον οὖσαι, εἶτα μὴ οὖσαι ⟨εἰς τὸ μὴ εἶναι⟩ διὰ φθορᾶς. ὥστε τῶν μὲν οὐσιῶν τοῦ εἶναι καὶ μὴ εἶναι γένεσις καὶ φθορὰ προηγεῖται· ταῦτα δὲ [τὰ] ἄνευ γενέσεως καὶ φθορᾶς ὁτὲ μέν ἐστιν ὁτὲ δὲ οὐκ ἔστιν, ὥστε οὐκ οὐσίαι. τὸ γὰρ ἅμα ὁτὲ μὲν μία ἁπτομένων ὁτὲ δὲ δύο διαιρουμένων γίνονται τοῦ χωρὶς γενέσεώς ἐστι δηλωτικόν· ἁπτομένων μὲν γὰρ εὐθὺς ἅμα ἐστὶ μία, διαιρουμένων δὲ πάλιν ἢ καὶ χωριζομένων εὐθὺς καὶ ἅμα δύο, οὐδεμιᾶς γενέσεως προηγησαμένης. ὅτι δὲ ὁτὲ μέν εἰσιν ὁτὲ δὲ οὐκ εἰσὶ χωρὶς γενέσεως καὶ φθορᾶς, δείκνυσιν οὕτως. ὅταν ἅπτηται τὰ σώματα f. 149r ἀλλήλων καὶ πάλιν ὅταν διιστῆται, ποτὲ μὲν μία ἡ ἐπιφάνεια καὶ ἡ γραμμὴ καὶ τὸ σημεῖόν ἐστιν ἀθρόως· ὅταν γὰρ ἅπτωνται, ἓν τὰ ἀμφοτέρων πέρατα τῷ ἐφαρμόζειν· ὅταν δὲ αὖ πάλιν χωρισθῇ, αἱ δύο πάλιν ἀθρόως· ὥστε ποτὲ μέν ἐστιν ἡ ἐπιφάνεια καὶ τὰ ἄλλα, ὅτε μὴ ἅπτεται τὰ σώματα ἀλλήλων, ποτὲ δὲ οὐκ ἔστιν, ὅταν ἅπτηται, καὶ ταῦτα χωρὶς γενέσεως καὶ φθορᾶς. οὐ γὰρ δὴ ἡ στιγμὴ ἡ ἀδιαίρετος τῇ αὐτῆς φύσει διῃρέθη εἰς δύο, ὥστε εἶναι ταύτην τὴν διαίρεσιν γένεσιν τῆς ἑτέρας στιγμῆς. ἀλλὰ πρότερον οὐκ οὖσα ὕστερον ἔστι χωρὶς γενέσεως. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ γραμμῆς καὶ ἐπιφανείας· οὔτε γὰρ τὴν γραμμὴν οἷόν τε διαιρεῖσθαι κατὰ πλάτος, ὡς οὕτως γίνεσθαι τὴν μίαν δύο, ἀπολυομένας τῆς ἁφῆς, οὔτε τὴν ἐπιφάνειαν κατὰ βάθος. προστίθησι δὲ τούτοις ὅτι πᾶν μὲν τὸ γινόμενον ἔκ τινος ὑποκειμένου γίνεται· ταῦτα δὲ ἐκ τίνος ἐρεῖ τις ὑποκειμένου γίνεσθαι; οὐκ ἔστιν· ὥστε εἰ ἅπαν μὲν τὸ γινόμενον ἐξ ὑποκειμένου τινὸς γίνεται καὶ ὕλης, τούτοις δὲ οὐδὲν ὑπόκειται, οὐ γίνεται ταῦτα. εἰ δὲ χωρὶς τοῦ γίνεσθαι ποτὲ μέν ἐστι ποτὲ δὲ οὐκ ἔστιν, οὐκ οὐσία διὰ τὰ προκείμενα. ἔτι ὡς ἐπὶ τοῦ νῦν πέρατος ὄντος τοῦ χρόνου ἔχει, οὕτως ἕξει καὶ ἐπὶ τῆς στιγμῆς καὶ γραμμῆς καὶ ἐπιφανείας· ἅπαντα γὰρ ὁμοίως ταῦτα ἢ πέρατά ἐστι, τὸ μὲν σώματος τὸ δὲ ἐπιφανείας, τὸ δὲ γραμμῆς, τὸ δὲ χρόνου, ἢ διαίρεσις· κατὰ γὰρ ταῦτα αἱ διαιρέσεις τῶν προκειμένων.

—

3 ὁ Ἀλέξανδρος] p. 187,15 sqq. Bz. καὶ αὕτη—οὐσίαι ταῦτα (p. 216,10) Alexandri sunt 5 οὖσαι Alex.: οὐσίαι libri εἶτα—οὖσαι desunt Alexandro 6 αἱ πρότερον Alex.: ἀτοπώτερον libri 6. 7 εἶτα μὴ οὖσαι desunt Alexandro 7 μὴ quod erat post πρότερον (6) transtuli post εἶτα εἰς τὸ μὴ εἶναι ex Alexandro addidi 8 τὰ delevi 15 διιστῆται Alex.: διίστανται libri 16 ἓν τὰ Alex.: ὄντα libri 20 αὐτῆς Alex.: αὐτῇ libri διῃρέθη Alex. cod. L: διαιρεθῇ libri 21 ἀλλὰ Alex.: καὶ libri 24 ἀπολυομένας] sic etiam Alex. cod. L: ἀπολυομένης Alex. vulg. 29 οὐκ οὐσία διά] οὐκ ἔστι Alex. 30 προειρημένα Alex. 33 ἢ scripsi: ἡ libri

εἰ τοίνυν ὁμοίως ἔχειν ἀνάγκη ἐν πᾶσι τούτοις τὸ ποτὲ μὲν εἶναι ποτὲ δὲ μή, τῆς αὐτῆς γε ⟨οὖσιν⟩ οὐσίας ἢ φύσεως, τὸ δὲ νῦν ποτὲ μέν ἐστι ποτὲ δὲ οὐκ ἔστι, καὶ ἄλλοτε ἄλλο ἐστὶ χωρὶς γενέσεως καὶ φθορᾶς (πᾶσα γάρ, φησί, γένεσις ἐν χρόνῳ, ὁμοίως δὲ καὶ φθορά· ὥστε καὶ τὸ νῦν εἰ
5 ἐγίνετο, ἐν χρόνῳ ἂν ἐγίνετο, γινόμενον δὲ ἐν χρόνῳ ἦν ἂν καὶ μεριστὸν f.149v καὶ ἐν διαστήματί τινι· τοῦ γὰρ ἐν χρόνῳ γινομένου τὸ μέν τι γέγονε, τὸ δέ τι γίνεται· κατὰ γὰρ τὰ τοῦ χρόνου μόρια ⟨καὶ τοῦ γινομένου τὰ μόρια⟩ γίνεται· ἔτι πᾶν τὸ γινόμενον ὑποκείμενόν τι ἔχει, ὡς προείρηκε, τῷ δὲ νῦν οὐδὲν ὑπόκειται)· ὥστε εἰ τοῦτο χωρὶς γενέσεως ποτὲ μέν ἐστι ποτὲ δὲ οὐκ
10 ἔστιν, οὕτως ἕξει καὶ τὰ προειρημένα· εἰ δὲ τοῦτο, οὐκ οὐσίαι ταῦτα.

p. 1002b12 Ὅλως δὲ ἀπορήσειεν ἄν τις διὰ τί καὶ δεῖ ζητεῖν ἄλλα ἄττα παρὰ τὰ αἰσθητὰ καὶ μεταξύ.

Καὶ ταύτην τὴν ἀπορίαν ἐξέθετο ἐν τοῖς προλαβοῦσιν. ὃ δὲ λέγει τοῦτό ἐστι. τὴν αἰτίαν πειρᾶται ἀποδοῦναι δι' ἣν οἱ περὶ Πλάτωνα ἐπρέσ-
15 βευσαν τὰς ἰδέας. καὶ ⟨φησὶν ὅτι⟩ βουλόμενοι ἑαυτοὺς ἀναγαγεῖν ἐκ τοῦ πλήθους ἐπὶ τὰς μονάδας, ἐπειδὴ καὶ τὰ αἰσθητὰ πολλὰ ὑπάρχουσιν, ἄνθρωπος, ἵππος καὶ ἄλλα μυρία, ὁμοίως δὲ καὶ τὰ μαθηματικὰ πολλὰ ὑπάρχουσιν· εἰ γὰρ καὶ δοκοῦσι διαφέρειν τῶν αἰσθητῶν τῇ τε ἀυλίᾳ καὶ τῇ ἀκριβείᾳ, ἀλλ' οὖν γε πολλὰ ὑπάρχουσι. φησὶ γοῦν ὁ γεωμέτρης, 'ἐὰν
20 δύο τρίγωνα τὰς δύο πλευρὰς δυσὶν πλευραῖς ἴσας ἔχῃ'. καὶ λαμβάνει πλῆθος. ὥστε βουλόμενοι ἑαυτοὺς ἀναγαγεῖν ἐκ τοῦ πλήθους εἰς μονάδα ἐπρέσβευσαν τὰς ἰδέας. χρὴ μέντοι γε γινώσκειν ὅτι οὐ διὰ τοῦτο μόνον, ἀλλ' ἐπειδὴ ἡ μονάς ἐστι τῶν πάντων προακτική, μᾶλλον δὲ ἡ ἑνάς, τούτου χάριν ἀνήγαγον ἑαυτοὺς ἐπὶ τὰς ἰδέας, τουτέστι τοὺς δημιουργικοὺς
25 λόγους, καθ' οὓς πάντα τὰ ὄντα παράγονται· οὐ γὰρ ἀλόγως παράγονται τὰ παραγόμενα ὑπὸ θεοῦ παραγόμενα. εἶτα λοιπὸν ἀντιλέγει πρὸς αὐτοὺς ὁ Ἀριστοτέλης φάσκων οὕτως ὅτι τὰ εἴδη ταῦτα ἢ ἀριθμῷ ἔχουσι τὸ ⟨ἓν⟩ εἶναι ἢ εἴδει. ἀλλ' εἰ μὲν οὖν εἴδει τὰ αὐτὰ ὑποθώμεθα αὐτὰ εἶναι, συμβήσεται πάντα τὰ ἐνταῦθα ὁμοειδῆ εἶναι, εἴ γε καὶ τὰ παράγοντα τὸ αὐτὸ
30 εἶδος ἔχουσιν, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν· ἄλλο γὰρ εἶδος ἀνθρώπου f.150r καὶ ἄλλο ἵππου, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων· εἰ δὲ πάλιν ἀριθμῷ αὐτὰ ὑποθώμεθα, ἔσονται ἄτομα, οὕτως δὲ ἔνυλα ἔσονται· τὸ γὰρ ἄτομον τέμνεται καὶ μερίζεται ὑπὸ τῆς ὕλης. ἔπειτα δὲ συνέβαινε καὶ ἓν ἀριθμῷ εἶναι πάντα τὰ ὄντα· τὰ γὰρ ὑπὸ ἑνὸς ἀριθμῷ παραγόμενα ἓν
35 ἐστι καὶ αὐτό. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· φαμὲν δὲ ἡμεῖς πρὸς αὐτόν. ὅτι ταῦτα ἐπὶ τῶν ἐνταῦθα γινομένων χώραν ἔχουσι· τὰ γὰρ ἐξ ὁμοειδῶν

---

1 εἰ Alex.: δεῖ libri πᾶσι Alex.: παντὶ libri 2 οὖσιν addidi, sed fort. duce Alexandro legendum est τῆς αὐτῆς γε οὖσι φύσεως 3 πᾶσα Alex.: πάσης libri 4 φθορά· ὥστε Alex.: φθορᾶς τε libri 7 καὶ—μόρια ex Alexandro addidi 15 φησὶν ὅτι addidi 20 πλευραῖς scripsi: ὀρθαῖς libri 22 γε om. D 27 ἓν addidi 34 ἀριθμῷ (post ἑνὸς) scripsi: ἀριθμοῦ libri

ἐνταῦθα γινόμενα ὁμοειδῆ ὑπάρχουσι. καὶ τὰ ἐξ ἑνὸς ἀριθμῷ ἓν τῷ ἀριθμῷ· ἐκεῖνο δὲ καὶ ὑπὲρ εἰδός ἐστιν, εἴ γε καὶ τῶν εἰδῶν ἐστιν προακτικὸν καὶ μένον καὶ μὴ μεταδιδὸν ἑαυτὸ οὕτως παράγει τὰ τῇδε διὰ τὴν γόνιμον αὐτοῦ δύναμιν, οὔτε δὲ ⟨ἓν⟩ ἀριθμῷ, εἴ γε ἄυλόν ἐστι καὶ προακτικὸν τῆς ὕλης· διὸ καὶ ὡς παραγαγὼν αὐτὴν κοσμεῖ αὐτήν. εἶτα πάλιν ἐπιφέρει ἑτέραν ἀπορίαν τοιαύτην περὶ τῶν ἀρχῶν, φάσκων οὕτως, ὅτι πότερον δυνάμει ὑπάρχουσιν αἱ ἀρχαὶ ἢ ἐνεργείᾳ: καὶ βουλόμενος κρύψαι τὸν παραλογισμὸν ἐσιώπησε τὸ ἐνεργείᾳ. καὶ ἐντεῦθεν ἐλέγχει ὃ καί φησιν ἤ τινα ἕτερον τρόπον. εἰ μὲν γὰρ ἐνεργείᾳ ὑπάρχουσιν αἱ ἀρχαί, ἔσονται ἕτεραι ἀρχαὶ τῶν ἀρχῶν, ἐπειδὴ τὸ δυνάμει πρότερόν ἐστι τοῦ ἐνεργείᾳ· εἰ δὲ πάλιν δυνάμει ὑποθώμεθα εἶναι τὰς ἀρχάς, ἰστέον ὅτι οὔτε τὸ ἐνεργείᾳ γίνεται (γέγονε γάρ) οὔτε δὲ τὸ ἀδύνατον γενέσθαι, ὡς ἐπὶ ἀνθρώπου * * ἀλλ' ἐκεῖνο γίνεται τὸ δυνάμενον γενέσθαι. ⟨τὸ⟩ τοίνυν δυνάμει δύναται γενέσθαι, τὸ δὲ δυνάμενον γενέσθαι μέλλει γίνεσθαι, τὸ δὲ μέλλον γίνεσθαι πολλάκις οὐ γίνεται. εἰ οὖν ἐστι δυνάμει τὰ στοιχεῖα, ἐνδέχεται μηδὲν εἶναι τῶν ὄντων· δυνατὸν γάρ ἐστι καὶ μὴ γενέσθαι αὐτά· τῶν δὲ ἀρχῶν μὴ γενομένων οὐδὲ τὰ ἐξ αὐτῶν γίνονται. καὶ οὕτως μὲν ὁ Ἀριστοτέλης. φαμὲν δὲ ἡμεῖς πρὸς τὸ πρῶτον ὅτι ἐνεργείᾳ ὑπάρχουσιν αἱ ἀρχαὶ καὶ οὐκ ἤδη 6.150v διὰ τοῦτο ἄλλαι αὐτῶν ἔσονται πρότεραι ἀρχαί. τὰ γὰρ ἐνεργείᾳ ἐν τοῖς καθόλου, ὡς αὐτὸς ἔλεγεν ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ, πρότερα ὑπάρχουσιν, * * * ὅλως δὲ οὐδὲ ἐν τῷ ἑνί· δεῖ γὰρ τὸ τέλειον προϋπάρχειν τοῦ ἀτελοῦς. ἄλλως τε δὴ οὐδὲ πᾶν τὸ δυνάμει γίνεται· ἡ γὰρ διαίρεσις τῶν μεγεθῶν καὶ ἡ αὔξησις οὐ γίνεται. αἱ μέντοι γε οὐράνιοι κινήσεις γίνονται· δυνάμει γὰρ ὑπάρχει ὁ ἥλιος ἐν κριῷ, γινόμενος πάντως, φησίν, ἐν αὐτῷ ἐνεργείᾳ. ἐφεξῆς τοίνυν τούτοις ζητεῖ, ὅπερ καὶ ἀνωτέρω ἐζήτησεν. ἀλλὰ ἐνταῦθα τὸ ὄνομα ἤμειψε· καθόλου γὰρ λέγει ἐνταῦθα, ἅπερ ἀνωτέρω ἀρχὰς ἐκάλεσε. καί φησιν οὕτως. ἆρά γε τὰ καθόλου ὑπάρχουσιν ἀρχαὶ ἤγουν τὰ καθ' ἕκαστα: εἰ μὲν γὰρ τὰ καθόλου ὑποθώμεθα, οὐκ ἔσονται οὐσίαι αἱ ἀρχαί· οὐδὲν γὰρ τῶν καθόλου οὐσίαν δηλοῖ, ἀλλ' ὥς φησιν ἐν Κατηγορίαις. περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει (ποιότητες γὰρ ὑπάρχουσιν), ἡ δὲ οὐσία τὸ μερικόν ἐστιν. ἄλλως τε δὴ εἰ δῶμεν αὐτὰς εἶναι οὐσίας, ἐπειδὴ ὁ Σωκράτης καὶ ἄνθρωπός ἐστι καὶ ζῷον, φαμὲν δὲ τὰ καθόλου οὐσίας εἶναι. κατὰ δὲ τὰ καθόλου ἔχει ταῦτα. συμβήσεται τὸν Σωκράτη τρεῖς ἔχειν οὐσίας, ὅπερ ἐστὶν ἄτοπον. ὥστε ἀδύνατον τὰ καθόλου εἶναι ἀρχάς. ἀλλ' οὐδὲ τὰ καθ' ἕκαστα, ἐπεὶ οὕτως ἀναιρεθήσεται ἐπιστήμη· τῶν γὰρ καθόλου ὑπάρχουσιν αἱ ἐπιστῆμαι. ὥστε ἄνευ ἐπιστήμης οὐ δυνατόν ἐστι γινώσκεσθαι τὰς ἀρχάς· τῶν δὲ ἀρχῶν ἀγνοουμένων ἐξ ἀνάγκης ἀγνοηθήσονται καὶ τὰ ἐκ τῶν ἀρχῶν. καὶ ταῦτα μὲν ὁ Ἀριστο-

1 ἀριθμῷ scripsi: ἀριθμοῦ libri 2. 3 καὶ μένον om. D 4 ἓν addidi 5 αὐτήν om. D 8 ἐλέγχει ὃ scripsi: ἠλέγχετο libri 12 lacunam indicavi 13 τὸ addidi 20 ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ] Γ 7 p. 431a1 sqq. 21 lacunam indicavi; addendum, ut videtur, τὰ δὲ δυνάμει ἐν τοῖς καθ' ἕκαστα πρότερα ὑπάρχουσιν 21 et 22 οὔτε libri 30 ἐν Κατηγορίαις] 5 p. 3b20 37 γινώσκεσθαι scripsi: γίνεσθαι libri

τέλης· ὁ δὲ ἡμέτερος φιλόσοφός ⟨φησι⟩ πρὸς αὐτὸν ὅτι τὰ καθόλου τὰ ἐν τῇ φαντασίᾳ τῷ ὄντι οὐχ ὑπάρχουσιν οὐσίαι. οὐδὲ τὰ ἐν τῇ ψυχῇ· γνωστικὰ γὰρ ταῦτα μόνα ὑπάρχουσι· τὰ μέντοι γε καθόλου τὰ παρὰ τῷ δημιουργῷ ταῦτα οὐσίαι ὑπάρχουσιν, ἐπειδὴ καὶ γνωστικά εἰσι καὶ δημιουργικὰ καὶ τῶν τῇδε προακτικά. ὁ οὖν Σωκράτης κατὰ μέθεξιν ἐκείνου ἐστὶ ζῷον· οὔτε γὰρ αὐτὴ ἡ οὐσία τοῦ λογικοῦ θεωρεῖται ἐν αὐτῷ, ἀλλὰ ἡ ἔλλαμψις ὡς ἐπὶ τοῦ ἡλίου. τὴν τοίνυν ιζ ἀπορίαν, φησί, παραλέλοιπεν ὡς σαφεστάτην, ἡνίκα ἔλεγεν ὅτι τῶν ἀρχῶν αἱ μὲν ἀκίνητοι ὑπάρχουσιν αἱ δὲ κινούμεναι. ἰστέον οὖν ὅτι αἱ μὲν ὑπὸ ἀκινήτων ἀρχῶν γινόμεναι ἀίδιοι ὑπάρχουσιν, αἱ δὲ ὑπὸ κινουμένων φθαρταὶ προσεχῶς· διὸ τὰ ἐνταῦθα πάντα φθαρτὰ ὡς γινόμενα ὑπὸ τῆς οὐρανίας κινήσεως.

p. 1002b 12 Ὅλως δ' ἀπορήσειεν ἄν τις διὰ τί καὶ δεῖ ζητεῖν ἄλλα ἄττα.

Ἄξιόν ἐστιν ἀπορίας, δι' ἣν αἰτίαν ζητοῦμεν ἄλλα τινὰ παρὰ ταῦτα τὰ αἰσθητὰ καὶ τὰ μεταξύ, τουτέστι τὰ μαθηματικά, οἷον τὰ εἴδη. εἰ γὰρ διὰ τοῦτο, ὅτι τὰ μὲν μαθηματικὰ τῶν δεῦρο, φημὶ δὴ τῶν ἐνταῦθα, ἄλλῳ μέν τινι διαφέρει. τουτέστι τῇ ἀυλίᾳ καὶ τῇ ἀκριβείᾳ. ὡς καὶ ἀνωτέρω εἴρηκε (διὸ καὶ ἡ παροιμία 'γραμμικαῖς ἀνάγκαις'), κατὰ δὲ τὸ εἶναι πολλὰ καὶ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ οὐδὲν ἀλλήλων διαφέρουσιν· ὥστε εἰ πλῆθος θεωρεῖται ἐν αὐτοῖς, οὐχ ὑπάρχουσιν αὐτῶν αἱ ἀρχαὶ κατ' ἀριθμὸν ἀφωρισμέναι. τουτέστιν ὡρισμέναι. εἴ γε πλῆθος ὑπόκειται. ὥσπερ οὐδὲ τῶν ἐνταῦθα γραμμάτων, τουτέστι τῶν κὸ στοιχείων, ἀριθμῷ μὲν πάντων οὔκ εἰσιν αἱ ἀρχαὶ ὡρισμέναι, εἴδει δὲ ὡρισμέναι ὑπάρχουσιν, ⟨ἐὰν⟩ μὴ ὑποθώμεθα τὸ α τὸ κατὰ μόνην τηνδὶ συλλαβήν, τουτέστι τὴν βα· τότε γὰρ ἀριθμῷ ἓν ἐστι τὸ α· εἰ δὲ καὶ ἐπὶ ἄλλων λέξεων θεωρήσομεν τὸ α, τότε οὐκ ἀριθμῷ ἓν ἐστιν ἀλλὰ εἴδει· οὔτε γὰρ τὸ αὐτὸ α ἐστὶ κατ' ἀριθμὸν ἐν τῇ βα συλλαβῇ καὶ τῇ γα, εἴ γε καὶ τὸ σημαινόμενον διάφορον ὑπάρχει. διό φησιν τούτων δὲ ἔσονται καὶ ἀριθμῷ ἀρχαὶ ὡρισμέναι. τουτέστι τῆς βα μόνης συλλαβῆς αὐτῆς καθ' αὑτήν. f. 151v ὁμοίως δὲ καὶ ἐπὶ τῶν μαθημάτων· ἄπειρα γὰρ καὶ ἐν αὐτοῖς ὑπάρχουσι τὰ ὁμοειδῆ. εἰ τοίνυν μὴ ἔστι παρὰ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ ἕτερά τινα ἓν ὑπάρχοντα τῷ ἀριθμῷ, οἷά περ τὰ εἴδη, οὐκέτι ἔσται μία οὐσία τῷ ἀριθμῷ καὶ τῷ εἴδει, οὐδὲ ἀρχαὶ τῶν ὄντων ἀριθμῷ ἔσονται ποσαί τινες ἀλλὰ εἴδει. εἰ τοίνυν ἀναγκαῖον εἶναι εἴδει ⟨καὶ⟩ ἀριθμῷ μίαν ἀρχήν, εἴ γε τὰ πάντα ἐκ μονάδων προέρχεται, ἀναγκαῖον διὰ τοῦτο καὶ τὰ εἴδη εἶναι. παριστάμενος οὖν τῇ δόξῃ ταύτῃ φησὶ 'τὰ γὰρ μαθηματικὰ εἰ καὶ

1 φησι addidi 5 πρακτικά D 6 post οὐσία fort. addendum τοῦ ζῴου καὶ 20 αὐτοῖς scripsi: αὐτῷ libri αὐτῶν ex Aristotele scripsi: τὸ ὧν D: incertum A 24 ἐὰν ex Aristotele addidi 32 οἷάπερ scripsi: παρὰ libri 34 καὶ addidi 36 παριστάμενος—ἐρεῖ (p. 219, 13) pleraque Alexandri sunt

κατὰ ⟨τὰ⟩ ἄλλα διαφέρει τῶν αἰσθητῶν, τῷ ἀίδια εἶναι καὶ τῷ ἀκίνητα. ἀλλὰ κατὰ τὸ πλῆθος οὐδὲν διαφέρει τῶν αἰσθητῶν· οὐ γὰρ ἓν κατ' ἀριθμὸν οὐδὲ τούτων ἕκαστον, ἀλλ' ἔστιν ἕκαστον αὐτῶν εἴδει μὲν ἕν, ἀριθμῷ δὲ πολλά. εἰ δὲ πάντα τὰ τοιαῦτα καθ' ἕκαστα ὅμοια ἀλλήλοις, οὐδὲν ἂν αὐτῶν, φησίν, οὐσία καὶ στοιχεῖον τῶν ἄλλων εἴη. ὥστε εἰ μήτε τούτων μήτε τῶν αἰσθητῶν ἀριθμῷ αἱ ἀρχαὶ ἀφωρισμέναι, οὐκ ἔσονται τῶν ὄντων αἱ ἀρχαὶ ἀριθμῷ ὡρισμέναι, οὐδὲ ἔσται τις ἀριθμῷ οὐσία μία ἐν ταῖς ἀρχαῖς καὶ ὡρισμένη, εἰ μὴ ἄλλαι τινὲς εἶεν οὖσίαι παρά τε τὰς αἰσθητὰς καὶ τὰς μαθηματικάς, ὁποίας τὰς ἰδέας λέγουσιν· οὐδὲ μία γὰρ ἔσται τῶν ἀρχῶν μία ἀριθμῷ οὐσία, εἰ αἱ μὲν αἰσθηταὶ καὶ αἱ μαθηματικαὶ [καὶ] τῷ εἴδει μία, ἄλλη δὲ μὴ ἔστι παρὰ ταύτας οὐσία. ἔτι οὐδὲ οὐσίαι ἔσονται αἱ ἀρχαὶ τῶν ὄντων, εἰ μὴ ἑκάστη αὐτῶν ἀριθμῷ μία· τοῖς γὰρ καθόλου κατὰ συμβεβηκὸς τὸ εἶναι, ὡς προελθὼν ἐρεῖ. παρέθετο δὲ τὰ στοιχεῖα τῶν συλλαβῶν δεικνὺς ἐπὶ τούτων πῶς αἱ ἀρχαὶ καὶ τὰ κατηγορούμενα κοινῶς τινων οὐκ ἔστιν ἀριθμῷ ὡρισμένα ἀλλὰ εἴδει· τῶν γὰρ καθ' ἕκαστα ἄλφα τὸ κοινὸν ἄλφα ἀρχή, εἴδει ὂν ἕν, οὐκ ἀριθμῷ· ὁμοίως δὲ καὶ τῶν ἄλλων στοιχείων. ὡς δὲ ἐπὶ τῶν οὕτως στοιχείων, οὕτως καὶ τῶν καθ' ἕκαστα f. 152r ἀνθρώπων ὁ ἄνθρωπος, καὶ τῶν ἄλλων αἰσθητῶν ὁμοίως. εἰπὼν δὲ τῶν ἐνταῦθα γραμμάτων αἱ ἀρχαὶ ἀριθμῷ μὲν οὔκ εἰσιν ὡρισμέναι, εἴδει δέ, ἐπεὶ ἐπὶ τῶν ἀφωρισμένων ⟨οἷον⟩ συλλαβῆς τῆσδέ τινος ἔστιν εἰπεῖν τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς ταύτης τῆς συλλαβῆς ἀφωρισμένας εἶναι (τῆσδε γὰρ τῆς βα συλλαβῆς τόδε τὸ β καὶ τόδε τὸ α ἀρχαὶ καὶ στοιχεῖα ἀφωρισμένα κατ' ἀριθμόν), παρέθετο καὶ τοῦτο, καὶ ἔδειξεν ὅτι ἐπὶ μὲν τῶν οὕτως λαμβανομένων συλλαβῶν καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων συνθέτων ἀφωρισμένας ἀριθμῷ τὰς ἀρχὰς ἔστι λαβεῖν, ἀλλ' αὐτῶν πάλιν τούτων τὰ κοινὰ ἀρχαί· τὸ γὰρ ἐν τῇδε τῇ συλλαβῇ α καὶ τὸ ἐν τῇδε τὸ κοινὸν κατηγορούμενον α ἀρχὴν ἔχουσιν. ὁμοίως οὖν ἐστι καὶ ἐπὶ τῶν μαθηματικῶν. ἀναγκαῖον οὖν εἶναι τὰς ἰδέας διὰ τὸ ἐν ἐκείναις γίνεσθαι ἓν τῷ ἀριθμῷ. καὶ γὰρ εἰ μὴ καλῶς διαρθροῦσι λέγοντες, ἐπειδὴ συμβολικῶς λέγουσιν, ἀλλ' ἔστι γε τοῦτο ὅπερ βούλονται δηλῶσαι, ἓν τῷ ἀριθμῷ τὴν ἀρχήν· ἐπ' αὐτῶν δὲ μόνων, φησίν, συνᾴδει ὁ λόγος· καὶ ἀνάγκη ταῦτα λέγειν αὐτούς, ὅτι τῶν εἰδῶν οὐσία τις ἕκαστον καὶ οὐχ ἓν κατὰ συμβεβηκὸς ἐκεῖσε. καὶ πάνυ καλῶς τοῦτο λέγει ὁ Ἀριστοτέλης· εἰ γὰρ συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, ἐκεῖσε δὲ οὐδὲν ἀπογίνεται, δῆλον ὡς ὅτι οὐκ ἔστι συμβεβηκός. ἀναγκαῖον οὖν ἔδοξε πολλάς τινας οὐσίας θέσθαι, ὧν ἑκάστη κυρίως ἔσται

---

1 τὰ ex Alexandro addidi 4. 5 οὐδὲν ἂν αὐτῶν Alex.: ὅτι αὐτὰ libri 8 ὡρισμένη Alex.: ὡρισμέναι libri οὐσίαι Alex.: οὖσαι libri 10 ἀρχῶν Alex.: ἀριθμῶν libri αἰσθηταὶ καὶ Alex.: αἰσθητικαὶ libri καὶ delevi Alexandrum secutus 11. 12 οὐσίαι ἔσονται αἱ ἀρχαὶ Alex.: αἱ οὐσίαι ἔσονται ἀρχαὶ libri 13 παρέθετο—ἔχουσιν (27) pleraque Alexandri sunt 15 τινὸς Alex. 20 ἐπεὶ deest Alexandro οἷον ex Alexandro addidi 23 παρέθετο οὖν Alex. 25 ἀφωρισμένως libri: ἐφ' ὧν ὡρισμένας Alex. 31 συνᾴδει scripsi: εὔδει libri

οὐσία οὐ κατὰ μετουσίαν τινὸς οὐδὲ κατὰ συμβεβηκὸς τὸ εἶναί τε καὶ τὸ ἓν ἔχουσα· κατὰ συμβεβηκὸς γὰρ ἐν τῷ εἴδει τὸ ἓν ἀλλ' οὐ κυρίως. ἀλλὰ πάλιν, φησίν, εἰ ὑποθώμεθα τὰ εἴδη ἀριθμῷ ἔχειν τὸ ἕν, τουτέστι τὰς ἀρχάς, καὶ μὴ εἴδει, πολλὰ συμβέβηκε τὰ ἀδύνατα, καθάπερ καὶ ἀνωτέρω
5 εἰρήκαμεν καὶ ἐν τῇ θεωρίᾳ, ὅτι ἔσται ἔνυλος ἡ ἀρχὴ καὶ ἓν τὸ γινό- f. 152v
μενον, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν.

p. 1002b32 Σύνεγγυς δὲ τούτων ἐστὶ τὸ διαπορῆσαι.

Ἡ ἀπορία πάνυ ἐστὶ λογική· ζητεῖ δὲ πότερον τὰ στοιχεῖα δυνάμει ὑπάρχουσιν ἢ ἐνεργείᾳ· διὰ γὰρ τοῦ εἰπεῖν ἤ τινα ἕτερον τρόπον τὸ
10 ἐνεργείᾳ ἐδήλωσεν. εἰ μὲν γὰρ ἄλλως πως, τουτέστιν εἰ ὑποθώμεθα τὰς ἀρχὰς ἐνεργείᾳ εἶναι, ἔσται τῶν ἀρχῶν ἄλλο τι πρότερον· πρότερον γὰρ τὸ δυνάμει τοῦ ἐνεργείᾳ· ὥστε ἡ τῆς κατ' ἐνέργειαν αἰτίας καὶ ἀρχῆς δύναμις προτέρα ἔσται, τῆς ἀρχῆς οὔσης γε κατ' ἐνέργειαν. τὸ γὰρ δυνατὸν οὐκ ἀναγκαῖον ἤδη καὶ ἐνεργείᾳ εἶναι· ὥστε εἰ μὴ ἀντιστρέφει, ἀλλὰ τοῦ μὲν
15 ἐνεργείᾳ ὄντος προηγεῖται, φησίν, ἡ δύναμις καὶ παντὶ ἐνυπάρχει, οὐκ ἐν παντὶ δὲ τῷ δυνατῷ ἤδη ἐνέργεια, προτέρα ἡ δύναμις ἔσται. πάνυ δὲ βραχέως ἡρμήνευσε συνάψας τῷ πρότερον γὰρ ἡ δύναμις ἐκείνης τῆς αἰτίας τὸ δὲ δυνατὸν οὐκ ἀναγκαῖον ἐκείνως πᾶν ἔχειν, τουτέστιν ἐνεργείᾳ εἶναι. τὸ δὲ ἐκείνης τῆς αἰτίας εἶπεν ἀντὶ τοῦ ἐκείνης τῆς
20 ἀρχῆς, τοῦ ἐνεργείᾳ. εἰ δέ τις ὑποθοῖτο τὰ στοιχεῖα δυνάμει εἶναι καὶ μὴ ἐνεργείᾳ, τούτῳ ἀκολουθήσει τὸ ἐνδέχεσθαι μηδὲν ὅλως [δυνατὸν] εἶναι· δύναται γὰρ εἶναι καὶ τὸ μηδέπω ὄν, ὥστε αἱ ἀρχαὶ εἰ δυνάμει ὑπάρχουσι, δύνανται μὴ εἶναι· εἰ δὲ αὗται μὴ εἶεν, οὐδὲ τὰ ἐξ αὐτῶν. ὅτι δὲ δυνατὸν εἶναι καὶ τὸ μὴ ὄν, οὕτως ἐδείξεν· εἰ τὸ γινόμενον οὐκ ἔστι
25 (τοῦτο γὰρ εἶπε διὰ τοῦ γίνεται μὲν γὰρ τὸ μὴ ὄν), τὸ δὲ δυνατὸν γίνεται, τὸ [δὲ] δυνατὸν οὐκ ἔστιν. ἔλαβε δὲ τὴν δευτέραν πρότασιν διὰ τοῦ οὐδὲν δὲ γίνεται τῶν εἶναι ἀδυνάτων.

p. 1003a5 Ταύτας τε οὖν τὰς ἀπορίας ἀναγκαῖον ἀπορῆσαι περὶ τῶν ἀρχῶν.

30 Πάλιν μέμνηται τῆς πρόσθεν ἤδη ῥηθείσης ἀπορίας, πότερον τὰ στοιχεῖα καὶ αἱ ἀρχαὶ τῶν ὄντων καθόλου εἰσὶ καὶ κοινά τινα, ἤγουν τὰ καθ' ἕκαστα. καὶ προστίθησιν ἄλλην ἀπορίαν παρὰ τὴν ῥηθεῖσαν. εἰ μὲν f. 153r
γάρ, φησί, καθόλου ὑπάρχουσιν αἱ ἀρχαί, οὐκ ἔσονται οὐσίαι· ἡ μὲν γάρ

---

4 συμβέβηκε τὰ ἀδύνατα scripsi: συμβεβηκότα ἀδύνατον libri 8 ἡ ἀπορία—ἀδύνατων (27) pleraque Alexandri sunt 13 γε Alex.: τε libri 18 τὸ δὲ] sic etiam Alex.: τὸ τὸ δὲ recte Bonitz ἐκείνως ex Aristotele et Alexandro scripsi: ἐκεῖ πῶς libri 20 ἀρχῆς ἥτις ἦν κατ' ἐνέργειαν Alex. 21 δυνατὸν Alexandrum secutus delevi 24 μὴ ὄν Alex.: μὲν libri 26 δὲ (post τὸ) delevi 30 πάλιν μέμνηται—ὑπέκειτο (p. 221,10) Alexandri sunt

οὐσία ὑποκείμενον καὶ τόδε τι, οὐδὲν δὲ τῶν κοινῶν ὑποκείμενόν ἐστι καὶ τόδε τι ἀλλὰ τοιόνδε· οὐδὲ γὰρ τὰ τῶν οὐσιῶν γένη καὶ εἴδη τόδε τι σημαίνει, ἀλλὰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει, ὡς εἴρηται ἐν Κατηγορίαις. ὅτι γὰρ μὴ τόδε τι δηλοῖ τὸ κοινόν, οὕτως δείκνυσιν. εἴ τις λέγοι, φησί, τὸ κοινὸν τόδε τι καὶ ὑπὸ ἔκθεσιν καὶ δεῖξιν πίπτειν, ὁ Σωκράτης ἡ ἄτομος οὐσία πολλὰ ἔσται ζῷα ἅμα κατ' ἀριθμόν (καὶ γὰρ αὐτὸς Σωκράτης ζῷον ὤν καὶ ἄνθρωπος), εἴ γε καὶ ὁ ἄνθρωπος ζῷόν τε καὶ τόδε τι καὶ καθ' αὑτὸ ὂν καὶ ὑπὸ δεῖξίν τε καὶ ἔκθεσιν πῖπτον. ἔστι γὰρ ὁ Σωκράτης καὶ ἄνθρωπος, καὶ οὐ ταὐτόν ἐστι τὸ Σωκράτει καὶ ἀνθρώπῳ εἶναι. ἀλλὰ καὶ ζῷον· καὶ γὰρ ζῷον ὁ Σωκράτης. ὃ καὶ αὐτὸ ὑπέκειτο· ὥστε ὁ Σωκράτης τρεῖς ἔχει οὐσίας. διό, φησί, πολλὰ ἔσται ζῷα ὁ Σωκράτης, αὐτός τε καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον, εἴπερ σημαίνει ἕκαστον αὐτῶν τόδε ⟨τι⟩ ὂν καὶ ἕν. εἰ μὲν οὖν τις ὑποθοῖτο καθόλου εἶναι τὰς ἀρχὰς ταῦτα συμβαίνει ἄτοπα. εἰ δὲ πάλιν τὰ καθ' ἕκαστα ὑποθοῖτο ἀρχάς, ἀναιρεθήσεται ἐπιστήμη· τῶν γὰρ καθόλου καὶ ἀεὶ ὡσαύτως ἐχόντων ἡ ἐπιστήμη. πόθεν οὖν ἔσονται γνωσταὶ αἱ ἀρχαί; οὐκοῦν οὐδὲ τὰ ἐκ τῶν ἀρχῶν. ὥστε πάντων δεῖ ἀρχὰς εἶναι προτέρας καθόλου τούτων τῶν ἀρχῶν, ἐάν περ μέλλῃ ἔσεσθαι ἐπιστήμη τῶν ἀρχῶν. ἰστέον οὖν ὅτι τὰ πλεῖστα ἐξ ἐνδόξων ἔχουσι τὰς ἐπιχειρήσεις καὶ κατὰ τὸ πιθανόν· οὔτε δὲ οἷόν τε ἦν εἰς τὰ ἀντικείμενα ἐπιχειρῆσαι μὴ λογικαῖς ἐπιχειρήσεσι χρησάμενον, οὔτε δὲ λύεσθαι δυνατὸν ἦν αὐτάς, εἰ ἦσαν ἀληθεῖς.

f.153v

---

3 ἐν Κατηγορίαις] c. 5 p. 3b20 4 ὅτι δὲ Alex. 5 ὁ D Alex.: ἡ A 7 καὶ ἄνθρωπος καὶ ζῷον τόδε τι Alex. vulg. 9 τὸ] τῷ libri 10 αὐτὸ Alex.: αὐτοῦ libri 12 τι ex Aristotele addidi 13 ταῦτα ex Aristotele scripsi: ταύτας libri 15. 16 πόθεν οὖν scripsi: ποτὲ οὐκ libri

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Γ ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ f. 151r ΓΕΝΟΜΕΝΑ ΥΠΟ ΑΣΚΛΗΠΙΟΥ ΑΠΟ ΦΩΝΗΣ ΑΜΜΩΝΙΟΥ ΤΟΥ ΕΡΜΕΙΟΥ.

p. 1003a21 Ἔστιν ἐπιστήμη ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν καὶ τὰ τοῦτῳ ὑπάρχοντα.

Ὁ σκοπὸς τοῦ προκειμένου βιβλίου ἐστὶν ἐπιλύσασθαι τὰς πολλὰς τῶν ἀπορι-ῶν τῶν εἰρημένων ἐν τῷ δευτέρῳ, τουτέστιν ἐν τῷ B. ζητεῖ δὲ καὶ περὶ τῆς ἀντιφάσεως, εἴτε αὐτόπιστός ἐστι κρείττων οὖσα πάσης ἀποδεί-ξεως, ὅτι ἐπὶ παντὸς ἢ ἡ κατάφασις ἤγουν ἡ ἀπόφασις ἀληθεύει, εἴτε δυνατόν ἐστιν ἀποδεῖξαι τοῦτο αὐτό, ὅτι ἐπὶ παντὸς ἢ ἡ κατάφασις ἤγουν ἡ ἀπόφασις ἀληθεύει. πρὸς ἐπὶ τούτοις δὲ ζητεῖ καὶ περὶ τῆς ἀκαταλη-ψίας μαχόμενος πρὸς τοὺς καλουμένους ἐφεκτικούς, καὶ δείκνυσιν ὅτι οὐκ ἔστιν ἀκαταληψία ἀλλὰ καταληπτὰ ὑπάρχουσι τὰ πράγματα. εἶτα λοιπὸν κατὰ τὸ προοίμιον ζητεῖ τοῦτο, ἐπειδὴ ἠπόρησεν ἐν τῷ πρὸ τούτου βιβλίῳ ζητῶν εἰ ἄρα ὁ πρῶτος φιλόσοφος διαλέξεται περὶ πασῶν τῶν οὐσιῶν, τοῦτο αὐτὸ ἐνταῦθα ἐπιλύεται δεικνὺς ὅτι περὶ πασῶν τῶν οὐσιῶν διαλέξεται ὁ πρῶτος φιλόσοφος, πολυπραγμονῶν καὶ τὰς αἰτίας αὐτῶν καὶ τὰ καθ' αὑτὸ ὑπάρχοντα αὐτοῖς, οἷον, εἰ τύχοι, περὶ ὁμοιότητος καὶ ἀνομοιότητος καὶ ἑτερότητος καὶ ταυτότητος. αἱ δὲ ἄλλαι καὶ κατὰ μέρος ἐπιστῆμαι μέρος τι τοῦ καθόλου ἀποτεμόμεναι περὶ τούτου θεωροῦσιν. οἷον γεωμετρία περὶ μεγεθῶν καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς μεγέθεσιν, οἷον τοῖς τριγώ-νοις, εἰ τύχοι, τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν· ὁμοίως δὲ καὶ ὁ ἀριθμητικὸς περὶ ἀριθμῶν καὶ ὁ ἀστρονόμος περὶ σχημάτων ἀστέρων μεγεθῶν κινήσεων. ὡσαύτως δὲ καὶ αἱ ἄλλαι πᾶσαι ἐπιστῆμαι. προθέ- f. 151v μένος οὖν ἐν τῇ Μετὰ τὰ φυσικὰ πραγματείᾳ, ἣν καὶ Σοφίαν καὶ Πρώτην φιλοσοφίαν, ἔστι δὲ ὅτε καὶ Θεολογίαν αὐτὴν καλεῖ, περὶ τοῦ ὄντος ᾗ ὂν θεωρῆσαι καὶ δείξας ὅτι ἡ προκειμένη πραγματεία μήτε τῶν περὶ τὴν τῶν

12 ἐφεκτικοὺς ex ἐφεσικοὺς corr. A 24. 25 προθέμενος—πρὸς ἕν (p. 223,28) Alexandri sunt 26 ἔτι δὲ D θεολογικὴν ἔθος αὐτῷ καλεῖν Alex. 27 δείξας Alex.: δεῖξαι libri

ἀναγκαίων γνῶσιν καταγινομένων ἐστὶ τεχνῶν ἢ ἐπιστημῶν μήτε τῶν περὶ τὰ χρήσιμα, ἀλλ' ἔστιν αὐτῆς χάριν τῆς γνώσεώς τε καὶ ἐπιστήμης μετιοῦσα † αὐτὰ εἰς αὐτὰ μέτεισι, δείξας δὲ αὐτὴν θεωρητικὴν οὖσαν τῶν πρώτων ἀρχῶν τε καὶ αἰτίων (ταῦτα γὰρ μάλιστα ὄντα), πρὸ τοῦ ζητεῖν τίνες αἱ πρῶται ἀρχαί, κινήσας καθόλου τὸν περὶ αἰτίων λόγον καὶ τὰς δόξας τῶν πρὸ αὐτοῦ τὰς περὶ τῶν ἀρχῶν ἐκθέμενός τε καὶ ἱστορήσας καὶ ἀντειπὼν πρὸς αὐτάς, δείξας δὲ καὶ ὅτι [εἰ] εἰσί τινες ἀρχαὶ πρῶται καὶ οὐκ ἐπ' ἄπειρον ἡ τῶν ἀρχῶν ἄνοδος, καὶ ἐπὶ τούτοις ὡς χρήσιμον καὶ ἀναγκαῖον πρὸς τὴν εὕρεσιν τῶν τῇ σοφίᾳ προκειμένων ἀπορήσας τινὰς ἀπορίας περί τε τοῦ ὄντος καὶ τῶν ἀρχῶν καὶ τῶν τούτοις παρακειμένων, μετὰ τὰς ἀπορίας ἄρχεται τοῦ τρίτου βιβλίου λοιπὸν ἐν τούτῳ λέγων τε καὶ κατασκευάζων τὰ αὐτῷ δοκοῦντα καὶ λύων τὰ ἠπορημένα. δείκνυσι δὲ ἐν τῷ βιβλίῳ περὶ τίνα ἐστὶν ἡ σοφία, ἣν καὶ φιλοσοφίαν ὀνομάζει καὶ πρώτην φιλοσοφίαν. καὶ πρῶτον μὲν συνίστησιν ὅτι περὶ τὸ ὂν καθόλου, καὶ ἐπεὶ τῷ ὄντι τὸ ἓν κατὰ τὸ ὑποκείμενον τὸ αὐτό, ὅτι καὶ περὶ τοῦτο. ἀλλὰ καὶ περὶ τῶν ὑπὸ τὸ ἕν, ὧν ἐστι τὸ ταὐτὸν τὸ ἴσον τὸ ὅμοιον. ἀλλὰ καὶ περὶ τῶν ἀντικειμένων τῷ ἑνί, ταῦτα δέ ἐστι τὰ πολλά· τῆς γὰρ αὐτῆς ἡ γνῶσις τῶν ἀντικειμένων. καὶ περὶ τῶν τοῖς εἰρημένοις ἄρα ἀντικειμένων, ἀλλὰ καὶ περὶ πάντων τῶν ἐναντίων· πάντα γὰρ τὰ ἐναντία ὑπὸ τὴν ἑτερότητα. ἡ δὲ ἑτερότης ὑπὸ τὰ πολλά, τὰ δὲ πολλὰ καὶ ἓν ἀντικείμενα. εἰ δὲ περὶ πάντων τῶν ἐναντίων τε καὶ ἀντικειμένων, δῆλον καὶ ἐκ τούτου ὅτι περὶ παντὸς τοῦ ὄντος· πάντα γὰρ τὰ ὄντα ἐν τούτοις· ἢ f. 155r γὰρ ἐναντία ἢ ἐξ ἐναντίων. ἀλλ' εἰ περὶ πάντα τὰ ὄντα, καὶ περὶ πάντα τὰ καθ' αὑτά τε καὶ κοινῶς τῷ ὄντι ἢ ὂν ὑπάρχοντα· τοιαῦτα δὲ καὶ τὰ ἀξιώματα. ἐφ' οἷς δείκνυσιν ὅτι κοινότατον καὶ γνωριμώτατον τῶν ἀξιωμάτων ἐστὶ τὸ μὴ δύνασθαι συνυπάρχειν τὴν ἀντίφασιν. πρῶτον δὲ ἐν αὐτῷ δείκνυσι, λαβὼν ὅτι ἡ σοφία περὶ τὸ ὄν, ὅτι τὸ ὂν οὕτως λέγεται πολλαχῶς ὡς τὰ ἀφ' ἑνός τε καὶ πρὸς ἕν, ὥσπερ τὸ ἰατρικὸν σιτίον καὶ ἰατρικὸν φάρμακον· ταῦτα γὰρ ὁμώνυμα τυγχάνουσιν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· ἀπὸ γὰρ τῆς ἰατρικῆς ἑνὸς πράγματος παρήχθησαν καὶ πρὸς ἓν τὴν ἰατρικὴν νεύουσιν. οἱ μέντοι γε Αἴαντες εἰ καὶ ὁμώνυμοί εἰσιν, ἀλλ' οὖν οὐχ ὑπάρχουσιν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· οὔτε γὰρ ἀπὸ ἑνός τινος παρήχθησαν, ἀλλὰ ἐκλήθησαν οὕτω κατὰ τύχην. καὶ τὰ ὄντα οὖν ὁμώνυμά εἰσιν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν πάντα· ἐσχήκασι γὰρ τὴν ὀνομασίαν καὶ τὴν πρόοδον ἐκ τοῦ κυρίως ὄντος, τουτέστι τῆς ἑνάδος. καὶ ὅτι τῶν οὕτως πολλαχῶς λεγομένων ὡς ἀφ' ἑνός τε καὶ πρὸς ἕν, ὡς λέγεται καὶ τὸ ὂν ἕν, μία ἐπιστήμη δοκεῖ καὶ τοῦ

3 αὐτὰ εἰς αὐτὰ] verba corrupta: εἰς αὐτὰ om. Alex. vulg.: ἐπ' αὐτὰ unus liber 7 εἰ Alexandrum secutus delevi 12. 13 ἐν τῷδε τῷ Alex. 16 ὑπὸ — περὶ τῶν (17) om. D 18 τῶν τοῖς — καὶ περὶ (19) om. D καὶ οὐ περὶ τῶν τοῖς εἰρημένοις μόνον Alex. libri duo 27 post περὶ τὸ ὄν add. πῶς λέγεται τὸ ὄντα ὂν καὶ D: eadem in margine adscr. A (καὶ manus recentior), nullo tamen signo addito, quo ad textum referantur: desunt Alexandro 37 ὡς — μεταξύ (p. 224, 12) Alexandri sunt ὡς δὲ Alex.

ὄντος ᾗ ὄν· ὅθεν καὶ περὶ τὴν τούτου θεωρίαν ἐστὶν ἡ προκειμένη ἐπιστήμη, πρώτη τε οὖσα πασῶν ἐπιστημῶν καὶ κυριωτάτη. ἐρεῖ δὲ καὶ ὅτι καὶ περὶ ταὐτὰ τῷ σοφῷ ὅ τε διαλεκτικὸς καὶ ὁ σοφιστής (περὶ γὰρ τῶν κοινῶς τῷ ὄντι ᾗ ὄν ὑπαρχόντων καὶ οὗτοι τοὺς λόγους ποιοῦνται· οὐ γὰρ περί τι ἓν γένος ἡ πραγματεία αὐτοῖς, ὡς ἑκάστῃ τῶν ἄλλων τεχνῶν τε καὶ ἐπιστημῶν), ἀλλ' ὁ μὲν αὐτῶν ψευδὴς καὶ διὰ ψευδῶν ἐπιχειρητικός, ὁ δὲ διὰ πιθανῶν τε καὶ ἐνδόξων· ἡ δὲ σοφία ἐπιστημονικῶς τούτων ἐστὶ τῶν κοινῶς τῷ ὄντι ᾗ ὄν ὑπαρχόντων θεωρητική. δεικνὺς δὲ τὸ μὴ δύνασθαι ἅμα τὴν ἀντίφασιν εἶναι ἀληθῆ ἢ ψευδῆ, ἀλλὰ κατὰ παντὸς δεῖν θάτερον μέρος τῆς ἀντιφάσεως ἀληθὲς θάτερον δὲ ψευδὲς εἶναι, ἀντερεῖ p. 155v καὶ πρὸς Ἡράκλειτον καὶ Πρωταγόραν, οἳ ᾤοντο εἶναί τι τῆς ἀντιφάσεως μεταξύ.

p. 1003a21 Ἔστιν ἐπιστήμη τις, ἣ θεωρεῖ τὸ ὂν ⟨ᾗ ὄν⟩ καὶ τὰ .. τούτῳ ὑπάρχοντα καθ' αὑτό.

Λαμβάνει πρῶτον μὲν τὸ εἶναί τινα ἐπιστήμην περὶ τὸ ὂν ᾗ ὄν, τουτέστι τοῦ ὄντος ᾗ ὂν θεωρητικήν τε καὶ ἀποδεικτικὴν τῶν τούτῳ καθ' αὑτὸ ὑπαρχόντων [ἀποδεικτικήν]. διό φησιν ἔστιν ἐπιστήμη τις, ἥτις θεωρεῖ τὸ ὄν, καθὸ ὄν ἐστι, καὶ τὰ ὑπάρχοντα τῷ ὄντι καθ' αὑτό. καὶ τὸ μὲν εἶναί τινα τὴν ἐπιστήμην περὶ τὸ ὂν προϊὼν δείκνυσι· νῦν δὲ προστίθησιν ὡς ὅτι ἡ τοιαύτη ἐπιστήμη θεωροῦσα καθόλου τὸ ὄν, ᾗ ὄν ἐστι, διαφέρει τῶν ἄλλων πασῶν ἐπιστημῶν. ἔπειτα δείκνυσιν ὅτι αὕτη ἐστὶν ἡ σοφία, περὶ ἧς νῦν ἡμῖν ἐστιν ὁ παρὼν λόγος. τοῦτο δὲ δείκνυσι διὰ τοῦ δεῖξαι τὰς ἀκροτάτας ἀρχάς τε καὶ αἰτίας, περὶ ἃς ὁ σοφὸς καταγίνεται, πρῶτον μὲν οὔσας φύσεώς τινος ἀρχὰς καθ' αὑτάς, ἔπειτα ὅτι ταύτης τῆς φύσεως· τοῦ γὰρ ὄντος ᾗ ὂν αἱ τοιαῦται ἀρχαί.

p. 1003a23 Οὐδὲ μία γὰρ τῶν ἄλλων ἐπιστημῶν.

Ὅτι τοίνυν οὐκ ἔστιν ἡ πρώτη σοφία ἡ αὐτὴ ταῖς ἄλλαις ἐπιστήμαις, δείκνυσιν ἐντεῦθεν. φησὶ γὰρ ὅτι οὐδεμία τῶν ἄλλων ἐπιστημῶν ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος, ᾗ ὄν ἐστιν. ἀλλὰ περί τι ὂν καὶ μέρος τοῦ ὄντος ἀποτεμομένας πραγματεύεσθαι. ἡ μὲν γὰρ ἀριθμητικὴ περὶ ἀριθμούς, οἵτινές τι ὄν εἰσιν, ἡ δὲ γεωμετρία περὶ γραμμὰς καὶ ἐπίπεδα καὶ στερεά, ἃ καὶ αὐτά τινα ὄντα. τὸν αὐτὸν τρόπον καὶ ἑκάστη τῶν ἄλλων ἐπιστημῶν περὶ μέρος τι τοῦ ὄντος καταγίνεται καὶ τὰ τούτῳ ὑπάρχοντα καθ' αὑτὰ θεωρεῖ (τὸ γὰρ συμβεβηκὸς τοῦτο σημαίνει νῦν)· τοῦτο γὰρ τῆς

---

3 περὶ ταῦτα A¹ 7 διὰ πιθανῶν—ἐπιστημονικῶς om. D 9 καὶ ψευδῆ D 13 ᾗ ὂν addidi coll. vv. 15 et 18 15 λαμβάνει—ἀρχαί (25) pleraque Alexandri sunt 16 καθ' αὑτὰ Alex. 17 ἀποδεικτικήν delevi 21 αὕτη Alex.: αὐτὴ libri 24 τινος Alex.: τινας libri 26 ἄλλων ex Aristotele scripsi: ὄντων libri 30. ἡ μὲν γὰρ—ἐκείνων εἴη (p. 225.4) Alexandri sunt 34 τὸ γὰρ ᾗ συμβεβηκότα A¹

περὶ ἕκαστον ἐπιστήμης ἴδιον. ἡ δὲ μὴ περὶ ὄν τι καταγινομένη μήτε περὶ μέρος τοῦ ὄντος, ἀλλὰ ἁπλῶς περὶ τὸ ὄν, καθὸ ὄν ἐστιν, ἡ πρώτη ἐστὶ φιλοσοφία, δι' ὃ καὶ τὰ ὄντα, καὶ τοῦτο ὑποκείμενον ἔχουσα ἄλλη ἂν f. 156r ἐκείνων εἴη.

5 p. 1003a21 Ἔστιν ἐπιστήμη τις, ἣ θεωρεῖ τὸ ὂν ᾗ ὄν.

Τὸ προκείμενον βιβλίον, ὡς εἴρηται, ὑφηγηματικὸν ὑπάρχει, τὸ δὲ πρὸ αὐτοῦ ἀπορητικόν. διὰ τοῦτο τοίνυν τὰς ἀπορίας τὰς εἰρημένας ἐν τῷ πρὸ τούτου βιβλίῳ ἐπιλύεται καὶ ζητεῖ περὶ τῶν ἀρχῶν πάσης τέχνης. εἶτα ὕστερον ζητεῖ καὶ περὶ τῆς ἀντιφάσεως καὶ πολυπραγμονεῖ αὐτὴν 10 ζητῶν εἴτε αὐτόπιστός ἐστιν εἴτε καὶ ἀποδείξει ὑποβάλλεται· καὶ πειρᾶται ἀποδεῖξαι αὐτήν. καὶ ἔστιν ἁπλῶς εἰπεῖν ἡ παροῦσα θεωρία λογικωτάτη.

p. 1003a21 Ἔστιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὄν καὶ τὰ τούτῳ ὑπάρχοντα καθ' αὑτά.

Διὰ τῶν νῦν λεγομένων ὁ Ἀριστοτέλης βούλεται ἡμῖν δεῖξαι ὅτι ἔστι 15 τις ἐπιστήμη ἡ τοῦ ὄντος, καθὸ ὄν ἐστιν, ἀντὶ τοῦ κυρίως ὄντος· ὅπερ κυρίως ὂν ἀγαθόν φησι καὶ πρῶτον καὶ ἔχον γόνιμον δύναμιν, καὶ ἐξ αὐτοῦ πάντα τὰ ἄλλα προερχόμενα. αἱ γὰρ ἄλλαι ἐπιστῆμαι μέρος τι τοῦ ὄντος ἀποτεμόμεναι οὕτως διελέχθησαν περὶ αὐτοῦ, οἷον ὥσπερ αἱ μαθηματικαὶ ἐπιστῆμαι· ἡ μὲν γὰρ ἀριθμητικὴ περὶ ἀριθμούς, ἡ δὲ γεωμετρία 20 περὶ μεγέθη, ἡ δὲ ἀστρονομία περὶ τῶν οὐρανίων σωμάτων· ἡ δὲ φυσιολογία περὶ τῶν φυσικῶν πραγμάτων. ζητεῖ οὖν εἰ ἔστιν ἐπιστήμη τοῦ κυρίως ὄντος· καὶ τέως μὲν ὅτι ἔστιν ὡς ὁμολογούμενον λαμβάνει, προϊὼν δὲ δείκνυσιν τοῦτο. ἐὰν οὖν τις εἴποι ὅτι οὐκ ἔστι τὸ ὂν αὐτὸ καθ' αὑτό, ἀλλὰ ἢ ἐν ψυχῇ θεωρεῖται ἢ ἐν νῷ ἢ ἐν ἄλλῳ ζῴῳ ἤγουν ἐν ἄλλῳ 25 πράγματι, ἐροῦμεν πρὸς αὐτὸν ὅτι οὐχ ᾗ νοῦς ἐστιν ὄν ἐστιν, ἐπεὶ οὕτως ἔδει τὰ παρὰ τὸν νοῦν μὴ ὄντα εἶναι· νυνὶ δὲ ὁρῶμεν ὅτι καὶ ψυχαὶ ὄντα εἰσὶ καὶ τὰ σώματα ὑπάρχουσιν. ὥσπερ καὶ τὸν Σωκράτη φαμὲν ἄνθρωπον εἶναι λευκόν· οὐ καθὸ δὲ ἄνθρωπός ἐστι, λευκός ἐστιν, ἀλλὰ ἕτερον ὑπάρχων παρὰ τὸ λευκὸν οὕτως ἔστι λευκός· οὕτως οὖν φημι καὶ ἐπὶ τοῦ f. 156v 30 νοῦ καὶ τῶν ἄλλων τῶν ὄντων ὅτι οὐχ ᾗ νοῦς ἐστιν ὄν ἐστιν, ἐπεί, ὡς εἴρηται, ἔδει τὰ παρὰ τὸν νοῦν μὴ ὄντα εἶναι, ὥσπερ λέγομεν τὸ τρίγωνον, καθὸ τρίγωνόν ἐστι, τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν, καὶ τὸ μὴ ὂν τρίγωνον οὐκ ἔχει τὸ σύμπτωμα. ὥστε οὐχ ᾗ νοῦς ἐστιν, ὄν ἐστι. τὸ μέντοι κυρίως ὂν ἐν αὐτῷ τῷ ὄντι τὴν ὕπαρξιν ἔχει καὶ τὰ μὴ

1 μὴ περὶ Alex.: περὶ μὴ libri 2 ἡ—φιλοσοφία (3) desunt Alexandro 3 διὸ καὶ τά τινα ὄντα ὄντα καὶ τοῦτο ὑποκείμενον Alex. vulg.: διὸ καὶ οὐ τά τινα ὄντα ὄντα ὑποκείμενον Alex. cod. L 5 τὸ ὂν ᾗ ὄν] τὸ μὴ ὄν libri 25 ἐστιν ὄν ἐστιν scripsi: ἐστι τουτέστιν libri 28. 29 ὑπάρχων ex ὑπάρχει corr. A 29 ἔστι λευκόν D 30 ὄν ἐστιν om. D

μετέχοντα αὐτοῦ οὐκ ἔστιν ὄντα· οὔτε γὰρ ἕτερον ὂν ὥσπερ ὁ νοῦς, οὕτως ἐστὶν ὄν. ἀλλ' αὐτὸ κυρίως ἐστὶν ὂν καὶ διὰ τὴν γόνιμον αὐτοῦ δύναμιν πᾶσι τὸ εἶναι χαριζόμενον, καὶ νῷ καὶ ἀγγέλοις καὶ ἀρχαῖς καὶ πᾶσι τοῖς οὖσιν. ἐπειδὴ οὖν κοινωνοῦσιν ἅπαντα ἀλλήλοις κατὰ τὸ ὄν, τοῦτο αἴτιον
5 τῆς κοινότητος ταύτης· οὔτε γὰρ ἐκ ταὐτομάτου προῆλθεν ἐπὶ τὰ πράγματα πάντα τὸ ὄν. φανερὸν δὲ ὅτι ἐκ τοῦ κυρίως καὶ ἁπλῶς ὄντος, τουτέστι τῆς πρωτίστης οὐσίας, προῆλθε τὸ ὂν ἐπὶ ταῦτα διὰ τὴν γόνιμον αὐτοῦ δύναμιν. πάντα γὰρ τὰ ὄντα μετέχουσι τοῦ ὄντος, καὶ αἱ γενέσεις καὶ αἱ φθοραί (ἄλλο γάρ τι γίνεται) καὶ αἱ ἀποφάσεις καὶ αἱ στερήσεις· ὄντα γὰρ
10 καὶ αὐτὰ ὑπάρχουσι καὶ τὸ μὴ ὄν· ἐν γὰρ τῷ λέγεσθαι 'ἔστι' δῆλον ὅτι καὶ οὐσίαι κατὰ συμβεβηκός· διὰ τοῦτο γὰρ καὶ ὁ Πλάτων ἔλεγεν ὅτι τὸ μηδαμῇ μηδαμῶς ὂν οὔτε δοξαστόν ἐστιν οὔτε ῥητόν. εἰ γὰρ πάντα, φησί, προάγει διὰ τὴν γόνιμον αὐτοῦ δύναμιν καὶ οὐ δεῖται χρόνου, ἀλλὰ χωρὶς πάσης μεταβολῆς, τί, φησί, δεῖ λέγειν ὅτι ἤρξατο ἀπό τινος χρόνου παρά-
15 γειν; οὐ γὰρ καλῶς λέγουσιν, ὡς δέδεικται, φησίν, ἐν ἄλλοις. εἰ οὖν ἀπεδείξαμεν ὅτι ἔστι τὸ ἁπλῶς ὄν, ἐξ οὗ καὶ τὰ ἄλλα πάντα τοῦ ὄντος κεκοινωνήκασι, δῆλον ὡς ὅτι ἔστι τις ἐπιστήμη τοῦ ἁπλῶς ὄντος, τουτέστι τῆς ἁπλῶς οὐσίας, ἥτις καὶ τὰς ἀρχὰς τῶν ἄλλων ἐπιστημῶν τῶν κατὰ μέρος ἀποδείκνυσι. χρὴ μέντοι εἰδέναι ὅτι οὐ συνωνύμως κατηγορεῖται τῶν f.157r
20 ἄλλων τὸ ἁπλῶς ὄν, ἐπειδὴ θεωρεῖται ἐν αὐτοῖς τὸ πρότερον καὶ τὸ ὕστερον. ὅπου δὲ τὸ πρότερον καὶ τὸ ὕστερον κατηγορεῖται, τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος, τὰ δὲ γένη συνωνύμως κατηγοροῦνται. ἔστι δὲ πρωτίστη οὐσία, εἰ τύχοι, τὰ τῶν νοητῶν ἅτινα ὄντα εἰσί, μετὰ δὲ ταῦτα τὰ αἰσθητά, ἅτινα δευτέραν τάξιν ἐπέχουσι, τρίτα τὰ συμβεβηκότα,
25 καὶ αὐτὰ ὄντα ὑπάρχοντα. ὥστε οὐ συνώνυμως κατηγορεῖται, ὥς φησι, τὸ ἁπλῶς ὄν. ἀλλ' οὐδὲ ὁμωνύμως· τὸ γὰρ ὁμώνυμον ψιλόν ἐστιν ὄνομα μηδὲν κοινωνοῦν κατὰ τὸ πρᾶγμα. ἡ γὰρ κύων φωνὴ λέγεται καὶ ἐπὶ τοῦ χερσαίου καὶ τοῦ οὐρανίου· διέστηκε δὲ ὁ χερσαῖος τοῦ οὐρανίου πλείστοις ὅσοις μέτροις. ὥστε τὸ κυρίως ὂν κατηγορεῖται πάντων τῶν ὄντων ὡς τὰ
30 ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ὥσπερ λέγομεν ἀπὸ τῆς ἰατρικῆς ἰατρικὸν σμιλίον, τουτέστιν * * * ὑγιεινὸν φάρμακον καὶ ὑγιεινὸν σιτίον. διαφέρει οὖν τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν τῶν μὲν συνωνύμων, καθὸ τὰ μὲν συνώνυμα ὁμοτίμως πᾶσι τοῖς εἴδεσι παρέχουσι τὸ εἶναι (ὁμοτίμως γὰρ πάντα ζῷα ὑπάρχουσι κατὰ τὸ ζῷον), ταῦτα δὲ οὐχ ὁμοτίμως· μᾶλλον γάρ, εἰ τύχοι, ἐστὶν
35 ὑγιεινὸν τὸ σιτίον καὶ τοῦ φαρμάκου. τῶν δὲ ὁμωνύμων διαφέρουσι τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἐπειδὴ τὰ ὁμώνυμα, καθάπερ εἰρήκαμεν, ὄνομα ὑπάρχει, οὐδὲν δὲ μεταδιδόασι τῷ πράγματι (ἡ γὰρ κύων φωνὴ οὐδὲν δίδωσι τῷ ἄστρῳ, ὥστε * * *)· τὰ μέντοι γε ἀφ' ἑνὸς καὶ πρὸς ἓν

---

3 ἀγγέλοις] ἀλλήλοις D 11 ὁ Πλάτων ἔλεγεν] Soph. p. 237 B sqq. 23 τὰ fort. delendum 26 οὔτε libri 31 lacunam indicavi: addendum ὄργανον συντελοῦν πρὸς ἰατρικὴν καὶ ἀπὸ τῆς ὑγείας vel tale aliquid 33 πάντα τὰ ζῷα D 34 ταῦτα scripsi: τοῦτο libri 35 fort. legendum est σιτίον σιτίου καὶ φάρμακον φαρμάκου 36 ἐπειδὴ scripsi: εἴδη libri 38 lacunam indicavi; fort. ὥστε ποιόν τι εἶναι

μεταδιδόασι καὶ τοῦ πράγματος· τὸ γὰρ ὑγιεινὸν σιτίον δνίνησι καὶ συνίστησι τὸ πρᾶγμα. οὕτως οὖν καὶ τὸ ἁπλῶς ὄν, ἐξ οὗ τὰ πάντα ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, κατηγορεῖται τῶν πάντων· πᾶσι γὰρ τὸ εἶναι χαρίζεται. ἀλλ' οὐχ ὁμοτίμως διὰ τὴν τῶν δεχομένων ἐπιτηδειότητα. ὥσπερ καὶ ὁ ἥλιος οὐχ ὁμοτίμως πάντα φωτίζει διὰ τὴν τῶν δεχομένων ἐπιτη- f. 15v
δειότητα ἤγουν τὸ ἐναντίον.

p. 1003a21 Ἔστιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν καὶ τὰ τούτῳ ὑπάρχοντα.

Καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, πρῶτον λαμβάνει ὡς ὁμολογούμενον ὅτι ἔστιν ἁπλῶς ὂν καὶ ὕστερον· ἐφεξῆς δὲ αὐτὸ προϊὼν δείκνυσι. φησὶν οὖν ὅτι ἔστιν ἐπιστήμη τις, ἥτις θεωρεῖ τὸ ὂν καθὸ ὄν, ἀντὶ τοῦ τοῦ ἁπλῶς ὄντος, ἐξ οὗ τὰ ἄλλα τὸ εἶναι ἔχουσιν. εἰ γὰρ τῶν κατὰ μέρος ὄντων εἰσὶν αἱ ἐπιστῆμαι, ὡς μεμαθήκαμεν ἐν τῇ θεωρίᾳ, πολλῷ μᾶλλόν ἐστι τοῦ ἁπλῶς ὄντος ἐπιστήμη. διὰ τοῦτο οὖν φησιν ὅτι ἔστιν ἐπιστήμη τις, ἥτις θεωρεῖ τὸ ὂν καθὸ ὄν ἐστιν· οὐ γὰρ ἄλλο τι ὑπάρχον οὕτως ἐστὶν ὄν, ὥσπερ ὁ νοῦς καὶ τὰ τούτῳ ὑπάρχοντα. δείκνυσιν οὖν ἡμῖν ἐντεῦθεν ὅτι δεῖ τὸν ἐπιστάμενον τὰς οὐσίας διαλέγεσθαι καὶ περὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων ταῖς οὐσίαις. ἡ τοίνυν ἐπιστήμη περὶ τὸ κυρίως ὂν καταγινομένη οὐκ ἔστιν ἡ αὐτὴ ταῖς ἄλλαις ἐπιστήμαις ταῖς περὶ τὰ μερικὰ καταγινομέναις. οὐδεμία γὰρ τῶν ἄλλων ἐπιστημῶν θεωρεῖ καθόλου περὶ τοῦ κυρίως καὶ ἁπλῶς ὄντος, ἀλλὰ καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. μέρος τι τοῦ ὄντος ἀποτεμόμεναι περὶ τούτου θεωροῦσι τὸ συμβεβηκός, καθάπερ αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν· οἷον ἀριθμητικὴ τὰ συμβαίνοντα περὶ τοὺς ἀριθμούς. γεωμετρία τὰ συμβαίνοντα περὶ τὰ μεγέθη, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

p. 1003a26 Ἐπειδὴ τὰς ἀρχὰς καὶ τὰς ἀκροτάτας αἰτίας ζητοῦμεν.

Ὃ λέγει τοῦτό ἐστιν. ὅτι ἐπειδὴ νῦν ζητοῦμεν τὰς ἀρχὰς καὶ τὰς αἰτίας τῷ ὄντι τὰς ἀκροτάτας (τί γὰρ μεῖζον τοῦ ἁπλῶς ὄντος;) φανερὸν ὅτι τὰς τοιαύτας αἰτίας φύσεώς τινος ἀναγκαῖον εἶναι αὐτὰς καθ' αὑτάς. εἰ γὰρ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες (τοὺς φυσικούς φημι, οἵτινες καὶ ὠλίσθησαν, οἱ μὲν λέγοντες πῦρ, οἱ δὲ ἀέρα, οἱ δὲ ὕδωρ καὶ τὸ μεταξύ, f. 15r
καὶ δεδώκασιν εὐθύνας ἐν τοῖς φυσικοῖς λόγοις) εἰ οὖν καὶ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες τοιαύτας ἀρχὰς ἐζήτουν, τουτέστι καθ' αὑτό, πᾶσά ἐστιν ἀνάγκη καὶ τὰ στοιχεῖα τοῦ κυρίως ὄντος μὴ εἶναι κατὰ συμβεβηκὸς ἀλλὰ καθὸ ὄν. ἐπεὶ οὖν περὶ τοῦ κυρίως ὄντος ἡμῖν νῦν ὁ λόγος ἐνέστηκε, δεῖ ἡμᾶς τοῦ ὄντος, ᾗ ὄν ἐστι, τὰς πρώτας αἰτίας ζητῆσαι. αὕτη δέ ἐστιν ἡ πρωτίστη οὐσία, ἥτις γόνιμον δύναμιν ἔχουσα πάντα παράγει τὰ ἄλλα. δεῖ οὖν, φησί, τὰς ἀρχὰς τὰς πρώτας καὶ τὰς ἀκροτάτας αἰτίας, ἃς νῦν

5 τὴν om. D 10 ὕστερον] fort. κυρίως 29 αὐτὰς καθ' αὐτάς] καθ' αὐτὴν Aristot., cf. p. 228,2. 6 35 ἡμῖν—ὄντος (36) om. D 38 δεῖ—ἀρχαί (p. 228,33) Alexandri sunt

φησιν εἶναι τὰς ζητουμένας ὑπ' αὐτοῦ, τουτέστιν ὑπὸ τοῦ σοφοῦ τε καὶ πρώτου φιλοσόφου, φύσεώς τινος ἀρχὰς εἶναι καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. πᾶσα γὰρ ἀρχὴ καὶ πᾶν αἴτιόν τινός ἐστι, καὶ αὕτη γε κυρίως ἀρχὴ καὶ αἰτία ἡ καθ' αὑτὸ οὖσά τινος καὶ μὴ κατὰ συμβεβηκός· ὥστε καὶ αἱ πρῶται ἀρχαί, μάλιστα οὖσαι ἀρχαί, φύσεώς τινος ἂν εἶεν ἀρχαὶ καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός. τῶν μὲν οὖν καθ' ἕκαστα ἐπιστητῶν οὐδενὸς αἱ τοιαῦται ἀρχαί· οὐδενὸς γὰρ τούτων ἀρχαὶ αἱ πρῶταί εἰσιν ἀρχαί· ἄλλη γὰρ ἑκάστου τούτων ἀρχή. σημεῖον δέ· τῷ γὰρ τὰς περὶ αὐτῶν ἐπιστήμας ἔχειν μὲν αὐτῶν τὰς ἀρχάς, ἄλλας δὲ καὶ μὴ τὰς αὐτὰς ἔχειν, ἄλλου τινὸς ἂν εἶεν ἀρχαὶ αἱ πρῶται ἀρχαὶ καὶ ἀκρόταται. τίνα δὲ τὰ κατὰ συμβεβηκὸς ⟨αἴτια⟩ καὶ τίνα τὰ καθ' αὑτά, ἔδειξεν ἐν τῇ Φυσικῇ ἀκροάσει· τά τε γὰρ μὴ καθ' αὑτό τινος ὄντα μηδὲ πρώτως, ἀλλὰ κατὰ τὴν ἐπ' ἄλλο ἀναφοράν. οὕτως τοῦ ἰσοσκελοῦς τριγώνου οὐ φαμεν καθ' αὑτὸ αἴτιον εἶναι τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι ἄλλου τοῦτο καθ' αὑτὸ αἴτιον προαναβεβηκότος καὶ πρώτου· τοῦ γὰρ τριγώνου. ἀλλὰ καὶ τὰ τοῖς καθ' αὑτὰ οὖσί τινων αἰτίοις συμβεβηκότα, ὡς Πολύκλειτος τοῦ ἀνδριάντος, κἀκεῖνα λέγεται κατὰ f. 158v
συμβεβηκὸς αἴτια. ὧν κατὰ συμβεβηκὸς αἰτίων τὰ μὲν τελευταῖα οὐδὲ ὅλως ἐστὶν αἴτια, τὰ δὲ πρῶτα εἰρημένα ἔστι μέν τινων αἴτια, ἀλλ' οὐ τούτων. τὰ δὲ πρῶτα αἴτια οὔτε κατὰ τὸν δεύτερον τρόπον τοῦ κατὰ συμβεβηκὸς αἴτια οἷόν τε τοῦ ὄντος λέγειν (οὐ γὰρ οἷόν τε πρῶτα αὐτὰ αἴτια ὄντα μὴ αἴτια εἶναι) οὔτε κατὰ τὸν πρῶτον· εἰ γὰρ κατὰ συμβεβηκὸς τοῦ ὄντος ᾗ ὄν, ἄλλου τινὸς ἐπαναβεβηκότος ἔσται καθ' αὑτὸ αἴτιον· ἀλλ' οὐδὲν ὑπὲρ τὰ ὄντα. πρῶτα ἄρα αἴτια καθ' αὑτὸ αἴτια, καὶ τοῦ ὄντος ᾗ ὄν. αὐτὸς δὲ πρῶτον μὲν λαμβάνει ὅτι τινῶν ἐστιν αἴτια καθ' αὑτά· εἰ γὰρ αἴτια, καὶ τινῶν, καὶ εἰ ὡς ἀληθῶς αἴτια, καθ' αὑτά. καὶ τοῦτο λαμβάνων μετὰ ταῦτα προσάγει ὅτι ἡ φύσις αὕτη, ἧς ἀκρόταται καὶ πρῶται ἀρχαί εἰσιν, ἃς ζητοῦμεν, τὸ ὂν ᾗ ὄν ἐστιν. ὃ συνέστησε τοιούτῳ χρησάμενος λόγῳ. ὥσπερ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες τὰς τοιαύτας ἀρχὰς ἐζήτουν καὶ τὰ τοιαῦτα αὐτῶν στοιχεῖα, ἃ καθ' αὑτὰ ἦν αὐτῶν στοιχεῖα ἀλλ' οὐ κατὰ συμβεβηκός, οὕτως καὶ ἡμῖν ζητοῦσι τὰς τοῦ ὄντος πρώτας ἀρχὰς καὶ τὰ αἴτια δεῖ τοιαύτας ζητεῖν αἳ κυρίως καὶ καθ' αὑτό εἰσιν αὐτοῦ ἀρχαί.

p. 1003a33 Τὸ δὲ ὂν λέγεται μὲν πολλαχῶς, ἀλλὰ πρὸς ἓν καὶ μίαν τινὰ φύσιν καὶ οὐχ ὁμωνύμως.

Εἰπὼν εἶναί τινα ἐπιστήμην περὶ τὸ ὂν ᾗ ὂν καὶ τὰς τούτου ἀρχάς

2 καθ' αὑτὸ Alex., corr. A: καθ' αὑτὴν D 7 τούτων αἱ ἀρχαὶ πρῶται Alex. 8 ἄλλαι et ἀρχαί Alex. ἑκάστου Alex.: ἑκάστη libri 11 αἴτια ex Alexandro addidi 11. 12 ἐν τῇ Φυσικῇ ἀκροάσει] B 3 12 τὰ δὴ Alex. 24 τὰ ὄντα] sic etiam Alex. cod. L: τὰ ὄντα τὰ Alex. vulg.: τὸ ὄν· τὰ recte Bonitz 26. 27 λαβὼν Alex. 28 ἧν ζητοῦμεν Alex. 30 αὐτῶν (post ἧν) Alex.: αὐτοῦ libri 32 τοιαῦτα ζητεῖν ἃ Alex. 36 εἰπὼν — ἐπιστήμη (p. 229, 3. 4) Alexandri sunt

τε καὶ αἰτίας καὶ ταύτην οὖσαν τὴν σοφίαν συστήσας. ἐφεξῆς λέγει. πῶς οἷόν τε εἶναι περὶ τὸ ὂν ἐπιστήμην μίαν, ἐπειδὴ δοκεῖ ὁμώνυμον εἶναι τὸ ὄν, τῶν δὲ ὁμωνύμων οὔτε μία φύσις οὔτε μία τέχνη οὔτε δὲ μία ἐπιστήμη. ἰστέον δὲ ὅτι, καθάπερ εἰρήκαμεν ἐν τῇ θεωρίᾳ, οὔτε συνωνύμως κατηγορεῖται τὸ ἁπλῶς ὂν τῶν ὄντων οὔτε δὲ ὁμωνύμως, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. μεταξὺ οὖν ἐστι τῶν τε ὁμωνύμων καὶ τῶν συνωνύ- f. 159r
μων τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. οὕτως οὖν καὶ τὸ ὂν κατηγορεῖται τῶν ὄντων ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. τὰ οὖν ἀφ' ἑνός τε καὶ πρὸς ἓν λεγόμενα οὔτε τὴν τῶν συνωνύμων τάξιν φυλάττει (οὐ γὰρ ὁμοτίμως πᾶσι τοῖς εἴδεσι χαρίζεται τοῦ εἶναι) οὔτε δὲ τὴν τῶν ὁμωνύμων πάλιν ἔχει ἄκρατον καὶ ἄμικτον ἑτερότητα· τοῦτο οὖν φησιν ὅτι τὸ μὲν ὂν λέγεται πολλαχῶς, ἀλλὰ πρὸς ἓν καὶ μίαν τινὰ φύσιν, τουτέστιν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, καὶ οὐχ ὁμωνύμως· αἰτίαν γάρ τινα ἔχει τοῦ ὁμοίως ἀλλήλοις ὠνομάσθαι· κατὰ γὰρ κοινήν τινα φύσιν τοιαῦτά φησιν εἶναι τά τε ὑγιεινὰ καὶ τὰ ἰατρικά. τὰ μὲν γὰρ ὑγιεινὰ τῷ πρὸς ὑγείαν ἔχειν πως οὕτως ὠνόμασται· τὸ μὲν γὰρ ὑγιεινόν τι λέγεται τῷ φυλάττειν ὑγείαν, ὡς δίαιτα τοιαύτη, γυμνάσια περίπατοι, τὸ δέ τι τῷ ποιεῖν, ὡς τὰ φάρμακα καὶ τὰ βοηθήματα, τὸ δὲ τῷ εἶναι σημεῖον ὑγείας, ὡς ἡ εὔχροια ἢ εὔπνοια, τὸ δὲ τῷ δεκτικὸν εἶναι αὐτῆς, ὡς τὸ σῶμα τὸ ἐπιτήδειον ὂν πρὸς τὸ ὑγιαίνειν. ὥστε τό γε μηδὲν εἰς ὑγείαν συντελοῦν εἰ λέγοιτο εἶναι ὑγιεινόν, ὁμωνύμως λέγοιτο ἄν. ὁμοίως καὶ τὸ ἰατρικὸν τὸ μὲν λέγεται οὕτως τῷ ἔχειν ἰατρικήν, ὡς ὁ ἰατρός, ὃ καὶ κυρίως καὶ μάλιστα ἰατρικόν, τὸ δὲ τῷ εὐφυὲς εἶναι πρὸς τὸ λαβεῖν ἰατρικήν, τὸ δὲ ὡς ἔργον καὶ ἀποτέλεσμα ἰατρικῆς, ὥσπερ λέγομεν ἰατρικῶς τέτμηται, τὸ δὲ ὡς θεώρημα, τὸ δὲ ὡς ὄργανον πρὸς ἴασιν συντελοῦν ἢ φάρμακον. λέγεται δὲ καὶ ἰατρικὸν ⟨βιβλίον⟩ τὸ περὶ ἰατρικῆς συντεταγμένον.

p. 1003b4 Ὁμοιοτρόπως δὲ καὶ ἄλλα ληψόμεθα.

Καὶ ἄλλα ἐστὶν ὁμοίως τούτοις πρὸς ἓν καὶ μίαν τινὰ φύσιν λεγόμενα· δόξει γὰρ καὶ τὸ ἀγαθὸν τούτων εἶναι καὶ τὸ σχῆμα καὶ ὁ ὁρισμός. ὁμοίως φησὶ τούτοις ἔχειν καὶ τὸ ὄν· λέγεσθαι μὲν γὰρ καὶ αὐτὸ πολλαχῶς καὶ μὴ ὑφ' ἓν γένος εἶναι, ὡς τὰ προειρημένα, οὐ μὴν ἤδη καὶ f. 159v
ὁμωνύμως· οὐ γὰρ μόνα τὰ ὁμώνυμα πολλαχῶς λέγεται, ἀλλὰ καὶ τὰ ἀφ' ἑνός τινος καὶ πρὸς ἕν, ὡς ἔχει τά τε προειρημένα καὶ τὸ ὄν. ὂν γὰρ κυρίως λέγεται ἡ οὐσία, λέγεται δὲ οὐδὲν ἧττον ὄντα καὶ τὰ τῇ οὐσίᾳ συμβεβηκότα, ἅπερ ἐστὶ τὰ ἐννέα γένη. οὐ μὴν αὐτὸς νῦν κέχρηται τοῖς

8. 9 λεγόμενα scripsi: ἑπόμενα libri 11 ὂν scripsi: ἓν libri 13 αἰτίαν — συντεταγμένον (26) Alexandri sunt 18 τῷ Alex.: τὸ libri 20 ὥστε Alex.: ὡς libri 22 τῷ Alex.: τὸ libri 23 ἀναλαβεῖν Alex. 24 τετμῆσθαί τι Alex. τὸ δὲ ὡς θεώρημα deesunt Alexandro 26 βιβλίον ex Alexandro addidi 28 καὶ ἄλλα βούλεται (p. 230,2) Alexandri sunt 28. 29 λεγόμενα λαβεῖν Alex. 29 ὁ ἀριθμός Alex. 33 τινος om. D Alex. 35 νῦν] γε D

παραδείγμασιν ἑκάστου γένους ἓν τιθείς, ἀλλὰ δι' αὐτῶν ἐξαριθμήσειν τινα τῶν τῇ οὐσίᾳ ὑπαρχόντων ποιήσασθαι βούλεται.

p. 1003b6 Τὰ μὲν γὰρ ὅτι οὐσίαι ὄντα λέγεται.

Ἐντεῦθεν βούλεται δεῖξαι ὅτι ἐκ τοῦ κυρίως ὄντος πάντα προῆλθον. πάντα γὰρ μετέχουσι τοῦ ὄντος· τὰ μὲν γὰρ ὄντα λέγονται, ἐπειδὴ οὐσίαι ὑπάρχουσι, τὰ δὲ ὄντα λέγονται, ὅτι συμβεβήκασι ταῖς οὐσίαις, ὡς θερμότητες ψυχρότητες, ὑγρότητες ξηρότητες, καὶ ὅλως αἱ παθητικαὶ ποιότητες, τὰ δὲ ὅτι ὁδὸς εἰς οὐσίαν, ὄντα λέγονται· οὕτως καὶ τὴν γένεσιν τῶν ὄντων λέγομεν καὶ τὴν αὔξησιν. καὶ τὰς φθορὰς δὲ τῆς οὐσίας καὶ μεταβολὰς ὄντα λέγομεν, ὅτι καὶ ταῦτα οὐσίας τί ἐστιν, ὡς ἡ μείωσις καὶ ἡ φθορά, καὶ ὅτι ἡ φθορὰ ἄλλου ἐστὶ γένεσις. καὶ ἡ στέρησις· ἡ γὰρ τυφλότης οὐσίας τι· στέρησις γάρ, τῶν ὄντων δέ εἰσι καὶ αἱ στερήσεις. τὰ δὲ ὡς ποιότητες, ὡς ἕξεις διαθέσεις σχήματα. καλῶς δὲ εἶπε ποιητικὰ ἢ γεννητικὰ οὐσίας· ἀπὸ γὰρ τῆς θερμότητος ποιότης γίνεται σῆψις, ἐκ δὲ τῆς σήψεως οὐσία τίκτεται. ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων εἴρηκεν, ἵνα εἴπῃ τὰ πρός τι· τὰ γὰρ πρός τι ἐν οὐσιῶν σχέσει. ἐνδείκνυται δὲ τὴν τῆς οὐσίας ἰσχὺν πρὸς τὸ εἶναί τι ὄν· καὶ γὰρ αἱ ἀποφάσεις αὐτῆς τε τῆς οὐσίας [εἰσὶ] καὶ τῶν τῇ οὐσίᾳ ὑπαρχόντων, καίπερ ἀναιρετικαὶ οὖσαι τούτων ὧν εἰσιν ἀποφάσεις, ὅμως ἐπειδὴ σχέσιν τινὰ ἔχουσι πρὸς οὐσίαν, ὄντα εἰσίν. εἰ γὰρ μὴ ἦν οὐσία, οὐδ' ἂν ὄν τι ἦν· οὕτως δὲ οὐδὲ αἱ ἀποφάσεις· ὄντος γάρ τινός ἐστιν ἡ ἀπόφασις. διὰ τοῦτο καὶ αὐταὶ ὄντα. οὕτως καὶ τὸ μὴ ὂν εἶναι μὴ ὄν φαμεν, τοῦ μὴ f. 160r ὄντος, ὅ ἐστι τοῦ ὄντος ἀπόφασις, τὸ εἶναι κατηγοροῦντες, ὅτι τοῦ ὄντος τί ἐστιν, οὐ μὴν ἁπλῶς εἶναι αὐτὸ λέγοντες, ἀλλὰ τὸ ὅλον τοῦτο μὴ ὂν εἶναι.

p. 1003b11 Καθάπερ οὖν καὶ τῶν ὑγιεινῶν πάντων μία ἐπιστήμη ἐστί.

Δείξας ὅτι τὸ ὂν οὕτως λέγεται ὡς τὸ ὑγιεινὸν καὶ τὸ ἰατρικόν (πρὸς ἓν γὰρ καὶ ἀφ' ἑνὸς ταῦτα καὶ τὸ ὄν· πρὸς γὰρ τὴν οὐσίαν), κατὰ τὴν πρὸς ταῦτα ὁμοιότητα αὐτοῦ λαμβάνει τὸ καὶ μίαν ἐπιστήμην εἶναι αὐτοῦ· ὡς γὰρ τῶν ὑγιεινῶν πολλαχῶς μὲν λεγομένων, οὐχ ὁμωνύμως δέ, μία πάντων ἐστὶν ἐπιστήμη (ἰατρικῆς γὰρ τὸ περὶ τῶν ὑγιεινῶν πάντων θεωρεῖν), οὕ-

2 τῶν ὑπαρχόντων τῇ οὐσίᾳ καὶ δι' αὐτὴν ὄντων καὶ δι' αὐτὴν λεγομένων ποιεῖται Alex. 8 οὕτως—σχήματα (13) Alexandri sunt 10 τί ἐστιν Alex.: τί τί ἐστιν D: τί τίς ἐστιν corr. A² 10. 11 μείωσις καὶ τὸ γῆρας Alex. 11 καὶ ὅτι—γένεσις desunt Alexandro ὁμοίως καὶ Alex. 12 τῶν ὄντων—στερήσεις desunt Alexandro 14 ante ποιότης lacuna VI litterarum A fort. ἡ σῆψις 16. 17 ἐνδείκνυται—μία (p. 231,7) Alexandri sunt 17 post γὰρ add. ὑπάρχοντα D 18 εἰσὶ delevi 20 τι ἦν] τι οὖν D 21 ἡ om. D 26 Καθάπερ κτλ.] lemma in libris non distinguitur

τως καὶ τῶν ἄλλων ἁπάντων τῶν ὁμοίως ἐκείνοις λεγομένων· τοιαῦτα δὲ τά τε ἰατρικὰ καὶ τὰ ὄντα. τῶν μὲν γὰρ ὁμωνύμων οὐδὲν κοινὸν ἐχόντων ἢ τοὔνομα οὐχ οἷόν τε ἐπιστήμην εἶναι μίαν, τῷ μηδὲν ὑπὸ τοῦ κοινοῦ ὀνόματος ἴδιον δηλοῦσθαι, εἶναι δὲ ἑκάστην ἐπιστήμην περί τε ἓν γένος καὶ μίαν φύσιν· οἷς δὲ οὐ κατὰ τοὔνομα μόνον ἐστὶ κοινωνία, ἀλλ' ἤρτηται ἡ κατὰ τοῦτο κοινωνία τῆς τῶν πραγμάτων κοινωνίας, τούτων καὶ ἐπιστήμη μία.

p. 1003ᵇ12 Οὐ γὰρ μόνον τῶν καθ' ἓν λεγομένων ἐπιστήμης ἐστὶ θεωρῆσαι μιᾶς.

Καθ' ἓν μὲν λεγόμενα λέγει τὰ συνώνυμα καὶ ὑφ' ἕν τι κοινὸν τελοῦντα γένος. οὐ μόνον δὲ τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα μία ἐστὶν ἐπιστήμη, ἀλλὰ καὶ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν. τρόπον γάρ τινα καὶ τὰ πρὸς μίαν φύσιν τὴν ἀναφορὰν ἔχοντα καθ' ἓν λέγεται, καθ' ὅσον ἐν πᾶσί πως αὐτοῖς ὁρᾶται ἡ φύσις αὐτή, ἀφ' ἧς καὶ δι' ἣν οὕτως καλεῖται, εἰ καὶ μὴ ὁμοίως αὐτῆς καὶ ἐπ' ἴσης πάντα μετέχει. καὶ γὰρ ἐν τῷ φυλακτικῷ τῆς ὑγείας καὶ ἐν τῷ ποιητικῷ καὶ ἐν τῷ δεκτικῷ ὑγεία ἐστὶν ἡ θεωρουμένη· διὸ καὶ ἔστι πως αὐτῶν εἷς λόγος καὶ μιᾶς ἐπιστήμης ἡ πάντων τούτων θεωρία· τῆς γὰρ ἰατρικῆς. καὶ περὶ τοῦ ὄντος δὲ μιᾶς f.160v ἐστιν ἐπιστήμης θεωρῆσαι καθὸ ὄν ἐστιν· οὐ γὰρ καθὸ μουσικὰ ἢ ἰατρικά, ἀλλὰ καθὸ ὄντα καὶ τῆς τοῦ ὄντος κεκοινώνηκε φύσεως.

p. 1003ᵇ16 Πανταχοῦ δὲ κυρίως τοῦ πρώτου ἡ ἐπιστήμη.

Λαβὼν ὅτι τῶν πολλαχῶς λεγομένων ὡς ἀφ' ἑνός τε καὶ πρὸς ἓν ἐπιστήμη μία, ἑξῆς δείκυσιν ὅτι ἐν τοῖς οὕτως ἔχουσι, τουτέστιν ἐν πᾶσιν ἐν οἷς τὸ μὲν πρῶτόν τί ἐστι καὶ κυρίως λεγόμενον, τὰ δὲ ἀπ' ἐκείνου. ὡς ἔχει ἐν τοῖς ἀφ' ἑνός τε καὶ πρὸς ἓν λεγομένοις, τοῦ πρώτου κυρίως καὶ μάλιστά ἐστιν ἡ περὶ ἐκείνην τὴν φύσιν καταγινομένη ἐπιστήμη, πρὸς ἣν καὶ τὰ ἄλλα συντελεῖ. ἡ γοῦν ἰατρική, πάντων οὖσα τῶν ὑγιεινῶν ἐπιστήμη, κυρίως καὶ μάλιστα ὑγείας ἐστί. πρὸς ἣν τὰ ἄλλα λέγεται. ὁμοίως καὶ ἡ περὶ ἀγαθῶν κυρίως καὶ μάλιστά ἐστιν ἡ περὶ τοῦ τελειοτάτου τῶν ἀγαθῶν. καὶ περὶ τοῦ ὄντος δὴ παντός, ἐπεὶ τῆς αὐτῆς φύσεώς ἐστι τὸ ὄν, μία μὲν ἐπιστήμη, αὕτη δὲ μάλιστα περὶ τοῦ πρώτου καὶ κυρίως ὄντος ἔσται, δι' ὃ καὶ τὰ ἄλλα ὄντα. τοιαύτη δὲ καὶ ἡ οὐσία· ἐκ ταύτης γὰρ ἤρτηται τὸ εἶναι τῶν ἄλλων, καὶ διὰ ταύτην ὄντα κἀκεῖνα. τῶν οὐσιῶν ⟨ἄρα τὰς⟩ ἀρχὰς καὶ τὰς αἰτίας ζητητέον τῷ φιλοσόφῳ, ᾧ ἡ πραγματεία

8 Οὐ γὰρ κτλ.] lemma non distinguunt codices 10 καθ' ἓν—φύσεως (20) Alexandri sunt 12 καὶ ταῦτα D Alex. 14 αὐτή A¹: αὕτη Alex.; αὐτῆς D corr. A³ 22 Λαβὼν—τὶ ὄν (p. 232,6) Alexandri sunt 31 αὕτη Alex.: αὐτὴ libri ἐπὶ τοῦ Alex. 34 ἄρα τὰς ex Alexandro addidi

περὶ τὸ ὂν ᾗ ὄν· αἱ γὰρ ταύτης ἀρχαὶ καὶ τοῦ ὄντος ἂν παντὸς εἶεν, εἴ γε τοῖς ἄλλοις ἡ οὐσία ἀρχή τε καὶ αἰτία τοῦ εἶναι. δείξας δὲ πρῶτον ὅτι μιᾶς ἐστιν ἐπιστήμης ἡ περὶ τοῦ ὄντος θεωρία καὶ πῶς παραστήσας, νῦν προσέθηκε καὶ τίς ἐστιν αὐτή· ὅτι γὰρ ἡ φιλοσοφία ἡ καθόλου ταύτῃ διαφέρουσα τῶν ἄλλων, καθὸ ἐκείνων τῶν ἐπιστημῶν ἑκάστη περί τι ὄν, ἡ δὲ φιλοσοφία καθόλου περὶ τὸ ὄν, ᾗ ὄν ἐστιν, οὐ τὸ τί ὄν. πανταχοῦ οὖν κυρίως τοῦ πρώτου ἐστὶν ἐπιστήμη, ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου· τοῦ γὰρ ἀνθρώπου ἐστὶν ἐπιστήμη καὶ οὐ τοῦ ἀνδριάντος, εἰ τύχοι, ἤγουν τῆς εἰκόνος· διὰ γὰρ τὸν ἄνθρωπον ἐκεῖνα. εἰ οὖν καὶ ἐνταῦθα διὰ τὴν πρωτίστην οὐσίαν τὰ ἄλλα πάντα, καὶ ἐξ αὐτῆς πάντα ἤρτηνται, τῆς οὐσίας f. 161r τῆς τοιαύτης δεῖ ἡμᾶς θηρᾶσαι τὰς ἀρχὰς καὶ τὰς αἰτίας.

p. 1003ᵇ19 Ἅπαντος δὲ γένους καὶ αἴσθησις μία ἑνὸς καὶ ἐπιστήμη, οἷον γραμματική.

Τρία προέθηκεν ἐξ ἀρχῆς ζητῆσαι, πρῶτον μὲν εἰ τῷ ὄντι περὶ τὸ ὄντως ὂν καταγίνεται ὁ πρῶτος φιλόσοφος καὶ γινώσκει πάντα τὰ ὄντα, δεύτερον δὲ εἰ γινώσκει τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασι, τρίτον εἰ καὶ τὰς οὐσίας τῶν ὄντων γινώσκει ὁ πρῶτος φιλόσοφος. τὸ μὲν οὖν πρῶτον λελῃθότως ἐπελύσατο τοῖς προλεχθεῖσιν· ἐζήτησε γὰρ τὸ ὄντως ὂν πῶς κατηγορεῖται τῶν ὄντων, πότερον ὁμωνύμως ἢ συνωνύμως ἤγουν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, καθάπερ καὶ ὁ ἀληθὴς ἔχει λόγος, καὶ ἔδειξεν ὅτι ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν κατηγορεῖται πάντων τῶν ὄντων τὸ ὄντως ὄν· ὥστε πάντα τὰ ὄντα μετέχουσι τοῦ ὄντος, καὶ κατὰ τὴν γόνιμον αὐτοῦ δύναμιν, ὡς εἴρηται, ἐν ἐκείνοις πάντα παράγει. εἰ οὖν ἐδείχθη ὅτι περὶ τὸ ὄντως ὂν καταγίνεται ὁ πρῶτος φιλόσοφος, τούτου δὲ πάντα τὰ ὄντα μετέχουσιν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, δῆλον ὅτι περὶ πάντων τῶν ὄντων διαλέξεται ὁ πρῶτος φιλόσοφος. τὸ γὰρ ὑγιεινὸν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν κατηγορεῖται· ἔστι δὲ ὑγιεινὸν σμιλίον φάρμακον καὶ οὖρον, καὶ οὐδέπω ἄλλος μὲν διαλέξεται περὶ τοῦ ὑγιεινοῦ σμιλίου, ἄλλος δὲ περὶ φαρμάκου ἤγουν περὶ οὔρου, ἀλλὰ εἷς καὶ ὁ αὐτός. οὕτως οὖν καὶ ἐνταῦθα περὶ τοῦ ὄντως ὄντος ὁ πρῶτος καὶ μόνος φιλόσοφος διαλέξεται. περὶ μέντοι γε τοῦ τρίτου διελέχθη ἡμῖν ἐν τῇ Φυσικῇ πραγματείᾳ· ἀρχόμενος γὰρ ἐκείνης τῆς πραγματείας ἔλεγεν ὅτι 'ἐπειδὴ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους, ὅταν τὰ αἴτια γνωρίσωμεν καὶ τὰ στοιχεῖα' * * * αἱ οὐσίαι γνωρίζονται τῶν ἀρχῶν γινωσκομένων, τὰς δὲ ἀρχὰς πασῶν δείκνυσιν ὁ πρῶτος φιλόσοφος, φανερὸν ὅτι καὶ τὰς

1 ταύτης ἀρχαὶ Alex.: τούτοις ἀρχαὶ D: ταυτοαρχαὶ A¹: ταύτοις ἀρχαὶ corr. A³ ἂν παντὸς Alex. D corr. A²: ἅπαντος A¹ 4 post καθόλου add. καὶ A³ 10 οὐσίαν scripsi: οὖσαν libri 18 ἐπελύσατο scripsi: ἐπέλυσα A¹D: ἐπέλυσεν A³ 22 πάντα scripsi: παρὰ libri 27 σμιλίον om. D 31 ἐν τῇ Φυσικῇ πραγματείᾳ] A 1 p. 184ᵃ10 34 post στοιχεῖα lacuna VII litterarum AD: fort. addendum εἰ τοίνυν post οὐσίαι add. δὲ A³

οὐσίας τῶν ὄντων γινώσκει. οἱ μὲν γὰρ κατὰ μέρος ἐπιστήμονες τὰς κατὰ μέρος οὐσίας ἐπίστανται τὰς ὑποβεβλημένας αὐτοῖς, οἷον ὁ ἀριθμη- f. 161v
τικὸς ἀριθμούς, ὁ γεωμέτρης μεγέθη, ὁμοίως δὲ καὶ οἱ ἄλλοι· ὁ μέντοι γε πρῶτος φιλόσοφος τὰς ἀρχὰς πάντων γινώσκει, ὥστε καὶ τὰς οὐσίας ἐπίσταται. τὸ μέντοι γε δεύτερον διὰ τῶν νῦν λεγομένων ὑπ' αὐτοῦ κατασκευάζει, ὅτι καὶ τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασιν οἶδεν ὁ πρῶτος φιλόσοφος. καί φησιν οὕτως, ὅτι τὰ πράγματα ποτὲ μὲν διχῇ διαιροῦνται, ποτὲ δὲ τριχῇ· καὶ διχῇ μὲν οὕτω λεγόντων ἡμῶν, τῶν πραγμάτων τὰ μὲν νοητὰ ὑπάρχουσι τὰ δὲ αἰσθητά· τριχῇ δὲ οὕτως, ὅτι τὰ μέν ἐστι παντελῶς ἀκίνητα, ὥσπερ τὰ νοητά, καθάπερ φησὶν ἐν τῇ Φυσικῇ ἀκροάσει, τὰ δὲ τῶν αἰσθητῶν ἀεὶ κινούμενα, ὥσπερ τὰ οὐράνια, τὰ δὲ οὐκ ἀεὶ κινούμενα, ὥσπερ τὰ ἐν γενέσει καὶ φθορᾷ. ἰστέον οὖν ὅτι παντὸς γένους αἰσθητοῦ μία ἐστὶν αἴσθησις, καὶ ἐπιστητοῦ μία ἐστιν ἐπιστήμη. οἷόν ἐστιν αἰσθητὰ τὰ χρώματα· περὶ ταῦτα μία αἴσθησις καταγίνεται ἡ ὄψις· καὶ πάλιν περὶ τοὺς ψόφους ἑτέρα μία αἴσθησις καταγίνεται ἡ ἀκοή, καὶ περὶ τὰ ὀσφραντὰ ἡ ὄσφρησις, καὶ ⟨περὶ⟩ τὰ γευστὰ ἡ γεῦσις, καὶ περὶ τὸ βαρὺ καὶ τὸ κοῦφον ἡ ἁφὴ καταγίνεται ⟨καὶ⟩ περὶ τὸ θερμὸν καὶ ψυχρόν. οὕτως οὖν φαμεν καὶ ἐπὶ τῶν ἐπιστητῶν, ὅτι περὶ τοὺς ἀριθμοὺς μία ἐπιστήμη καταγίνεται ἡ ἀριθμητική, καὶ περὶ τὰς ἁρμονίας ἡ ἁρμονική, καὶ περὶ τὰς φωνὰς ἡ γραμματική, καὶ περὶ τὰ μεγέθη γεωμετρία. ἔστιν οὖν πρὸ πάντων τούτων τὸ ὄντως ὂν καὶ τὸ ὄντως ἕν, ἀφ' οὗ τούτοις πᾶσι τὸ εἶναι, εἴ γε πάντα καὶ ἕν ἐστι καὶ ὄντα ὑπάρχουσι. καὶ οἱ μὲν κατὰ μέρος ἐπιστήμονες περὶ τὰ κατὰ μέρος καταγίνονται, ὁ μέντοι γε πρῶτος φιλόσοφος, ὡς εἰρήκαμεν, περὶ πάντα τὰ ὄντα, εἴ γε διαλέγεται περὶ τοῦ κυρίως ὄντος καὶ τοῦ ἑνός, ἐξ ὧν πᾶσι τοῖς ἄλλοις τὸ εἶναι ὑπάρχει. καὶ ὁ μὲν Ἀρι- f. 162r
στοτέλης ἐνταῦθά φησιν ὅτι ἐπακολουθοῦσιν ἀλλήλοις τὸ ὂν καὶ τὸ ἕν· πάντα γὰρ μετέχουσι καὶ τοῦ ὄντος καὶ τοῦ ἑνός· οἱ μέντοι γε ἄλλοι φιλόσοφοι διακρίνουσιν αὐτὰ ἐξ ἀλλήλων, καὶ ὁ αὐτὸς δέ, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος, ἐν ἄλλοις. εἰ γὰρ ἡ ὕλη καὶ ὄν ἐστι καὶ οὐκ ὄν, ἐπειδὴ καὶ νόθῳ λογισμῷ ἐστι ληπτή, μετέχει δὲ τοῦ ἑνός, φανερὸν ὅτι ὑπερβέβηκε τὸ ἓν τὸ ὄν. ἐπεὶ οὖν τὸ ἓν καὶ τὸ ὂν πλῆθος εἰσάγουσι (τὸ γὰρ ἓν πρὸς πλῆθος λέγεται) μιᾶς δὲ καὶ τῆς αὐτῆς ἐστιν ἐπιστήμης τὸ θεωρῆσαι περὶ τῶν ἀντικειμένων, ἀντίκειται δὲ τῷ ἑνὶ πλῆθος, φανερὸν ὅτι καὶ περὶ πλήθους διαλέξεται ὁ πρῶτος φιλόσοφος, καὶ οὐ περὶ μόνου τοῦ ἑνός. ἔστι γὰρ νοητὸν πλῆθος, ἐξ οὗ τοῖς πολλοῖς τὸ εἶναι ὑπάρχει, ὥσπερ καὶ ἑνὰς νοητή, ἐξ ἧς ἡ συνέχεια πᾶσι τοῖς ἐνταῦθα. ὥστε καλῶς ἔλεγεν Ἐμπεδοκλῆς νεῖκος καὶ φιλίαν, καὶ οἱ Πυθαγόρειοι ἀριθμούς, τὰ νοητὰ διὰ τούτων αἰνιττόμενοι, καὶ οἱ περὶ Πλάτωνα τὰς ἰδέας. ἰδοῦ γὰρ καὶ αὐτὸς ἐνταῦθα ἄντικρυς ταῦτα πρεσβεύει· ὥστε κατὰ τὸ φαινόμενον ἐμάχετο πρὸς αὐτούς, ἵνα μὴ τῷ φαινομένῳ πεισθέντες αὐτὰ δεξώμεθα. ὑπὸ οὖν τὸ πλῆθος τελοῦσι τὸ ὅμοιον καὶ ἀνόμοιον, τὸ ἴσον καὶ τὸ ἄνισον, ἡ ταυτότης

8 post ἡμῶν fort. addendum ὅτι 10 ἐν τῇ Φυσικῇ ἀκροάσει] Θ 6 16 περὶ addidi
17 καὶ addidi 30 νόθῳ—ληπτή] cf. Platon. Tim. 52 B 40 αὐτὰ scripsi: αὐτὰς libri

καὶ ἑτερότης καὶ τὰ ἐναντία πάντα, καὶ τὸ λευκὸν καὶ τὸ μέλαν, ὡς ταὐτὸν καὶ ἕτερον· διὸ καὶ οὕτω δὴ ὑπάρχουσιν ὡς ταὐτὰ καὶ ἕτερα λαμβανόμενα. καὶ τὰ μὲν ἐν τῷ ποσῷ θεωροῦνται τῶν ἐναντίων ἤγουν ἀντικειμένων, ὥσπερ τὸ ἴσον καὶ ἄνισον, τὰ δὲ ἐν ποιῷ, ὥσπερ ὅμοιον καὶ
5 ἀνόμοιον, καθάπερ αὐτός φησιν ἐν Κατηγορίαις, τὰ δὲ ἐν τῇ οὐσίᾳ, ὥσπερ ἐπὶ τῶν φυσικῶν, οἷον θερμὸν καὶ ψυχρόν, ὑγρὸν καὶ ξηρόν. ἀλλὰ τὸ μὲν ἴσον καὶ ὅμοιον καὶ θερμὸν ὑπὸ τὴν ταυτότητα καὶ ὑπὸ τὴν ἑνάδα, τὸ δὲ ἄνισον καὶ ἀνόμοιον καὶ τὸ ψυχρὸν ὑπὸ τὴν ἑτερότητα καὶ τὸ πλῆθος. f.162v
διὸ καὶ δέκα συστοιχίας ἐποίουν οἱ Πυθαγόρειοι, καὶ τὰ μὲν ἀπετίθεντο
10 πρὸς τῇ κρείττονι συστοιχίᾳ, τὰ δὲ πρὸς τῇ χείρονι, καθάπερ εἰρήκαμεν. εἰ τοίνυν τὸ πλῆθος καθ' αὑτὸ κατηγορεῖται τῶν πραγμάτων, εἴ γε καὶ ἐκ τοῦ τοιούτου πλήθους, φημὶ δὴ τοῦ νοητοῦ, τὸ εἶναι τῷ ἐνταῦθα πλήθει, δῆλον ὅτι καὶ τὰ ὑπ' αὐτὰ τελοῦντα καθ' αὑτὸ κατηγορηθήσεται τῶν πραγμάτων, ὅμοιον καὶ ἀνόμοιον, ἴσον καὶ ἄνισον, τὰ ἐναντία, ἑτερότης
15 καὶ ταυτότης. εἰ τοίνυν περὶ πάντων τούτων διαλέγεται ὁ πρῶτος φιλόσοφος, δῆλον ὅτι διαλέξεται περὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς πράγμασιν. ὅτι δὲ διαλέγεται περὶ τῶν ἐναντίων ὡμολόγηται· οὔτε γὰρ φυσικὸς διαλέξεται οὔτε δὲ μαθηματικὸς οὔτε ἄλλος τις παρὰ τὸν πρῶτον φιλόσοφον, ὅτι ἓν ἑνὶ ἀντίκειται (οὔτε γὰρ δύο ἑνί· οὐ γὰρ ἄδικος οὕτως ἡ φύσις, ὥστε δύο
20 ἑνὶ ἀντιτάξαι· ὥστε τῇ καταφάσει ἡ ἀπόφασις μόνη μάχεται, ὡς δέδεικται ἐν τῷ Περὶ ἑρμηνείας), καὶ ὅτι τετραχῶς τὰ ἀντικείμενα λέγεται, καὶ ποιά ἐστιν ἐναντία, τὰ πλεῖστον ἀλλήλων διεστηκότα, καὶ ὅτι διχῶς λέγονται τὰ ἐναντία, τὰ μὲν ὡς μετέχοντα, τὰ δὲ ὡς μετεχόμενα, καθάπερ εἴρηται ἐν τῷ Φαίδωνι. περὶ τούτων οὖν πάντων ὁ πρῶτος φιλόσοφος διαλέξεται.

25 p. 1003ᵇ19 Ἅπαντος δὲ γένους καὶ αἴσθησις μία ἑνός.

Τὸ μὲν κατάλληλον τῆς λέξεώς ἐστιν 'ἅπαντος δὲ γένους ἑνὸς καὶ αἴσθησις μία καὶ ἐπιστήμη'. εἰπὼν δὲ ὅτι τοῦ φιλοσόφου ἐστὶ τὸ γινώσκειν τὰς ἀρχὰς τῶν οὐσιῶν καὶ τὰς αἰτίας, ὅτι μὴ μόνον περὶ τῆς οὐσίας αὐτῷ ἡ πραγματεία, ἀλλὰ καὶ καθόλου περὶ παντὸς τοῦ ὄντος ᾗ ὄν, ὡς
30 φθάσας εἴρηκε, δείκνυσι καὶ διὰ τούτων. παντὸς γὰρ γένους ἑνὸς καὶ ἐν τοῖς αἰσθητοῖς αἴσθησιν μίαν εἶναι καὶ ἐν τοῖς ἐπιστητοῖς ἐπιστήμην μίαν· γένους μὲν νῦν κοινότερον λαμβάνων ἀντὶ τοῦ φύσεως μιᾶς· γένη γὰρ κοινότερον πάντα ὅσα κατά τινα μίαν φύσιν κεκοινώνηκεν ἀλλήλοις· τοι- f.163r
αὗτα δὲ καὶ τὰ ἀφ' ἑνός τινος τὸ εἶναι ἔχοντα. καὶ γὰρ ἐν τοῖς αἰσθη-
35 τοῖς πάντων τῶν τῆς αὐτῆς φύσεως τῷδέ τινι, οὗ ἐστιν αἴσθησις ἀντι-

5 ἐν Κατηγορίαις] 6 p. 6ᵃ26, 8 p. 11ᵃ15 20 ἀντιτάξεται D 21 Περὶ ἑρμηνείας] c. 7. 14 23. 24 ἐν τῷ Φαίδωνι] p. 103 B 26 τὸ μὲν κατάλληλον — εἴη (p. 235,9) pleraque Alexandri sunt γένος A¹ 30 ἔφθη εἰρηκέναι Alex. 32 γένους Alex.: γένος libri 33 φύσιν om. D 34 καὶ (ante τὰ) om. D 35 αὐτῆς om. D οὗ ἐστιν ἥδε ἡ αἴσθησις Alex.

ληπτική. κεκοινωνηκότων ἡ αὐτὴ αἴσθησις ἀντιλαμβάνεται· οἷον πάντων τῶν χρωμάτων τῶν κεκοινωνηκότων τῷ λευκῷ ὄψις. τῶν ψόφων ἀκοή. τῶν ὀσφραντῶν ὄσφρησις. ὁμοίως δὲ πάλιν ἡ γραμματικὴ οὐ τῆσδε τῆς φωνῆς. φέρε εἰπεῖν τῆς ὀξείας. ἐστὶ θεωρητική. ἀλλ' ἁπλῶς πάσης φωνῆς καθὸ φωνή. ὁμοίως δὲ καὶ ἡ ἀριθμητικὴ πάντων τῶν ἀριθμῶν καὶ γεωμετρία πάντων τῶν μεγεθῶν. ἐπεὶ τοίνυν καὶ τὸ ὂν μιᾶς φύσεως κεκοινώνηκε καθὸ ὄν (τοιοῦτον γὰρ τὸ ὂν ἐδείχθη), εἰ τοίνυν ἡ σοφία καταγίνεται περὶ τὴν οὐσίαν τε καὶ τὰς τῆς οὐσίας ἀρχάς, καὶ περὶ ἅπαντα τὰ ὄντα καὶ τὰς πάντων ἀρχὰς ἂν εἴη. διὰ τοῦτο οὖν, φησίν, ὁ πρῶτος φιλόσοφος ἅτε δὴ περὶ τὸ ὄντως ὂν καταγινόμενος θεωρεῖ πάντα τὰ ὄντα, ἐπειδὴ πάντων κατηγορεῖται τὸ ὄντως ὂν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν· μετέχουσι γὰρ αὐτοῦ τὰ πάντα. ὁ οὖν εἰδὼς τὰς ἀρχὰς οἶδε καὶ τὰ ἐκ τῶν ἀρχῶν. διὰ τοῦτο οὖν ὁ Ἀριστοτέλης λέγει διὸ καὶ τοῦ ὄντος ὅσα εἴδη, τουτέστιν ὅσα γένη, θεωρῆσαι μιᾶς ἐστιν ἐπιστήμης τῷ γένει, τουτέστι τῆς πρώτης φιλοσοφίας, τά τε εἴδη τῶν εἰδῶν. φησὶν ὅτι ὡς ἔχει τὰ μέρη τῆς ὁλότητος πρὸς τὴν ὁλότητα, οὕτως ἔχει καὶ τὰ μέρη τῆς ἐπιστήμης πρὸς τὴν ὅλην ἐπιστήμην. ἡ οὖν ἁπλῶς ἐπιστήμη γίνεται τῆς ἁπλῆς ὁλότητος τῶν ὄντων, αἱ δὲ κατὰ μέρος ἐπιστῆμαι τῶν κατὰ μέρος. ὡς γὰρ ἔχει τὸ γένος τὸ ἐπιστητὸν πρὸς τὰ ὑπ' αὐτὸ εἴδη, οὕτως καὶ τὸ γένος τῆς τούτου ἐπιστήμης πρὸς τὰ εἴδη τὰ αὐτῆς· καὶ ἐναλλὰξ ἄρα. ὡς τὸ γένος τὸ ἐπιστητὸν πρὸς τὸ γένος τῆς οἰκείας ἐπιστήμης, οὕτως καὶ τὰ εἴδη τοῦ ἐπιστητοῦ πρὸς τὰ εἴδη τῆς ἐπιστήμης. ἔστι δὲ τὸ γένος καὶ ἡ τοῦ ὄντος κοινὴ φύσις· ἐπιστητὴ τῇ κοινῇ τε καὶ γενικῇ φιλοσοφίᾳ· καὶ τὰ μέρη ἄρα τοῦ ὄντος f. 163v ἐπιστητὰ τοῖς τῆς φιλοσοφίας μέρεσιν· ὥστε ἑκάστου τῶν τοῦ ὄντος εἰδῶν ἐπιστήμη ἂν εἴη ἑκάστη τούτων, ὅσαι ὑπὸ τὴν φιλοσοφίαν ὡς γενικήν τινα ἐπιστήμην εἰσὶ τεταγμέναι ἐπιστῆμαι. διὰ δὲ τῶν νῦν εἰρημένων δέδεικται ὅτι τῆς πρώτης φιλοσοφίας ἡ εἰς τὰ γένη τοῦ ὄντος διαίρεσις, ὃ πεποίηκεν αὐτὸς ἐν ταῖς Κατηγορίαις. ἅμα δὲ ἐνεδείξατο ἡμῖν διὰ τούτων, πῶς ἐστι μία ἐπιστήμη ἡ φιλοσοφία, ἐπειδὴ καθόλου. εἴδη δὲ αὐτῆς αἱ κατὰ μέρος ἐπιστῆμαι. τὰ γὰρ εἴδη, τουτέστι τὰ μέρη τῆς ὁλότητος, τῶν εἰδῶν, τουτέστι τῶν μερῶν τῆς ἐπιστήμης ἐπιστητὰ ὑπάρχουσιν, ἡ δὲ ἁπλῶς ἐπιστήμη τῆς ἁπλῶς ὁλότητος. ἡ οὖν σοφία ἐστὶν ἡ κυρίως ἐπιστήμη τῶν ἀκινήτων τε καὶ ἀιδίων καὶ θείων, καὶ αὐτή ἐστι περὶ τὸ ὂν ᾗ ὄν, ἀλλ'

---

1 οἷον τῶν τῷ λευκῷ ὁμογενῶν πάντων (ταῦτα δέ ἐστι τὰ χρώματα) ὄψις ἐστὶν ἀντιληπτική, ὁμοίως καὶ ψόφων μία καὶ χυμῶν μία Alex. κεκοινωνηκότων] ὡς ὁμογενῶν τῷ λευκῷ δηλονότι in margine add. DA³ τῶν λευκῶν A¹ 5 ὁμοίως δὲ—μεγεθῶν (6) desunt Alexandro 7 ἐδείχθη] οὗ τὸ θεωρεῖν περὶ τῆς οὐσίας, τούτου καὶ περὶ παντὸς τοῦ ὄντος ᾗ ὂν ἔσται τὸ θεωρεῖν. ὥστε εἰ ἡ σοφία pergit Alex. 8 καὶ περὶ—ἀρχὰς (9) om. D 14 τουτέστιν ὅσα scripsi: τουτέστιν ὅ καὶ A¹: τουτέστι πόσα A³D 18 τῆς ἁπλῶς D 19 τῶν] τὰ A¹ ὡς γὰρ—καθόλου (30) Alexandri sunt 23 ἔστι Alex.: ἔστω libri 26 ὅσαι] ὅσων A¹ 30 ἐπειδὴ] τῷ γὰρ Alex. εἰ δὲ δὴ A¹ 31 τουτέστι scripsi: τούτων ἐστὶ libri

οὐ τὶ ὄν. ἔστι δὲ ὑπὸ ταύτην ἡ μέν τις πρώτη φιλοσοφία ἡ περὶ τὰς πρώτας οὐσίας, ἡ δὲ φυσικὴ πᾶσα περὶ τὰ φυσικά, ἐν οἷς λόγων κίνησις καὶ μεταβολὴ θεωρεῖται, ἡ δὲ τῶν πρακτῶν θεωρητική· τοιαῦτα δὲ καὶ τῶν ὄντων τινά. ὅτι δὲ μία τῷ γένει ἡ περὶ τὸ ὂν ᾗ ὂν πραγματευομένη φιλοσοφία, ἐδήλωσεν ἀρχόμενος τοῦ βιβλίου εἰπὼν 'αὕτη δέ ἐστιν οὐδεμία τῶν ἐν μέρει λεγομένων'.

p. 1003b22 Εἰ δὲ τὸ ὂν καὶ τὸ ἓν ταὐτόν.

Ὅτι εἰ τὸ ὂν καὶ τὸ ἓν ταὐτόν ἐστι καὶ ἀνταακολουθοῦσιν ἀλλήλοις (ὅπου γὰρ τὸ ὄν, καὶ τὸ ἕν, καὶ πάντα μετέχουσι τοῦ ὄντος καὶ τοῦ ἑνός, τουτέστιν ὑπάρξεως καὶ συνεχείας), εἰ οὖν ταῦτα ἀκολουθοῦσιν ἀλλήλοις, ὥσπερ καὶ ἡ ἀρχὴ καὶ τὸ στοιχεῖον ἀκολουθοῦσιν ἀλλήλοις· διὰ τοῦτο ἐλέγομεν ἐν τῇ Φυσικῇ ἀκροάσει ὅτι ταὐτὰ λέγει εἶναι στοιχεῖον καὶ ἀρχήν· φησὶν οὖν ὅτι εἰ ἀκολουθοῦσι ταῦτα ἀλλήλοις καὶ τὸ ὂν καὶ τὸ ἕν, οὐχ ὡς ἑνὶ λόγῳ δηλούμενα, ἀλλὰ ἔχοντα διάφορον ὁρισμόν, καθάπερ ἡ ἀνάβασις καὶ ἡ κατάβασις τῷ μὲν ὑποκειμένῳ ἡ αὐτή ἐστι, τῷ δὲ λόγῳ f.164r διαφέρουσιν. ἐν τούτοις οὖν καὶ τὸ ὂν καὶ τὸ ἓν τῷ μὲν ὑποκειμένῳ τὰ αὐτὰ ὑπάρχουσι, κατὰ δὲ τὸν λόγον ἔχουσι τὴν διαφοράν. ὅμως μέντοι γε οὐδὲν διαφέρει, κἂν μὴ ὑποθώμεθα κατὰ τὸν λόγον διαφέρειν αὐτὰ ἀλλὰ κοινωνεῖν· τοῦτο γὰρ καὶ ἀσφαλέστερον μᾶλλον ὑπάρχει. τὸ αὐτὸ γάρ ἐστιν εἰπεῖν εἷς ἄνθρωπος καὶ ὢν ἄνθρωπος· εἷς γὰρ καὶ ὁ αὐτός ἐστιν ὁρισμὸς καὶ ὁ τοῦ ἑνὸς ἀνθρώπου καὶ ὁ τοῦ ὄντος ἀνθρώπου. ὥστε καὶ τὸ ἓν καὶ τὸ ὂν κοινωνοῦσι καὶ κατὰ τὸν λόγον· οὐχ ἕτερον γάρ τι δηλοῖ κατὰ τὴν λέξιν ἐπαναδιπλούμενον τὸ ἔστιν εἷς ἄνθρωπος καὶ ἄνθρωπος καὶ ὢν ἄνθρωπος. δῆλον οὖν ὅτι οὐ χωρίζονται ταῦτα ἀπ' ἀλλήλων οὔτε ἐπὶ γενέσεως οὔτε δὲ καὶ ἐπὶ φθορᾶς· οἷον γίνεται [εἷς] ἄνθρωπος, γίνεται ὢν ἄνθρωπος, φθείρεται [εἷς] ἄνθρωπος, φθείρεται ὢν ἄνθρωπος· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἑνός. φανερὸν ἄρα γέγονεν ἐκ τῶν εἰρημένων ὅτι ἡ πρόσθεσις τοῦ τοιούτου ἀνθρώπου τὸ αὐτὸ δηλοῖ, καὶ οὐδὲν ἕτερον παρὰ τὸ ἓν καὶ τὸ ὄν. ὥστε ὁμολογουμένως ἀκολουθοῦσι ταῦτα ἀλλήλοις, τὸ ἕν φημι καὶ τὸ ὄν. ἄλλως τε δὴ ἡ ἑκάστου οὐσία ἕν ἐστι καθ' αὑτό· οὐ γὰρ κατὰ συμβεβηκός· ὁμοίως δὲ καὶ ὄν. ὥστε ὅσαπερ εἴδη τοῦ ἑνὸς ὑπάρχουσι, τὰ αὐτὰ καὶ τοῦ ὄντος, εἴ γε πάντα μετέχουσι καὶ τοῦ ἑνὸς καὶ τοῦ ὄντος· περὶ ὧν τὸ τί ἐστι τῆς αὐτῆς ἐστιν ἐπιστήμης θεωρῆσαι, λέγω δὲ οἷον περὶ ταὐτοῦ καὶ ὁμοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων. ἑνότης γὰρ κατ' οὐσίαν τὸ ταὐτόν· ἓν γὰρ καὶ τὸ ταὐτόν, καθὸ ταὐτόν· καὶ † ὅμοιον ὁμοίῳ

1 ἔστι δὲ—λεγομένων (6) Alexandri sunt ἡ περὶ Alex.: ὑπὸ libri 2 φυσικὴ οὖσα περὶ Alex. ἐν οἷς ἤδη κίνησις Alex. 3 πρακτῶν Alex.: πρακτικῶν libri 4 πραγματευομένη Alex. A³: πραγματεία A¹: πραγματεία καὶ D 15 ἡ (post καὶ) om. D 21 ὁ (ante τοῦ ὄντος) om. D 25. 26 εἷς utrobique delevi 27 πρόθεσις D 28 τοῦ τοιούτου] exspectes τοιαύτη τοῦ παρὰ τὸ ἓν καὶ] τὸ ἓν παρὰ Aristoteles 34 ἑνότης—τούτου (p. 237,4) Alexandri sunt ἑνότης Alex. cf. p. 237,1: ἑνότητος libri 35 καὶ τὸ ὅμοιον καθὸ ὅμοιον· ἑνότης γὰρ ἐν ποιότητι· ὁμοίως καὶ τὸ ἴσον κτλ. Alex.

καὶ ἴσον ἑνότης ἐστὶν ἐν ποσῷ. διὰ δὲ τούτων δείκνυσιν ὅτι τοῦ φιλοσόφου ἴδιόν ἐστι τοῦ τῆς οὐσίας θεωρητικοῦ τὸ καὶ τὸ τί ἐστιν ἕκαστον τούτων θεωρῆσαι, ὃ καὶ αὐτὸς ἐζήτει † τοῦτο καὶ ἠπόρει ἐν τῷ πρὸ τούτου.

5 p. 1003b36 Σχεδὸν δὲ πάντα ἀνάγεται τἀναντία εἰς τὴν ἀρχὴν ταύτην.

Ἀρχὴν λέγει τὴν ἐναντίωσιν τὸ ἓν καὶ τὸ τῷ ἑνὶ ἀντικείμενον. τοῦτο δέ ἐστι τὸ πλῆθος· τὸ μὲν γὰρ ταὐτὸν ἕν τι, τὸ δὲ ἕτερον πλῆθος καὶ ἐν f.164v πλήθει. ὁμοίως δὲ καὶ τὸ ὅμοιον ἕν τι, τὸ δὲ ἀνόμοιον ἐν πλήθει θεω-
10 ρεῖται, καὶ τὸ ἴσον ὑπὸ τὸ ἓν θεωρεῖται, τὸ δὲ ἄνισον ὑπὸ τὸ πλῆθος. ἀνάγει δὲ ἡμᾶς περὶ τὸ γνῶναι ὅτι σχεδὸν πάντα τὰ ἐναντία ὡς εἰς ἀρχὴν ἀνάγεται τό τε ἓν καὶ τὸ πλῆθος, εἰς τὴν Ἐκλογὴν τῶν ἐναντίων, ὡς ἰδίᾳ περὶ τούτων πραγματευσάμενος. εἴρηκε δὲ περὶ τῆς τοιαύτης ἐκλογῆς καὶ ἐν τῷ δευτέρῳ Περὶ τοῦ ἀγαθοῦ.

15 p. 1004a2 Καὶ τοσαῦτα μέρη φιλοσοφίας ἐστὶν ὅσαιπερ αἱ οὐσίαι.

Ἐπεὶ τοῦ ὄντος τὸ μὲν κυρίως ἐστὶν ὂν καὶ καθ' αὑτό, τὸ δὲ κατὰ συμβεβηκός, κυρίως μὲν καὶ καθ' αὑτὸ ἡ οὐσία, κατὰ συμβεβηκὸς δὲ τὰ τῇ οὐσίᾳ ὑπάρχοντα καὶ τὰ ὅλως ἐπὶ ταύτην ἔχοντα τὴν ἀναφοράν, πανταχοῦ δὲ ἀναγκαῖον εἶναί τινα πρώτην φιλοσοφίαν, ἐν οἷς οὖν ἡ τάξις αὕτη,
20 κυρίως ἐστὶν ἐπιστήμη τοῦ πρώτου καὶ ἐξ οὗ τὰ ἄλλα ἤρτηται καὶ δι' ὃ λέγονται, ἡ δὲ φιλοσοφία περὶ τὸ ὄν, εἴη ἂν κυρίως ἡ φιλοσοφία ἐπιστήμη περὶ οὐσίαν· αὕτη γὰρ κυρίως ὄν. καὶ ἐπεὶ πλείους αἱ οὐσίαι, πλείους καὶ αἱ ἐπιστῆμαι τῶν οὐσιῶν, οἷον φυσικὴ ἀριθμητικὴ γεωμετρία, καὶ ἄλλαι ὅσαι. ὥστε πάντων ἀναγκαῖον εἶναί τινα πρώτην ἐπιστήμην καὶ ἐχομένην
25 αὐτῶν· αὕτη δέ ἐστιν ἡ σοφία ἡ περὶ τὸ ὄντως ὂν καταγινομένη καὶ τὸ ἕν, ἥτις οἶδε καὶ τὰς ἄλλας ἐπιστήμας.

p. 1004a4 Ὑπάρχει γὰρ εὐθὺς γένη ἔχοντα τὸ ὂν καὶ τὸ ἕν.

Τουτέστι πᾶσαι αἱ ἄλλαι ἐπιστῆμαι καταγίνονται περὶ ἐπιστητὰ ἔχοντα τὸ ὂν καὶ τὸ ἕν. ὥστε καὶ αὐτὰ οἶδεν ἡ πρώτη φιλοσοφία. διό, φησίν,
30 αἱ ἐπιστῆμαι ἀκολουθοῦσι τούτοις. ἔστι γὰρ ὁ φιλόσοφος ὥσπερ

3 ὃ καὶ αὐτῷ ἐζητεῖτό τε καὶ ἠπορεῖτο Alex. vulg.: ὃ καὶ αὐτὸς ἐζήτει τότε κτλ. Alex. cod. L 7 ἀρχὴν λέγει — τοῦ ἀγαθοῦ (14) pleraque Alexandri sunt 10 θεωρεῖται fort. delendum 11 ἀναπέμπει Alex. περὶ τοῦ Alex. 16 ἐπεὶ — οὐσίαι (22) ex Alexandro petita, mutato tamen verborum et sententiarum nexu 19 ἀναγκαῖον — φιλοσοφίαν desunt Alexandro αὕτη Alex.: αὐτὴ libri 19. 20 οἷς ἡ τάξις αὕτη, ἡ περὶ αὐτὰ ἐπιστήμη κυρίως τοῦ πρώτου Alex. 21 ὄν scripsi: ἓν libri ἡ δὲ φιλοσοφία ἐπιστήμη περὶ οὐσίας (αὐτὴ γὰρ κυρίως ὄν) Alex. 29 αὐτὰ scripsi: αὐτὸ libri

ὁ μαθηματικὸς λεγόμενος· καὶ γὰρ αὕτη ἡ μαθηματικὴ ἔχει μέρη, καὶ θεωρεῖταί τις ἐν αὐτῇ πρώτη καὶ δευτέρα καὶ ἄλλαι ἐφεξῆς ἐν τοῖς μαθήμασιν· οἷον πρώτη ἀριθμητική, εἶτα ἀστρονομία, γεωμετρία, f.165r ἁρμονική. οὕτως οὖν καὶ ἐπὶ τῆς πρώτης φιλοσοφίας ἐστὶν ἡ πρωτίστη ἡ περὶ τὸ ὄντως ὂν καταγινομένη, εἶτα μετ' ἐκείνην ἡ περὶ τὰς οὐσίας, ὥς φησιν αὐτός, τὰς ἀκινήτους, ἐφεξῆς ἡ φυσική, ἥτις περὶ κινούμενα μεγέθη θεωρεῖται, καὶ λοιπαὶ ἄλλαι ἐφεξῆς πᾶσαι, ἐπειδὴ καὶ πᾶσαι τοῦ ὄντος καὶ τοῦ ἑνὸς μετέχουσι. τοσαῦτα οὖν μέρη φιλοσοφίας ὑπάρχουσιν. ὅσαι περ αἱ οὐσίαι εἰσίν. ἦν δὲ ἐν τοῖς ἠπορημένοις καὶ τοῦτο, πότερον μία ἐστὶν ἐπιστήμη περὶ πάσας τὰς οὐσίας ἢ πλείους, καὶ εἰ πλείους, ἆρα συγγενεῖς. καὶ δέδειχεν ὅτι συγγενεῖς ὡς ὑπὸ μίαν τελοῦσαι τὴν πρώτην φιλοσοφίαν· πάντα γάρ, ὡς εἴρηται, μετέχουσι τοῦ ὄντος. τὸ δὲ ὑπάρχει γὰρ εὐθὺς γένη ἔχοντα τό τε ἓν καὶ τὸ ὂν ἴσον ἐστὶ τῷ ἔστι γὰρ καὶ τοῦ ὄντος καὶ τοῦ ἑνὸς γένη τινά, τουτέστι κατὰ γενῶν τινων τό τε ἓν καὶ τὸ ὂν κατηγορεῖται. ὂν δὲ τὸ κυριώτατον λαμβάνει.

p. 1004a9 Ἐπειδὴ μιᾶς τὰ ἀντικείμενα θεωρῆσαι.

Ἐπεὶ μιᾶς ἐστιν ἐπιστήμης τὸ θεωρῆσαι τὰ ἀντικείμενα· ὡς δὲ πολλάκις μεμαθήκαμεν, τῶν ἀντικειμένων μία καὶ ἡ αὐτή ἐστιν ἐπιστήμη.

p. 1004a10 Τῷ τε ἑνὶ ἀντίκειται πλῆθος, ἀπόφασιν δὲ καὶ στέρησιν μιᾶς ἐστιν ἐπιστήμης θεωρῆσαι.

Τουτέστι κατάφασιν καὶ ἀπόφασιν καὶ ἕξιν καὶ στέρησιν. ὁ γὰρ εἰδὼς τὴν ἀπόφασιν οἶδε πολλῷ μᾶλλον καὶ τὴν κατάφασιν· προτέρα γὰρ φύσει ἡ κατάφασις τῆς ἀποφάσεως· καὶ ὁ εἰδὼς πάλιν τὴν στέρησιν οἶδε καὶ τὴν ἕξιν. οἷον ὁ εἰδὼς τὴν τυφλότητα οἶδε καὶ τὴν ὄψιν· ἡ γὰρ τυφλότης πρὸς ὄψιν λέγεται· καὶ ὁ εἰδὼς τὸ οὐκ ἀγαθὸν οἶδε καὶ τὸ ἀγαθόν.

p. 1004a11 Διὰ τὸ ἀμφοτέρως θεωρεῖσθαι τὸ ἕν.

Ἐπειδή, φησί, τὸ ἓν καὶ τὸ ὂν θεωροῦνται καὶ ἐν τῇ καταφάσει, ὡς εἴρηται, καὶ ἐν τῇ ἀποφάσει· πάντα γὰρ μετέχουσι τοῦ ὄντος. ὁμοίως f.165v δὲ καὶ ἐν τῇ στερήσει καὶ τῇ ἕξει θεωρεῖται τὸ ὂν καὶ τὸ ἕν.

p. 1004a12 Οὗ ἡ ἀπόφασις ἢ ἡ στέρησις ἡ ἁπλῶς λεγομένη.

Ὡς συντόμως φάναι, ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ἡ μὲν ἀπόφασις

1 μαθητικὸς libri 2 τις scripsi: τῆς libri 9 ἦν δὲ – λαμβάνει (15) Alexandri sunt 11 ὅτι πλείονες ἀλλ' ὡς ὑπὸ μίαν πᾶσαι τῷ γένει τὴν φιλοσοφίαν Alex. 12 πάντα—ὄντος desunt Alexandro 15 τὸ κυρίως ὂν Alex. 16 ἐπεὶ δὲ A²: lemma codices non distinguunt 17 τὸ om. D δὲ] fort. γὰρ

ἁπλῶς λέγεται, ἐπειδὴ πάντων τῶν ὄντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἡ ἀντίφασις, καὶ ὥς φησι Πλάτων, οὐδὲν καυχήσεται τῶν ὄντων ἐκφυγεῖν τὴν ἀντίφασιν· ἡ μέντοι γε ἕξις καὶ ἡ στέρησις οὐκ ἐπὶ πάντα τὰ ὄντα θεωροῦνται· στέρησιν γὰρ λέγονται ἔχειν ἐκεῖνα τὰ πεφυκότα μὲν ἔχειν, μὴ ἔχοντα δὲ τότε ὅτε πέφυκεν ἔχειν. ὁ γὰρ λίθος οὐ λέγεται τυφλός· οὔτε γὰρ πέφυκεν ἔχειν ὀφθαλμούς. τὸ δὲ κυνίδιον λέγεται στέρησιν ἔχειν, ἡνίκα μὴ ἔχει ἐν τῷ καιρῷ, καθ' ὃν πέφυκεν ἔχειν. διὰ τοῦτο ὁ Ἀριστοτέλης ἐπὶ μὲν τῆς ἀποφάσεως τὸ ἁπλῶς εἶπεν, ἐπὶ δὲ τῆς στερήσεως ἤ τινι γένει· οἷον ἡ ἁπλῶς λεγομένη ὅτι οὐχ ὑπάρχει, ἵνα εἴπῃ τὴν ἀπόφασιν, ἤ τινι γένει, ἵνα εἴπῃ τὴν στέρησιν.

p. 1004a13 Ἔνθα μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ πρόσεστιν.

Ἰστέον ὅτι διαφορὰν καλεῖ τὴν οὐ ἀπόφασιν, ἐπειδὴ αὕτη προστιθεμένη ποιεῖ ἀντὶ καταφάσεως ἀπόφασιν. ὃ οὖν λέγει τοῦτό ἐστιν. ὅτι ἔνθα μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ πρόσεστι, τοῦτο πάντα ἐστὶ παρὰ τὸ ἐν τῇ ἀποφάσει· τὸ γὰρ οὐκ ἄνθρωπος πάντα ἐστὶ παρὰ τὸν ἄνθρωπον, καὶ τὸ οὐ λίθος πάντα ἐστὶ χωρὶς τοῦ λίθου. διό φησι ἀπουσία γὰρ ἡ ἀπόφασις ἐκείνου ἐστί, τουτέστιν ἀναιρετικὴ τῆς καταφάσεως μόνης τὸ οὐκ ἄνθρωπος· ὥστε πάντα. φησί. τὰ ὄντα περιλαμβάνει ἡ ἀντίφασις. ἐν δὲ τῇ στερήσει καὶ ὑποκειμένη τις φύσις γίνεται, καθ' ἣν λέγεται ἡ στέρησις. τουτέστιν οὐκ ἐπὶ πάντα τὰ ὄντα τρέχει, ἀλλ' ἐπὶ τὰ πεφυκότα μὲν ἔχειν, μὴ ἔχοντα δὲ ὅτε δεῖ ἔχειν, ὡς ἐπὶ τοῦ κυνιδίου εἰρήκαμεν. ὁ γὰρ λίθος οὐ λέγεται εἶναι τυφλός. ἐὰν γὰρ εἴπω ὅτι τῶν ὄντων τὰ μὲν βλέπουσι τὰ δὲ τυφλὰ ὑπάρχουσιν, οὐ περιλαμβάνω πάντα τὰ ὄντα· οὔτε γὰρ λέγονται τυφλὰ τὰ μὴ ὅλως πεφυκότα ἔχειν ὄψιν. τῷ δὲ ἑνὶ πλῆθος ἀντίκειται, ὥστε καὶ τὰ ἀντικείμενα τοῖς εἰρη- f. 166r
μένοις, τό τε ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον καὶ ὅσα ἄλλα λέγεται ἢ κατὰ ταῦτα, τουτέστιν * * *, ἢ κατὰ τὸ ἓν καὶ κατὰ τὸ πλῆθος. τὸ μὲν γὰρ ταὐτὸν καὶ ὅμοιον καὶ ἴσον ὑπὸ τὴν ἑνάδα, τὸ δὲ ἀνόμοιον καὶ ἄνισον καὶ ἕτερον ὑπὸ τὸ πλῆθος. ταῦτα οὖν πάντα ἔργον ἐστὶ γνωρίζειν τῆς πρώτης φιλοσοφίας, καθάπερ ἐν τῇ θεωρίᾳ ἐδείξαμεν. διὸ καὶ ὁ Ἀριστοτέλης ὁ πρῶτος φιλόσοφος εἶπεν ἐν Κατηγορίαις ὅτι τὸ μὲν ἴσον καὶ ἄνισον ἐν ποσῷ θεωρεῖται, τὸ δὲ ὅμοιον καὶ ἀνόμοιον ἐν ποιῷ, τὸ δὲ ταὐτὸν καὶ ἕτερον ἐν τῇ οὐσίᾳ. ὑπὸ ταῦτα οὖν τελεῖ καὶ ἡ ἐναντιότης. ἐν τούτοις γάρ ἐστι καὶ ἡ ἐναντιότης· διαφορὰ γάρ τίς ἐστιν ἡ ἐναντιότης, καθάπερ ἐν τῇ θεωρίᾳ ἐδείξαμεν, ὡς ἐπὶ τοῦ λευκοῦ καὶ τοῦ μέλανος, ἡ δὲ διαφορὰ ἑτερότης ἐστίν. ὥστε ἐπειδὴ πολλαχῶς τὸ ἓν λέγεται, ἢ ὡς ἴσον ἢ ὡς ὅμοιον ἢ ὡς ταὐτόν, καὶ

---

2 ὥς φησι Πλάτων] fort. ad Soph. p. 258D sqq. respicit; cf. p. 158,14. 15 ἐκφυγεῖν scripsi: ἐκφυγὸν libri 5 δὲ τότε A: δέ ποτε D: οὐδέποτε margo D 16 ἐστὶ scripsi: ἐπὶ libri 24 τῷ — ἀντίκειται (25) repetit A 27 τουτέστιν] addendum τὸ ταὐτὸν καὶ τὸ ἕτερον, τὸ ἴσον καὶ τὸ ἄνισον 31 fort. ὡς πρῶτος φ., cf. p. 143,26. 27 ἐν Κατηγορίαις] 6 p. 6a26, 8 p. 11a15

ταῦτα φανερὸν ὡς ὅτι πολλαχῶς λεχθήσονται (ἄλλη γὰρ ἰσότης ἡ ἐν τοῖς ἀριθμοῖς καὶ ἄλλη ἡ ἐν τοῖς μεγέθεσιν, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ὁμοίου καὶ τῶν ἄλλων πάντων), ὅμως μέντοι γε πάντα ταῦτα ὑπὸ μιᾶς ἐπιστήμης γνωρίζεται· οὐ γάρ, εἰ πολλαχῶς λέγεται, πάντως καὶ ἑτέρας ἐστὶ γνωρίζειν, ἀλλὰ τοῦτό ἐστιν, εἰ μήτε καθ' ἓν μήτε πρὸς ἓν οἱ λόγοι ἀναφέρονται, τουτέστι μήτε συνωνύμως κατηγοροῦνται τὰ κατηγορούμενα, μήτε δὲ ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἐπειδὴ δὲ τὸ ὂν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν κατηγορεῖται τῶν ὄντων πάντων, φανερὸν ὅτι ὁ πρῶτος φιλόσοφος, ὡς πολλάκις εἴρηται, διαλέξεται περὶ πάντων τῶν ὄντων. ἅτε δὴ εἰδὼς αὐτά, διότι πάντα μετέχουσι τοῦ ὄντος. εἰ μὲν γὰρ ὁμωνύμως κατηγορεῖτο τὸ ὄν, τότε περὶ τῶν πολλαχῶς λεγομένων ἑτέρας καὶ ἑτέρας ἦν ἐπιστήμης τὸ διαλεχθῆναι, ὥσπερ τὸ ὀξὺ τὸ μέν ἐστιν ἐν φθόγγοις, τὸ δὲ ἐν χυμοῖς, οὐχ ὁ αὐτὸς δὲ διαλέξεται περὶ τοῦ ὀξέος τοῦ f.166v ἐν φθόγγοις καὶ τοῦ ἐν χυμοῖς, ἐπεὶ ὁμωνύμως ἐνταῦθα κατηγορεῖται. ἐπεὶ οὖν πάντα πρὸς τὸ πρῶτον ἀναφέρεται, οἷον ὅσα ἓν λέγεται (μετέχουσι γὰρ πάντα καὶ τῆς ἑνώσεως καὶ τοῦ ὄντος) ὡσαύτως φατέον καὶ περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ τῶν ἐναντίων ἔχειν· πάντα γὰρ ταῦτα μετέχουσι καὶ τοῦ ὄντος καὶ τοῦ ἑνός. ὥστε διαλέξεται περὶ αὐτῶν ὁ πρῶτος φιλόσοφος. ὁ μέντοι γε Ἀλέξανδρος περὶ τοῦ λευκοῦ καὶ τοῦ μέλανος οὕτως φησί. λευκὸν γὰρ καὶ μέλαν καὶ γλυκὺ καὶ πικρὸν ὑπὸ μὲν τὸ ἓν καὶ τὸ πλῆθος πῶς ἂν αὐτόθεν ὑπάγοιτο; ὑπὸ μέντοι ταὐτὸν καὶ θάτερον ὑπαχθήσεται· τὰ μὲν γάρ ἐστι συγκριτικὰ αὐτῶν, τὸ γλυκὺ καὶ τὸ μέλαν, τὰ δὲ διακριτικά, τὸ πικρὸν καὶ τὸ λευκόν. τὰ οὖν διακριτικὰ ὑπὸ τὴν ἑτερότητα, τὰ δὲ συγκριτικὰ ὑπὸ τὴν ταυτότητα· καὶ διὰ τούτων ἀνάγονται ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος. ἔδειξε δὲ ὅτι καὶ τὰ κατὰ κατάφασιν καὶ ἀπόφασιν ἀνάγονται ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος· ἡ μὲν γὰρ κατάφασις ὑπὸ τὸ ἓν καὶ ἡ ἕξις, ἡ δὲ στέρησις καὶ ἡ ἀπόφασις ὑπὸ τὸ πλῆθος· πολλὰ γὰρ εἰσάγουσιν. ὁμοίως δὲ καὶ τὸ πρός τι.

p. 1004a25 Ἐπειδὴ πάντα πρὸς τὸ πρῶτον ἀναφέρεται.

Φησὶν ὅτι πάντα πρὸς τὸ πρῶτον ἀναφέρονται, οἷον ὅσα ἓν λέγονται· ἐξ ἐκείνου γὰρ τοῦ πρώτου πάντα καὶ τῆς ἑνώσεως μετέχουσι καὶ τοῦ ὄντος. ὁμοίως οὖν δεῖ λέγειν ἓν καὶ ἐπὶ ταὐτοῦ καὶ ἑτέρου καὶ τῶν ἐναντίων· καὶ ταῦτα γὰρ πάντα μετέχουσιν ἑνώσεως καὶ ὑπάρξεως. ὥστε διελόμενον ποσαχῶς λέγεται ἕκαστον, οὕτως ἀποδοτέον πρὸς τὸ πρῶτον ἐν ἑκάστῃ κατηγορίᾳ, πῶς πρὸς ἐκεῖνο λέγεται. τὰ μὲν γὰρ τῷ μετέχειν τοῦ ὄντος, ὥσπερ ⟨ἀὴρ καὶ πῦρ⟩ λέγονται θερμὰ τῷ μετέχειν ἀμφότερα θερμότητος, τὰ δὲ τῷ ποιεῖν, ὥσπερ

---

6 μήτε om. D 11 κατηγορεῖτο scripsi: κατηγορεῖται libri τὸ ὄν scripsi: τῷ ὄντι A^1: τὶ ὄν A^2: τὸ ὄντι D 15 πρῶτον om. D 19 ὁ Ἀλέξανδρος] p. 210,10 Bz. 23 τὸ πικρὸν — διακριτικὰ om. D 25 κατὰ om. D 27 ἀπόρησις D 34 διελόμενον ex Aristotele scripsi: διελόμενοι libri 36 ἀὴρ καὶ πῦρ addidi 37. p. 241,1 ὥσπερ — τῷ ποιεῖν om. D

λέγονται ἀμφότερα δραστικὰ τῷ ποιεῖν, σίδηρος, εἰ τύχοι, καὶ λίθος· τὰ δὲ κατὰ ἄλλους λεχθήσεται τρόπους, οἷον σχετικῶς, ὡς πατὴρ πρὸς υἱὸν ἤ τι τοιοῦτο· ταῦτα γὰρ οὔτε τῷ ποιεῖν οὔτε τῷ ἔχειν ὑπάρ- f. 167r
χουσιν, ἀλλὰ κατ' ἄλλην τινὰ σχέσιν. φανερὸν οὖν γέγονεν, ὅπερ καὶ
5 ἐν ταῖς ἀπορίαις εἰρήκαμεν, ὅτι μιᾶς ἐπιστήμης ἐστὶ θεωρῆσαι περὶ τούτων. τοῦτο δὲ ἡμῖν ὑπέκειτο ἐν τοῖς ἀπορήμασιν, εἰ τοῦ φιλοσόφου ἐστὶν ἔργον τὸ περὶ πάντων τῶν ὄντων δύνασθαι θεωρεῖν. πῶς οὖν, φησίν, ἀπ' ἐκείνου λέγεται, τὸ ἓν πρὸς τὸ πρῶτον καὶ κυρίως ἕν, τὸ ταὐτὸν πρὸς τὸ πρῶτον καὶ κυρίως ταὐτόν, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων,
10 οἷον καθ' ὧν ἡ ταὐτοῦ κατηγορία καὶ καθ' ὧν τὸ ταὐτὸν κατηγορεῖται, διελομένους καὶ λαβόντας τὰ ἐν ταῖς ἄλλαις κατηγορίαις, πῶς τὰ ἄλλα πρὸς τὸ πρῶτον τῶν ὑπὸ ταὐτόν, τουτέστι τὸ ἐν τῇ οὐσίᾳ ἀναφέρεται, καὶ δι' ἐκεῖνο καὶ αὐτὰ τῆς αὐτῆς τυγχάνει κατηγορίας. ὁμοίως ἐπὶ ὁμοίου καὶ ἴσου καὶ τῶν ἄλλων. ὡς γὰρ περὶ τοῦ ὄντος λέγοντες, λαβόντες τὸ κυρίως
15 εἶναι τὴν οὐσίαν, ἓν ἕκαστον τῶν ἄλλων ὧν τὸ ὂν κατηγορεῖται ἐδείκνυμεν ὂν ἢ τῷ πάθος εἶναι τῆς οὐσίας ἢ τῷ ἐνέργειαν ἢ τῷ γένεσιν ἤ τι ἄλλο, οὕτως φησὶ δεῖν καὶ ἐπὶ τούτων ποιεῖν (τὰ μὲν γὰρ τῷ ἔχειν ἐκεῖνα, τὰ δὲ τῷ ποιεῖν, τὰ δὲ κατὰ ἄλλους λεχθήσεται τρόπους) εὑρόντας τὸ κυρίως καθ' ἕκαστον τούτων λεγόμενον· τῶν γὰρ ἄλλων ἕκαστον τὰ μὲν τῷ ἔχειν
20 τὸ κυρίως λεγόμενον ἢ ὂν ἢ ἕν (ἤγουν σχέσει) ἢ ταὐτὸν ἢ τῶν ἄλλων τι καὶ αὐτὸ οὕτως λέγεται. δύναται τὸ ἔχειν καὶ ἀντὶ τοῦ ἔχεσθαι εἰρῆσθαι· τῷ γὰρ ἔχεσθαι ὑπὸ τοῦ κυρίως ὄντος τε καὶ ἑνός, τουτέστι τῆς οὐσίας, καὶ εἶναι ἐν αὐτῇ λέγεται ὄντα τε καὶ ἓν ἕκαστον τῶν συμβαινόντων αὐτῇ, ὡς τὸ ποσόν τε καὶ ποιὸν καὶ ὅσα ὁμοίως τούτοις ἐν τῇ οὐσίᾳ ἐστίν. οὕτω
25 γὰρ καὶ τὸ ταὐτὸν καὶ θάτερον καὶ τὸ ὅμοιον καὶ ἀνόμοιον ἕξει, ἐπειδὰν αὐτῶν κατηγορῆται. καὶ τὸ ἴσον καὶ τὸ ἄνισον καὶ τὰ ἄλλα· ταὐτὸν μὲν γὰρ κυρίως ἐπὶ τῶν οὐσιῶν, ὡσαύτως δὲ καὶ ὅμοιον τὸ κατὰ τὸ ἐν οὐσίᾳ εἶδος· ῥηθήσεται δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ὅσα ἔχει τὴν πρὸς ἐκεῖνα ὁμοιότητα. τὰ μὲν οὖν τῷ ἔχεσθαι ὑπ' ἐκείνου οὕτως ῥηθήσεται, τὰ δὲ
30 τῷ ἐνέργειαί τινες εἶναι αὐτοῦ· τῶν γὰρ τῆς οὐσίας ἐνεργειῶν ἑκάστη f. 167v
ὄν τι καὶ ἕν, ὅτι ἔστιν αὐτὰς ἡ οὐσία ποιοῦσα. ὁμοίως πάλιν ἄλλα ὄντα λέγεται τῷ πάθη τῆς οὐσίας εἶναι. καὶ ἄλλα τῷ σχέσεις. ὡς δὲ τὸ ὂν ἀναδέχεται ἕκαστον αὐτῶν, οὕτως καὶ τὸ ἓν καὶ τῶν ὑπὸ τὸ ἓν ἕκαστον. δείξας δὲ πῶς ἀφ' ἑνός ἐστι καὶ πρὸς ἓν ταῦτα λεγόμενα, ἐπιφέρει τὸ τῆς
35 αὐτῆς εἶναι ἐπιστήμης περί τε τούτων ⟨ἃ⟩ ἀπὸ τῆς οὐσίας τὸ εἶναι ἔχει καὶ περὶ τῆς οὐσίας ἔχειν ἐπιστήμην. ἦν δὲ περὶ τὴν οὐσίαν ἡ πραγματεία τῷ φιλοσόφῳ· καὶ περὶ τούτων ἄρα τοῦ φιλοσόφου διαλαμβάνειν.

7 πῶς—ποιεῖν (17) ex Alexandro petita, interrupto tamen sententiarum nexu: apud Alex. antecedunt haec τὸ δὲ οὕτως—λέγεται εἶπεν ἀντὶ τοῦ πῶς ἕκαστον τῶν καθ' ἑκάστην κατηγορίαν οὕτως λεγομένων προσκατηγορούμενον πρὸς τὸ πρῶτον καὶ κυρίως τοιοῦτον λεγόμενον ἔχει, ὅ ἐστι τὸ ἐν τῇ οὐσίᾳ καὶ οὖν φησίν desunt Alexandro 15 δείκνυμεν Alex. 19 τῶν γὰρ—ἄλλα (p. 242,6) Alexandri sunt 20 ἤγουν σχέσει desunt Alexandro 22 τῷ γὰρ Alex.: τὸ γὰρ libri 28 ἐκεῖνα Alex. cod. L: ἐκείνας libri 31 αὐτὰς A^2 Alex.: αὐταῖς A^1D 34 τὸ A^1 Alex.: τῷ A^2D 35 ἃ ex Alexandro addidi ἔχει A^1 Alex.: ἐχόντων A^2 36 δὲ περὶ τῆς οὐσίας Alex.

εἰπὼν δὲ ταῦτα καὶ δείξας ὅτι τοῦ φιλοσόφου τὸ περὶ πάντων τῶν ὄντων γνῶσιν ἔχειν. ἐπισημαίνεται ὅτι διὰ τῶν δεδειγμένων λύεται τῶν ἀπορίων μία τῶν ἀπορηθεισῶν ἐν τῷ Β. περὶ ἧς ἠπόρει, πότερον μιᾶς ἢ πλειόνων ἐστὶν ἐπιστημῶν τὸ θεωρῆσαι περί τε τῆς οὐσίας καὶ τῶν τῇ οὐσίᾳ συμβεβηκότων, καὶ τῶν οἷς εἶπε χρῆσθαι τὴν διαλεκτικὴν κατὰ τὸ ἔνδοξον, ἃ ἦν ἐναντία ταὐτὸν καὶ ἕτερον καὶ τὰ ἄλλα.

p. 1004ᵇ1 Εἰ γὰρ μὴ τοῦ φιλοσόφου.

Εἰ μὴ τοῦ φιλοσόφου ἔργον ἐστὶ τὸ περὶ πάντων τῶν ὄντων θεωρεῖν, τίς ἔσται ὁ ἐπισκεψόμενος, εἰ ταὐτὸ Σωκράτης καὶ Σωκράτης καθήμενος (κατὰ μὲν γὰρ τὸ ὑποκείμενον τὸ αὐτό ἐστι Σωκράτης καὶ Σωκράτης καθήμενος. κατὰ δὲ τὸ συμβεβηκὸς ἕτερον) ἢ εἰ ἓν ἑνὶ ἐναντίον (ἐνταῦθα φανερὸν ὅτι ἕν· οὐ γὰρ ἄδικος ἡ φύσις ⟨ὥστε⟩ δύο ἑνὶ ἀντιτάξαι, ὡς δέδεικται ἐν τῷ Περὶ ἑρμηνείας), ἢ τί ἐστι τὸ ἐναντίον, ὅτι τὰ πλεῖστον ἀλλήλων διεστηκότα, ⟨ἢ⟩ ποσαχῶς λέγεται τὰ ἐναντία, ὅτι διχῶς. τὰ μὲν ὡς μετέχοντα τὰ δὲ ὡς μετεχόμενα; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. ἐπεὶ τοίνυν τοῦ ἑνὸς καθὸ ἕν ἐστι καὶ τοῦ ὄντος καθὸ ὄν ἐστι ταῦτα πάθη ὑπάρχουσι τὰ εἰρημένα, τὸ ταὐτὸν καὶ ἕτερον καὶ ὅμοιον καὶ ἀνόμοιον καὶ ἴσον καὶ ἄνισον καὶ ὅσα ἄλλα, ἀλλ' οὐχ ἧ ἀριθμοὶ ἢ γραμμαὶ ἢ πῦρ (εἰ γὰρ καθ' αὑτὰ ὑπάρχουσι τοῖς c. 16ᵃ1 ἀριθμοῖς τὸ ὂν ἢ ὂν καὶ τὸ ἀνόμοιον, ἤγουν τοῖς μεγέθεσιν, ἔδει αὐτοῖς μόνον ὑπάρχειν· νῦν δὲ ὁρῶμεν ταῦτα διήκοντα ἐπὶ πάντα τὰ ὄντα), φανερὸν ὡς ὅτι τοῦ ὄντος ὑπάρχουσι πάθη καθ' αὑτά, καὶ ἐκείνης τῆς πρώτης φιλοσοφίας ἐστὶν ἔργον γνωρίσαι καὶ τὰς οὐσίας αὐτὰς καὶ τὰ συμβεβηκότα αὐτοῖς, ταὐτὸν καὶ ἕτερον καὶ ὅσα ἄλλα.

p. 1004ᵇ8 Καὶ οὐ ταύτῃ ἁμαρτάνουσιν οἱ περὶ αὐτῶν σκοπούμενοι ὡς οὐ φιλοσοφοῦντες.

Πρόκειται αὐτῷ δεῖξαι ὅτι ὁ πρῶτος φιλόσοφος περὶ πάντων τῶν ὄντων διαλέγεται καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς πράγμασι. καὶ ἤδη μὲν φθάσας διὰ πλειόνων ἐπιχειρημάτων τοῦτο ἔδειξε, καὶ νῦν δὲ τοῦτο αὐτὸ δείκνυσι διὰ χαριεστάτου πάνυ θεωρήματος. τί γάρ; φησὶν ὅτι ὁ διαλεκτικὸς καὶ ὁ σοφιστικὸς ὑποδύονται τὸν πρῶτον φιλόσοφον. εἰ τοίνυν οὗτοι οἱ ὑποδυόμενοι τὸν πρῶτον φιλόσοφον περὶ πάντων τῶν ὄντων διαλέγονται καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς πράγμασι, πολλῷ μᾶλλον αὐτὸς ὁ πρῶτος φιλόσοφος, ὃν ὑποδυόμενοι ταῦτα λέγουσι, περὶ πάντων τῶν ὄντων διαλέξεται καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς πράγμασιν. ὁ μὲν γὰρ διαλεκτικός (ἦν καὶ ἀδολεσχίαν ἐκάλεσεν ἐν τοῖς Τόποις) ἐξ ἐνδόξων

---

4 ἐπιστημῶν Alex.: ἐπιστήμης libri 12 ὥστε addidi 13 ἐν τῷ Περὶ ἑρμηνείας] c. 7. 14 τὸ om. D 14 ἢ addidi 16 ἄλλων τῶν om. D 31 εἰ — φιλόσοφον (32) om. D 34 αὐτοῖς D 36 ἐν τοῖς Τόποις] quem locum respiciat non video

ὁρμώμενος καὶ ἐκ πιθανῶν λόγων σπουδάζει τὰ ἐναντία δεικνύναι γυμνάζων τοὺς νέους, ἵνα γνόντες ἀμφοτέρους τοὺς λόγους ὕστερον λοιπὸν τὸ ἀληθὲς κατάσχωσιν· ὁ δὲ κυρίως πρῶτος φιλόσοφος οὐκ ἐξ ἐνδόξων ὁρμᾶται λόγων καὶ πιθανῶν, ἀλλὰ ἐξ αὐτοπίστων καὶ ἀληθῶν, καὶ τὰ ἐν-
5 αντία οὐ δείκνυσιν ἀλλὰ τὰ δοκοῦντα αὐτῷ ἀληθῆ. ὅθεν τὸν διαλεκτικὸν καὶ πειραστικὸν προσαγορεύει ὡς πειράζοντα τοὺς νέους. ὁ μέντοι γε σοφιστὴς κέρδους χάριν ὑποκρίνεται τὸν πρῶτον φιλόσοφον καὶ διαλέγεται περὶ πάντων τῶν ὄντων καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς οὖσιν ἐκ τῶν τυχόντων ὁρμώμενος· διὸ καὶ ἀδικομάχους αὐτοὺς καλεῖ ὁ Ἀριστοτέλης ἐν f. 168v
10 τοῖς Σοφιστικοῖς ἐλέγχοις. ὥσπερ οὖν ἐπὶ τῶν ἀριθμῶν ὁρῶμεν ὅτι τοῖς ἀριθμοῖς ὑπάρχει τὰ μὲν καθ' αὑτὸ τὰ δὲ κατὰ σχέσιν· καθ' αὑτὸ μὲν ὑπάρχει τοῖς ἀριθμοῖς τὸ περιττὸν καὶ τὸ ἄρτιον, κατὰ σχέσιν δὲ τὸ ἴσον τὸ ἄνισον, ὑπεροχὴ ἔλλειψις συμμετρία· καὶ καθ' αὑτοὺς μὲν ὑπάρχει τοῖς ἀριθμοῖς τὰ καθ' αὑτὸ ὑπάρχοντα αὐτοῖς περιττὸν καὶ ἄρτιον, πρὸς ἀλλή-
15 λους δὲ τὰ κατὰ σχέσιν· παραβαλλόμενοι γὰρ πρὸς ἀλλήλους λέγονται ἔχειν ὑπεροχὴν καὶ ἔλλειψιν καὶ ἰσότητα καὶ ἀνισότητα. καὶ ὁ μὲν ἀριθμητικὸς οὐ μόνον περὶ τῶν ἀριθμῶν διαλέγεται, ἀλλὰ καὶ περὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς ἀριθμοῖς ἡ ἀριθμητική, τουτέστιν ἀρτίου καὶ περιττοῦ· περὶ δὲ τῶν κατὰ σχέσιν ὑπαρχόντων τοῖς ἀριθμοῖς οὐχ ᾗ ἀριθμητικὸς
20 διαλέγεται. ἀλλὰ καθὸ ἀριθμητικὸς ἔχει τὰς ἀρχὰς τοῦ μουσικοῦ. ὁμοίως δὲ παντὶ στερεῷ σώματι ὑπάρχει τὸ εἶναι τριχῇ διαστατῷ· τοῦτο δὲ καθ' αὑτὸ ὑπάρχει τοῖς σώμασι, καὶ τοῖς μαθηματικοῖς καὶ τοῖς φυσικοῖς. διαφέρουσι δὲ ἀλλήλων ὅτι τὰ μὲν μαθηματικὰ ἀκίνητα ὑπάρχουσι, τὰ δὲ φυσικὰ πάντα ἐν κινήσει· καὶ τῶν φυσικῶν τὰ μὲν ἀεὶ κινούμενα ὑπάρ-
25 χουσι, τὰ δὲ ποτὲ κινούμενα. διαλέγεται οὖν ὁ μαθηματικὸς καὶ ὁ φυσικὸς καὶ περὶ τῶν σωμάτων καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς σώμασιν, ὅτι τὰ μὲν ἀκίνητα ὑπάρχουσι τὰ δὲ ἐν κινήσει, καὶ ὅτι τὰ μὲν ἀεικίνητα τὰ δὲ ποτὲ κινούμενα, καὶ ὅτι τὰ μὲν βαρέα ὑπάρχουσι τὰ δὲ οὔτε κουφότητος μετέχουσιν οὔτε δὲ βάρους. ὥσπερ οὖν ὁ ἀριθμητικὸς διαλέγεται περὶ
30 πάντων τῶν ἀριθμῶν καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς ἀριθμοῖς, καὶ ὁ φυσικὸς περὶ πάντων τῶν σωμάτων καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς σώμασιν, ὁμοίως δὲ καὶ οἱ ἄλλοι ἐπιστήμονες οἱ κατὰ μέρος, οὕτως δὴ καὶ ὁ πρῶτος φιλόσοφος διαλέγεται περὶ πάντων τῶν ὄντων καὶ τῶν καθ' f. 169r
αὑτὸ ὑπαρχόντων πᾶσι τοῖς οὖσιν. εἶτα ἐφεξῆς ἱστορεῖ καὶ τὰς τῶν πα-
35 λαιοτέρων δόξας, δεικνὺς ὅτι καὶ αὐτοὶ ἀρχὰς τῶν ὄντων ἐναντιώσεις ὑπετίθεντο· ὁ μὲν Παρμενίδης τὸ πῦρ καὶ τὴν γῆν, τουτέστι τὸ θερμὸν καὶ τὸ ψυχρόν, ὁ δὲ Ἐμπεδοκλῆς τὸ νεῖκος καὶ τὴν φιλίαν, ὁ δὲ Πλάτων τὸ πέρας καὶ ἄπειρον. οἱ δὲ Πυθαγόρειοι τὸ περιττὸν καὶ τὸ ἄρτιον. ὥστε καλῶς καὶ ἡμεῖς ἀρχὰς τῶν ὄντων ὑπεθέμεθα τὸ ἓν καὶ τὸ πλῆθος· καὶ
40 αἱ ἄλλαι γὰρ ἀρχαὶ πᾶσαι φαίνονται ἀναφερόμεναι ὑπὸ τὸ ἓν καὶ τὸ πλῆ-

---

3 ὁ γὰρ A¹ 9. 10 ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις] 11 p. 171ᵇ23 19 ἀριθμητική A¹ 29 ὁ om. D

θος· ὡς εἰς γένη γὰρ ταῦτα πίπτουσι τὰ ἄλλα πάντα. δῆλον δὲ ὅτι οἶδε καὶ πρὸ τῶν δύο τούτων μίαν ἀρχήν· καὶ γάρ φησιν "οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω". ἐπεὶ οὖν ἀντίκεινται ἀλλήλοις τὸ ἓν καὶ τὸ πλῆθος, τῶν δὲ ἀντικειμένων μία ἐστὶν ἐπιστήμη, δῆλον ὡς ὅτι εἷς καὶ ὁ αὐτὸς φιλόσοφος διαλέξεται περὶ τοῦ ἑνὸς καὶ τοῦ πλήθους καὶ πάντων τῶν ὑπ' αὐτὰ τελούντων, τουτέστι περὶ πάντων τῶν ὄντων. ταῦτα γὰρ πάντων τῶν ὄντων κατηγοροῦνται ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· οὐ γὰρ συνωνύμως, ὡς ἀνωτέρω ἐδείξαμεν, οὔτε δὲ ὡς κατὰ τύχην ὡς τὰ ὁμώνυμα. κατὰ τύχην γὰρ ἐκλήθησαν, εἰ τύχοι, ἀμφότεροι Αἴαντες· οὐκ ἔστι δὲ κατὰ τύχην ὑγιεινὸν βοήθημα καὶ σιτίον, ὅπερ ἐστὶν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. πάντα οὖν τὰ ἄλλα μετέχουσι τοῦ ἑνὸς καὶ τοῦ πλήθους. διαλέγεται οὖν καὶ περὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς οὖσι, τουτέστιν ἑτερότητος ἰσότητος, ταυτότητος ὁμοιότητος, ἐναντιότητος τελείου. ὁ γὰρ γεωμέτρης διαλέγεται περὶ τοῦ προτέρου τοῦ ἐν τοῖς μεγέθεσιν, ὅτι πρότερα, εἰ τύχοι, ἐστὶ τὰ τρίγωνα, εἶτα τὰ τετράγωνα· ὡσαύτως καὶ περὶ τῆς ὁμοιότητος τῆς ἐν μεγέθεσι, καὶ ἰσότητος καὶ ταυτότητος καὶ ἑτερότητος. ὁμοίως δὲ καὶ ὁ ἀριθμητικὸς περὶ ὁμοιότητος τῆς ἐν τοῖς ἀριθμοῖς καὶ τῶν ἄλλων. ὁ μέντοι γε πρῶτος φιλόσοφος διαλέγεται περὶ τῆς ἁπλῶς ὁμοιότητος, τί ἐστιν ἁπλῶς ὁμοιότης, περὶ τῶν θεωρουμένων ἐν f. 169v πᾶσι τοῖς οὖσιν, ὁμοίως δὲ καὶ περὶ τῆς ἁπλῶς ἐναντιότητος τῆς ἐν πᾶσι τοῖς οὖσι θεωρουμένης, ὡσαύτως δὲ καὶ περὶ προτέρου καὶ τελείου καὶ ὄντος. πάλιν δὲ ὁ φυσικὸς διαλέγεται περὶ τοῦ γένους τοῦ ἐν τῷ ζῴῳ· ὁ μέντοι γε πρῶτος φιλόσοφος διαλέγεται περὶ τοῦ ἁπλῶς γένους τοῦ ἐν ἅπασι τοῖς οὖσι θεωρουμένου· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων πάντων.

p. 1004ᵇ8 Καὶ οὐ ταύτῃ ἁμαρτάνουσιν οἱ περὶ αὐτῶν σκοποῦντες.

Ὃ λέγει τοῦτό ἐστιν ὅτι οὐ κατὰ τοῦτο ἁμαρτάνουσιν οἱ διαλεκτικοὶ καὶ οἱ σοφισταί, καθὸ περὶ πάντων τῶν ὄντων διαλέγονται καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς οὖσι, καὶ μάλιστα οἱ σοφισταί· οὐχ ἁμαρτάνουσιν οὖν ὡς κατὰ τοῦτο φιλοσοφοῦντες. ἀλλὰ ἁμαρτάνουσι. καθὸ οὐκ εἰδότες τὸ κυρίως ὂν καὶ τὴν κυρίως οὐσίαν ὁποία τίς ἐστιν. ἀποφαίνονται περὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τῷ πράγματι, ὅπερ ἀγνοοῦσι. διό φησιν ἀλλ' ὅτι προτέρα ὑπάρχει οὐσία τῶν καθ' αὑτὸ ὑπαρχόντων αὐτῇ, περὶ ἧς οὐσίας οὐδὲν γινώσκουσιν. ὥσπερ γάρ ἐστι καὶ ἀριθμοῦ καθὸ ἀριθμὸς ἴδια πάθη, οἷον περιττὸν καὶ ἄρτιον. συμμετρία ἰσότης, ὑπεροχὴ ἔλλειψις, καὶ ταῦτα καὶ καθ' ἑαυτοὺς καὶ πρὸς ἀλλήλους ὑπάρχουσι τοῖς ἀριθμοῖς. καθ' ἑαυτοὺς μὲν τὸ περιττὸν καὶ ἄρτιον. πρὸς ἀλλήλους δὲ ὑπεροχὴ ἔλλειψις, συμμετρία ἰσότης, ὡς ἐδείξαμεν ἐν τῇ θεωρίᾳ, ὁμοίως δὲ καὶ στερεῷ σώματι καὶ ἀκινήτῳ καὶ κινουμένῳ ἀβαρεῖ τε καὶ βάρος

---

2 φησίν] Metaph. Λ 1076ᵃ4 5 ὁ om. D 11 καὶ πρὸς — ἑνός om. D
14 περὶ — μεγέθεσιν om. D 15 εἶτα τὰ] εἰ τὰ D¹: ἢ τὰ corr. D 19 exspectes τῆς θεωρουμένης

ἔχοντι ἔστιν ἕτερα ἴδια, οἷον τὸ τριχῇ διαστατόν, οὕτως οὖν καὶ τῷ κυρίως ὄντι, καθὸ ὄν ἐστι, τινὰ ἴδια, ἑτερότης ταυτότης, ὁμοιότης ἰσότης· ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχουσι τῷ ὄντι, ᾗ ὄν ἐστι. καὶ δεῖ περὶ πάντων τῶν καθ' αὑτὸ ὑπαρχόντων τῷ ὄντι διαλέγεσθαι τὸν πρῶτον φιλόσοφον, ὥσπερ καὶ τὸν ἀριθμητικὸν περὶ τῶν ἀριθμῶν καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς f.170r ἀριθμοῖς, τουτέστιν ἀρτίου καὶ περιττοῦ. σημεῖον δὲ τούτου· οἱ γὰρ διαλεκτικοὶ καὶ οἱ σοφισταὶ ταὐτὸ ὑποδύονται σχῆμα τῷ φιλοσόφῳ· περὶ πάντων γὰρ τῶν ὄντων πειρῶνται διαλέγεσθαι. ἡ γὰρ σοφιστικὴ φαινομένη μόνον σοφία ἐστίν (οὐ γὰρ οὖσα· ἀπατᾷ γάρ), καὶ οἱ διαλεκτικοὶ δὲ διαλέγονται περὶ πάντων· κοινὸν δὲ πᾶσιν ὑπόκειται τὸ ὄν, ᾗ ὄν ἐστι. διαλέγονται δὲ περὶ τούτων, ἐπειδὴ πάντα ταῦτα οἷον ἴδιά ἐστι τῆς φιλοσοφίας, ἥντινα ὑποκρίνονται, φημὶ δὴ πάντα τὰ ὄντα· περὶ γὰρ τὸ αὐτὸ γένος στρέφεται, τουτέστι περὶ τὸ αὐτὸ ὑποκείμενον. ἡ σοφιστικὴ καὶ ἡ διαλεκτικὴ τῇ φιλοσοφίᾳ· ὡς γὰρ πολλάκις εἴρηται, σπεύδουσι περὶ πάντων τῶν ὄντων διαλέγεσθαι. διαφέρει δὲ ἡ κυρίως φιλοσοφία τῆς μὲν διαλεκτικῆς τῷ τρόπῳ τῆς δυνάμεως, ἐπειδὴ ἡ μὲν διαλεκτικὴ ἐξ ἐνδόξων ὁρμᾶται καὶ ἐκ πιθανῶν, καὶ τὰ ἐναντία κατασκευάζει γυμνάζουσα τὸν νέον, ἡ δὲ φιλοσοφία ἐξ ἀληθῶν ὁρμᾶται καὶ αὐτοπίστων, τέλος ἔχουσα τὴν τῆς ἀληθείας ὁδόν. τῆς δὲ σοφιστικῆς διαφέρει ἡ φιλοσοφία τῇ τοῦ βίου προαιρέσει, ἐπειδὴ ὁ μὲν σοφιστὴς διὰ τὸ χρηματίζεσθαι ταῦτα ποιεῖ, ὁ δὲ φιλόσοφος διὰ τὴν ὠφέλειαν. ἔστι δέ, φησίν, ἡ διαλεκτικὴ πειραστική (πειράζει γὰρ τὸν νέον, πῶς ἔχει) περὶ ὧν ἡ φιλοσοφία τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν ὑφηγεῖται· ἡ δὲ σοφιστικὴ φαινομένη ἐστὶ σοφία μὴ οὖσα. αἰτιᾶται οὖν τοὺς σοφιστάς, οἵτινες ὑποδυόμενοι τὸ τῆς φιλοσοφίας ὄνομα περὶ μὲν τῆς οὐσίας, περὶ ἧς οἰκειότατος καὶ προηγούμενος ὁ λόγος τῷ φιλοσόφῳ, οὐδένα ποιοῦνται λόγον, περὶ δὲ ἐναντίων καὶ ἀντικειμένων, ὥς φησιν ὁ ἀπὸ τῆς Ἀφροδισιάδος ἐξηγητής, καὶ τῶν πλεοναχῶς λεγομένων καὶ τῶν συμβεβηκότων καὶ τῶν τοιούτων πᾶσα αὐτοῖς ἡ πραγματεία, οἷς πρὸς τὰ σο- f.170v φίσματα καὶ τοὺς ἀγῶνας χρῶνται παρακρουόμενοι τοὺς προσδιαλεγομένους. αἰτιᾶται δὲ αὐτῶν οὐ τὸ περὶ τούτων λέγειν ὡς οὐκ ὂν φιλοσόφῳ οἰκεῖον (οἰκεῖος γὰρ καὶ ὁ περὶ τούτων λόγος τοῖς φιλοσόφοις), ἀλλ' ὅτι περὶ μόνων τούτων καὶ προηγουμένως ὁ λόγος αὐτοῖς γίνεται, περὶ δὲ τῆς οὐσίας, ἥτις ἐστὶ πρώτη, παρ' ἧς κἀκείνοις τὸ εἶναι, δι' ἣν ὁ φιλόσοφος καὶ περὶ ἐκείνων λέγει, οὐδένα ποιοῦνται λόγον. διὸ οὐδὲ φιλόσοφοι· εἰ γὰρ μὴ ἴσασι τὴν οὐσίαν, οὐδὲ τὰ καθ' αὑτὸ ὑπάρχοντα τῇ οὐσίᾳ δύνανται εἰπεῖν ἀληθῶς. ὥσπερ οὖν πάσης τῆς ἐπιστήμης σκοπούσης τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασιν αὐτῶν δεῖ καὶ τὸν πρῶτον φιλόσοφον σκοπεῖν τὰ καθ' αὑτὰ ὑπάρχοντα τοῖς πράγμασι πᾶσιν. οἷον γεωμετρίας τὰ ὑπάρχοντα ταῖς γραμμαῖς εἰδέναι καὶ τοῖς ἐπιπέδοις τε καὶ σχήμασιν. ἔστι γάρ

26. 27 ὁ—ἐξηγητής] Alex. p. 214,24 sqq. Bz. 28 οἷς Alex.: ὅσα libri 30 αὐτῶν οὐ τὸ Alex.: καὶ τὸ οὕτω libri 32 προηγουμένως Alex.: προηγουμένων libri 36. 37 ὥσπερ—αὐτῶν] locus, ut videtur, corruptus: res tale quid postulat ὥσπερ οὖν πάσης ἐπιστήμης σκοπεῖν κτλ. τοῖς ὑποκειμένοις πράγμασιν, οὕτω 37 τοῖς γράμμασιν A δεῖ scripsi: ἀεὶ libri 38 γεωμετρίας—σώματι (p. 246,5) Alexandri sunt γεωμετρία libri

τινα καὶ τούτων οἰκεῖα, καὶ πάλιν ἄλλα ⟨τοῖς⟩ στερεοῖς· καὶ τούτων ἄλλα μὲν τοῖς ἀκινήτοις, περὶ ἃ ἡ στερεομετρία, ἄλλα δὲ τοῖς κινουμένοις, περὶ ἃ ἡ ἀστρολογικὴ καὶ ἡ φυσική. ἀλλὰ καὶ τῶν κινουμένων ἄλλα μὲν τοῖς βάρος ἔχουσιν, ὡς γῇ ὕδατι, ἄλλα δὲ τοῖς οὐκ ἔχουσι βάρος, ὥσπερ τοῖς κούφοις, πυρί τε καὶ ἀέρι, καὶ τῷ κυκλοφορικῷ σώματι. διαφέρει οὖν ἡ διαλεκτικὴ τῆς φιλοσοφίας, ὡς εἴρηται, τῷ τρόπῳ τῆς δυνάμεως. ἀμφότεραι γὰρ περὶ τὸ ὂν καταγίνονται, καὶ τὰ τούτῳ ὑπάρχοντα ἀμφότεραι συλλογίζονται, ἀλλ' ἡ μέν ἐστιν ἀποδεικτική, ἡ δὲ διαλεκτικὴ ⟨πειραστική⟩. καὶ ὁ μὲν διαλεκτικὸς πειραστικῶς λαμβάνει, ὁ δὲ ἀποδείκνυσιν. ἀμφότεραι δὲ σπεύδουσι γνῶσιν ἔχειν· κἀκεῖνος γὰρ πειρᾶται, εἴτε ἐπιστήμην ἔχει ὁ προσδιαλεγόμενος, εἴτε μὴ ἔχει. πάλιν τοῦ σοφιστοῦ, ὅτι ὁ μέν ἐστιν, ὁ δὲ σοφιστὴς θέλει φαίνεσθαι. f.171r

p. 1004b27 Ἔστι τῶν ἐναντίων ἡ ἑτέρα συστοιχία στέρησις.

Διὰ τούτων προσκατασκευάζει ὅτι ὁ περὶ τῶν ἐναντίων λόγος οἰκεῖος τῷ φιλοσόφῳ ὑπάρχει. φησὶν οὖν ὅτι δύο συστοιχίας ἐποίουν οἱ Πυθαγόρειοι, καὶ τὴν μὲν κρείττονα πρὸς τὸ εἶδος ἀνῆγον, τὴν δὲ χείρονα πρὸς τὴν στέρησιν, ἃ ἦν φῶς καὶ σκότος (τὸ μὲν τοῦ εἴδους, τὸ φῶς, τὸ δὲ τῆς στερήσεως, τὸ σκότος), ἀγαθὸν καὶ κακόν, λευκὸν καὶ μέλαν, ἄπειρον καὶ πέρας, θερμὸν καὶ ψυχρόν· δέκα δὲ ἐποίουν τὰς συστοιχίας. τῶν οὖν, φησίν, ἐναντίων ἑτέρα συστοιχία στέρησις· ἔστι δὲ ἑτέρα εἶδος. ὑπάγεται γὰρ πάντα τὰ ἐναντία εἴς τε τὸ ὂν καὶ τὸ μὴ ὂν καὶ εἰς τὸ ἕν τε καὶ πλῆθος, ὧν τὸ μὴ ὂν καὶ τὸ πλῆθος στέρησις, τὸ δὲ ἓν καὶ τὸ ὂν εἶδος· οἷον ἡ μὲν στάσις τοῦ ἑνός, ἡ δὲ κίνησις τοῦ πλήθους, καὶ πάλιν τὸ φῶς πρὸς τῷ ἑνί, τὸ δὲ σκότος τοῦ πλήθους· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων.

p. 1004b29 Τὰ δὲ ὄντα καὶ τὴν οὐσίαν ὁμολογοῦσιν ἐξ ἐναντίων.

Διὰ ταύτης τῆς ἐπιχειρήσεως ἅμα μὲν δείκνυσιν ὅτι περὶ πάντων τῶν ἐναντίων ὁ φιλόσοφος ἐρεῖ, ἐπειδὴ πάντα ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος, ἅμα δὲ συστήσει καὶ τὸ ὅτι μιᾶς ἐστιν ἐπιστήμης τὸ περὶ τοῦ ὄντος ᾗ ὂν θεωρῆσαι, ὡς δι' ὧν ἐπιφέρει λέγει· εἰ γὰρ τὰ ὄντα καὶ αἱ οὐσίαι ἐξ ἐναντίων, ὡς ἐδόκει τοῖς πλείστοις, εἶεν ἂν αἱ μὲν ἀρχαὶ τῶν ὄντων ἐναντίαι, τὰ δὲ ἐκ τούτων ἐξ ἐναντίων. πάντα ἄρα τὰ ὄντα ἢ ἐναντία ἢ ἐξ ἐναντίων· ἐναντίαι μὲν αἱ ἀρχαί, ἐξ ἐναντίων δὲ τὰ σύνθετα, οἷον ἐκ θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ ξηροῦ. ἀλλὰ μὴν μιᾶς ἐπιστήμης τά τε ἐναντία καὶ τὰ ἐκ τούτων εἰδέναι. μιᾶς ἄρα ἐπιστήμης καὶ ἡ τῶν ὄντων καθόλου

1 τοῖς ex Alexandro addidi 5 ἄλλα δὲ τῷ κυκλοφορικῷ τῷ πέμπτῳ σώματι Alex. 7 γὰρ scripsi: δὲ libri 8 πειραστική ex Aristotele addidi 13 Ἔστι] ἔτι Arist. 14. 15 διὰ τούτων — φιλοσόφῳ Alexandri sunt 27 Διὰ — θεωρία (p. 247,1) pleraque Alexandri sunt 33 ἐναντίαι μὲν — ξηροῦ (34) desunt Alexandro

θεωρία. ὥστε δείκνυται καὶ ἀπὸ τούτων, ὅτι ἀναγκαῖόν ἐστι τῷ φιλοσόφῳ καὶ ὁ περὶ τῶν ἐναντίων λόγος. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι τὰ δὲ ὄντα καὶ f. 171v τὴν οὐσίαν ὁμολογοῦσιν ἐξ ἐναντίων σχεδὸν ἅπαντες συγκεῖσθαι ἀμέλει τοι πάντες τὰς ἀρχὰς ἐναντίας ὑποτίθενται· οἱ μὲν γὰρ περιττὸν καὶ ἄρτιον, ὥσπερ οἱ Πυθαγόρειοι, οἱ δὲ θερμὸν καὶ ψυχρόν, ὥσπερ ὁ Παρμενίδης, οἱ δὲ πέρας καὶ ἄπειρον, ὥσπερ Πλάτων, οἱ δὲ νεῖκος καὶ φιλίαν, ὥσπερ Ἐμπεδοκλῆς. πάντα δὲ καὶ ταῦτα καὶ τὰ ἄλλα ἀναγόμενα φαίνεται εἰς τὸ ἓν καὶ τὸ πλῆθος· τὸ μὲν οὖν περιττὸν καὶ τὸ θερμὸν καὶ τὸ πέρας καὶ ἡ φιλία ὑπὸ τὸ ἕν, ὑπὸ δὲ τὸ πλῆθος τὰ τούτοις ἐναντία.

p. 1004b34 Εἰλήφθω γὰρ ἡ ἀναγωγὴ ἡμῖν.

Ἀναπέμπει πάλιν ἡμᾶς εἰς τὰ ἐν τῷ δευτέρῳ Περὶ ἀγαθοῦ δεδειγμένα. πολλὰ γάρ εἰσι τὰ ἐναντία, ὡς εἶπεν ἀνωτέρω, ὡς εἴρηται ἡμῖν ἐν τῇ περὶ τῶν ἐναντίων Ἐκλογῇ· ἐκεῖσε γὰρ τοῦτο δείκνυσι διεξερχόμενος περὶ πάντων τῶν ἐναντίων. φησὶν οὖν ὅτι αἱ ἀρχαὶ αἱ παρὰ τῶν ἄλλων εἰρημέναι ὡς εἰς γένη ταῦτα πίπτουσι, τουτέστι τὸ ἓν καὶ τὸ πλῆθος.

p. 1005a2 Φανερὸν οὖν καὶ ἐκ τούτων ὅτι μιᾶς.

Εἰπὼν ὅτι τε τὰ ἐναντία πάντα εἰς τὸ ἓν καὶ τὸ πλῆθος ἀναφέρονται, καὶ τοῦτο δι' ἧς πεποίηται ἀναγωγῆς τῶν ἐναντίων ἐν τῷ δευτέρῳ Περὶ ἀγαθοῦ, λαβὼν δὲ καὶ ὅτι τῶν ὄντων καὶ τῆς οὐσίας στοιχεῖα τὰ ἐναντία, δῆλόν φησι καὶ ἐκ τούτων εἶναι ὅτι μιᾶς ἐστιν ἐπιστήμης ἡ περὶ τοῦ ὄντος ᾗ ὄν θεωρία. ἐπεὶ γὰρ πάντα τὰ ὄντα ἐναντία ἐστὶν ἢ ἐξ ἐναντίων συνέστηκεν, ὥσπερ ἔλεγον οἱ φυσικοί, πάντα δὲ τὰ ἐναντία ἀνάγεται ὑπὸ τὸ ἓν [καὶ τὸ ὄν] καὶ τὰ πολλά, μιᾶς δὲ ἐπιστήμης τὸ περὶ τούτων θεωρεῖν (τῶν γὰρ ἀντικειμένων μία ἐστὶν ἐπιστήμη), ὥστε μιᾶς ἂν εἴη ἐπιστήμης ἡ περὶ πάντων τῶν ὄντων θεωρία· κἂν γὰρ μὴ ἔχῃ τινὰ ἐναντία, ὥσπερ δοκεῖ ἡ οὐσία, ᾗ δὲ ἐξ ἐναντίων, τῷ τὴν γνῶσιν ἑκάστου ἠρτῆσθαι ἐκ f. 172r τῆς γνώσεως τῶν ἐξ ὧν ἐστιν, ἐν τῇ τῶν ἐναντίων ἐξ ὧν ἐστι γνώσει εἴη ἂν γνῶσις τούτων. τῶν δὲ ἐναντίων ἀρχὴ τό τε ἓν καὶ τὸ πλῆθος· ὥστε οὗ περὶ ἑνὸς καὶ πλήθους ἐστὶ θεωρεῖν, τούτου καὶ περὶ τῶν ὑπὸ ταῦτα. ταῦτα δέ ἐστι πάντα τὰ ὄντα· πάντα μὲν γὰρ τὰ ὄντα ἢ ἐναντία ἢ ἐξ ἐναντίων, πάντα δὲ τὰ ἐναντία ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος.

p. 1005a5 Ταῦτα δὲ μιᾶς ἐπιστήμης.

Εἰ πάντα ἀναφέρονται ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος, τὸ δὲ ἓν καὶ τὸ πλῆθος ἀντικείμενα, τῶν δὲ ἀντικειμένων μία ἐστὶν ἐπιστήμη, πάντα δὲ τὰ

---

15 ταῦτα ex Aristotele scripsi: τὰ αἴτια libri 16 φανερὸν ex φαμὲν corr. A: φαμὲν D 17 Εἰπὼν—πλῆθος (31) Alexandri sunt 18. 19 περὶ τἀγαθοῦ εἰς ταῦτα πιστωσάμενος, λαβὼν δὲ κτλ. Alex. 23 καὶ τὸ ὄν Alexandrum secutus delevi 24 ὥστε deest Alexandro 29 ὑπ' αὐτά Alex. 30 ἐστι] ἐπὶ D

ὄντα ὑπὸ ταῦτα, μιᾶς ἄρα ἐστὶν ἐπιστήμης περὶ πάντων τῶν ὄντων διαλέγεσθαι, εἴτε καθ' ἓν λέγεται τὸ ἓν καὶ τὸ πλῆθος κατὰ πάντων τῶν ὄντων, τουτέστιν εἴτε συνωνύμως, εἴτε μὴ συνωνύμως, ὥσπερ ὁ ἀληθὴς ἔχει λόγος, καθάπερ ἀνωτέρω εἰρήκαμεν. ἀλλ' ὅμως, εἰ καὶ πολλαχῶς λέγεται τὸ ἓν καὶ μὴ κατὰ μίαν φύσιν, ὁμοίως δὲ καὶ τὸ πλῆθος, ἀλλ' οὖν πρὸς τὸ πρῶτον καὶ κυρίως ἓν λεγόμενον τὰ ἄλλα ἀναφέρεται. πρῶτον δὲ ἓν ὥσπερ καὶ πρῶτον ὂν ἡ οὐσία. καὶ τὰ ἐναντία ὁμοίως πάντα [τὰ] ὑπὸ τὸ πρῶτον πλῆθος τελεῖ.

p. 1005a8 Καὶ διὰ τοῦτο εἰ καὶ μή ἐστι.

Κἂν μὴ ὑποθώμεθα καθόλου, τουτέστι συνωνύμως, κατηγορεῖσθαι πάντων τῶν ὄντων τό τε ἓν καὶ τὸ ὄν. εἰ καὶ μή ἐστι, φησί, γένη τε καὶ καθόλου ὁμοίως κατὰ πάντων τῶν ὄντων κατηγορούμενα. ἀλλὰ μηδὲ φύσεις τινὲς κεχωρισμέναι τῶν τῇδε. οὐχ ὥσπερ τὰ γένη ἐν τοῖς ὧν κατηγορεῖται τὸ εἶναι ἔχει (ἀχώριστα γὰρ τὰ γένη τούτων ὧν ἐστι γένη), ἀλλ' αὐτὰ καθ' αὑτὰ τὴν ὑπόστασιν ἔχοντα. ὡς δοκεῖ τοῖς τὰς ἰδέας εἰσάγουσιν. οὐ γὰρ μόνον τῶν τοιούτων τῶν καθ' ἓν οὕτως λεγομένων ἐπιστήμη ⟨μία⟩, ἀλλὰ καὶ τῶν πολλαχῶς λεγομένων ὃν εἰρήκαμεν τρόπον. ἴσως δὲ οὐκ 1172a
εἶναι εἶπε χωριστήν τινα οὐσίαν, ἐπειδὴ οὐ πρόκειται αὐτῷ νῦν τοῦτο δεικνύναι, οὔτε δὲ συντελεῖ αὐτῷ τι ἐνταῦθα. δύναται τὸ ὥσπερ ἴσως οὐκ ἔστιν οὐκ ἐπὶ τοῦ χωριστοῦ μόνον εἰρῆσθαι, ἀλλὰ καὶ ἐπὶ τοῦ καθόλου τε καὶ γένους· οὐδὲ γὰρ τοιαῦτα τό τε ὂν καὶ τὸ ἕν, ἀλλ' ὡς ἐπιφέρει, τὸ μὲν πρὸς ἕν, τὸ δὲ τῷ ἐφεξῆς. διαφέρει δὲ τὰ ἐφεξῆς τῶν πρὸς ἕν, ἀμφότερα τῶν πολλαχῶς λεγομένων ὄντα, ὅτι τὰ μὲν πρὸς ἓν τῷ ἐκείνου τι εἶναι τοῦ ἑνὸς οὕτως λέγεται, τάξιν τινὰ ἔχοντα πρὸς ἄλληλα, ὡς ἐδείχθη * * * σαφέστερον δὲ εἰπεῖν τοῦτο λέγει, ὅτι τὸ ὂν καὶ τὸ ἓν οὐκ ἔστι καθόλου. τουτέστιν οὐ κατηγοροῦνται τῶν ὄντων συνωνύμως. ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἢ χωριστὸν δὲ εἶπεν, ἵνα δηλώσῃ τὸ γέ-

1 ὑπὸ πάντα D 3 ὁ om. D 4 εἰ καὶ—οὐσία (7) Alexandri sunt 7 τὰ delevi 11 εἰ καὶ—ἐδείχθη (25) Alexandri sunt 16 μία ex Alexandro addidi 18 οὐσίαν] φύσιν superscr. A² 19 ὥσπερ Arist. Alex.; cf. etiam p. 249,2: ὅπερ libri 22 τὰ δὲ libri, sed cf. 249,2 23 ὄντα A² Alex.: om. A¹D 24 τι A² Alex.: τὸ A¹D 25 ἐδείχθη] lacunam indicavi: τὰ δὲ ἐφεξῆς κατὰ τοῦτό ἐστι τῶν πολλαχῶς λεγομένων μόνον, ὅτι τὸ μὲν πρῶτόν ἐστιν αὐτῶν τὸ δὲ δεύτερον· οὐ γὰρ τῷ τῇ δυάδι ὑπάρχειν ἢ συντελεῖν τι εἰς δυάδα τὰ τρία καὶ τέσσαρα καὶ οἱ ἐφεξῆς εἰσιν ἀριθμοί· τοὐναντίον γὰρ τὸ οὕτως πρῶτον τοῖς μετ' αὐτὰ συντελεῖ. διὸ ἐπὶ μὲν τῶν οὕτω πολλαχῶς λεγομένων τὰ ὕστερα τελειότερα, ἐπὶ δὲ τῶν πρὸς ἓν τὸ ἕν, πρὸς ὃ τὰ ἄλλα ἀναφέρεται. δύναται τὸ τὰ δὲ ἐφεξῆς δηλωτικὸν εἶναι τοῦ ἀφ' ἑνός· διεῖλε γὰρ τὰ οὕτως λεγόμενα πολλαχῶς εἴς τε τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· εἰπὼν δὲ ὅτι τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἓν λεγομένων ἐστὶ ταῦτα καὶ τῶν ἐχόντων τὸ πρότερον καὶ ὕστερον (ταῦτα γὰρ τὰ ἐφεξῆς), περὶ ὧν ἡ θεωρία τῷ φιλοσόφῳ, διὰ τὸ πρὸς τὸ πρῶτον καὶ κυρίως λεγόμενον τάλλα τὴν ἀναφορὰν ἔχειν, περὶ οὗ τῷ φιλοσόφῳ τὸ θεωρεῖν, διὸ καὶ περὶ τούτων (ἐστι γὰρ τὸ πρῶτον ἡ οὐσία) ex Alexandro in marg. adscr. A² omisso tamen initio τὰ ὑγιεινὰ τὰ ἰατρικὰ τὰ ὄντα et exitu οὔτε γεωμέτρου φησὶν εἶναι τὸ θεωρῆσαι περὶ αὐτῶν οὔτε ἄλλου τινός, ἀλλὰ τοῦ φιλοσόφου: ceterum ne his quidem supplementis nexus orationis restituitur

νος, ἐπειδὴ χωριστὸν ὑπετίθεντο εἶναι τὸ γένος οἱ τὰς ἰδέας πρεσβεύοντες. ὥσπερ ἴσως οὐκ ἔστι συνώνυμον ἀντὶ τοῦ ἀλλὰ τὸ μὲν πρὸς ἕν, τὸ δὲ ἐφεξῆς. πρῶτον γάρ ἐστι τὸ ἓν καὶ ἐξ αὐτοῦ τὰ ἄλλα πάντα κατὰ τάξιν προάγονται διὰ τὴν ἐπιηγάζουσαν αὐτοῦ δύναμιν· εἶτα τὸ πλῆθος τὸ νοητὸν καὶ ἐξ αὐτῶν ἐφεξῆς τὰ ἄλλα πάντα τὰ μετέχοντα τοῦ πλήθους. καὶ διὰ τοῦτο οὐκ ἔστι τοῦ γεωμέτρου θεωρῆσαι τί τὸ ἐναντίον ἢ τέλειον ἢ ἓν ἢ ὂν ἢ ταὐτὸν ἢ ἕτερον * * ἐξ ὑποθέσεως. τοῦτο δέ ἐστιν ὅτι χρῆται μὲν αὐτοῖς καὶ ὁ γεωμέτρης, οὐ μὴν δείξας τί ποτέ ἐστιν αὐτῶν ἕκαστον, ἀλλ' ὑποθέμενος ἢ λαβὼν παρὰ τοῦ φιλοσόφου· οἷον ὑποθέμενος ὅμοια εἶναι μεγέθη, ὧν αἱ πλευραὶ ἀνάλογον, τούτῳ ὑποτεθέντι ὑπ' αὐτοῦ. οὐ δειχθέντι χρῆται· ὁμοίως καὶ ἴσῳ καὶ ταὐτῷ καὶ τοῖς ἄλλοις. καὶ ὁ ἀριθμητικὸς ὑποθέμενος τέλειον ἀριθμὸν εἶναι τὸν πᾶσιν ἴσον τοῖς αὐτοῦ μέρεσι, θεωρεῖ τίνες ἀριθμοὶ πεπόνθασι τοῦτο, ἁπλῶς δὲ περὶ τελείου οὐκ οἶδε· μόνου γὰρ τοῦ φιλοσόφου τὸ τούτων ἐπιστήμην ἔχειν τί ποτέ p. 17 Ar. ἐστιν αὐτῶν ἕκαστον. λείπει δὲ τῇ λέξει καὶ ὅτι οὐ μόνον τῶν οὐσιῶν, ἀλλὰ καὶ τῶν ὑπαρχόντων τῇ οὐσίᾳ. καὶ περὶ προτέρου καὶ ὑστέρου καὶ γένους καὶ εἴδους καὶ ὅλου καὶ μέρους καὶ τῶν ἄλλων τῶν τοιούτων. ὁ γὰρ γεωμέτρης διαλέγεται περὶ τοῦ προτέρου τοῦ ἐν τοῖς μεγέθεσιν, ὅτι πρότερα, εἰ τύχοι, ὑπάρχουσι τὰ τρίγωνα τῶν τετραγώνων, ὁ δὲ ἀριθμητικὸς περὶ τοῦ προτέρου τοῦ ἐν τοῖς ἀριθμοῖς, ὅτι προτέρα ἡ δυὰς τῆς τριάδος· ὁ δὲ φιλόσοφος περὶ ἁπλῶς προτέρου, τῆς φύσεως αὐτοῦ, πολυπραγμονεῖ, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ὑστέρου καὶ ὅλου καὶ μέρους. πάλιν ὁ φυσικὸς διαλέξεται περὶ τοῦ γένους τοῦ ἐν ζῴῳ, ὁ δὲ φιλόσοφος περὶ τοῦ ἁπλῶς γένους τοῦ ἐν ἅπασι θεωρουμένου.

p. 1005ᵃ19 Λεκτέον δὲ πότερον μιᾶς ἢ ἑτέρας ἐπιστήμης περί τε τῶν ἐν τοῖς μαθήμασι καλουμένων ἀξιωμάτων.

Ἐζήτησε τοῦτο καὶ ἐν τῷ β̄ στοιχείῳ, πότερον ὁ πρῶτος φιλόσοφος διαλέξεται περὶ πασῶν τῶν οὐσιῶν καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων ταῖς οὐσίαις· καὶ ἔδειξεν ὅτι ὁ πρῶτος φιλόσοφος προσεχῶς διαλέξεται περὶ αὐτῶν. πρὸς δὲ τούτοις ἐζήτησε καὶ περὶ τῶν ἀξιωμάτων, εἴτε τοῦ καθ' ἕκαστα ἐπιστήμονός ἐστι διαλεχθῆναι περὶ αὐτῶν ἤγουν τοῦ πρώτου φιλοσόφου τοῦ ἔχοντος περὶ τὸ ἁπλῶς ὂν ᾗ ὄν ἐστιν. ἐνταῦθα τοίνυν δείκνυσιν ὅτι τοῦ ἁπλῶς φιλοσόφου ἐστὶ τὸ διαλεχθῆναι περὶ τῶν ἀξιωμάτων, τουτέστι τῶν κοινῶν ἐννοιῶν, ταὐτὸν δὲ εἰπεῖν τῶν ἀρχῶν τῶν ἀποδείξεων, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ· οἷον ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. ὁ γὰρ γεωμέτρης κέχρηται τούτῳ τῷ ἀξιώματι τῷ λέγοντι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, ἀλλὰ καὶ ἀριθμητικὸς καὶ μουσικὸς καὶ φυσικός· ἀλλ' ὁ μὲν γεωμέτρης ἐπὶ μεγεθῶν, οὐκέτι δὲ

2 post τοῦ videntur aliqua excidisse 7 addendum ἀλλ' ἢ ex Aristotele vel quod habet Alex., ἀλλ' τοῦτο δέ — οὐσίᾳ (16) Alexandri sunt 9 ἢ λαβὼν — ὑποθέμενος om. D 15 ἑκάστων A¹D 17 μέρους ex Aristotele scripsi: μέχρι libri 35 ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ] Anal. post. A 2 p. 72ᵃ16 sq.

καὶ ἐπὶ ἀριθμῶν, ὁ δὲ ἀριθμητικὸς ἐπὶ ἀριθμῶν, ὁ δὲ μουσικὸς ἐπὶ χορ- f.173v
δῶν, ὁ δὲ φυσικὸς ἐπὶ κινήσεων. ὥστε καὶ αὐτοὶ οἱ καθ' ἕκαστα ἐπιστήμονες διαλέγονται περὶ τῶν ἀξιωμάτων. ἐπειδὴ τῶν ὄντων ὑπάρχουσι. λαμβάνοντες αὐτὰ ὡς ὁμολογούμενα· ἁπλῶς δὲ περὶ αὐτῶν τῶν ἀξιωμάτων ὁ πρῶτος φιλόσοφος διαλέγεται. ἐπειδὴ οὐδεμιᾷ ἐπιστήμῃ ὑπάρχει ἀφωρισμένῃ, οἷον γεωμετρίᾳ, εἰ τύχοι, ἢ ἀριθμητικῇ. εἰ γὰρ μιᾷ ἐπιστήμῃ ὑπῆρχεν ἀφωρισμένῃ, ἔδει τὰς ἄλλας μὴ διαλέγεσθαι περὶ αὐτῶν· εἰ τοίνυν διαλέγονται. ὡς ἐδείξαμεν. δῆλον ὅτι οὐχ ὑπάρχει μιᾷ. ὥστε χρῶνται τοῖς ἀξιώμασιν οἱ καθ' ἕκαστα ἐπιστήμονες, εἰς ὅσον δέονται, οἷον γεωμετρία ἐπὶ μεγεθῶν, ἀριθμητικὴ ἐπὶ ἀριθμῶν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐπεὶ οὖν κοινῶς πάσαις ἐπιστήμαις ὑπάρχουσι τὰ ἀξιώματα, περὶ δὲ τῶν ἁπλῶς ὄντων ὁ πρῶτος φιλόσοφος διαλέξεται, καὶ περὶ τῶν ἀξιωμάτων τοῦ πρώτου φιλοσόφου ἐστὶν εἰπεῖν· οὐδεὶς γὰρ τῶν κατὰ μέρος ἐπισκοπούντων ἐγχειρεῖ τι λέγειν περὶ αὐτῶν, εἰ ἀληθῆ ἢ μή, οὔτε ὁ γεωμέτρης οὔτε ἄλλος τις, δεικνύς, εἰ τύχοι, ὅτι οὔκ εἰσιν ἀποδεικταὶ καὶ ἀναιρῶν τοὺς σπουδάζοντας ἀνατρέπειν αὐτά, ὥσπερ αὐτὸς ἐφεξῆς ποιεῖ περὶ τῆς ἀντιφάσεως ὡς πρῶτος φιλόσοφος. οἱ δὲ φυσικοὶ ὑπέλαβον ὅτι ἔργον αὐτῶν ἐστι διαλέγεσθαι περὶ τῶν ἀξιωμάτων, ἐπειδὴ ᾤοντο καὶ περὶ πάντων τῶν ὄντων διαλέγεσθαι· οὐδὲν γὰρ ἄλλο ὑπελάμβανον εἶναι παρὰ τὰ φυσικὰ πράγματα, ἀγνοοῦντες ὅτι πρῶτον μὲν τῶν ἄλλων ὑπάρχει, πρὸ δὲ αὐτῶν ἐστι τὰ νοητά, ἐξ ὧν καὶ τὰ φυσικὰ πάντα παράγονται. ὥστε μόνος ὁ πρῶτος φιλόσοφος διαλέξεται περὶ τῶν ἀξιωμάτων, καὶ περὶ ἁπάντων τῶν ὄντων διαλεγόμενος, αἰσθητῶν φημι καὶ νοητῶν. τινὲς γὰρ ἀπαιδεύτως ὑπέλαβον ἀποδεικνυσθαι τὰ ἀξιώματα. λέγοντες οὕτως ὅτι τὰ τῷ αὐτῷ ἴσα τὸν αὐτὸν κατέχει τόπον, τὰ τὸν αὐτὸν κατέχοντα τόπον f.174r
ἴσα ἀλλήλοις ἐστί, τὰ τῷ αὐτῷ ἄρα ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. ἐροῦμεν τοίνυν ἡμεῖς πρὸς αὐτοὺς λέγοντες ὅτι, ὦ ἄνθρωποι, πάνυ ἐστὶν εὐχερὲς τὸ δέξασθαι ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, ἤπερ τὸ παραδέξασθαι ὅτι τὰ τῷ αὐτῷ ἴσα τὸν αὐτὸν κατέχει τόπον. ἄδηλος γάρ ἐστι καὶ πάνυ δύσκολος ἡ περὶ τοῦ τόπου θεωρία· πῶς οὖν ὅλως ἀγνοουμένου τοῦ τόπου τοῦτο πειρᾶσθε δεικνύναι; ἰστέον οὖν ὅτι αὐτὰ τὰ κυρίως ἀξιώματα οὐχ ὑπάρχουσιν ἀποδεικτά· δεῖ γὰρ περὶ τούτων ἥκειν προεπισταμένους, περὶ τῶν ἀξιωμάτων φημί, ἀλλὰ μὴ ἀκούοντας ζητεῖν· οὕτως γὰρ πᾶσα ἡ διδασκαλία ταραχθήσεται. ἄλλως τε δὴ [δ'] ἔχει ὁμολογουμένας τὰς ἀρχάς. τότε γὰρ γινώσκομεν τὰ πράγματα, ὅταν εἰδείημεν τὰς ἀρχὰς αὐτῶν, ὡς αὐτός φησιν ἀρχόμενος τῆς Φυσικῆς πραγματείας 'ἐπειδὴ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους, ὅταν τὰ αἴτια αὐτῶν γνωρίσωμεν καὶ τὰς ἀρχάς'· εἰ δὲ ὑποθώμεθα εἶναι τὰ ἀξιώματα ἀποδεικτά, οὐδὲν ἔσται τῷ ὄντι ἀποδεικτόν. βούλομαι γὰρ γνῶναι τὴν ἀθανασίαν τῆς ψυχῆς ὅτι ἀθάνατός ἐστιν ἡ ψυχή, καὶ λαμβάνω ἀρχὴν

---

5 οὔτε μία ἐπιστήμη ὑπάρχει ἀφωρισμένη, οἷον γεωμετρία — ἢ ἀριθμητική libri 8 μία libri 11. 12 τῶν ἁπλῶς scripsi: ἁπλῶς τῶν libri 31 πειρᾶσθαι D 34 ἄλλως τε om. D δὴ δ' ἔχει A¹: δὲ δ' ἔχει A²D 36 ἐπειδὴ κτλ.] cf. Phys. A p. 184a10

ταύτην ὅτι τὸ φθειρόμενον ἢ ὡς σῶμα φθείρεται ἢ ὡς ἐν σώματι τὸ εἶναι ἔχον. εἰ τοίνυν ἄγνωστός ἐστιν αὕτη ἡ ἀρχή, πάλιν δέομαι ἑτέρας ἀρχῆς πρὸς τὸ ἀποδεῖξαι, καὶ ἐπὶ ἐκείνης ὁμοίως, καὶ τοῦτο ἐπ' ἄπειρον. ὥστε οὐκ ἔσται γνῶσις ἀγνοουμένων τῶν ἀρχῶν· γνῶναι δὲ τὰς ἀρχὰς ἀδύνατόν ἐστι διὰ τὴν ἀπειρίαν. ὥστε οὐκ ἀποδεικτὰ ὑπάρχουσι τὰ ἀξιώματα.

Ἰστέον ὅτι πάντων τῶν ἀξιωμάτων ἀρχικώτατόν ἐστι τὸ ἀξίωμα τὸ περὶ τῆς ἀντιφάσεως· πάντα γὰρ τὰ ἄλλα ἀξιώματα εἰς αὐτὴν ἀναλύονται καὶ οὕτως κατασκευάζονται. οἷον λεγόντων ἡμῶν ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα· εἰ γὰρ μή, ἰδοὺ ἀντίφασις, καὶ οὕτως ἔσται μὲν τὸ ἀδύνατον. πάλιν ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλιμπανόμενά ἐστιν f. 174v ἴσα· εἰ γὰρ μή, ἕψεται ἀδύνατον. ὑποκείσθωσαν γὰρ ἴσα τὰ $\overline{\alpha\beta}$ $\overline{\gamma\delta}$ καὶ ἀφῃρήσθωσαν ἀπ' αὐτῶν ἴσα τὰ $\overline{\alpha\epsilon}$ $\overline{\gamma\zeta}$· λέγω ὅτι τὰ καταλειφθέντα ἴσα ὑπάρχουσι, τουτέστι τὰ $\overline{\epsilon\beta}$ $\overline{\zeta\delta}$. εἰ γὰρ μὴ ὑπάρχουσιν ἴσα, τὸ ἕτερον αὐτῶν μεῖζόν ἐστιν. ἔστω μεῖζον τὸ εβ τοῦ ζδ, καὶ ὑποκείσθωσαν τὰ $\overline{\epsilon\pi}$ ζδ ⟨ἴσα⟩, ὥστε τὰ $\overline{\alpha\pi}$ $\overline{\gamma\delta}$ ἴσα ὑπάρχουσι. μεῖζον δὴ τὸ αβ τοῦ $\overline{\gamma\delta}$· ὑπέκειτο δὲ καὶ ἴσον, ὅπερ ἐστὶν ἄτοπον. ὥστε παντὶ πάντως. ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλιμπανόμενά ἐστιν ἴσα. ὁμοίως δὲ καὶ ἐπὶ ἄλλων. λέγω γὰρ ὅτι ἀθάνατός ἐστιν ἡ ψυχή. εἰ γὰρ μή, πάλιν κέχρημαι τῇ ἀντιφάσει, καὶ οὕτως διὰ τῆς ἀδυνάτου ἐπιδείκνυμι. ὥστε ἀρχικώτατον πάντων τῶν ἀξιωμάτων, ὡς εἴρηται, τὸ περὶ τῆς ἀντιφάσεως ἀξίωμα, καὶ ἀδύνατόν ἐστιν αὐτὴν συναληθεύειν. καθάπερ, φησίν, ἀπαιδεύτως τινὲς τοῦτο ὑπελάμβανον, μάρτυρα παράγοντες τὸν Ἡράκλειτον. ἐπειδὴ ἔλεγεν ἐκεῖνος ἕνα ὁρισμὸν εἶναι πάντων τῶν πραγμάτων. εἰ γὰρ τῷ ὄντι πάντων τῶν πραγμάτων εἷς ὁρισμὸς ὑπάρχει, τὰ δὲ κοινωνοῦντα κατὰ τὸν ὁρισμὸν τὰ αὐτὰ ἀλλήλοις ὑπάρχουσι, συνδραμεῖται ἡ ἀντίφασις· εἷς γὰρ καὶ ὁ αὐτὸς ὁρισμὸς ἀγαθοῦ τε καὶ οὐκ ἀγαθοῦ, ὥστε ταὐτὸν ἔσται ἀγαθὸν καὶ οὐκ ἀγαθόν, καὶ ἀγαθὸν καὶ κακόν, καὶ καλὸν καὶ οὐ καλόν. ὥστε, ὡς εἴρηται, συναληθεύσει ἡ ἀντίφασις καὶ οὐκέτι διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐπὶ πάντων τῶν ὄντων, καὶ ὥς φησιν ὁ Πλάτων, ὅτι οὐδὲν καυχήσεται τῶν ὄντων ἐκφυγεῖν τὴν ἀντίφασιν. πάντα γὰρ περιλαμβάνει 'ἢ ψυχή ἐστιν ἢ οὐκ ἔστι ψυχή'· πάντα γὰρ τὰ παρὰ τὴν ψυχὴν οὐκ ἔστι ψυχή. φησὶν οὖν ὁ Ἀριστοτέλης ἢ ὅτι οὐκ ἔλεγε τοῦτο ὁ Ἡράκλειτος. ἢ εἴπερ ἔλεγε, συμβολικῶς ἔλεγεν, ὡς εἴρηται ἐν τῇ Φυσικῇ πραγματείᾳ. ὅτι ἐπειδὴ γίνονται τὰ εἴδη ἐν τῇ ὕλῃ, χραίνονται· τὰ γὰρ ἄυλα εἴδη ἀμιγῆ ὑπάρ- f. 175r χουσι. τούτου χάριν ἔλεγεν ἕνα εἶναι πάντων τὸν ὁρισμὸν διὰ τὸ πάντα ἐν τῇ ὕλῃ θεωρεῖσθαι καὶ χραίνεσθαι αὐτὰ ἐκ τῆς ὕλης. ἢ ὅτι ταῦτα ἔλεγεν οὐκ ἔχων οὕτως· πολλάκις γὰρ λέγομέν τινα μὴ ἔχοντες οὕτως, ὥσπερ, φησί, περὶ τῆς τοῦ ὁρισμοῦ ἀιδιότητός τινες πειρῶνται δεικνύναι αὐτὸν ἀίδιον μὴ ἔχοντες οὕτως, ἤγουν τὸ ἀνάπαλιν δεικνύναι τὰ ἀξιώματα

5 ἀπορίαν D 11 ὑποκείσθω D 13 ἕτερον scripsi: στερεῖν A¹: ὕστερον A²D 15 ἴσα addidi δὴ scripsi: δὲ libri 21 αὐτὴν scripsi: αὐτὸ libri 29 ὡς φησιν ὁ Πλάτων] cf. p. 158,14. 15 p. 239,2 33 συμβολικῶς] immo λόγου ἕνεκα; cf. Phys. A 2 p. 185a6 37 ἔχοντος D 39 αὐτὸν scripsi: αὐτὴν libri

πρὸ τῶν ἀποδείξεων, ἐπεὶ οὐδὲν ἔσται ἀποδεικτόν, ὥσπερ τὰ ἀγέννητα πρὸ τῶν γεννητῶν, ἐπεὶ οὕτως οὐδὲν ἔσται γεννητόν. φησὶν οὖν ὅτι τινὲς διὰ ἀπαιδευσίαν ἐπειρῶντο * * * πάντων ἀρχὰς τὰς ἀποδείξεις εἶναι· τῷ ὄντι δὲ ἀπαιδευσία ἐστὶ τὸ μὴ γινώσκειν. τίνων δεῖ ζητεῖν ἀπόδειξιν καὶ τίνων
5 οὔ· ὅτι τῶν μὲν γνωρίμων οὐ δεῖ ζητεῖν ἀπόδειξιν, ὥσπερ ἐπὶ τῆς ἀντιφάσεως (ὡμολόγηται γὰρ ὅτι οὐ συντρέχει ἡ κατάφασις τῇ ἀποφάσει· οὐ γὰρ ταὐτόν ἐστιν ἄνθρωπος καὶ οὐκ ἄνθρωπος), τῶν δὲ μὴ γνωρίμων δεῖ ἡμᾶς ζητεῖν ἀπόδειξιν, οἷον ὅτι ἀθάνατός ἐστιν ἡ ψυχή· τοῦτο γὰρ ἀγνοοῦσιν οἱ πολλοὶ ἄνθρωποι ἀποδεικτικῶς. ἐπεὶ οὖν τινες ἐπειράθησαν ἀνα-
10 τρέψαι τὸ δόγμα τὸ περὶ τῆς ἀντιφάσεως λέγοντες ὅτι οὐ διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, δεῖ ἡμᾶς, φησίν, ἑπομένους τῇ φύσει τῶν πραγμάτων ἐλέγξαι μὲν τοὺς παρ' αὐτῶν λόγους, μηκέτι δὲ ἀποδεῖξαι ὅτι ἔστιν ἀντίφασις· ὡς γὰρ διὰ πλειόνων λόγων εἰρήκαμεν, οὐ δυνατόν ἐστιν ἀποδεῖξαι αὐτήν, ἐπειδὴ πᾶσα ἀπόδειξις λαμβάνεται ἐξ ἀρχῶν τινων ὁμολογουμένων, οὐδὲν
15 δὲ ἀρχαιότερόν ἐστι τῆς ἀντιφάσεως. εἰ οὖν πειραθείη τις ἀποδεῖξαι αὐτήν, τὸ ἐν τῇ ἀρχῇ αἰτεῖται λέγων οὕτως 'ἡ ἀντίφασις διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἐπειδὴ ἡ κατάφασις οὐ συντρέχει τῇ ἀποφάσει'. ὥστε τὰ ἐν ἀρχῇ αἰτεῖται· ταὐτὸν γάρ ἐστιν ἀντίφασιν εἰπεῖν καὶ κατάφασιν καὶ ἀπόφασιν. ὥστε ἀποδεικτικῶς οὐ δυνατόν ἐστιν ἀποδεῖξαι αὐτήν, ἐλεγκτικῶς
20 δὲ δυνατόν ἐστιν ἀποδεῖξαι αὐτὴν τῷ ἀναιρεῖν τοὺς λόγους τῶν πειρω- f. 175v
μένων αὐτὴν ἀνατρέπειν, καὶ ἐκ τῶν ἐκείνων λόγων πιστουμένων αὐτὴν καὶ οἱονεὶ ἀποδεικνύντων αὐτήν, κεχρημένων ἡμῶν ἀρχαῖς παρ' ἐκείνων διδομέναις. ὥστε κενὸς ὁ τρόπος οὕτως ἐστὶν ἀποδείξεως. ἐρωτῶμεν γὰρ αὐτοὺς ὅτι ἀποκρίνεσθε τοῖς ἐρωτῶσιν ἢ οὐκ ἀποκρίνεσθε; ἂν γε οὐκ ἀπο-
25 κρίνεσθε, οὐκ ἔστιν ἡμῖν σχολὴ πρὸς φυτὰ ἤγουν πρὸς ἄψυχα διαλέγεσθαι· εἰ δὲ ἀποκρίνεσθε, ἆρά γε ὀνόμασι κέχρησθε σημαντικοῖς ἢ ἀσημάντοις; εἰ μὲν οὖν κέχρησθε ὀνόμασι μηδὲν σημαίνουσι, πάλιν οὐκ ἀποκρίνεσθε· ὁ γὰρ εἰρηκὼς βλίτυρι οὐδὲν εἴρηκεν· εἰ δὲ κέχρησθε σημαντικοῖς ὀνόμασι, γνωρίμοις κέχρησθε ἢ ἀγνώστοις. εἰ μὲν οὖν ἀγνώστοις κέχρησθε, πάλιν
30 οὐ διαλέγεσθε οὔτε πρὸς ἡμᾶς οὔτε δὲ πρὸς ἑαυτούς, ἐὰν καὶ ὑμεῖς ἀγνοῆτε τοὺς λόγους· ἐὰν γάρ τις τῇ Σύρων διαλέκτῳ χρήσαιτο πρὸς Αἰγύπτιον, οὐ διαλέγεται αὐτῷ. ὥστε πᾶσά ἐστιν ἀνάγκη καὶ σημαντικοῖς ὀνόμασι χρῆσθαι ὑμᾶς καὶ γνωρίμοις. πάλιν τὰ σημαντικὰ ταῦτα ὀνόματα ἢ ἓν πρᾶγμα δηλοῦσιν ἢ ἄπειρα ἢ πολλὰ μὲν πεπερασμένα δέ, καὶ οὐκέτι παρὰ
35 ταῦτα. ἀλλ' εἰ μὲν ἄπειρα δηλοῦσι, τῷ ὄντι οὔτε πρὸς ἡμᾶς διαλέγεσθε οὔτε δὲ πρὸς ἑαυτούς· οὐκ ἔστι γὰρ γνῶσις τῶν ἀπείρων. πῶς γὰρ δυνατόν ἐστι διεξελθεῖν τὰ ἄπειρα ἐν πεπερασμένῳ χρόνῳ; εἰ δὲ ἕν τι πρᾶγμα δηλοῖ τὸ ὄνομα ὡρισμένον, οἷον τὸν ἄνθρωπον, καὶ οὐδὲν ἕτερον δηλοῖ παρὰ τὸν ἄνθρωπον, δῆλον ὡς ὅτι οὐ συνδραμεῖται ἡ ἀντίφασις· οὔτε γὰρ τὸ
40 αὐτὸ δηλοῖ τὸ οὐκ ἄνθρωπος τῷ ἀνθρώπῳ, ἐπεὶ οὕτως οὐκέτι ὡρισμένον

3 ἐπειρῶντο] lacunam indicavi; addendum ταῦτα ἀποδεικνύναι, ἐπεὶ ᾤοντο κτλ. vel simile aliquid 19. 20 ἐλεγκτικῶς δὲ — αὐτὴν om. D 21. 22 fort. πιστοῦσθαι — ἀποδεικνύναι 23 οὕτως] fort. οὕτος 40 οὐκ ἔστι D

πρᾶγμα δηλοῖ τὸ ἄνθρωπος ὄνομα, ἐπειδὴ ἡ μὲν κατάφασις ὥρισται, ἡ δὲ ἀπόφασις ἄπειρα δηλοῖ. εἰ δὲ πάλιν φαίη τις ὅτι τὸ ὄνομα πολλὰ μὲν δηλοῖ πεπερασμένα δέ, ἐροῦμεν πρὸς αὐτὸν ὅτι ὁμώνυμος ἡ φωνὴ δῆλον f. 176r
⟨ὅτι⟩ πλειόνων κατηγορουμένη. ὥσπερ ἡ κύων φωνή. διακρίνονται δὲ τὰ
5 ὁμώνυμα ἀπ' ἀλλήλων λόγῳ ἢ ὀνόματι, οἷον ὁ κύων λέγεται καὶ κατὰ τοῦ χερσαίου καὶ κατὰ τοῦ οὐρανίου, λέγεται δὲ καὶ κατὰ τοῦ θαλαττίου. προσδιοριζόμενοι οὖν τὸν χερσαῖον, φαμὲν ὅτι κύων ὁλακτικός, καὶ φανερὸν ὡς ὅτι ὡρισμένον τότε τὸν χερσαῖον κύνα δηλοῦμεν· ὥστε οὐ δυνατὸν συντρέχειν πάλιν καὶ ἐπὶ τούτων τῇ κύων τὴν οὐ κύων, ἐπεὶ οὕτως οὐκέτι
10 ἔσται ὡρισμένον τὸ ὄνομα, ὥσπερ ὑμεῖς ὑπέθεσθε ὡρισμένον πρᾶγμα δηλοῦν τὸ ὄνομα. ἐκ τῶν ἄρα παρ' ὑμῶν λεχθέντων ἐπιστωσάμεθα τὴν ἀντίφασιν. ὅτι οὐ συναληθεύουσιν ἀμφότερα τὰ μόρια αὐτῆς. ἔστι δὲ πιστώσασθαι τὸν λόγον καὶ ἐκ συλλογισμοῦ τοιούτου· τὰ ἀντιφατικῶς ἀλλήλοις ἀντικείμενα ἐναντία ὑπάρχουσιν ἤγουν ἀντικείμενα· τὰ ἐναντία οὐδέποτε συνυπάρ-
15 χουσι· τὰ ἀντιφατικῶς ἄρα ὑπάρχοντα οὐδέποτε συνυπάρχουσιν ἐν τῷ αὐτῷ κατὰ τὸ αὐτὸ καὶ ὅσα ἄλλα ἔχει προσδιορίσασθαι. ἐὰν γὰρ εἴπω ὅτι Σωκράτης περιπατεῖ καὶ Πλάτων οὐ περιπατεῖ, οὐκ ἐποίησα ἀντίφασιν, καὶ πολλάκις συναληθεύει. δεῖ οὖν τὸ αὐτὸ εἶναι ὑποκείμενον καὶ τὸ αὐτὸ κατηγορούμενον καὶ κατὰ τὸν αὐτὸν χρόνον (οὐκ ἄτοπον γὰρ νῦν μὲν
20 λευκὸν εἶναι, αὔριον δὲ μέλανα) καὶ κατὰ τὸ αὐτὸ μέρος (ἐν γὰρ τοῖς ὀδοῦσιν ὁ Αἰθίοψ λευκός ἐστι, κατὰ δὲ τὴν ἐπιφάνειαν τοῦ δέρματος μέλας) καὶ ⟨μὴ⟩ δυνάμει καὶ ἐνεργείᾳ· ὁ γὰρ καθεύδων Σωκράτης δυνάμει * * * ἐὰν οὖν ταῦτα πάντα μὴ διορισώμεθα, δυνατόν ἐστι τότε τὴν ἀντίφασιν συναληθεύειν. ἐναντία δὲ λέγει τὰ ἀντιφατικῶς ἀντικείμενα, ἐπεὶ ταῦτα λέγονται
25 ἐναντία τὰ πλεῖστον ἀλλήλων διεστηκότα ὑπὸ ταὐτό· τοιαῦτα δὲ τὸ λευκὸν καὶ οὐ λευκόν (πλεῖστον γὰρ διεστήκασι καὶ τελοῦσιν ὑπὸ τὴν ποιότητα, f. 176v
ἐπεὶ τὸ οὐ λευκὸν καὶ τὸ μέλαν εἰσάγει)· ἢ ὅτι ἐναντίας εἰσάγουσι δόξας, θνητὸν οὐ θνητόν. καλὸν οὐ καλόν. ἔπειτα πάλιν δείκνυσιν ὅτι ἀδύνατόν ἐστι τὴν ἀντίφασιν συναληθεύειν ἐκ τοῦ μᾶλλον ποιούμενος τὴν ἐπιχείρησιν,
30 καί φησιν οὕτως ὅτι οὐκ ἔστι τὸ αὐτὸ τὸ ἓν καὶ τὸ καθ' ἑνός. τὸ γὰρ καθ' ἑνὸς πλείονα δηλοῖ· καθ' ἑνὸς γὰρ τοῦ Σωκράτους λέγεται τὸ λευκόν, τὸ μουσικόν, τὸ σιμόν, τὸ εἶναι αὐτὸν προγάστορα, τὸ δὲ ἕν, τουτέστι τὸ ἄνθρωπος καθὸ ἄνθρωπος μίαν οὐσίαν δηλοῖ ὑπάρχειν. οὐκ ἔστιν οὖν ταὐτὸν Σωκράτης καὶ λευκὸν ἤγουν μουσικόν, ἐπεὶ οὕτως ἔδει τὸ παρὰ
35 τὸν Σωκράτη μὴ εἶναι λευκὸν μήτε δὲ μουσικόν. ὥστε ἐάν τις ἡμᾶς ἔρηται ⟨εἰ⟩ τοῦτο ἄνθρωπος, δεῖ ἡμᾶς πρὸς τὴν ἐρώτησιν ἀκοκρίνεσθαι καὶ λέγειν ὅτι ναὶ ἢ οὔ, καὶ μὴ ἐπάγειν ὅτι καὶ λευκόν ἐστι καὶ μουσικόν· ὁ τοιοῦτος γὰρ οὐ προσδιαλέγεται κατὰ τοὺς λογικοὺς νόμους· οὐ γὰρ πρὸς τὴν ἐρώτησιν τὴν ἀπόκρισιν ἐποιήσατο· ὁ μὲν γὰρ ἠρώτησε περὶ ἑνός, ὁ

---

4 ὅτι addidi 14 ἤγουν — συνυπάρχουσιν (15) om. D 16 τὸ αὐτὸ ex Aristotele scripsi : τὸν αὐτὸν libri 22 μὴ addidi: fort. tamen legendum καὶ μὴ τὸ μὲν δυνάμει τὸ δὲ ἐνεργείᾳ; cf. 258,25 post δυνάμει lacuna IV litterarum A; exspectes οὐ καθεύδει 27 οὐ om. D 30 τὸ αὐτὸ ἓν D 36 εἰ addidi

δὲ πλείονα ἀπεκρίνατο. ἔδει οὖν καὶ περὶ τῶν ἄλλων συμβεβηκότων ποιήσασθαι τὸν λόγον, ὡς καὶ περὶ ἑνὸς ἐποιήσατο, ἐπεὶ ἀποληρωτικὸς ὁ λόγος. τὰ δὲ οὕτω συμβεβηκότα ἄπειρα ὑπάρχουσι. πῶς οὖν δυνατόν ἐστι περὶ τῶν ἀπείρων τῶν ἀδιεξιτήτων ἀπόκρισιν ποιήσασθαι; εἰ τοίνυν ὁ λέγων ἄνθρωπος οὐκ εἰσφέρει τὸ λευκὸν ἢ τὸ μουσικόν, πολλῷ μᾶλλον οὐ δυνατὸν συνεισφέρειν τὸ πάνυ ἀντικείμενον τοῦ ἄνθρωπου καὶ ἀναιρετικὸν αὐτοῦ, φημὶ δὴ τὸν μὴ ἄνθρωπον. ὥστε οὐ συντρέχει ἐπὶ τῆς ἀντιφάσεως ἡ κατάφασις τῇ ἀποφάσει.

p. 1005a19 Λεκτέον δὲ πότερον μιᾶς ἢ ἑτέρας ἐπιστήμης.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι δεῖ ζητῆσαι, πότερον μιᾶς ἐστιν ἐπιστήμης τῆς ἐχούσης περὶ πάντα τὰ ὄντα ἤγουν ἑτέρας καὶ ἑτέρας διαλεχθῆναι περί τε τῶν ἐν τοῖς μαθήμασι καλουμένων ἀξιωμάτων καὶ περὶ τῆς κυρίως f.177r οὐσίας. ἐζήτησε γὰρ καὶ τοῦτο ἐν τῷ B, εἴτε ὁ πρῶτος φιλόσοφος διαλέγεται περὶ τῶν οὐσιῶν καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων ταῖς οὐσίαις καὶ τῶν ἀξιωμάτων πάντων ἤγουν οἱ κατὰ μέρος ἐπιστήμονες. καὶ ἐνταῦθα ἐπικρίνει καί φησιν ὅτι φανερόν ἐστιν ὅτι περὶ τῶν ἀξιωμάτων μιᾶς ἐστιν ἐπιστήμης διαλεχθῆναι· τοῦ γὰρ πρώτου φιλοσόφου ἐστὶ καὶ ἡ περὶ τούτου σκέψις· καὶ λοιπὸν κατασκεύαζει αὐτό· ἅπασι γὰρ τοῖς οὖσιν ὑπάρχει τὰ ἀξιώματα καὶ οὐ γένει τινὶ χωρὶς ἰδίᾳ τῶν ἄλλων, οἷον γεωμετρίᾳ μόνῃ ἢ ἀριθμητικῇ μόνῃ ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. εἰ γὰρ μιᾷ ἐπιστήμῃ μόνῃ ὑπῆρχεν, αὐτὴ περὶ αὐτῶν τῶν ἀξιωμάτων διελέγετο· εἰ τοίνυν πᾶσιν ὑπάρχει, περὶ δὲ πάντων ἡ πρώτη φιλοσοφία διαλέγεται, δῆλον ὡς ὅτι καὶ περὶ τῶν ἀξιωμάτων ἡ πρώτη φιλοσοφία διαλέγεται ἡ περὶ τὸ ὂν ᾗ ὂν καταγινομένη. τὸ δὲ ἅπασι γὰρ ὑπάρχει τοῖς οὖσιν εἶπεν οὐκ ἐπειδὴ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα διὰ πασῶν τῶν κατηγοριῶν πεφοίτηκε (μόνου γὰρ τοῦ ποσοῦ ταῦτα ὑπάρχουσιν), ἀλλ' ὅτι περὶ πάντα τὰ μόρια τοῦ ποσοῦ θεωρεῖται, καὶ περὶ τὸ συνεχὲς καὶ διωρισμένον· διὸ καὶ γεωμετρία κέχρηται αὐτῷ περὶ τὸ συνεχὲς ἔχουσα καὶ ἀριθμητικὴ δὲ περὶ τὸ διωρισμένον. φησὶν οὖν ὅτι πᾶσαι ἐπιστῆμαι χρῶνται τοῖς ἀξιώμασι τούτοις, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, γεωμετρία ἀριθμητικὴ ἀστρονομία ὀπτικὴ καὶ αἱ ἄλλαι, ἐπειδὴ ἕκαστον αὐτῶν τοῦ ὄντος ἐστί, καθὸ ὂν ὑπάρχει· ἐπὶ τοσοῦτον δὲ αὐτοῖς χρῶνται, ἐφ' ὅσον αὐταῖς ἱκανόν, τουτέστι γεωμετρία μὲν ἐπὶ μεγεθῶν, ἀριθμητικὴ δὲ ἐπὶ ἀριθμῶν, καὶ αἱ ἄλλαι ὁμοίως. διό φησι τοῦτο δέ ἐστιν, ὅσον ἐπέχει τὸ γένος περὶ οὗ φέρουσι τὰς ἀποδείξεις, ὥσπερ γεωμετρία ἐπὶ f.177v μεγεθῶν φέρουσα τὰς ἀποδείξεις· διὸ καὶ ἐπ' αὐτῶν μόνων κέχρηται τοῖς ἀξιώμασιν. ὁμοίως δὲ καὶ ἀριθμητικὴ ἐπὶ ἀριθμῶν. ἐπεὶ τοίνυν. καθὸ ὄντα ὑπάρχει ταῦτα, πᾶσιν ὑπάρχουσι τὰ ἀξιώματα, ὡς εἴρηται (τοῦτο γὰρ αὐτοῖς τοῖς ἀξιώμασίν ἐστι τὸ κοινόν, τὸ ἐν ἅπασι θεωρεῖσθαι), κοινῶς

2 ὡς addidi 21 μιᾷ ἐπιστήμῃ μόνῃ scripsi: μία ἐπιστήμη μόνη libri 25 τὰ] fort. τὸ τὰ 31 ὀπτικὴ, quod erat post ἄλλαι, ante καὶ posui 35 ὥσπερ—ἀποδείξεις (36) om. D

δὲ περὶ πάντων ὁ πρῶτος φιλόσοφος διαλέγεται. τοῦ περὶ τὸ ὄν ᾗ ὄν γνωρίζοντος, τουτέστι τοῦ πρώτου φιλοσόφου, ἔστιν ἡ περὶ τούτων θεωρία. ἐπειδὴ καὶ αὐτὸς καταγίνεται περὶ τὸ ὄν ᾗ ὄν ἐστι, καθάπερ ἐν τοῖς προλαβοῦσιν εἴρηται. καὶ διὰ ταύτην τὴν αἰτίαν οὐδεὶς τῶν κατὰ μέρος ἐπι-
5 στημόνων ἐπιχειρεῖ τί ποτε λέγειν περὶ τῶν ἀξιωμάτων, εἰ ἀληθῆ ὑπάρχουσιν εἴτε μή. οὔτε ὁ γεωμέτρης οὔτε ὁ ἀριθμητικός, ἀλλὰ μόνον κέχρηνται αὐτοῖς ὡς ὁμολογουμένοις· ὁμοίως δὲ καὶ ὁ ἰατρὸς καὶ ὁ μουσικὸς καὶ ἀστρονόμος. ἀλλὰ τῶν φυσικῶν ἔνιοι οὐκ ὀρθῶς τοῦτο δρῶσι· μόνοι γὰρ ὑπελάμβανον περί τε τῆς ὅλης φύσεως σκοπεῖν καὶ περὶ τοῦ ὄντος.
10 διαλεγόμενοι γὰρ περὶ τῶν φυσικῶν ὑπελάμβανον περὶ παντὸς τοῦ ὄντος διαλέγεσθαι· οὐδὲν γὰρ ὑπελάμβανον εἶναι παρὰ τὰ φυσικὰ πράγματα, μὴ ἐπιστήσαντες ὅτι ἔστιν οὐσία τις ἀκίνητος καὶ ἀναλλοίωτος, ἥτις κυρίως ἐστὶν οὐσία, ἐπειδὴ ἐξ αὐτῆς παράγονται τὰ φυσικὰ πράγματα. διό φησιν ὅτι ἔστι τις οὐσία ἀνωτέρω τοῦ φυσικοῦ ἡ ἀκίνητος καὶ ἀναλλοίωτος· μέρος
15 γάρ τι τοῦ ὄντος ἐστὶν ἡ φύσις οὖσα ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ὥστε μέρος ἐστὶν ἡ φύσις τοῦ καθόλου, τουτέστι τοῦ νοητοῦ, ἐξ οὗ καὶ αὐτὴ μετὰ τῶν ἄλλων προῆλθεν. ἐκεῖνοι οὖν διημάρτανον τῷ μηδὲν ἄλλ' ἔξω τῶν φυσικῶν ὑπολαμβάνειν εἶναι, περὶ ὧν ἐπραγματεύοντο· ἐπὶ πλέον f.178r
γὰρ τῶν φυσικῶν τὸ ὄν, καὶ ἔστι τινὰ ὄντα καὶ παρὰ τὰ φυσικά· ἡ γὰρ
20 ἀσώματός τε καὶ ἀκίνητος οὐσία οὐ φυσική. ἓν γάρ τι γένος τοῦ ὄντος ἡ φύσις, ἀρχὴ καὶ αἰτία κινήσεως οὖσα καθ' αὑτὴν τοῖς ἐν οἷς ἐστι. διὸ οὐ τοῦ φυσικοῦ ἡ περὶ τῶν τῷ ὄντι ᾗ ὄν ὑπαρχόντων θεωρία, ἀλλὰ τοῦ φιλοσόφου, ὅς ἐστιν ἀνωτέρω ἔτι τοῦ φυσικοῦ, περὶ παντὸς τοῦ ὄντος ᾗ ὄν τὴν θεωρίαν ποιούμενος, καὶ μάλιστα καὶ πρώτως περὶ τοῦ μάλιστα
25 καὶ πρώτου τῶν ὄντων, ὅπερ οὐσία μέν ἐστιν, οὐ μὴν φυσική. ἔστι μὲν γὰρ καὶ ἡ φυσικὴ σοφία τις καὶ φιλοσοφία, ἀλλ' οὐχ ἡ πρώτη· [ἡ] πρώτη δ' ἂν εἴη ἥ τε περὶ τῶν πρώτων οὐσιῶν καὶ ἡ καθόλου περὶ πάσης οὐσίας καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων διαλεγομένη. αἱ δὲ ἄλλαι ἐπιστῆμαι, ἃς γένη ἐκάλεσε, χρῶνται τοῖς ἀξιώμασιν, εἰς ὅσον αὐταῖς ἐστι χρήσιμον, ὁ
30 μὲν γεωμέτρης ἐπὶ τὰ μεγέθη ἄγων αὐτὰ καὶ ἐπὶ τοσοῦτον αὐτοῖς χρώμενος, ὁ δὲ ἀριθμητικὸς ἐπὶ ἀριθμούς· τοῦτο δὲ διὰ τὸ πᾶσιν ὑπάρχειν αὐτὰ καὶ μηδενὸς ἴδια εἶναι. ὁ μὲν γὰρ γεωμέτρης λαμβάνων ἀξίωμα ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα προστίθησι τὸ μεγέθη· περὶ γὰρ μεγέθη ἡ πραγματεία τούτῳ· ὁ δὲ ἀριθμητικὸς ἐπὶ τὸν ἀριθμὸν αὐτὰ
35 μεταφέρει. διὸ ἀνωτέρω ἔλεγεν ἐπὶ τοσοῦτον δὲ αὐτοῖς χρῶνται. ἐφ' ὅσον αὐτοῖς ἱκανόν. ὥστε τὰς τῆς οὐσίας ἀρχὰς πρώτας μόνη ἐπισκέψεται ἡ πρώτη φιλοσοφία.

p. 1005b2 Ὅσα δὲ ἐγχειροῦσι τῶν λεγόντων τινές.

Ὃ λέγει τοῦτό ἐστιν· οἱ ἐπιχειροῦντες τὰ ἀξιώματα ἀποδεικνύναι ὑπ'

---

13 ἐστὶν ἡ οὐσία D 17 ἐκεῖνοι scripsi: ἐπεὶ libri διημάρτανον—οὐσίας (27) Alexandri sunt μηδένα D 20 ἓν ex Aristotele scripsi: καὶ libri 22 τοῦ μουσικοῦ A¹ 26 ἡ Alexandrum secutus delevi 34 τούτῳ scripsi: τούτων libri

ἀπαιδευσίας τοῦτο ὑπομένουσι τῶν ἀναλυτικῶν, τουτέστι τῆς λογικῆς θεωρίας. ἐν γὰρ τῇ λογικῇ θεωρίᾳ μανθάνει τις, ὥσπερ ἐν τῇ Ἀποδεικτικῇ, ὅτι ἀδύνατόν ἐστι γινώσκειν τὰ ἐκ τῶν ἀρχῶν ἀγνοουμένων τῶν ἀρχῶν, καὶ ὅτι οὐ δεῖ τὰς ἀρχὰς ἀποδεικτὰς εἶναι. εἰ γὰρ πάντων ἔσται ἀπό- f. 178v
5 δειξις, οὐκ ἔσται ἀπόδειξις, ὡς ἐν ἐκείνοις μεμαθήκαμεν· δεῖ γὰρ περὶ τῶν ἀρχῶν ἥκειν προεπισταμένους, ἐπεὶ κοιναὶ ἔννοιαι ὑπάρχουσιν, ἀλλὰ μὴ ἐν τῷ ἀκούειν πολυπραγμονεῖν καὶ ἀπαιτεῖν ἀπόδειξιν καὶ τῶν ἀρχῶν, ἵνα μὴ ἐπ' ἄπειρον βαδίσειεν καὶ οὕτως οὐδὲν ἔσται γνωστόν, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται. ταῦτα οὖν λέγει πρὸς τοὺς οἰομένους τῶν πάντων ἀπό-
10 δειξιν εἶναι καὶ μηδὲν ἀποδέχεσθαι ἀξιοῦντας ὡς ἀληθὲς ἄνευ ἀποδείξεως λεγόμενον, περὶ ὧν εἴρηκε καὶ ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς· τούτους γάρ φησι διὰ ἀπαιδευσίαν τῶν ἀναλυτικῶν ταῦτα λέγειν. δέδεικται γὰρ ἐν ἐκείνοις ὅτι δεῖ ἀρχὴν ἀποδείξεως εἶναι, καὶ ταύτην ἀναπόδεικτον. οὐδὲ γὰρ ἂν ὅλως ἀπόδειξις εἴη, εἰ πάντα ἀποδεικτὰ εἴη καὶ περὶ πάντων ζητοίη
15 τις. "πᾶσα γὰρ διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως", ὡς ἐν ἐκείνοις εἴρηται, καὶ ἔστι ταῦτα τὰ ἀξιώματα καλούμενα. τὸ δὲ δεῖ γὰρ περὶ τούτων ἥκειν ἐπισταμένους ἤτοι περὶ τῶν ἀξιωμάτων λέγει (ταῦτα γὰρ δεῖ προεπίστασθαί τε καὶ γνωρίζειν, καὶ μὴ ἐν τῷ ἀκούειν ζητεῖν αὐτά, εἴτε οὕτως εἴτε μὴ οὕτως ἔχει), ἢ ὅτι
20 καθόλου δεῖ προεπίστασθαι ὅτι μὴ πάντα ἐστὶν ἀποδεικτά, ἀλλὰ μὴ ἀποδεικνύντα ἅμα καὶ περὶ τούτου ζητεῖν. δύναται δὲ τὸ εἰρημένον τείνειν καὶ πρὸς τὸ ὑπὸ Πλάτωνος εἰρημένον ἐν τῷ Ἀλκιβιάδῃ, τὸ ὅπερ τις οἶδε, μαθὼν ἢ εὑρὼν οἶδεν, εὑρίσκει δὲ ὁ ζητήσας πρῶτον· ἔνια γὰρ ἴσμεν οὔτε μαθόντες οὔτε ζητήσαντες, ὥσπερ τὰ ἀξιώματα.

25 p. 1005ᵇ5 Ὅτι μὲν οὖν τοῦ φιλοσόφου.

Ὁ πρῶτος φιλόσοφος διαλέγεται περὶ τῶν ἀξιωμάτων οὐχ ὡς ἀποδεικνύων αὐτὰ (ἀναπόδεικτοι γὰρ αἱ ἀρχαὶ τῶν ἀποδείξεων, ὡς λέγει). ἀλλὰ τίς ἡ φύσις αὐτῶν καὶ πῶς ἡμῖν ἐγγίνονται καὶ πῶς αὐτοῖς χρηστέον, καὶ ὅσα ἄλλα περὶ αὐτῶν ἐν τοῖς περὶ ἀποδείξεως πραγματεύονται. ὥσπερ
30 γὰρ ὁ περὶ ἀξιωμάτων λόγος τοῦ φιλοσόφου, οὕτως καὶ ὁ περὶ ἀποδείξεως, οὐ τῆς τοῦδε ἢ τοῦδε, ἀλλὰ καθόλου τί τέ ἐστιν ἀπόδειξις καὶ ἐν τίνι γένει τῶν περὶ τὰς ἐπιστήμας ὑπάρχει. ἀλλ' ἔστι καθ' ἑκάστην ἐπιστήμην ἡ ἀπόδειξις περὶ τὰ οἰκεῖα τῆς ἐπιστήμης, ᾗ χρῆται ἕκαστος ἐξ ὑποθέσεως, παρὰ φιλοσοφίας τὸ πῶς ἀποδεικνύναι χρὴ λαβών.

35 p. 1005ᵇ5 Ὅτι μὲν οὖν τοῦ φιλοσόφου καὶ τοῦ περὶ πάσης.

Ἤτοι περὶ πάσης τῆς οὐσίας εἶπεν ἀντὶ τοῦ περὶ παντὸς τοῦ ὄντος

2 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 3 4 ἔσται om. D 9 λέγει—ζητήσαντες (24) Alexandri sunt 11 ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς] A 3 14 πάντα—καὶ desunt Alexandro 15. 16 πᾶσα κτλ.] Anal. post. A 1 p. 71ᵃ1 16 καὶ Alex.: ἃ libri 22 ἐν τῷ Ἀλκιβιάδῃ] Alcib. I p. 106 D 36 Ἤτοι—λέγεται (p. 257, 16) Alexandri sunt

ᾗ ὄν, ἢ περὶ πάσης οὐσίας, ὅτι καὶ ἡ περὶ τοῦ ὄντος ἐπιστήμη περὶ οὐσίας μάλιστά ἐστι· κυριώτατον γὰρ τοῦτο ἐν τοῖς οὖσιν, ὡς ἐρρέθη, καὶ πρὸς τοῦτο τὰ ἄλλα. τὸ δὲ περὶ πάσης οὐσίας ἴσον τῷ καθόλου περὶ οὐσίας, ἀλλ' οὐ τῆσδε ἢ τῆσδε. τὸ δὲ ᾗ πέφυκε σημαίνοι ἂν ἤτοι θεωροῦντος τίς καθόλου φύσις οὐσίας ἢ τίς φύσις ἑκάστης οὐσίας· οὐ γὰρ τῆς αὐτῆς πᾶσαι, εἴ γε αἱ μὲν ἀσώματοι αἱ δὲ σωματικαί, καὶ αἱ μὲν ἀκίνητοι αἱ δὲ ἐν κινήσει, καὶ αἱ μὲν ἀγένητοι αἱ δὲ ἐν γενέσει, καὶ αἱ μὲν ἄψυχοι αἱ δὲ ἔμψυχοι, καὶ τούτων ἑκατέρων πλείους διαφοραί. διὰ δὲ τῆς λέξεως δέδεικται ὅτι τοῦ φιλοσόφου ἐστὶ τὸ καὶ περὶ τῶν συλλογιστικῶν ἀρχῶν ἐπισκέψασθαι. συλλογιστικὰς δὲ ἀρχὰς λέγει τὰς ἀποδεικτικάς· ἀποδείξεων γὰρ καθόλου ἀρχαὶ τὰ ἀξιώματα. καὶ γὰρ καθ' ἑκάστην εἰσὶν ἐπιστήμην οἰκεῖαι τοῖς ἀποδεικνυμένοις ἀρχαί τε καὶ τοῦ καθ' ἑκάστην ἐπιστήμην ἀποδεικτικοῦ ταύτας εἰδέναι· ὃ ποιήσει ἕκαστος αὐτῶν λαβὼν παρὰ τοῦ ἀποδεικτικοῦ τε καὶ φιλοσόφου, ἐκ τῶν πῶς ὑπαρχόντων τῷ ἀποδεικνυμένῳ δεῖ [γὰρ] ἀποδεικτικὰς λαμβάνειν προτάσεις, καὶ πῶς ταύτας ἀλλήλαις συμπλέκειν καὶ τὰ ἄλλα, ὅσα ἐν τοῖς περὶ ἀποδείξεως λέγεται.

p. 1005b8 Προσήκει δὲ τὸν μάλιστα γνωρίζοντα. f. 179v

Ὥσπερ ἕκαστον ἐπιστήμονα δεῖ γνωρίζειν τὰς οἰκείας ἀρχὰς καὶ βεβαίας αὐτὰς ἔχειν, οἷον τὴν γεωμετρίαν ὅτι ἀμερὲς τὸ σημεῖον, τὸν ἰατρὸν ὅτι ἐκ τεσσάρων στοιχείων ὑπάρχουσι τὰ σώματα, οὕτως οὖν δεῖ καὶ τὸν πρῶτον φιλόσοφον τὸν διαλεγόμενον περὶ πάντων τῶν ὄντων βεβαιοτάτας ἔχειν τὰς πάντων ἀρχάς. εἰ γὰρ ἀγνοεῖ τις τὰς οἰκείας ἀρχάς, οὐδ' ἂν ἐπιστήμην ἔχοι τοῦ πράγματος. οὕτως οὖν ἀνάγκη τὰς πάντων ἀρχὰς εἰδέναι τὸν πρῶτον φιλόσοφον. εἰ γὰρ τῷ περί τι γένος καταγινομένῳ τὴν ἐκείνου τοῦ γένους καὶ ἐν ἐκείνῳ βεβαιοτάτην ἀρχὴν ἀναγκαῖον εἰδέναι, τῷ μὴ περί τι ὂν μηδὲ περί τι γένος, ἀλλὰ καθόλου περὶ τὸ ὂν ἢ πᾶν ὂν καὶ τὸ κοινότατον καὶ γενικώτατον ἔχοντι τὴν πραγματείαν ἀνάγκη τὰς πάντων τῶν ὄντων βεβαιοτάτας ἀρχὰς εἰδέναι. εἶτά φησι τίς ἐστιν ἡ βεβαιοτάτη ἀρχή· ἡ περὶ ἣν ἀδύνατον διαψευσθῆναι, αὕτη πασῶν τῶν ἀρχῶν βεβαιοτάτη. τὸ γὰρ βέβαιον ἀσάλευτον καὶ ἀκίνητον θέλει εἶναι· εἰ δὲ ἔστιν ἀσάλευτον, οὐ δυνατὸν οὕτως καὶ μὴ οὕτως ἔχειν. φησὶν οὖν ὅτι τὴν τοιαύτην ἀρχὴν πᾶσα ἀνάγκη γνωρίμην εἶναι (περὶ ἐκεῖνα γὰρ οἱ ἄνθρωποι ἀπατῶνται, περὶ ἃ μὴ γινώσκουσιν, οἷον εἰ ἡ ψυχὴ ἀθάνατός ἐστιν ἢ οὔ), καὶ ἀνυπόθετον· τὴν γὰρ ἐξ ὑποθέσεως οὐκ ἀναγκαῖον εἰδέναι

---

10 συλλογιστικὰς — ἀποδεικτικάς om. D 11 αἱ γὰρ καθ' ἑκάστην ἐπιστήμην οἰκεῖαι τ. ἀ. ἀρχαί τε καὶ προτάσεις τοῦ κ. ἑ. ἐ. ἀποδεικτικοῦ, καὶ τούτων τὸ ταύτας εἰδέναι Alex. 14 ἐκ τῶν πῶς] sic etiam Alex.: πῶς ἐκ τῶν recte Bonitz 15 γὰρ Alexandrum secutus delevi 18 ὥσπερ — φιλόσοφον (24) neglegenter ex Alexandro excerpta 19 volebat τὸν γεωμέτρην post γεωμετρίαν lacuna VI litterarum A 23 ἔχει D: ἔχῃ A 24 εἰ γὰρ — εἰδέναι (28) Alexandri sunt περί τινος καταγινομένῳ Alex. 26. 27 ἢ πᾶν ὂν desunt Alexandro 34 τὸν γὰρ D

τὸν ὅτιοῦν μαθησόμενον, τὴν δὲ κυρίως ἀρχὴν ἀναγκαῖον εἰδέναι τὸν ὅτιοῦν μαθησόμενον· οὐκ ἄρα ἐστὶν ἐξ ὑποθέσεως ἡ ἀρχὴ ἀλλὰ ἀνυπόθετος. οὐ γὰρ οἷόν τε τὸ δι' ὑποθέσεως λαμβανόμενον ἀρχὴν εἶναι τῆς τῶν δεικτικῶν αὐτοῦ γνώσεως, οἷον ὅτι ὑποκείσθω ἀθάνατος εἶναι ἡ ψυχή. δείξας δὲ ὅτι μὴ ἐξ ὑποθέσεως ἡ βεβαιοτάτη ἀρχὴ προστίθησιν ὅτι ἀνάγκη γνωρίζειν αὐτὴν τὸν ὅτιοῦν μανθάνοντα, ἐπειδὴ πᾶσα μάθησις καὶ πᾶσα διδα- f.180r
σκαλία διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως. ὅπερ δὲ ἀναγκαῖόν ἐστιν γνωρίζειν καὶ εἰδέναι τῷ ὅτιοῦν γνωρίζοντι, καὶ ἥκειν ἀναγκαῖον εἰδότα αὐτό· εἰ γὰρ μὴ οἶδεν αὐτό, οὐ γνωρίζει αὐτό· εἰ δὲ μὴ γνωρίζει τὴν ἀρχήν, οὐδὲ τὰ ἀπὸ τῆς ἀρχῆς γινώσκει. ὅτι οὖν ἡ τοιαύτη ἀρχὴ ἡ τοῦ πρώτου φιλοσόφου ἡ καὶ γινωσκομένη πασῶν βεβαιοτάτη ἐστί, δῆλον. τίς δέ ἐστιν αὕτη, μετὰ ταῦτα λέγωμεν. καὶ ἐφεξῆς λέγει περὶ τῆς ἀντιφάσεως. δεικνὺς αὐτὴν κυριωτάτην οὖσαν πασῶν τῶν ἀρχῶν, εἴ γε καὶ τὰ ἄλλα ἀξιώματα ἐξ αὐτῆς ἔχουσι τὸ εἶναι. καὶ λοιπὸν ἀποδείκνυσιν αὐτὸ οὐκ ἀποδεικτικῶς ἀλλὰ ἐλεγκτικῶς, ὡς ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ἐκ τῶν ἀρχῶν τῶν πειρωμένων ἀνελεῖν αὐτὴν εἰσάγων αὐτήν.

p. 1005b19 Τὸ γὰρ αὐτὸ ἅμα ὑπάρχειν καὶ μὴ ὑπάρχειν ἀδύνατον τῷ αὐτῷ.

Ἐντεῦθεν λοιπὸν κρατύνει τὸ δόγμα τὸ περὶ τῆς ἀντιφάσεως, καί φησιν ὅτι τὸ γὰρ αὐτὸ ἅμα ὑπάρχειν καὶ μὴ ὑπάρχειν τῶν ἀδυνάτων ἐστὶ τῷ αὐτῷ ὑποκειμένῳ καὶ κατὰ λόγον τὸν αὐτὸν κατηγορούμενον· καὶ ὅσα ἄλλα, φησί, προσδιωρισάμεθα, ἔστω προσδιωρισμένα πρὸς τὰ λογικὰ δυσχερῆ, καθάπερ σαφέστερον ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, οἷον ἵνα κατὰ τὸν αὐτὸν χρόνον, κατὰ τὸ αὐτὸ ὑποκείμενον, ἵνα τὸ αὐτὸ ἓν κατηγορούμενον, μὴ τὸ μὲν δυνάμει τὸ δὲ ἐνεργείᾳ, καὶ κατὰ τὸ αὐτὸ μέρος. ἐὰν οὖν ταῦτα πάντα προσδιορίσωμεν. οὐδέποτε συντρέχουσιν ἀλλήλαις ἡ καταφατικὴ καὶ ἡ ἀποφατική. αὕτη οὖν ἡ ἀντίφασις βεβαιοτάτη ἐστὶ πασῶν τῶν ἀρχῶν, ἐπεὶ καὶ τὰ ἄλλα ἀξιώματα εἰς αὐτὴν ἀναλύονται. ἔχει γὰρ τὸν εἰρημένον διορισμόν, ὅτι γνωριμωτάτη ἐστὶ καὶ δεῖ αὐτὴν εἰδέναι τὸν ὅτιοῦν μανθάνοντα, † ὥστε κυρίως ἀξιώματα ὑπάρ- f.180v
χουσιν. ἀδύνατον οὖν τινα ὑπολαμβάνειν τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι μετὰ τῶν οἰκείων προσδιορισμῶν, οἷον τὸν Σωκράτην εἶναι ἄνθρωπον καὶ μὴ εἶναι ἄνθρωπον, ὅταν ἔστιν ἄνθρωπος, καθάπερ τινὲς ὑπολαμβάνουσι λέγειν τὸν Ἡράκλειτον, ἐπεὶ ἔλεγε πάντων ἕνα εἶναι ὁρισμόν, ὧν δὲ οἱ ὁρισμοὶ οἱ αὐτοί, καὶ τὰ πράγματα τὰ αὐτά· ὥστε τὸ ἀγαθὸν ἔσεται τὸ αὐτὸ τῷ οὐκ ἀγαθῷ. ἰστέον οὖν ὅτι οὐ πάντως, ἅ τις λέγει, ταῦτα καὶ ὑπολαμβάνει· οὐκ ἀληθῶς οὖν οὕτω διέκειτο ὁ Ἡράκλειτος. εἴρηται γὰρ ἐν τῇ θεωρίᾳ ὅτι συμβολικῶς ταῦτα ἔλεγεν ἢ ὅτι γυμναστικῶς, καθάπερ, φησίν,

10 τὰ] τὰς D: τὰν ex τὴν corr. A 11 ἡ om. D 21 τὸν αὐτὸν scripsi: τὸ αὐτὸ libri 30 ὥστε κτλ.] fort. οἷα τὰ

ὁ Ζήνων ὁ Ἐλεάτης ἐπειρᾶτο ἀναιρεῖν τὴν κίνησιν. εἰ τοίνυν μὴ ἐνδέχεται τῷ αὐτῷ ἅμα ὑπάρχειν τὰ ἐναντία, δῆλον ὅτι οὐδὲ ἡ ἀντίφασις, εἴ γε ἐναντία ἐστί (προσδιωρίσθω οὖν ἡμῖν καὶ ταύτῃ τῇ προτάσει τὰ εἰωθότα)· ἐναντία γάρ ἐστι δόξα δόξῃ ἡ τῆς ἀντιφάσεως. ὥστε
5 ἀδύνατόν ἐστιν ἅμα ὑπολαμβάνειν τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι· συμβήσεται γὰρ τὸν διεψευσμένον περὶ τούτου ἅμα ἔχειν τὰς ἐναντίας δόξας. διὸ πάντες οἱ ἀποδεικνύντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν· φύσει γὰρ ἀρχὴ τῶν ἄλλων ἀξιωμάτων αὕτη πάντων, ὡς εἰρήκαμεν ἐν τῇ θεωρίᾳ. ὑπάρχουσι δέ τινες, οἵτινες πειρῶνται λέγειν ὅτι ἐνδέχεται τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ
10 εἶναι, καὶ οὕτως ὑπολαμβάνουσιν, οὐ μόνον λέγουσι. χρῶνται δὲ τῷ λόγῳ τούτῳ πολλοὶ καὶ τῶν φυσικῶν, ὥσπερ ὁ Πρωταγόρας λέγων τὸ αὐτὸ εἶναι λευκὸν καὶ μὴ εἶναι λευκὸν μετὰ τῶν προσδιορισμῶν, καὶ εἶναι ἄνθρωπον καὶ μὴ εἶναι ἄνθρωπον. ἡμεῖς δέ φαμεν ὅτι τῶν ἀδυνάτων ἐστὶ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι, καὶ διὰ τούτου ἐδείξαμεν ὅτι πασῶν
15 βεβαιοτάτη αὕτη τῶν ἀρχῶν ἡ τῆς ἀντιφάσεως. ἰστέον δὲ ὅτι ἐναντία αὐτὰ ἐκάλεσεν. ἐπειδὴ τὰ πλεῖστον ἀλλήλων διαφέροντα ὑπὸ τὸ αὐτὸ f. 181r γένος ὄντα ταῦτα ἐναντία ὑπάρχουσι. τὸ δὲ λευκὸν καὶ οὐ λευκὸν ὑπάρχοντα ὑπὸ τὸ ποιὸν καὶ πλεῖστον ὡς πολὺ ἀλλήλων διαφέρουσιν, ἵνα ὑποθώμεθα τὸ οὐ λευκὸν τὸ μέλαν. οὕτως φαμὲν καὶ τὴν νόσον καὶ τὴν
20 ὑγείαν πολὺ ἀλλήλων διαφέρειν ὄντα ὑπὸ τὴν ἰατρικὴν καὶ διὰ τοῦτο ἐναντία * * *, ὥσπερ τὸ πῦρ καὶ τὸ ὕδωρ (τὸ μὲν γὰρ ψύχει, τὸ δὲ θερμαίνει), καὶ πάλιν ἄλλα τῷ πάσχειν, ἐπειδὴ τὸ μὲν ψύχεται, εἰ τύχοι, τὸ δὲ θερμαίνεται· καὶ ἄλλους πολλοὺς τρόπους καταλέγει ὁ Ἀλέξανδρος τῶν ἐναντίων.

25 p. 1006ᵃ5 Ἀξιοῦσι δὲ καὶ τοῦτο ἀποδεικνύναι τινὲς διὰ ἀπαιδευσίαν.

Φησὶν ὅτι τινὲς ἀπαιδεύτως φερόμενοι πειρῶνται ἀποδεικνύναι τὸ ἀξίωμα τὸ τῆς ἀντιφάσεως. τῷ ὄντι γὰρ ἀπαιδευσία ἐστὶ τὸ μὴ γινώσκειν, τίνων ἐστὶν ἀπόδειξις, καὶ τίνων δεῖ ἡμᾶς ζητεῖν ἀποδείξεις καὶ τίνων οὐ
30 δεῖ. ὅλως μὲν γὰρ ἁπάντων ἀδύνατον εἶναι ἀπόδειξιν· εἰς ἄπειρον γὰρ ὁ τοιοῦτος βαδίζει καὶ οὐδέποτε γινώσκει τὰς ἀρχάς, ἀπείρων οὐσῶν. ὥστε οὐδὲ τὰ ἐκ τῶν ἀρχῶν γνώσεται. ὥστε συμβήσεται παντελῶς μὴ εἶναι ἀπόδειξιν, καθάπερ εἰρήκαμεν ἐν τῇ θεωρίᾳ. εἰ δ' οὖν ἀπέδειξεν ὁ λόγος ὅτι ἐνίων οὐκ ἔστιν ἀπόδειξις, τουτέστι τῶν ἀξιωμάτων, οὐκ ἂν ἔχοιεν
35 εἰπεῖν κρείττονα ἀρχὴν τῆς ἀντιφάσεως, ἐπειδὴ εἰς αὐτὴν πάντα τὰ ἄλλα ἀξιώματα ἀναλύονται καὶ ἀποδείκνυνται, ὅτι ἀρχῇ αὐτῇ χρώμεθα, ὡς ἐδείξαμεν ἐν τῇ θεωρίᾳ. ὥστε ἀναπόδεικτός ἐστιν ἡ ἀντίφασις, ἅτε δὴ κυριωτάτη ἀρχὴ ὑπάρχουσα. ἔστιν οὖν ἀποδεῖξαι τὴν ἀντίφασιν ἐλεγκτικῶς,

---

17. 18 ὑπάρχον libri 21 lacunam indicavi: addendum ἄλλα δὲ τῷ ποιεῖν ἐναντία
23 ὁ Ἀλέξανδρος] ad hunc locum nihil tale affert 28 τὸ (ante τῆς) om. D

οὐκ ἀποδεικτικῶς, καθάπερ ἐν τῇ θεωρίᾳ ἐδείξαμεν, ἐκ τῶν λόγων τῶν παρ' ἐκείνου τοῦ ἀναιροῦντος αὐτὴν κρατύνοντες καὶ εἰσάγοντες τὸ δόγμα τὸ περὶ τῆς ἀντιφάσεως. ἀποδείκνυμεν οὖν αὐτὴν ἐλεγκτικῶς, ἐὰν μόνον f. 181v προσδιαλέγηται ἡμῖν ὁ πειρώμενος αὐτὴν ἀνελεῖν· ἐὰν δὲ μὴ ἀποκρίνηται ἡμῖν, γελοῖον τὸ ζητεῖν λόγον πρὸς τὸν μηδενὸς ἔχοντα λόγον, καθὸ οὐκ ἔχει λόγον ἐν ἑαυτῷ· ὁ γὰρ τοιοῦτος ἔοικε φυτῷ ἤγουν λίθῳ. οὐκ ἔστιν οὖν ἡμῖν σχολὴ πρὸς ἄψυχον διαμάχεσθαι. διαφέρει δὲ τὸ ἐλεγκτικῶς ἀποδεῖξαι τοῦ ὅλως ἀποδεῖξαι, ὅτι ἐὰν πειραθῇ τις ἀποδεῖξαι τὴν ἀντίφασιν, τὸ ἐν ἀρχῇ αἰτεῖται λέγων οὕτως ὅτι οὐ συντρέχει ἡ ἀντίφασις, ἐπειδὴ ἡ κατάφασις οὐδέποτε συνυπάρχει τῇ ἀποφάσει. ὥστε πάλιν τὸ ἐξ ἀρχῆς αἰτήσει· οὐδὲν γὰρ διαφέρει ἡ κατάφασις καὶ ἡ ἀπόφασις τῆς ἀντιφάσεως. ὄντος δὲ ἐπ' ἄλλου τινὸς ἀνθρώπου αἰτίου τοῦ ἀποδείκνυσθαι τὴν ἀντίφασιν, ἐπειδὴ ἐκεῖνος πειρᾶται αὐτὴν ἀναιρεῖν, ἔλεγχος ἂν εἴη τὸ τοιοῦτο καὶ οὐκ ἀπόδειξις.

p. 1006a18 Ἀρχὴ δὲ πρὸς ἅπαντα τὰ τοιαῦτα.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι ἀρχὴ δὲ πρὸς ἅπαντα τὰ τοιαῦτα * * * τουτέστιν ὁ βουλόμενος κρατῦναι τὸ δόγμα τὸ περὶ τῆς ἀντιφάσεως οὐκ ἐρεῖ ὅτι ἔστιν ἀντίφασις, ἐπειδή ἐστι, φησί, κατάφασις καὶ ἀπόφασις, καὶ ταῦτα ἀλλήλοις οὐ συντρέχουσιν· ὁ γὰρ τοιοῦτος πάλιν τὸ ἐν ἀρχῇ αἰτεῖται, ὡς προσεχῶς ἐδείξαμεν. δεῖ οὖν τὰ παρὰ τοῦ προσδιαλεγομένου λεγόμενα εἶναι σημαντικὰ καὶ σημαίνειν τι τὸ λεγόμενον ὑπὸ αὐτοῦ περὶ τῆς ἀντιφάσεως καὶ αὐτῷ καὶ ἄλλῳ τῳ τῷ προσδιαλεγομένῳ. πᾶσα γὰρ ἀνάγκη τοῦτο γίνεσθαι, εἴπερ λέγοι, τουτέστιν εἴπερ διαλέγεται. εἰ γὰρ μὴ κέχρηται σημαντικαῖς λέξεσι καὶ ὡρισμέναις μήτε πρὸς ἑαυτὸν μήτε δὲ πρὸς ἄλλον, οὐκ ἂν εἴη τῷ τοιούτῳ λόγος οὔτε αὐτῷ πρὸς αὑτὸν οὔτε δὲ πρὸς ἄλλον· τρόπον γάρ τινα πάλιν οὐδὲν διαλέγεται μηδὲν δηλῶν. ἐὰν δέ τις τοῦτο διδῷ καὶ κέχρηται σημαντικαῖς λέξεσι καὶ ὡρισμέναις, ἔσται ἀπόδειξις· ἤδη γάρ τι ἔσται ὡρισμένον, καθάπερ ἐν τῇ θεωρίᾳ f. 182r εἴρηται, οἷον ὅτι ὁ ἄνθρωπος μόνον τὸν ἄνθρωπον δηλοῖ· ὥστε οὐ συντρέχει τὸ οὐκ ἄνθρωπος, ἐπεὶ οὐκέτι ἔσται ὡρισμένον τὸ ἄνθρωπος, εἴ γε τὸ μὲν οὐκ ἄνθρωπος ἄπειρα δηλοῖ (πάντα γὰρ τὰ παρὰ τὸν ἄνθρωπον), τὸ δὲ ἄνθρωπος μίαν οὐσίαν τὴν τοῦ ἀνθρώπου. αἴτιος οὖν τοῦ εἶναι τὴν ἀντίφασιν οὐχ ὁ κρατύνων αὐτὴν καὶ ἀποδεικνύς, ἀλλὰ ὁ ὑπομένων· ἀναιρῶν γὰρ λόγον ὑπομένει λόγον, τουτέστι πειρώμενος ἀνατρέψαι τὴν ἀντίφασιν τίθησιν αὐτήν, ἐκ τῶν παρ' αὐτοῦ λεγομένων ἐλεγχόμενος ὑπὸ τῆς ἀληθείας. πρῶτον μὲν οὖν ἀληθὲς ὑπάρχει ὅτι σημαίνει τὸ ὄνομα τὸ εἶναι ἤγουν μὴ εἶναι τοδί, τουτέστι τὸ εἶναι ἄνθρωπον ἢ μὴ εἶναι ἄνθρωπον· ὥστε οὐκ ἂν πᾶν καὶ οὕτω καὶ οὕτως ἔχοι, τουτέστιν οὐ πᾶσα ἀντίφασις

6 ἡ γὰρ D 12 ἐπ' fort. delendum 16 lacunam indicavi; addendum ex Aristotele οὐκ ἔστι τὸ ἀξιοῦν ἢ εἶναί τι λέγειν ἢ μὴ εἶναι 17 οὐκ—ἀντίφασις (18) om. D 32 εἶναι] fort. ἀποδεικτὸν εἶναι

συντρέχει. καὶ τοῦτο νῦν μὲν λέγει ἐπὶ μέρους βουλόμενος δεῖξαι ὅτι οὐ πᾶσα ἀντίφασις συντρέχει, ἐπεὶ προϊὼν καθολικὸν ποιεῖται τὸν λόγον, δεικνὺς ὅτι ἀδύνατόν ἐστι τὰ μόρια τῆς ἀντιφάσεως συντρέχειν ἀλλήλοις.

p. 1006a31 Ἔτι εἰ τὸ ἄνθρωπος σημαίνει ἕν, ἔστω τοῦτο ζῷον δίπουν.

Ἔτι τοῦ αὐτοῦ πλείονα ἐπιχειρήματα τίθησι κατασκευαστικὰ καί φησιν οὕτως. εἰ ὡμολογήσαμεν ὅτι τὸ ἄνθρωπος ὄνομα ἕν τι δηλοῖ ὡρισμένον, ὡς ἔδειξεν ἡ διαίρεσις ἐν τῇ θεωρίᾳ, ἔστω τοῦτο τὸ σημαινόμενον ζῷον δίπουν, ὃ σημαίνει τὸ τοῦ ἀνθρώπου ὄνομα. λέγω δὴ τὸ ἓν σημαίνειν τοῦτο· εἰ τοῦτό ἐστιν ἄνθρωπος, ἂν ὅλως ᾖ τι ἄνθρωπος, τοῦτό ἐστι τὸ ἀνθρώπῳ εἶναι, ζῴῳ δίποδι. πάλιν δὲ εἴ τις εἴποι τὸ ὄνομα ὁμώνυμον καὶ πλείονα δηλοῦν πεπερασμένα δέ, οὐδὲν διαφέρει· τεθείη γὰρ ἂν ἐφ' ἑκάστῳ λόγῳ ἕτερον ὄνομα. οἷον εἴ τις εἴποι τὸν ἄνθρωπον μὴ σημαίνειν ἓν ἀλλὰ πολλά. καθάπερ κύων φωνή. ὧν [ἄνθρωπος] ἑνὸς μὲν ἀφωρισμένος εἷς λόγος ἐστὶ τὸ ζῷον δίπουν, ὥσπερ καὶ τοῦ χερσαίου κυνὸς τὸ ζῷον ὁλακτικόν (οὕτως γὰρ διαιροῦμεν αὐτὸ ἐκ τῶν ἄλλων κυνῶν, οὐ- f. 182v
ρανίου φημὶ καὶ θαλαττίου) ὑπάρχουσι δὲ καὶ ἕτεροι ἄνθρωποι πλείους, ὡρισμένοι μέντοι γε κατὰ τὸν ἀριθμόν· τίθεται γὰρ ἴδιον ὄνομα καθ' ἕκαστον λόγον, ὥσπερ ἐπὶ τοῦ κυνὸς εἴρηται, καὶ οὕτως ἔσται πάλιν ὡρισμένον καὶ οὐκέτι συντρέχει ἡ ἀπόφασις [ἐπεὶ οὕτως οὐκέτι ἔσται πάλιν ὡρισμένον]. εἰ δὲ μὴ τεθείη ὡρισμένον ὄνομα, ἀλλ' εἴποι ἐκεῖνο ἄπειρα δηλοῦν τὸ ὄνομα, φανερὸν ὅτι οὐκέτι ἔσται πάλιν λόγος· τὸ γὰρ μὴ ἓν σημαίνειν ἀλλὰ ἄπειρα οὐδὲν σημαίνειν ἐστίν. εἴ γε οὐκ ἔστι τῆς ἡμετέρας φύσεως τὰ ἄπειρα νοεῖν, καὶ ταῦτα ἐν πεπερασμένῳ χρόνῳ. μηδὲν οὖν δηλούντων τῶν ὀνομάτων ἀναιρεῖται τὸ διαλέγεσθαι πρὸς ἀλλήλους· κατὰ δὲ τὴν ἀλήθειαν ἀναιρεῖται καὶ τὸ διαλέγεσθαι πρὸς ἑαυτόν. οὐκ οἶδε γάρ τις τὰ ἄπειρα· οὔτε γὰρ δυνατόν ἐστι νοεῖν τι τὸν μηδὲν νοοῦντα· πῶς δὲ δυνατόν ἐστι νοῆσαι ἄπειρα; εἰ δὲ ἐνδέχεται νοεῖν, ἐξ ἀνάγκης τεθείη ὄνομα τούτῳ τῷ πράγματι, ἓν ὡρισμένον μέντοι γε. ἔστω οὖν, κατ' ἀρχὰς ὥσπερ εἴρηται, δηλοῦν τι τὸ ὄνομα καὶ σημαίνειν ἕν, ἐπειδὴ διαλέγεσθαι βουλόμεθα.

p. 1006b13 Οὐ δὴ ἐνδέχεται τῷ ἀνθρώπῳ εἶναι.

Φησὶν ὅτι τῶν ἀδυνάτων ἐστὶ δηλοῦν τῷ ἀνθρώπῳ εἶναι τὸ μὴ ἀνθρώπῳ εἶναι, τουτέστιν οὐ συντρέχει ἡ κατάφασις τῇ ἀποφάσει, εἴπερ τὸ ἄνθρωπος ὄνομα μὴ μόνον δηλοῖ τὸ καθ' ἑνὸς ἀλλὰ καὶ ἕν. καὶ τὸ μὲν καθ' ἑνὸς πλειόνων ἐστὶ δηλωτικόν· λέγεται γὰρ καθ' ἑνὸς τοῦ Σωκράτους καὶ τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὸ μουσικόν· τὸ δὲ ἓν μίαν φύσιν

8 ἡ om. D 8. 9 ζῷον δίπου D 14 ἄνθρωπος delevi 20 legendum τῇ καταφάσει ἡ ἀπόφασις ἐπεὶ — ὡρισμένον (21) delevi

ὡρισμένην δηλοῖ τὴν τοῦ ἀνθρώπου καθὸ ἄνθρωπός ἐστι, μὴ συνεπινοῶν ἐν τῷ τέως τὰ συμβεβηκότα τῷ ἀνθρώπῳ. ἡμεῖς οὖν, φησίν, οὐ τοῦτο ἀξιοῦμεν, τὸ ἓν σημαίνειν τὸ καθ' ἑνός, ἐπεὶ οὕτως συνέβαινε τὸ μουσικὸν καὶ τὸ λευκὸν καὶ τὸ ἄνθρωπος ἓν δηλοῦν, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάρ-
5 γειαν· πολλὰ γὰρ ταῦτα ὑπάρχουσιν. ὥστε ἓν ἅπαντα ἔσται. ὅπερ ἐστὶν ἀδύνατον· συνώνυμα γὰρ ταῦτα ὑπάρχουσιν, ἀντὶ τοῦ ὁμώνυμα. οὐκ ἄρα f. 183r δυνατὸν τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, εἰ μήτι γε ὁμωνύμως, εἰ τύχοι· ὁ γὰρ ἡμῖν ἄνθρωπος καλούμενος παρὰ Ἰνδοῖς, εἰ τύχοι, καλείσθω μὴ ἄνθρωπος. καὶ ἐδόκει τότε συντρέχειν ἡ ἀντίφασις κατὰ τὴν φωνήν, οὐ
10 μέντοι γε κατὰ τὸ πρᾶγμα· ἀμφότερα γὰρ καταφάσεις ὑπάρχουσι. τὸ δὲ ἀπορούμενον οὐ τοῦτό ἐστιν, εἰ ἐνδέχεται ἅμα τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι ἄνθρωπον τὸ ὄνομα, ἀλλὰ τὸ πρᾶγμα. εἰ τοίνυν σημαίνει ἕτερον τὸ ἄνθρωπος καὶ τὸ μὴ ἄνθρωπος, φανερὸν ὅτι καὶ τὸ μὴ εἶναι ἀνθρώπῳ τοῦ εἶναι ἀνθρώπῳ ἕτερον σημαίνει· ὥστε οὐ συντρέ-
15 χουσιν ἀλλήλοις τὰ διάφορα νομιζόμενα. ὥστε, εἰ συντρέχει, ἔσται τὸ ἀνθρώπῳ εἶναι μὴ εἶναι ἀνθρώπῳ· ἓν γὰρ ἔσται. τοῦτο γὰρ σημαίνει τὸ εἶναι ἕν, ὡς λώπιον καὶ ἱμάτιον, καὶ μέρῳ βροτός. εἰ δὲ ἔστιν ἕν, δῆλον ὡς ὅτι καὶ ἓν σημαίνει τὸ εἶναι ἀνθρώπῳ καὶ μὴ εἶναι ἀνθρώπῳ, ὥσπερ τὸ λώπιον καὶ ἱμάτιον. ἀλλ' ἐδέδεικτο ὅτι ἕτερον
20 σημαίνει. εἴ γε ἡ μὲν ἀπόφασις ἄπειρα δηλοῖ, ἡ δὲ κατάφασις ὡρισμένον πρᾶγμα. πᾶσα οὖν ἐστιν ἀνάγκη, εἴ τί ἐστιν ἀληθὲς εἰπεῖν, ὅτι ἄνθρωπος, εἶναι αὐτὸ καὶ ζῷον δίπουν· τοῦτο γὰρ ἦν ὃ ὑπεθέμεθα σημαίνειν τὸν ἄνθρωπον. εἰ δὲ ἀνάγκη τοῦτό ἐστιν, οὐκ ἐνδέχεται καὶ ὅτε ἔστιν ἄνθρωπος καὶ ζῇ, μὴ εἶναι αὐτὸ ζῷον πεζὸν δίπουν. τοῦτο γὰρ σημαίνει
25 τὸ ἀνάγκη εἶναι. τὸ ἀδύνατον εἶναι μὴ εἶναι ἄνθρωπον, ὅταν ἔστιν ἄνθρωπος. ὥστε οὐ συντρέχει. ἐκ τῶν δεδειγμένων ἄρα οὐκ ἐνδέχεται ἅμα ἀληθὲς εἶναι εἰπεῖν τὸ αὐτὸ ἄνθρωπον εἶναι καὶ μὴ εἶναι ἄνθρωπον.

p. 1006ᵇ34 Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ μὴ εἶναι ἄνθρωπον.

Δείξας ὅτι οὐ συντρέχει τῇ καταφάσει ἡ ἀπόφασις, ἐντεῦθεν δείκνυσιν
30 ὅτι οὐδὲ τῇ ἀποφάσει ἡ κατάφασις. ἔστι δὲ ἡ αὐτὴ ἐπιχείρησις. διὰ τοῦτο οὖν λέγει ὅτι ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ μὴ εἶναι ἄνθρω- f. 183v πον, φημὶ δὴ ἐπὶ τῆς ἀποφάσεως. τὸ γὰρ ἀνθρώπῳ εἶναι καὶ τὸ μὴ εἶναι ἀνθρώπῳ ἕτερον σημαίνει, εἴπερ καὶ τὸ λευκὸν εἶναι καὶ τὸ ἄνθρωπον εἶναι ἐδείξαμεν ἕτερα ἀλλήλων· οὐ γὰρ ταὐτὸν λευκὸν καὶ
35 ἄνθρωπος, ἐπεὶ τὰ παρὰ τὸν ἄνθρωπον οὐκ ⟨ἂν⟩ ἦσαν λευκά. εἰ οὖν πλέον ἀντίκειται τὸ οὐκ ἄνθρωπος τῷ ἀνθρώπῳ ἤπερ τὸ λευκόν, ἕτερον δὲ τὸ λευκὸν τοῦ ἀνθρώπου, πολλῷ μᾶλλον ἕτερον ἔσται τὸ οὐκ ἄνθρωπος τοῦ ἀνθρώπου. εἰ δὲ ἔστιν, οὐδέποτε αὐτῷ συνυπάρχει· εἰ δὲ μὴ συνυπάρχει, οὐ συντρέχει ἡ ἀντίφασις. εἰ δέ τις εἴποι ὅτι τὸ λευκὸν τὸ αὐτὸ δηλοῖ τῷ ἀν-

---

4. 5 ἐνέργειαν D 20 ἄπειρα scripsi: ἕτερα libri 23 ὅτι D 25 ἀδύνατον A²: δυνατὸν A'D
35 ἂν addidi 36 τῷ ἀνθρώπῳ scripsi: τοῦ ἀνθρώπου libri ἤπερ scripsi: ἢπερ libri

θρώπῳ καὶ ἓν σημαίνει, φησί, τὸ λευκὸν καὶ τὸ ἄνθρωπος, πάλιν πρὸς τὸν τοιοῦτον τὸ αὐτὸ ἐροῦμεν, ὅπερ καὶ πρότερον ἐλέχθη, ὅτι ἓν πάντα ἐστὶ καὶ οὐ μόνον τὰ ἀντικείμενα, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν. εἰ δὲ μὴ ἐνδέχεται τοῦτο, συμβαίνει τὸ λεχθέν, ἂν ἀποκρίνηται τὸ ἐρωτώμενον, ὅτι ἓν δηλοῖ τὸ ὄνομα ὡρισμένον. εἰ δὲ ἓν δηλοῖ ὡρισμένον, ὁ εἰπὼν ἄνθρωπον ⟨ὅτι⟩ ἄνθρωπος καὶ ἐρωτηθεὶς οὐ λέξει καὶ λευκόν, ἐπεὶ οὐκέτι ἔσται ὡρισμένον. ἐὰν δὲ ὁ ἐρωτώμενος, ὡς ἔτυχε, προστίθησι καὶ τὰ ἀποφατικὰ λέγων ὅτι καὶ ἄνθρωπός ἐστι καὶ οὐκ ἄνθρωπος, καὶ λευκὸν καὶ οὐ λευκόν, πάλιν ὁ τοιοῦτος οὐκ ἀπεκρίνατο τὸ ἐρωτώμενον. ἡμεῖς γὰρ περὶ ἑνὸς αὐτὸν ἠρωτήσαμεν, φημὶ δὴ τοῦ ἀνθρώπου, αὐτὸς δὲ πλείονα ἀπόκρισιν πεποίηκεν· ὥστε οὐ πρὸς τὴν ἐρώτησιν ἡ ἀπόκρισις γέγονεν. οὐδὲν γὰρ κωλύει τὸ αὐτὸ καὶ ἄνθρωπον εἶναι καὶ λευκὸν καὶ ἄλλα μυρία τὸ πλῆθος, ἐπειδὴ καὶ ἄπειρα ὑπάρχουσι τὰ συμβεβηκότα· ἀλλ' ὅμως ἐρωτήσαντός τινος περὶ οὐσίας ἀληθές ἐστιν ἀποκρίνασθαι ὅτι ἄνθρωπος τοῦτο ἢ ὅτι οὔ. δεῖ οὖν ἀποκρίνασθαι τὸ ἓν σημαῖνον, ἐπεὶ καὶ περὶ ἑνὸς γέγονεν ἡ ἐπερώτησις, καὶ οὐ προσθετέον ὅτι καὶ λευκὸν καὶ μέγα. καὶ f. 184r
γὰρ ἀδύνατον προστιθέναι τὰ συμβεβηκότα, ἐπειδὴ ἄπειρα τῷ αὐτῷ ὑπάρχει, λευκὸν σιμόν, φαλακρὸν προγάστωρ, καὶ ἄλλα πλεῖστα. ἀδύνατον οὖν ἀπείρων ὄντων τῶν συμβεβηκότων ἅπαντα διελθεῖν. ἢ οὖν ἅπαντα δεῖ εἰπεῖν ἢ μηδέν, ἀλλὰ πρὸς τὴν ἐρώτησιν ποιήσασθαι καὶ τὴν ἀπόκρισιν. ὁμοίως τοίνυν εἰ καὶ μυριάκις ἐστὶ τὸ αὐτὸ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, οὐ δεῖ ἀποκρίνασθαι πρὸς τὸν ἐρωτήσαντα, εἰ ἔστιν ἄνθρωπος, ὅτι ἔστιν ἅμα καὶ οὐκ ἄνθρωπος, εἰ μὴ ἄρα μέλλοιμεν καὶ τὰ ἄλλα προσαποκρίνασθαι, ὅσα αὐτῷ συμβέβηκεν, ὅσα ἐστὶν ἢ μή ἐστιν. ὁ δὲ ταῦτα ποιῶν οὐ διαλέγεται· ἓν γὰρ ἐρωτηθεὶς περὶ ἀπείρων ἀπεκρίνατο, τὰ δὲ ἄπειρα ἄγνωστα· οὐκ ἄρα διαλέγεται. ἰστέον δὲ ὅτι οὐδὲ ἓν τῶν ἀντικειμένων συνυπάρχει ἀλλήλοις, οὔτε τὰ πρός τι οὔτε τὰ ἐναντία οὔτε ἕξις καὶ στέρησις, οὔτε πολλῷ μᾶλλον κατάφασις καὶ ἀπόφασις, τουτέστιν οὐκ ἐν ἀλλήλοις θεωροῦνται. οὐχ ὅπου γὰρ ἕξις, ἐκεῖσε καὶ ἡ στέρησις.

p. 1007a20 Ὅλως δὲ ἀναιροῦσιν ⟨οἱ⟩ τοῦτο λέγοντες οὐσίαν καὶ τὸ τί ἦν εἶναι.

Ἔτι ὁ λόγος αὐτῷ περὶ τῆς ἀντιφάσεως ὑπάρχει, καὶ ἀντιλέγει πρὸς τοὺς λέγοντας συναληθεύειν τὴν ἀντίφασιν. φησὶν οὖν ὅτι ἐπὶ μὲν τῶν συμβεβηκότων χώραν ἔχει τοῦτο τὸ λέγειν συναληθεύειν τὴν ἀντίφασιν, καὶ αὐτὴν οὐχ ἁπλῶς ἀλλὰ κατ' ἄλλον καὶ ἄλλον χρόνον. δυνατὸν γάρ ἐστι τὸ αὐτὸ εἶναι καὶ λευκὸν καὶ οὐ λευκόν, ἀλλ' ὡς εἴρηται κατ' ἄλλον καὶ ἄλλον χρόνον, ἐπὶ μέντοι γε τῶν οὐσιῶν ἀδύνατον τὸ τοιοῦτο ὑπάρ-

---

6 ὅτι addidi 7 ὁ om. D 8 καὶ ἄνθρωπος—οὐ λευκόν (9) duce Alexandro scripsi, cf. etiam v. 21: καὶ ἄνθρωπός ἐστι καὶ οὐ λευκὸν λευκὸν (alterum λευκὸν om. D) οὐκ ἄνθρωπος libri 13 τὸ ex Aristotele scripsi: καὶ libri 16 μέγα] μέλαν corr. D 24 αὐτῷ scripsi: αὐτῶν libri 30 οἱ addidi coll. p. 264,5. 9. 10

χειν· οὔτε γὰρ δυνατὸν τὸ αὐτὸ καὶ ἄνθρωπον εἶναι καὶ μὴ εἶναι ἄνθρωπον. εἰ γὰρ ὅλως δίδομεν ὅτι ἔστιν ἄνθρωπος ἢ ὅτι ἔστι ψυχή, ἀδύνατον μὴ εἶναι τὸ τοιοῦτο ἄνθρωπον, ἐπεὶ οὕτως ἀναιροῦμεν τὴν οὐσίαν τὴν τοῦ ἀνθρώπου, λέγοντες αὐτὴν μὴ εἶναι, καὶ τὴν ἐξ ἀρχῆς θέσιν ἡμῶν. ὥστε f. 184v
5 οἱ λέγοντες συναληθεύειν τὴν ἀντίφασιν ἐξ ἀνάγκης τὰς οὐσίας ἀναιροῦσι. τῶν δὲ οὐσιῶν ἀναιρουμένων ἀναιρεῖται καὶ ἡ γνῶσις καὶ ἡ ἐπιστήμη, καὶ οὕτως ἔσεται ἀοριστία ἐν τοῖς πράγμασι καὶ ἀκαταληψία, ὅπερ ἐστὶ παρὰ τὰ φαινόμενα.

p. 1007a20 Ὅλως δὲ ἀναιροῦσιν οἱ τοῦτο λέγοντες.

10 Οἱ τοῦτο ὑποτιθέμενοι καὶ λέγοντες συναληθεύειν τὴν ἀντίφασιν ἀναιροῦσι τὴν οὐσίαν καὶ τοὺς ὁρισμούς, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. πάντα γὰρ ἀνάγκη λέγειν αὐτοὺς συμβεβηκότα. ἐπειδὴ ὅλως ἐπὶ τῶν συμβεβηκότων χώραν ἔχει τὸ συναληθεύειν τὴν ἀντίφασιν, καὶ ἐν αὐτοῖς δὲ κατ' ἄλλον καὶ ἄλλον χρόνον, καὶ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ζῴῳ εἶναι
15 μὴ εἶναι, εἴ γε συντρέχει αὐτῷ ἡ ἀπόφασις αὐτοῦ ἀναιρετικὴ αὐτοῦ ὑπάρχουσα. εἰ γὰρ ὅλως ἐστὶν ἐν ὑποστάσει ἡ κατάφασις ἡ λέγουσα ἀνθρώπῳ εἶναι, τοῦτο οὐκ ἔσται μὴ ἀνθρώπῳ εἶναι, (ἵνα εἴπῃ τὴν ἀόριστον κατάφασιν), ἤγουν μὴ εἶναι ἀνθρώπῳ. τουτέστιν οὐ συντρέχει αὐτῷ ἡ ἀπόφασις αὐτοῦ· αὕται γὰρ ἀποφάσεις τούτου ὑπάρχουσιν * * * ἡ λέγουσα ὅτι οὐκ
20 ἔστιν ἄνθρωπος ἀπόφασίς ἐστι τῆς καταφάσεως τῆς λέγουσης 'ἔστιν ἄνθρωπος.' ἓν γάρ τι δηλοῖ καὶ μίαν οὐσίαν ἡ κατάφασις ἡ λέγουσα ὅτι ἔστιν ἄνθρωπος, καὶ ἔστι τοῦτο τινὸς οὐσία, ὥς φησιν, οἷον ἀνθρώπου ἢ ἵππου ἢ ἄλλου τινὸς τοιούτου. τὸ δὲ οὐσίαν σημαίνειν τοῦτο δηλοῖ, ὅτι οὐκ ἄλλο τί ἐστι παρὰ τὴν οὐσίαν, ἣν δηλοῖ. εἰ δὲ ὑποθώμεθα ταὐτὸν
25 εἶναι καὶ ταὐτὸν δηλοῦν τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ὅπερ μὴ ἀνθρώπῳ εἶναι ἢ ὅπερ ⟨μὴ⟩ εἶναι ἀνθρώπῳ, τότε οὐκέτι τὸ αὐτὸ δηλοῖ, ἀλλὰ ἄλλο. εἰ γὰρ ὡμολόγηται ὅτι ἡ κατάφασις ἡ λέγουσα 'ἄνθρωπός ἐστι' τὴν οὐσίαν μόνην τοῦ ἀνθρώπου δηλοῖ, συντρέχει δὲ ταύτῃ τῇ καταφάσει ἡ οἰκεία ἀπόφασις καὶ συναληθεύει αὐτῇ, ἡ λέγουσα 'ἄνθρωπος οὐκ ἔστιν', f. 185r
30 οὐκέτι ἡ κατάφασις ἓν πρᾶγμα δηλοῖ, ἀλλὰ καὶ ἄλλα πλείονα. τὸ γὰρ οὐκ ἄνθρωπος δηλοῖ καὶ τριήρη καὶ κύνα, ὥστε ἔσται ὁ ἄνθρωπος καὶ τριήρης καὶ κύων, καὶ ἄλλα πλεῖστα, καὶ διὰ τοῦτο οὐχ ἓν πρᾶγμα δηλοῖ. κἂν μὴ βούλωνται ἄρα ἀναγκάζονται λέγειν ὅτι οὐδὲ μιᾶς οὐσίας ἐστὶν ὁρισμός, ἀλλὰ πάντα κατὰ συμβεβηκός. τούτῳ γὰρ διώρισται οὐσία καὶ
35 τὸ συμβεβηκός, ὅτι ἡ μὲν οὐσία αὐθυπόστατόν ἐστι πρᾶγμα, τὸ δὲ συμβεβηκὸς ἐν ἑτέρῳ θεωρεῖται. διό φησι τὸ γὰρ λευκὸν τῷ ἀνθρώπῳ συμβέβηκεν, ὅτι ἔστι μὲν λευκὸς ὁ ἄνθρωπος, ἀλλ' οὐχ ὅπερ λευκόν, τουτέστιν οὐκ οὐσίωται ἐν τῷ λευκῷ.

---

17 μὴ ἀνθρώπῳ om. D 19 lacunam indicavi; res videtur tale quid postulare ἥ τε γὰρ λέγουσα ὅτι οὐκ ἄνθρωπός ἐστιν, κυρίως κατάφασις ἀόριστος οὖσα καὶ ἡ λέγουσα κτλ.
26 μὴ ex Aristotele addidi 33 κἂν scripsi: ἐὰν libri 37 λευκὸν ὁ D

p. 1007a33 Εἰ δὲ πάντα κατὰ συμβεβηκὸς λέγεται.

Εἰ συντρέχει ἡ κατάφασις τῇ ἀποφάσει, ἀναιρεθήσονται οὐσίαι, ὡς ἐδείξαμεν, καὶ μόνα ἔσονται τὰ συμβεβηκότα. εἰ δὲ πάντα κατὰ συμβεβηκὸς λέγεται, οὐδέν ἐστι πρῶτον καθόλου. τί δέ ἐστι καθόλου, εἴρηται ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ, ὅτι τὸ κατὰ παντὸς καὶ καθ' αὑτὸ καὶ ᾗ αὐτό, ὡς ἐπὶ τοῦ τριγώνου ἐλέγομεν ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι ὑπάρχουσι· τοῦτο γάρ ἐστι καὶ κατὰ παντὸς τριγώνου καὶ καθ' αὑτὸ καὶ ᾗ αὐτό. εἰ οὖν ἀναιροῦνται οὐσίαι, ἀναιρεθήσεται καὶ τὸ καθόλου· τῶν γὰρ οὐσιῶν ἐστι τὸ καθόλου. οὔτε γὰρ τὰ συμβεβηκότα κατὰ παντὸς ὑπάρχουσι καὶ καθ' αὑτὸ καὶ ᾗ αὐτό, ἀλλὰ αἱ οὐσίαι ἄμεσοι προτάσεις· τῶν δὲ ἀμέσων προτάσεων ἀναιρουμένων ἐπ' ἄπειρον ἔσονται αἱ κατηγορίαι, καὶ οὕτως ἢ οὐδενὸς ἔσται ἀπόδειξις, ὡς εἴρηται ἐν ἐκείνοις, ἢ πάντα ἔσονται ἀποδεικτά, ταὐτὸν δὲ εἰπεῖν πάλιν ὅτι οὐδὲν ἔσται ἀποδεικτόν. εἰ οὖν πάντα κατὰ συμβεβηκὸς λέγεται, οὐδὲν ἔσται πρῶτον τὸ καθόλου. εἰ δὲ ἀεὶ τὸ συμβεβηκὸς καθ' ὑποκειμένου τινὸς σημαίνει τὴν κατηγορίαν, ἀνάγκη εἰς ἄπειρον ἰέναι, ἐπειδὴ οὐ θεωρεῖται ἄμεσος πρότασις ἐπὶ τῶν συμβεβηκότων. ἀλλὰ ἀδύνατόν ἐστιν f. 185v ἀπείρους εἶναι τὰς προτάσεις· οὐδὲ γὰρ πλείω συμπλέκεται δυοῖν. καὶ ὁ μὲν Ἀλέξανδρος τὸ οὐδὲ γὰρ πλείω συμπλέκεται δυοῖν ὑπολαμβάνει τοῦτο λέγειν τὸν Ἀριστοτέλην, ⟨ὅτι⟩ οὐδέποτε πλείονα τῶν δύο συμβεβηκότων ἅμα κατηγοροῦνται· οἷόν φαμεν ὅτι ὁ Ἱπποκράτης ἄριστος ἰατρός ἐστι, καὶ μόνα δύο συμβεβηκότα κατηγορήσαμεν τοῦ ὑποκειμένου, καὶ πλείονα ἀδύνατον. ὥστε, φησίν, οὐ δυνατὸν εἶναι ἀπείρους τὰς κατηγορίας· εἰ δὲ μὴ ὑπάρχουσιν ἄπειροι * * * συμβεβηκότα ἀλλὰ καὶ οὐσίαι· εἰ δὲ οὐσίαι ὑπάρχουσιν, εἰσὶ καὶ ὡρισμένα πράγματα καὶ οὐ συναληθεύει ἡ ἀντίφασις. ὁ μέντοι γε ἡμέτερος φιλόσοφος Ἀμμώνιός φησιν ὅτι οὐ καλῶς λέγει ὁ Ἀλέξανδρος ἐξηγούμενος τὸ οὐδὲ γὰρ πλείω συμπλέκεται δυοῖν τοῦτο λέγειν τὸν Ἀριστοτέλην ὅτι ἀδύνατον πλείονα τῶν δύο συμβεβηκότων κατηγορεῖσθαι τοῦ ὑποκειμένου· δυνατὸν γάρ ἐστι πλείονα τῶν δύο συμβεβηκότων κατηγορεῖσθαι τοῦ ὑποκειμένου, οἷον ἐὰν εἴπω οὕτως ὁ Ἱπποκράτης ἰατρὸς χειρουργὸς ἄριστός ἐστιν, ἤγουν ἰατρὸς διαιτητικὸς ἄριστός ἐστιν, ἤγουν κλινικὸς καὶ ἄλλα μυρία. ἄλλως τε δὴ ἡνίκα τὸ μέν ἐστι γένος τὸ δὲ εἶδος, τὸ ἓν κατηγορεῖται, οἷον ἐὰν εἴπω ὅτι ὁ Ἱπποκράτης ἰατρὸς ἄριστός ἐστιν (ἔστι γὰρ τὸ μὲν ἰατρὸς γένος, τὸ δὲ ἄριστος εἶδος, ὥστε ὡς ἕν τι κατηγορεῖται), πάλιν ἐὰν εἴπω ζῷον δίπουν· περιέχει γὰρ ἐν ἑαυτῷ τὸ ζῷον

5 ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ] Anal. post. A 4 p. 73b26 7 ὑπάρχουσαι D 12. 13 ἐν ἐκείνοις] Anal. post. A 2. 3 19 Ἀλέξανδρος] p. 245,2 sqq. Bz. 20 ὅτι addidi 22 κατηγοροῦμεν D 23. 24 ἀπείρους libri 24 duce Alexandro haec ita fere restituenda sunt εἰ δὲ μὴ ὑπάρχουσιν ἄπειροι, δεῖ δὲ ἐπ' ἄπειρον γίγνεσθαι τὰς κατηγορίας, εἰ μόναι εἶεν αἱ κατὰ τὸ συμβεβηκός, οὐ μόνον εἰσὶ συμβεβηκότα ἀλλὰ κτλ.; cf. Alex. p. 245,31 sqq. 27 τὸ scripsi: τε libri δυσὶ libri 34 ὡς om. D

τὸ δίπουν ἤγουν τὸ λογικόν. ἐὰν δὲ χρήσηταί τις αὐτοσυμβεβηκόσι καὶ μή ἐστι τὸ μὲν γένος τὸ δὲ εἶδος, ὥς φησιν αὐτὸς ἐν τῷ Περὶ ἑρμηνείας, τὸ τοιοῦτον οὐκ ἔστι μία πρότασις, οὐδὲ δυνατόν ἐστι πρὸς τὴν τοιαύτην ἐρώτησιν διὰ μιᾶς ἀποκρίσεως τὸν λόγον ποιήσασθαι, ἀλλὰ διὰ πλειόνων. τὸ οὐδὲ γὰρ πλείω συμπλέκεται δυοῖν φησιν ἀντὶ τοῦ ἀδύνατον ἐν τῇ προτάσει πλείονα εἶναι τῶν δύο ὅρων, ὑποκειμένου καὶ κατηγορου- f. 186r
μένου· διό φησιν 'ὅρον δὲ καλῶ εἰς ὃν ἡ πρότασις ἀναλύεται'.

p. 1007b2 Τὸ γὰρ συμβεβηκὸς οὐ συμβεβηκότι συμβεβηκός.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι τὸ συμβεβηκὸς οὐ συμβεβηκότι συμβεβηκός, εἰ μὴ ἄρα ὅτι ἀμφότερα ἐν ὑποκειμένῳ συμβεβήκασιν. οἷον τὸ λευκὸν μουσικὸν καὶ τοῦτο λευκόν, ὅτι ἀμφότερα τῷ ἀνθρώπῳ συμβεβήκασι, καὶ τὸ λευκὸν καὶ τὸ μουσικόν. ἀλλ' οὐ διὰ τοῦτο καὶ ὁ μουσικὸς Σωκράτης ἑτέρῳ τινὶ συμβέβηκεν, ἐπειδὴ ταῦτα οὕτω συμβεβήκασι, τὸ λευκὸν καὶ τὸ μουσικόν· ταῦτα μὲν γὰρ ὡς ὑπάρχοντα συμβεβηκότα συμβεβήκασιν, ὁ δὲ Σωκράτης οὐσία ὑπάρχων οὐ συμβέβηκεν ἑτέρῳ τινί.

p. 1007b6 Ἐπεὶ τοίνυν τὰ μὲν οὕτως τὰ δὲ ἐκείνως λέγεται.

Ἐπειδὴ τῶν συμβεβηκότων τὰ μὲν λέγονται συμβεβηκότα ὡς ἀλλήλοις ἐπισυμβαίνοντα καὶ θεωρούμενα ἅμα ἀεὶ τῇ οὐσίᾳ, ὡς τὸ λευκὸν καὶ μουσικόν (καὶ καλεῖ παρὰ φύσιν τὴν τοιαύτην κατηγορίαν ὁ Ἀριστοτέλης ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ), τὰ δὲ πάλιν λέγονται κατὰ φύσιν συμβεβηκότα ὡς τὸ λευκὸν κατὰ τοῦ Σωκράτους, ὅσα οὖν, φησίν, οὕτως λέγεται ὡς τὸ λευκὸν τῷ Σωκράτει, οὐκ ἐνδέχεται εἰς ἄπειρον ἰέναι, ὡς τῷ ἀνθρώπῳ τῷ λευκῷ οἷον τῷ Σωκράτει οὐχ ὑπάρχει ἕτερόν τι συμβεβηκός· οὐ γὰρ γίνεταί τι ἓν ἐξ ἁπάντων. ὡς γὰρ εἴρηται ἐν τῷ Περὶ ἑρμηνείας, οὐκέτι ἐστὶν ἡ τοιαύτη πρότασις μία. εἰ δὲ μή ἐστι μία πρότασις ἀλλὰ πολλαί, ἄδηλον ποῖόν ἐστι τὸ ἀποδεικνύμενον. ὥστε ἀνάγκη εἰς ἄμεσον πρότασιν ἐλθεῖν. εἰ δὲ τοῦτο, καὶ οὐσίαι ὑπάρχουσιν· εἰ δὲ οὐσίαι, οὐδέποτε συναληθεύσει ἡ ἀντίφασις. οὔτε δὲ πάλιν τῷ λευκῷ δυνατὸν ἕτερόν τι ὑπάρξαι συμβεβηκός, οἷον τὸ μουσικόν· οὐδὲν γὰρ μᾶλλον ἐκεῖνο τούτου ἤγουν τοῦτο ἐκείνου κατηγορεῖται. διωρισάμεθα περὶ τούτου, ὅτι τὰ μὲν οὕτως συμβέβηκεν ὡς τὸ λευκὸν μουσικόν, τὰ δὲ ὡς τὸ μουσικὸν τῷ Σωκράτει· ὅσα δὲ οὕτως συμβέβηκεν ὡς τὸ μουσικὸν τῷ Σωκράτει, οὐ συμβεβηκότι συμβέβηκε συμβεβηκός, οὐσίᾳ δέ, ἀλλ' ὅσα ἐκείνως, τουτέστιν f. 186v

---

2 ἐστι scripsi: ἐπὶ libri 2 et 24 ἐν τῷ Περὶ ἑρμηνείας] c. 11 p. 20b18 sqq. 7 φησὶν] Anal. pr. A 1 p. 24b16 13 οὕτω scripsi: ὦ libri 19. 20 ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ] fort. respicit ad Anal. post. A 22 p. 83a9 sqq., quamquam verba ipsa illic non leguntur 22 εἰς ἄπειρον — οὐχ ὑπάρχει (23)] ἄπειρα εἶναι ἐπὶ τὸ ἄνω, οἷον τῷ Σωκράτει τῷ λευκῷ Aristoteles ὡς τῷ scripsi: ὡς τὸ libri 32 ὅσα — Σωκράτει om. D

ὡς τὸ λευκὸν καὶ τὸ μουσικόν. ὥστε ἀπέδειξεν ὁ λόγος ὡς ὅτι οὐ πάντα κατὰ συμβεβηκὸς λεχθήσεται, ὥσπερ τὸ λευκὸν τὸ ἐν τῷ Σωκράτει. ἔσται ἄρα τι καὶ ὡς οὐσίαις σημαῖνον, τουτέστιν ἔστι καὶ οὐσία, εἴ γε πάντα τὰ συμβεβηκότα οὐ κατ' ἀλλήλων κατηγοροῦνται, ἀλλὰ καὶ κατὰ τῆς οὐσίας. ἔστιν οὖν οὐσία. εἰ δὲ ἔστιν οὐσία, ἀδύνατον συναληθεύειν τὴν ἀντίφασιν· τὸ γὰρ τοιοῦτον ἀναιρεῖ τὴν οὐσίαν, ὡς ὁ λόγος φθάσας ἔδειξεν· εἰ δὲ τοῦτο ἀδύνατον, οὐ συναληθεύσει ἡ ἀντίφασις.

p. 1007b18 Ἔτι εἰ ἀληθεῖς αἱ ἀντιφάσεις ἅμα κατὰ τοῦ αὐτοῦ.

Πάνυ δριμυτάτην ἐπιχείρησιν τίθησι καὶ γέμουσαν ἀγχινοίας, δεικνὺς ὅτι ἀδύνατόν ἐστι συναληθεύειν τὴν ἀντίφασιν. εἰ γάρ, φησίν, ὑποθώμεθα αὐτὴν συναληθεύειν, πάντα ἓν ἔσονται· οἷον ἐπειδὴ γὰρ τῇ καταφάσει τῇ λεγούσῃ 'ἄνθρωπός ἐστι' συναληθεύει ἡ ἀπόφασις ἡ λέγουσα 'ἄνθρωπος οὐκ ἔστι', τὸ δὲ 'ἄνθρωπος οὐκ ἔστι' δηλοῖ καὶ ὅτι τριήρης ἐστί (τὸ γὰρ οὐκ ἄνθρωπος καὶ τριήρης ἐστί) καὶ θάλασσά ἐστι καὶ ἵππος ἐστὶ καὶ πάντα ἁπλῶς τὰ παρὰ τὸν ἄνθρωπον, εἰ τοίνυν συναληθεύει ἡ ἀπόφασις ἡ λέγουσα 'ἄνθρωπος οὐκ ἔστι' τῇ καταφάσει τῇ λεγούσῃ 'ἄνθρωπός ἐστι', δῆλον ὡς ὅτι ἔσται ἄνθρωπος καὶ τριήρης καὶ θάλασσα καὶ ἵππος, ὅπερ εἰρήκαμεν πάντα ἓν ἔσται. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι εἰ ἀληθεῖς ὑπάρχουσιν αἱ ἀντιφάσεις ἅμα κατὰ τοῦ αὐτοῦ πᾶσαι, φανερὸν ὡς πάντα ἓν ἔσται· τὸ γὰρ αὐτὸ ἔσται καὶ τριήρης καὶ τοῖχος καὶ ἄνθρωπος καὶ ἄγγελος καὶ θεός, ὡς ἐδείξαμεν.

p. 1007b21 Εἰ κατὰ παντός τι καταφῆσαι ἢ ἀποφῆσαι ἐνδέχεται.

Καθάπερ ἀνάγκη τοῖς τὸν Πρωταγόρου λέγουσι λόγον. ἔλεγε γὰρ ἐκεῖνος ὅτι τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ ἔστιν ἀληθές· εἰ οὖν δοκεῖ τινι εἶναι τριήρης ὁ ἄνθρωπος, ἔστι τριήρης, ὡς ἔδειξεν, εἰ δὲ ἵππος, ἔσται ἵππος· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ὥστε καὶ ἔστι τριήρης f. 187r καὶ οὐκ ἔστιν, εἴπερ ἡ ἀντίφασις † καὶ ἡ ἀληθὴς ὑπάρχει. ἐπειδὴ θάλασσά ἐστιν, οὐκ ἔστι τριήρης· πάλιν δ' ἐπειδὴ οὐκ ἔστιν ἄνθρωπος, ἡ δὲ τριήρης οὐκ ἔστιν ἄνθρωπος, ἔστιν ὁ ἄνθρωπος τριήρης, καὶ εἰσάγεται Ἀναξαγόρειος δόξα λέγουσα 'ὁμοῦ πάντα χρήματα' καὶ ἐνεργείᾳ, εἴ γε πάντα ἓν δείκνυται. ὥστε μηδὲν ἀληθὲς ὑπάρχειν, εἴ γε πάντα ἐστὶ τὸ αὐτό, ὡς εἴρηται· δύναται γὰρ τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι. ἐοίκασιν οὖν, καθάπερ καὶ ὁ Ἀναξαγόρας ἔπασχε, τὴν ὕλην περιφανταζόμενοι ταῦτα λέγειν, ἐπειδὴ ἡ ὕλη πάντων ἐστὶ δεκτική, καὶ ἄνθρωπος καὶ ἵππος καὶ τὰ ἄλλα πάντα. ἀλλ' ἡ μὲν ὕλη ἐνεργείᾳ μέν ἐστιν, εἰ τύχοι, ἄνθρωπος, δυνάμει δὲ τὰ ἄλλα πάντα· οὐ γὰρ κατὰ ταὐτὸν ἔχει τὰ ἐναντία, ἀλλὰ ἐνεργείᾳ καὶ δυνάμει. τὸ ἀόριστον οὖν, φησίν, ἐοίκασι περιφαντάζεισθαι,

1 οὐ ex εἰ corr. A² 16 ἀντίφασις libri 22 Εἰ ex Aristotele scripsi: ἢ libri 27 καὶ ἡ] post ἡ lacuna V litterarum A: fort. legendum κατ' ἐκεῖνον ἀληθὴς fort. ἔτι ἐπειδὴ

τουτέστι τὴν ὕλην, καὶ οἰόμενοι τὸ ὂν λέγειν περὶ τοῦ μὴ ὄντος λέγουσι. τουτέστι περὶ τῆς ὕλης. τὸ γὰρ δυνάμει ὑπάρχον πάντα καὶ μὴ ἐνεργείᾳ τὸ ἀόριστόν ἐστι, τουτέστιν ἡ ὕλη.

p. 1007b29 Ἀλλὰ μὴν λεκτέον αὐτοῖς..

Ὁ λέγει τοῦτό ἐστιν, ὅτι εἰ ἐπὶ παντὸς πράγματος συντρέχει ἡ κατάφασις τῇ οἰκείᾳ ἀποφάσει ἡ μάλιστα μαχομένη, πολλῷ μᾶλλον συνδραμοῦνται καὶ αἱ ἄλλαι ἀποφάσεις αἱ μὴ μαχόμεναι· ἄτοπον γὰρ τὸ ὑποτίθεσθαι τὴν ἑκάστου μὲν ἀπόφασιν συντρέχειν, τὴν δὲ ἀλλοτρίαν μὴ συντρέχειν. εἰ οὖν ἀληθὲς εἰπεῖν τὸν ἄνθρωπον ὅτι οὐκ ἄνθρωπος, δῆλον ὅτι καὶ οὐ τριήρης. εἰ μὲν οὖν ἡ κατάφασις ὑπάρχει, ἀνάγκη καὶ τὴν ἀπόφασιν ὑπάρχειν· εἰ δὲ μὴ ὑπάρχει ἡ κατάφασις ἡ τῆς τριήρους, ἥ γε ἀπόφασις ἡ οὐ τριήρης ὑπάρξει μᾶλλον τῇ καταφάσει τῇ λεγούσῃ 'ἄνθρωπός ἐστιν' ⟨ἢ⟩ ἡ οἰκεία ἀπόφασις ἡ λέγουσα 'ἄνθρωπος οὐκ ἔστιν', ἐπειδὴ μᾶλλον μάχεται. εἰ οὖν κἀκείνη ὑπάρχει ἡ πρότασις ἡ λέγουσα f. 187v 'ἄνθρωπος οὐκ ἔστι' καὶ συντρέχει τῇ οἰκείᾳ καταφάσει, ὑπάρξει καὶ συνδραμεῖται αὐτῇ καὶ ἡ ἀπόφασις τῆς τριήρους ἡ οὐ τριήρης· εἰ δὲ αὕτη, καὶ ἡ κατάφασις αὐτῆς ὑπάρξει ἡ λέγουσα τριήρης· ὥστε ὁ ἄνθρωπος ἔσται καὶ οὐκ ἄνθρωπος καὶ τριήρης καὶ οὐ τριήρης. ταῦτα οὖν τὰ ἄτοπα ἕπονται τοῖς λέγουσι συντρέχειν τὴν ἀντίφασιν.

p. 1008a3 Καὶ ὅτι οὐκ ἀνάγκη ἢ φάναι ἢ ἀποφάναι.

Πάλιν ἄλλο ἐπιχείρημα τίθησι δεικνὺς ὅτι οὐ δυνατόν ἐστι συναληθεύειν τὴν ἀντίφασιν. ἔστι γὰρ ὡρισμένη ἀντίφασις ἡ λέγουσα 'ἄνθρωπός ἐστι' καὶ 'ἄνθρωπος οὐκ ἔστι', καὶ πάλιν ἀόριστος ἡ λέγουσα 'οὐκ ἄνθρωπός ἐστιν. οὐκ ἄνθρωπος οὐκ ἔστιν'. εἰ τοίνυν συντρέχει ἡ κατάφασις ἡ λέγουσα 'ἄνθρωπός ἐστι' τῇ οἰκείᾳ ἀποφάσει τῇ λεγούσῃ 'ἄνθρωπος οὐκ ἔστιν', ἐπειδὴ τὸ 'οὐκ ἄνθρωπός ἐστι' δηλοῖ πάντα τὰ παρὰ τὸν ἄνθρωπον, δῆλον ὡς ὅτι δηλοῖ καὶ τὸ 'οὐκ ἄνθρωπος οὐκ ἔστιν'. ὥστε πάλιν τὸ 'ἄνθρωπός ἐστι' συνδραμεῖται τῷ 'οὐκ ἄνθρωπος οὐκ ἔστιν' ἀντὶ τοῦ 'ἄνθρωπός ἐστιν'. ὥστε τὸ 'ἄνθρωπός ἐστι' καὶ 'ἄνθρωπος οὐκ ἔστι' καὶ 'οὐκ ἄνθρωπός ἐστιν', ⟨καὶ 'οὐκ ἄνθρωπος οὐκ ἔστιν'⟩, ὅπερ ἐστὶν ἀδύνατον. διό φησι τοῖν γὰρ δυοῖν καταφάσεων δύο ἀποφάσεις ὑπάρχουσιν· εἰ δὲ μία ἐξ ἀμφοτέρων γίνεται ἡ ὡρισμένη ὡς συντρεχουσῶν, δῆλον ὡς ὅτι καὶ ἡ ἀντικειμένη, τουτέστιν ἀόριστος, μία ἔσται πάλιν ὡς καὶ αὐτὴ συντρέχουσα.

p. 1008a7 Ἔτι ἤτοι ἅπαντα οὕτως ἔχει.

Πάλιν ἄλλο ἐπιχείρημά φησιν ὅτι ἢ καθόλου περὶ πάντων τῶν ὄντων συντρέχουσιν αἱ ἀποφάσεις ταῖς καταφάσεσι, καὶ οὕτως ἔσται πάντα ἓν,

13 ἢ addidi 26 fort. τὸ ἄνθρ. οὐκ ἔστι 27 οὐκ (ante ἔστιν) fort. delendum 28 post τοῦ fort. addendum οὐκ 29 οὐκ (ante ἔστι) add. A 2 30 καὶ—οὐκ ἔστιν addidi

ὡς ἀνωτέρω ὁ λόγος ἀπέδειξεν, ἢ ἐπί τινων μὲν συντρέχουσιν, ἐπί τινων δὲ οὐ συντρέχουσι· καὶ ἐν τούτῳ ἔσται τι ὡρισμένον καὶ οὐκέτι ἔσται παντελῶς ἀοριστία ἐν τοῖς πράγμασιν, ὥς φασιν. τοῦτο οὖν φησιν ἤτοι περὶ πάντα μηδὲν * * * ἔχει καὶ ἔστι τὸ αὐτὸ ἐπὶ πάντων καὶ λευκὸν καὶ οὐ λευκὸν καὶ ὂν καὶ οὐκ ὄν, καὶ περὶ τὰς ἄλλας καταφάσεις καὶ ἀποφάσεις ὁμοτρόπως, τουτέστι συντρέχουσιν ἀλλήλαις, ἢ οὐ πᾶσαι f. 188r συντρέχουσιν, ἀλλὰ περὶ μέν τινας γίνεται συνδρομή, περὶ δέ τινας οὐ γίνεται συνδρομή. καὶ εἰ μὲν οὐ περὶ πάσας γίνεται, αὗται ὡρισμέναι ὑπάρχουσιν, ἐφ' ὧν αἱ καταφάσεις οὐ συντρέχουσι ταῖς ἀποφάσεσιν· εἰ δὲ περὶ πάσας τὰς ἀντιφάσεις γίνεται ἡ συνδρομὴ καὶ πᾶσαι συναληθεύουσι. πάλιν ἤτοι καθ' ὧν φέρονται αἱ καταφάσεις, κατὰ τούτων φέρονται καὶ αἱ ἀποφάσεις, ἢ καθ' ὅσων μὲν φέρονται αἱ καταφάσεις, πάντως φέρονται καὶ αἱ ἀποφάσεις, καθ' ὅσων δὲ φέρονται αἱ ἀποφάσεις, οὐ φέρονται αἱ καταφάσεις. εἰ δὲ τοῦτο ὑποθώμεθα, ἔσεται πάγιον * * μένον τὸ οὐκ ὄν, τουτέστιν ἡ ἀπόφασις, ἐπειδὴ μὴ συνέδραμεν αὐτῇ ἡ κατάφασις, καὶ ἔσται τὸ οὐ λευκόν, εἰ τύχοι, ὡρισμένον, καὶ αὕτη ἔσται βεβαία δόξα ὅτι οὐ λευκόν. εἰ τοίνυν τὸ μὴ εἶναι γνώριμον ὑπάρχει καὶ βέβαιον τὸ ἀόριστον, πολλῷ μᾶλλον γνωριμωτέρα ὑπάρχει ἡ κατάφασις τὸ 'λευκόν ἐστιν', ὡρισμένον ὑπάρχον· ὡς οὐ συνδραμεῖται ἄρα ἡ κατάφασις τῇ ἀποφάσει. διό φησι γνωριμωτέρα γάρ ἐστιν ἡ κατάφασις τῆς ἀποφάσεως.

p. 1008a18 Εἰ δὲ ὁμοίως καὶ ὅσα ἀποφῆσαι φάναι ἀνάγκη.

Πάλιν ἄλλο ἐπιχείρημα τοῦ αὐτοῦ κατασκευαστικόν. φησὶ δὲ τοῦτο ὅτι εἰ ὁμοίως ἐπὶ πάντων συντρέχει ἡ ἀπόφασις τῇ καταφάσει, ἤτοι ἀληθές ἐστι διαιροῦντα λέγειν ὅτι τόδε λευκόν ἐστι καὶ πάλιν ὅτι οὐ λευκόν. ἢ ἅμα λέγειν ὅτι τὸ αὐτὸ λευκὸν καὶ οὐ λευκόν. καὶ εἰ μὲν μὴ εἴη ἀληθὲς διαιροῦντα λέγειν, ἀλλὰ ἅμα λέγειν ὅτι λευκὸν καὶ οὐ λευκόν, ὁ τοιοῦτος οὐδὲν λέγει. καθὸ μὲν γὰρ λέγει ὅτι λευκόν ἐστιν, οὐκ ἔστι λευκόν· καθὸ δὲ πάλιν φησὶν ὅτι οὐκ ἔστι λευκόν, οὐ λέγει τὸ ἔστι λευκόν· ἀναιρεῖ γὰρ αὐτὸ διὰ τῆς ἀποφάσεως. ὥστε οὔτε λέγει τι οὔτε δὲ ἔστι· καθὸ f. 188s μὲν γάρ φησι τὸ λευκὸν οὐ λευκόν, ἀναιρεῖ αὐτὸ καὶ τὴν θέσιν τὴν οἰκείαν ἀνατρέπει ὁ τοιοῦτος. ὥστε οὔτε ἔστι τι οὔτε δὲ λέγει τι. τὰ δὲ μὴ ὄντα πῶς ἄν τις φθέγξαιτο ἢ βαδίσαι; ὥστε ὁ τοιοῦτος οὐ διαλέγεται ἀλλὰ ἄφωνός ἐστιν, οὔτε δὲ βαδίζει· πάντα γὰρ ἀναιρεῖ. καὶ πάντα ἔσονται καὶ ἓν καὶ οὐδέν, ὥσπερ πρότερον εἴρηται. εἰ γὰρ ὁ ἄνθρωπος οὐκ ἄνθρωπός ἐστι, τῷ ὄντι οὐκ ἔστιν ἄνθρωπος· εἰ δὲ πάλιν οὐκ ἄνθρωπος ἄνθρωπός

3 οὖν scripsi: ὅτι libri 4 μηδὲν] lacunam indicavi: legendum tale aliquid μηδὲν μᾶλλον ἡ κατάφασις ἢ ἡ ἀπόφασις τὸ ἀληθὲς ἔχει, cf. Alex. p. 250,8 Bz. 8 γίνεται scripsi: γίνονται libri 12 et 13 καθ' ὅσον D 14 post πάγιον lacuna VII fere litterarum AD: fort. ἔσται πάγιον καὶ ὡρισμένον 16 δόξα ὅτι scripsi cf. Metaph. p. 1008a16: δὲ (lacuna V litterarum) τὸ A: eadem sine lacuna D 27 οὐδὲ D 28 καθὸ δὲ — οὐκ ἔστι λευκόν om. D 29 ὥστε οὕτω D 32 βαδίσαι scripsi: βαδίσῃ libri

ἐστιν, οὐδὲν ἔσται· πάντα γὰρ δηλοῖ τὰ παρὰ τὸν ἄνθρωπον· καὶ ἔσται τὸ αὐτό, φησί, καὶ ἄνθρωπος καὶ τριήρης καὶ θεός. εἰ δὲ ὁμοίως τὸ τοιοῦτο ἔσται ἐπὶ ἑκάστου, οὐδὲν διοίσει ἕτερον ἑτέρου. εἰ γὰρ διοίσει, τοῦτο ἔσται ἀληθὲς καὶ ὡρισμένον, καὶ οὐ συνδραμεῖται ἡ ἀντίφασις. ὁμοίως δὲ καὶ εἰ διαιροῦντα ἐνδέχεται ἀληθεύειν λέγοντά τι λευκὸν καὶ πάλιν οὐ λευκόν, καὶ συντρέχουσι ταῦτα, ἕψονται τὰ προειρημένα ἄτοπα.

p. 1008a28 Πρὸς δὲ τούτοις ὅτι πάντες ἂν ἀληθεύοιεν.

Πάλιν περὶ τοῦ αὐτοῦ ἐπιχειρήματος· καί φησιν ὅτι κατὰ τοῦτον οὖν τὸν λόγον καὶ πάντες ἀληθεύσουσι καὶ ψεύσονται. καθὸ μὲν γὰρ λέγουσι τὸν ἄνθρωπον εἶναι ἄνθρωπον, ἀληθεύουσι· καθὸ δὲ πάλιν φασὶν ὅτι ὁ ἄνθρωπος καὶ οὐκ ἄνθρωπός ἐστι, ψεύδονται. καὶ αὐτὸς αὑτὸν ὁμολογεῖ ψεύδεσθαι λέγων συντρέχειν τὴν ἀντίφασιν. οὕτως γὰρ ἐστιν ἀκαταληψία ἐν τοῖς οὖσι, καὶ οὐ δύναται ὁ τοιοῦτος διαλέγεσθαι· λέγων οὖν συντρέχειν τὴν ἀντίφασιν ὡς περὶ ὡρισμένου πράγματος διαλέγεται, ἀλλὰ αὐτὸς ἀόριστα εἰσάγει πρεσβεύων τὰ τοιαῦτα· ὥστε αὐτὸς αὑτὸν ὁμολογεῖ ψεύδεσθαι. καὶ οὐδὲν περὶ οὐδενός ἐστι πρὸς τὸν τοιοῦτον σκέψις· ὁ γὰρ λέγει οὔτε οὕτως οὔτε οὐχ οὕτως, τουτέστιν οὔτε ⟨λευκὸν⟩ οὔτε οὐ λευκόν· συναληθεύοντα γὰρ ἀναιρετικά εἰσιν, ὥστε οὐδὲν διαλέγεται, οὔτε περὶ πράγματος ποιεῖται τὴν σκέψιν πάντα ἀναιρῶν, καὶ τὴν οἰκείαν θέσιν. οὐδὲν f. 189r
οὖν πρὸς τούτων διαλέγεσθαι, ὥσπερ ἐπὶ τοῦ Πρωταγόρου. ἔλεγε γὰρ 'πᾶς ὁ λέγων περὶ παντός τινος πράγματος ἀληθῶς λέγει'. ἡμεῖς δὲ λέγομεν πρός σε ταῦτα πρεσβεύοντα, ὦ Πρωταγόρα, ὅτι ψεύδῃ. εἰ μὲν οὖν ἀληθεύομεν, ὁμολογουμένως ψεύδῃ, ὦ Πρωταγόρα, λέγοντες σὲ ψευδόμενον· ἀληθεύομεν γὰρ τοῦτο εἰπόντες· εἰ δὲ ψευδόμεθα, πάλιν ψεύδῃ, διότι λέγεις ὅτι πᾶς ὁ λέγων τι ἀλήθειαν λέγει· ὥστε καὶ ὑμεῖς ὁμολογεῖτε ψεύδεσθαι λέγοντες συντρέχειν τὴν ἀντίφασιν. εἰ δὲ τοῦτο, οὐδὲ διαλέγεσθε. πάντα γὰρ ἀκατάλληλα ὑποτίθεσθε· ὁμολογουμένως οὖν ψεύδεσθε ὡς περὶ ὡρισμένων διαλεγόμενοι. ὥστε οὔτε λευκὸν ἔσται οὔτε οὐ λευκόν, οὔτε ὂν οὔτε οὐκ ὄν. συναληθεύοντα γὰρ ἀναιροῦσιν ἄλληλα, ὥστε οὔτε οὕτως ἔχει οὔτε οὐχ οὕτως· εἰ γὰρ μὴ ὑποθώμεθα τοῦτο, ὡρισμένον μέν τι δίδοται καὶ οὐκέτι συναληθεύει ἡ ἀντίφασις.

p. 1008a34 Ἔτι εἰ ὅταν ἡ φάσις ἀληθὴς ᾖ, ἡ ἀπόφασις ψευδής.

Πάλιν ἕτερον ἐπιχείρημα τίθησι τοῦ αὐτοῦ κατασκευαστικὸν περὶ τοῦ μὴ συναληθεύειν τὴν ἀντίφασιν, καθάπερ τινὲς ὑπελάμβανον, καί φησιν οὕτως ὅτι εἰ ἡ κατάφασις ἀληθὴς ὑπάρχει, πάντως καὶ ἡ ἀπόφασις ψευδής

2 καὶ ὁ ἄνθρωπος D 5 διαιροῦντα ex Aristotele scripsi: ἀναιροῦνται libri 5 λέγοντα scripsi: λέγονται libri 9 ἀληθεύουσι D 17 λευκὸν (post οὔτε) addidi 18 fort. γὰρ ἀλλήλων ἀναιρετικά, cf. v. 29 20 πρὸ τούτων διαλέγεται D 33 περὶ τὸ D

ἐστι, καὶ πάλιν εἰ ἡ ἀπόφασις * * * ἡ λέγουσα αὐτὸν πτερωτὸν ὑπάρχειν. ὥστε οὐ δυνατόν ἐστι τὸ αὐτὸ ἅμα καὶ καταφῆσαι καὶ ἀποφῆσαι ἀληθῶς. εἶτα ἐπειδὴ ἔλαβεν ὁ Ἀριστοτέλης ὅπερ ἐκεῖνοι οὐ συγχωροῦσιν (οὔτε γὰρ διδόασιν ὅτι ὅτε ἐστὶν ἡ κατάφασις ἀληθής, τότε ἡ ἀπόφασις ψευδής, ὅπερ ἔλαβεν ὁ Ἀριστοτέλης ὡς ὁμολογούμενον), αὐτὸ τοῦτο ἐπισημαίνεται ὁ φιλόσοφος λέγων ὅτι ἀλλ' ἴσως φαῖεν ἂν ἐκεῖνοι τοῦτο εἶναι τὸ ἐξ ἀρχῆς κείμενον. ἡμεῖς γάρ, φασί, λέγομεν τὴν ἀντίφασιν συναληθεύειν, αὐτὸς δὲ ὡς ὁμολογούμενον ἔλαβες, ὅτι ἡνίκα ἡ κατάφασίς ἐστιν ἀληθής, f.189v ἡ ἀπόφασις ψευδὴς ὑπάρχει καὶ τὸ ἐναντίον.

p. 1008ᵇ2 Ἔτι ἆρα ὁ μὲν ἢ ἔχειν πως ὑπολαμβάνων.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι εἴπατε ἡμῖν, ἆρα χωρὶς λεγομένη ἡ κατάφασις ψεύδεται καὶ χωρὶς ἡ ἀπόφασις, καὶ πάλιν ἅμα λεγόμεναι ψεύδονται ὁ ἄνθρωπος ζῷον καὶ οὐ ζῷον. ἢ χωρὶς μὲν καὶ χωρὶς λεγόμεναι ψευδεῖς ὑπάρχουσιν, ἅμα δὲ συναληθεύουσιν. ἀλλ' εἰ μὲν εἴπωσιν ὅτι καὶ χωρὶς λεγόμεναι ψευδεῖς ὑπάρχουσι καὶ ἅμα δέ, πρὸς τοὺς τοιούτους οὐ δεῖ ἡμᾶς παντελῶς διαλέγεσθαι· παντάπασι γὰρ οἱ τοιοῦτοι οὐδὲν λέγουσιν. εἰ δὲ πάλιν φῶσιν ὅτι χωρὶς μὲν λεγόμεναι ψευδεῖς ὑπάρχουσιν, ἅμα δὲ συναληθεύουσι, δῆλον ὡς ὅτι οἷόν τε εἶναι κατάληψιν ἐν τοῖς οὖσιν. εἰ μὴ γὰρ ἦν κατάληψις, πόθεν ἐδυνήθησαν διαγνῶναι ὅτι χωρὶς μὲν ψευδεῖς ὑπάρχουσιν, ἅμα δὲ λεγόμεναι ἡ ἀντίφασις συναληθεύει. εἰ οὖν ἐστι κατάληψις, καὶ ὥρισται τὰ πράγματα· εἰ δὲ ὥρισται, φανερὸν ὅτι οὐ συνδραμεῖται τὸ ἄνθρωπος τῷ οὐκ ἄνθρωπος, ὥστε οὐ συναληθεύσει ἡ ἀντίφασις. ἄλλως τε δὴ ἡνίκα λέγουσιν ὅτι ἡ ἀντίφασις συναληθεύει, κατάφασιν λέγουσι· τὸ γὰρ ὅλον τοῦτο κατάφασίς ἐστιν ἡ πρότασις ἡ λέγουσα 'ἡ ἀντίφασις συναληθεύει'. εἰ τοίνυν συντρέχει ἡ κατάφασις τῇ ἀποφάσει, δῆλον ὡς ὅτι ἀληθὴς ἔσται καὶ ἡ ἀπόφασις ἡ λέγουσα 'ἡ ἀντίφασις οὐ συναληθεύει'. τοῦτο οὖν ἐστιν ὃ λέγει ὅτι (ἵνα τὸ ὁ ἄρθρον λάβωμεν), ἆρα οὖν ὁ μὲν ἢ ἔχειν πως ὑπολαμβάνων ἢ μὴ ἔχειν, ἵνα δηλώσῃ ὅτι ἆρα χωρὶς ἡ κατάφασις καὶ ἡ ἀπόφασις λεγόμεναι ψευδεῖς ὑπάρχουσιν, ὁ δὲ ἅμα λέγων αὐτὰς ἀληθεύει; εἰ γὰρ μὴ ἀληθεύει ἡ ἀντίφασις κατ' αὐτοῦ, ὡς μήτε ἅμα λεγόμεναι μήτε χωρίς, τί ἐστι τὸ λεγόμενον ὑπ' αὐτῶν ὡς ὅτι τοιαύτη f.190r ἐστὶν ἡ φύσις τῶν ὄντων, ὥστε συντρέχειν τὴν κατάφασιν τῇ ἀποφάσει, καθάπερ φασὶν οἱ θεοχόλωτοι Μανιχαῖοι; τούτῳ γὰρ τῷ ὀνόματι προσηγόρευσεν αὐτοὺς ὁ ἡμέτερος φιλόσοφος Ἀμμώνιος. ἡνίκα γὰρ λέγομεν πρὸς αὐτοὺς ὅτι ἐχθρὸν παρέχετε τῷ θεῷ καὶ ἄσπονδον καὶ αἰώνιον * * σπουδαῖος ἄνθρωπος οὐκ ἔχει ἐχθρόν, φασὶν ὅτι πόθεν οὖν τὰ κακά; τοιαύτη γάρ,

---

1 lacunam indicavi: addendum ἀληθής ἐστιν οἷον ἡ λέγουσα τὸν ἄνθρωπον οὐκ εἶναι πτερωτόν, ἡ κατάφασις ψευδής 7 φησί libri 8 ὡς om. D 15 τοὺς om. D 22 συναληθεύει D 27 post ὅτι lacuna VI vel VII litterarum A 28 post μὴ ἔχειν lacuna III litterarum A 35 post αἰώνιον lacuna IV litterarum A: fort. addendum ἀλλὰ vel ὁ δὲ

φασίν, ἐστὶν ἡ φύσις τῶν πραγμάτων. καὶ ἔστι πλατὺν γέλωτα καταχέαι τῶν οὕτως πειρωμένων τὰς ἀπορίας ἐπιλύεσθαι· πάντα γὰρ οὕτω ῥᾷστα ἐπιλύεσθαι. διὰ τί γὰρ ἡ τοῦ ἑξαγώνου πλευρὰ ἴση ἐστὶ τῇ ἐκ τοῦ κέντρου: ἐπειδὴ τοιαύτη ἐστὶν ἡ φύσις τοῦ πράγματος· ὅπερ τῷ ὄντι ληρῶδές
5 ἐστιν· ἔστι γὰρ τοῦ τοιούτου ἀπόδειξις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἀποδεικτῶν. οὕτως ὑμεῖς φατε, ὅτι τοιαύτη ἐστὶν ἡ φύσις τῶν πραγμάτων, ὥστε συντρέχειν τὴν κατάφασιν τῇ ἀποφάσει. εἰ γὰρ μὴ συναληθεύει ἅμα ἡ ἀντίφασις λεγομένη, ἀλλὰ μᾶλλον ἀληθεύει ἐκεῖνος ὑπολαμβάνων. τουτέστιν ὁ λέγων μὴ συναληθεύειν τὴν ἀντίφασιν, ἔχοι ἄν πως τὰ ὄντα ὑπό-
10 στασιν, καὶ τοῦτο ἀληθὲς ἂν εἴη καὶ οὐχ ἅμα ἀληθὲς καὶ οὐκ ἀληθές. καθάπερ φασὶν οἱ λέγοντες τὴν ἀντίφασιν συναληθεύειν· τὸ αὐτὸ γὰρ καὶ ἀληθὲς καὶ οὐκ ἀληθὲς ποιοῦσιν, ὅπερ ἐστὶν ἄτοπον.

p. 1008b7 Εἰ δὲ ὁμοίως ἅπαντες καὶ ψεύδονται καὶ ἀληθῆ λέγουσιν.

15 Εἰ ὑποθώμεθα τὴν ἀντίφασιν συναληθεύειν καὶ ὁμοίως ἅπαντας καὶ ψεύδεσθαι καὶ ἀληθεύειν. οὐδὲν ἔστιν οὔτε φθέγξασθαι οὔτε λέγειν. τί γὰρ ἔχει εἰπεῖν τις, ἡνίκα ψεύδεται καὶ πάλιν ὁ αὐτὸς ἀληθεύει; ὁ γὰρ τοιοῦτος ἅμα ταῦτα λέγει καὶ οὐ ταῦτα, οἷον ὅτι καὶ ἄνθρωπός ἐστι καὶ οὐκ ἔστιν ἄνθρωπος. εἰ οὖν μηδὲν ὑπολαμβάνει βέβαιον εἶναι, ἀλλ' ὁμοίως οἴεται
20 ὅτι ἔστι τὸ πρᾶγμα καὶ πάλιν οὐκ οἴεταί τι, οὕτως οὐ διαφέρει τῶν φυτῶν· κἀκεῖνα γὰρ οὐδὲν ὑπολαμβάνουσιν. ἀμέλει τοι εἰ καὶ λέγουσι ταῦτα ὅτι f. 190v
ἀκαταληψία ἐστὶν ἐν τοῖς οὖσι καὶ οὐδεὶς οὐδὲν ὑπολαμβάνει, οὐ διάκεινται ὡς λέγουσιν, οὔτε οἱ λέγοντες οὔτε οἱ ἄλλοι. καὶ τοῦτο δῆλον ἐντεῦθεν· διὰ τί γὰρ πορεύεται εἰς Μέγαρα καὶ μὴ ἡσυχάζει οἰόμενος βαδίζειν, κἂν
25 μὴ βαδίζοι; οὔτε δὲ πάλιν ἔνθεν πορεύεται εἰς φρέαρ ἤγουν εἰς κρημνὸν ἤγουν εἰς πῦρ; ἢ ῥίπτει ἑαυτὸν κατὰ πετρῶν ἤγουν κατὰ θαλάττης; φανερὸν ὡς ὅτι εὐλαβούμενος οὐ ποιεῖ ταῦτα, ἐπειδὴ οὐχ ὁμοίως ὑπολαμβάνει ἀγαθὸν εἶναι τὸ ἐμπεσεῖν ὥσπερ τὸ μὴ ἐμπεσεῖν. ὥστε ὁ τοιοῦτος τὸ μὲν βέλτιον ὑπολαμβάνει, ὅπερ καὶ αἱρεῖται, τὸ δὲ οὐ βέλτιον, ὅπερ καὶ φεύγει.
30 ⟨εἰ δ'⟩ οὖν τοῦτο, καὶ τὸ μὲν ἄνθρωπον τὸ δὲ οὐκ ἄνθρωπον, καὶ τὸ μὲν γλυκὺ τὸ δὲ οὐ γλυκὺ ἀνάγκη ὑπολαμβάνειν. οὐ γὰρ ἐξ ἴσου. ὡς ὁ λόγος ἔδειξεν, ἅπαντα ζητεῖ καὶ ὑπολαμβάνει, ὅταν οἰηθείη βέλτιον εἶναι τὸ πιεῖν ὕδωρ καὶ θεάσασθαι ἄνθρωπον· οὔτε γὰρ ἀπέρχεται διψήσας ὅπου ἐστὶ πῦρ, ἀλλ' ὅπου ὕδωρ, οὔτε δὲ ζητῶν ἄνθρωπον ἀπέρχεται ὅπου ἡμίονοι·
35 δῆλον ὡς ὅτι οἴεται εἶναι ὡρισμένην φύσιν τῶν πραγμάτων. καίτοι ἔδει γε βουλόμενον ὑδρεύσασθαι ἀπελθεῖν ὅπου ἐστὶ πῦρ, εἰ ταὐτὸν ὑπῆρχεν

1 φασίν scripsi: φησίν libri 3 ἴση scripsi: ἴσα libri 3. 4 ἐκ τοῦ μέτρου D
6 ἀποδεικτικῶν D 8 ἀληθεύειν libri ὁ ἐκείνως Aristoteles 11 καθάπερ—οὐκ ἀληθὲς (12) om. D 24 κἂν scripsi: καὶ libri 25 ἔνθεν] ἔωθεν Aristoteles
29 αἱρεῖται scripsi: ἀναιρεῖται libri 30 εἰ δ' addidi: ante οὖν lacuna V litterarum AD τὸ (ante μὲν ἄνθρωπον) om. D

ἄνθρωπος καὶ οὐκ ἄνθρωπος. καλῶς οὖν εἰρήκαμεν ὅτι οὐδείς ἐστιν ὅστις οὐκ εὐλαβεῖται τὰ μὲν τῶν πραγμάτων τὰ δὲ οὔ. οἷον δέδιε θάλασσαν θηρίον, τοὺς δὲ φίλους οὐ δέδιεν· ὥστε οἶδεν ὡρισμένας τὰς φύσεις τῶν πραγμάτων, κἂν μὴ λέγῃ οὕτως. πάντες ἄρα ὑπολαμβάνουσιν ἔχειν ὅρον τὰ πράγματα, εἰ καὶ μὴ ἁπλῶς περὶ πάντα τὰ ὄντα, ἀλλ' οὖν γε περὶ τὸ ἄμεινον καὶ τὸ χεῖρον. εἰ τοίνυν μὴ ἐπιστημονικῶς ἴσασι τὸ ἄμεινον καὶ τὸ χεῖρον, ἀλλὰ ὀρθοδοξαστικῶς, πλέον δεῖ ἡμᾶς αὐτῶν τῶν ἐχόντων f. 191r δόξαν μόνην ἄνευ ἐπιστήμης ἐπιμελεῖσθαι, ὥσπερ καὶ πλέον ἐπιμελούμεθα τῶν νοσούντων ἤπερ τῶν ὑγιαινόντων. ἡ μὲν γὰρ ἐπιστήμη ὑγεία ἐστὶ τῆς ψυχῆς, ἡ δὲ δόξα νόσος· διό φησι καὶ γὰρ ὁ δοξάζων πρὸς τὸν ἐπιστάμενον οὐχ ὑγιεινῶς διάκειται πρὸς τὴν ἀλήθειαν.

p. 1008b31 Ἔτι εἰ ὅτι μάλιστα πάντα οὕτως ἔχει καὶ οὐχ οὕτως.

Αὖθις ἐντεῦθεν ἕτερον ἐπιχείρημα τίθησι καὶ τοῦ αὐτοῦ κατασκευαστικόν· ἐκ τοῦ μᾶλλον δέ ἐστι τὸ ἐπιχείρημα. φησὶν οὖν ὅτι εἰ καὶ ὑποθώμεθα πάντα οὕτως ἔχειν καὶ οὐχ οὕτως, ἀλλὰ τό γε μᾶλλον καὶ τὸ ἧττόν ἐστιν ἐν τῇ φύσει τῶν πραγμάτων· οὐ γὰρ ὁμοίως φήσομεν τὰ δύο ἄρτια καὶ τὰ τρία, ἀλλὰ μᾶλλον τὰ δύο, οὔτε δὲ ὁμοίως διέψευσται ὁ εἰρηκὼς ἤγουν ὁ οἰόμενος τὰ τέσσαρα πέντε εἶναι καὶ ⟨ὁ⟩ χίλια, ἀλλὰ μᾶλλον ἀληθεύει ὁ οἰόμενος τὰ τέσσαρα πέντε εἶναι ἤπερ ὁ οἰόμενος χίλια αὐτὰ εἶναι. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει καὶ θεωρεῖται τὸ μᾶλλον ἀληθές, φανερὸν ὅτι καὶ τὸ ὄντως ἀληθὲς ὑπάρχει καὶ τὸ κυρίως. ἐξ οὗ ἔχει χώραν καὶ τὸ μᾶλλον λέγεσθαι. διό φησιν εἰ οὖν τὸ μᾶλλον ἐγγύτερον, εἴη ἄν τι ἀληθὲς οὑτινος ὄντος ἀληθοῦς ἐγγύτερον ὑπάρχει τὸ μᾶλλον ἀληθές. καὶ εἰ μή ἐστι τὸ ἀληθές, ἀλλ' οὖν γέ ἐστι βεβαιότερον καὶ ἀληθινώτερον. ὥστε πάντως ἀληθὲς καὶ τὸ ὄντως βέβαιόν ἐστιν, ἐξ οὗ καὶ τούτοις τὸ εἶναι ὑπάρχει. καὶ ἐντεῦθεν ἀπαλλαττόμεθα τοῦ λόγου τούτου ἀκράτου, τουτέστι τοῦ μηδὲν ἔχοντος κεκραμένον καὶ ὡρισμένον, τοῦ λέγοντος ὅτι οὐδέν ἐστιν ὡρισμένον ἐν τῷ παντί· διό φησι καὶ κωλύοντός τι τῇ διανοίᾳ ὁρίσαι.

p. 1009a6 Ἔστι δὲ ἀπὸ τῆς αὐτῆς δόξης καὶ ὁ Πρωταγόρου λόγος.

Τοῖς αὐτοῖς ὑποπίπτει ἐγκλήμασι καὶ ὁ Πρωταγόρου λόγος ὁ ὑποτιθέμενος πᾶν ὃ λέγει τις ἀληθῶς λέγειν. ἐνταῦθα γὰρ ἐνίσταται κοινῶς πρὸς τοῦτον μετὰ τῶν οἰομένων συναληθεύειν τὴν ἀντίφασιν· προϊὼν δὲ ἀντερεῖ πρὸς αὐτὸν μόνον. φησὶν οὖν ὅτι ἀπὸ τῆς αὐτῆς ἐννοίας προέρχεται καὶ ὁ τοῦ Πρωταγόρου λόγος· καὶ γὰρ ἀνάγκη ὁμοίως ἀμφοτέρους τοὺς λόγους τόν τε λέγοντα τὴν ἀντίφασιν συναληθεύειν καὶ τὸν λέγοντα f. 191v

---

2 τὰ δὲ scripsi: τὸ δὲ libri 18 ὁ ex Aristotele addidi 25. 26 ἐξ οὗ scripsi: ἐξ ὧν libri 29 ὁρίσαι ex Aristotele scripsi: ὡρῶμεν libri 33 τοῦτον scripsi: τὸν libri 34. 35 φησιν — προέρχεται om. D

ὅτι πᾶς ὁ λέγων ἀληθῆ λέγει ἢ εἶναι ἢ μὴ εἶναι. εἴτε γὰρ τὰ δοκοῦντα καὶ τὰ φαινόμενα πάντα ἀληθῆ ὑπάρχουσι, καθάπερ ἔλεγε Πρωταγόρας, ἀνάγκη πάντα ἀληθῆ καὶ ψευδῆ εἶναι, κἂν μὴ βούλωνται, ἀληθῆ μέν, διότι οὕτως ὑποτίθενται, ψευδῆ δὲ διὰ τὴν τῶν πραγμάτων φύσιν· οὐ γὰρ ὁ εἰ-
5 πὼν τὸ ὕδωρ πῦρ ἀληθεύει, ἀλλὰ ψεύδεται. πολλοὶ γὰρ τὰς ἐναντίας δόξας ἔχουσι πρὸς ἀλλήλους καὶ ὑπολαμβάνουσι ψεύδεσθαι τοὺς μὴ τὰ αὐτὰ αὐτοῖς δοξάζοντας· ὥστε πᾶσά ἐστιν ἀνάγκη τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι, εἶναι μὲν διὰ τὴν ὑπόθεσιν, μὴ εἶναι δὲ διὰ τὴν φύσιν τῶν πραγμάτων, ὡς ὁ λόγος ἀπέδειξεν. εἰ οὖν τοῦτο ἀληθὲς ὑπάρχει, ἀνάγκη ἐστὶ τὰ δο-
10 κοῦντα πάντα ἀληθῆ ὑπάρχειν· τὰ ἀντικείμενα γὰρ ἀλλήλοις δοξάζουσιν οἱ διεψευσμένοι καὶ ἀληθεύοντες· ὥστε συναληθεύει τῷ ὄντι ἡ ἀντίφασις· κατὰ τὴν δόξαν τοῦ Πρωταγόρου. εἰ οὖν ἔχει τὰ ὄντα οὕτως ὥστε πάλιν συναληθεύειν τὴν ἀντίφασιν, ἀληθεύουσιν ἅπαντες· ὥστε συμφωνοῦσιν αἱ δύο δόξαι αὗται ἀλλήλαις.

15 p. 1009a 15 Ὅτι μὲν οὖν ἀπὸ τῆς αὐτῆς εἰσι διανοίας.

Δείξας εἰς ἓν συντρεχούσας ἀμφοτέρας τὰς δόξας τήν τε Πρωταγόρειον καὶ τὴν οἰομένην συναληθεύειν τὴν ἀντίφασιν, συμπεραίνεται τοὺς λόγους καὶ λέγει ὅτι φανερὸν ἡμῖν γέγονεν ὅτι ἀπὸ τῆς αὐτῆς διανοίας ὑπάρχουσιν ἀμφότεροι οἱ λόγοι. ⟨ἔστι δὲ⟩ οὐχ ὁ αὐτὸς τρόπος πρὸς ἅπαντας τῆς ἐν-
20 τεύξεως, τουτέστι τῆς ἀντιλογίας· οἱ μὲν γὰρ τῶν ἀντιλεγόντων πειθοῦς f. 192r
δέονται, οἱ δὲ βίας. ὅσοι μὲν γὰρ τῷ ὄντι ἀποροῦντες οἴονται οὕτως, τούτων ἡ ἄνοια ῥᾳδίως ἰατρεύεται· ὡς γὰρ εἴρηται ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ, οὐ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὴν διάνοιαν ἡ ἀπάντησις αὐτῶν. ἴσασι γὰρ ὅτι οὐκ ἔρρωται ὁ λόγος ὃν προβάλλονται· ὅμως μέντοι γε ἀπο-
25 ροῦσι κατὰ τὴν διάνοιαν καὶ βούλονται τὴν ἀπορίαν αὐτῶν ἐπιλυθῆναι. ὅσοι δὲ λόγου χάριν λέγουσι τοῦ δόξαι κρατεῖν ἐπὶ τῶν πολλῶν (οὗτοι δέ εἰσιν οἵτινες ἴσασι μὲν τὸ ἀληθές, μάχονται δὲ πρὸς αὐτὸ διὰ τὸ δόξαι κρατεῖν), τούτων ἴασίς ἐστιν ἔλεγχος, ἵνα ἐλέγξωμεν τὸν λόγον ὃν προβάλλονται ὡς κακῶς λεγόμενον. διό φησι τοῦ ἐν τῇ φωνῇ λόγου, τοῦ προφορικοῦ·
30 ἴσασι γὰρ τὴν ἀλήθειαν. * * * τῇ φωνῇ λόγον λέγει τὸν ἀποφαντικόν· διὸ ἐπήγαγε καὶ τοῦ ἐν τοῖς ὀνόμασιν, ἐπεὶ ἐξ ὀνόματος καὶ ῥήματος σύγκειται ὁ ἀποφαντικὸς λόγος, εἰώθασι δὲ καὶ τὰ ῥήματα ὀνόματα καλεῖν.

p. 1009a 22 Ἐλήλυθε δὲ τοῖς διαποροῦσιν αὕτη ἡ δόξα ἐκ τῶν αἰσθητῶν.

35 Ἐντεῦθεν τὴν αἰτίαν ἡμῖν λέγει, πόθεν ἀπατηθέντες οἱ πολλοὶ ταύτην

15 εἰσι ex Aristotele scripsi: εἴη libri 17 συναληθεύσειν A 19 ἔστι δὲ ex Aristotele addidi: post λόγοι lacuna V vel VI litterarum AC 22 ἄγνοια Aristoteles 22. 23 ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ] quem locum respiciat, nescio 26 λέγουσι] ἔχουσι D 30 post ἀλήθειαν lacuna XI vel XII litterarum AD: fort. addendum τὸν τοίνυν ἐν

ὑπέλαβον, καί φησιν ὅτι αἰτία τῆς ἀπάτης αὐτοῖς γέγονε τὰ αἰσθητὰ πράγματα. ἐπεὶ γὰρ τὸ αὐτὸ καὶ ὄν ἐστι καὶ οὐκ ὄν (τὸ γὰρ λευκὸν σῶμα, εἰ τύχοι, καὶ λευκόν ἐστι καὶ οὐ λευκόν, τοιαῦτα δὲ πάντα τὰ αἰσθητὰ ὑπάρχουσιν), ὑπέλαβον τὰ αὐτὰ καὶ ὄντα εἶναι καὶ οὐκ ὄντα, μὴ διακρί-
5 ναντες αὐτὰ ἐκ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, ὥς φησιν ἐν τῇ Φυσικῇ ἀκροάσει 'αὕτη γὰρ ἂν ὀρθεῖσα ἡ φύσις πάσας αὐτῶν ἔλυσε τὰς ἀπορίας'. ἦλθον οὖν εἰς ἔννοιαν τῆς δόξης ταύτης ἐκ τῶν αἰσθητῶν, τοῦ ὅτι τὰ ἐναντία ἅμα ὑπάρχουσι καὶ τοῦ τὴν ἀντίφασιν συναληθεύειν. ἐπειδὴ ἑώρων ἐκ τοῦ αὐτοῦ πράγματος τὰ ἐναντία γινόμενα (τὸ γὰρ αὐτὸ σῶμα ποτὲ μὲν
10 λευκὸν γίνεται, ποτὲ δὲ μέλαν), καὶ ὅτι ἡ ὕλη πάντων ἐστὶ δεκτικὴ τῶν f. 192v ὄντων. εἰ οὖν, φησί, μὴ ἐνδέχεται γενέσθαι τὸ μηδαμῇ μηδαμῶς ὄν, ἐπεὶ οὕτως ἔσται πρὸ τοῦ ὄντος, οὔτε δὲ πάλιν ἐνδέχεται φθαρῆναι εἰς τὸ μηδαμῇ μηδαμῶς ὄν (εἰς γὰρ τὴν οἰκείαν στέρησιν φθείρεται τὸ λευκόν, τουτέστιν εἰς τὸ οὐ λευκόν, ὅπερ δυνάμει ἐστὶ λευκόν· διό, φησί, καὶ γίνεται
15 ἐξ αὐτοῦ λευκόν), εἰ οὖν μὴ ἐνδέχεται γενέσθαι τὸ μὴ ὄν, προϋπῆρχεν ὁμοίως τὸ πρᾶγμα ἅμφω ὄν, καὶ λευκὸν καὶ οὐ λευκόν· ὥστε ἅμα τὰ ἐναντία, καὶ ὂν καὶ οὐκ ὄν. διὸ καὶ Ἀναξαγόρας ἔλεγε πάντα ἐν πᾶσι μεμῖχθαι. ὁμοίως δὲ καὶ ὁ Δημόκριτος ἔλεγε πανταχοῦ εἶναι τὸ ὂν καὶ τὸ μὴ ὄν· ὂν μὲν γὰρ ἐκάλει τὰς ἀτόμους, μὴ ὂν δὲ τὸ κενόν· πανταχοῦ
20 ⟨δὲ⟩ ἔλεγεν εἶναι καὶ τὸ κενὸν καὶ τὰς ἀτόμους * * * τῷ κενῷ ὑπετίθετο εἶναι τὰς ἀτόμους. πρὸς γὰρ τοὺς ἐκ τούτων ἀπατηθέντας ἐροῦμεν ὅτι τρόπον μέν τινα ὀρθῶς λέγουσι, τρόπον δέ τινα οὐκ ὀρθῶς. τὸ γὰρ ὂν διχῶς λέγεται, δυνάμει καὶ ἐνεργείᾳ· ὥστε ἔστι μὲν ὂν τρόπον δυνατὸν τὸ τὶ γίνεσθαι ἐκ τοῦ μὴ ὄντος, ἔστι δὲ ὡς οὔ (ἐκ γὰρ τοῦ * * * μὲν ὄντος
25 δυνατόν, ἐκ δὲ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, φησίν, οὐ δυνατόν), καὶ ἅμα τὸ αὐτὸ εἶναι καὶ ὂν καὶ μὴ ὄν, ἀλλ' οὐ κατὰ τὸ αὐτό. δυνάμει μὲν γὰρ ἅμα ἐνδέχεται τὸ τὰ ἐναντία εἶναι (τὸ γὰρ σῶμα δυνάμει καὶ λευκόν ἐστι καὶ μέλαν), ἐνεργείᾳ δὲ ἅμα τὰ ἐναντία ὑποστῆναι [γὰρ] ἀδύνατον ὑπάρχει.

p. 1009a36 Ἔτι δὲ ἀξιώσομεν αὐτοὺς ὑπολαμβάνειν καὶ ἄλλην
30 οὐσίαν.

Ἐπειδὴ ἐκ τῶν αἰσθητῶν ἠπατήθησαν, ἔδει αὐτοὺς ἐννοῆσαι ὅτι ὑπάρχουσι καὶ ἄλλαι οὐσίαι καὶ τῶν νοητῶν, ἐφ' ὧν οὐ θεωρεῖται τὸ δυνάμει, ἀλλ' ἐκεῖσε ἐνέργειαι ὑπάρχουσιν ἄνευ δυνάμεως, καὶ οὐκ ἔστιν ἐκεῖσε τὸ ὂν καὶ οὐκ ὄν. ἔδει οὖν αὐτοὺς ἐξ ἐκείνων μᾶλλον δοῦναι ὡρισμένην φύσιν
35 τοῖς πράγμασι, καὶ μὴ ἐντεῦθεν ἐκ τῶν ἐλαττόνων ἀποψηφίσασθαι. ἀξιώ- f. 193r

---

1 ἀπάτης αὐτῆς D: ἀπὸ τῆς αὐτῆς A¹ 5 ἐν τῇ Φυσικῇ ἀκροάσει] Phys. A 8 p. 191b33 6 αὕτη Aristoteles l. l.: αὐτὴ libri ἔλυσεν αὐτῶν πᾶσαν τὴν ἄγνοιαν Aristoteles 20 δὲ addidi post ἀτόμους lacuna VII vel VIII litt. A, V litt. D: res postulat καὶ μεμιγμένας vel tale aliquid 21 γὰρ] μὲν οὖν Aristoteles ὅτι om. D 24 τὶ om. D γὰρ τῶν D post τοῦ lacuna V litt. A, XII litt. D: fort. legendum ἐκ γὰρ τοῦ ἐνεργείᾳ μὴ ὄντος 28 γὰρ delevi 32 τὸ om. D 35 τῶν scripsi: τῷ libri

σομεν οὖν αὐτοὺς ὑπολαμβάνειν καὶ ἄλλην οὐσίαν εἶναι τῶν ὄντων παρὰ τὰ αἰσθητά, ἥτινι οὔτε κίνησις ὑπάρχει οὔτε δὲ φθορὰ οὔτε γένεσις οὔτε μεταβολή. ὁμοίως δὲ καὶ ἡ περὶ τὰ φαινόμενα ἀλήθεια ἐνίοις ἐκ τῶν αἰσθητῶν ἐλήλυθεν. ἐκ τῶν γὰρ αἰσθήσεων περατου-
5 μένη, φασίν, ἡ ψυχὴ ἔρχεται εἰς ὑπόμνησιν τῶν καθόλου λόγων, ὥς φησιν ὁ Πλάτων, ἐξ ὧν τὰ τῆς φιλοσοφίας ἐπορισάμεθα γένος. οὐ δεῖ οὖν τὸ ἀληθὲς * * * ὥσπερ οὖν, ἐὰν εἴπωμεν πλησίον Ἀθηνῶν τόπον, ὡς ὄντων αἰσθητῶν λέγομεν ὅτι ἐγγὺς τῶν Μεγάρων, οὕτως ἐὰν εἴπωμεν τὸ ἐγγὺς τοῦ ἀληθοῦς, ἀληθὲς ὑποτιθέμεθα ὡς οὐκ ὄντος τοῦ ἀληθοῦς πλήθει κρίνεσθαι καὶ ὀλιγό-
10 τητι, ἀλλὰ τῷ λόγῳ. ἄπειροι γὰρ δοξάζουσι πολιαῖον τὸν ἥλιον, καὶ ὅμως οὐ δεῖ πεισθῆναι αὐτοῖς· τὸ δὲ αὐτὸ τοῖς μὲν γλυκὺ φαίνεται, οἷον τοῖς ὑγιαίνουσι τὸ μέλι, τοῖς δὲ πικρόν, οἷον τοῖς ἰκτεριῶσιν. ὥστε εἰ πάντες ἔκαμνον ἤγουν πάντες παρεφρόνουν, δύο δὲ ἢ τρεῖς ὑγίαινον ἤγουν νοῦν εἶχον, ἐδόκουν κάμνειν μὲν οἱ ὑγιαίνοντες καὶ παραφρονεῖν, οἱ δὲ ἄλλοι
15 ὑγιαίνειν διὰ τὸ πλῆθος. ὥστε οὐ δεῖ τὰ πράγματα κρίνεσθαι πλήθει καὶ ὀλιγότητι. ἔτι δὲ πολλοῖς τῶν ζῴων τὰ ἐναντία φαίνονται. διὸ οἱ μὲν ὄρτυγες πέττουσι τὸν ἐλλέβορον καὶ οἱ ψῆρες τὸ κώνειον, ἄνθρωποι δὲ ἀναιροῦνται ἐξ αὐτῶν. καὶ αὐτῷ δὲ ἑκάστῳ πρὸς αὑτὸν οὐ τὰ αὐτὰ δοκεῖ κατὰ τὴν αἴσθησιν. λέγομεν οὖν ἡμεῖς ὅτι ἐὰν ὑγιαίνῃ τὸ αἰσθητήριον
20 καὶ μὴ μεταβάλλοι τὸ αἰσθητόν, ὥσπερ οἶνος ὀξίσας ἤ τι ἄλλο τοιοῦτο, εἴη δὲ εὖ ἔχον καὶ τὸ διαπορθμεῦον καὶ πάντα ὅσα εἴρηται ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ, ἀεὶ τὰ αὐτὰ δοκοῦσι, καὶ οὐ ποτὲ μὲν τοιάδε ποτὲ δὲ τοιάδε.

p. 1009b9 Ποῖα οὖν τούτων ἀληθῆ.

Ἔτι ὡς ἁπάντων προέχει τὸν λόγον, καί φησιν ὅτι ποῖα τῶν πραγ-
25 μάτων ἀληθῆ ὑπάρχουσιν ἄδηλον, ἐπειδὴ καὶ τὰ ζῷα διαφωνοῦσι πρὸς f.193v
ἄλληλα, ὡς ἐπὶ τῶν ἀνθρώπων εἰρήκαμεν καὶ τῶν ὀρτύγων, καὶ αὐτὸς δὲ πρὸς ἑαυτόν, ἡνίκα τι πάθοι τὸ αἰσθητήριον ἤγουν τὸ αἰσθητόν. * * * διὰ ταῦτα οὖν, φησίν, ἔλεγεν ὁ Δημόκριτος ‘ἤτοι οὐδὲν παντελῶς ἐστιν ἀληθές, ἢ εἴπερ ἔστιν ἀληθές, ἡμῖν ἄδηλον ὑπάρχει’. ὑπελάμβανε μὲν ⟨γὰρ⟩
30 τὴν φρόνησιν αἴσθησιν εἶναι καὶ συνελογίζετο ⟨τοῦτον⟩ τὸν τρόπον· ἡ φαντασία ταὐτὸν τῇ αἰσθήσει, ἡ αἴσθησις πάντων ἀληθῶς ἀντιλαμβάνεται, ἡ ἄρα φαντασία πάντων ἀληθῶς ἀντιλαμβάνεται. τούτων ἡ μὲν μία πρότασις παντελῶς ψευδὴς ὑπάρχει· οὔτε γὰρ ἡ φαντασία ἡ αὐτή ἐστι τῇ αἰσθήσει, εἴ γε ἡ μὲν φαντασία αὐτὴ καθ᾽ αὑτὴν ἐνεργεῖ δεξαμένη, ἡ δέ γε αἴσθησις
35 δεῖται τῶν ἐκτός. πάλιν δὲ καὶ ἡ δευτέρα πρότασις ψευδὴς ὑπάρχει, ἀλλ᾽ οὐχ ὁμοίως· οὔτε γὰρ πάντων ἀληθῶς ἀντιλαμβάνεται ἡ αἴσθησις, ἐὰν μὴ

---

5 φασίν scripsi: φησίν libri 6 ὁ Πλάτων] Tim. p. 47 A οὖν om. D
7 lacunam indicavi: addendum πλήθει κρίνεσθαι καὶ ὀλιγότητι πλησίων D 14 οἱ (post μὲν) om. D 21 ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ] B 7 sqq. 27 post αἰσθητόν lacuna XII litt. A, X litt. D 29 γὰρ addidi 30 τοῦτον addidi 35 τῶν scripsi: τῆς libri

ὑγιῶς ἔχοι καὶ ἡ αἴσθησις καὶ τὸ αἰσθητήριον καὶ τὸ διαπορθμεῦον δέ. ὁ Δη-
μόκριτος οὖν, φησί, διὰ τὸ ὑπολαμβάνειν τὴν φρόνησιν αἴσθησιν εἶναι,
ταύτην δὲ τὴν αἴσθησιν εἶναι ἀλλοίωσιν, ὥσπερ καὶ ἔστι, τὸ φαινό-
μενον κατὰ τὴν αἴσθησιν ἐξ ἀνάγκης ἀληθὲς εἶναί φησιν. ἐντεῦθεν
5 γὰρ καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος καὶ τῶν ἄλλων ἕκαστος ὡς εἰπεῖν
τοιαύταις δόξαις ἔνοχοι γεγόνασι, τουτέστιν ὑπεύθυνοι, καὶ γὰρ καὶ ὁ
Ἐμπεδοκλῆς τοὺς μεταβάλλοντας τὴν ἕξιν ἔλεγε καὶ τὴν φρόνησιν μεταβάλλειν,
ὡς ἂν ταῖς κράσεσι τοῦ σώματος ἑπομένων τῶν ψυχικῶν δυνάμεων, καθάπερ
καί τινες τῶν ἰατρῶν εἰρήκασι. διὸ ἔλεγε 'πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται
10 ἀνθρώποισι', τουτέστι πρὸς τὸ παρὸν εἰ μὲν ὑγιῶς ἔχοι ἡ κρᾶσις, καὶ ἡ
φρόνησις, εἰ δὲ κακῶς, ⟨καὶ⟩ ἡ φρόνησις. δυνατὸν δέ ἐστιν ἀπολογήσασθαι
ὑπὲρ Ἐμπεδοκλέους ὅτι ἔλεγεν ὡς ὅτι πρὸς ὅ τις μεταχειρίζεται, καὶ διά-
κειται· εἰ μὲν γὰρ μετὰ αἰσθήσεως διαβιοῖ, αἰσθητῶς καὶ ἐνεργεῖ, εἰ δὲ f. 194r
νοερῶς βιοῖ, νοερῶς καὶ ἐνεργεῖ. καὶ ἐν ἑτέροις δέ, φησίν, οὕτως λέγει
15 Ἐμπεδοκλῆς ὅτι ὅσον ἀλλοῖοι, τοσοῦτον καὶ * * * μεθίσταται, ὡς ἂν
ἑπομένων τῶν ψυχικῶν δυνάμεων, ὡς εἴρηται, ταῖς κράσεσι τοῦ σώματος·
πάλιν ἐπάγει 'τόσον ἄρα σφιν καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται' πρὸς τὴν
μεταβολὴν τῆς κράσεως καὶ τῆς * * *. καὶ Παρμενίδης δὲ [εἶναι] τὸν
αὐτὸν τρόπον ἀποφαίνεται. φησὶ γὰρ ὅτι 'ὡς γὰρ ἕκαστον ἔχει μελέων
20 πολυκάμπτων, οὕτως καὶ ὁ νοῦς τῶν ἀνθρώπων παρίσταται', ὡς ἂν καὶ
ἐπὶ τούτου τῶν ψυχικῶν δυνάμεων ἐκ τῶν αἰσθήσεων καὶ τῶν κράσεων
γινομένων. τὴν αὐτὴν δὲ ἀπολογίαν ἔστιν εἰπεῖν ὑπὲρ τούτου, ἥνπερ καὶ
ὑπὲρ Ἐμπεδοκλέους εἰρήκαμεν. εἶτά φησιν ὅτι τὰ αὐτὰ εἰρήκασιν Ἐμπε-
δοκλῆς καὶ Παρμενίδης· ὅπερ γὰρ Ἐμπεδοκλεῖ σημαίνει τὸ φρονεῖν, τοῦτο
25 Παρμενίδῃ τὸ † μελέων. καὶ ἐπὶ πάντων δέ φησι Παρμενίδης τὸ αὐτὸ θεω-
ρεῖσθαι, καὶ ἐπὶ ἑνὸς ἑκάστου· τὸ γὰρ πλέον νόημα προσγίνεται ἐκ τῆς
πλείονος αἰσθήσεως καὶ ἀκριβεστέρας. τοῦ δὲ Ἀναξαγόρου καί τι ἀπό-
φθεγμα μνημονεύεται ὑπὸ τῶν ἑταίρων αὐτοῦ, ὅτι τοιαῦτα αὐτοῖς ἔστι
τὰ ὄντα, οἷα ἂν καὶ ὑπολαμβάνωσιν εἶναι αὐτά. φαμὲν καὶ ὑπὲρ αὐτοῦ
30 πάλιν ὅτι εἰ μὲν αἰσθητῶς τις ζήσει, καὶ ἐνεργεῖ οὕτως, εἰ δὲ νοερῶς, δῆλον
ὡς ὅτι καὶ νοερῶς ἐνεργεῖ. φησὶ δὲ ὅτι καὶ ὁ Ὅμηρος ταύτην εἶχε τὴν δόξαν·

---

1 διαπορθμεῦον scripsi coll. p. 276, 21: διαπορούμενον libri 3. 4 εἶναι — αἴσθησιν om. D 4 ἀληθὲς scripsi: ἀληθῆ libri 8 ψυχικῶν scripsi: φυσικῶν libri 9 πρὸς παρεὸν κτλ.] Empedocl. fragm. 375 Mullach 14 οὕτως λέγει scripsi: ὅτι sequente lacuna IX litt. AD 15 ὅσον κτλ.] cf. Empedocl. fragm. 376 sq. Mullach ὅσσον τ' ἀλλοῖοι μετέφυν τόσον ἄρ σφισιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίστατο post καὶ lacuna IX litterarum: fort. addendum τὸ φρονεῖν, quamquam sic minus apta sunt, quae v. 17 leguntur 17 ἀλλοῖα παρίστατο scripsi: ἀλλοιαίνοντα τὸ libri 18 post καὶ τῆς lacuna XI litt. A, VIII litt. D: fort. addendum ἕξεως τοῦ σώματος Παρμενίδη libri εἶναι delevi 19 ἀποφαίνεται Aristoteles: φαίνεται libri ὡς γὰρ κτλ.] Parmen. fragm. 146 sq. Mullach: ὡς γὰρ ἑκάστῳ ἔχει κρᾶσις μελέων πολυκάμπτων, τῶς νόος ἀνθρώποισι παρέστηκεν 20 τῶν ἀνθρώπων scripsi: τὸν ἄνθρωπον libri 21 ἐπὶ τούτου D 22 δὲ om. D 24 ὅπερ γὰρ κτλ.] non intellexit quae Metaph. 1009b24 leguntur, sed accedit quod ipsa verba corrupta sunt ἐμπεδοκλῆς D 27. 28 τι ἀπόφθεγμα scripsi: τὰ ἀποφθέγματα libri 28 ἑτέρων D

ἐποίησε γὰρ τὸν Ἕκτορα μετὰ τὴν πληγὴν τὴν τοῦ Αἴαντος κεῖσθαι ἄλλοφρονέοντα, ὡς δῆλον εἶναι ἐντεῦθεν ὅτι καὶ οἱ παραφρονοῦντες μὲν φρονοῦσιν, ἀλλ' οὐ τὰ αὐτὰ ἅπερ ἐφρόνουν καὶ πρότερον. εἰ οὖν ἀμφότεραι φρονήσεις ὑπάρχουσι, καὶ τὸ παραφρονεῖν καὶ πρὸ τῆς πληγῆς, δῆλον ὡς
5 ὅτι τὰ ⟨ὄντα⟩ ἅμα καὶ οὕτως καὶ οὐχ οὕτως ἔχει, εἴ γε ἔχειν φρόνησιν f. 194v λέγει καὶ πρὸ τῆς πληγῆς καὶ μετὰ τὴν πληγήν.

p. 1009b33 Ἢ καὶ χαλεπώτατον συμβαῖνόν ἐστιν.

Ὅτι ἐκ τῶν δοξῶν τούτων οἱ ἐγχειροῦντες φιλοσοφεῖν ἀθυμοῦσι λέγοντες ὅτι εἰ οἱ τηλικοῦτοι ἄνδρες οὐκ ἐδυνήθησαν καταλαβεῖν τὸ ἀληθές, πολλῷ μᾶλ-
10 λον ἡμεῖς οὐ δυνησόμεθα μαθεῖν. * * * ὅτι ἐντεῦθεν χαλεπόν τι ἀκολουθεῖ· εἰ γὰρ οἱ μάλιστα τὸ ἐνδεχόμενον ἀληθὲς ἑωρακότες (οὗτοι δέ εἰσιν οἱ μάλιστα ζητοῦντες αὐτὸ καὶ φιλοῦντες) οὗτοι τοιαύτας ἔχουσι δόξας καὶ τοιαῦτα ἀποφαίνονται περὶ τῆς ἀληθείας, πῶς οὐκ ἄξιον ἀθυμῆσαι τοὺς φιλοσοφεῖν ἐγχειροῦντας; ὁμοίως γάρ ἐστι
15 τὸ ζητεῖν τὴν ἀλήθειαν τοῖς τὰ ἱπτάμενα διώκουσιν. ὥσπερ γὰρ ἐκεῖνα οὐ καταλαμβάνονται, οὕτως οὐδὲ ταῦτα κατ' ἐκείνους. φησὶν οὖν ὅτι τῆς ἀπάτης ταύτης αἴτιον αὐτοῖς ἐγένετο, ὅτι κατὰ μὲν ἀλήθειαν ἐσκόπουν περὶ τῶν ὄντων πάντων, τὰ δὲ ὄντα ὑπελάμβανον εἶναι τὰ αἰσθητὰ μόνον. ἐν δὲ τούτοις τοῖς αἰσθητοῖς πολλή ἐστιν ἡ τοῦ ἀορίστου φύσις καὶ
20 τοῦ οὕτως ὄντος, ὥσπερ εἴπομεν, τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ. διὸ εἰκότως μὲν λέγουσιν ὅτι τὸ αὐτὸ καὶ ὄν ἐστι καὶ οὐκ ὄν, οὐκ ἀληθῶς λέγοντες· οὔτε γὰρ ἐνεργείᾳ, καθάπερ καὶ ὑπολαμβάνουσι, τὸ αὐτό ἐστι καὶ οὐκ ἔστιν, ἀλλὰ δυνάμει. οὕτω γὰρ μᾶλλον δεῖ εἰπεῖν πρὸς αὐτοὺς ⟨ἢ⟩ ὥσπερ Ἐπίχαρμος ὁ κωμικὸς ὑβριστικῶς προῆλθεν εἰς τὸν Ξενοφάνη. ἄλλως
25 τε δὴ ὁρῶντες ταύτην τὴν φύσιν τῶν αἰσθητῶν κινουμένην καὶ ἐν μεταβολῇ οὖσαν, κατὰ δὲ τοῦ μεταβάλλοντος μηδὲν εἶναι ἀληθὲς ἔλεγον, εἴ γε ἐν ῥύσει πάντα ὑπάρχουσι, λέγοντες ⟨ὅτι⟩ ἀδύνατόν ἐστιν ἀληθεύειν περὶ τὸ πάντῃ πάντως μεταβάλλον. ἐκ γὰρ ταύτης τῆς ὑπολήψεως ἐξήνθησεν ἡ ἀκροτάτη δόξα τῶν εἰρημένων, ἡ τῶν φασκόντων ἡρακλειτίζειν, καὶ
30 οἷαν Κρατύλος εἶχεν, ὃς τὸ τέλος οὐδὲ φθέγγεσθαι ἠνείχετο οἰόμενος f. 195r θᾶττον τῆς φωνῆς ῥεῖν τὰ πράγματα. ἀλλὰ τῷ δακτύλῳ κατένευε καὶ ἀνένευε, καὶ ἐπετίμα τῷ Ἡρακλείτῳ λέγοντι ὅτι οὐ δυνατὸν δὶς εἰς τὸν ποταμὸν παρελθεῖν διὰ τὸ ῥευστόν· οὐδὲ γὰρ μένει ὁ αὐτός· καὶ ἔλεγεν ὅτι οὐδὲ ἅπαξ δυνατόν ἐστι τὸν αὐτὸν ποταμὸν διελθεῖν εἴ γε ἐν ὅσῳ κινούμεθα παρέρχεται τὸ ὕδωρ. ἡ μὲν
35 * * * φαμὲν πρὸς αὐτόν, ὅτι τὸ μὲν μεταβάλλον, ἡνίκα μεταβάλλει, ἔχει τινὰ

1 ἐποίησε] in Iliade haec non leguntur; cf. Trendelenb. de An. A 2 p. 404a29 τὴν (ante τοῦ) om. D 5 ὄντα ex Aristotele addidi εἴ γε ἔχειν om. D 9 οἱ om. D 10 ante ὅτι addendum τοῦτο οὖν λέγει 16. 17 ταύτης scripsi: αὐτῆς libri 17 κατὰ] τὴν Aristoteles 20 οὕτως om. D 23 ἢ ex Aristotele addidi 24 ὁ addidi 26. 27 fort. ἀληθὲς λέγοντες et ἔλεγον ὅτι ἀδύνατον 27 ὅτι addidi ἀδύνατον scripsi: δυνατὸν libri 34 εἴ γε scripsi: ἐγ sequente vacuo spatio libri παρέρχεται scripsi: παρέχεται libri 35 post ἡ μὲν lacuna X litt. libri: fort. legendum est ἡ μὲν οὖν δόξα αὕτη, ἡμεῖς δέ φαμεν

αὐτοῖς λόγον. ἐπειδὴ ῥεῖ· ὅμως μέντοι γε καὶ τοῦτο ἀμφισβητήσιμον ὑπάρχει. ἡνίκα γὰρ γίνεται ἐκ λευκοῦ μέλαν, ἔχει τι καὶ τοῦ λευκοῦ, ἐξ οὗ ἐξίσταται, καὶ τοῦ μέλανος, εἰς ὃ τρέπεται· ὥστε οὐκ ἔστι παντελῶς ἀσύστατον. ἄλλως τε δὴ τὸ φθειρόμενον δεῖ εἶναί τι, ἵνα καὶ φθείρηται, καὶ εἰ γίνεταί τι, δεῖ εἶναι ὡρισμένον ἐκεῖνο ἐξ οὗ γίνεται. καὶ τὸ ποιοῦν αὐτὸ ἀνάγκη εἶναι, εἰ μὴ ἔχει ἐκεῖνο ἕτερον ποιητικόν, ἐπεὶ οὕτως εἰς ἄπειρον προελευσόμεθα. πρὸς ἐπὶ τούτοις δὲ κατὰ τὸ ποσόν ἐστιν ἡ ῥύσις τῆς ἐπιρροῆς καὶ τῆς ἀπορροῆς· ἡνίκα γὰρ μὴ τρεφόμεθα, ἀπορρεῖ τὰ ἐξ ἡμῶν, ἡνίκα δὲ τρεφόμεθα, ἐπιρρεῖ· τὸ δὲ εἶδος ὡρισμένον μένει. πῶς οὖν ἔλεγον πάντα ἐν ῥύσει εἶναι; διό φησιν ἀλλὰ ταῦτα παρέντας ἐκεῖνα δεῖ ἡμᾶς εἰπεῖν ὅτι οὐ τὸ αὐτό ἐστι τὸ μεταβάλλειν κατὰ ποσὸν καὶ ποιόν. κατὰ οὖν τὸ ποσὸν γίνεται μεταβολή, τὸ δὲ εἶδος ἀμετάβλητόν ἐστι. τὰ δὲ πράγματα κατὰ τὰ εἴδη γινώσκονται· ὥστε οὐκ ἔστιν ἡ γνῶσις ἀπερίληπτος. ἄλλως τε δὴ ἄξιόν ἐστιν ἐπιτιμῆσαι τοῖς ἐκ τῶν αἰσθητῶν τῶν ἐλαττόνων, τῶν ὄντων ἐν ῥύσει καὶ μεταβολῇ, ἀποφαινομένοις καὶ περὶ τοῦ ὅλου οὐρανοῦ. ὁ γὰρ περὶ ἡμᾶς τόπος μέν ἐστιν ἐν γενέσει καὶ φθορᾷ, ἀλλ' οὗτος ὁ τόπος οὐδὲν μόριόν ἐστι τοῦ παντός· δείκνυται γὰρ ὅτι τὸ ἀπὸ τῆς γῆς μέχρι τῆς ἡλιακῆς σφαίρας τοῦ ἀπὸ τῆς γῆς μέχρι τῆς σεληνιακῆς εἰκοσαπλάσιον ὑπάρχει. δείκνυται δὲ ἐν γεωμετρίᾳ ὅτι τὰ μήκει διπλάσια f. 195v δυνάμει τετραπλάσια ὑπάρχουσι, τὰ δὲ στερεὰ ὀκταπλάσια ὑπάρχουσιν· ὥστε τὸ ἐμβαδὸν τοῦ ἐμβαδοῦ τετρακοσιοστοπλάσιον ὑπάρχει (ἐὰν γὰρ τὸ ἐμβαδὸν τέμω εἰς $\bar{\kappa}$, τετρακόσια χωρία ποιῶ), τὸ δὲ στερεὸν ὀκτακισχιλιονταπλάσιον ὑπάρχει τῆς ἡλιακῆς σφαίρας, ὅπου κινεῖται ὁ ἥλιος, τοῦ ἀπὸ τῆς γῆς μέχρι τῆς σεληνιακῆς, τουτέστι τῶν τεσσάρων στοιχείων. τὸ δὲ ἀπὸ τῆς σεληνιακῆς μέχρι τῆς ἀπλανοῦς οὔτε λόγον δέχεται οὔτε τρόπον τινά· ὥστε εἰκότως φησὶν ὅτι τοῦτο οὐδὲν ὡς εἰπεῖν μόριόν ἐστι τοῦ παντός. ὥστε δικαιότερον ἂν δι' ἐκεῖνα τὰ μείζονα τούτων τῶν φθαρτῶν ἀπεψηφίσαντο ἢ διὰ ταῦτα ἐκείνων κατεψηφίσαντο. ἔτι δὲ πρὸς τοὺς πάλαι λόγους ταῦτα ἐροῦμεν. ὅτι γάρ ἐστιν ἀκίνητος φύσις λεκτέον αὐτοῖς καὶ δεῖ αὐτοὺς πείθειν περὶ τούτου. καίτοι γε συμβαίνει τοῖς λέγουσι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι ἠρεμεῖν μᾶλλον φάναι πάντα ἢ παρακινεῖσθαι. οὐ γάρ ἐστιν εἰς ὃ μεταβάλλει· ἅπαντα γὰρ ὑπάρχουσιν ⟨ἐν πᾶσιν⟩. εἰ γὰρ τὸ λευκὸν καὶ οὐ λευκόν ἐστιν, ἀμετάβλητον ἔσται· διὰ τί γὰρ μεταβαλεῖ; ἤδη γὰρ ἔχει εἰς ὃ βούλεται μεταβάλλειν· ὥστε πάντα ἐξ ἀνάγκης ἐροῦσιν ἀμετάβλητα. χρὴ δὲ εἰδέναι ὅτι ἡ γῆ ἀκίνητός ἐστι. νόει οὖν εὐθεῖαν φερομένην ἀπὸ τοῦ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τι * * * σαν τὴν

3 τρέπεται scripsi: ἕπεται libri 4 ἄλλως τε δὴ scripsi: ἀλλ' ὅτε δὴ libri φθείρηται scripsi: φθείρει libri 5 ἐκεῖνο ἐξ οὗ scripsi: ἐκείνου libri 6 μὴ ἔχει scripsi: μετέχει libri ποιητικόν scripsi: πορητικόν libri 8. 9 ἀπορρεῖ—τρεφόμεθα om. D 8 ἀπορρεῖ τὰ scripsi: ἀπορρεῖται libri 17 οὐδὲν scripsi coll. v. 26: οὐδὲ libri 18 τῆς (post μέχρι) om. A¹D 27. 28 ἢ—κατεψηφίσαντο om. D 28. 29 πρὸς τούτους ταὐτὰ τοῖς πάλαι λεχθεῖσιν ἐροῦμεν Arist. 32 post ὑπάρχουσιν lacuna VII litt. A, V litt. D: ἐν πᾶσιν addidi Aristotelem secutus 33 μεταβαλεῖ scripsi: μεταβάλλει libri 36 res postulare videtur προσπίπτουσαν πρὸς τὴν γῆν

γῆν καὶ συμπεριφερομένην, καὶ γράφει κύκλον τῆς γῆς ἀκινήτου οὔσης. ὥστε † φάναι κύκλος καὶ οὐ τὰ ὅμοια καὶ ἐπὶ τοῦ χειμερινοῦ, καὶ τοῦ βορείου καὶ νοτίου πόλου.

p. 1010ᵇ1 Περὶ δὲ τῆς ἀληθείας ὡς οὐ πᾶν τὸ φαινόμενον ἀληθές, πρῶτον μέν.

Ἐντεῦθεν πρὸς τὴν Πρωταγόρειον δόξαν ἐνίσταται τὴν λέγουσαν πᾶν τὸ φαινόμενον ἀληθὲς εἶναι, καὶ 'τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ ἀληθές ἐστιν.' ἐκέχρητο δὲ ὁ Πρωταγόρας τοιούτῳ συλλογισμῷ πρὸς τὴν σύστασιν τῆς οἰκείας δόξης, λέγων οὕτως ὅτι ἡ φαντασία ταὐτόν ἐστι τῇ αἰσθήσει, πᾶσα f. 196r αἴσθησις ἀληθὴς ὑπάρχει. ἡ φαντασία ἄρα ἀληθὴς ὑπάρχει· καὶ τούτῳ ἐσπούδαζε δεικνύναι ὅτι πᾶν τὸ φαινόμενόν ἐστιν ἀληθές, καὶ ὅτι ὃ δοκεῖ κατὰ τὴν φαντασίαν ἀληθές, τοῦτο καὶ ἔστιν ἀληθές. ἰστέον δὲ ὅτι τούτων τῶν προτάσεων ἡ μὲν ἐλάττων πρότασις παντελῶς ψευδὴς ὑπάρχει· οὔτε γὰρ ἡ φαντασία ἡ αὐτή ἐστι τῇ αἰσθήσει, εἴγε ἡ μὲν αἴσθησις δεῖται τῶν ἐκτὸς πρὸς τὸ ἐνεργῆσαι, ἡ δὲ φαντασία οὐ δεῖται τῶν ἐκτός· διὸ καὶ παθητικὸν νοῦν προσαγορεύει ταύτην ὁ Ἀριστοτέλης ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ. ἀλλ' οὔτε γὰρ πᾶσα αἴσθησις ἀληθής, ἀλλὰ ἡ τοῦ οἰκείου αἰσθητοῦ, καὶ οὐ τοῦ ἀλλοτρίου· οὔτε γὰρ δύναται γεῦσις κρῖναι τὰ χρώματα· ὥστε χρεία ἐστὶ καὶ τοῦ οἰκείου αἰσθητοῦ, καὶ ἵνα ὑγιαίνῃ τὸ αἰσθητήριον, καὶ τὸ αἰσθητὸν ἵνα μὴ εἴη πόρρω, καὶ ὅσα ἄλλα προσδιώρισται ἀκριβέστερον ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ.

p. 1010ᵇ1 Περὶ δὲ τῆς ἀληθείας, ὡς οὐ πᾶν τὸ φαινόμενον.

Περὶ δὲ τῆς ἀληθείας, περὶ ἧς καὶ τὸν λόγον ποιούμεθα, ὡς οὐ πᾶν τὸ φαινόμενόν ἐστιν ἀληθὲς κατὰ Πρωταγόραν. φησὶν οὖν ὅτι κἂν ὑποθώμεθα, ὅτι οὐκ ἔστιν ἡ αἴσθησις ψευδὴς τοῦ ἰδίου αἰσθητοῦ, * * * ἡ αἴσθησις ἀληθὴς ὑπάρχει· ἡ ⟨δὲ⟩ ἐλάττων πρότασις οὐκ ἔρρωται ἡ λέγουσα ὅτι ἡ φαντασία ἡ αὐτή ἐστι τῇ αἰσθήσει, καθάπερ ἐν τῇ θεωρίᾳ ἐδείξαμεν.

p. 1010ᵇ3 Εἶτα ἄξιον θαυμάσαι, εἰ τοῦτο ἀποροῦσι, πότερον τηλικαῦτά ἐστι τὰ μεγέθη.

Ἄξιόν ἐστιν αὐτοὺς θαυμάσαι, πῶς ὅλως φασὶν ὅτι πᾶσα αἴσθησίς ἐστιν ἀληθής. ἡνίκα γάρ τις πόρρωθεν θεωρεῖ ὄρος μέγα, μικρὸν αὐτῷ πάνυ δοκεῖ εἶναι διὰ τὸ διάστημα τῆς ὄψεως ἐξασθενούσης, καὶ ὥσπερ

2 sententia tale quid postulat ὥστε οὐ δεῖ φάναι ὅτι κύκλος ἐστὶ καὶ οὐ κύκλος· ὁμοίως δὲ καὶ κτλ. 11 καὶ ὅτι—ἔστιν ἀληθές (12) om. D 12 ὅτι om. D 12. 13 τούτων scripsi: τούτῳ libri 16. 17 ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ] cf. Γ 5 21 ἐν τῇ Περὶ ψυχῆς πραγματείᾳ] B 7 sqq. 25 lacunam indicavi: fort. legendum ἀλλ' οὐχ ἁπλῶς πᾶσα αἴσθησις 26 δὲ addidi 30 φασὶν scripsi: φησὶν libri

γεώλοφος αὐτῷ τις δοκεῖ εἶναι, πλησίον δὲ μέγιστον· ὥστε εἰ πᾶν τὸ φαι-
νόμενον ἀληθές, συμβήσεται τὸ αὐτὸ καὶ μέγα εἶναι καὶ μικρόν, ὅπερ ἐστὶν
ἀδύνατον. ἄλλως τε δὴ πάλιν, ὡς εἴρηται ἐν τῇ Περὶ ψυχῆς, ὅτι τὰ f. 196v
πόρρωθεν μελάντερα φαίνονται διὰ τὴν ἀσθένειαν· ὥστε πάλιν συμβήσεται
5 τὸ αὐτὸ καὶ μέλαν εἶναι καὶ λευκόν, ὅπερ ἐστὶν ἄτοπον. πρὸς ἐπὶ τούτοις
δέ, ὅπερ φησὶ καὶ ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ, ὅτι καὶ οἱ καθεύδοντες ἀλη-
θεύουσι καὶ οἱ ἐγρηγορότες. ἐὰν οὖν τις ὑπάρχων ἐν Λιβύῃ [καὶ] οἴηται
ἑαυτὸν ἀπερχόμενον εἰς τὸ ᾠδεῖον τῆς Ἀττικῆς, ἀναστὰς ἐξ ὕπνου πορεύε-
ται ἐπὶ τὸ ᾠδεῖον, ὅπερ ἐστὶν ἀδύνατον. ᾠδεῖον δὲ λέγεται τὸ μέρος τοῦ
10 θεάτρου, ὅπου αἱ ᾠδαὶ λέγονται. φησὶν οὖν ὅτι ἄξιόν ἐστι θαυμάσαι, εἴ-
περ ὅλως τὸ οὕτως ἄτοπον ἀποροῦσι λέγοντες ὅτι πᾶσα αἴσθησίς ἐστιν
ἀληθής. πότερον τηλικαῦτά ἐστι τὰ μεγέθη καὶ τὰ χρώματα τοι-
αῦτα, καὶ οἷα ἄρα φαίνονται πόρρωθεν, τοιαῦτα φαίνονται καὶ τοῖς ἐγγύθεν,
ὥστε συμβήσεται, ὡς εἴρηται, πάντας ἀληθεύειν καὶ τὸ αὐτὸ καὶ μέγα εἶναι
15 καὶ μικρὸν κατὰ τὸ αὐτό, ὅπερ ἐστὶν ἀδύνατον. καὶ πάλιν φησὶν πότερον
ὁποῖα τοῖς ὑγιαίνουσι, τοιαῦτα καὶ τοῖς κάμνουσι φαίνεται· πάλιν οἷα τοῖς
ἀσθενοῦσι, τοιαῦτα καὶ τοῖς ἰσχύουσι. συμβαίνει οὖν τὸ αὐτὸ καὶ γλυκὺ
εἶναι καὶ πικρὸν μέλι, ἐπεὶ τῷ μὲν ὑγιαίνοντι δοκεῖ εἶναι γλυκύ, τῷ δὲ
κάμνοντι πικρόν, καὶ πάλιν τὸ αὐτὸ τῷ μὲν ἰσχύοντι ἐλαφρὸν τῷ δὲ ἀσθε-
20 νοῦντι βαρύ. καὶ ὅτι φασὶν ἐν Ἀσίᾳ εἶναι λίθους ἐοικότας πιστακίοις καὶ
ᾠοῖς καὶ ῥοιαῖς. καὶ ἡμεῖς τοῦτο ἐθεασάμεθα· ὥστε καὶ οἱ λίθοι πιστάκια
καὶ ᾠὰ καὶ ῥοιαὶ ὑπάρχουσι. πάλιν οἷα τοῖς καθεύδουσι, τοιαῦτα καὶ τοῖς
ἐγρηγορόσιν. ὅτι μὲν οὖν τοιαύτην, ὥς φασιν, ἔχοντες δόξαν οὐχ οὕτως
ὑπολαμβάνουσι, φανερὸν ὑπάρχει· οὐδεὶς γοῦν νύκτωρ ὀνειρώττων καὶ δόξας
25 Ἀθήνησιν εἶναι ὢν ἐν Λιβύῃ πορεύεται εἰς τὸ ᾠδεῖον.

p. 1010b11 Ἔτι δὲ περὶ τοῦ μέλλοντος, ὥσπερ καὶ Πλάτων λέγει.

Βούλεται αὐτοὺς ἐλέγξαι καὶ ἐκ τοῦ μέλλοντος χρόνου, καθάπερ καὶ f. 197r
Πλάτων φησίν. ὁρᾷ γὰρ τὸν † ἀσθενοῦν * * * τὸν αὐτὸν ὁρᾷ καὶ λέγει
ὅτι οὐ πυρέξει καὶ ὅτι τεθνήξεται καὶ οὐ τεθνήξεται· ὥστε ὁ αὐτὸς καὶ
30 πυρέξει καὶ οὐ πυρέξει, καὶ τεθνήξεται καὶ οὐ τεθνήξεται, ὅπερ ἐστὶν ἀδύ-
νατον. τοῦτο οὖν φησιν ὅτι περὶ τοῦ μέλλοντος χρόνου οὐ δήπου ὁμοίως
κυρία ἡ τοῦ ἰατροῦ δόξα καὶ ἡ τοῦ ἀγνοοῦντος, οἷον περὶ τοῦ
μέλλοντος ἔσεσθαι ὑγιοῦς ἢ μὴ μέλλοντος. ἔτι δὲ ἐπ' αὐτῶν τῶν
αἰσθήσεων οὐχ ὁμοίως κυρία ἡ τοῦ ἀλλοτρίου καὶ ἰδίου. ἡ μὲν

---

3. 4 τὰ πόρρωθεν κτλ.] haec verba non in libris de Anima, sed Meteor. Γ 4 p. 374b14 leguntur 6 ἐν τῷ Θεαιτήτῳ] p. 157E sq. 7 καὶ delevi 8 τῆς Ἀττικῆς — τὸ ᾠδεῖον (9) om. D 14 καὶ addidi 17 ἰσχύουσι scripsi: κάμνουσι libri 28 Πλάτων φησίν] Theaet. p. 178 B sqq. post ἀσθενοῦν lacuna V litt. A, XII litt. D: exspectes tale aliquid τὸν ἀσθενοῦντα ἰατρός, καὶ ἰδιώτης τὸν αὐτὸν ὁρᾷ, καὶ ὁ μὲν ἰδιώτης λέγει ὅτι πυρέξει καὶ τεθνήξεται, ὁ δὲ ἰατρὸς οὔ φησιν 29 ὥστε — οὐ τεθνήξεται (30) om. D 31 ὁμοίως Aristoteles: ὁμοία libri

γὰρ ὄψις ἀληθεύει περὶ τὰ χρώματα, ἐπειδὴ ἴδιον αὐτῶν ἐστιν αἰσθητόν, ἡ δὲ γεῦσις οὐκ ἀληθεύει. ἐπειδὴ ἀλλότριόν ἐστιν αὐτῆς. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πλησίον καὶ τοῦ * * * τουτέστι τοῦ πόρρω. ἀλλὰ περὶ μὲν χρώματα ὄψις ἀληθεύσει. οὐ γεῦσις. περὶ δὲ χυμοὺς γεῦσις. ἀλλ' οὐκ ὄψις. εἰ γὰρ καὶ συνενεργοῦσα ἅμα ἔγνω ἡ ὄψις ὅτι ξανθόν ἐστι τὸ μέλι, βλέπουσα χρῶμα ἀπατᾶται καὶ ὑπολαμβάνει αὐτὸ γλυκύ, ἐπειδὴ τὸ μέλι ξανθὸν ὑπάρχον γλυκὺ ἦν. ὥστε οὐ πᾶσα αἴσθησίς ἐστιν ἀληθής, καθάπερ ματαίως ἔλεγον οἱ περὶ Πρωταγόραν.

p. 1010ᵇ18 Ὧν ἑκάστη ἐν τῷ αὐτῷ χρόνῳ περὶ τὸ αὐτὸ οὐδέποτέ φησιν ἅμα οὕτω καὶ οὐχ οὕτως ἔχειν.

Ἰστέον ὅτι ἡ ἀπάτη γίνεται ἢ παρὰ τὴν ἐξάλλαξιν τῶν αἰσθητῶν ἢ παρὰ τὴν ἐξάλλαξιν τῶν αἰσθήσεων ἢ παρὰ τὴν διαφορὰν τῶν μορίων. παρὰ μὲν τὴν ἐξάλλαξιν τῶν αἰσθητῶν, ἐὰν ὁ οἶνος μεταβάλοι ὁ γλυκὺς εἰς ὄξος (ἡμῶν γὰρ λεγόντων εἶναι αὐτὸν γλυκύν, καθάπερ καὶ ἡ τῶν πραγμάτων φύσις ἔχει. μετέβαλεν)· ἢ παρὰ τὴν ἐξάλλαξιν τοῦ αἰσθητηρίου γινομένη (τοιόσδε γὰρ χυμὸς συρρεύσας περὶ τὴν γλῶτταν ἐποίησεν αὐτὸν ὑπολαβεῖν τὸ μέλι πικρόν, ὡς ἐπὶ τῶν ἀσθενούντων), ἢ παρὰ τὴν διαφορὰν τῶν μορίων· τῶν γὰρ μορίων, εἰ τύχοι, τὰ μέν ἐστι θερμότερα τὰ δὲ ψυχρότερα, ἤγουν ξηρότερα ἢ ὑγρότερα. τοῦτο οὖν φησιν ὅτι τῶν οἰκείων f.197v αἰσθητῶν ἡ ἑκάστου αἴσθησις ἐν τῷ αὐτῷ χρόνῳ περὶ ταὐτὸ οὐδέποτε ἅμα οὕτω καὶ οὐχ οὕτως ἔχει, κατ' ἄλλον δὲ καὶ ἄλλον χρόνον· δύναται γὰρ καὶ τὸ λευκὸν ὕστερον γενέσθαι μέλαν καὶ τὸ πικρὸν γλυκύ, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. οὕτως δὲ καὶ περὶ τὸ αὐτό· περὶ γὰρ ἄλλο καὶ ἄλλο οὐ πάντως τὰ αὐτὰ ἐρεῖ. περὶ μέντοι γε τὸ πάθος, τουτέστι περὶ τὴν γλυκύτητα οὐδ' ἐν ἑτέρῳ χρόνῳ ἀμφισβητεῖ (ἀεὶ γὰρ τὸ γλυκὺ γλυκύ ἐστι, καὶ ἡ φύσις τοῦ γλυκέος, καθὸ γλυκύ, ἡ αὐτή ἐστιν), ἀλλὰ περὶ ἐκεῖνο ἀμφισβητεῖ, περὶ ὃ συμβέβηκε τὸ πάθος· οἷον ὁ μὲν αὐτὸς οἶνος δόξειεν ἂν μεταβάλλων ἢ τοῦ σώματος μεταβάλλοντος, τουτέστι τοῦ αἰσθητηρίου, διά τινα χυμὸν συρρεύσαντα ἐκεῖσε ποτὲ μὲν εἶναι γλυκὺς ποτὲ δὲ οὐ γλυκύς· ἀλλ' οὐ τό γε γλυκύ, οἷόν ἐστιν ὅταν ὑπάρχῃ γλυκύ, οὐδέποτε μετέβαλεν, αὐτὴ ἡ φύσις τοῦ γλυκέος καθόλου· ὡρισμένον γάρ ἐστι καὶ τὴν οὐσίαν ἔχει ἐν τῇ γλυκύτητι. διό φησιν ἀλλὰ ἀληθεύει περὶ αὐτοῦ, καὶ ἔστιν ἐξ ἀνάγκης ⟨τὸ⟩ ἐσόμενον γλυκὺ τοιοῦτο, τουτέστιν οὐσιωμένον κατὰ τὴν γλυκύτητα.

---

2 post ἀληθεύει add. περὶ τὰ χρώματα D 3 τοῦ (post καὶ) om. D post τοῦ lacuna VI litterarum A: item post καὶ D τοῦ αὐτῆς Metaph. p. 1010ᵇ16; Asclepius fort. ἄποθεν legit; cf. Bonitzii comm. in Metaph. p. 206 4 ἀληθεύει D 5 συνενεργοῦσα scripsi: συνενεργὴς ἡ A: συνεργὰς ἡ D 10 οὕτω Aristoteles, cf. v. 21: αὐτῷ libri ἔχειν Aristoteles: ἔχει libri 12 ἢ παρὰ τὴν ἐξάλλαξιν—τῶν αἰσθητῶν (13) om. D 15. 16 γινομένη scripsi: γινόμενος libri 26 ἡ αὐτή scripsi: αὕτη libri 31 αὐτὴ scripsi: αὐτὸ libri

p. 1010b26 Καίτοι τοῦτο ἀναιροῦσιν οὗτοι οἱ λόγοι ἅπαντες.

Ὃ λέγει τοῦτό ἐστιν ὅτι οἱ λόγοι οἱ λέγοντες τὴν ἀντίφασιν συναληθεύειν καὶ ὅτι πᾶς ὁ λέγων ἀλήθειαν λέγει ἀναιροῦσι τὰς οὐσίας τῶν πραγμάτων. εἰ γὰρ ἐν τῇ σχέσει τῇ πρὸς τὴν αἴσθησιν ἔχοιεν τὸ εἶναι τὰ αἰσθητά, αὐτὰ καθ' αὑτὰ ἀνυπόστατα ὑπάρχουσιν, οἷον τὸ λευκόν, τὸ γλυκύ· οὔτε γὰρ ἔχουσιν ⟨οὐσίαν⟩ ὡρισμένην ὡς πρᾶγμα, καθάπερ φασὶν ἐκεῖνοι οἱ λέγοντες τὴν ἀντίφασιν συναληθεύειν καὶ πάντα ἀληθῆ λέγειν· καὶ γὰρ ὁ λέγων ἄνθρωπος ἀληθεύει καὶ ὁ μὴ λέγων, ὥστε οὐδέν ἐστιν. ἀναιροῦνται δὲ καὶ προτάσεις αἱ ἀναγκαῖαι. τὸ γὰρ ἀναγκαῖον οὐκ ἐνδέχεται ἄλλως καὶ ἄλλως ἔχειν· εἰ δὲ πάντες ἀληθεύουσι, δῆλον ὡς ὅτι σχήσει f. 198r ἄλλως καὶ ἄλλως. πρὸς ἐπὶ τούτοις δὲ ἀναιρεθείη καὶ ἀπόδειξις, τῶν ἀρχῶν μὴ οὐσῶν ὡρισμένων. ἄλλως τε δὴ εἰ ὑποθώμεθα μόνα εἶναι τὰ αἰσθητά, μὴ ὄντων τῶν ἐμψύχων οὐδὲν ἔσεται, ἐπειδὴ πᾶσα αἴσθησις ἐκ ψυχῆς προέρχεται, τὰ δὲ αἰσθητὰ ἐν τῇ σχέσει τὸ εἶναι ἔχουσι τῶν αἰσθήσεων. * * * τοίνυν καθ' ὑπόθεσιν, ἐὰν ἀνέλωμεν τὰ ζῷα. εἰ γοῦν καθευδήσουσιν, οἴχεται πάντα καὶ οὐδέν ἐστιν οὔτε θεός (ἱλήκοι) οὔτε ἄγγελος οὔτε ἄλλο τι ⟨τῶν⟩ ὄντων κατ' αὐτούς, ὅπερ ἐστὶ καὶ τὸ λέγειν ἐπικίνδυνον. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι οἱ τούτων λόγοι ἀναιροῦσι τὸ μηδενὸς εἶναι οὐσίαν μήτε δὲ εἶναί τι ἐξ ἀνάγκης. τὸ γὰρ ἀναγκαῖον οὐκ ἐνδέχεται ἄλλως καὶ ἄλλως ἔχειν· ὥστε εἰ ἔστι τὰ ἐξ ἀνάγκης, ὥσπερ καὶ ἔστι, καθάπερ φαμὲν ἐξ ἀνάγκης τὸν ἥλιον ἀνατέλλειν καὶ τὸν ἄνθρωπον ζῷον εἶναι καὶ ἄλλα μυρία. καὶ τὸν θεὸν ἀγαθόν, οὐχ οἷόν τε οὕτως τε καὶ οὐχ οὕτως, ἀλλ' ἀεὶ ὡρισμένη φύσις τῶν πραγμάτων. ἄλλως τε, φησίν, εἴ γε ὑποθώμεθα τὸ αἰσθητὸν μόνον, οὐθὲν ἂν εἴη παντελῶς μὴ ὄντων τῶν ἐμψύχων· αἴσθησις γὰρ οὐκ ἂν εἴη, ὡς εἰρήκαμεν. τὸ μὲν οὖν μήτε τὰ αἰσθητὰ εἶναι ὡς αἰσθητὰ μήτε τὰς αἰσθήσεις ὡς αἰσθήσεις ἄνευ ἀλλήλων (τῶν πρός τι γὰρ ταῦτα ὑπάρχουσιν) ἴσως τὸ τοιοῦτο ἀληθὲς ὑπάρχει (τοῦ γὰρ αἰσθανομένου πάθος τοῦτό ἐστι τὸ τῆς αἰσθήσεως)· τὸ δὲ λέγειν ὅτι οὐδὲ τὰ ὑποκείμενά εἰσι, τουτέστιν αὐτὰ τὰ πράγματα, ἄνευ τῶν αἰσθήσεων, ἄτοπόν τί ἐστι καὶ ἀδύνατον. ὡς μὲν γὰρ αἰσθητὰ τῷ ὄντι οὐχ ὑπάρχουσιν ἄνευ τῶν αἰσθήσεων. ὥσπερ καὶ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ φαμεν ὅτι ὡς μὲν πατὴρ οὐ προϋφέστηκε τοῦ υἱοῦ, ὡς δὲ ἄνθρωπος προϋφέστηκεν αὐτοῦ· οὕτως οὖν φημι καὶ ἐπὶ τῶν αἰσθητῶν καὶ τῆς αἰσθήσεως, ὅτι ὡς μὲν αἰσθητὰ οὐ προϋπάρχουσι τῶν αἰσθήσεων, ὡς δὲ f. 198v πράγματα προϋπάρχουσιν, ἐπειδὴ καὶ κινοῦσι, φύσει δὲ πρότερα ὑπάρχουσι τὰ κινοῦντα τῶν κινουμένων. διότι φησὶ τὸ δὲ τὰ ὑποκείμενα μὴ

6 οὐσίαν addidi φησὶν A 10 σχήσει scripsi: σχέσει libri 11 ἀναιρεθείη scripsi: ἀναιρεθῇ libri 15 lacunam indicavi: fort. addendum ἀναιρεθήσεται 17 τῶν addidi 19 τι scripsi: τῆς libri 24 γε scripsi: τε A: τι D 25 γὰρ οὐκ ἂν ex Aristotele scripsi: οὐ γὰρ κἂν libri 28 τοῦτο γὰρ D 29 οὕτε libri 32 φαμεν—υἱοῦ om. D 33 οὖν om. D 35 πράγματα scripsi coll. p. 284,7: αἰσθητὰ libri

εἶναι, ἃ ποιεῖ τὴν αἴσθησιν, καὶ ἄνευ αἰσθήσεως ἀδύνατον. οὐ γὰρ ἥ γ' αἴσθησις αὐτὴ ἑαυτῆς ἐστι, τουτέστι * * * τῇ αἰσθήσει ἔχουσι τὸ εἶναι τὰ αἰσθητά, ἀλλ' ἔστι τι καὶ ἕτερον παρὰ τὴν αἴσθησιν, ὅπερ ἀνάγκη πρότερον εἶναι τῆς αἰσθήσεως· καθάπερ γὰρ εἰρήκαμεν. τὸ κινοῦν τοῦ κινουμένου φύσει πρότερόν ἐστι· κἂν εἰ λέγηται πρὸς ἄλληλα ταῦτα, ὡς [τὰ] αἰσθητὰ καὶ αἰσθήσεις οὔκ εἰσιν ἄνευ ἀλλήλων, ὡς μέντοι γε πράγματα ὑπάρχουσι πρότερα.

p. 1011a3 Εἰσὶ δέ τινες οἳ ἀποροῦσι καὶ τῶν ταῦτα πεπεισμένων καὶ τῶν τοὺς λόγους τούτους μόνους λεγόντων.

Ἐντεῦθεν ἕτερον ἐπιχείρημα τίθησι καί φησιν ὅτι εἰσί τινες οἷς μὲν ἀρέσκει τὰ παρ' ἡμῶν λεγόμενα, ὅτι οὐκ ὀρθῶς λέγουσιν οἱ περὶ Πρωταγόραν * * * ὁ παρ' ἐκείνων λόγος ταράττει αὐτούς. φασὶν γὰρ ἐκεῖνοι ὅτι ἐπειδὴ καὶ ὁ νοσῶν ὑπολαμβάνει τὸ μέλι πικρὸν καὶ ὁ ὑγιαίνων γλυκύ, τίνι κριτέον αὐτά; κἂν γὰρ εἴποι ὁ ὑγιαίνων ὅτι ἐγὼ καλῶς λέγω, οὐδὲν ἧττον ἐρεῖ ὁ νοσῶν ὅτι ἐγὼ μᾶλλον καλῶς λέγω· πόθεν γὰρ δῆλον ὅτι οὐ μᾶλλον ἐγὼ ἀληθεύω ἤπερ σύ; καὶ πάλιν ἐπειδὴ τῷ μὲν δοκεῖ τόδε εἶναι, τῷ δὲ τόδε, τίνι κριτέον ἅπαντα ταῦτα; φησὶν οὖν πρὸς ταύτην τὴν ἀπορίαν ὁ Ἀριστοτέλης ὅτι τὰ τοιαῦτα ἀπορήματα ὅμοια ὑπάρχουσι τῷ ἀπορεῖν, πότερον καθεύδομεν νῦν ἢ ἐγρηγόραμεν. τὰ γὰρ ὁμολογούμενα οὐ δεῖ ζητεῖν· οἱ γὰρ τοιοῦτοι, ὡς φησιν ἐν τοῖς Τόποις, αἰσθήσεως ἢ κολάσεως δέονται. ἄλλως τε δὴ οὐ δεῖ τὰς ἀρχὰς τῶν ἀποδείξεων ἀποδεικνύναι, ἐπεὶ οὕτως, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ, πάντα ἔσονται ἀποδεικτὰ καὶ οὕτως οὐδὲν ἔσται ἀναπόδεικτον. τοῦτο οὖν φησιν ὅτι εἰσὶ δέ τινες οἵτινες ἀποροῦσι καὶ τῶν ταῦτα πεπεισμένων ὅτι καλῶς f. 199r λέγομεν, καὶ τῶν τοὺς λόγους τούτους μόνους λεγόντων ὑφορῶνται ἀποροῦντες δι' αὐτούς, καθάπερ εἰρήκαμεν· ζητοῦσι γὰρ τίς ἐστιν ὁ κρίνων τὸν ὑγιαίνοντα καὶ τὸν νοσοῦντα, ἡνίκα ὁ μὲν λέγει ὅτι πικρόν ἐστι τὸ μέλι, ὁ δὲ γλυκύ (ἀμφότεροι γὰρ οὐ πείθονται ἀλλήλοις), καὶ πάλιν ἡνίκα ὁ μὲν φαίη τόνδε πυρέττειν ὁ δὲ μὴ πυρέττειν. ζητοῦσι γὰρ τίνι κριτέον ταῦτα, καὶ ὅλως τὸν περὶ ἕκαστα κρινοῦντα ὀρθῶς. ἐπειδὴ ἀλλήλοις οὐ πείθονται. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι τὰ τοιαῦτα ἀπορήματα ὅμοιά ἐστι τῷ ἀπορεῖν. πότερον καθεύδομεν ἢ ἐγρηγόραμεν νῦν. δύνανται δὲ αἱ ἀπορίαι αἱ τοιαῦται πᾶσαι τὸ αὐτό. πότερον ἐσθίομεν ἢ οὐκ ἐσθίομεν. καὶ πότερον λουόμεθα, εἴ γε μὴ πείθονται ἀλλήλοις οἱ λέγοντες. οἱ τοίνυν

2 post γὰρ II litterae desunt A: ἥ γ' ex Aristotele addidi ἑαυτῆς Aristoteles: ἑαυτῶν libri post τουτέστι VII litterae desunt A: fort. addendum οὐ γὰρ ἐν 5 γὰρ addidi 6 τὰ delevi αἱ αἰσθήσεις A 12 ante ὁ lacuna VI litt. A, IV litt. D: addendum videtur ἀλλ' ὅμως 16 τῷ μὲν et 17 τῷ δὲ scripsi: τὸ μὲν et τὸ δὲ libri 20 ἐν τοῖς Τόποις] Top. A 11 p. 105a3 sqq. 22 ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ] Anal. post. A 3 24 ἀποροῦσι—λέγομεν (25) om. D 29 τόνδε scripsi: τὸν μὲν libri ὁ δὲ scripsi: τὸν δὲ libri

τοιοῦτοι πάντων τῶν λεγομένων αἰτίας βούλονται λαμβάνειν· ἀρχὴν γὰρ ζητοῦσι, καὶ ταύτην τὴν ἀρχὴν βούλονται διὰ ἀποδείξεως λαμβάνειν, ὅπερ ἐστὶν ἀδύνατον· εἰ γὰρ τῶν ἀρχῶν ἀποδείξεις ληψόμεθα, ἐπ' ἄπειρον καταντήσομεν, καὶ οὕτως οὐδὲν ἔσται ἀποδεικτόν· οὐδὲ γὰρ δυνατὸν διελθεῖν τὸ ἄπειρον. ἐπεὶ ὅτι γε οὐ πεπεισμένοι ὑπάρχουσιν ὅτι ὅπερ τις νομίζει τοῦτο καὶ ἀληθὲς ὑπάρχει, δηλοῦσιν ἐν ταῖς πράξεσιν· οὔτε γὰρ βουλόμενοι πιεῖν ὕδωρ εἰς κάμινον ἀπέρχονται πυρός. ἀλλ' ὥσπερ εἴπομεν, τὸ πάθος αὐτῶν τοῦτό ἐστι· λόγον γὰρ ζητοῦσιν, ἐφ' ὧν πραγμάτων οὐ δυνατόν ἐστιν ἀποδοῦναι λόγον· ἡ γὰρ ἀρχὴ τῆς ἀποδείξεως οὐκ ἔστιν ἀποδεικτὴ οὔτε ἀπόδειξις. οἱ οὖν τοιοῦτοι ἀναιροῦσι καὶ τὰς κοινὰς ἐννοίας βουλόμενοι πάντα ἀποδεικτὰ εἶναι· πρὸς οἷς οὐδὲν ἔσται ἀποδεικτόν.

p. 1011a13 Οὗτοι μὲν οὖν ῥᾳδίως ἂν τοῦτο πεισθεῖεν.

Ἀποροῦντες μόνον ῥᾳδίως ἂν πεισθεῖεν, ἐπειγομένης αὐτοῖς τῆς ἀπορίας· ἴσασι γὰρ ὅτι καὶ ὡς ἡμεῖς ἐλέγομεν, ὁ δὲ παρὰ τῶν Πρωταγορείων λόγος ταράττει αὐτούς· διό φησιν ἔστι γὰρ οὐ χαλεπὸν τὸ λαβεῖν f.199v καὶ λῦσαι τὰς ἀπορίας αὐτῶν. οἱ δ' ἐν τῷ λόγῳ τὴν βίαν μόνον ζητοῦντες καὶ λέγοντες ὅτι ἀδύνατον ἄλλως εἶναι (πᾶς γὰρ ὁ λέγων ἀληθῆ λέγει, ἐπειδὴ οὕτως ἔχει ἡ φύσις τῶν πραγμάτων, καθάπερ φασὶν οἱ ἄθεοι Μανιχαῖοι) οἱ οὖν τοιοῦτοι ἀδύνατόν τι ζητοῦσι· βούλονται γὰρ πεσεῖν εἰς ἀντίφασιν καὶ ἐναντία ἑαυτοῖς εἰπεῖν. καὶ οὕτως δυσωπηθῆναι μετὰ τὸν ἔλεγχον. φερόμενοι οὖν εἰς ἀντίφασιν ἐροῦσι πάλιν ὅτι καὶ ἡμεῖς αὐτὸ τοῦτό φαμεν. ὅτι ἡ ἀντίφασις συναληθεύει. καὶ οὐδὲν ἄτοπον δεδώκαμεν. πῶς οὖν δυνατόν ἐστι τοὺς τοιούτους διελέγχειν; διό φησιν ἐναντία γὰρ εἰπεῖν ἀξιοῦσιν εὐθὺς ἐναντία λέγοντες. εἰ οὖν μή ἐστι πάντα πρός τι, ὡς ὁ λόγος ἔδειξε καὶ δείξει, ἀλλ' ἔνια ὑπάρχει αὐτὰ καθ' αὑτά. ὡς ἄνθρωπος ἵππος καὶ πᾶσα οὐσία. οὐκ ἂν εἴη ἅπαν τὸ φαινόμενον ἀληθές, καθάπερ φασὶν οἱ Πρωταγόρειοι. τὸ γὰρ φαινόμενόν τινί ἐστι φαινόμενον· ὥστε ὁ λέγων ἅπαντα τὰ φαινόμενα εἶναι ἀληθῆ ἅπαντα ποιεῖ τὰ ὄντα πρός τι, ἐπειδὴ οὐκ ἔστιν † ὡς φαίνονται, ἀλλὰ πρὸς τὴν δόκησιν μέν ἐστι τουτέστι λευκόν. πρὸς δὲ τήνδε οὔ μέλαν· ὥστε πρός τί ἐστι πρὸς ἄλλο καὶ ἄλλο. πάντα οὖν πρός τι ὑπάρχουσι κατ' αὐτούς.

p. 1011a21 Διὸ καὶ φυλακτέον τοῖς τὴν βίαν ἐν τῷ λόγῳ ζητοῦσιν.

Ἐντεῦθεν ὥσπερ ἀκριβεστέραν αὐτὴν ἑαυτῆς βούλεται ποιῆσαι τὴν δόξαν τὴν τοῦ Πρωταγόρου, καί φησιν ὅτι ἔδει ταῦτα παραφυλάττεσθαι

2 τούτων D 3 γὰρ scripsi: δὲ libri 4 καταντήσομεν scripsi: καταντήσωμεν libri 10 οὔτε scripsi: ὥστε libri 22 ἡ ἀντίη ἀντίφασις A 25 ἔνια Aristoteles: ἐναντία libri 29 sententia haec fere flagitat ἐπειδὴ οὐκ ἔστιν ἁπλῶς τὰ φαινόμενα, ἀλλὰ τὸ λευκὸν πρὸς τήνδε τὴν δόκησιν μέν ἐστι τοιοῦτο, τουτέστι λευκόν, πρὸς δὲ τήνδε οὔ, ἀλλὰ μέλαν 33 αὐτὴν ἑαυτῆς scripsi: αὐτῆς ἑαυτὴν libri

τοῖς τὴν βίαν ἐν τῷ λόγῳ ζητοῦσι καὶ μὴ πειθομένοις μήτε δὲ ἀποροῦσιν, ἀλλὰ λέγουσιν ὅτι οὕτως ἔχει ἡ φύσις τῶν πραγμάτων, καθάπερ ἀνωτέρω εἰρήκαμεν, πρὸς τούτοις δὲ καὶ ὑπέχειν καὶ διδόναι λόγον ἀξιοῦσι, περὶ ὧν λέγουσι. τοῦτο οὖν δεῖ αὐτοὺς προσθεῖναι τῇ δόξῃ αὐτῶν καὶ παραφυλάξασθαι, ὅτι οὐ τὸ φαινόμενον ἁπλῶς ἔστιν, ἀλλὰ τὸ φαινόμενόν τινι φαί- f. 200r
νεται. τοῦτό ἐστιν ἀληθές· τῷ γὰρ ἰκτεριῶντι πικρὸν φαίνεται τὸ μέλι, καὶ ἀληθῶς αὐτῷ φαίνεται πικρόν, εἰ καὶ μὴ οὕτως ἔχει, καὶ πάλιν τῷ ὑγραινομένῳ ὀφθαλμῷ ἐν τῷ λύχνῳ ἶρις φαίνεται· ἡ δὲ αἰτία εἴρηται ἐν τοῖς Μετεώροις. δεῖ οὖν προσθεῖναι καὶ ὅτε φαίνεται (οὔτε γὰρ ἀεὶ τῷ ἰκτεριῶντι πικρὸν φαίνεται· ἐὰν γοῦν ὑγιάνῃ, γλυκὺ αὐτῷ φαίνεται), καὶ ᾗ (ἀντὶ τοῦ καὶ καθό) αὐτῷ φαίνεται, καὶ ὥς, τουτέστιν ὁ τρόπος καθ' ὃν αὐτῷ φαίνεται. ἐὰν γὰρ βούλωνται ἀπολογεῖσθαι ὑπὲρ τῆς δόξης αὐτῶν καὶ ὑπέχειν λόγον, μὴ οὕτως δὲ ὑπέχωσιν, ὥσπερ εἰρήκαμεν, εἰ καὶ οὕτως ἐλέγχονται. ὡς εἰρήκαμεν. ἀλλὰ μᾶλλον ἐκείνως. ὥσπερ φησί. συμβήσεται αὐτοὺς ταχὺ τὰ ἐναντία λέγειν· εἰ ἁπλῶς οὕτως φῶσιν, ὅτι πᾶν τὸ φαινόμενόν ἐστιν ἀληθές, καὶ πᾶς ὁ λέγων ἀληθῆ λέγει, συμβήσεται καὶ πάντα ψεύδεσθαι. εἰ γὰρ οὗτος εἴποι τόνδε εἶναι ἄνθρωπον, ἄλλος δὲ ἵππον, ἀμφότεροι ἀληθεύουσιν, ὥς φατε· οὐ συμφωνοῦσι δὲ ἀλλήλοις, καὶ ἀμφότεροι ἄρα ψεύδονται. ὥστε καλῶς εἴρηται ὅτι ἐὰν οὕτως εἴπωσι, ταχὺ ἐναντία ἑαυτοῖς καὶ μὴ βουλόμενοι ἀναγκάζονται λέγειν. διό φησιν ἐνδέχεται γὰρ τῷ αὐτῷ κατὰ μὲν τὴν ὄψιν μέλι φαίνεσθαι, ὡς εἴρηται ἐν τῇ Περὶ ψυχῆς· συνενεργεῖς ἀεὶ γάρ ποτε ἅμα αἱ δύο αὗται αἰσθήσεις, ἡ γεῦσίς φημι καὶ ἡ ὄψις, καὶ ἔγνω ἡ ὄψις ἐκ τῆς γεύσεως ὅτι τὸ μέλι ξανθὸν ὑπάρχον γλυκύ ἐστιν. ἐθεάσατο οὖν αὐτὴ καθ' αὑτὴν χρῶμα ξανθόν, καὶ ὑπέλαβεν αὐτὸ ἐκ τοῦ μέλιτος ἀπατηθεῖσα ὅτι γλυκύ ἐστιν, οἷον χολὴν πικρὰν οὖσαν. διὰ τοῦτο οὖν φησιν ὁ Ἀριστοτέλης ὅτι ἐνδέχεται γὰρ τῷ αὐτῷ κατὰ μὲν τὴν ὄψιν μέλι φαίνεσθαι, τῇ δὲ γεύσει τὸ ἐναντίον πικρόν· ὥστε ἐναντία δοξάζουσι. πῶς δὲ δυνατόν ἐστι τοὺς ἐναντία δοξάζοντας ἀληθεύειν; πάλιν δὲ καὶ τοῖν ὀφθαλμοῖν δυοῖν f. 200v
ὄντοιν μὴ τὰ αὐτὰ φαίνεσθαι ἑκατέρᾳ τῇ ὄψει, ἐὰν ὑπάρχωσιν ἀνόμοιοι, καὶ ὁ μὲν εἴη ὑγρὸς ὁ δὲ ὑγιής. τοῦτο δὲ ὑπομένει, ὡς φησι καὶ ὁ ἡμέτερος φιλόσοφος· τὸν γὰρ ἀριστερὸν ὑγρὸν ἔχει καί φησιν ὅτι ἐν τῷ λύχνῳ ἐν μὲν τῷ ἀριστερῷ ὁρῶ ἶριν, ἐν δὲ τῷ δεξιῷ οὐχ ὁρῶ διὰ τὸ ἀπηλλάχθαι αὐτὸν ὑγρότητος.

p. 1011a28 Ἐπεὶ πρός γε τοὺς διὰ τὰς πάλαι εἰρημένας αἰτίας.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι ⟨πρὸς⟩ τοὺς λέγοντας διὰ τὰς πάλαι αἰτίας ἅπαν τὸ φαινόμενον εἶναι ἀληθές, ἐπειδὴ ⟨ὃ⟩ ἐδόκει ἑκάστῳ, τοῦτο καὶ ἔστιν

---

8. 9 ἐν τοῖς Μετεώροις] Meteor. Γ 4 p. 374a20 sqq. 13 εἰ καὶ—εἰρήκαμεν (14) om. D
14 ἐκείνως scripsi: ἐκεῖνος libri 15 post εἰ fort. addendum γάρ 19 ἐὰν om. D
22 ἐν τῇ Περὶ ψυχῆς] Γ 1 p. 425a22 sqq. 24 ξανθὸν ὑπάρχον γλυκύ scripsi: γλυκὺ ὑπάρχον ξανθόν libri 31 ὑπομένη D 36 πρὸς addidi 37 ὃ addidi

ἀληθές, καὶ τῷ μὲν ἰκτεριῶντι πικρὸν δοκεῖ, τῷ δὲ ὑγιαίνοντι γλυκύ, καὶ λέγουσιν ἀμφότεροι ὅτι ἑκάτερος ἀληθεύομεν. καὶ διὰ τοῦτο ἕπεται τῇ δόξῃ αὐτῶν πάντα ὁμοίως εἶναι ψευδῆ καὶ ἀληθῆ· οὔτε γὰρ ἅπασι τὰ αὐτὰ φαίνονται, ὡς διὰ πλειόνων ἐπιχειρημάτων ἐδείξαμεν, οὔτε αἰεὶ τῷ αὐτῷ τὰ αὐτά, ἀλλὰ ἐναλλάττεται καὶ παρὰ τὴν ἐναλλαγὴν τῶν αἰσθήσεων καὶ τῶν αἰσθητηρίων καὶ τὴν τῶν μορίων διαφοράν, ὡς ἀνωτέρω εἰρήκαμεν. ἀλλὰ πολλάκις τὰ ἐναντία κατὰ τὸν αὐτὸν χρόνον· ἡ μὲν ⟨γὰρ⟩ ἁφὴ δύο λέγει εἶναι τοὺς δακτύλους, ἡνίκα τὸν ἕτερον τῷ ἑτέρῳ ἐπιπλέξωμεν. ἡ δὲ ὄψις μὴ ὁρῶσα τὸν ὑποκάτω ἕνα ὑπολαμβάνει εἶναι δάκτυλον, ἐπειδὴ κρύπτεται ὑπὸ τοῦ ἐπάνω ὁ κάτωθεν. ἀλλ' οὐ τῇ αὐτῇ αἰσθήσει, ὡς εἴρηται, ἀλλὰ ἄλλῃ καὶ ἄλλῃ, τῇ ὄψει καὶ τῇ ἁφῇ, καὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ· ἐπὰν γὰρ μετάθεσις τοῦ σχήματος γένηται, ἤγουν λοξοτέραν τὴν ὄψιν ἐκπέμψωμεν, ἤγουν ἐν ἄλλῳ χρόνῳ θεασώμεθα διαλελυμένους τοὺς δακτύλους, ἐφιστάνει καὶ ἡ ὄψις ὅτι δύο· ὥστε τοῦτο ἀληθὲς τὸ εἶναι δύο δακτύλους καὶ οὐχ ἕνα. διαψεύδεται ἄρα ἡ ὄψις τοῦ εἶναι ἕνα δάκτυλον (διὸ ἐπιστήσασα οὐκέτι λέγει), ἡ δὲ ἁφὴ τιθεμένη δύο ἀληθεύει· ὥστε ἐστὶν ὡρισμένη φύσις τῶν πραγμάτων. f.201r διό φησιν ὥστε τοῦτο ἂν εἴη ἀληθὲς τὸ λέγειν δύο εἶναι τοὺς δακτύλους. ἀκριβῶς οὖν, ὡς ἀνωτέρω εἴρηται, τὴν δόξαν αὐτῶν ἐνδείκνυται καὶ τὴν ἀναίδειαν τῆς θέσεως αὐτῶν· πῶς γὰρ οὐκ ἄτοπον τὸ αὐτὸ πρᾶγμα τῷ αὐτῷ ἀνθρώπῳ ἐν τῷ αὐτῷ χρόνῳ πικρόν τε καὶ γλυκὺ λέγειν εἶναι ἀληθῶς, ἐπεὶ ἄλλῃ μὲν αἰσθήσει οὕτως ἄλλῃ δὲ οὕτως φαίνεται, καὶ λευκόν τε καὶ φαιόν, εἰ ὁ μὲν ὑγιαίνοι τοὺς ὀφθαλμούς, ὁ δὲ νοσοῖ; ἀνόμοια γὰρ αὐτοῖς οὕτως ἔσται· καὶ ἅμα ὅτι γίνονται πάντα τὰ ὄντα πρός τι δείκνυσιν.

p. 1011a28 Ἐπεὶ πρός γε τοὺς διὰ τὰς πάλαι εἰρημένας αἰτίας τὸ φαινόμενον φάσκοντας ἀληθὲς εἶναι, καὶ διὰ τοῦτο πάντα ὁμοίως εἶναι ψευδῆ καὶ ἀληθῆ.

Ὁ τῆς Ἀφροδισιάδος Ἀλέξανδρος οὕτως ἐξηγεῖται τὸ χωρίον. λέγει περὶ τῶν διὰ τὸ ἀπορῆσαι ἐπὶ τὸ τοῦτο θέσθαι ἐλθόντων, οὓς καὶ εἶπε μετριωτέρους τε εἶναι καὶ ὑπομνήσεως καὶ διδασκαλίας, οὐκ ἐλέγχου δεῖσθαι. ἐνδεῖ δὲ τῇ λέξει τὸ ῥᾳδία ἡ ἀπάντησις· ἔξωθεν γὰρ αὐτὸ προσυπακουστέον· πρὸς δὲ τοὺς διὰ τὰς πάλαι εἰρημένας αἰτίας τὸ φαινόμενον φάσκοντας ἀληθὲς εἶναι, καὶ διὰ τοῦτο πάντα ὁμοίως εἶναι ψευδῆ καὶ ἀληθῆ ῥᾳδία ἡ ἀπάντησις· ἕπεται γὰρ αὐτοῖς τὸ εἶναι πάντα ὁμοίως ἀληθῆ τε καὶ ψευδῆ. καὶ διὰ τί τοῦτο, ἐπιφέρει. οὔτε γὰρ πᾶσι τὰ αὐτὰ φαίνεται· διὰ

6 τὴν—διαφοράν scripsi coll. p. 282,12. 17: τῆς—διαφορᾶς libri 7 γὰρ addidi 8. 9 ἐπιπλέξωμεν scripsi: ἐπιπλήξομεν A: ἐπιπλήζομεν D 18 λέγειν scripsi: λέγον libri 20 οὐκ ἄτοπον scripsi: οὐ κατὰ τόπον libri 24 γίνονται scripsi: γινώσκουσι libri 26 ἐπεὶ πρός γε scripsi: ἔτι πρός τε libri 29 Ἀλέξανδρος] p. 278,18 sqq. Bz. 30 διὰ τὸ ἀπορῆσαι Alex.: διαπορῆσαι libri

τοῦτο γὰρ ἠξίου προστιθέναι τοὺς ἐρίζοντας τῷ πᾶν τὸ φαινόμενον ἀληθὲς
εἶναι τὸ ᾧ φαίνεται [προστίθεσθαι]· οὔτε ἀεὶ τῷ αὐτῷ ταὐτὰ περὶ τοῦ
αὐτοῦ, διὸ πάλιν ἠξίου προστίθεσθαι τὸ ὅτε φαίνεται. πολλάκις δὲ καὶ
ἐναντία κατὰ τὸν αὐτὸν χρόνον· διὸ πάλιν ἠξίου προστίθεσθαι τὸ ᾗ τε καὶ
5 ὥς. πῶς δὲ ἐναντία κατὰ τὸν αὐτὸν χρόνον φαίνεταί τινα, δεικνὺς παρέθετο
τὴν ἁφήν· ἡ μὲν γὰρ ἁφὴ δύο λέγει τοὺς ἐναλλὰξ δακτύλους, ἡ δὲ ὄψις
ἕνα. τῷ γὰρ μήτε τὰ αὐτὰ πᾶσι φαίνεσθαι μήτε τοῖς αὐτοῖς ἀεὶ τὰ αὐτά, f. 201v
μὴ μᾶλλόν τε ἡγεῖσθαι ⟨τῶν⟩ φαινομένων ὁμοίως τάδε μὲν ἀληθῆ τάδε
δὲ ψευδῆ. ἕπεται τὸ πάντα ὁμοίως γίνεσθαι τὰ φανταστὰ ἀληθῆ τε καὶ
10 ψευδῆ, τῶν αὐτῶν καὶ τοιούτων καὶ οὐ τοιούτων φαινομένων. εἰπὼν δὲ
καὶ δείξας, πῶς ἀκολουθεῖ αὐτοῖς πάντα ὁμοίως λέγειν ψευδῆ τε καὶ ἀληθῆ
ἁπλῶς λέγουσι πᾶν τὸ φαινόμενον ἀληθές, οὔτε γάρ ⟨φησί⟩ πᾶσι τὰ αὐτὰ
φαίνεται. ἀλλὰ τὰ τοῖσδε φαινόμενα ἀληθῆ τοῖσδε ψευδῆ φαίνεται, οὔτε
[γὰρ] τῷ αὐτῷ ἀεὶ τὰ αὐτὰ ἀλλὰ καὶ ἐναντία, ὡς ἐπὶ τοῦ μέλιτος καὶ τοῦ
15 νοσοῦντος, πολλάκις καὶ ἐν τῷ αὐτῷ χρόνῳ. οὗ σημεῖον παρέθετο τὸ ἐπὶ
τῆς ἁφῆς τε καὶ τῆς ὄψεως· ὃ γὰρ τῇ ὄψει ἓν φαίνεται, τοῦτο τῇ ἁφῇ
πλείονα φαίνεται κατὰ τῶν δακτύλων τῶν διαφερόντων ἐπιβολὴν ἐπ' αὐτό·
ὅσοι γὰρ οἱ ἁπτόμενοι δάκτυλοι καὶ ὁσάκις ἅπτονται, τοσαῦτα φαίνεται
εἶναι κἀκεῖνο οὗ ἅπτονται, ἕν φαινόμενον τῇ ὄψει. δύναται καὶ ἑνός τινος
20 ὄντος καὶ συνεχοῦς τῇ ἁφῇ τοῦτο δοκεῖν πολλὰ ἐν τῇ παρὰ μέρος ἐπιβολῇ
τῶν δακτύλων⟩ κἂν τὸ μὲν αὐτοῦ μανὸν ᾖ τὸ δὲ σκληρόν τε καὶ πυκνόν, καὶ
τὸ μὲν τραχὺ τὸ δὲ λεῖον, ἅπτηται δέ τις μὴ ὁρῶν, ἄλλοτε ἄλλῃ μεταφέρων
τοὺς δακτύλους. δύναται τὴν ἐπάλλαξιν τῶν δακτύλων λέγειν τὴν πρὸς ἀλλή-
λους περιπλοκήν· οἱ γὰρ περιπεπλεγμένοι ἀλλήλοις δάκτυλοι τῇ μὲν ὄψει
25 εἰς φαίνονται, τῇ δὲ ἁφῇ πολλοί. ἔστι δὲ τοῦτο φανερώτερον δεῖξαι ἐπὶ ὄψεως
καὶ γεύσεως, εἰ τῇ μὲν ὄψει φαίνοιτο μέλι διὰ τὸ χρῶμά τι εἶναι ξανθόν,
τῇ δὲ γεύσει χολὴ διὰ τὸ πικρόν. δείξας δὲ ταῦτα ἑπόμενα τοῖς οὕτω λέ-
γουσιν ἑξῆς προστίθησι τοὺς διορισμούς, οὓς εἶπεν αὐτὸς πρὸ ὀλίγου λέγων
δεῖν τούτους προστιθέναι τῇ λεγούσῃ δόξῃ πᾶν τὸ φαινόμενον εἶναι ἀληθὲς
30 τοὺς βουλομένους διαφεύγειν τὸν ἐν τοῖς λόγοις ἔλεγχον· οὐκέτι γάρ, εἰ
ταῦτα εἴη προσκείμενα τῇ ἀληθεῖ φαντασίᾳ, συμβαίνει τὰ προειρημένα f. 202r
ἄτοπα. τοῦτο γὰρ λέγει διὰ τοῦ ἀλλ' οὐ τῇ γε αὐτῇ αἰσθήσει καὶ
κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ. εἰ γὰρ μετὰ
τούτων τῶν διορισμῶν ἡ φαντασία ἀληθὴς λέγοιτο, οὐκέτ' ἂν ἕποιτο τὸ
35 πᾶσαν φαντασίαν ὁμοίως ἀληθῆ τε εἶναι καὶ ψευδῆ· ἡ γὰρ μετὰ τῶν εἰ-
ρημένων διορισμῶν ἀληθὴς ἂν εἴη δεικνυμένη. ἃ εἰπὼν ἐπιφέρει

---

1 et 3 ἠξίου Alex.: ἠξίουν libri 1 τῷ Alex.: τὸ libri 2 προστίθεσθαι delevi ταὐτὰ Alex.: ταῦτα libri 3 τὸ ὅτε Alex.: πότε libri 4 ἠξίου Alex.: οὐ libri 6 τὴν ἁφὴν desunt Alexandro 8 τῶν ex Alexandro addidi 9 γίνεσθαι Alex.: γινώσκεσθαι libri 12 φησί ex Alexandro addidi 13 τὰ ex Alexandro addidi 14 γὰρ Alexandrum secutus delevi 16 ἓν φαίνεται scripsi: ἐμφαίνεται libri 20. 21 explevi ex Alexandro: δοκᾶν A: δοκεῖν D 22 ἅπτεται libri ἄλλῃ Alex.: ἄλλου libri ὁρῶν Alex.: ὅρω libri 25 φανερώτατον D 27 χολὴ—πικρόν scripsi: πικρὸν διὰ τὴν χολήν libri 33 34 διωρισμένων D 35 ἡ γὰρ Alex.: εἰ γὰρ libri 36 εἰπὼν Alex.: εἴπωμεν A: εἴπομεν D

p. 1011ᵇ1 Ἀλλ' ἴσως διὰ τοῦτο ἀνάγκη λέγειν τοῖς μὴ δι' ἀπορίαν.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι τοῖς μὲν διὰ τὸ ἀπορεῖν, ποίας χρὴ τὰς ἀληθείας τῶν φαντασιῶν λέγειν ὁμοίως πασῶν φαινομένων, θεμένοις πᾶσαν φαντασίαν ὁμοίως εἶναι ἀληθῆ, προφανῆ τὰ ἑπόμενα ἄτοπα, ἅτινα μεταπεί-
5 σαι ἂν αὐτοὺς ταύτης τῆς δόξης· τοῖς δὲ μὴ διὰ ἀπορίαν ἀλλὰ λόγου χάριν λέγουσι ταῦτα διὰ τοῦτο χρὴ προστιθέναι τοῖς λεγομένοις ὑπ' αὐτῶν τοὺς προοριζομένους ὑφ' ἡμῶν διορισμούς, εἰ μὴ μέλλοιεν ῥᾳδίως περιτρέπεσθαι· τούτου γὰρ χάριν τῆσδε τῆς δόξης προΐστανται· οὐ γὰρ ὡς ὑπολαμβάνοντες· οὐδεὶς γὰρ ἂν ὑπολάβοι τὰ τοιαῦτα. ἕπεται δέ, ὥσπερ καὶ
10 πρότερον εἰρήκαμεν, τοῖς ταῦτα λέγουσι τὸ μὴ ἁπλῶς λέγειν πᾶσαν φαντασίαν ἀληθῆ, ἀλλὰ τούτῳ, τουτέστιν ἑκάστῳ τὴν οἰκείαν. οὕτως δὲ λέγουσιν αὐτοῖς ἕπεται, ὡς καὶ πρότερον εἴρηται, πάντα ποιεῖν πρός τι· τοῦτο ἕπεται τῷ πρὸς τὴν δόξαν τὴν τοῦ δοξάζοντος καὶ τὴν αἴσθησιν τοῦ αἰσθανομένου τὴν οὐσίαν τῶν ὄντων ἀναφέροντι καὶ ἑκάστῳ τὸ φαινό-
15 μενον ἀληθὲς εἶναι λέγοντι, εἴ γε ἐν τῇ σχέσει ἐκείνων τὸ εἶναι ἔχουσιν. εἰ τοίνυν ἡ φύσις τῶν ὄντων ἁπάντων πρός τι, καὶ ταῖς δόξαις τῶν δοξαζόντων καὶ φαντασίαις καὶ αἰσθήσεσιν ἡ ὕπαρξις αὐτῶν ἕπεται, οὐκ ἔστι τί τινι, ὃ μὴ δοξάζει τις εἶναι. ὥστε οὔτε γέγονεν οὔτε ἔσται οὐδὲν μηδενὸς προδοξάσαντος, καὶ ἀνῄρηται τὸ λέγειν "καὶ τὸ δοκηθὲν οὐκ ἐτε- f.202v
20 λέσθη. τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός". οἷς οὖν τὸ εἶναι ἐν τῷ φαίνεσθαι καὶ δοξάζεσθαι γίνεται, καὶ τὸ γεγονέναι ἐν τῷ δοξάζεσθαι γεγονέναι· ὥστε τῷ μὴ δοξάζοντι γίνεσθαί τι οὐδὲ γίνεται. ἀλλ' οὐδὲ ὅλως γίνεταί τι, εἴ περ μὴ δοξάζεται γίνεσθαι, καὶ ἕκαστον ἕως τότε ἐστίν. ἕως ὅτε δοξάζεται, εἴ γε τὴν ὑπόστασιν ἐν τῇ δόξῃ ἔχει· ἡ γὰρ δόξα καὶ ἡ
25 φαντασία ποιοῦσι τὰ δοξαζόμενα καὶ φαινόμενα κατ' αὐτούς. δείξας οὖν ὅτι ἐξ ἀνάγκης οἱ τοιοῦτοι πάντα πρός τι ποιοῦσι, πειρᾶται σαλεύειν τὸν λόγον καὶ τὴν πρόσληψιν κατασκευάζειν τοῦ λόγου, δεικνὺς ὅτι εἰ μὴ πάντα τὰ ὄντα πρός τι, τουτέστιν 'εἰ δὲ εἴη τι γεγονὸς ἢ ἐσόμενον ἄνευ τοῦ δοξασθῆναι, οὐκ ἂν εἴη ἅπαντα πρός τι'· εἰ δὲ μὴ πάντα πρός τι, οὐδὲ τὸ
30 φαινόμενον ἑκάστῳ ἀληθές. πολλὰ γὰρ γίνονται παρ' ἐλπίδας καὶ παρ' ὑπόνοιαν ἀνθρώπων. ἄτοπον γὰρ τὸ λέγειν ὅτι εἰ μὴ προεδόξασεν ὁποιονοῦν

---

1 διὰ om. D 2 ὅτι—ἴσας (p. 290,8) pleraque Alexandri sunt ποίας] πῶς Alex. 4 ἀληθῆ Alex.: ἀληθεῖν libri περιφανῆ D 6 προτιθέναι D αὐτῶν Alex.: αὐτοῦ libri 8 τῆσδε om. D 8. 9 ὑπολαμβάνοντες οὕτως· οὐδεὶς Alex. 9 δὴ Alex. 10 εἰρημένα D 14 ἀναφέροντι Alex.: ἀναιροῦντι libri 15 εἶναι λέγοντι Alex.: ὄντι libri 18 οὔτε (ante γέγονεν) om. D 19 προδοξάσαντος] πρὸς δοξάσαντος libri 19. 20 καὶ—θεός] Eurip. Bacch. 1390 sq. ·19 τὰ δοκηθέντ' οὐκ Eurip. 21 καὶ δοξάζεσθαι εἶναι, τούτοις καὶ τὸ γίγνεσθαι ἐν τῷ δοξάζεσθαι. εἰ δὲ τὸ γίγνεσθαι, καὶ τὸ γεγονέναι· ὥστε κτλ. Alex. 22 γίνεται Alex.: γινώσκει libri 23 εἴ περ] εἴπαρ sequente lacuna III litterarum A 27 πρόληψιν D 30 ἀληθῆ ἐστι D: ἀληθὲς ἔτι Alex. post ἐλπίδας add. καὶ ἐπὶ ἐλπίδας D 31 προεδόξασε Alex.: προεδέξασθε A: προσεδέξασθε D

οὐκ ἐγίνετο οὔτε δὲ ὁ σεισμὸς οὔτε ὁ κατακλυσμός· ἔδει γάρ, εἰ τοῦτο, μόνοις τοῖς περὶ τούτου προδοξάσασι γίνεσθαι αὐτὰ καὶ τοῖς δοξάζουσι μὴ ἔσεσθαι αὐτὰ μὴ γίνεσθαι. οὐχ οὕτως δὲ ἔχει· οὔτε γὰρ ὁ πόλεμος τοῖς μὲν δοξάζουσι γέγονε, τοῖς δὲ μὴ δοξάζουσιν οὐ γέγονεν, οὔτε ὁ σεισμὸς οὔτε ὁ κατακλυσμός. ἄλλως τε τὰ πρός τι ἅμα τῇ φύσει ὑπάρχουσι † μὴ συναναιρεῖσθαι δὲ τῷ δοξάζοντι τὴν τῶν δοξαζομένων οὐσίαν· οὔτε γὰρ τοῦ γεωμέτρου τελευτήσαντος ἀναιρεῖται τὸ ἔχειν τὸ τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας.

p. 1011b7 Ἔτι εἰ ἕν, πρὸς ἓν ἢ πρὸς ὡρισμένον.

Δείξας ὅτι οἱ τὸ φαινόμενον πᾶν ἀληθὲς εἶναι λέγοντες πρός τι ποιοῦσιν ἅπαντα, περὶ τῶν πρός τι τὸν λόγον ποιούμενος δείκνυσι καὶ τοιοῦτον ἄτοπον ἑπόμενον τῇ δόξῃ, λαβὼν καὶ θεὶς πρῶτον πῶς λέγεταί τε καὶ f.203r ἔστι τὰ πρός τι· εἰ γὰρ μὴ οὕτως ἔχοι τὰ ὄντα πάντα, δεδειγμένον ἂν εἴη ὅτι μὴ πρός τί ἐστιν. ἰστέον ὅτι τῶν πρός τι ἕκαστον ἤτοι πρὸς ἓν λέγεται, ἢ εἰ καὶ ⟨πρὸς⟩ πλείω τὸ αὐτό, καθ' ἕκαστον τῶν πρὸς ὃ λέγεται ὡρισμένον, καὶ οὐ τὸ τυχόν. ἕκαστον γὰρ τῶν πρός τι πρὸς ὡρισμένον τι λέγεται. καὶ γὰρ ⟨εἰ⟩ πλείους τι σχέσεις ἔχει καὶ πρὸς πλείω διὰ τοῦτο λέγεται, ἀλλὰ καθ' ἑκάστην σχέσιν πρὸς ὡρισμένον τι λέγεται καὶ ταὐτὸν ἢ εἶδει ἢ γένει. εἰ γοῦν τὸ αὐτὸ ἴσον τε εἴη καὶ διπλάσιον καὶ ἥμισυ, πρὸς πλείω μὲν ῥηθήσεται (καὶ γὰρ καὶ πρὸς ἴσον καὶ πρὸς ἥμισυ καὶ πρὸς διπλάσιον), ἀλλὰ καθ' ἕκαστον πρὸς ὡρισμένον· οὔτε γὰρ ἴσον πρὸς ἄλλο τι ἢ πρὸς ἴσον, οὔτε δὲ διπλάσιον πρὸς ἄλλο τι ἢ πρὸς ἥμισυ, καὶ ἥμισυ ἀεὶ ὡς πρὸς διπλάσιον. ἀλλ' οὐδὲ ὁρατὸν πρὸς ἄλλο τι ἢ πρὸς ὄψιν. ὥστε εἰ καὶ πρὸς πλείω τὸ αὐτό, ἀλλὰ καθ' ἕκαστόν γε πρὸς ὡρισμένον. εἰ δὲ ὑποθώμεθα πᾶν τὸ φαινόμενον ἀληθές εἶναι, ἕπεται ἐντεῦθεν, ὡς ὁ λόγος ἔδειξε, πάντα πρός τι εἶναι. εἰ δὲ πάντα πρός τι, οὐκέτι ἔσεται ὡρισμένη φύσις ἡ τῶν πρός τι· τὸ γὰρ αὐτὸ ἴσον οὐ μόνον πρὸς ἴσον ἔσται ἀλλὰ καὶ πρὸς ἥμισυ κατὰ τὸ αὐτό, ἐπειδὴ τὸ ἴσον οἷον τὸ δεκάπηχυ πρὸς τὸ δεκάπηχυ. ἀλλά φησιν ἔχειν ⟨ὡς⟩ τὸ πεντάπηχυ πρὸς δεκάπηχυ· ὥστε ὁ μέν φησι τὸ ἴσον, ἐπειδὴ πρὸς ἴσον, ὁ δὲ τὸ ἴσον πρὸς ἴσον ὡς διπλάσιον πρὸς ἥμισυ λαμβάνει, ἐπειδὴ οὕτως αὐτῷ ὤφθη. ὥστε οὐκ ἔσται ὡρισμένη ἡ φύσις τῶν πρός τι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν

---

1 post ἐγίνετο addendum, ut videtur, οὔτε ὁ πόλεμος ἔδει Alex.: δεῖ libri εἰ Alex.: εἰς libri 3 ἔσεσθαι Alex.: ἔπεσθαι libri γίνεσθαι Alex.: γινώσκουσι libri 5. 6 μὴ συναναιρεῖσθαι κτλ.] Alexander haec habet ῥᾴδιον δέ, ὅτι μὴ ἔστιν ἐν τῷ φαίνεσθαι τοῖς οὖσι τὸ εἶναι, καταμαθεῖν καὶ ἐκ τοῦ τὰ μὲν πρός τι ἅμα εἶναι τῇ φύσει, μὴ συναναιρεῖσθαι δὲ κτλ. 10 Δείξας — ὡρισμένον (24. 25) Alexandri sunt 11 ποιούμενος Alex.: ποιουμένων libri 15 πρὸς ex Alexandro addidi 17 εἰ ex Alexandro addidi τι Alex.: τίς libri 23 ἀεὶ scripsi: εἰ libri 28 exspectes ἐπειδὴ ὁ μὲν λέγει τὸ ἴσον οἷον — δεκάπηχυ, ἄλλος δέ φησιν κτλ. 29 ὡς addidi 30 πρὸς scripsi: τὸ libri τὸ ἴσον πρὸς scripsi: πρὸς ἴσον πρὸς τὸ libri

ἄλλων ἁπάντων. ἄλλως τε δὴ εἰ τὸ δοξάζον καὶ τὸ δοξαζόμενον πρὸς ἄλληλα λέγεται. εἰ ἔστιν ἑκάστῳ τῶν ὄντων τὸ εἶναι ἐν τῷ δοξάζεσθαι. ⟨ἐπεὶ καὶ ἕτερον τὸ δοξάζειν καὶ τὸ δοξάζεσθαι⟩ (πρός τι γὰρ καὶ ἀντικείμενα), εἰ ἔστι τὸ δοξαζόμενον ἄνθρωπος καὶ ταὐτὸν αὐτῷ τὸ δοξάζεσθαι f.203v
5 καὶ τὸ εἶναι ἄνθρωπος, εἴ γε ἐν τῷ δοξάζεσθαι καὶ τὸ εἶναι ἔχει, τὸ δοξάζον οὐκ ἔστιν ἄνθρωπος· ἕτερον γάρ ἐστι τοῦ δοξαζομένου. κατὰ μὲν γὰρ τοὺς μὴ λέγοντας πάντα τὰ ὄντα εἶναι πρός τι, ἀλλὰ καταλείποντας οὐσίαν τινὰ ὑποκειμένην καὶ συμβεβηκὸς αὐτῇ ποιοῦντας τὰ πρός τι πρόχειρός τε καὶ ῥᾳδία ἡ λύσις τοῦ ἠπορημένου. ὅτι γὰρ τὸ δοξάζον καθὸ
10 δοξάζει τοῦ δοξαζομένου καθὸ δοξάζεται ἕτερόν ἐστι, λέγοιεν ἂν οὗτοι· ἕτερον γὰρ τὸ δοξάζον τοῦ δοξάζεσθαι. εἰ οὖν, φησίν, ἑκάστῳ τὸ εἶναι ἐν τῇ δόξῃ ὑπάρχει, τουτέστιν ἐν τῷ δοξάζεσθαι, καὶ ἐν τούτῳ ἡ γένεσίς τε καὶ ἡ οὐσία αὐτῶν, καὶ οὐκ ἔστιν ἄλλο τῷ ἵππῳ τὸ τί ἦν εἶναι ἢ τὸ δοξάζεσθαι (ἐν τούτῳ γὰρ αὐτῷ τὸ εἶναι), ὁμοίως δὲ καὶ τοῖς ἄλλοις
15 ἅπασι τοῖς οὖσιν (οὐδὲν γὰρ διαφέρει κύνα εἰπεῖν ἢ δοξαστόν), ἄπειρα δὲ κατὰ τὸ εἶδός ἐστι τὰ ὄντα, ἄπειρα ἔσται κατὰ τὸ εἶδος τὰ δοξαστά τε καὶ τὰ δοξαζόμενα, καθὸ δοξαστά· εἰ οὖν τὰ δοξαζόμενα πρὸς τὰ δοξάζοντα λέγεται, πρὸς ἄπειρα τῷ εἴδει τὸ δοξάζον, εἴ γε ἄπειρα κατ' εἶδος τὰ δοξαζόμενα ὑπ' αὐτοῦ.

20 p. 1011ᵇ13 Ὅτι μὲν οὖν βεβαιοτάτη δόξα πασῶν.

Δείξας διὰ πάνυ πολλῶν ἐπιχειρημάτων ὅτι οὐ δυνατὸν συναληθεύειν τὴν ἀντίφασιν, οὔτε δὲ πᾶν τὸ φαινόμενον εἶναι ἀληθές, συμπεραίνεται τὸν περὶ τῆς ἀντιφάσεως λόγον καί φησιν ὅτι ἱκανῶς ἀπέδειξεν ὁ λόγος ὅτι οὐ δυνατὸν τὴν ἀντίφασιν συναληθεύειν. τοῦτο γὰρ ὑπέκειτο αὐτῷ δεῖξαι, ὅτι
25 γνώριμον καὶ ἐναργὲς τὸ ἀξίωμά ἐστι τῆς ἀντιφάσεως, ὅπερ δέδειχε διὰ πλειόνων. καὶ τίνα ἄτοπα ἕπονται τοῖς τοῦτο φάσκουσιν εἴρηκε, καὶ τί τὸ κινήσαν αὐτούς, ὅτι ἡ ὕλη, ἐπειδὴ ἑώρων τὰ ἐναντία ἐκ τοῦ αὐτοῦ γινόμενα, καὶ τὸ μὴ πᾶσι τὰ αὐτὰ φαίνεσθαι περὶ τῶν δοκούντων εἶναι τῶν αὐτῶν.

30 p. 1011ᵇ15 Ἐπεὶ δὲ ἀδύνατον τὴν ἀντίφασιν ἀληθεύεσθαι ἅμα κατὰ τοῦ αὐτοῦ.

Δείξας διὰ τῶν προλαβόντων ὅτι οὐ δυνατὸν συντρέχειν καὶ συναλη- f.204r

---

1 εἰ τὸ δοξάζον — δοξάζεσθαι (11) Alexandri sunt ἐπεὶ Alex. 2 ἑκάστῳ Alex.: ἕκαστον libri 3 ἐπεὶ — δοξάζεσθαι ex Alexandro addidi 9 προηπορημένου Alex. 10 λέγοιεν Alex.: λέγοι libri οὗτοι scripsi: οὐ τῶν libri 13 τε om. D 17 καθὸ — δοξαζόμενα om. D 21 πάνυ scripsi: πολὺ libri 23 ἱκανῶς — ὅτι (24) om. D 25 γνώριμον — αὐτῶν (29) pleraque Alexandri sunt γνωριμώτατον καὶ ἐναργέστατον Alex. δέδειχε Alex.: δέδωκε libri 26 εἴρηται Alex. εἴρηκε — ἐπειδὴ (27) om. D

θεύειν τὴν ἀντίφασιν διὰ πλειόνων ἐπιχειρημάτων κατασκευάσας, ἐντεῦθεν δείκνυσι ἑπόμενά τινα τῷ λόγῳ τῆς ἀντιφάσεως. εἰ γὰρ τῷ ὄντι οὐ συναληθεύει ἡ ἀντίφασις, οὐδὲ τὰ ἐναντία ποτὲ συνδραμοῦνται ἀλλήλοις, οὐδὲ ἔσται τι μεταξὺ τῆς ἀντιφάσεως. καὶ τοῦτο διὰ πλειόνων λόγων κατα-
5 σκευάζει. εἰ γὰρ οὐ συντρέχει οὔτε δὲ συναληθεύει τὸ λευκὸν τῷ οὐ λευκῷ. τὸ δὲ οὐ λευκὸν μέλαν ἐστί. δῆλον ὡς ὅτι οὐδέποτε συνδραμοῦνται ἀλλήλοις τὰ ἐναντία. οὔτε δὲ πάλιν μεταξύ τι ἔσται τῆς ἀντιφάσεως· εἰ γάρ ἐστί τι μεταξὺ αὐτῆς, ἢ ὡς ἀλλότριον ἔσται ἢ ὡς συγγενές· οἷον ὡς ἀλλότριον, ὡς ἵνα ὑποθῶμαι μεταξὺ ἀνθρώπου καὶ ἵππου λίθον εἶναι. εἰ
10 δὲ τοῦτο, οὐκ ἔσται μεταβολή· οὐδεμία γὰρ κοινωνία λίθου καὶ ἀνθρώπου ἢ λίθου καὶ ἵππου, τὰ δὲ μεταβάλλοντα εἰς ἄλληλα θέλουσιν ἔχειν τινὰ συγγένειαν ⟨τοῖς⟩ δι' ὧν γίνονται μεταβολαί· ὥσπερ καὶ ἐπὶ τοῦ λευκοῦ καὶ τοῦ μέλανός ἐστι τὸ φαιόν, ὅπερ μετέχει ἀμφοτέρων, καὶ οὕτως μεταβάλλουσιν εἰς ἄλληλα τὸ λευκὸν καὶ μέλαν διὰ μέσου τοῦ φαιοῦ. πάλιν δέ
15 φησι, κἂν συγγενές τι ὑποθώμεθα, ἀδύνατον εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως διὰ τὰ δεικνύμενα ἄτοπα. εἰ γάρ τις εἴποι ὅτι ἔστι τι μεταξὺ τοῦ οὐ λευκοῦ καὶ λευκοῦ. δῆλον ὅτι ἔσται τὸ οὐχὶ οὐ λευκόν. καὶ πρῶτον μὲν τὸ οὐχὶ οὐ λευκὸν οὐδὲν ἕτερόν ἐστιν ἢ λευκόν. καὶ ἡνίκα γίνεται μεταβολὴ ἐξ οὐχὶ οὐ λευκοῦ εἰς λευκόν. οὐδὲν ἄλλο γίνεται ἢ ἐκ λευκοῦ
20 εἰς λευκὸν μεταβολή. ἔπειτα δὲ πάλιν καὶ τούτου ἔσται ἀπόφασις, καὶ πάλιν τούτων ἔσται μεταξύ τι τοῦ οὐχὶ οὐ λευκοῦ καὶ τοῦ οὐχὶ λευκοῦ, f.204v καὶ ἔσται πάλιν κἀκείνου ἀπόφασις καὶ τοῦ οὐ λευκοῦ καὶ οὐχὶ οὐ λευκοῦ· καὶ οὕτως ἔσται ἄπειρος ἡ πρόοδος. εἶτα λοιπὸν καὶ μέμνηται δοξῶν τινων, οἷον Ἡρακλείτου καὶ Ἀναξαγόρου, καὶ διελέγχει αὐτοὺς καὶ λέγει
25 τὴν αἰτίαν, πόθεν αὐτοῖς ἡ ἀπάτη προσγέγονεν, ὅτι διὰ τὸ μὴ ἰσχῦσαι αὐτοὺς ἐπιλύσασθαι τὰς ἀπορίας. καθάπερ. ὁ μέγας ἡμῶν φιλόσοφός φησιν. οἱ ἀτυχεῖς Μανιχαῖοι. ἐπειδὴ ἠπόρουν πόθεν τὰ κακά. μὴ ἰσχύσαντες ἐπιλύσασθαι ταύτην τὴν ἀπορίαν εἰρήκασιν ὅτι ἔστιν ἀρχὴ τῶν κακῶν, ὥσπερ καὶ τῶν ἀγαθῶν. οὕτως οὖν καὶ Ἀναξαγόρας ἐπεὶ ἑώρα πᾶν ἐκ παντὸς
30 γίνεσθαι, μὴ ἐπιστήσας τῇ εἰς τὴν ὅλην ἀναλύσει, ἔλεγε πάντα ἐν πᾶσι μεμῖχθαι· καὶ διὰ τοῦτο κατ' αὐτὸν ἅπαντας ψεύδεσθαι τοὺς λέγοντας, καὶ ἐν τῷ λευκῷ εἶναι καὶ μέλαν καὶ ὅσα ἄλλα τοιαῦτα. ὁ μέντοι γε πάλιν Ἡράκλειτος ἔλεγε πάντας ἀληθεύειν· διὸ καὶ ὡς εἴρηται ἐν τῇ Φυσικῇ, πάντων ἔλεγεν ἕνα ὁρισμὸν εἶναι· ὧν δὲ οἱ ὁρισμοὶ οἱ αὐτοί, καὶ
35 τὰ πράγματα τὰ αὐτά. μὴ δυνηθεὶς γὰρ ἐπιλύσασθαι τὴν ἀπορίαν τὴν ἐπὶ τῶν ῥευστῶν, ἦλθεν εἰς τὸ πτῶμα τοῦτο. ὥστε ἐντεῦθεν δείκνυσιν ὅτι οὐ δυνατὸν τὰ ἐναντία συντρέχειν, δείξας ἐρρωμένον τὸ ἀξίωμα τῆς ἀντιφάσεως.

---

6 οὐ λευκὸν μέλαν] res postulat μέλαν οὐ λευκὸν 11 τινὰ om. D 12 τοῖς addidi μεταβολαί scripsi: μεταβολῇ libri ὥσπερ] ὡς πρός τι D
16 ἔσται D 20 ἔπεται δὲ D 27 μὴ] καὶ D 29 οὕτως γὰρ D
33. 34 ἐν τῇ Φυσικῇ] A 2 p. 185ᵇ20

p. 1011b15 Ἐπειδὴ ἀδύνατον τὴν ἀντίφασιν ἀληθεύεσθαι ἅμα κατὰ τοῦ αὐτοῦ.

Εἰ ἱκανῶς ἀπέδειξεν ὁ λόγος ὅτι οὐ δυνατὸν τὴν ἀντίφασιν συναληθεύειν κατὰ τοῦ αὐτοῦ, ὥστε τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ ἐν τῷ αὐτῷ χρόνῳ καὶ εἶναι λευκὸν καὶ οὐ λευκόν, φανερὸν ὅτι οὐδὲ τὰ ἐναντία ἐνδέχεται ἅμα ὑπάρχειν τῷ αὐτῷ. τῶν μὲν γὰρ ἐναντίων τὸ ἕτερον, τουτέστι τὸ χεῖρον, στέρησίς ἐστιν ἢ οὐχ ἧττον τῆς στερήσεως (τὸ γὰρ μέλαν τὸ χεῖρον τῶν ἐναντίων στερήσει ἔοικε, καὶ τὸ ψυχρὸν ὁμοίως), ἡ δὲ στέρησις ἀπόφασίς τίς ἐστι· τὸ γὰρ μέλαν οὐ λευκόν ἐστι. καλῶς δὲ ἐπήγαγε τὸ f.205r ἀπό τινος ὡρισμένου γένους· τὰ γὰρ ἐναντία τελοῦσι ὑπὸ ὡρισμένον γένος, οἷον ὑπὸ τὸ ποσόν, ὡς τὸ ἄρτιον καὶ τὸ περιττόν, ἡ μέντοι γε ἀντίφασις διήκει διὰ πάντων τῶν ὄντων. εἰ τοίνυν ἀδύνατον ἅμα ὑπάρχειν, τουτέστιν ἅμα καταφῆσαι καὶ ἀποφῆσαι, ἀληθῶς ἀδύνατόν ἐστι καὶ τὰ ἐναντία ἅμα ὑπάρχειν, ὡς ἔδειξεν ἡ θεωρία, ἀλλ' ἢ πῇ ἄμφω, τουτέστιν ἀμφότερα δυνάμει (συντρέχουσι γάρ· τὸ γὰρ σῶμα τοῦ πυρός, εἰ τύχοι, δυνάμει καὶ λευκόν ἐστι καὶ μέλαν), ἢ θάτερον μὲν πῇ θάτερον δὲ ἁπλῶς, τουτέστι τὸ ἕτερον μὲν δυνάμει τὸ δὲ ἕτερον ἐνεργείᾳ· τὸ γὰρ τοῦ Σκύθου σῶμα ἐνεργείᾳ μέν ἐστι λευκὸν δυνάμει δὲ μέλαν. ἢ κατὰ μόριον εἶπε τὸ πῇ, ὡς ἐπὶ τοῦ Αἰθίοπος· ὁ γὰρ Αἰθίοψ κατὰ μὲν τοὺς ὀδόντας λευκὸς ὑπάρχει, κατὰ δὲ τὸ ἄλλο μέρος τοῦ σώματος μέλας ἐστίν.

p. 1011b23 Ἀλλὰ μὴν οὐδὲ μεταξὺ ἀντιφάσεως ἐνδέχεται εἶναι.

Δείξας ἐναργέστατον ὂν τὸ ἀξίωμα τῆς ἀντιφάσεως διὰ τοῦ μὴ δύνασθαι αὐτὴν συναληθεύειν, καὶ ἐντεῦθεν δείξας ὅτι οὐ δυνατὸν συντρέχειν ἀλλήλοις τὰ ἐναντία, πάλιν ἕτερόν τι δείκνυσιν ἐντεῦθεν ὅτι οὐδέν ἐστι μεταξὺ τῆς ἀντιφάσεως. φησὶν οὖν ὅτι οὐκ ἐνδέχεται εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως, ἀλλὰ ἀνάγκη ἢ φάναι ἢ ἀποφάναι ἓν καθ' ἑνὸς ὁτιοῦν. οὐ γάρ ἐστι μεταξύ τι αὐτῶν, ὥσπερ μεταξὺ τοῦ λευκοῦ καὶ τοῦ μέλανός ἐστι τὸ φαιόν. ὥστε ἓν καθ' ἑνὸς ἀνάγκη φάναι ἢ ἀποφάναι, οἷον λευκόν ἐστιν, οὐκ ἔστι λευκόν, ἐπειδὴ τῶν ἐναντίων καὶ δύο, ὅτι καὶ μέλαν ἐστὶ καὶ φαιόν.

p. 1011b25 Δῆλον δὲ πρῶτον μὲν ὁρισαμένοις ⟨τί⟩ τὸ ἀληθές.

Ὅτι οὐδέν ἐστι μεταξὺ τῆς ἀντιφάσεως, πρῶτον μὲν δῆλον ὑπάρχει ὁρισαμένοις τί τὸ ἀληθὲς καὶ τί τὸ ψεῦδος. τὸ μὲν γὰρ λέγειν τὸ ὑπάρχον ὡς ὑπάρχον καὶ τὸ μὴ ὑπάρχον ὡς μὴ ὑπάρχον, καθάπερ εἴρηται ἐν τῷ Περὶ ἑρμηνείας, ἀληθὲς ὑπάρχει· πάλιν δὲ τὸ λέγειν τὸ μὴ ὑπάρχον ὡς f.205v

10 ὡρισμένου—ἄρτιον καὶ (11) om. D 11 οἷον scripsi: καὶ A 14 ἀλλ' ἢ πῇ ex Aristotele scripsi: ἀλλ' ἐπὶ libri 31 τί addidi coll. v. 33 34. 35 ἐν τῷ Περὶ ἑρμηνείας] c. 9

ὑπαρχον καὶ τὸ ὑπαρχον ὡς μὴ ὑπάρχον ψευδὲς ὑπάρχει. φησὶν οὖν ὅτι τὸ λέγειν τὸ ὂν μὴ εἶναι ἢ τὸ μὴ ὂν εἶναι ψευδές, τὸ δὲ τὸ ὂν εἶναι * * * ἕτερόν τι εἶναι παρὰ τὸ ὂν καὶ τὸ μὴ ὄν. δῆλον ὡς ὅτι οὐδέν ἐστι μεταξὺ τῆς ἀντιφάσεως. ὥστε καὶ ὁ λέγων εἶναι ἢ μὴ ἀληθεύσει ἢ ψεύσεται. ὁ δὲ λέγων τὸ μεταξὺ οὔτε τὸ ὂν λέγει ἢ μὴ εἶναι ἢ εἶναι, οὔτε τὸ μὴ ὄν, ὥστε οὐδὲν παντελῶς λέγει· εἰ δὲ τοῦτο, οὐδὲν ἄρα ἐστὶ μεταξὺ τῆς ἀντιφάσεως.

p. 1011b29 Ἔτι ἤτοι μεταξὺ ἔσται τῆς ἀντιφάσεως, ὥσπερ τὸ φαιὸν μέλανος καὶ λευκοῦ.

Ὅπερ ἐλέγομεν ἐν τῇ θεωρίᾳ, τὸ αὐτὸ νῦν λέγει, ὅτι εἰ ἔστι τι μεταξύ, ἢ ἀλλότριόν ἐστιν ἢ † αὐτῶν γένεσις. εἰ οὖν ἔστι τι μεταξὺ τῆς ἀντιφάσεως, ἤτοι οὕτως μεταξὺ ἔσται ὥσπερ τὸ φαιὸν μέλανος καὶ λευκοῦ, ὅπερ ἐστὶ συγγενές, ἢ ὡς τὸ μηδέτερον, τουτέστι τὸ ἀλλότριον, ἀνθρώπου καὶ ἵππου λίθος. εἰ μὲν οὖν οὕτως ἔσται τὸ μεταξὺ ἐπὶ τῆς ἀντιφάσεως ὡς τὸ ἀλλότριον, οὐκ ἂν γένοιτο μεταβολή· ἡ γὰρ μεταβολὴ γίνεται ἐκ τῶν ἐναντίων καὶ τῶν συγγενῶν, οἷον ἐκ μὴ ἀγαθοῦ γὰρ εἰς ἀγαθὸν μεταβάλλει, ἢ ἐκ τοῦ ἀγαθοῦ εἰς μὴ ἀγαθόν, εἰ τύχοι πρᾶγμά τι εἶναι μὴ ἀγαθόν. ὕστερον δὲ γένηται ἀγαθόν. νῦν δὲ οὐ φαίνεται ἐξ ἀλλοτρίου μεταβολή· οὐ γὰρ δυνατὸν ἐκ λίθου ἀμέσως ἄνθρωπον γενέσθαι. διό φησιν οὐ γὰρ ἐστι μεταβολὴ εἰ μὴ εἰς τὰ ἀντικείμενα καὶ τὰ μεταξύ. ὥσπερ ἡνίκα ἐκ λευκοῦ γίνεται μεταβολὴ ἢ εἰς τὸ μέλαν τὸ ἀντικείμενον, ἢ εἰς τὸ φαιὸν τὸ μεταξύ. οὐκ ἄρα δυνατὸν ἐπὶ τῆς ἀντιφάσεως θεωρεῖσθαί τι μεταξὺ ὡς ἀλλότριον. ἀλλ' οὐδὲ ὡς συγγενές. διό φησιν εἰ δὲ ἔστι μεταξύ, καὶ οὕτως εἴη ἄν τις εἰς λευκὸν ἐξ οὐ μὴ λευκοῦ γένεσις, ταὐτὸν δὲ εἰπεῖν ἐκ λευκοῦ εἰς λευκόν, ὅπερ ἐστὶν ἀδύνατον, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. εἰ γὰρ ἐστί τι μεταξὺ τοῦ λευκοῦ [illegible] καὶ οὐ λευκοῦ, οὐχὶ οὐ λευκὸν * * * ἔσται τῷ λευκῷ· τὸ γὰρ οὐχὶ οὐ λευκὸν λευκόν ἐστι. πρὸς τούτοις δὲ πάλιν μεταξὺ τούτων ἔσται τι ἄλλο, ὅπερ καὶ αὐτὸ δεῖται ἀποφάσεως καὶ οὕτως ἐπ' ἄπειρον ὁδεύει ὁ λόγος.

p. 1012a2 Ἔτι πᾶν τὸ διανοητὸν καὶ νοητόν.

Πάντα τὰ νοητὰ ἢ διάνοια γινώσκει ἢ καταφάσκουσα ἢ ἀποφάσκουσα. ἐὰν μὲν γὰρ οὕτως εἴπῃ ὅτι ὁ θεὸς ἀγαθός, ἀληθεύει, εἰ δὲ τὸ ὅτι οὐ προνοεῖται (ἤλκοι), ψεύδεται παντελῶς. δεῖ οὖν εἰπεῖν πρὸς αὐτοὺς ὅτι ἀποκρίνεσθε ἡμῖν ἢ οὔ; εἰ μὲν οὖν μὴ ἀποκρίνεσθε, φυτοῖς ἐοίκατε· εἰ δὲ

2 post ψευδές add. δὲ D 3 lacunam indicavi; addendum ἢ τὸ μὴ ὂν μὴ εἶναι ἀληθές· εἰ τοίνυν ἀδύνατον 11 αὐτῶν γένεσις] legendum ταὐτὸν γένει vel συγγενές 14 post ἵππου fort. addendum οἷον 24 τις ex Aristotele scripsi: τι libri 27 post λευκόν lacuna VIII vel IX litt. A, VII litt. D: addendum ἔσται, ὃ ταὐτὸ 31 τὰ] γὰρ D 32 ἤτι οὐ D

ἀποκρίνεσθε, ἀνάγκη πᾶσά ἐστιν ὡρισμένα τινὰ λέγειν καὶ σημαντικὰ πραγμάτων. εἰ δὲ τοῦτο, ἡνίκα μὲν λέγεται ὅτι τὸ ὄν ἐστιν, ἀληθεύομεν, ἡνίκα δὲ ὅτι τὸ μὴ ὄν [οὐκ] ἐστι, ψευδόμεθα. εἰ οὖν οὐδὲν ἔστιν ἄλλο ἐπινοῆσαι παρὰ τὸ ὄν καὶ τὸ μὴ ὄν, οὐδὲν ἄρα ἐστὶ μεταξὺ τῆς ἀντιφάσεως. ἡ τοίνυν ἐπιχείρησις τοῦ λόγου τοιαύτη ἐστίν. εἰ πᾶν τὸ ὁπωσοῦν ὄν, εἴτε ὡς νοητὸν εἴτε ὡς διανοητόν, ἡ διάνοια ἀποφαίνεται καὶ ἀληθεύει ἢ ψεύδεται περὶ αὐτοῦ καταφάσκουσα ἢ ἀποφάσκουσα (ἐν γὰρ τῷ καταφάσκειν ἢ ἀποφάσκειν τὸ ἀληθεύειν ἢ ψεύδεσθαι, ὡς δέδεικται ἐκ τοῦ ὁρισμοῦ τοῦ τε ἀληθοῦς καὶ τοῦ ψευδοῦς), περὶ οὗ μὴ οἷόν τέ ἐστι τὴν διάνοιαν ἀποφαίνεσθαι καὶ ἀληθεύειν ἢ ψεύδεσθαι καταφάσκουσαν ἢ ἀποφάσκουσαν, τοῦτο οὐδ' ἂν εἴη τι τὴν ἀρχήν. περὶ δὲ τοῦ λεγομένου μεταξὺ τῆς ἀντιφάσεως εἶναι οὐχ οἷόν τε τὴν διάνοιαν ἀποφαίνεσθαι καὶ ἀληθεύειν ἢ ψεύδεσθαι, ὅτι μηδὲ καταφάσκειν ἢ ἀποφάσκειν. ὥστε οὐδ' ἂν εἴη τι τῆς ἀντιφάσεως μεταξύ. αὐτὸς μέντοι πάνυ ἐπιτόμως εἶπεν· οὐ γὰρ εἶπε τὸ συνημμένον πᾶν τὸ 'εἰ πᾶν τὸ νοητὸν καὶ διανοητὸν ἡ διάνοια ἀποφαινομένη ἢ κατάφησιν ἢ ἀπόφησιν, οὐδὲν τῆς ἀντιφάσεώς ἐστι μεταξύ', ἀλλὰ μόνον τὸ ἡγούμενον ἔθηκε καὶ τὴν κατασκευὴν τοῦ ὅλου συνημμένου, f.206v προσχρησάμενος τῷ ὁρισμῷ, ὃν ἀπέδωκε πρὸ ὀλίγου τοῦ ἀληθεύειν τε καὶ ψεύδεσθαι. εἴη δ' ἂν λέγων διὰ τοῦ πᾶν τὸ διανοητὸν καὶ νοητὸν ἡ διάνοια κατάφησιν ἢ ἀπόφησιν, ὅτι περὶ παντός, οὗ ἀποφαίνεται ἡ διάνοια, ἢ κατάφησιν ἢ ἀπόφησιν περὶ αὐτοῦ· πᾶν μὲν γὰρ ὃ ὡς ἀποφαινομένη λέγει, ἢ ἀληθεύει ἢ ψεύδεται καταφάσκουσα ἢ ἀποφάσκουσα. ὡς ἐκ τοῦ ὁρισμοῦ τοῦ ἀληθεύειν τε καὶ ψεύδεσθαι δῆλόν ἐστι. διανοητὸν δὲ καὶ νοητὸν ἤτοι ἐκ παραλλήλου εἴρηκεν. ἢ διανοητὸν μὲν λέγει τὸ πρακτόν, ἢ ὃ διεξέρχεται ἡ διάνοια διὰ πλειόνων συλλελογισμένη ἢ δι' ἐπαγωγῆς λαμβάνουσα. νοητὸν δὲ τὸ θεωρητὸν καὶ τὸ ἁπλοῦν νόημα· περὶ ἀμφότερα γὰρ ἡ συγκατάθεσις καὶ ἡ κατάφασίς τε καὶ ἀπόφασις. πάνυ δὲ συντόμως καὶ ἐπιτετμημένως ἡ λέξις ἔχει· μόνον γάρ, ὡς εἶπον, ἐν αὐτῇ τὸ ἡγούμενον ἐν τῷ λόγῳ ἔθηκεν.

p. 1012a5 Ἔτι παρὰ πάσας δεῖ εἶναι τὰς ἀντιφάσεις.

Ἡ ἐπιχείρησις αὕτη βραχέως μὲν καὶ αὐτὴ εἴρηται, ἔστι δὲ ὁ νοῦς τοιοῦτος. εἰ τῆς ἀντιφάσεως καθόλου ἐστί τι μεταξύ, οὐ τῆσδε μέν ἐστί τι μεταξύ, τῆσδε δὲ οὐκ ἔστιν (ἀποκληρωτικὸς γὰρ ὁ τοιοῦτος λόγος, τουτέστιν ἐριστικός), ἀλλὰ πάσης ἔσται τι μεταξύ, εἰ μὴ λόγου χάριν τοῦτο

2 εἰ scripsi: ἡ libri λέγετε A 3 οὐκ delevi 5 εἰ πᾶν—ἔθηκεν (29) Alexandri sunt 6 ὡς (ante διανοητόν) in litura VIII litt. A² 7 ἐπὶ D ἐν Alex.: εἰ libri 13 ὅτι in litura V litt. A² 15 εἰ πᾶν] εἰπεῖν A 16 ἢ ἀπόφησιν om. D 19 εἴη in litura A² 20 ὅτι—ἀπόφησι (21) add. A² 25 συλλογιζομένη Alex. 26 ἢ Alex.: καὶ libri 28 εἶπον Alex.: εἶπεν libri 29 αὐτῇ Alex.: ἑαυτῇ libri 31 ἡ ἐπιχείρησις—ἄτοπον (p. 296,5) Alexandri sunt 32 καθόλου deest Alexandro οὐ in litura A² 32. 33 ἔσται μεταξύ Alex. 33 οὐκ ἔσται Alex. ἀποκληρωτικὸς—ἐριστικός (34) desunt Alexandro

λέγεται ἀλλ' ὡς οὕτως ἔχον. ἐπεὶ τοίνυν ἀντίφασίς ἐστι καὶ τὸ ἀληθεύειν καὶ τὸ μὴ ἀληθεύειν, ἔσται τι καὶ ταύτης μεταξύ. ἀλλὰ μὴν ἐπὶ τοῦ μεταξὺ ἡ ἀπόφασις τῶν ἄκρων ἀληθής. ἔσται ἄρα τις μεταξὺ πρότασις τῆς τε ἀληθοῦς τῆς λεγούσης 'Δίων περιπατεῖ' καὶ ψευδοῦς τῆς 'Δίων οὐ περιπατεῖ', ἣ οὔτε ἀληθὴς ἔσται οὔτε οὐκ ἀληθής. τοῦτο δὲ ἄτοπον· οὐδὲ γὰρ δυνατὸν μήτε ἀληθεύειν μήτε οὐκ ἀληθεύειν. πᾶσα γὰρ ἀνάγκη ἐστὶν αὐτὸν ἢ ἀληθεύειν ἢ μὴ ἀληθεύειν.

p. 1012a7 Καὶ παρὰ τὸ ὂν καὶ μὴ ὂν ἔσται. f.207r

Εἰ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος ἔστι τι μεταξύ, ἔσται τις μεταξὺ μεταβολὴ γενέσεως καὶ φθορᾶς. εἰ γάρ ἐστιν ἡ μὲν γένεσις εἰς τὸ ὂν ἐκ τοῦ μὴ ὄντος μεταβολή, ἡ δὲ φθορὰ εἰς τὸ μὴ ὂν ἐκ τοῦ ὄντος, ἡ εἰς τὸ μεταξὺ τούτων μεταβολὴ οὔτε γένεσις ἔσται οὔτε φθορά, οὖσα κατ' οὐσίαν μεταβολή, ὅπερ ἐστὶν ἀδύνατον· οὔτε γὰρ εἰς ὄν ἔσται οὔτε εἰς μὴ ὄν, οὔτε ἐξ ὄντος οὔτε ἐκ μὴ ὄντος· ἐν δὲ τούτοις ἦν ἡ γένεσις καὶ ἡ φθορά. ἡ γὰρ κίνησις ἡ κατὰ τόπον ἢ κατὰ ποιότητα ἢ κατὰ ποσὸν οὔτε κατ' οὐσίαν μεταβολαὶ οὔτε μεταξὺ γενέσεως καὶ φθορᾶς· τὸ γὰρ μεταξύ τινων κυρίως τοιοῦτο ὡς εἰς ἑκάτερον τῶν ἄκρων ἐξ αὐτοῦ γίνεσθαι μεταβολήν, ὃ ἐπ' οὐδενός ἐστι τούτων. δεῖ δὲ προσθεῖναι ἤγουν προσυπακούειν τῷ παρὰ γένεσιν καὶ φθορὰν μεταβολή τις ἔσται τὸ κατ' οὐσίαν ἢ τὸ μεταξὺ γενέσεώς τε καὶ φθορᾶς.

p. 1012a9 Ἔτι ἐν οἷς γένεσιν ἡ ἀπόφασις τὸ ἐναντίον ἐπιφέρει.

Ἐλέγετο ἐν Κατηγορίαις ὅτι τῶν ἐναντίων τὰ μὲν ἄμεσα ὑπάρχουσιν, ὥσπερ περιττὸν καὶ ἄρτιον, νόσος καὶ ὑγεία, τὰ δὲ ἔμμεσα, ὥσπερ λευκὸν καὶ μέλαν. ὃ οὖν λέγει τοῦτό ἐστιν, ὅτι εἰ ἔστι τι μεταξὺ τῆς ἀντιφάσεως, ⟨καὶ⟩ ἐν οἷς γένεσιν καὶ ὑποκειμένοις ἡ ἀπόφασις τὸ ἐναντίον ἐπιφέρει. τὸ γὰρ μὴ νοσοῦν ζῷον ὑγιαίνειν ἀνάγκη, καὶ τὸ μὴ κοιμώμενον ἐγρηγορέναι, καὶ τὸν μὴ ἄρτιον ἀριθμὸν περιττὸν εἶναι. εἰ οὖν ἔστι τι καὶ ἐπὶ τούτων μεταξύ, ἔσται τι ζῷον ὃ οὔτε ὑγιαίνει οὔτε οὐχ ὑγιαίνει, ὃ ἴσον ἐστὶ τῷ οὐ νοσεῖ, καὶ ἀριθμὸς ὃς οὔτε περιττός ἐστιν οὔτε ἄρτιος. ἀλλὰ τοῦτο ἀδύνατον. ὡς δηλοῖ ὁ ὁρισμός· ὃν γὰρ ἂν λάβωμεν καὶ προχειρίσωμεν, οὗτος ἢ ἄρτιός ἐστιν, ὁ καὶ δίχα διαιρούμενος, ἢ περιττός, ὁ μὴ δίχα διαιρούμενος. πρὸς τούτοις δὲ καὶ εἰς ἄπειρον βαδιεῖται, καὶ οὐ μόνον f.207v ἔσονται τὰ ὄντα ἡμιόλια ἀλλὰ καὶ πλείω. εἰ γάρ ἐστι τοῦ λευκοῦ καὶ

2 καὶ—ἀληθεύειν om. D τις libri 8 καὶ τὸ μὴ ὂν D 9 ἔσται τις—φθορᾶς (20) Alexandri sunt 12 οὔτε γένεσις—μεταβολή (13) D Alex.: in margine add. A² 13 ὅπερ—ἀδύνατον desunt Alexandro 18 προσθεῖναι ἤγουν desunt Alexandro 21 ἐπιφέρει—ἐναντίων (22) om. D 22 ἐν Κατηγορίαις] c. 10 p. 12a1 25 καὶ addidi 26 τὸ γὰρ—περιττός (31) Alexandri sunt 27 καὶ (post τι) om. D 29 ὃς Alex.: ὁ libri 31 ὁ καὶ—διαιρούμενος desunt Alexandro

τοῦ οὐ λευκοῦ μεταξύ τι, ἔσονται τρία· τὰ δὲ τρία τῶν δύο ἡμιόλια· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀγαθοῦ καὶ οὐκ ἀγαθοῦ καὶ τῶν ἄλλων ἁπάντων. ἄλλως τε δή, ὃ πολλάκις εἴρηται, καὶ ἄπειρος ἔσται ἡ πρόοδος. εἰ γάρ ἐστί τι μεταξὺ τοῦ λευκοῦ καὶ οὐ λευκοῦ τὸ οὐχὶ οὐ λευκόν, καὶ πάλιν τοῦ λευκοῦ καὶ τοῦ οὐχὶ οὐ λευκοῦ ἔσται τι μεταξύ. ἀλλὰ καὶ τούτου ἔσται ἀπόφασις, καὶ πάλιν τῆς ἀποφάσεως καὶ τῆς καταφάσεως τῆς γινομένης ἔσται τι μεταξύ· ἔσται δὲ καὶ τούτου ἀπόφασις καὶ πάλιν μεταξύ, καὶ οὕτω τῷ ὄντι ἐπ' ἄπειρον γίνεται ἡ πρόοδος. διό φησιν ἡ γὰρ οὐσία τοῦ μεταξύ ἐστί τις ἄλλη, εἰ ἄρα ἔστι παρὰ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν· ὥστε ἔσται καὶ αὐτῆς ἀπόφασις, καὶ οὐδὲν ἔσται ὡρισμένον.

p. 1012a15 Ἔτι ὅταν ἐρομένου εἰ λευκόν ἐστιν εἴπῃ ὅτι οὔ, οὐδὲν ἄλλο † ἀπεφήνατο εἶναι.

Ὅταν τις ἔρηται ὅτι εἰ λευκός ἐστι Σωκράτης, καὶ ὁ μὲν εἴπῃ ὅτι ναί, ὁ δὲ ὅτι οὔ, καὶ ὁ μὲν εἶναι εἰπὼν καταφάσκει, ὁ δὲ ἀρνησάμενος καὶ εἰπὼν μὴ εἶναι οὐδὲν ἄλλο ἢ τὸ εἶναι ἀποφάσκει, οὐδὲν ἂν εἴη μεταξὺ τῆς ἀντιφάσεως· εἰ γὰρ δύο μὲν ἀποκρίσεις μόναι περὶ ἑκάστου, τῶν δὲ δύο ἀποκρίσεων ἡ μὲν κατάφασίς ἐστιν ἡ δὲ ἀπόφασις, καὶ οὐδὲν ἄλλο ἐκ τῆς ἀποκρίσεως σημαίνεται ἢ ὑφ' ἧς μὲν τὸ εἶναι, ὑφ' ἧς δὲ τὸ μὴ εἶναι, οὐδὲν ἂν εἴη μεταξὺ τῆς ἀντιφάσεως. οὕτω γὰρ παρὰ τὸ ἀρνητικὸν μόριον ἔδει εἶναι ἄλλην τρίτην ἀπόκρισιν, ὅπερ οὐκ ἔστιν (οὔτε γὰρ ἐπινοῆσαι δύναται), ἢ εἰ μή ἐστιν, οὐκ ἔστι τι μεταξὺ τῆς ἀντιφάσεως.

p. 1012a17 Ἐλήλυθε δὲ ἐνίοις αὕτη ἡ δόξα ὥσπερ καὶ αἱ ἄλλαι τῶν παροδόξων.

Ἐντεῦθεν τὴν αἰτίαν λέγει, φησί, δι' ἣν ἐπὶ ταύτην ἦλθον τὴν δόξαν οἱ παλαιοὶ καὶ εἰρήκασιν εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως. τὴν δὲ αὐτὴν f.208r εἶναι λέγει, ἥπερ καὶ ἐπὶ τῶν ἄλλων παραδόξων, ἃ τίθενταί τινες, διὰ τὸ μὴ δύνασθαι λῦσαι τὸν ἐριστικὸν λόγον· ἐρωτώμενοι γὰρ περὶ τούτων καὶ μὴ δυνάμενοι λῦσαι ἐνδιδόασι καὶ δοξάζουσιν οὕτως. ὥσπερ καὶ ἄλλοι ἐνδόντες παραδόξους θέσεις εἰρήκασιν, ὅτι οὐκ ἔστι κίνησις, διὰ τὸν Ζήνωνος λόγον τὸν ἀναιροῦντα κίνησιν· ἐπειδὴ οὐ δύνανται συνορᾶν τὸ ἐν τοῖς λαμβανομένοις λόγοις ψεῦδος, ταράττουσι καὶ ἀπορεῖν ποιοῦσι, μήποτε οὐκ ἔστι κίνησις, οὕτως ἐναργές τε καὶ ἐν πᾶσι πράγμασι. τοιοῦτον δέ τινες καὶ τῶν μεταξύ τι τῆς ἀντιφάσεως θεμένων ἔπαθον. οὐ γὰρ δυνηθέντες

---

2 οὐκ — καὶ om. D 7 ante ἔσται δὲ add. καὶ οὕτω τῷ ὄντι ἐπ' ἄπειρον D ἔσται scripsi: ἔστι libri 11 ἐρομένου ex Aristotele scripsi: ἐρόμενος libri 12 ἀπεφήνατο εἶναι] legendum ἀπέφησεν (vel ἀποφάσκει) ἢ τὸ εἶναι; cf. Bonitzii comment. in Metaph. p. 215 14 καὶ ὁ μὲν εἶναι — ἀπόκρισιν (20) Alexandri sunt 19 οὕτω γὰρ scripsi: οὐ γὰρ libri: εἰ γὰρ ἦν Alex. 20 ἔδει Alex.: δεῖ libri 25 τὴν δὲ αὐτὴν — ὕδωρ (p. 298,13) ex Alexandro excerpta sunt 26 ἥνπερ Alex.

τοὺς περὶ τούτων, ὅτι οὕτως ἔχει. ἐρωτωμένους λόγους ὄντας σοφιστικοὺς λύειν συνεχώρουν αὐτοῖς. ἔστι δὲ ἡ ἀπορία, δι' ἣν ἔθεντό τινες εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως, τοιαύτη, λέγουσα μηδὲν μὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, ἐκ δὲ τοῦ αὐτοῦ ὁρᾶν τὰ ἐναντία γινόμενα, καὶ διὰ τοῦτο ἐνυ-
5 πάρχειν αὐτὰ ἐν ἐκείνῳ καὶ μεμῖχθαι καὶ εἶναι μεταξὺ αὐτῶν, ὡς τὸν οἶνον τὸν μεμιγμένον ὕδατι, διὸ οὔτε ὕδωρ εἶναι ἄντικρυς οὔτε οὐχ ὕδωρ· ᾧ καὶ Ἀναξαγόρας ἠκολούθησεν. ὅτι δὲ ψευδὴς ὁ λόγος ὁ λέγων πάντα ἐν πᾶσι μεμῖχθαι, φανερόν· μὴ ἐπιστήσαντες γὰρ τῇ ἀναλύσει τῇ εἰς τὴν ὕλην ἔπεσον. ψεῦδος δὲ πάλιν τὸ ἐπὶ τοῦ μεμιγμένου μηδέτερον μόριον
10 τῆς ἀντιφάσεως εἶναι ἀληθές, μήτε τὴν κατάφασιν μήτε τὴν ἀπόφασιν· οὐδέτερον μὲν γὰρ τῶν ἐξ ὧν μέμικται ἀληθές (τὸ γὰρ μελίκρατον οὔτε ὕδωρ οὔτε μέλι), αἱ μέντοι ἀμφοτέρων ἀποφάσεις ἀληθεῖς ἐπ' αὐτοῦ· οὔτε γὰρ μέλι τὸ μελίκρατον οὔτε ὕδωρ. οἱ μὲν οὖν, φησί, διὰ τοιαύτην αἰτίαν ἀπατῶνται, οἱ δὲ διὰ τὸ νομίζειν πάντων εἶναι ἀποδείξεις, ὅπερ οὐ
15 δυνατόν· εἰ γὰρ πάντα ἀποδεικτά, οὐδὲν ἔσται ἀναπόδεικτον, ἐπεὶ εἰς ἄπειρον ὁδεύει ὁ λόγος. 1.20 8

p. 1012a21 Ἀρχὴ δὲ πρὸς ἅπαντας τούτους ἐξ ὁρισμοῦ.

Ἀρχὴν φησιν εἶναι τὴν ἀπὸ τῶν ὁρισμῶν. ἐὰν γὰρ συγχωρήσωσι τὰ ὀνόματα σημαίνειν τι, ὅπερ ἀναγκαῖον αὐτοῖς διδόναι, εἰ διαλέγοιντο καὶ
20 χρῶνται λόγῳ, χρὴ τὸν λόγον τοῦ σημαινομένου ὑπό τε τοῦ ἀληθοῦς καὶ ψευδοῦς τῶν ὀνομάτων, οἷς χρῶνται, λαμβάνειν· οἵτινες λόγοι ὁρισμοὶ ἂν εἶεν, ὁ μὲν τοῦ ἀληθοῦς ὁ δὲ τοῦ ψευδοῦς· ὥστε διὰ τοῦ διδόναι σημαίνειν τι δι' ὧν λέγουσι συγχωροῦσι καὶ τὸ ὁρισμοὺς εἶναι. ἂν δὲ τὸ μὲν ἀληθὲς σημαίνῃ τὸ ⟨τὸ⟩ ὂν εἶναι λέγειν καὶ τὸ μὴ ὂν μὴ εἶναι, ψεῦδος δὲ τὸ
25 τὸ ὂν μὴ εἶναι λέγειν ἢ τὸ μὴ ὂν εἶναι, καὶ παρὰ ταῦτα μηδὲν ἄλλο ἀληθὲς ἢ ψεῦδος, τούτων δὲ τὰ μὲν καταφάσεις, τὰ δὲ ἀποφάσεις, οὐδὲν ἂν ἀληθὲς ἢ ψεῦδος εἴη παρὰ κατάφασιν καὶ ἀπόφασιν· εἰ δὲ μηδὲν ἀληθὲς παρὰ ταῦτα, οὐδ' ἂν μεταξὺ αὐτῶν τι ἔσται. Ἡράκλειτος δὲ λέγων πᾶν εἶναί τε καὶ μὴ εἶναι καὶ ἅμα τὰ ἀντικείμενα εἶναι, τὴν ἀντίφασιν
30 ἅμα ἀληθῆ τίθησι, καὶ πάντα εἶναι ἀληθῆ ἀποφαίνεται. Ἀναξαγόρας δὲ εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως λέγει· τὸ γὰρ μῖγμα εἰ ἐξ ἀγαθοῦ καὶ κακοῦ εἴη, οὔτε ἀγαθὸν οὔτε πάλιν οὐκ ἀγαθόν, ὁμοίως δὲ πάλιν οὔτε κακὸν οὔτε οὐ κακόν· διὸ πάντα ψευδῆ, ἐπειδὴ πάντα ἐν πᾶσι, καὶ λέγει καὶ τὰ ἀντικείμενα ἐν ἀλλήλοις.

---

5. 6 ὥστε οἶνον A 9 ἔπεσι A 10 ἀντιφάσεως — κατάφασιν μήτε τὴν om. D
13 φησί scripsi: φασί libri 18 ἐὰν γὰρ συγχωρήσωσι — οὐ κακόν (33) Alexandri sunt 20 τοῦ (ante ἀληθοῦς) Alex.: τὸ libri 22 ὥστε] ὅτε Alex. vulg.: οὔτε Alex. cod. L 23 ἂν δὴ Alex. 24 τὸ alterum ex Alexandro addidi
24. 25 τὸ semel D 26 κατάφασις et ἀπόφασις D 33 πάντα (post διὸ) ex Aristotele scripsi: τὰ libri

p. 1012a29 Διορισμένων δὲ τούτων.

Προδεδειγμένων τούτων φανερὸν ὑπάρχει ὅτι καὶ τὰ μοναχῶς λεγόμενα, ὅτι πάντα ἀληθῆ ἢ ὅτι πάντα ψευδῆ, καὶ κατὰ πάντων ἀδύνατον ὑπάρχειν, ὥσπερ τινὲς λέγουσιν. οἱ μὲν οὐδὲν ἀληθὲς λέγοντες εἶναι, ὥσπερ Ἀναξαγόρας (οὐδὲν γὰρ κωλύει οὕτως ἅπαντα εἶναι, ὥσπερ τὸ τὴν διάμετρον σύμμετρον εἶναι· ἐδείχθη γὰρ ἐν τῷ Ι βιβλίῳ ὅτι οὐ δυνατόν, ἐπεὶ οὕτως ἔσται ὁ αὐτὸς τρόπος περιττὸς καὶ ἄρτιος)· οἱ δὲ περὶ Ἡράκλειτόν φασι πάντα ἀληθῆ εἶναι. σχεδὸν γὰρ f.209r οὗτοι οἱ λόγοι οἱ αὐτοὶ ὑπάρχουσι τῷ Ἡρακλείτου. ὁ γὰρ λέγων ὅτι πάντα ἀληθῆ καὶ πάντα ψευδῆ καὶ χωρὶς λέγει τῶν λόγων ἑκάτερον τούτων. αἱ μὲν γὰρ ἀληθεῖς καταφάσεις τὰς ἀποφάσεις * * * ὅτι γὰρ ὁ λέγων καὶ ἀληθῆ πάντα καὶ ψευδῆ πάντα καὶ ἰδίᾳ ἑκάτερον κατηγορεῖ κατὰ πάντων, τό τε ἀληθῆ αὐτὰ εἶναι καὶ ⟨τὸ⟩ ψευδῆ. ὥστε εἴπερ ἀδύνατα ἐκεῖνα, τὸ χωρὶς πάντα ἀληθῆ εἶναι καὶ πάντα ψευδῆ, καὶ ταῦτα ἀδύνατον εἶναι, τὸ ἅμα πάσας καὶ ἀληθεῖς εἶναι καὶ ψευδεῖς.

p. 1012b2 Ἔτι δὲ φανερῶς ἀντιφάσεις εἰσίν.

Εἰ ἐπὶ ἐνίων ἀντιφάσεων ἀκριβῶς πεπείσμεθα ὅτι οὐ δυνατὸν αὐτὰς συναληθεύειν, φανερὸν ὅτι καὶ ἐπὶ τῶν ἄλλων οὕτως ἔχει· οὔτε γὰρ δυνατὸν λέγειν ὅτι καὶ κινεῖται ὁ ἥλιος καὶ οὐ κινεῖται, καὶ ὅτι φωτίζει καὶ οὐ φωτίζει. ἐπὶ μὲν γὰρ τῶν γενητῶν καὶ φθαρτῶν ἴσως ἡ ὕλη ἠπάτησεν αὐτούς, ἐπὶ δὲ τῶν οὐρανίων ἀδύνατον τὸ τοιοῦτο. διό φησιν ἔτι δὲ φανερῶς ἀντιφάσεις ὑπάρχουσιν. ἅστινας οὐ δυνατὸν εἶναι ἅμα ἀληθεῖς καὶ ψευδεῖς· καίτοι ὅσον ἐκ τῶν λόγων τούτων ἔδει καὶ ταύτας συναληθεύειν. ὅπερ οὖν εἴρηται, δεῖ πρὸς ἅπαντας τοὺς τοιούτους λόγους αἰτεῖσθαι, καθάπερ ἐλέχθη καὶ ἐν τοῖς ἐπάνω λόγοις, οὐχὶ εἶναί τι ἢ μὴ εἶναι, ἀλλὰ σημαίνειν τι τὸ ὄνομα ὅπερ λέγουσιν· ὥστε δεῖ αὐτοὺς διαλέγεσθαι ῥήματα σημαίνοντα πράγματα λαβόντας, τί σημαίνει τὸ ἀληθὲς ἢ τὸ ψεῦδος· εἰ δὲ σημαίνουσι καὶ τὸ μέν ἐστιν ἀληθὲς τὸ λέγον 'ἄνθρωπος περιπατεῖ', ἡ δὲ ἀπόφασις ψευδὴς ἡ λέγουσα 'ἄνθρωπος οὐ περιπατεῖ', δῆλον ὡς ὅτι οὐ συναληθεύει ἡ ἀντίφασις. διό φησιν εἰ δὲ μηδὲν ἄλλο ὑπάρχει τὸ

2 δεδειγμένων D 6. 7 ἐν τῷ Ι βιβλίῳ] unus de diametro locus est p. 1053a17, sed illic non demonstratur, quod dicit: cf. Anal. pr. A 23 p. 41a26 9 Ἡρακλείτου Aristoteles: ἡρακλείτῳ libri 10 καὶ (post ἀληθῆ) Aristoteles: ὅτι libri 11 ἑκάτερον Aristoteles: ἑκάτερος libri 11. 12 τὰς ἀποφάσεις ψευδεῖς ποιοῦσιν, αἱ δὲ ἀποφάσεις τὰς καταφάσεις. τούτῳ δὴ τῷ λόγῳ τῷ κατὰ πάντων ἄμφω κατηγοροῦντι σχεδόν φησι τοὺς αὐτοὺς ἐκείνους ἀμφοτέρους εἶναι τοὺς μοναχῶς ἑκάτερον κατηγοροῦντας, καὶ δείκνυσι πῶς εἰσιν οἱ αὐτοί· ὅτι γὰρ ὁ λέγων κτλ. Alex. 12 ἑκάτερον Alex.: ἑκατέρου libri 13 τὸ ex Alexandro addidi 14 ἀδύνατα Aristoteles: δυνατὸν libri τὸ scripsi: τὰ libri 18 ἐπὶ τῶν — ὅτι καὶ (19) om. D 26 τι Aristoteles: ὅτι libri 27 σημαίνη D: incertus A ἢ τὸ — ἀληθὲς (28) om. D

ἀληθὲς φάναι ἢ ὅπερ ἀποφάναι ψεῦδος ὑπάρχει, ἀδύνατον ἅπαντα ψευδῆ εἶναι· ἀνάγκη γὰρ τῆς ἀντιφάσεως θάτερον μόριον εἶναι ἀληθές, ὡς ὁ λόγος ἔδειξε. πρὸς ἐπὶ τούτοις δὲ εἰ πᾶν ἢ φάναι ἢ ἀποφάναι ἀναγκαῖον, ἀδύνατον ἀμφοτέρας τὰς προτάσεις ψευδεῖς f.209v εἶναι· θάτερον γὰρ μόριον τῆς ἀντιφάσεως ψεῦδός ἐστιν, ὡς διὰ πλειόνων ἐδείξαμεν.

p. 1012b13 Συμβαίνει δὲ καὶ τὸ θρυλλούμενον πᾶσι τοῖς τοιούτοις λόγοις.

Πρὸς ἐπὶ τούτοις δὲ οἱ ταῦτα λέγοντες ἑαυτοὺς ἀναιροῦσιν, ὡς εἶπε καὶ ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ πρὸς τὸν Πρωταγόραν, * * * ἔλεγεν ὅτι πᾶς ἀληθῆ λέγει. ὁ οὖν Πλάτων ἔλεγεν 'ὦ Πρωταγόρα. ἡμεῖς λέγομέν σε ψεύδεσθαι. εἰ οὖν ψευδόμεθα, οὐ πᾶς λέγει ἀλήθειαν ὁ λέγων· εἰ δὲ μὴ ψευδόμεθα, σὺ ψεύδῃ', ὥσπερ ἐκεῖνός φησιν ὅτι Ἀλέξανδρος τὸ ὄναρ εἶδεν ὀνείρῳ μὴ πιστεύων. φησὶν οὖν ὅτι οὗτοι ἑαυτοὺς ἀναιροῦσιν· ὁ μὲν γὰρ πάντα ἀληθῆ λέγων καὶ τὸν ἐναντιούμενον αὐτῷ λόγον ἀληθῆ ποιεῖ, ὥστε τὸν ἑαυτοῦ οὐκ ἀληθῆ ποιεῖ (ὁ γὰρ ἐναντίος αὐτῷ οὗ φησιν αὐτὸν ἀληθῆ λόγον λέγειν. ὃν ἐκεῖνος ὑποτίθεται εἶναι λόγον ἀληθῆ). ὁ δὲ πάντα λέγων ψευδῆ πάλιν αὐτὸς ἑαυτὸν ἀναιρεῖ· καὶ αὐτὸς γὰρ ψεύδεται, ὥστε [οὐκ] ἔστιν ἡ ἀπόφασις αὐτοῦ ἀληθής. περὶ τούτου ἐάν μοι εἴποι ὁ Πρωταγόρας, εἰ τύχοι, ὅτι πᾶς ὁ λέγων ἀληθὲς λέγει χωρὶς τοῦ μαχομένου μοι, καὶ οὕτως ἄτοπον· οἱ γὰρ ἐπαινοῦντες τὸν μαχόμενον αὐτῷ ψεύδεσθαι αὐτόν φασι, καὶ οἱ ἀποδεχόμενοι αὐτόν. πάλιν δὲ ἐὰν εἴποι πάντας ψεύδεσθαι λέγων χωρὶς ἐμοῦ, ὁ λέγων αὐτὸν ἀληθεύειν οὐ ψεύδεται· ὥστε οὐ γίνεται ψεῦδος. τοῦτο οὖν ἐστιν ὃ λέγει, ἐὰν δὲ χωρίζωσιν ἐπὶ τούτου ὁ μὲν πάντα ἀληθῆ λέγων τὸ ἐναντίον, ὡς οὐκ ἀληθεύει ἐκεῖνος ἐναντιούμενός μοι, πάλιν δὲ ὁ πάντας λέγων ψεύδεσθαι χωρὶς ἑαυτοῦ, οὐδὲν ἧττον ἀπείρους αὐτοῖς συμβαίνει αἰτιᾶσθαι λόγους ἀληθεῖς καὶ ψευδεῖς. ὁ γὰρ λέγων τὸν ἀληθῆ λόγον ἀληθῆ καὶ ἐπαινῶν αὐτὸν ἀληθεύει καὶ ὁ δεχόμενος. τοῦτο δὲ εἰς ἄπειρον βαδιεῖται.

p. 1012b22 Φανερὸν δὲ ὅτι οὐδὲ οἱ πάντα ἠρεμεῖν λέγοντες.

Οὐδὲ οἱ πάντα ἠρεμεῖν λέγοντες ἀληθῆ λέγουσιν, οὔτε δὲ οἱ πάντα κινεῖσθαι. ἡ λέξις δὲ αὕτη οὐ φέρεται ἔν τισιν ἀντιγράφοις, f.210r ἐπειδὴ οἰκεία μᾶλλόν ἐστι τῇ φυσικῇ. οὐ μὴν ἀλλ' ἐπειδὴ συγχρώμενος τοῖς προδεδειγμένοις περὶ αὐτῶν λέγειν δοκεῖ, οὐκ ἂν εἴη παντάπασιν ἀλλοτρία τῶν προκειμένων. εἰ οὖν, φησίν, ἠρεμεῖ πάντα, καὶ οὐκ ἔστι μεταβολή, συμ-

2 γὰρ om. D 3 εἰ πᾶν Aristoteles: εἰπ libri 10 Πλάτων ἐν τῷ Θεαίτητῳ] p. 171 A sqq. lacunam indicavi: addendum καὶ γὰρ ἐκεῖνος 12 πᾶς scripsi: πᾶν libri 19 οὐκ delevi 21 αὐτῷ scripsi: αὐτοῦ libri 22 εἴποι scripsi coll. v. 20: εἴπω libri 24 ὃ om. D χωρίζωσιν ἐπὶ τούτου scripsi: χωρὶς ὧσι ἐπὶ τοῦ libri 33 οὐ μὴν — προκειμένων (35) Alexandri sunt 35 προειρημένων Alex.

βήσεται ἀεὶ τὰ αὐτὰ μένειν ἀληθῆ καὶ ψευδῆ, μὴ ὄντος τοῦ μεταβάλλοντος. φαίνεται δὲ ἐν μεταβολῇ τὰ πράγματα· ὁ γὰρ λέγων αὐτὸς μεταβάλλει· πρώην γὰρ μὴ ὢν γέγονε, καὶ πάλιν ὕστερον φθείρεται. ὥστε εἰ ἔστι μεταβολή, οὐ πάντα ἠρεμοῦσιν. ἀλλ' οὐδὲ πάντα κινεῖται· εἰ γὰρ πάντα κινεῖται, οὐδὲν ἔσται ἀληθές, ἐπειδὴ πάντα ἐν ῥύσει ὑπάρχουσι, καὶ οὐ δυνατὸν ἀποφαίνεσθαι περί τινος ἀληθῶς. καθάπερ ἔλεγεν ὁ Κρατύλος· ὥστε πάντα ἤδη ⟨ψευδῆ⟩. ἀλλὰ διὰ πλειόνων λόγων ἐδείξαμεν ὅτι οὐ δυνατὸν εἶναι πάντα ψευδῆ· οὐκ ἄρα πάντα κινοῦνται. ἔτι, φησίν, ἀνάγκη τὸ ὂν μεταβάλλειν· ἔκ τινος γὰρ εἴς τι ἡ μεταβολή. πρότερον οὖν ἠρεμῆσαν οὕτως μετέβαλε, καὶ ὃ εἴρηται ἐν τῷ Η λόγῳ, ὅτι τῶν ὄντων τὰ μὲν παντελῶς φησιν ἀκίνητα, ὡς τὰ οὐράνια, τὰ δὲ ποτὲ κινούμενα, ὡς τὰ ἐν γενέσει καὶ φθορᾷ. διό φησιν ἀλλὰ μὴν οὐδὲ πάντα ἠρεμεῖ ἢ κινεῖταί ποτε, ἀεὶ δὲ οὐδέν· ἔστι γάρ τι ὅπερ ἀεὶ κινεῖ τὰ κινούμενα, καὶ τὸ πρῶτον κινοῦν αὐτὸ ἀκίνητον ὑπάρχει, τουτέστι τὸ πρῶτον αἴτιον.

2 αὐτὸς Aristoteles: αὐτὸ A: αὐτῷ D 3 ὢν scripsi: ὄν libri 4 οὔτε libri
7 ψευδῆ addidi, cf. Metaph. p. 1012ᵇ27 ὅτι scripsi: καὶ libri 10 ἐν τῷ Η λόγῳ] nihil tale legimus: τοῦτο διὰ πλειόνων ἔδειξεν — ἐν τῷ τελευταίῳ τῆς Φυσικῆς ἀκροάσεως Alex. 13 ποτε — κινεῖ τὰ om. D

ΕΙΣ ΤΟ Δ ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΠΡΑΓΜΑΤΕΙΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ. f.210v

p. 1012b34 Ἀρχὴ δὲ λέγεται ἡ μὲν ὅθεν ἄν τις τοῦ πράγματος κινηθείη.

Ἐλέγομεν ἀρχόμενοι τῆς προκειμένης πραγματείας ὅτι ὁ πρῶτος φιλόσοφος περὶ τὸ ὄντως ὂν καταγίνεται, ἥντινα καὶ σοφίαν προσηγορεύομεν, λέγοντες ὅτι ὁ πρῶτος φιλόσοφος περὶ τοῦ ἁπλῶς ὄντος διαλέγεται τοῦ ἁπλῶς ἐν ἅπασι τοῖς οὖσι θεωρουμένου, εἶτα καὶ περὶ ταυτότητος καὶ ἑτερότητος καὶ τῶν ἄλλων πάντων τῶν ἐν ἐκείνοις εἰρημένων, καὶ ὅτι προσεχῶς περὶ τῆς ἀντιφάσεως διαλέξεται ὁ πρῶτος φιλόσοφος, οὐ τῆς ἐν ὕλῃ τινὶ θεωρουμένης ἀλλὰ περὶ τῆς ἁπλῶς (λοιπὸν γὰρ οἱ καθ' ἕκαστα ἐπιστήμονες διαλέξονται περὶ τῆς ἀντιφάσεως τῆς ἐν τοῖς μεγέθεσιν ἢ τῆς ἐν ἀριθμοῖς ἤγουν ἐν μουσικῇ), ὥσπερ πάλιν καὶ περὶ τοῦ ἁπλῶς ὄντος διαλέξεται ὁ πρῶτος φιλόσοφος καὶ περὶ τοῦ ἁπλῶς ζῴου, τουτέστι * * * καὶ περὶ τῆς ἁπλῆς οὐσίας, λοιπὸν δὲ οἱ καθ' ἕκαστα διαλέξονται περὶ τοῦ τινὸς ὄντος, οἷον ὁ μὲν γεωμέτρης περὶ τοῦ ὄντος τοῦ ἐν τοῖς μεγέθεσιν, ὁ δὲ ἀριθμητικὸς περὶ τοῦ ἐν τοῖς ἀριθμοῖς, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων. οὕτως οὖν καὶ περὶ τοῦ ἁπλῶς ζῴου, ὡς εἴρηται, διαλέξεται ὁ πρῶτος φιλόσοφος, τοῦ διήκοντος ἐν πᾶσι τοῖς οὖσι καὶ οὗ ἡ ζωὴ διὰ πάντων τῶν ζῴων πεφοίτηκεν. ὁ γὰρ διαλεγόμενος περὶ τοῦ ἀνθρωπείου ζῴου οὐ περὶ τοῦ ἁπλῶς ζῴου διαλέγεται· οὔτε γὰρ τὸ ἀνθρώπειον ζῷον μεταδίδωσι τοῖς ἄλλοις ζωῆς. ὁμοίως δὲ καὶ περὶ τῆς ἁπλῆς οὐσίας ὁ πρῶτος φιλόσοφος διαλέξεται, οἱ δὲ καθ' ἕκαστα περὶ τῆς τινὸς οὐσίας. καὶ διὰ τοῦτο παγκάλως εἴρηται ἐν Κατηγορίαις, ὅτι περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει, τουτέστι δείκνυσι μερικὴν οὐσίαν καὶ κατασπᾷ ἐκ τῆς f.211r καθόλου οὐσίας μερικήν τινα οὐσίαν καὶ ποιοῖ αὐτήν· ἡ γὰρ μερικὴ οὐσία καὶ ποιοτήτων μετέχει καὶ τῶν ἄλλων ἁπάντων, ἐπεὶ παντελῶς ἡ οὐσία

14 lacunam indicavi; cf. v. 19. 20 22 ζωῆς] ζωοῖς D 24 ἐν Κατηγορίαις] 5 p. 3b20 26 ποιοῖ scripsi: ποιεῖ libri

ἄποιός ἐστιν αὐτὴ καθ' ἑαυτὴν ὑπάρχουσα. ἐπεὶ οὖν οὐ μόνον ἐστὶ τὸ τῆς ἀντιφάσεως ἀξίωμα ἀλλ' εἰσὶ καὶ ἄλλαι κοιναὶ ἰδιότητες πάσαις ταῖς ἐπιστήμαις ὑπάρχουσαι, πρωτίστη δὲ ἡ ἀντίφασις, διαλεχθεὶς περὶ τῆς ἀντιφάσεως ἐντεῦθεν βούλεται ἡμῖν διαλεχθῆναι περὶ τῶν ἄλλων ἰδιοτήτων τῶν θεωρουμένων ἐν πάσαις ταῖς κατὰ μέρος ἐπιστήμαις, τουτέστι περὶ ἀρχῆς (τῷ γὰρ τῆς ἀρχῆς ὀνόματι κέχρηνται καὶ ⟨αἱ⟩ ἄλλαι πᾶσαι ἐπιστῆμαι), ὁμοίως δὲ καὶ περὶ τοῦ αἰτίου, καὶ περὶ τοῦ ποιητικοῦ αἰτίου καὶ τοῦ τελικοῦ † ἑκάστου κατὰ τὴν ὑποβεβλημένην αὐτοῖς ὕλην· περὶ γὰρ τῆς ἁπλῶς ἀρχῆς καὶ τῶν ἄλλων τῶν ἁπλῶς διαλέξεται ὁ πρῶτος φιλόσοφος. εἶτά φησιν ὅτι αἱ ἰδιότητες αὗται οὔτε ὁμώνυμοι φωναὶ ὑπάρχουσιν οὔτε συνώνυμοι. καὶ ὅτι μὲν οὐχ ὑπάρχουσιν ὁμώνυμοι προφανές· ὑποκατιὼν γὰρ λέγει κοινότητα αὐτῶν τινα, καθ' ἣν κοινῶς τῶν ἄλλων πάντων μετέχουσιν· οὐδεμία δὲ κοινότης θεωρεῖται ἐν τοῖς ὁμωνύμοις, οἷον οὐκ ἔστι τι κοινὸν τῆς κυνὸς φωνῆς, τοῦ θαλαττίου καὶ τοῦ χερσαίου, ὡς φωνῆς δηλονότι. εἰ τοίνυν ἐνταῦθα κοινότης θεωρεῖται, δῆλον ὅτι οὐκ ἔστιν ὁμώνυμα. ἀλλ' οὐδὲ συνώνυμα δύνανται εἶναι· τὰ γὰρ συνώνυμα κοινωνοῦσι κατὰ τὸ πρᾶγμα. οὐκέτι δὲ ἐνταῦθα ἀπαραλλάκτως κοινωνία ἐπὶ πασῶν τῶν ἀρχῶν τῶν διαφόρων, ὥστε εἶναι ἕνα καὶ τὸν αὐτὸν ὁρισμὸν τῆς ὑλικῆς ἀρχῆς καὶ τῆς ποιητικῆς καὶ τῆς τελικῆς. εἰ τοίνυν ἀπέδειξεν αὐτὰ ὁ λόγος μὴ δυνάμενα εἶναι μήτε ὁμώνυμα μήτε συνώνυμα, λέγεται ἄρα εἶναι αὐτὰ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. φησὶν οὖν ὅτι πολλαχῶς f.211v λέγεται ἡ ἀρχή. λέγεται γὰρ ἀρχὴ καὶ ἡ ὑφ' ἡμῶν θέσει γινομένη κατὰ τὴν ἀρχὴν καὶ τὸ πέρας, ἥτις ἀρχὴ καὶ πέρας δύνανται καὶ ἀρχαὶ γενέσθαι. διότι θέσει ἐστὶν ὑφ' ἡμῶν γινομένη. ὥσπερ ἡ ὁδὸς ἀπὸ Θηβῶν εἰς Ἀθήνας καὶ ἀπὸ Ἀθηνῶν ἐπὶ Θήβας. λέγεται ἀρχὴ ἡ μὲν φύσει πρώτη, ἡ δὲ ἡμῖν. πάλιν καὶ ἡ πρώτη πῆξις τοῦ ζῴου λέγεται ἀρχή, οἷον καρδία ἢ ἐγκέφαλος ἤ τι τοιοῦτον. ὁμοίως δὲ καὶ τὸ ὑλικὸν καὶ τὸ ποιητικὸν καὶ τὸ τελικὸν λέγεται εἶναι ἀρχή.

p. 1012ᵇ34 Ἀρχὴ λέγεται ἡ μὲν ὅθεν ἄν τις τοῦ πράγματος κινηθείη.

Φησὶν ὅτι λέγεται ἀρχὴ ὁ τόπος, ἐξ οὗ τις πρῶτον ἄρχεται τῆς κινήσεως, οἷον ὡς ἐπὶ τοῦ μήκους καὶ τῆς ὁδοῦ ἐντεῦθεν αὕτη ἀρχή, οἷον ἀπὸ Ἀθηνῶν εἰς Θήβας. ἐξ ἐναντίας δὲ ἡ ἑτέρα, τουτέστιν ἡ ἀπὸ Θηβῶν ἐπὶ Ἀθήνας. λέγεται δὲ πάλιν ἀρχὴ καὶ ὅθεν ἂν κάλλιστα γένοιτο, οἷον ὡς ἐπὶ τῆς μαθήσεως, καθάπερ εἴρηται ἐν τῇ

2 ἀλλ' ἐστὶ D 6 αἱ addidi 8 ἑκάστου κτλ.] locus, ut videtur, corruptus: exspectes ἃ ὑπάρχει ἑκάστῃ κατὰ τὴν ὑπ. αὐτῇ ὕλην 11 καὶ ὅτι — ὁμώνυμοι om. D 16 οὐδὲ scripsi: οὔτε libri δύναται D 22 alterum ἡ om. D 23 ἥτις κτλ.] legendum videtur ἥτις ἀρχὴ καὶ πέρας δύναται γενέσθαι 34 δὲ om. D 35 ὡς om. D 35. p. 304,1 ἐν τῇ Φυσικῇ] A 1 p. 184ᵃ16 sqq.

Φυσικῇ ἀκροάσει, οὐκ ἀπὸ τοῦ κυρίως πρώτου καὶ τῆς τοῦ πράγματος ἀρχῆς, τουτέστι τῆς φύσεως, δεῖ ἡμᾶς ἄρχεσθαι, ἀλλ' ἀπὸ τῶν ἡμῖν γνωρίμων· εἴρηται γὰρ ὅτι τὰ τῇ φύσει πρότερα ἡμῖν ὕστερα ὑπάρχουσι, καὶ τὰ ἡμῖν πρῶτα τῇ φύσει ὕστερα, ὡς ἐπὶ τοῦ συνθέτου ἀνθρώπου καὶ τῶν στοιχείων, ὕλης φημὶ καὶ εἴδους. λέγεται δὲ ἀρχὴ καὶ ὅθεν πρώτου γίνεται ἐνυπάρχοντος, τουτέστι τὸ ὑλικὸν αἴτιον· τὸ γὰρ ὑλικὸν αἴτιον ἐνυπάρχει ἐν τῷ πράγματι οἷον ἀρχὴ καὶ σύμπηξις τῆς πρώτης γενέσεως, οἷον πλοίου μὲν τρόπις, καὶ οἰκίας θεμέλιος, καὶ τῶν ζῴων οἱ μὲν καρδίαν φασὶν οἱ δὲ ἐγκέφαλον. ἡ δὲ ὅθεν γίνεται πρώτου μὴ ἐνυπάρχοντος, ἵνα εἴπῃ τὴν τελικὴν ἀρχήν· αὕτη γὰρ ἔξωθέν ἐστι τοῦ πράγματος. ἄλλη ὅθεν πρῶτον ἡ κίνησις πέφυκεν ἄρχεσθαι καὶ μεταβάλλει, ἵνα εἴπῃ τὸ ποιητικὸν αἴτιον, οἷον τὸ τέκνον ἐκ τοῦ πατρὸς καὶ ἡ μάχη ἐκ τῆς λοιδορίας.

p. 1013a10 Ἡ δὲ οὗ κατὰ προαίρεσιν κινεῖται τὰ κινούμενα. f.212r

Ἔλεγον ἐν Κατηγορίαις ἓν σημαινόμενον εἶναι τοῦ ἕν τινι τὸ ὡς τὰ τῶν ἀρχομένων ἐν τῷ ἄρχοντι καὶ ἐν τῷ βασιλεῖ τὰ τῶν βασιλευομένων. φησὶν οὖν ὅτι λέγεται καὶ ἄλλον τρόπον ἀρχὴ οὗ τινος κατὰ προαίρεσιν κινεῖται τὰ κινούμενα καὶ μεταβάλλει τὰ μεταβάλλοντα, ὥσπερ αἱ ἐν ταῖς πόλεσι δυναστεῖαι καὶ βασιλεῖαι. ἀρχαὶ λέγονται καὶ αἱ τέχναι καὶ τούτων αἱ ἀρχιτεκτονικαὶ μάλιστα. πάλιν δὲ λέγεται ἀρχὴ ὅθεν γνωστὸν τὸ πρᾶγμα γίνεται, ἐκ τῶν ὁρισμῶν· τὰ γὰρ πράγματα ἐκ τῶν ὁρισμῶν γινώσκονται, οἱ δὲ ὁρισμοὶ τὰ εἴδη ὑπάρχουσι. διὰ γοῦν τοῦ εἰπεῖν ὅθεν γνωστὸν τὸ πρᾶγμα πρῶτον, καὶ αὕτη ἀρχὴ λέγεται ἐδήλωσε τὸ εἰδικὸν αἴτιον· οἷον τῶν ἀποδείξεων αἱ ὑποθέσεις καὶ ἡ πρότασις ἢ οἱ ὁρισμοί. καὶ εἰ μὲν τὰς προτάσεις τις ἐκδέξαιτο, τὸ ὑλικὸν αἴτιον λέγει, εἰ δὲ τοὺς ὅρους, τὸ εἰδικόν· δεῖ δὲ μᾶλλον τὸ εἰδικὸν ἐκδέχεσθαι, ἐπειδὴ ἀνωτέρω ἐμνημόνευσε τοῦ ὑλικοῦ αἰτίου.

p. 1013a16 Ἰσαχῶς δὲ καὶ τὰ αἴτια λέγεται.

Ἰστέον ὅτι κατὰ τοὺς πολλοὺς ἀνθρώπους ὁσαχῶς λέγονται αἱ ἀρχαί, τοσαυταχῶς καὶ τὰ αἴτια, κατὰ δὲ τὴν ἀλήθειαν οὐχ οὕτως ἔχει· ἐπὶ πλέον γάρ ἐστιν ἡ ἀρχὴ τοῦ αἰτίου, διὸ καὶ προέταξε τὴν ἀρχὴν τοῦ αἰτίου. εἴ τι μὲν γὰρ αἴτιον, τοῦτο καὶ ἀρχή· οὐκ εἴ τι δὲ ἀρχή, τοῦτο καὶ αἴτιον. ἡ γὰρ ἀρχὴ ἡ θέσει καὶ ἡ κατὰ τὴν ὁδὸν ἀρχὴ μέν ἐστιν, αἴτιον δὲ εἶναι οὐ δύναται. ὡς οὖν πρὸς τοὺς πολλοὺς εἶπεν ὁ φιλόσοφος, ὅτι ἰσαχῶς δὲ καὶ τὰ αἴτια λέγεται· πάντα γὰρ τὰ αἴτια ἀρχαί.

---

15 Ἔλεγον ἐν Κατηγορίαις] καὶ ἐν τῷ ὁ (διὰ D) τῆς φυσικῆς τοῦτό φησιν Ἀριστοτέλης margo AD, cf. Phys. Δ 3 p. 210a21: ceterum qui haec adscripsit, legisse videtur ἔλεγεν

p. 1013a17 Πασῶν μὲν οὖν κοινὸν τῶν ἀρχῶν.

Ὅτι ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ταῦτα ὑπάρχουσι, τουτέστιν οὔτε * * αἱ ἰδιότητες, σαφῶς δὲ ἐδήλωσεν ὁ Ἀριστοτέλης κοινωνίαν αὐτῶν δούς. f.212v φησὶ γὰρ ὅτι πᾶσαι αἱ ἀρχαὶ κοινὸν τοῦτο ἔχουσι τὸ εἶναι αὐτὰς πρώτας. διὰ δὲ τοῦ εἰπεῖν ὅθεν ἔστι τὸ ποιητικὸν ἐδήλωσεν αἴτιον, διὰ δὲ τοῦ ᾗ γίνεται τὸ ὑλικόν, διὰ δὲ τοῦ γινώσκεται τὸ εἰδικόν. τούτων δὲ τῶν ἀρχῶν αἱ μὲν ἐνυπάρχουσι, φημὶ δὴ τὸ ὑλικόν, εἴ γε μέρος γίνεται τοῦ συνθέτου, καὶ τὸ εἰδικόν, αἱ δὲ ἐκτὸς ὑπάρχουσιν, οἷον τὸ ποιητικὸν καὶ τὸ τελικόν. διὸ ᾗ τε φύσις ἀρχὴ καὶ στοιχεῖον· στοιχεῖον δὲ λέγει τὸ ὑλικόν· ἐν γὰρ τῷ δευτέρῳ λόγῳ τῆς Φυσικῆς τὴν φύσιν ὕλην ἔλεγε, μᾶλλον δὲ τὸ εἶδος φύσιν τῆς ὕλης. καὶ ἡ διάνοια, τουτέστι τὸ εἰδικόν· κατὰ γὰρ τὴν διάνοιαν συλλογιζόμενοι θηρῶμεν τὰ πράγματα· γνωστὸν δὲ τὸ εἶδος τῶν πραγμάτων. διὰ δὲ τῆς προαιρέσεως τὸ ποιητικὸν ἐδήλωσε· κατὰ γὰρ τὴν προαίρεσιν πράττομεν ἃ πράττομεν. διὰ δὲ τῆς οὐσίας τὸ τελικὸν ἐδήλωσεν αἴτιον. πολλῶν γὰρ καὶ τοῦ γνῶναι καὶ τῆς κινήσεως ἀρχὴ τἀγαθὸν καὶ κακόν· δεῖ γὰρ ἡμᾶς γινώσκειν τὸ ἀγαθὸν πρὸς τὸ διώκειν αὐτὸ καὶ τὸ κακὸν πρὸς τὸ ἐκκλίνειν ἀπ' αὐτοῦ.

p. 1013a24 Αἴτιον λέγεται ἕνα μὲν τρόπον.

Τὰ ῥητὰ ταῦτα μετενήνεκται ἐνταῦθα ἐκ τῆς Φυσικῆς ἀκροάσεως· ἔλεγον γάρ ὅτι τινὰ παραπώλοντο, καὶ μὴ δυνηθέντες μιμήσασθαι ἐκ τῶν αὐτοῦ ἐφήρμοσαν. ἀμέλει τοι καὶ τὸ Κ στοιχεῖον ὅλον ἐκ τῶν ἄλλων αὐτοῦ ἐστιν ἀκροάσεων. αἴτιον οὖν λέγει ἕνα μὲν τρόπον τὸ ὑλικόν, ὅπερ μέρος γίνεται τοῦ συνθέτου, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ ἄργυρος τῆς φιάλης, καὶ τὰ τούτων γένη, ὥσπερ τὰ πορρωτέρω, ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα καὶ τὰ πόρρω, οἷον τοῦ διὰ πασῶν τὰ δύο πρὸς ἓν καὶ ὅλως ὁ ἀριθμὸς καὶ τὰ μέρη τὰ ἐν τῷ ἀριθμῷ. τρίτον αἴτιον τὸ ποιητικὸν αἴτιον τὸ προσεχὲς τῆς κινήσεως καὶ ἠρεμήσεως, οἷον τοῦ τέκνου ὁ πατὴρ καὶ ὅλως τὸ ποιοῦν τοῦ γινομένου. πρὸς τούτοις δὲ καὶ τὸ τελικὸν αἴτιον, οἷον τοῦ περιπατεῖν ἡ ὑγεία· διὰ τοῦτο γὰρ βαδίζει. f.213r ἵνα ὑγιάνῃ, καὶ ὅσα διὰ κινήσεως ἄλλου μεταξὺ γίνεται τοῦ τέλους, οἷον τῆς ὑγείας ἡ ἰσχνασία ⟨ἢ⟩ ἡ κάθαρσις· πάντα γὰρ ταῦτα τοῦ τέλους ἕνεκα παραλαμβάνονται. διαφέρουσι δὲ ἀλλήλων, ὅτι τὰ μὲν ὄργανα ὑπάρχουσι

2. 3 lacunam indicavi: fort. legendum οὔτε ὁμώνυμοί εἰσιν οὔτε συνώνυμοι αὗται αἱ ἰδιότητες σαφῶς ἐδήλωσεν, cf. p. 303,10 8. 9 καὶ τὸ εἰδικόν D 10 τῆς Φυσικῆς] B 1 p. 193a28. b6 12 γνωστὸν scripsi: γνωστικὸν libri 14 οὐσίας] fort. addendum καὶ τοῦ οὗ ἕνεκα 15 τοῦ Aristoteles: τοῦτο libri 17 τὸ ἐκκλίνειν — τρόπον (18) om. D 19 ἐκ τῆς Φυσικῆς] B 3 p. 194b23 sqq. 20 ἔλεγον κτλ.] cf. p. 4,12 sqq. 21 ἀμελεῖτο D 24 ἄλλον δὲ — πόρρω (25) om. D 26 ὁ om. D ἐν τῷ λόγῳ Aristoteles: fort. legendum ἐν τῷ ὁρισμῷ 31 ἢ addidi

τὰ δὲ ἔργα, τουτέστιν αὐτὰ τὰ πράγματα. τοσαυταχῶς οὖν λέγεται τὰ αἴτια. πολλαχῶς οὖν λεγομένων τῶν αἰτίων συμβαίνει τοῦ αὐτοῦ πράγματος πολλὰ αἴτια εἶναι μὴ κατὰ συμβεβηκός, οἷον τοῦ ἀνδριάντος ἡ ἀνδριαντοποιητικὴ ποιητικὸν αἴτιον καὶ ὁ χαλκὸς ὑλικόν. καὶ ἀλλήλων αἴτιον, οἷον τὸ πονεῖν τῆς εὐεξίας καὶ αὕτη τοῦ πονεῖν, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο· τὸ μὲν γὰρ τῆς εὐεξίας ὡς τέλος, τὸ δὲ τοῦ πονεῖν ποιητικόν ἐστιν αἴτιον. πάλιν τὸ αὐτὸ αἴτιον τῶν ἐναντίων ἐστίν, οἷον ἡ κυβερνητική· τῇ μὲν γὰρ παρουσίᾳ σώζει τὴν ναῦν, τῇ δὲ ἀπουσίᾳ φθείρει κατὰ συμβεβηκός· ἀμφότερα δὲ αἴτια ὡς ποιητικά. πάντα οὖν τὰ εἰρημένα αἴτια εἰς τέσσαρας τρόπους πίπτει καθ' αὑτό, ὑλικὸν εἰδικόν, ποιητικὸν τελικόν. τὰ μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν καὶ ἡ ὕλη τῶν σκευαστῶν καὶ τὸ πῦρ καὶ ἡ γῆ καὶ τὸ ὕδωρ καὶ τὰ τοιαῦτα πάντων τῶν σωμάτων καὶ τὰ μέρη τοῦ ὅλου καὶ αἱ προτάσεις τοῦ συμπεράσματος ὡς ὑλικὰ ὑπάρχουσιν αἴτια. τούτων οὖν τὸ μὲν ὡς τὸ ὑποκείμενον, τουτέστιν ὡς τὸ ὑλικὸν αἴτιον, τὸ δὲ ὡς εἰδικόν, τὸ δὲ ὡς ποιητικόν, ὥσπερ τὸ σπέρμα καὶ ὁ ἰατρὸς καὶ ὁ βουλευσάμενος καὶ ὅλως τὸ ποιοῦν αἴτιον, τὰ δὲ ἄλλα ὡς τέλος, καὶ μάλιστα τὸ ἀγαθόν * * * ἐπειδή τινες κατὰ ἀπάτην τοῦ φαινομένου ἀγαθοῦ ἐφίενται.

p. 1013ᵇ29 Τρόποι δὲ τῶν αἰτίων ἀριθμῷ μέν εἰσι πολλοί.

Ἰστέον ὅτι τῶν αἰτίων τὰ μὲν ὑπάρχουσι καθ' αὑτὸ τὰ δὲ κατὰ συμβεβηκός, καὶ τὰ μὲν πόρρω τὰ δὲ προσεχῆ, καὶ ἁπλᾶ καὶ σύνθετα, καὶ δυνάμει καὶ ἐνεργείᾳ· ὥστε ἑξήκοντα τέσσαρας τρόπους γίνεσθαι. πολλαχῶς οὖν λέγεται καὶ αὐτῶν τῶν ὁμοειδῶν, προτέρως καὶ ὑστέρως, τουτέστι προσεχὲς καὶ πόρρω, ποιητικὸν αἴτιον καὶ ὑλικὸν καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὥσπερ ὑγιείας ὁ ἰατρὸς καὶ ὁ τεχνίτης πορρωτέρω, καὶ τοῦ διὰ πασῶν προσεχὲς τὸ διπλάσιον, πορρωτέρω δὲ ὁ ἀριθμός. ἔτι ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη, τουτέστι τὰ πόρρω, οἷον ἀνδριάντος ἄλλως ὁ Πολύκλειτος καὶ ἄλλως ὁ Πολύκλειτος ἀνδριαντοποιός, ἐπειδὴ συνέβη οὕτως καλεῖσθαι τὸν ἀνδριαντοποιόν· καὶ τὰ περιέχοντα τὸ συμβεβηκός, οἷον ὁ ἄνθρωπος αἴτιος ἀνδριάντος καὶ ὅλως τὸ ζῷον. καὶ ἐπὶ τῶν συμβεβηκότων δέ ἐστι τὸ προσεχὲς καὶ τὸ πόρρω, οἷον εἰ ὁ Πολύκλειτος καὶ ὁ μουσικὸς αἴτιος λέγοιτο τοῦ ἀνδριάντος, ἀλλὰ μὴ μόνον Πολύκλειτος καὶ ἄνθρωπος. ἔτι δυνάμει καὶ ἐνεργείᾳ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν αἰτιατῶν ὁ οἶκος αἴτιος τοῦ λέγεσθαι τὸν οἰκοδόμον ποιητικὸν αἴτιον. ὁμοίως δὲ καὶ συμπλεκόμενα καὶ ἁπλᾶ ὄντα τὰ αἴτια, οἷον Πολύκλειτος καὶ ἀνδριαντοποιὸς καὶ ὅλον τοῦτο Πολύκλειτος ἀνδριαντοποιός. * * * οὖν ὑπάρχει τὸ πλῆθος, λέγονται δὲ διχῶς· ἢ γὰρ ὡς τὸ καθ' αὑτὸ καὶ τὸ γένος, τουτέστιν ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκὸς ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος, τουτέστι τὸ

f. 213v

17 ἀγαθὸν] deest tale quid καὶ τοῦτο ἢ ὄντως ἀγαθὸν ἢ φαινόμενον ἀγαθόν 21 ἐναργείᾳ D
22 προτέρως καὶ ὑστέρως Aristoteles: προτέρων καὶ ὑστέρων libri 24 ὡς περὶ D 35 ante οὖν duae vel tres litterae desunt AD: ἅπαντά γε ταῦτ' ἐστὶ τὸ μὲν πλῆθος ἕξ Aristoteles
36 ὡς τὸ καθ' ἕκαστον Aristoteles 36. 37 τουτέστιν—αὐτό corrupta sunt

πορρωτέρω, ἢ ὡς ἁπλᾶ καὶ σύνθετα, ἢ δυνάμει καὶ ἐνεργείᾳ. ἰστέον οὖν ὅτι τὸ ἐνεργείᾳ καὶ καθ' αὑτὸ ἅμα ἐστὶ καὶ οὐκ ἔστι, τουτέστιν ἢ συμπάρεισι τοῖς αἰτιατοῖς, ἢ εἰ μὴ ἐκεῖνα ὑπάρχει, ⟨οὐδὲ⟩ ταῦτα, οἷον ὁ ἰατρεύων τῷ ὑγιαζομένῳ καὶ ὁ οἰκοδόμος τῷ οἰκοδομουμένῳ· τὰ δὲ κατὰ δύναμιν οὐκ ἀεί· καὶ μετὰ τὴν φθορὰν γὰρ τοῦ οἰκοδόμου μένει τὸ αἰτιατόν, ἀλλὰ δυνάμει.

p. 1014a26 Στοιχεῖον λέγεται ἐξ οὗ σύγκειται πρώτου ἐνυπάρχοντος, ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερον εἶδος.

Καὶ ἐν τῷ τρίτῳ τῆς Περὶ οὐρανοῦ οὕτως ὡρίσατο τὸ στοιχεῖον. ἰστέον γὰρ ὅτι καὶ ὁ Ἐμπεδοκλῆς πρῶτα λέγων τὰ τέσσαρα στοιχεῖα τὰ l.214b πολυθρύλλητα προσηγόρευεν αὐτὰ στοιχεῖα. φησὶν οὖν ὅτι στοιχεῖόν ἐστιν ἐξ οὗ σύγκειται τὸ γινόμενον πρώτου ἐνυπάρχοντος ἐν ᾧ γίνεται, ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερον εἶδος. τὸ γὰρ στοιχεῖον τῶν ἀδυνάτων διαιρεῖσθαι εἰς ἕτερον εἶδος, καὶ καλὴ ἡ πρόσθεσις αὕτη· κατὰ μεγέθη γὰρ δυνατὸν διαιρεῖσθαι, οἷον τὸν ἀέρα καὶ τὸ ὕδωρ διελεῖν εἰς διάφορα μεγέθη, οὐκέτι μὴν εἰς διάφορα εἴδη· τὸ ⟨γὰρ⟩ μέγεθος τοῦ ὕδατος ἔστ' ἂν ᾖ ὕδωρ, οὐκ ἔστιν ἀὴρ ἀλλ' ὕδωρ. ὁ μέντοι γε Δημόκριτος τὰ στοιχεῖα λέγων ἀμεγέθη καὶ τὰς ἀτόμους, ἀδιαίρετα αὐτὰ ὑπετίθετο οὐ μόνον κατ' εἶδος. οἷον τῆς φωνῆς ὕλη ἐστὶ τὰ στοιχεῖα, ἐξ ὧν σύγκειται ἡ φωνὴ καὶ εἰς ἃ διαιρεῖται ἔσχατα. λέγει δὲ τοὺς φθόγγους καὶ τὰς ἀπηχήσεις αὐτῶν· αἱ γὰρ συλλαβαὶ στοιχεῖα τῶν ὀνομάτων ὑπάρχουσι. τὰ οὖν στοιχεῖα τῶν φωνῶν οὐκέτι διαιροῦνται εἰς ἄλλας φωνὰς ἑτέρας τῷ εἴδει αὐτῶν, ἀλλὰ κἂν διαιροῦνται τὰ μόρια, εἰς ὁμοειδῆ διαιροῦνται, οἷον τὸ μόριον τοῦ ὕδατος ὕδωρ ὑπάρχει, ἀλλ' οὐ τῆς συλλαβῆς τὸ μόριόν ἐστιν ὕδωρ. ὁμοίως δὲ καὶ τῶν σωμάτων στοιχεῖα λέγουσι φάσκοντες εἶναι, εἰς ἃ διαιρεῖται ἔσχατα τὰ σώματα, ἐκεῖνα δὲ τὰ στοιχεῖα οὐκέτι εἰς ἄλλα εἴδει διαφέροντα σώματα, εἴτε ἓν εἴτε καὶ πλείονα ὑποτίθεται τὰ στοιχεῖα. ὁμοίως δὲ καὶ τὰ τῶν διαγραμμάτων στοιχεῖα λέγεται καὶ ὅλως τὰ τῶν ἀποδείξεων· αἱ γὰρ πρῶται ἀποδείξεις καὶ ἐν πλείοσιν ἀποδείξεσιν ἐνυπάρχουσαι, αὗται λέγονται στοιχεῖα τῶν ἀποδείξεων. συμβάλλονται ἐν τοῖς στερεοῖς τὰ ἐν τῷ δεκάτῳ βιβλίῳ, ἀλλὰ μᾶλλον τὰ ἐν τῇ ἀρχῇ, ἐπειδὴ πρὸς πᾶσαν γεωμετρίαν συμβάλλονται. ταῦτα οὖν στοιχεῖα καλεῖται τὰ ἐπὶ πάντα l.214b διήκοντα. [διὸ καὶ τὸ ζῷον μᾶλλόν ἐστι γένος τῆς διαφορᾶς, ἐπειδὴ ἐπὶ πλέον

2 καθ' ἕκαστον Aristoteles 3 ἢ εἰ scripsi: πῇ D: πῇ ζῃ A οὐδὲ addidi 5 μένει repetit A 9 ἐν τῷ τρίτῳ τῆς Περὶ οὐρανοῦ] c. 3 p. 302a15 sqq. 14 πρόσθεσις scripsi: πρόθεσις libri κατὰ μεγέθη scripsi: καὶ ἀμεγέθη libri 16 γὰρ addidi μέγεθος] fort. μέρος οὔτ' ἂν D 17 ἀμεγέθη scripsi: τὰ μεγέθη libri 22 φωνὰς om. D 23 ὑπάρχει scripsi: πάσχει libri ἐστιν ὕδωρ] legendum ἐστι συλλαβή 26 εἴδει scripsi: εἴδη libri 28 αἱ Aristoteles: καὶ libri 29. 30 ἐνυπάρχουσαι Aristoteles: ἐνυπάρχουσιν libri 30 ante συμβάλλονται nonnulla videntur intercidisse 32 οὖν scripsi: οὐ libri καλεῖται scripsi: καλεῖσθαι libri 33 διὸ — ἄλογον (p. 308,1) delevi; pertinent ad ea quae infra p. 308,10 leguntur: ceterum v. 33 μᾶλλόν ἐστι στοιχεῖον legendum est

τῆς διαφορᾶς ἐπεκτείνεται περιέχον καὶ τὰ ἐναντία λογικὸν καὶ ἄλογον.] εἰσὶ δὲ κυρίως συλλογισμοὶ οἱ πρώτιστοι, τουτέστιν οἱ τοῦ πρώτου σχήματος, εἰς οὓς καὶ οἱ ἄλλοι πάντες ἀναφέρονται, ὡς μεμαθήκαμεν ἐν τοῖς Ἀναλυτικοῖς, καὶ τούτων ὅταν εἷς ἐστιν ἄμεσος ὅρος καὶ δύο προτάσεις· εἰ γὰρ πολλαί, οὐ καλόν. ἐντεῦθέν φησι στοιχεῖα εἶναι, ὅπερ ἂν ἕν τι ᾖ καὶ μικρὸν τῷ ποσῷ, οὐ τῇ δυνάμει, ἐπὶ πολλὰ ᾖ χρήσιμον. διὸ καὶ τὸ σημεῖον στοιχεῖόν φαμεν τῶν μεγεθῶν, οὐχ ὅτι μέρος γίνεται, ἀλλ' ὅτι οὐ δυνατὸν εἶναι μέγεθος ἄνευ σημείου· ὁμοίως δὲ καὶ ἐπὶ τῆς μονάδος καὶ τοῦ ἀριθμοῦ. διὸ καὶ τὸ καθόλου στοιχεῖον δεῖ λέγειν ὡς ἐπὶ πολλὰ ἐπεκτεινόμενον· ὥστε διὰ τοῦτο τὰ γένη μᾶλλον στοιχεῖα λέγουσιν ἤπερ τὰς διαφοράς, ἐπειδὴ ἐπὶ πλεῖον ἐπεκτείνονται. κυρίως δέ ἐστι στοιχεῖον ἑκάστου τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ.

p. 1014b16 Φύσις δὲ λέγεται ἕνα μὲν τρόπον ἡ τῶν φυομένων γένεσις.

Εἰρηκὼς περὶ ἀρχῶν καὶ αἰτίων καὶ τῶν ἄλλων τῶν εἰρημένων ὑπ' αὐτῶν, ἅτινα ἐν πάσαις ταῖς ἐπιστήμαις θεωροῦνται, ἐντεῦθεν λέγει ἡμῖν καὶ περὶ ἑτέρων τινῶν, περὶ ἃ πᾶσαι αἱ ἐπιστῆμαι καταγίνονται, καὶ ταῦτα δὲ ὑπάρχουσιν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, οἷον περὶ φύσεως. καί φησιν ὅτι λέγεται φύσις καὶ ἡ ἔκφυσις ἡ ὁδὸς αὐτὴ ἡ ἐπὶ τὸ τέλος ἀπάγουσα, τουτέστιν ἡ ὁδὸς αὐτὴ ἡ ἐπὶ τὸ εἶδος ἀπάγουσα, καθάπερ ἔλεγε καὶ ἐν τῇ Φυσικῇ. λέγεται δὲ φύσις καὶ αὐτὴ ἡ ὕλη· διὸ ἔλεγε καὶ ἐν τῇ Φυσικῇ περὶ τοῦ Ἀντιφῶντος περὶ τῆς κλίνης, εἰ λάβοι βλαστόν. πάλιν κυρίως λέγεται φύσις αὐτὸ τὸ εἶδος, εἴ γε πάντα τὰ πράγματα χαρακτηρίζονται κατὰ τὰ οἰκεῖα εἴδη· πάντα γὰρ κοινωνοῦσι κατὰ τὴν ὕλην, διαφέρει δὲ κατὰ τὸ εἶδος. πάλιν λέγεται φύσις καὶ τὸ ποιητικὸν αἴτιον, καὶ τοῦτο f.215r εἰκότως· εἰ γὰρ ἐδείξαμεν ὅτι μᾶλλον τὸ εἰδός ἐστιν ἡ φύσις, τὰ δὲ εἴδη γίνονται ἐκ τῶν ποιητικῶν αἰτίων (ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος· τὰ γὰρ ποιοῦντα προσεχῆ αἴτια ὁμοειδῆ ὑπάρχουσι), φανερὸν ὅτι εὐλόγως ἂν λέγοιτο φύσις καὶ τὸ ποιητικὸν αἴτιον. διὰ τοῦτο γὰρ καὶ ἐπὶ θεοῦ καὶ ἀγγέλου καὶ πασῶν τῶν τοιούτων δυνάμεων φερόμενον τὸ τῆς φύσεως ὄνομα, καθὸ εἴδη ἔχουσι, κατὰ δὲ τὸ εἶδος ἡ φύσις ἐχαρακτηρίζετο.

Ταῦτα εἰρηκὼς περὶ τῆς φύσεως μετέρχεται ἐπὶ τὸν λόγον τοῦ ἀναγκαίου λέγων ὅτι τῶν ἀναγκαίων τὰ μὲν ὑπάρχουσιν ὡς συναίτια τὰ δὲ ὡς τελικὰ τὰ δὲ ἐκ βίας. οἷον συναιτιόν ἐστιν ἀναγκαῖον τὸ ἀναπνεῖν· οὔτε γὰρ δυνατόν ἐστι ζῆν ἄνευ ἀναπνοῆς ἢ ἄνευ τροφῆς. τὸ μέντοι γε εἶδος οὐκ ἔστιν ἀναγκαῖον· οὔτε γὰρ ἔστιν εἰπεῖν ὅτι ἀναγκαῖον τῷ ἀνθρώπῳ

---

3. 4 ἐν τοῖς Ἀναλυτικοῖς] Anal. pr. A 7 p. 29b1 sqq. 5 ᾖ] ὂν Aristoteles 11. 12 ἑκάστου τὸ scripsi: τὸ καὶ τοῦτο libri 19 τέλος—ἐπὶ τὸ (20) om. D 20. 21 ἐν τῇ Φυσικῇ] B 1 p. 193b12 22 περὶ τοῦ Ἀντιφῶντος] Phys. B 1 p. 193a12 29 ἀλόγων D

τὸ ζῴῳ εἶναι. κατὰ γὰρ τὸ ζῷον ἔχει τὴν ὕπαρξιν· διὸ δεῖ τὸ ἀναγκαῖον κεχωρισμένον εἶναι καὶ ἕτερον παρ' αὐτό, ὥσπερ ἡ ἀναπνοὴ ἑτέρα ἐστὶ παρὰ τὸ ζῷον, ὁμοίως δὲ καὶ ἡ τροφή. ἐπὶ τοίνυν τῶν συνθέτων τῷ ὄντι ἕτερόν ἐστι τὸ ἀναγκαῖον παρὰ τὴν ὕπαρξιν. οἷον ἔστι ζῷον λο-
5 γικὸν θνητόν· οὐ κατὰ τὸ ὅλον ἐστὶ [θνητὸν] λογικὸν ἀλλ' ἀπὸ μέρους, καὶ πάλιν οὐ κατὰ τὸ ὅλον ἐστὶ θνητὸν ἀλλ' ἀπὸ μέρους· ὥστε καὶ θνητὸν δύναται εἶναι καὶ λογικὸν κατ' ἄλλο καὶ ἄλλο. οὐ δυνατὸν οὖν, ὡς εἴρηται, ἐπὶ τῶν συνθέτων πραγμάτων λέγειν ὅτι ἀναγκαῖόν ἐστιν αὐτῷ τὸ εἶναι ζῴῳ λογικῷ θνητῷ, ἐπειδὴ οὐχ ἕν ἐστιν, ὥστε καὶ τὸ ἀναγκαῖον
10 ἔξωθεν προσγίνεται. ἐπὶ μέντοι γε τῶν ἁπλῶν, ἐπειδὴ οὐκ ἔστι τι ἔξωθεν αὐτῶν, κατὰ τὴν ὕπαρξιν αὐτῶν ὑπάρχει αὐτοῖς τὸ ἀναγκαῖον. διό φαμεν ὅτι ἐξ ἀνάγκης ἐστὶν ὁ θεὸς ἀγαθός· ἐν τούτῳ γάρ ἐστιν ἡ τοῦ θεοῦ οὐσία· οὔτε γὰρ ἔχει ἔξωθέν τι συμβεβηκὸς ὑπάρχον ἁπλοῦν, ἵνα ἐν ἐκείνῳ θεωρηθῇ τὸ ἀναγκαῖον. διὸ καὶ τοῖς ἄλλοις ἀναγκαίοις ἐντεῦθεν f. 215v
15 τὸ ἀναγκαῖον ἐπιπηγάζεται ἐκ τῆς πρώτης οὐσίας. ὅθεν καὶ ὁ Πλωτῖνος παγκάλως ἔλεγεν ὅτι δεῖ τὰς πολλὰς ἴλιγγας εἰς ἕν τι συνάγειν καὶ οὕτως νοεῖν τὸν θεόν, καὶ ἀντιλαμβάνεσθαι αὐτοῦ μύσαντας, ἐπειδὴ καὶ ὑπὲρ νοῦν ἐστι καὶ ἁπλοῦν καὶ πάντα παράγον. τὸ γοῦν συναίτιον ἀναγκαῖον τοῦτό ἐστιν, ὡς ὅταν εἴπωμεν ὅτι οὐ δυνατὸν εἶναι τὸ ζῷον ἄνευ ἀναπνοῆς. τὸ
20 ὡς τέλος δέ, ἡνίκα φῶμεν ὅτι ἀναγκαῖόν ἐστι τὸ καθάρσιον διὰ τὴν ὑγίειαν καὶ τὸ φλεβότομον. τὸ βίαιον δὲ ἀναγκαῖον, ὅταν τις ἐπιθῇ τινι βίαν ποιῆσαι τόδε τὸ πρᾶγμα, ὥσπερ ὁ Εὐρυσθεὺς ἐπέταττε τῷ Ἡρακλεῖ. διό φησι κἀκεῖνος "ἀναγκαίη γὰρ ἐπείγει"· τῷ ὄντι γὰρ ὁ προστάττων ἀμεταποιήτως ἔχει· εἰ γὰρ μεταπεισθείη, οὐκέτι ἐστὶ βία. ἐπὶ τοίνυν τοῦ θείου
25 οὐδὲν θεωρεῖται βίαιον ἐξ ἀνάγκης, ἐπειδὴ οὐδὲ ἔξωθεν ὑπάρχει τι αὐτῷ, ἀλλὰ συνουσίωται αὐτῷ τὸ ἀναγκαῖον.

Ταῦτα εἰρηκὼς ἐφεξῆς λέγει περὶ τοῦ ἑνός, καί φησιν ὅτι ἓν λέγεται ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός. καὶ τὸ μὲν κατὰ συμβεβηκὸς τριχῶς λέγεται· ἕνα μὲν τρόπον ὅταν ἓν συμβεβηκὸς κατηγορήσωμεν οὐσίας, ὅταν
30 εἴπω ὁ Κορίσκος μουσικός· δεύτερον δὲ τρόπον, ὅταν συμβεβηκὸς κατὰ συμβεβηκότος κατηγορήσωμεν, οἷον ὁ δίκαιος μουσικός. τρίτος δὲ τρόπος, ὅταν δύο συμβεβηκότα οὐσίας κατηγορήσωμεν· ὁ Κορίσκος δίκαιος μουσικός. πάλιν τὰ καθ' αὑτὰ τὰ μὲν λέγεται εἶναι συνεχῆ τὰ δὲ οὔ, καὶ τὰ μὲν φύσει ὑπάρχουσι συνεχῆ τὰ δὲ τέχνῃ. οἷον τέχνῃ μὲν ὑπάρχουσι
35 συνεχῆ, οἷον φάκελος τῷ δεσμῷ καὶ τὰ ξύλα τῇ κόλλῃ, οἷον ὥσπερ ἡ ναῦς μία λέγεται εἶναι τῇ συνεχείᾳ καὶ ἡ θύρα. κυρίως δὲ ἓν λέγεται τῇ συνεχείᾳ ἐπὶ τῆς φύσεως, ὅταν μὴ δυνατὸν ᾖ κινεῖσθαι τὸ μέρος χωρὶς τοῦ ἑτέρου, οἷον ἡ κνήμη οὐ λέγεται συνεχὴς τῷ μηρῷ, ἐπεὶ δυνατόν f. 216r

---

1 ζῴῳ] addendum, ut videtur, λογικῷ θνητῷ εἶναι, cf. v. 8. 9 5 θνητὸν delevi 6. 7 θνητὸν et 7 λογικὸν scripsi: θνητὸς et λογικὸς libri 11 ὑπάρχει scripsi: ὑπάρχειν libri 15 ὁ Πλωτῖνος] fort. respicit ad Enn. III 8, 10 p. 351, VI 9, 7 p. 765 23 φησὶ κἀκεῖνος] Il. Z 85 25 οὔτε libri 26 αὐτὸ D 35 οἷον (ante ὥσπερ) om. D φάκελλος libri

ἐστι κινῆσαι τὴν κνήμην ἄνευ τοῦ μηροῦ· ἀπὸ δὲ τοῦ ἰσχίου μέχρι τῆς κατὰ τὸ γόνυ διαρθρώσεως συνέχειά τις φυλάττεται, ἐπειδὴ οὐ δυνατὸν τὸ μόριον ἄνευ τοῦ ὅλου κινηθῆναι, ἀλλὰ μίαν ποιοῦνται κίνησιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀκινήτων, οἷον εἰ οἱ τοῖχοι οἴκου, εἰ γένοιτο (ὅπερ ἀπείη) σεισμὸς ἤ τι τοιοῦτον, οὐχ ὁμοίως φέρονται. λέγονται δὲ καὶ τῇ ὕλῃ, ἐπειδὴ μία ὕλη πᾶσιν ὑπέστρωται. λέγονται δὲ πάλιν ἓν ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ· κἀνταῦθα γὰρ ἀδιαίρετος γίνεται ἡ διαίρεσις· κατὰ γὰρ τὸ εἶναι ζῷα οὐδὲν ἀλλήλων διαφέρομεν· πάλιν καὶ εἴδει ἕν (κατὰ γὰρ τὸ ἀνθρώπινον εἶδος οὐδὲν ἀλλήλων διαφέρομεν) ἢ ἀριθμῷ ἕν. ἐπειδὴ τοῦ ἀριθμοῦ χρεία ἐστὶ καὶ τοῦ αὐτοῦ τόπου καὶ τοῦ αὐτοῦ χρόνου, ἵνα ὡς οὐσίαν τις καὶ μόνην ἐκδέξηται τὸν Σωκράτη, καὶ μὴ ἔχοντα συμβεβηκότα, οἷον ἀμείβοντα τόπον ἐκ τόπου ἢ ὑπὸ χρόνον τελοῦντα. πάλιν λέγονται οἱ γλυκεῖς οἶνοι ἓν εἶναι, καθὸ μία ἐστὶν ἡ αἰσθητὴ αὐτῶν διαφορά· οἱ δὲ γλυκεῖς καὶ αὐστηροὶ οἶνοι διάφοροι, ἐπειδὴ ἔχουσιν αἰσθητὰς διαφοράς. * * * ἐπεὶ πάντα τὰ ὑγρὰ κοινωνοῦσιν ἀλλήλοις, καθὸ ὕδωρ πάντα πεποιωμένον, ὡς εἴρηται ἐν τοῖς Μετεώροις. καὶ πάλιν ἓν λέγεται κατὰ ἀναλογίαν· ὅπερ γάρ ἐστιν ἐν νηὶ τρόπις, τοῦτο ἐν ζῴῳ καρδία, καὶ ὅσα ἄλλα εἴρηται ἐν τῇ Φυσικῇ πραγματείᾳ. εἶτα πάλιν φησὶν ὅτι ἓν λέγεται τὸ ὑπόδημα, ὅταν μηδὲν αὐτῷ ἐλλείπῃ, ἀλλ' ἢ τέλειον καὶ ἐφαρμόζῃ τῷ ποδὶ καὶ μήτε προσθήκην τινὰ δέχηται μήτε ἀφαίρεσιν, ὥσπερ αὐτός φησιν ἐν τῇ Περὶ οὐρανοῦ περὶ κύκλου ὅτι τέλειος ὑπάρχει· οὔτε γὰρ προσθήκης ἀνέχεται οὔτε δὲ ἀφαιρέσεως. αὕτη γὰρ ἡ γραμμὴ τοῦ κύκλου τοῦ ἑνὸς οὔτε προσθήκην ἐπιδέχεται οὔτε ἔλλειψιν· τὸ τοιοῦτον δὲ τέλειον ὑπάρχει. ἀπὸ δὲ τῆς εὐθείας δυνατόν ἐστι καὶ ἀφαίρεσιν ποιήσασθαι καὶ προσθήκην· διὸ καὶ τὸ τρίγωνον δυνατόν ἐστι καὶ αὐξῆσαι καὶ μειῶσαι καὶ τὰ ἄλλα σχήματα τὰ εὐθύγραμμα, ἐπειδὴ ἐξ εὐθειῶν σύγκειται. τῶν γὰρ σχημάτων τὰ μὲν εὐθύγραμμα ὑπάρχουσι, τὰ δὲ περιφερόγραμμα. f.216v

p. 1014b16 Φύσις δὲ λέγεται ἕνα μὲν τρόπον.

Καθ' ἕνα μὲν τρόπον φύσις λέγεται ἡ γένεσις τῶν φυομένων, τουτέστιν ἡ ὁδὸς ἡ ἐπὶ γένεσιν, οἷον εἴ τις ἐπεκτείνας λέγοι τὸ υ στοιχεῖον φωνῆεν· εἰ μὲν γὰρ εἴποι τις ἔκφυσις. μακρόν ἐστι τὸ υ. εἰ δὲ φύσις, βραχύ. πάλιν κατ' ἄλλον τρόπον λέγεται φύσις ἡ ὕλη, ἐξ οὗ γίνεται τὸ γινόμενον ἐνυπάρχοντος ἐν τῷ γίνεσθαι. ὁ μὲν γὰρ λέβης γίνεται ἐκ τοῦ χαλκοῦ καὶ ἐνυπάρχει ὁ χαλκὸς τῷ λέβητι. εἶτα λέγεται φύσις καὶ τὸ ποιητικὸν αἴτιον τὸ προσεχὲς ὑπάρχον ἐν ἑκάστῳ τῶν φύσει ὄντων, καθὸ αὐτὸ ὑπάρχει, ἐπειδὴ ὁμοειδές ἐστι τὸ ποιητικὸν αἴτιον τῷ γινομένῳ ἐξ αὐτοῦ (ἀν-

1 κνῆσαι libri 4 οἱ om. D 11 μὴ om. D 15 lacunam indicavi: fort. addendum πάλιν οἱ χυμοὶ πάντες λέγονται ἕν, cf. Metaph. p. 1016a22 16 ἐν τοῖς Μετεώροις] Meteorol. B 3 p. 358b19 sqq. 21 ἐν τῇ Περὶ οὐρανοῦ] A 2 p. 269a20 23 τοῦ ἑνὸς om. D 30 φυομένων Aristoteles: δύο μερῶν libri 36 φύσεως D

θρωπος γὰρ ἀνθρώπου) καὶ κατὰ τοῦτο ἐν αὐτῷ ἐστιν. ἢ τὴν φύσιν λέγει * * * ποιητικὸν γὰρ αἴτιον καὶ αὐτή ἐστι.

p. 1014ᵇ20 Φύεσθαι δὲ λέγεται ὅσα αὔξησιν ἔχει.

Ὃ λέγει τοῦτό ἐστιν ὅτι ταῦτα λέγεται φύεσθαι πρὸς ἄλληλα καὶ συμφύεσθαι, τὰ μεταδιδόντα ἀλλήλοις ζωῆς τινος. οὕτω γὰρ λέγεται τὸ βρέφος συμφύεσθαι τῇ μητρί, εἴ γε τρέφεται ἐκ τῆς μητρός, ὁμοίως δὲ καὶ τὸ φυτὸν ἐκ τῆς γῆς· καὶ αὐξάνονται δέ. τοῦτο οὖν φησιν ὅτι φύεσθαι δὲ λέγονται ὅσα αὔξησιν ἔχει δι' ἑτέρου τῷ ἅπτεσθαι καὶ συμπεφυκέναι ἢ προσπεφυκέναι, ὥσπερ τὰ ἔμβρυα. ἡ δὲ σύμφυσις διαφέρει τῆς ἁφῆς. ἐπὶ μὲν γὰρ τῆς ἁφῆς οὐδέν ἐστιν ἕτερον παρὰ τὴν ἁφήν· ἐν δὲ τοῖς συμπεφυκόσιν ἐστὶν ἓν τὸ αὐτὸ ἐν ἀμφοῖν, ὅπερ ποιεῖ ἀντὶ τοῦ ἅπτεσθαι συμπεφυκέναι καὶ ἓν εἶναι, αὐτὴ ἡ κοινὴ ζωή. ἓν οὖν ὑπάρχει κατὰ τὸ συνεχὲς καὶ τὸ ποσόν, ἀλλὰ μὴ κατὰ τὸ ποιόν· διάφορα γὰρ τὰ εἴδη ὑπάρχει· ἄλλο γὰρ εἶδος φυτοῦ καὶ ἄλλο γῆς. εἶτά φησι πάλιν περὶ τοῦ ὑλικοῦ αἰτίου τοῦ πορρωτέρω· ἀνωτέρω γὰρ τὸ προσεχὲς ὑλικὸν αἴτιον ἔλεγε. φησὶν οὖν ὅτι φύσις λέγεται ἐξ οὗ πρώτου γίνεται τὰ φυσικὰ πράγματα, ἀρρυθμίστου οὔσης τῆς πρώτης ὕλης, φημὶ δὲ ἀνειδέου καὶ ἀμεταβλήτου ἐκ τῆς δυνάμεως τῆς αὐτοῦ· οἷον ἀνδριάντος καὶ τῶν χαλκῶν σκευῶν ἡ φύσις ὁ χαλκός ἐστιν ὡς ὑλικὸν αἴτιον ἡ φύσις, τῶν δὲ ξυλίνων ξύλον, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐκ τούτων γάρ ἐστι τῶν ἄλλων ἕκαστον διασωζομένης τῆς πρώτης ὕλης, εἴ γε ὑπόκειται. διὰ ταῦτα γὰρ καὶ τὰ στοιχεῖα φύσιν προσηγόρευσαν οἱ λέγοντες αὐτὰ εἶναι ὑλικὰ αἴτια, οἱ μὲν πῦρ οἱ δὲ γῆν οἱ δὲ ἀέρα οἱ δὲ ὕδωρ, οἱ δὲ τὸ μεταξύ, οἱ δ' ἔνια τούτων πῦρ καὶ γῆν, οἱ δὲ πάντα ὥσπερ Ἐμπεδοκλῆς.

p. 1014ᵇ35 Ἔτι δὲ ἄλλον τρόπον λέγεται ἡ φύσις ἡ τῶν ὄντων φύσει οὐσία.

Ὁ Ἀλέξανδρος οἴεται περὶ τοῦ συνθέτου λέγειν αὐτὸν ἐνταῦθα· ὅσον δὲ ἐκ τῶν λεγομένων ὑπ' αὐτοῦ, περὶ τοῦ εἴδους λέγει. τί γάρ; φησὶν ὅτι κατ' ἄλλον τρόπον λέγεται φύσις ἡ οὐσία, τουτέστι τὸ εἶδος· τὸ γὰρ ἑκάστου εἶδος οὐσία αὐτοῦ ἐστιν. οἷον οἱ λέγοντες τὴν φύσιν εἶναι τὴν πρώτην σύνθεσιν, ὥσπερ καὶ ὁ Ἐμπεδοκλῆς· τὸ γὰρ εἶδος ἔλεγεν ἐπιγίνεσθαι ἐκ τῆς τῶν στοιχείων μίξεως, καὶ ἔλεγεν ὅτι 'φύσις δὲ ἐπὶ τούτοις τοῖς στοιχείοις ὀνομάζεται τοῖς ἀνθρώποις.' ὁ δ' Ἀριστοτέλης ἀνατρέπει τὴν δόξαν ταύτην φάσκων οὕτως διὸ καὶ ὅσα φύσει ἐστὶν ἢ γίνεται,

1 λέγει] fort. addendum ἀρχὴν κινητικήν 3 Φύεσθαι] lemma in libris non distinguitur 15 ἀνωτέρω om. D 27 ὁ Ἀλέξανδρος] p. 318,7 Bz. 30 οἷον om. D 32 τῆς om. D 32. 33 φύσις δὲ κτλ.] Empedocl. fragm. v. 101 Mullach: φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν

ἤδη ὑπάρχοντος * * * (τουτέστιν ἐκ τοῦ ὑλικοῦ αἰτίου) οὔπω φαμὲν τὴν φύσιν ἔχειν, ἐὰν μὴ τὸ εἶδος ἀπολάβοι, ὡς ὄντος τοῦ εἴδους ἑτέρου παρὰ τὴν τῶν στοιχείων σύνθεσιν, καὶ ὅτι ἡ φύσις κατὰ τὸ εἶδος χαρακτηρίζεται, οὐ τὸ † περὶ θεοῦ ἀλλὰ τὸ ζῷον λογικὸν θνητόν.

5 p. 1015ᵃ6 Φύσει μὲν τὸ ἐξ ἀμφοτέρων τούτων ἐστί.

Μεμαθήκαμεν καὶ ἐν τῇ Φυσικῇ ἀκροάσει ὅτι φύσις μὲν λέγεται f. 217v ὑπ' αὐτοῦ τὸ εἶδος, φύσει δὲ τὸ σύνθετον· διό φησι φύσει μὲν οὖν τὸ ἐξ ἀμφοτέρων, οἷον τὰ ζῷα καὶ τὰ μόρια αὐτῶν. φησὶν οὖν ὅτι ἔστι φύσις καὶ ἡ πρώτη ὕλη, καὶ αὕτη διχῶς, ἢ ἡ πορρώτερον ἢ ἡ 10 προσεχής (πορρωτέρω μὲν τὸ ὕδωρ, εἰ τύχοι, προσεχὴς δὲ ὁ χαλκός), καὶ τὸ εἶδος καὶ ἡ οὐσία φύσις ἐστί. τοῦτο δέ ἐστι τὸ τέλος τῆς γενέσεως· τούτου γὰρ βούλεται τυχεῖν ἡ φύσις, τοῦ ποιῆσαι τέλειον ζῷον οἷον τὸ γεννῶν. ἐντεῦθεν γὰρ μεταφορικῶς καὶ πᾶσα οὐσία φύσις λέγεται διὰ ταῦτα. ἐπειδὴ ἡ οὐσία καὶ τὸ εἶδος φύσις τίς ἐστιν. ἐκ γοῦν τῶν λεχθέντων συνάγε- 15 ται ὅτι ἡ πρώτη φύσις καὶ κυρίως λεγομένη ἐστὶν ἡ οὐσία τῶν ἐχόντων ἀρχὴν κινήσεως ἐν ἑαυτοῖς, καθὸ αὐτὰ ὑπάρχουσιν. ἡ γὰρ ὕλη κατὰ τοῦτο λέγεται φύσις, καθὸ δεκτική ἐστι τοῦ εἴδους, ὅπερ εἶδος κυρίως φύσις ὑπάρχει. ὁμοίως δὲ καὶ ἡ ὁδὸς ἡ ἐπὶ τὸ τέλος ἄγουσα φύσις ὑπάρχει. ἐνυπάρχουσά πως ἢ δυνάμει ἢ ἐντελε- 20 χείᾳ, δυνάμει μὲν τὸ ὑλικὸν αἴτιον, ἐντελεχείᾳ δὲ τὸ ποιητικόν.

p. 1015ᵃ20 Ἀναγκαῖον λέγεται οὗ ἄνευ οὐκ ἐνδέχεται ζῆν.

Ἐντεῦθεν περὶ τοῦ ἀναγκαίου ἡμῖν διαλέγεται πληρώσας τὸν περὶ τῆς φύσεως λόγον, καί φησιν ὅτι ἀναγκαῖόν ἐστιν, οὗ ἄνευ ζῆν ἡμᾶς μὴ ἐνδέχεται, ὥσπερ τὸ ἀναπνεῖν καὶ ἡ τροφή· οὐ δυνατὸν γὰρ ζῆν ἡμᾶς οὔτε 25 μὴ ἀναπνέοντας οὔτε μὴ τρεφομένους. καὶ ὧν ἄνευ τὸ ἀγαθὸν μὴ ἐνδέχεται εἶναι ἢ γενέσθαι, ἢ τὸ κακὸν ἀποβαλεῖν ἢ στερηθῆναι, οἷον τὸ πιεῖν τὸ φάρμακον ἀναγκαῖον διὰ τὴν ὑγείαν, καὶ τὸ πλεῦσαι εἰς Αἴγιναν διὰ τὸ χρηματίσασθαι. πάλιν ἀναγκαῖον λέγεται τὸ βίαιον καὶ ἡ βία· τοῦτο δέ ἐστι τὸ ἀναγκάζεσθαί τι παρὰ τὴν ὁρμὴν ποιεῖν καὶ τὴν προαί- 30 ρεσιν. τὸ γὰρ βίαιον ἀναγκαῖον λέγει· διὸ καὶ λυπηρὸν τὸ βίαιον, ὥσπερ ἔλεγεν Εὔηνος ὁ σοφιστὴς 'πᾶν γὰρ ἀναγκαῖον πρᾶγμα λυπηρὸν ὑπάρχει'. f. 218r καὶ ἡ βία ἀνάγκη ἐστίν. ὥσπερ καὶ Σοφοκλῆς ἔλεγεν ὅτι 'βία με ἀναγκάζει ταῦτα ποιεῖν.' καὶ δοκεῖ ἡ βία ἀμετάπειστος εἶναι, ἐπειδὴ ἐναντία ἐστὶ τῇ

1 ἤδη ὑπάρχοντος ἐξ οὗ πέφυκε γίγνεσθαι ἢ εἶναι Aristoteles 3 τὴν τούτων D 4 conicio οὐ τὸ περατοῦν ἀλλὰ ⟨τὸ φυσικόν, οἷον ἡ ἀνθρώπου φύσις κατὰ⟩ τὸ ζῷον λογικὸν θνητόν: οὐ τὸ περιθετόν [cf. Porphyr. in cat. p. 55,23], ἀλλὰ τὸ ⟨οἷον⟩ ζ. λ. θν. Diels; cf. p. 319,18 sqq. 6 ἐν τῇ Φυσικῇ ἀκροάσει] B 1 p. 193ᵇ3 sqq. 17 δεικτική libri 18 ὁμοίως — ὑπάρχει (19) om. D 29 καὶ τὴν om. D 31 ἀνιαρὸν ἔφυ Aristoteles 32 Σοφοκλῆς] El. 256 ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν

προαιρέσει· εἰ γὰρ μεταπεισθῶμεν, οὐκέτι ἐστὶ βία. ἔτι τὸ μὴ ἐνδεχόμενον ἄλλως ἔχειν τοῦτό φαμεν ἀναγκαῖον, ὥσπερ ἐπὶ τοῦ θεοῦ εἰρήκαμεν ἐν τῇ θεωρίᾳ· καὶ κατὰ τοῦτο τὸ ἀναγκαῖον καὶ τὰ ἄλλα λέγονταί πως ἀναγκαῖα, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται. τό τε γὰρ ἀναγκαῖον λέγεται ἢ ποιεῖν ἢ πάσχειν τότε, ὅταν μὴ ἐνδέχηται ἄλλως ἔχειν διὰ τὸ βιαζόμενον, ὡς ταύτην ἀνάγκην οὖσαν, δι' ἣν μὴ ἐνδέχεται ἄλλως ἔχειν· ὥστε ἐκεῖθεν ἐφήκει τὸ ἀναγκαῖον καὶ τῷ κατὰ τὴν βίαν ἀναγκαίῳ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν συναιτίων τοῦ ζῆν καὶ τοῦ ἀγαθοῦ· ὅταν μὴ ἐνδέχηται ἔνθα μὲν τὸ ἀγαθὸν ὅπου δὲ καὶ τὸ ζῆν καὶ τὸ εἶναι ἄνευ τινῶν, ταῦτα ἀναγκαῖα ὑπάρχουσι, καὶ ἡ αἰτία ἀνάγκη τίς ἐστιν αὕτη ἔξωθεν ὑπάρχουσα, ὥσπερ τὸ ἀναπνεῖν † καὶ ἡ ὑγίεια πρὸς τὸν κάμνοντα.

p. 1015ᵇ6 Ἔτι ἡ ἀπόδειξις τῶν ἀναγκαίων.

Καὶ ἐπὶ τῆς ἀποδείξεως τῆς ἀναγκαίας οὐκέτι ἐνδέχεται ἄλλως ἔχειν, ⟨οἷον⟩ τὴν σεληνιακὴν ἔκλειψιν, εἰ ἀποδέδεικται ἁπλῶς· τούτου δὲ αἴτια τὰ πρῶτα, τουτέστιν αἱ προτάσεις, εἰ ἀδύνατον ἄλλως ἔχειν ἐξ ὧν ὁ συλλογισμός. τῶν μὲν δὴ συμπερασμάτων ἕτερόν ἐστιν αἴτιον, τουτέστιν αἱ προτάσεις, τῷ εἶναι αὐτὰς ἀναγκαίας, τῶν δὲ προτάσεων οὐδέν ἐστιν ἕτερον αἴτιον, ἀλλὰ διὰ ταῦτα τὰ ἄλλα. ὥστε τὸ πρῶτον καὶ κυρίως ἀναγκαῖον τὸ ἁπλοῦν ἐστι, καθάπερ εἰρήκαμεν· τοῦτο γὰρ οὐκ ἐνδέχεται πλεοναχῶς ἔχειν, ὥστε οὐδὲ ἄλλως καὶ ἄλλως· εἰ γὰρ ἔχει ἄλλως καὶ ἄλλως, οὐκέτι λέγεται f. 218v ἁπλοῦν. ὥστε ἐπειδὴ ἁπλᾶ ἐστι καὶ ἀίδια καὶ ἀκίνητα, οὐδέν ἐστιν ἐν ἐκείνοις βίαιον οὐδὲ παρὰ φύσιν, εἴ γε ἄφραστος ἁπλότης θεωρεῖται ἐν αὐτοῖς. πῶς δὲ τὸ βίαιον καὶ ποικίλον θεωρηθείη ἂν ἐν τῷ ἁπλῷ;

p. 1015ᵇ16 Ἓν λέγεται τὸ μὲν κατὰ συμβεβηκὸς τὸ δὲ καθ' αὑτό.

Πληρώσας τὸν περὶ τοῦ ἀναγκαίου λόγον ἐντεῦθεν λέγει περὶ τοῦ ἑνός, καί φησιν ὅτι τὸ ἓν ἢ κατὰ συμβεβηκὸς λέγεται ἢ καθ' αὑτό· κατὰ συμβεβηκὸς μὲν οἷον Κορίσκος καὶ τὸ μουσικὸν ἕν ἐστι, καὶ οὐδὲν διαφέρει τὸ εἰπεῖν ὅτι τῷ Κορίσκῳ συμβέβηκε τὸ μουσικὸν καὶ τὸ ὁ Κορίσκος μουσικὸς καὶ τὸ μουσικὸς Κορίσκος· καὶ τὸ δεύτερον τὸ δίκαιον καὶ τὸ μουσικόν, τρίτον * * * καὶ δίκαιος Κορίσκος. ταῦτα γὰρ ἓν πάντα λέγονται, κατὰ συμβεβηκὸς μέντοι γε. τὸ μὲν δίκαιον καὶ μουσικόν, ἐπειδὴ μιᾷ οὐσίᾳ συμβέβηκε τῷ Κορίσκῳ, τὸ δὲ μουσικὸν καὶ Κορίσκος, ὅτι θάτερον τῶν μορίων θατέρῳ συμβέβηκε κατὰ φύσιν ἢ παρὰ φύσιν. ὁμοίως δὲ τρόπον τινὰ καὶ ὁ μουσικὸς Κορίσκος τῷ Κορίσκῳ ἕν (καλῶς δὲ προσέθηκε τρόπον

4 τό τε γὰρ βίαιον ἀναγκαῖον Aristoteles 11 exspectes τὸ ἀναπνεῖν πρὸς τὸ ζῆν καὶ τὸ φάρμακον πρὸς τὴν ὑγίειαν 14 οἷον addidi 16 ὁ om. D 22 ἁπλοῦν scripsi: ἁπλῶς libri 24 ἁπλῶς D 30 τὸ μουσικόν scripsi: ὁ μουσικός libri 31 addendum μουσικός 34 ἢ scripsi: καὶ libri 35 καὶ om. D

τινά), ἐπειδὴ θάτερον τῶν μορίων θατέρῳ συμβέβηκε τῶν ἐν τῷ λόγῳ, οἷον τὸ μουσικὸν τῷ Κορίσκῳ, καὶ οὕτως κατηγορεῖται τὸ ὅλον τοῦτο τοῦ Κορίσκου· καὶ ὁ μουσικὸς Κορίσκος τῷ δικαίῳ Κορίσκῳ, ὅτι ἑκατέρου μέρος τῷ αὐτῷ συμβέβηκεν. ὡσαύτως δὲ κἂν ἐπὶ γένους καὶ ἐπὶ τῶν καθόλου τινὸς ὀνομάτων λέγηται τὸ συμβεβηκός, οἷον ὅτι ἄνθρωπος τὸ αὐτὸ καὶ μουσικὸς ἄνθρωπος· ἢ γὰρ ἐπειδὴ μιᾷ ὑπαρχούσῃ οὐσίᾳ συμβέβηκε τὸ μουσικόν, ἢ ὅτι ἄμφω τῶν καθ' ἕκαστά τινι συμβέβηκεν, οἷον Κορίσκῳ. ἀλλ' οὐ τὸν αὐτὸν τρόπον ἄμφω ὑπάρχουσιν, ἀλλὰ τὸ μὲν ἴσως ὡς γένος, καὶ ἓν τοῦτ' ἐστὶν ὁ ἄνθρωπος, τὸ δὲ ὡς ἕξις ἢ πάθος τῆς οὐσίας, τουτέστιν τοῦ Κορίσκου. τοσαυταχῶς οὖν λέγεται τὸ κατὰ συμβεβηκὸς ἕν. τῶν δὲ καθ' αὑτὸ ἓν λεγομένων τὰ μὲν λέγονται κατὰ συνέχειαν ἕν. ὥσπερ ὁ φάκελλος διὰ τὸν δεσμὸν καὶ τὰ ξύλα καὶ ἡ κόλλα. ὁμοίως δὲ καὶ ἡ γραμμὴ καὶ ἡ εὐθεῖα καὶ ἡ f. 219r
κεκλασμένη μία λέγεται, ὥσπερ καὶ τῶν μερῶν ἕκαστον, σκέλος καὶ βραχίων. πάλιν δὲ αὖ τούτων μάλιστα λέγεται συνεχῆ τὰ φύσει τῶν τεχνητῶν. συνεχὲς δὲ κυρίως λέγεται, καθάπερ εἴρηται ἐν τῇ θεωρίᾳ, οὗτινος κίνησις μία ὑπάρχει καθ' αὑτὸ καὶ μὴ οἷόν τε ἄλλως. μία οὖν ἐστιν οὗ ἡ κίνησις ἀδιαίρετος, ἀδιαίρετος δὲ κατὰ τὸν χρόνον. καθ' αὑτὸ δὲ ὑπάρχει συνεχῆ, ὅσα μὴ τῇ ἁφῇ μόνῃ ἔχουσι τὸ ἕν. εἰ γὰρ θείη τις ξύλα ἁπτόμενα ἀλλήλων. ταῦτα οὐχ ὑπάρχουσι συνεχῆ. οὔτε σῶμα οὔτε ἄλλο οὐδὲν τοιοῦτο συνεχές. τὰ δὴ κυρίως συνεχῆ ἓν λέγονται. κἂν ἔχωσι κάμψιν. καὶ ἔτι μᾶλλον τὰ μὴ ἔχοντα κάμψιν, οἷον καὶ μηρὸς σκέλους, ὅτι ἐνδέχεται μὴ μίαν εἶναι τὴν κίνησιν τοῦ σκέλους, καθάπερ εἴρηται. καὶ ἡ εὐθεῖα τῆς κεκαμμένης μᾶλλόν ἐστιν ἕν· τὴν γὰρ κεκαμμένην εὐθεῖαν καὶ ἔχουσαν γωνίαν καὶ μίαν φαμὲν καὶ οὐ μίαν, ὅτι ἐνδέχεται καὶ μὴ ἅμα τὴν κίνησιν αὐτῆς εἶναι καὶ ἅμα, ὡς ἐπὶ τῶν φερομένων τῇδε κἀκεῖσε καὶ διὰ σκολιότητα τόπου ἅμα· τῆς δὲ εὐθείας ἡ κίνησις ἀεὶ ἅμα ἐστί, καὶ οὐδενὸς μορίου ἔχοντος μέγεθος τὸ μὲν ἠρεμεῖ τὸ δὲ κινεῖται, ὥσπερ ἐπὶ τῆς κεκαμμένης εὐθείας. ἔτι δὲ πάλιν λέγεται ἓν τὸ κατὰ τὸ ὑποκείμενον καὶ τὴν ὕλην καὶ ἀδιαίρετον κατὰ τὸ εἶδος καὶ ἀδιάφορον. διό φησιν ἀδιάφορα δέ ἐστιν, ὧν ἀδιαίρετον τὸ εἶδος κατὰ τὴν αἴσθησιν, ὥσπερ ἐπὶ τῶν γλυκέων οἴνων· εἷς γὰρ λέγονται, ἐπειδὴ οὐκ ἔχουσιν αἰσθητὴν διαφοράν· πρὸς μέντοι τὴν αὐστηρότητα γίνεταί τις αἰσθητὴ διαφορά. τὸ δὲ ὑποκείμενον ἢ προσεχές ἐστιν ἢ πόρρω· καὶ γὰρ οἶνος εἷς λέγεται, καθὸ πᾶς ὕδωρ, καὶ f. 219v
οἱ χυμοὶ πάντες λέγονται ἓν εἶναι, οἷον ἔλαιον οἶνος καὶ τὰ τηκτά, ὅτι πάντως τὸ ἔσχατον ὑποκείμενόν ἐστι τὸ ὕδωρ. λέγεται δὲ ἓν καὶ ὧν τὸ γένος ἕν, ὥσπερ κατὰ τὸ ζῷον ἄνθρωπος καὶ ἵππος καὶ βοῦς καὶ ὅσα ἄλλα

---

3 ὁ om. D 10 τοῦ Κορίσκου scripsi: ὁ Κορίσκος libri 11 λέγει D 13 καὶ ἡ κόλλα] legendum διὰ τὴν κόλλαν 15 μάλιστα] immo μᾶλλον συνεχὲς Aristoteles: συνεχῆ libri 17 ἄλλως Aristoteles: ἄλλα libri 22 οἷον κνήμη ἢ μηρὸς Aristoteles 31 ἀδιάφορα Aristoteles: ἀδιάφορον libri 35 καθὸ πᾶς ὕδωρ] καὶ ὕδωρ ἓν Aristoteles 36 οἶνος om. D 37 ἓν om. D

τοιαῦτα· διαφέρουσι δὲ ἀλλήλων κατὰ τὰς ἀντικειμένας διαφοράς, ὥσπερ καὶ τὰ κοινωνοῦντα κατὰ τὴν ὕλην. ταῦτα οὖν ποτὲ μὲν κατὰ τὸ προσεχὲς γένος ἔχουσι τὸ ἕν, ποτὲ δὲ κατὰ τὸ πόρρω, ὥσπερ τὸ τρίγωνον τὸ ἰσοσκελὲς καὶ τὸ σκαληνὸν διαφέρουσιν ἀλλήλων κατὰ τὸ προσεχὲς γένος, κατὰ δὲ τὸ πόρρω κοινωνοῦσιν· ἄλλο γὰρ ἔχει σχῆμα τὸ ἰσοσκελὲς καὶ ἄλλο τὸ σκαληνόν. διὰ τοῦτο οὖν φησιν ὅτι ποτὲ μὲν κατὰ τὸ ἄνω γένος λέγεται τὸ αὐτό, ἂν ᾖ τελευταῖα τοῦ γένους εἴδη τὰ ἀνωτέρω τούτων, οἷον τὸ ἰσοσκελὲς καὶ τὸ ἰσόπλευρον ταὐτὸν καὶ ἓν σχῆμα, ὅτι ἄμφω τρίγωνα, τρίγωνα δ' οὐ ταὐτά· διαφέρουσι γὰρ κατὰ τὸ σχῆμα. πάλιν ἓν λέγονται τὰ κοινωνοῦντα ἀλλήλοις κατὰ τὸν ὁρισμόν, ὥσπερ οἱ ἄνθρωποι τῷ εἴδει ἕν, ὅτι ἀδιαίρετός ἐστιν ὁ τούτων λόγος. ὁ μέντοι γε προφορικὸς οὐκ ἔστιν ἀδιαίρετος· διαιρεῖται γὰρ εἰς μακρὰν καὶ βραχεῖαν συλλαβήν, ὡς τοῦ ποσοῦ ὑπάρχον. καὶ τὸ αὐξάνον γὰρ καὶ τὸ φθῖνον ἕν ἐστιν, ἐπειδὴ καὶ ὁ αὐτὸς λόγος ἐστίν, ὥσπερ τοῦ ἐπιπέδου τοῦ μεγάλου καὶ τοῦ μικροῦ. πάλιν δὲ ἓν λέγεται ὧν ἡ νόησίς ἐστιν ἀδιαίρετος, ἥτις νοεῖ τὴν οὐσίαν αὐτὴν καθ' αὑτήν, μὴ προσχρωμένη συμβεβηκότι. ἔστιν οὖν τὸ τοιοῦτον ἓν τῷ ἀριθμῷ. ἅτινα ἡ νόησις οὐ χωρίζει οὔτε χρόνῳ οὔτε τόπῳ αὐτὰς τὰς οὐσίας ἐπισκοποῦσα. καθὸ δὲ μὴ ἔχουσι διαίρεσιν, κατὰ τοῦτο ἓν λέγονται· οἷον εἰ καθὸ ἄνθρωπός ἐστι. μὴ ἔχει διαίρεσιν, κατὰ τοῦτο λέγεται. εἰ δὲ καθὸ ζῷον, ὡς ζῷον ἢ ὡς μέγεθος.

p. 1016b6 Τὰ μὲν οὖν πλεῖστα ἓν λέγεται τῷ ἕτερόν τι ἢ ποιεῖν ἢ πάσχειν.

Τὰ πλεῖστα ἓν λέγονται τῷ ἕτερόν τι ποιεῖν ἢ πάσχειν (οὕτως γάρ f.220r φαμεν τὴν πάπυρον καὶ τὴν δρῦν καὶ τὴν δάφνην ἕν τι εἶναι, ἐπειδὴ ἅμα πάντα ἓν πῦρ ποιοῦσιν καὶ ὁμοίως καίουσι, καὶ ὁμοίως ἔχουσι τόδε τὸ πρᾶγμα), ἢ διὰ τὸ ὁμοίως πάσχειν ἢ πρός τι εἶναι. τὰ δὲ πρώτως λεγόμενα ἓν ὧν ἡ οὐσία μία. μία δὲ ἢ συνεχείᾳ ἢ εἴδει ἢ λόγῳ· καὶ γὰρ ταῦτα ἀριθμοῦνται ὡς πλείονα, ἢ τὰ μὴ συνεχῆ, ἢ ὧν μὴ ἓν τὸ εἶδος, ἢ ὧν ὁ λόγος μὴ εἷς.

p. 1016b11 Ἐπεὶ δὲ ἔστι μὲν ὡς ὁτιοῦν ἓν συνεχείᾳ φαμὲν εἶναι.

Ὁ Ἀλέξανδρός φησι θέλειν τὸ 'ἔτι δέ', ἐπειδὴ οὐδαμοῦ ἀνταποδίδωσιν ὁποκατιών. δύναται δὲ [εἶναι] ἀνταπόδοσις τὸ ἀρχὴ εἶναι, 'ἐπειδὴ ἔστιν, ἀρχὴ οὖν.' ὃ οὖν λέγει, τοιοῦτόν ἐστιν· ἐπειδὴ πολλάκις φαμὲν ἓν εἶναι, ἂν ᾖ ποσὸν καὶ συνεχές, ἔστι δὲ ὅτε οὐ λέγομεν, ἐὰν μή τι ὅλον ὑπάρχῃ. τοῦτο δὲ ἂν μὴ τὸ εἶδος ἓν ἔχῃ. οἷον οὐκ ἂν εἴποιμεν ἓν εἶναι τὸ

7 τὰ Aristoteles: τῶν libri 11 μέντοι προσφορικός D 15 νοεῖ τὴν] νοητὴν D 19 λέγεται] fort. ἓν λέγεται 25 ἔχουσι] fort. πάσχουσι 26 πάσχειν] fort. ἔχειν 30 ἐπειδὴ D 31 ὁ Ἀλέξανδρός φησι] p. 328,3 sqq. Bz. 32 εἶναι delevi 33 πολλάκις — ἔστι δὲ (34) om. D

ὑπόδημα, ἐὰν θεασώμεθα ὁπωσοῦν τὰ μέρη αὐτοῦ συγκείμενα, εἰ μὴ οὕτως ὥστε εἶναι ὑπόδημα καὶ ἐφαρμόττειν τῷ ποδί· διὸ καὶ ὁ κύκλος λέγεται εἷς, ἐπειδὴ αὕτη μάλιστα τῶν γραμμῶν οὔτε ἀφαίρεσιν οὔτε προσθήκην ἀνέχεται. τὸ δὲ ἓν εἶναι ἀρχή τινί ἐστιν ἀριθμοῦ καὶ τοῦ εἶναι· τὸ γὰρ πρῶτον μέτρον ἀρχή· ᾧ γὰρ πρώτῳ γνωρίζομεν, τοῦτο πρῶτον μέτρον ἑκάστου γένους. ἀρχὴ οὖν τοῦ γνωστοῦ περὶ ἕκαστον τὸ ἕν, οὐ τὸ αὐτὸ δὲ ἐν πᾶσι τοῖς γένεσι τὸ ἕν· ἔνθα μὲν γὰρ δίεσίς ἐστιν, ὥσπερ ἐπὶ τῶν μελῶν, ἔνθα δὲ φωνῆεν ἢ ἄφωνον. βάρους δὲ ἕτερον καὶ κινήσεως ἄλλο. πανταχοῦ γὰρ τὸ ἓν ἀδιαίρετον ὑπάρχει ἢ τῷ ποσῷ, ἡνίκα ἐστὶ συνεχές, ἢ τῷ εἴδει. τὸ μὲν οὖν κατὰ τὸ ποσὸν ἀδιαίρετον, καθό ἐστι ποσόν, ἡ μονὰς ὑπάρχει, τὸ δὲ πάντῃ θέσιν ἔχον στιγμή, τὸ δὲ μοναχῇ γραμμή, τὸ δὲ διχῇ ἐπίπεδον, τὸ δὲ τριχῇ στερεόν.

p. 1016ᵇ31 Ἔτι δὲ τὰ μὲν κατ' ἀριθμόν ἐστιν ἕν.

Πάλιν τὰ αὐτὰ ἀναλαμβάνει καί φησιν ὅτι τὰ μὲν ἓν λέγονται τῷ ἀριθμῷ, τὰ δὲ κατ' εἶδος, τὰ δὲ τῷ γένει, τὰ δὲ κατὰ ἀναλογίαν. καὶ ἀριθμῷ μὲν ἓν λέγεται εἶναι ὧν ἡ ὕλη μία, εἴδει δὲ ὧν ὁ λόγος εἷς ὑπάρχει. γένει δὲ ὧν τὸ αὐτὸ σχῆμα τῶν κατηγοριῶν (κοινῶς γὰρ κατηγορεῖται ἵππου καὶ ἀνθρώπου τὸ ζῷον, ὡς ἓν ταῦτα ὑπάρχει τῷ γένει), κατὰ ἀναλογίαν δὲ ὡς τρόπις πλοίου, οὕτως ζῴου καρδία ἀρχὴ ὑπάρχει. ἀεὶ δὲ τὰ ὕστερα τοῖς ἔμπροσθεν ἀκολουθεῖ, οἷον ὅσα ἀριθμῷ ἓν ὑπάρχει, καὶ εἴδει εἰσὶν ἕν· ὅσα δὲ εἴδει εἰσίν, οὐ πάντα ἀριθμῷ ἕν. ἀλλὰ γένει ἕν, ὅσαπερ καὶ εἴδει· οὐχ ὅσα δὲ γένει, πάντως καὶ εἴδει· ὁ γὰρ ἄνθρωπος καὶ ὁ ἵππος ἓν λέγεται τῷ γένει, εἴδει δὲ οὐχ ὑπάρχουσιν ἕν. ὅσα δὲ ἓν ἀναλογίᾳ, οὐ πάντα γένει· ἓν γάρ ἐστι κατ' ἀναλογίαν τρόπις καὶ καρδία, οὐκ ἤδη δὲ καὶ γένει ἓν ὑπάρχουσι. φανερὸν οὖν ὅτι πολλὰ ἀντίκειται τῷ ἑνί. ὁσαχῶς οὖν τὸ ἕν, τοσαυταχῶς καὶ τὰ πολλὰ λεχθήσεται· τὰ μὲν γὰρ τῷ μὴ συνεχῇ εἶναι, τὰ δὲ τῷ διαιρετὴν ἔχειν τὴν ὕλην κατὰ τὸ εἶδος ἢ τὴν πρώτην ἢ τὴν πόρρω, τὰ δὲ τῷ ἔχειν λόγους πλείους ἀντὶ τοῦ ἑνός. f. 220v

p. 1017ᵃ7 Τὸ ὂν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, τὸ δὲ καθ' αὑτό.

Εἰπὼν περὶ τοῦ ἑνὸς ὅτι λέγεται κατὰ συμβεβηκὸς καὶ καθ' αὑτό, καὶ κατὰ συμβεβηκὸς μὲν τριχῶς, ἢ ὅταν τὸ συμβεβηκὸς κατηγορῆται τοῦ ὑποκειμένου, ἢ ὅταν συμβεβηκὸς συμβεβηκότος, ἢ ὅταν παρὰ φύσιν γίνηται ἡ κατηγορία τῆς οὐσίας κατηγορουμένης τοῦ συμβεβηκότος, ἐντεῦθέν φησι καὶ περὶ τοῦ ὄντος, καὶ λέγει ὅτι καὶ τὸ ὂν λέγεται καθ' αὑτὸ ἢ κατὰ

---

11 ἡ μονὰς ὑπάρχει] τὸ μὲν πάντῃ καὶ ἄθετον λέγεται ἡ μονὰς Aristoteles 12 πάντῃ καὶ θέσιν ἔχον Aristoteles 15 πάλιν] πάντα D 33 κατηγορῆται – συμβεβηκὸς (34) om. D

συμβεβηκός. καὶ κατὰ συμβεβηκὸς μὲν τριχῶς λέγεται, ὥσπερ καὶ ἐπὶ τοῦ ἑνὸς εἰρήκαμεν, ἡνίκα ἢ τὸ συμβεβηκὸς κατηγορεῖται τοῦ ὑποκειμένου ἢ συμβεβηκὸς συμβεβηκότος ἢ οὐσία συμβεβηκότος, οἷον ὁ Σωκράτης μουσικός ἐστι, τὸ δίκαιον μουσικόν ἐστι, τὸ μουσικὸν Σωκράτης ἐστί. πάλιν f. 221r
5 δὲ λέγεται τὸ ὂν καθ' αὑτὸ καὶ ὁσαχῶς λέγονται αἱ κατηγορίαι, ἐπειδὴ ἐν ταῖς δέκα κατηγορίαις θεωρεῖται τὸ ὄν· ὄντα γὰρ ὑπάρχουσι αἱ δέκα κατηγορίαι, ὥστε τὸ καθ' αὑτὸ ὂν ἐν ταῖς δέκα κατηγορίαις ὑπάρχει πάλιν. ἐπειδὴ τῶν συμπερασμάτων τὰ μὲν ἀληθῆ ὑπάρχουσι, τὰ δὲ ψευδῆ, τὸ ὂν ἐν τοῖς ἀληθέσι θεωρεῖται, εἴ γε τὴν ὕπαρξιν τῶν πραγμάτων δηλοῖ· 10 οἷον ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία. καὶ ἢ δυνάμει ἢ ἐνεργείᾳ. ἰστέον οὖν ὅτι περὶ τῶν κατὰ συμβεβηκὸς διαλέγεται ἡμῖν ὁ φιλόσοφος ἐν τῷ Ε στοιχείῳ πολυπραγμονῶν αὐτὰ καὶ πολυειδῶς ἐξετάζων, περὶ δὲ τῶν καθ' αὑτὸ ἐν τῷ Ζ στοιχείῳ, περὶ δὲ τῶν δυνάμει καὶ ἐνεργείᾳ ἐν τῷ Θ. καί φησιν ἐν ἐκείνοις ὅτι κυρίως δυνάμει ὑπάρ- 15 χουσι τὰ προσεχῆ, οἷον τὸ σπέρμα οὐ λέγεται δυνάμει γραμματικός, ἀλλὰ μᾶλλον ἔμβρυον, καὶ πάλιν ὁ λίθος λέγεται μὲν ἐνεργείᾳ λίθος, δυνάμει δέ, εἰ τύχοι, Ἑρμῆς.

Εἶτα οὕτω περὶ τοῦ ὄντος διαλεχθεὶς ἐφεξῆς διαλέγεται ἡμῖν καὶ περὶ τῆς οὐσίας, καί φησιν ὅτι τετραχῇ λέγεται ἡ οὐσία, οἷον πάντα τὰ ἁπλᾶ 20 σώματα, οἷον πῦρ ὕδωρ γῆ ἀὴρ καὶ τὰ ἐκ τούτων συνεστῶτα ζῷά τε καὶ δαίμονες· ὥστε καὶ τοῖς δαίμοσι σῶμα ἀφορίζει ὁ Ἀριστοτέλης. πάλιν λέγεται οὐσία τὸ αἴτιον τοῦ ὑπάρχειν τὰ σώματα, εἴτε φύσις τοῦτο εἴη εἴτε ψυχὴ τὸ πρῶτον συνεκτικὸν τῶν σωμάτων εἴτε ἕτερόν τι. πάλιν λέγεται οὐσία τὸ κατὰ τὸ εἶδος καὶ τὴν μορφήν. οὐ γὰρ δυνατὸν εἶναι ἄνευ ἐπι- 25 πέδου σῶμα, τουτέστι ἐπιφανείας, ἤγουν ἄνευ γραμμῆς. πάλιν λέγεται εἶναι οὐσία ὁ ἑκάστου ὁρισμός. τὰ δὲ τέσσαρα σημαινόμενα εἰς δύο ἀναφέρονται, εἴς τε τὸ ὑποκείμενον καὶ εἰς τὸ εἶδος, ὅπερ ἐστὶ χωριστὸν ἢ τῇ ἐπινοίᾳ, ὡς τὸ ἐπίπεδον, ἢ κατ' ἐνέργειαν, ὡς ἡ ψυχή. f. 221v

Πάλιν λέγει ἡμῖν καὶ περὶ τοῦ ταὐτοῦ ὅτι τὸ ταὐτὸν ἢ κατὰ συμβε- 30 βηκὸς ὑπάρχει ἢ καθ' αὑτό, καὶ ὁσαχῶς λέγεται τὸ ἓν καὶ τὸ ὄν, τοσαυταχῶς καὶ τὸ ταὐτόν. ἐφεξῆς λέγει ἡμῖν καὶ περὶ τῶν ἑτέρων ὅτι τὰ ἕτερα πάντῃ διεστήκασιν ἀλλήλων, ὥσπερ λίθος καὶ ἄνθρωπος. ἐπὶ τούτων δὲ οὐ πάντων ἑτερότης θεωρεῖται, ἀλλ' ἔχουσί τι καὶ κοινόν, ὥσπερ ἵππος καὶ ἄνθρωπος· κοινωνοῦσι γὰρ κατὰ τὸ ζῷον. ἐπὶ τούτοις λέγει 35 ἡμῖν καὶ περὶ ὁμοίων καὶ ἀνομοίων καὶ ἀντικειμένων· τὴν δὲ λεπτουργίαν τὴν περὶ τούτων ἐν τῷ ῥητῷ λέξομεν.

p. 1017ᵃ7 Τὸ ὂν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, τὸ δὲ καθ' αὑτό.

Τὸ ὂν λέγεται καὶ κατὰ συμβεβηκὸς καὶ καθ' αὑτό, κατὰ συμβεβηκὸς 40 μέν, οἷον τὸ δίκαιον μουσικὸν εἶναί φαμεν (ἰδοὺ ἐνταῦθα συμβε-

6. 7 αἱ δὲ κατηγορίαι D 34 τούτων D 36 ἐπὶ D λέγομεν D

βηκὸς κατηγόρησα συμβεβηκότος), καὶ τὸν ἄνθρωπον μουσικόν, τὴν κατὰ φύσιν κατηγορίαν, καὶ τὸν μουσικὸν ἄνθρωπον, τὴν παρὰ φύσιν κατηγορίαν, παραπλησίως λέγοντες ὥσπερ τὸν μουσικὸν οἰκοδομεῖν, ἐπειδὴ συμβέβηκε τῷ οἰκοδόμῳ μουσικῷ εἶναι ἢ τῷ μουσικῷ οἰκοδόμῳ· τὸ γὰρ τόδε εἶναι τόδε τὸ πρᾶγμα δηλοῖ τὸ συμβεβηκέναι τῷδε τόδε, τουτέστι τῷ μουσικῷ τὸ οἰκοδομεῖν. οὕτως οὖν καὶ ἐπὶ τῶν εἰρημένων, τὸν ἄνθρωπον ὅταν μουσικὸν λέγωμεν καὶ τὸν μουσικὸν ἄνθρωπον, ἢ τὸν λευκὸν μουσικὸν ἢ τοῦτον λευκόν, τὸ μὲν ὅτι ἄμφω τῷ αὐτῷ συμβεβήκασι, καὶ τὸ μουσικὸν καὶ τὸ λευκὸν τῷ ἀνθρώπῳ. τὸ δ' ὅτι τῷ ὄντι συμβέβηκεν (ὃν γάρ ἐστιν ὁ ἄνθρωπος). τὸ δὲ μουσικὸν ἄνθρωπος τὴν παρὰ φύσιν κατηγορίαν, ὅτι τούτῳ τῷ ἀνθρώπῳ κατὰ φύσιν συμβέβηκε τὸ μουσικόν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ στερητικοῦ· διό φησιν οὕτω δὲ λέγεται καὶ τὸ μὴ λευκὸν εἶναι, ὅτι ᾧτινι συμβέβηκεν, ἐκεῖνό ἐστιν. ὥστε τὰ κατὰ συμβεβηκὸς λεγόμενα οὕτως λέγονται, ἢ ἐπειδὴ τῷ αὐτῷ ὄντι ἀμφότερα ὑπάρχουσι τὰ συμβεβηκότα, ὡς εἴρηται, ἢ ὄντι ἐκείνῳ ὑπάρχουσιν, ἵνα εἴποι τὴν κατὰ φύσιν κατηγορίαν, ἢ ὅτι αὐτό ἐστιν ὡς ὑπάρχον, οὗ αὐτὸ κατηγορεῖται, ἵνα εἴποι τὴν παρὰ φύσιν κατηγορίαν. f. 222r

p. 1017a22 Καθ' αὑτὸ δὲ εἶναι λέγεται.

Εἰπὼν περὶ τοῦ συμβεβηκότος τοῦ ἐπὶ τοῦ ὄντος, ἐντεῦθεν λέγει ἡμῖν περὶ τοῦ καθ' αὑτό, καί φησιν ὅτι καθ' αὑτὸ εἶναι λέγεται ὅσαπερ σημαίνει τὸ σχῆμα τῆς κατηγορίας· ὁσαχῶς γὰρ λέγονται αἱ κατηγορίαι, τοσαυταχῶς τὸ ὂν ὑπάρχει. ἐπεὶ οὖν τῶν κατηγοριῶν ἡ μέν ἐστιν οὐσία καὶ σημαίνει οὐσίαν, ἡ δὲ ποσόν, ποιόν, πρός τι, ποιεῖν, πάσχειν, ποῦ, ποτέ, ἑκάστη τούτων τῶν κατηγοριῶν τὸ εἶναι τὸ αὐτὸ δηλοῖ, εἴ γε πᾶσαι αἱ κατηγορίαι ὄντα ὑπάρχουσιν. εἶτα ἵνα μήτις εἴποι πρὸς αὐτὸν ὅτι οὐ πάντα ὄντα ἐστί, φησὶν ὅτι οὐδὲν γὰρ διαφέρει τὸ ἄνθρωπος ὑγιαίνων ἐστὶν ἢ τὸ ἄνθρωπος ὑγιαίνει, ἢ τὸ ἄνθρωπος βαδίζων ἐστὶν ἢ βαδίζει· ὥστε ὄντα πάντα ὑπάρχουσιν. ἔτι τὸ † ὂν ὅπερ δηλοῖ, τοῦτό ἐστιν ἀληθὲς ὑπάρχει, τὸ δὲ μὴ εἶναι ὅτι οὐκ ἀληθὲς ἀλλὰ ψεῦδος. ὁμοίως ἐπὶ καταφάσεως καὶ ἀποφάσεως, οἷον ὅτι ἔστι Σωκράτης μουσικὸς ἀληθὲς τοῦτο (διό φησι καὶ ὄν ἐστι), τὸ δὲ λέγειν ὅτι οὐκ ἔστιν ἡ διάμετρος ἀσύμμετρος ψεῦδος. ἐπὶ τούτοις σημαίνει τὸ ὂν τὸ μὲν δυνάμει τὸ δὲ ἐντελεχείᾳ· ἕνια γὰρ τῶν ἀντιγράφων τὸ δυνάμει ἔχουσιν, ἄλλα δὲ τὸ ῥητόν, ὥσπερ καὶ τὰ ἐνταῦθα. τὸ αὐτὸ δὲ δηλοῖ· ῥητὸν γάρ ἐστι τὸ δυνάμενον λέγεσθαι. ὁρᾶν γὰρ λέγομεν καὶ τὸ σκυλάκιον τὸ δυνάμενον ὁρᾶν καὶ τὸν ἤδη κατ' ἐνέργειαν ὁρῶντα· ὁμοίως δὲ καὶ ⟨ἐπίστασθαι⟩ τὸν δυνάμενον χρῆσθαι τῇ ἐπιστήμῃ καὶ τὸν χρώμενον κατὰ τὸ δεύτερον ἐνεργείᾳ, καὶ τὸ ἠρεμοῦν κατὰ

---

13 οὕτω Aristoteles: οὐ τὸ libri 21 τὰ σχήματα Aristoteles γὰρ Aristoteles: δὲ libri 23 προσέτι D 28 ἔτι—ὑπάρχει (29)] ἔτι τὸ εἶναι σημαίνει καὶ τὸ ἔστιν ὅτι ἀληθές Aristoteles, eademque legisse Asclepium vel ex iis quae proxime sequuntur conicias 36 ἐπίστασθαι ex Aristotele addidi

τὸ πρῶτον ἐνεργείᾳ. ᾧ ἤδη ὑπάρχει ἡρεμία, καὶ τὸ δυνάμενον ἡρεμεῖν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν οὐσιῶν· καὶ γὰρ Ἑρμῆν εἶναί φαμεν ἐν f. 222v
τῷ λίθῳ δυνάμει, ἐνεργείᾳ δὲ λίθον εἶναι, καὶ τὸ ἥμισυ τῆς γραμμῆς δυνάμει τελείαν γραμμήν, καὶ σῖτον δυνάμει ἀδρὸν τὸν μήπω αὐξηθέντα.
5 πότε δὲ δεῖ ἡμᾶς φέρειν τὸ τῆς δυνάμεως ὄνομα καὶ πότε οὐ δεῖ, ἐν ἄλλοις διώρισται· λέγει γὰρ τοῦτο ἐν τῷ Θ τῆς παρούσης πραγματείας.

p. 1017b10 Οὐσία λέγεται τά τε ἁπλᾶ σώματα.

Πολλαχῶς λέγεται ἡ οὐσία. λέγεται γὰρ οὐσία καὶ τὰ ἁπλᾶ σώματα, οἷον γῆ πῦρ καὶ ὕδωρ καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ ἐκ τούτων συνεστῶτα
10 ζῷά τε καὶ δαιμόνια καὶ τὰ μόρια τούτων· τὰ γὰρ μέρη τῶν οὐσιῶν οὐσίαι ὑπάρχουσιν. ἅπαντα δὲ ταῦτα λέγονται οὐσίαι, ἐπειδὴ οὐ καθ' ὑποκειμένου λέγονται, καθάπερ εἴρηται ἡμῖν ἐν Κατηγορίαις, ἀλλὰ κατὰ τούτων τὰ ἄλλα ὡς αὐθυποστάτων· τοιοῦτον δὲ ἡ οὐσία ὑπάρχει. ἄλλον δὲ τρόπον λέγεται οὐσία ὅπερ αἴτιόν ἐστι τῆς τῶν σωμάτων συστάσεώς τε καὶ
15 ὑποστάσεως, ἐν αὐτοῖς ὑπάρχον, ὅσα μὴ καθ' ὑποκειμένου λέγεται, ὥσπερ τὸ εἶδος, οἷον αἱ ψυχαὶ τῶν ζῴων· αὗται γὰρ ζωοποιοῦσι καὶ συνιστῶσι τὰ σώματα. πάλιν τρίτον λέγεται οὐσία τὰ μόρια τὰ ἐνυπάρχοντα ἐν τοῖς σώμασι καὶ ὁρίζοντα αὐτά (λέγει δὲ τὸ εἶδος τὸ κατὰ τὴν μορφὴν τὸ † περὶ θεόν), ὧν ἀναιρουμένων ἀναιρεῖται τὸ ὅλον. εἰ γάρ τις ἀνέλοι τὸ ἐπίπε-
20 δον, ἀναιρεῖται καὶ τὸ σῶμα, ἤγουν τὴν γραμμήν· οὐ γὰρ δυνατὸν εἶναι σῶμα ἄνευ ἐπιφανείας ἢ γραμμῆς, ὥσπερ καὶ τοῖς Πυθαγορείοις δοκεῖ εἶναι τοιοῦτος τρόπος, ὡς ἡμεῖς μεμαθήκαμεν. οὗτοι γὰρ τοὺς ἀριθμοὺς οὐσίας ὑπετίθεντο ὡς μετρητικοὺς, φασί, τῶν σωμάτων. τέταρτον σημαινόμενον τῆς οὐσίας ὁ ὁρισμὸς ἑκάστου, οἷον τὸ ζῷον λογικὸν θνητόν. οἱ τοίνυν
25 τέσσαρες τρόποι, καθ' οὓς λέγεται ἡ οὐσία, εἰς δύο συνάγονται· διό φησι συμβαίνει δὲ κατὰ δύο τρόπους τὴν οὐσίαν λέγεσθαι, τό τε ὑποκείμενον ἔσχατον, ὃ μηκέτι κατ' ἄλλου λέγεται * * * εἶδος, ὅπερ f. 223r
ἐστὶ χωριστὸν κατ' ἐνέργειαν, ὥσπερ ἡ λογικὴ ψυχή, ἢ κατ' ἐπίνοιαν, ὥσπερ ἡ φύσις. ἢ μᾶλλον λέγει περὶ τοῦ κατὰ μορφὴν εἴδους.

30 p. 1017b27 Ταὐτὰ δὲ λέγεται τὰ μὲν κατὰ συμβεβηκός.

Πληρώσας τὸν περὶ τῆς οὐσίας λόγον, ἐντεῦθεν λέγει ἡμῖν περὶ τῶν ταὐτῶν ποῖα ὑπάρχουσι, καί φησιν ὅτι ταὐτὰ λέγονται τὰ μὲν κατὰ συμβεβηκός, οἷον τὸ λευκὸν καὶ τὸ μουσικὸν ταὐτὰ λέγονται. ἐπειδὴ ἑνὶ καὶ τῷ αὐτῷ πράγματι συμβεβήκασι, τουτέστι τῷ Σωκράτει ἢ ἄλλῳ τινὶ τοιούτῳ. πά-
35 λιν ταὐτὰ λέγονται καὶ ἄνθρωπος καὶ μουσικός, ἐπειδὴ θάτερον θατέρῳ

6 ἐν τῷ Θ κτλ.] c. 7 12 ἐν Κατηγορίαις] 5 p. 2a11 13 ἀνθυποστάτων libri
18. 19 περὶ θεόν] fort. περατοῦν: περιθετόν Diels; cf. p. 312,4 20 καὶ om. D 25 καθ' οὓς scripsi: καθὼς libri 27 lacunam indicavi: addendum καὶ ὃ ἂν τόδε τι καὶ χωριστὸν ᾖ· τοιοῦτον δὲ ἑκάστου ἡ μορφὴ καὶ τὸ

συμβέβηκε. τουτέστι τῷ ἀνθρώπῳ τὸ μουσικόν. καὶ τὰ τοιαῦτα φύσει τῆς ταυτότητος μετέχουσιν, ἤγουν ⟨τῷ⟩ εἶναι· τὸ δὲ μουσικὸν λέγεται ἄνθρωπος παρὰ φύσιν ποιούντων ἡμῶν τὴν κατηγορίαν, ἐπειδὴ καὶ κατὰ φύσιν ἔστι, καὶ τῷ ἀνθρώπῳ συμβέβηκε τὸ μουσικόν. ἑκατέρῳ δὲ τούτῳ, τῷ ἀνθρώπῳ μουσικῷ τὸ μουσικόν, καὶ τούτων ἑκάτερον ἐκείνῳ· καὶ γὰρ τῷ ἀνθρώπῳ τῷ μουσικῷ καὶ τὸ ἄνθρωπος καὶ τὸ μουσικὸν τὸ αὐτὸ λέγεται, καὶ τούτοις ἐκεῖνο, τουτέστι τὸ ἄνθρωπος μουσικὸς τῷ ἀνθρώπῳ ⟨καὶ τῷ⟩ μουσικῷ. ταῦτα δὲ πάντα καθόλου οὐ λέγονται· οὔτε γὰρ ἀληθές ἐστιν εἰπεῖν ὅτι πᾶς ἄνθρωπος ταὐτὸ καὶ μουσικόν· οὐ γὰρ πᾶς ἄνθρωπος μουσικός ἐστι· τὰ γὰρ καθόλου καθ' αὑτὸ ὑπάρχουσι. ταῦτα δὲ συμβεβηκότα ὑπάρχουσι· διό φησι τὰ συμβεβηκότα οὐ καθ' αὑτὰ ἀλλ' ἐπὶ τῶν καθ' ἕκαστα καλῶς λέγεται· τὰ αὐτὰ γὰρ δοκεῖ εἶναι Σωκράτης καὶ Σωκράτης μουσικός· τὸ γὰρ Σωκράτης τῶν καθ' ἕκαστά ἐστι καὶ οὐ φέρεται ἐπὶ πολλῶν· διὸ οὐ πᾶς Σωκράτης λέγεται, ὥσπερ πᾶς ἄνθρωπος. καὶ τὰ μὲν κατὰ συμβεβηκὸς οὕτως λέγονται, τὰ δὲ καθ' αὑτά, ὥσπερ καὶ ἕν· καὶ γὰρ ὧν ἡ ὕλη μία ἐστί, λέγονται ταὐτὰ εἶναι καθ' αὑτά, ὥσπερ Σωκράτης καὶ Ἀλκιβιάδης, καὶ τὰ ξύλινα σκεύη ἤγουν τὰ χαλκᾶ καὶ ἀργυρᾶ ἢ τὰ χρυσᾶ, καὶ μὴ ἄλλο καὶ ἄλλο. ὧν οὖν, φησίν, ἡ ὕλη μία ἐστὶν ἢ εἴδει ἢ f.223v ἀριθμῷ, ταὐτὰ λέγονται, εἴδει μὲν ὥσπερ Σωκράτης καὶ Πλάτων, ἀριθμῷ δὲ ὥσπερ Ἀλέξανδρος καὶ Πάρις. πάλιν ταὐτὰ λέγονται, ὧν ἡ οὐσία μία ὑπάρχει. φανερὸν ἄρα ὅτι ἡ ταυτότης ἑνότης τίς ἐστιν ἢ πλειόνων τοῦ εἶναι, ὥσπερ ἐπὶ Σωκράτους καὶ Πλάτωνος, ἢ ὅταν τις χρῆται ὡς πλείοσι τῷ ἑνί, οἷον ὡς ὅταν λέγῃ τις ὅτι Σωκράτης αὐτὸς ἑαυτῷ ὁ αὐτός ἐστι· διό φησιν οἷον ὅταν λέγῃ αὐτὸ ⟨αὐτῷ⟩ ταὐτόν, ὡς δυσὶ κέχρηται τῷ ἑνί.

p. 1018a9 Ἕτερα δὲ λέγεται ὧν ἢ τὰ εἴδη πλείω ἢ ἡ ὕλη.

Πληρώσας τὸν περὶ ταὐτοῦ λόγον ἐνταῦθα βούλεται διδάξαι πῶς λέγονται τὰ ἕτερα, καί φησιν ὅτι τὰ πάντῃ διεστηκότα ἀλλήλων ἕτερα ὑπάρχουσιν, ὧν ἢ τὰ εἴδη πλείω ἢ ἡ ὕλη ἢ ὁ λόγος τῆς οὐσίας, οἷον ὥσπερ ἐπὶ ξυλίνου σκεύους καὶ χρυσοῦ, ἵνα τὸ μὲν ὑποθώμεθα εἶναι λέβητα, τὸ δὲ ἀβάκιον· τοῦ μὲν γάρ ἐστιν ἡ ὕλη χρυσὸς τοῦ δὲ ξύλον, καὶ τοῦ μὲν εἶδος λέβης τοῦ δὲ ἀβάκιον. ἐπὶ τούτοις δὲ ἄλλος ὁρισμὸς λέβητος καὶ ἄλλος ἀβακίου ὑπάρχει. φησὶν οὖν ὅτι ἀντικειμένως λέγεται τῷ ταὐτῷ τὸ ἕτερον. ἐκ γοῦν τῆς κοινωνίας τῆς ταυτότητος ἔστιν ἡμᾶς ἑλεῖν τὴν ἑτερότητα.

---

1 φύσει scripsi: φησὶ libri 2 τῷ addidi 3 ἡμῶν scripsi: ἡμῖν libri 5 τούτῳ] sic etiam Metaph. p. 1017b31 unus liber: τοῦτο cum plerisque recte Bekk. 6 ἐκείνῳ scripsi: ἐκείνων libri 8 μουσικὸς scripsi: μουσικὸν libri καὶ τῷ addidi 12 καλῶς] ἁπλῶς Aristoteles 16 ὧν om. D 19 μὴ ἄλλο scripsi: τ' ἄλλο libri 25 αὐτῷ ex Aristotele addidi

p. 1018a12 Διάφορα δὲ λέγεται ὅσα ἕτερά ἐστι τὸ αὐτό τι ὄντα.

Μετὰ τὸ εἰπεῖν περὶ ἑτερότητος ἐντεῦθεν βούλεται ἡμῖν εἰπεῖν περὶ διαφορᾶς, καί φησιν ὅτι οὐ κατὰ πάντα διεστήκασιν ἀλλήλων τὰ διάφορα (τοῦτο γὰρ ἐπὶ τῶν ἑτέρων θεωρεῖται), ἀλλ' ἔχουσί τινα καὶ κοινωνίαν πρὸς ἄλληλα. διό φησι διάφορα δὲ λέγεται ὅσα ἕτερά ἐστι τὸ αὐτό τι ὄντα, τουτέστι κατά τι κοινωνοῦντα, μὴ μόνον ἀριθμῷ, ἀντὶ τοῦ κἂν μὴ μόνον ἀριθμῷ, ὥσπερ ὁ Ἀλέξανδρος καὶ ὁ Πάρις· ταῦτα γὰρ δοκοῦσι † πολλὴν ἔχειν κοινωνίαν ὀνόματι, καὶ ἐν τούτοις ἔστι τις διαφορὰ κατ' αὐτὸ τὸ ὄνομα. ὁμοίως δὲ λέγεται διάφορα καὶ τὰ εἴδει ἢ γένει ἢ ἀναλογίᾳ, οἷον ὁ ἵππος διαφέρει ἀνθρώπου κατ' εἶδος, καὶ ἔχει τινὰ κοινωνίαν πρὸς αὐτὸν κατὰ τὸ ζῷον. πάλιν διαφέρει ὁ ἄνθρωπος τοῦ φυ- f.224r
τοῦ κατὰ γένος καὶ ἔχει κοινωνίαν κατὰ τὸ ἔμψυχον. ὁμοίως ἡ ναῦς τοῦ ζῴου διαφέρει καὶ ἔχει κοινωνίαν κατὰ ἀναλογίαν· ὡς γὰρ ἐπὶ τῆς νεώς ἐστι τρόπις, οὕτως ἐπὶ τοῦ ζῴου καρδία. διό φησιν ἔτι ὧν ἕτερον τὸ γένος, διάφορα ὑπάρχει· ὅμως κοινωνοῦσι κατὰ ἀναλογίαν. φησὶν οὖν ὅτι καὶ τὰ ἐναντία διάφορα λέγονται, καὶ ὅσα ἔχει ἐν τῇ οὐσίᾳ τὴν ἑτερότητα, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν διάφορα ὑπάρχουσι καθὸ ἐναντία, κοινωνοῦσι δὲ καθὸ ἀμφότερα χρώματα. καὶ ἔχουσι πάλιν ἐν τῇ οὐσίᾳ ἑτερότητα τὸ πῦρ καὶ τὸ ὕδωρ· τὸ μὲν γάρ ἐστι θερμὸν καὶ ξηρόν, τὸ δὲ ὑγρὸν καὶ ψυχρόν· ὥστε διάφορα μέν εἰσι κατὰ τὰς ποιότητας, κοινωνοῦσι δὲ καθὸ οὐσία ἀμφότερα.

p. 1018a15 Ὅμοια λέγεται.

Ἐντεῦθεν περὶ τῶν ὁμοίων ἡμῖν διαλέγεται, καί φησιν ὅτι ὅμοια λέγονται τὰ τὸ αὐτὸ πεπονθότα, τουτέστι τὰ κοινωνοῦντα κατὰ τὴν ποιότητα· οἷον ὁμοία λέγεται ἡ χιὼν τῷ λευκῷ ἱματίῳ. ἐπειδὴ ἀμφότερα λευκὰ ὑπάρχουσι. καὶ πάλιν ἡ ἔβενος τῷ Αἰθίοπι (κατὰ γὰρ τὸ χρῶμα). καὶ πάλιν τὸ πῦρ τῷ ἀέρι διὰ τὸ εἶναι ἄμφω θερμά, καὶ ἡ γῆ τῷ ὕδατι διὰ τὸ ψυχρόν. ἀντικειμένως δὲ τοῖς ὁμοίοις τὰ ἀνόμοια λέγονται, οἷον τὸ λευκὸν τῷ μέλανι.

p. 1018a20 Ἀντικείμενα λέγεται ἀντιφάσεις καὶ τὰ ἐναντία καὶ τὰ πρός τι καὶ στέρησις καὶ ἕξις καὶ ἐξ ὧν.

Ἐντεῦθεν περὶ τῶν ἀντικειμένων ποιεῖται τὸν λόγον. καί φησιν ὅτι ἀντικείμενα ὑπάρχουσιν, ὡς καὶ ἐν Κατηγορίαις μεμαθήκαμεν, αἱ ἀντιφάσεις καὶ τὰ ἐναντία καὶ τὰ πρός τι καὶ αἱ ἕξεις καὶ αἱ στερήσεις καὶ ἐξ ὧν

2 ἑτερότητος — περὶ om. D 7. 8 sententia videtur postulare δοκοῦσι πάντῃ ἔχειν κοινωνίαν πλὴν ὀνόματι 27 ἡ γῆ scripsi: τὴν γῆν libri 33 ἐν Κατηγορίαις] 10 p. 11b16 sqq.

καὶ εἰς ἃ ἔσχατα. τουτέστιν αἱ γενέσεις καὶ αἱ φθοραί. δῆλον δὲ ὅτι καὶ ταῦτα ὑπὸ τὰ ἐναντία τελοῦσι καὶ ὅσα μὴ ἐνδέχεται ἅμα παρεῖναι κατὰ τὸ αὐτὸ μέρος. τῷ οὖν δεχομένῳ ἀμφότερα, τουτέστι τῷ σώματι, οὐ δυνατὸν ταῦτα ἅμα παρεῖναι ἢ αὐτὰ ἢ ἐξ ὧν ἐστι· φαιὸν γὰρ καὶ λευκὸν f. 224v
5 ἅμα οὐχ ὑπάρχουσι τῷ αὐτῷ. ἐπειδὴ ἐξ ὧν ὑπάρχουσι. ταῦτα ἀντίκεινται ἀλλήλοις, [ὡς] τουτέστι τὸ λευκὸν καὶ τὸ μέλαν. ἐναντία οὖν κυρίως λέγονται τὰ μὴ δυνάμενα ἅμα τῷ αὐτῷ παρεῖναι τῶν διαφερόντων κατὰ γένος, ὥσπερ ἡ δικαιοσύνη καὶ ἡ ἀδικία· οὔτε γὰρ δυνατὸν ἅμα ἀμφότερα παρεῖναι, καὶ τῆς μὲν ἀδικίας γένος κακία, τῆς δὲ δικαιοσύνης ἀρετή. πάλιν
10 τὸ λευκὸν καὶ τὸ μέλαν ὑπὸ τὸ αὐτὸ γένος τελοῦντα τὸ χρῶμα πλεῖστον ἀλλήλων διεστήκασι, καὶ δεκτικὸν ἀμφοτέρων ὑπάρχει τὸ σῶμα. καὶ ὅσα πλεῖστον ἀλλήλων διαφέροντα τῶν ὑπὸ τὴν αὐτὴν δύναμιν, ὥσπερ τὸ λογικὸν καὶ τὸ ἄλογον· ὑπὸ μίαν γὰρ δύναμιν ὑπάρχουσι τοῦ ζῴου καὶ πλεῖστον ἀλλήλων διεστήκασι. καὶ πάλιν τὸ θερμὸν τὸ ἐν τῷ σώματι καὶ τὸ
15 ψυχρὸν ὑπὸ φύσεως προέρχονται καὶ πλεῖστον διαφέρουσιν ἀλλήλων. καὶ ὧν ἡ διαφορά. φησί, μεγίστη, ταῦτα ἐναντία ὑπάρχουσιν ἢ ἁπλῶς ἢ κατὰ γένος ἢ κατ' εἶδος· ἁπλῶς μὲν ὡς τὸ ὂν ⟨καὶ τὸ μὴ ὄν⟩, κατὰ γένος δὲ ὡς τὸ ἔμψυχον καὶ τὸ ἄψυχον, κατ' εἶδος δὲ ὡς τὸ λογικὸν καὶ ἄλογον καὶ λευκὸν καὶ μέλαν. λέγονται ἐναντία τὰ μὲν τῷ ἔχειν ἐναντίωσιν, ὥσπερ
20 τὸ πῦρ καὶ τὸ ὕδωρ, τὰ δὲ τῷ δεκτικὰ εἶναι τῶν ἐναντίων, ὥσπερ τὰ μετέχοντα (ποτὲ μὲν γὰρ διὰ τὰ μετεχόμενα. ποτὲ δὲ διὰ τὰ μετέχοντα). τὰ δὲ τῷ ποιητικὰ εἶναι ἢ παθητικὰ τῶν τοιούτων, ἢ ποιοῦντα ἢ πάσχοντα, ὥσπερ τὸ πῦρ καὶ τὸ ὕδωρ, ἐπειδὴ ποιοῦσι καὶ πάσχουσιν ὑπ' ἀλλήλων, ἢ ὡς αἱ στερήσεις, οἷον σκότος καὶ φῶς, καὶ διότι τὰ μὲν ἀπο-
25 βάλλει τὰ δὲ προσλαμβάνει, ἡνίκα γίνεται μεταβολὴ τῶν στοιχείων.

p. 1018a35 Ἐπειδὴ τὸ ἓν καὶ τὸ ὂν πολλαχῶς λέγεται.

Ὃ λέγει τοῦτό ἐστιν· ἐπειδὴ μεμαθήκαμεν ὅτι τὸ ἓν καὶ τὸ ὂν πολλαχῶς λέγονται. εἴ γε κατὰ πασῶν τῶν κατηγοριῶν φέρονται. ἀνάγκη καὶ f. 225r
τὸ ταὐτὸν ἀκολουθεῖν τούτοις καὶ πολλαχῶς λέγεσθαι. ὅπου γὰρ τὸ ἓν
30 καὶ τὸ ὄν, ἐκεῖσε πάντως ὑπάρχει καὶ τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ τὸ ἐναντίον, ὥστε εἶναι ἕτερον καθ' ἑκάστην κατηγορίαν, εἴ γε μὴ ἕν ἐστι τὸ ὄν, ὡς Παρμενίδης ὑπελάμβανεν.

p. 1018a38 Ἕτερα δὲ τῷ εἴδει λέγεται.

Ταῦτα λέγονται καὶ εἶναι ἕτερα τῷ εἴδει ὅσα ταὐτοῦ γένους ὑπάρ-
35 χοντα μή εἰσιν ὑπάλληλα. ὥσπερ τὸ πτηνὸν ζῷον καὶ τὸ χερσαῖον καὶ τὸ ἔνυδρον· ὑπὸ γὰρ τὸ αὐτὸ γένος τελοῦντα τὸ ζῷον οὐχ ὑπάρχουσιν ὑπάλληλα.

---

6 ὡς delevi 11 ὅσα scripsi: ὅμως libri 12 ὥσπερ — δύναμιν (13) om. D
17 καὶ τὸ μὴ ὄν addidi 19 τὰ δ' ἄλλα ἐναντία λέγεται Aristoteles τῷ Aristoteles: ᾧ libri 28 λέγονται scripsi Aristotelem secutus: λύσανται D: incertus A

καὶ ὅσα ἐν τῷ αὐτῷ γένει ὄντα διαφορὰν ἔχει, καὶ ταῦτα ἕτερα λέγεται, οἷον ἄνθρωπος καὶ ἵππος· καὶ ὅσα ἐν τῇ οὐσίᾳ ἐναντίωσιν ἔχει, ὥσπερ τὸ πῦρ καὶ τὸ ὕδωρ. καὶ τὰ ἐναντία πάλιν ἕτερα ὑπάρχουσιν ἀλλήλων κατὰ τὸ εἶδος. ὥσπερ καὶ τὸ λευκὸν καὶ τὸ μέλαν. ἐπειδὴ καὶ τὸ φαιὸν καὶ τὸ ἐρυθρὸν εἰ καὶ διάφορα ὑπάρχουσι κατ' εἶδος. ἀλλ' οὔ γε ὑπάρχουσιν ἐναντία. καὶ ὅσα ἐν τῷ τελευταίῳ τοῦ γένους εἴδει οἱ λόγοι ἕτεροι ὑπάρχουσιν, οἷον ἄνθρωπος καὶ ἵππος ἄτομα τῷ γένει, οἱ δὲ λόγοι αὐτῶν ἕτεροι, ζῷον λογικὸν θνητόν, ζῷον ἄλογον χρεμετίζον. καὶ ὅσα ἐν τῇ αὐτῇ οὐσίᾳ ὄντα ἔχει διαφοράν· τὸ γὰρ θερμὸν καὶ τὸ ψυχρὸν ἐν μιᾷ οὐσίᾳ ὑπάρχοντα τῇ τοῦ ἀνθρώπου ἔχουσι διαφοράν, ὥστε ἕτερα τῷ εἴδει ὑπάρχουσιν, ἢ ὡς τὸ φωτιστικὸν τοῦ πυρὸς καὶ τὸ θερμόν. ταῦτα δὲ τῷ εἴδει ὑπάρχει τὰ ἀντικειμένως τούτοις λεγόμενα, τουτέστι τὰ μὴ ἔχοντα διαφοράν, ὥσπερ τὸ λευκὸν καὶ τὸ ἐν ψιμυθίῳ καὶ τὸ ἐν χιόνι, καὶ τὸ λογικὸν τὸ ἐν τῷ Σωκράτει καὶ τὸ ἐν Πλάτωνι· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

p. 1018ᵇ9 Πρότερα καὶ ὕστερα λέγεται ἔνια μὲν ὡς ὄντος τινὸς πρώτου καὶ ἀρχῆς ἐν ἑκάστῳ γένει, τὸ ἐγγύτερον.

Ἐντεῦθεν περὶ προτέρου ἡμῖν ποιεῖται τὸν λόγον, καί φησιν ὅτι τὸ πρότερον ἢ ἁπλῶς λέγεται ἢ πρὸς ἡμᾶς καὶ πρὸς τὴν ἡμετέραν θέσιν· f.225v καὶ ἁπλῶς ἢ φύσει ἢ γένει ἢ χρόνῳ. γένει μέν, οἷον ἡ οὐσία προτέρα ἐστὶ τῶν ἄλλων κατηγοριῶν, καὶ τὰ πλησίον τῆς οὐσίας πρότερα ὑπάρχουσι τῶν πορρωτέρω, οἷον πρότερόν ἐστι τὸ ἔμψυχον τοῦ ζῴου καὶ τὸ ζῷον τοῦ λογικοῦ, ἐπειδὴ τὸ μὲν ἔμψυχον πλησίον ἐστὶ τῆς οὐσίας, τὸ δὲ ζῷον πορρωτέρω, καὶ πάλιν τὸ ζῷον πλησίον, τὸ δὲ λογικὸν πορρωτέρω. φύσει δὲ ὁ πατὴρ τοῦ υἱοῦ πρότερος ὑπάρχει καὶ ὁ υἱὸς τοῦ ἐκγόνου, ἐπειδὴ πλησίον ἐστὶ μᾶλλον τοῦ πατρός. χρόνῳ δὲ ὅτι πρότερα ὑπάρχουσι τὰ Τρωικὰ τῶν Μηδικῶν. τόπῳ δὲ ὅτι προτέρα ἐστὶν ἡ ἀπλανὴς τῶν πλανωμένων. ἐπειδὴ μᾶλλον πλησιάζει τῇ ἀνάστρῳ. ὁμοίως δὲ καὶ κατὰ κίνησιν θεωρεῖται τὸ πρότερον· τὸ γὰρ ἐγγύτερον τοῦ πρώτου κινήσαντος πρότερόν φαμεν εἶναι. οὕτως λέγομεν πρότερον τὸν υἱὸν τοῦ ἐκγόνου, οἷον τὸν Ὀδυσσέα τοῦ Τηλεμάχου, ἐπειδὴ πλησίον ἐστὶν ὁ Ὀδυσσεὺς τῷ Λαέρτῃ μᾶλλον ἤπερ ὁ Τηλέμαχος. πάλιν λέγονται πρότερα εἶναι κατὰ δύναμιν· τὸ γὰρ δυνατώτερον καὶ ὑπερέχον τῇ δυνάμει πρότερον λέγομεν, οἷον οὕτως φαμὲν τὸν βασιλέα πρότερον εἶναι, καὶ τὸν μᾶλλον πλησίον τοῦ βασιλέως τοῦ πορρωτέρω ὄντος πρότερον εἶναί φαμεν. καὶ πάλιν ἐν τῇ τάξει θεωρεῖται τὸ πρότερον, ὡς πρὸς τὴν ἡμετέραν θέσιν· οὕτως γὰρ πρότερόν φαμεν τὸν παραστάτην τοῦ τριτοστάτου καὶ τὴν παρανήτην τῆς νή-

---

5 οὔ γε scripsi: οὖν γε libri 6 ὅσα] sic etiam Metaph. p. 1018ᵇ4 duo codices. rectum est ὅσων, quod in reliquis legitur λόγοι repetunt libri 7 ἄνθρωπος καὶ ἵππος Aristoteles: ἀνθρώπου καὶ ἵππου libri 10 τῇ scripsi: τὴν libri 21 τοῦ ζῴου—ἔμψυχον (22) om. D 23 καὶ πάλιν—πορρωτέρω om. D 35 ὡς πρὸς—πρότερον (36) om. D

τῆς, ἐπειδὴ ὁ μὲν παραστάτης πλησίον ἐστὶν τοῦ κορυφαίου, οἷον τοῦ βασιλέως, ἡ δὲ παρανήτη πλησίον μᾶλλον τῆς μέσης· ἔστι δὲ ἡ μέση ἀρχή. πάλιν λέγεται πρότερον τὸ τῇ γνώσει, τοῦτο δὲ ἢ πρὸς τὴν φύσιν ἢ πρὸς ἡμᾶς. τὰ μὲν γὰρ καθόλου πρότερά ἐστι τῇ φύσει. ὡς πολλάκις εἴρηται· γνώριμα γὰρ ὑπάρχουσι τὰ καθόλου ⟨μᾶλλον⟩ τῇ φύσει ἤπερ τὰ καθ' ἕκαστα. τὰ δὲ καθ' ἕκαστα πρότερά ἐστιν ὡς πρὸς ἡμᾶς· μᾶλλον γὰρ γινώσκομεν τὰ καθ' ἕκαστα τῶν καθόλου. πάλιν πρότερα λέγεται τὰ συμβεβηκότα τοῖς πρότερον, οἷον προτέρα ἐστὶν ἡ γραμμὴ τῆς ἐπιφανείας, εἴ γε ἐκ τῆς γραμμῆς γεννᾶται ἡ ἐπιφάνεια· συμβέβηκε δὲ τῇ γραμμῇ τὸ εὐθὺ f. 226r καὶ τὸ καμπύλον. τῇ δὲ ἐπιφανείᾳ τὸ τραχὺ καὶ τὸ λεῖον· πρότερον ἄρα τὸ εὐθὺ τοῦ λείου. τὰ δὲ κατὰ φύσιν καὶ οὐσίαν πρότερα ὑπάρχουσι, τοιαῦτα δέ ἐστι τὰ συναναιροῦντα μέν, μὴ συναναιρούμενα δέ, ὥσπερ τὸ ζῷον καὶ ὁ ἄνθρωπος. καθάπερ. φησί. διαιρεῖ καὶ ὁ Πλάτων λέγων τοιαῦτα φύσει εἶναι πρότερα. πάλιν πρότερον λέγεται τὸ δυνάμει τοῦ ἐνεργείᾳ ὡς πρὸς ἡμᾶς· πρότερον γὰρ γίνεται δυνάμει γραμματικὸν τὸ παιδίον, καὶ τότε ἐνεργείᾳ. ὡς δὲ πρὸς τὸ πᾶν πρότερον τὸ ἐνεργείᾳ τοῦ δυνάμει, καθάπερ εἴρηται αὐτῷ ἐν τῇ Περὶ ψυχῆς. ἐπειδὴ δεῖ προϋπάρχειν τὰ τελεώτερα τῶν ἀτελεστέρων. καὶ πάλιν ἐὰν νοήσωμεν γεννωμένην τὴν γραμμήν, πρότερον ὑπάρχει τὸ ἥμισυ αὐτῆς τοῦ ὅλου.

Ταῦτα εἰρηκὼς περὶ τῶν προτέρων ἐφεξῆς λέγει ἡμῖν περὶ τῆς δυνάμεως, καί φησιν ὅτι ἡ δύναμις τετραχῶς λέγεται. ἕνα μὲν τρόπον τὸ ποιητικὸν αἴτιον· δύναμιν γάρ φαμεν ἔχειν τὸ δυνάμενόν τι ποιεῖν· οὕτως φαμὲν τὸ πῦρ δύναμιν ἔχειν καυστικήν. δεύτερον δὲ σημαινόμενον τὸ δυνάμενον πάσχειν· οὕτως γάρ φαμεν τὸ ξύλον δύναμιν ἔχειν τοῦ πάσχειν καὶ φθείρεσθαι ὑπὸ τοῦ πυρός. χρὴ μέντοι εἰδέναι ὅτι τὸ τοιοῦτον μᾶλλον ἀδυναμίας ἐστὶν ἤπερ δυνάμεως. ὡς γάρ φησιν ὁ Πλάτων, ἡ δύναμις σωστικὴ μᾶλλον ὑπάρχει ἢ φθαρτική. τὸ γοῦν πάσχειν, ὡς εἴρηται, ἀδυναμίας ἐστὶ μᾶλλον ἤπερ δυνάμεως. κυρίως οὖν λέγεται δύναμις ἐπὶ τῶν δυσχερῶς τι ὑπομενόντων ἢ οὐδὲ ὅλως, ὥσπερ λέγομεν τὸν ἀδάμαντα δύναμιν ἔχειν τοῦ μὴ πάσχειν, καὶ ἐπὶ τῶν τελειωτικὰ πάθη ὑπομενόντων, ὥσπερ ἐπὶ τῶν ὀφθαλμῶν· πάσχων γὰρ ὁ ὀφθαλμὸς καὶ διακρινόμενος ἢ συγκρινόμενος ἀντιλαμβάνεται τῶν αἰσθητῶν. τοῦτο δὲ τὸ πάθος τελειωτικόν ἐστιν· οὐ γὰρ φθείρει τὸ ὄμμα, ἀλλὰ τῆς κατὰ φύσιν αὐτοῦ ἐνεργείας f. 226v ὑπηρέτης γίνεται. καταχρηστικῶς δὲ λέγεται δύναμις καὶ ἐπὶ τῶν δύναμιν ἐχόντων πρὸς τὸ πάσχειν τὸ σημαινόμενον τῆς δυνάμεως, καθὸ εὐκόλως τις δύναται δέχεσθαι καὶ ποιεῖν τόδε τὸ πρᾶγμα· οἷον τὸν ἔχοντα εὐφυῶς πρὸς τὰ γραμματικὰ θεωρήματα λέγομεν δυνάμει εἶναι γραμματικόν, τὸν δὲ μὴ ἔχοντα οὔ φαμεν, εἰ μὴ ἁπλῶς συμπεριλαμβάνοι αὐτῷ τὸ καθόλου

---

5 μᾶλλον addidi 12 συναιροῦντα μὲν μὴ συναιρούμενα δέ D 13 ὁ Πλάτων] in eius libris, qui extant, nihil tale occurrit; cf. Bonitzii comm. in Metaph. p. 251 17 ἐν τῇ Περὶ ψυχῆς] Γ 7 p. 431a3 22 δυνάμει D 26 δυνάμεως scripsi coll. v. 28: δύναμις libri ὡς φησιν ὁ Πλάτων] fort. respicit ad Protag. p. 320 E 30 τελειωτικὰ — ἐπὶ τῶν (31) om. D 36 τὸ om. D 38 fort. συμπεριλαμβάνοιτο

καὶ ἁπλῶς πᾶσιν ἀνθρώποις. καὶ τοῦ καλῶς ἐπιτελεῖν. τὸν γὰρ ἀρξάμενον βαδίζειν καὶ καλῶς τοῦτο ποιήσαντά φαμεν δύναμιν ἔχειν τοῦ βαδίζειν, τὸν δὲ διεστραμμένως πορευόμενον οὔ φαμεν δύναμιν ἔχειν τοῦ βαδίζειν, ἐπειδὴ οὐ δύναται καλῶς τὴν τοιαύτην ἐπιτελέσαι ἐνέργειαν. πάλιν καὶ τὰ ἀπαθῆ καὶ τὰ δυσχερῶς πάσχοντα δυνάμει λέγονται, ὅτι δύναμιν ἔχει τόδε μὴ πάσχειν ὑπὸ σιδήρου, ὥσπερ ὁ ἀδάμας, καὶ ὅτι ὁ λίθος οὐ ῥαδίως κατεάσσεται. ὁσαχῶς τοίνυν λέγεται ἡ δύναμις, τοσαυταχῶς καὶ τὸ δυνατόν· ὥστε τετραχῶς λέγεται τὸ δυνατόν. δύναμις δέ ἐστιν αὐτὴ ἡ διάθεσις ἡ ποιοῦσα· δυνατὸν δέ ἐστιν ἡ δύναμις ἡ ἐν οὐσίᾳ θεωρουμένη καὶ ἐνεργοῦσα περὶ τόδε τὸ πρᾶγμα. καὶ τὸ δυνατὸν οὖν ποιητικόν ἐστιν ἢ παθητικόν. δυνατόν ἐστι ποιεῖν καὶ πάσχειν ἤγουν μεταβάλλειν τόδε τὸ πρᾶγμα καὶ ποιεῖν αὐτὸ λευκὸν ἐκ μέλανος, ἤγουν εὐκόλως μεταβάλλειν καὶ ἐπὶ τὸ κρεῖττον. * * * τριχῶς δὲ τοῦτο θεωρεῖται· ἢ γὰρ οὐδὲ ὅλως πέφυκεν ἔχειν, καθάπερ ὁ λίθος (οὐ γὰρ δυνατόν ἐστι γενέσθαι γραμματικόν· οὐδὲ γὰρ πέφυκε τοῦτο ἔχειν), καὶ ὅτε μὴ πέφυκεν ἔχειν, ὥσπερ τὸ παιδίον (ἀδύνατον γὰρ τεκεῖν αὐτὸ ἐν τῇ τοιαύτῃ ἡλικίᾳ) ἢ πεφυκὸς ἔχειν οὐκ ἔχει, ὥσπερ ὁ εὐνοῦχος. λέγεται δὲ τὸ ἀντικείμενον οὐκέτι ἀντικείμενον τῷ δυνατῷ, ἀλλὰ τῷ ἀληθεῖ τῷ ἐν ταῖς προτάσεσι f. 227r θεωρουμένῳ. οὕτως γάρ φαμεν ἀδύνατον τὴν διάμετρον σύμμετρον εἶναι τῇ πλευρᾷ· τὸ γοῦν ἀντικείμενον ἀληθές ἐστιν ἐξ ἀνάγκης· πᾶσα γάρ ἐστιν ἀνάγκη τὴν διάμετρον ἀσύμμετρον εἶναι τῇ πλευρᾷ, ὥστε τὸ ἄλλο ψευδός ἐστιν. ἄλλως λέγεται δύναμις κατὰ μεταφορὰν ἐν γεωμετρίᾳ, ὥσπερ ἐν τῷ δεκάτῳ λόγῳ τῶν Εὐκλείδου 'καὶ † ἡ δυναμένη αὐτῷ ἀλόγως, καλείσθω δὲ ἀποτομή'. ἔστι δὲ δύναμις ὡς ποιητικὸν αἴτιον, ἐπειδὴ ποιεῖ τὸ τετράγωνον, εἰ τύχοι, ἡ εὐθεῖα. εἰδέναι μέντοι γε χρὴ ὅτι τὰ μὲν πράγματα λέγονται εἶναι δυνάμει, ἐπειδὴ ἐξέρχονται εἰς ἐνέργειαν. οἱ μέντοι γε λόγοι οἱ περὶ αὐτῶν, καθὸ λόγοι ὑπάρχουσιν, οὐ λέγονται εἶναι δυνάμει· οἷον λέγεται δυνάμει Σωκράτης καθέζεσθαι, οὐκ ἔστι ⟨δὲ⟩ δύναμει καὶ * * * ὡς ἐπὶ τῶν πραγμάτων.

30 p. 1018ᵇ9 Πρότερα καὶ ὕστερα λέγεται ἔνια μὲν ὡς ὄντος τινὸς πρώτου.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι πρότερα καὶ ὕστερα λέγονται ἔνια μὲν ὡς ὄντος τινὸς πρώτου καὶ ἀρχῆς ἐν ἑκάστῳ γένει καὶ πράγματι. τὸ γὰρ ἐγγύτερον καὶ πλησίον μᾶλλον τῆς ὡρισμένης ἀρχῆς πρότερον λέγεται. κα-

---

8. 9 αὐτὴ ἡ scripsi: αὕτη οἱ libri 13 lacunam indicavi: addendum tale aliquid ἀδυναμία δ' ἐστὶ στέρησις δυνάμεως 17 λέγεται κτλ.] res postulare videtur λέγεται δὲ τὸ ἀδύνατον ἄλλον τρόπον οὐκέτι τὸ ἀντικείμενον κτλ. 19 σύμμετρον om. D 22. 23 ἐν τῷ δεκάτῳ λόγῳ τῶν Εὐκλείδου] fort. respicit ad Eucl. X, 73 ἐὰν ἀπὸ ῥητῆς ῥητὴ ἀφαιρεθῇ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, ἡ λοιπὴ ἄλογός ἐστι. καλείσθω δὲ ἀποτομή 26 δυνάμει scripsi: δυνάμεις A: δύναμις D 28 λέγεται scripsi: λέγονται libri δὲ addidi post καὶ deest τὸ λέγειν vel ὁ λόγος 32. 33 ὃ λέγει—πρώτου om. D

θάπερ ἐν τῇ θεωρίᾳ εἴρηται, ἢ ἁπλῶς καὶ τῇ φύσει ἢ πρός τι, ὡς ἐπὶ πατρὸς καὶ υἱοῦ, ἢ ποῦ ἢ * * * τουτέστι καὶ ἐκ τῶν ἄλλων κατηγοριῶν· οἷον τὰ μὲν κατὰ τόπον τῷ ὑπάρχειν πλησίον ἢ φύσει τινὸς τόπου ὡρισμένου, οἷον τοῦ μέσου ἢ τοῦ ἐσχάτου, ἢ πρὸς τὸ τυχόν, τὸ δὲ πορρώ-
5 τερον ὕστερον. οἷον πρότερόν ἐστι τὸ ὕδωρ τοῦ πυρός, ἐπειδὴ πλησίον ἐστὶ μᾶλλον τοῦ μέσου τὸ ὕδωρ ἤπερ τὸ πῦρ. ὡς δὲ πρὸς τὴν σεληνιακὴν σφαῖραν τοὐναντίον πρότερόν ἐστι τὸ πῦρ τοῦ ὕδατος, ἐπειδὴ τὸ μὲν πλησίον ἐστὶ τῆς σεληνιακῆς, τὸ δὲ πορρωτέρω. καὶ ἐπὶ ἡμῶν αὐτῶν πρότερός ἐστιν, εἰ τύχοι, Διομήδης Ὀδυσσέως, ἐπειδὴ πλησίον ἐστὶ μᾶλλον f.227v
10 Νέστορος.

p. 1018b14 Τὰ δὲ κατὰ χρόνον.

Καὶ ἐπὶ τοῦ χρόνου θεωρεῖται τὸ πρότερον· τὰ μὲν γὰρ τῷ πορρωτέρω τοῦ νῦν, οἷον ἐπὶ τῶν γενομένων * * * πρότερον γὰρ ὑπάρχουσι τὰ Νέμεα τῶν Πυθίων, ἐπειδὴ ἐγγύτερα ὑπάρχουσι τοῦ νῦν, τῷ νῦν ἀρχῇ καὶ
15 πέρατι χρησαμένων ἡμῶν, καθάπερ εἴρηται καὶ ἐν τῇ θεωρίᾳ. πάλιν καὶ ἐν τῇ κινήσει θεωρεῖται τὸ πρότερον. τὸ γὰρ ἐγγύτερον τοῦ πρώτου κινήσαντος πρότερόν φαμεν εἶναι, οἷον ὁ παῖς τοῦ ἀνδρὸς καὶ ὁ υἱὸς τοῦ ἐκγόνου, ἐπειδὴ πλησίον ἐστὶ τοῦ πατρὸς τοῦ πρώτου κινήσαντος· ἀρχὴ δὲ καὶ αὕτη τις ὑπάρχει ἁπλῶς. πάλιν δὲ λέγεται πρότερον κατὰ δύναμιν.
20 τὸ γὰρ ὑπερέχον τῇ δυνάμει καὶ ἰσχυρότερον ὑπάρχον λέγεται εἶναι πρότερον· τοιοῦτον δέ ἐστιν οὗ τινος κατὰ προαίρεσιν ἀνάγκη ἀκολουθεῖν τὸ ἕτερον καὶ τὸ ὕστερον, ὡς ἐπὶ τοῦ βασιλέως εἰρήκαμεν· ὁ γὰρ πλησίον αὐτοῦ ὑπάρχων τοῦ πόρρω πρότερος ὑπάρχει. ὥστε κατὰ τὴν ἐκείνου βούλησιν πάντα πράττειν καὶ κινεῖσθαι καὶ μὴ κινεῖσθαι. τὰ δὲ πρότερα ὑπάρ-
25 χοντα κατὰ τάξιν· ταῦτα δὲ ὑπάρχουσιν ὅσα πρός τι ὑπάρχον ἓν ὡρισμένον διέστηκε κατὰ τὸν λόγον· οἷον ὁ παρεστάτης πρότερός ἐστι τοῦ τριτοστάτου καὶ ἡ παρανήτη τῆς νήτης. ἐπειδὴ τὸ μὲν πλησιαίτερόν ἐστι τῷ κορυφαίῳ, τὸ δὲ τῇ μέσῃ ἀρχῇ. ταῦτα μὲν οὖν πρότερα τοῦτον λέγονται τὸν τρόπον.

30 p. 1018b30 Ἄλλον δὲ τρόπον τὸ τῇ γνώσει πρότερον.

Ποιησάμενος τὴν μίαν διαίρεσιν τοῦ προτέρου τὴν κατὰ τὸ ἁπλῶς ἐντεῦθεν ἐπὶ τὴν προτέραν μετέρχεται τὴν πρός τι θέσει. καί φησιν ἄλλον δὲ τρόπον λέγεται πρότερον τὸ τῇ γνώσει πρότερον ὡς ἁπλῶς

---

2 post ἢ desunt VII litterae AD: ἢ ὑπό τινων Aristoteles 13 lacunam indicavi: πρότερα γὰρ τὰ Τρωϊκὰ τῶν Μηδικῶν. ὅτι πορρώτερον ἀπέχει τοῦ νῦν, τὰ δὲ τῷ ἐγγυτέρω τοῦ νῦν, οἷον ἐπὶ τῶν μελλόντων Aristoteles πρότερα D 14 τῷ νῦν om. D 25 ὑπάρχον scripsi: ὑπῆρχεν libri 25. 26 ὡρισμένον Aristoteles: ὡρισμένως libri 32 προτέρα D

πρότερον. τοῦτο δὲ * * * ποτὲ μὲν τὰ καθόλου ἐστὶ πρότερα ὡς πρὸς τὴν φύσιν παραβαλλόμενα (αὐτὰ γὰρ γνωριμώτερα ὑπάρχουσι), ποτὲ δὲ τὰ κατ' αἴσθησιν καὶ τὰ καθ' ἕκαστον γνώριμα ὑπάρχουσιν ὡς πρὸς ἡμᾶς.

p. 1018b34 Καὶ κατὰ τὸν λόγον δὲ τὸ συμβεβηκὸς τοῦ ὅλου πρότερον.

Ὁ λέγει τοιοῦτόν ἐστιν, ὅτι κατὰ τὸν ὁρισμὸν τὸ συμβεβηκὸς πρό- f. 228r
τερον τοῦ ὅλου ἐστίν, εἴ γε οἱ ὁρισμοὶ πρότεροι ὑπάρχουσι τῶν πραγμάτων, ὧν εἰσιν ὁρισμοὶ ὡς δηλοῦντες τὰς οὐσίας αὐτῶν καὶ τὰς φύσεις, οἷον τοῦ συνθέτου. βούλομαι ὁρίσασθαι τὸ σύνθετον τῷ Σωκράτει ὡς μουσικόν, καὶ λέγω ὅτι ζῷον λογικὸν θνητὸν εἰδὼς κιθαρίζειν τοιῶσδε. ὥστε πρότερον ὑπάρχει τὸ συμβεβηκὸς τῆς οὐσίας κατὰ τὸν λόγον, καίτοι ἐν τῇ οὐσίᾳ θεωρουμένου τοῦ συμβεβηκότος. διὰ τοῦτο οὖν φησιν ὅτι κατὰ τὸν λόγον δὲ τὸ συμβεβηκὸς τοῦ ὅλου πρότερον ὑπάρχει, οἷον τὸ μουσικὸν τοῦ μουσικοῦ ἀνθρώπου· οὐ γὰρ δυνατὸν ὅλον τὸν ὁρισμὸν γενέσθαι τοῦ συνθέτου ἄνευ τοῦ μέρους τοῦ ὁρισμοῦ τοῦ μουσικόν. καίτοι ἀδύνατον εἶναι μουσικὸν μὴ ὄντος μουσικοῦ τινος, ἐν ᾧ θεωρεῖται τὸ μουσικόν, τουτέστι προϋπάρχει ἡ οὐσία τῶν συμβεβηκότων. ἔτι πρότερα λέγονται τὰ τῶν προτέρων πάθη, οἷον εὐθύτης λειότητος, καθάπερ εἴρηται ἐν τῇ θεωρίᾳ· τὸ μὲν γὰρ γραμμῆς ἐστι πάθος, τὸ δὲ ἐπιφανείας. πάλιν τὰ κατὰ φύσιν πρότερα ὑπάρχουσι τὰ συναναιροῦντα, μὴ συναναιρούμενα δέ, ὥσπερ τὸ ζῷον καὶ ὁ ἄνθρωπος. τοιαύτῃ δὲ διαιρέσει καὶ ὁ Πλάτων ἐχρήσατο.

p. 1019a4 Ἐπεὶ δὲ τὸ εἶναι πολλαχῶς, πρῶτον μὲν τὸ ὑποκείμενον.

Ὁ λέγει τοῦτό ἐστιν, ὅτι ἐπειδὴ πολλαχῶς λέγεται τὸ εἶναι καὶ τὸ ὑπάρχειν, πρῶτον λέγεται τὸ ὑποκείμενον· διὸ ἡ οὐσία προτέρα τῶν ἄλλων κατηγοριῶν ὡς συναναιροῦσα καὶ μὴ συναναιρουμένη, εἴ γε ἐν αὐτῇ ἔχουσι τὸ εἶναι αἱ ἄλλαι πᾶσαι κατηγορίαι. ἔπειτα ἄλλως πρότερα τὰ κατὰ δύναμιν καὶ ἄλλως κατ' ἐντελέχειαν· τὰ μὲν γὰρ κατὰ δύναμίν ἐστι πρότερα, τὰ δὲ κατ' ἐντελέχειαν, οἷον κατὰ δύναμιν μὲν ἡ ἡμίσεια τῆς ὅλης γραμμῆς, ἵνα ὡς γενομένην παραδεξώμεθα τὴν γραμμήν, καὶ τὸ μόριον f. 228v
τοῦ ὅλου (πρότερον γὰρ τὸ μόριον τοῦ ὅλου ὡς γενόμενον) καὶ ἡ ὅλη τῆς οὐσίας (δεῖ γὰρ παραληφθῆναι τὴν ὅλην πρὸς γένεσιν τῆς οὐσίας), κατ' ἐντελέχειαν δὲ ὕστερον· πρότερον γάρ ἐστι τὸ ὅλον τῶν μερῶν. ἐν γὰρ τῇ

---

1 post δὲ V litterae desunt A: res postulare videtur τοῦτο δὲ διχῶς· ποτὲ μὲν γὰρ κτλ. 9 τῷ Σωκράτει ex τοῦ Σωκράτους corr. A[1] 10 κιθαρίζει D 17 προϋπάρχει scripsi: προσυπάρχει libri ἔτι Aristoteles: ἐπὶ libri 21 ὁ Πλάτων] cf. p. 324,13 23 ἐπειδὴ D 27 συναιρουμένη D 33 δεῖ γὰρ — οὐσίας om. D

γραμμῇ δυνάμει ὑπάρχουσι τὰ μόρια· ἡνίκα δὲ δέδεται ἡ γραμμὴ ἐνεργείᾳ στιγμήν, τότε ὑπάρχουσι καὶ τὰ μόρια τῆς γραμμῆς ἐνεργείᾳ· διό φησι διαλυθέντος γὰρ κατ' ἐντελέχειαν ἔσονται τὰ μόρια. καὶ τρόπον τινὰ πάντα τὰ πρότερον καὶ ὕστερον λεγόμενα κατ' αὐτὰ τὰ πράγματα λέγονται· τὰ μὲν γὰρ κατὰ γένεσιν ἐνδέχεται ἄνευ τῶν ἑτέρων εἶναι, τουτέστι τῶν μορίων, διό φησιν οἷον τὸ ὅλον τῶν μορίων, ἐὰν ἀθρόως ὑποθῶ γεννᾶσθαι τὴν εὐθεῖαν (τὰ γὰρ μόρια δυνάμει ὑπάρχουσιν). ἐπειδὴ κατὰ φθορὰν τὰ μόρια ἐνδέχεται εἶναι ἄνευ τοῦ ὅλου, ὥσπερ ἐπὶ τῶν φθαρέντων νεκρῶν. τὰ γὰρ ὀστέα ἔτι μένουσι μόρια ὄντα, τὸ δ' ὅλον ὡς ὅλον ἔφθαρται.

p. 1019a15 Δύναμις λέγεται ἡ μὲν ἀρχὴ κινήσεως ἢ μεταβολῆς.

Πληρώσας τὸν περὶ τοῦ προτέρου λόγον ἐντεῦθεν λέγει ἡμῖν περὶ τῆς δυνάμεως. καί φησιν ὅτι 'δύναμις δὲ λέγεται ἀρχὴ κινήσεως καὶ μεταβολῆς (ἵνα εἴπῃ τὸ ποιητικὸν αἴτιον), ἡ ἐν ἑτέρῳ θεωρουμένη, καθὸ ἕτερόν ἐστιν· οἷον ἡ οἰκοδομικὴ δύναμίς ἐστιν, ἥτις δύναμις οὐ θεωρεῖται ποιητικὴ οὖσα ἐν τῷ οἴκῳ τῷ οἰκοδομουμένῳ· οὐ γὰρ ὁ οἶκος δημιουργεῖ. ἡ μέντοι γε ἰατρικὴ δύναμις οὖσα θεωρεῖται ἐν τῷ ἰατρευομένῳ' κατὰ συμβεβηκός, εἰ τύχοι, ἐὰν ὁ ἰατρευόμενος ἅμα εἴη καὶ ἰατρός, ὡς εἴρηται ἐν τῇ Φυσικῇ· διό φησιν ἀλλ' οὐχ ᾗ ἰατρευόμενος. ἡ οὖν ἀρχὴ τῆς μεταβολῆς καὶ τῆς κινήσεως λέγεται δύναμις ἐν ἑτέρῳ θεωρεῖσθαι, καθὸ ἕτερον ὑπάρχει. καὶ πάλιν τὸ πάσχον ὑφ' ἑτέρου πάσχειν, καθὸ ἕτερόν ἐστι· καθ' ἣν γὰρ δύναμιν τὸ πάσχον πάσχει τι, φαμὲν αὐτὸ δύναμιν ἔχειν παθητικήν. καθὸ δύναται πάσχειν. κυρίως δὲ ἡ δύναμις οὐ κατὰ πᾶν πᾶθος λέγεται, ἀλλ' ὅταν ἐπὶ τὸ βέλτιον, τουτέστιν ὅταν τελειωτικὸν f. 229r πάθος ὑπομείνῃ. κυρίως γάρ. ὥς φησι Πλάτων, ἡ δύναμις σώζει. τὸ δὲ φθείρεσθαι ἀδυναμία μᾶλλον ὑπάρχει. ἔτι δύναμις λέγεται καὶ τὸ καλῶς τοῦτο ἐπιτελεῖν ἤγουν κατὰ προαίρεσιν· πολλάκις γὰρ τοὺς μόνον πορευθέντας ἢ εἰρηκότας, μὴ καλῶς δὲ ἢ βαδίσαντας ἢ εἰρηκότας, καθάπερ ὑπέσχοντο, οὔ φαμεν δύνασθαι λέγειν ἢ βαδίζειν. ἐπειδὴ τὴν δύναμιν νῦν ὑπεθέμεθα ἐπὶ τὸ βέλτιον ἄγειν· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πάσχειν δεῖ τὴν δύναμιν κατὰ τὸ τελειωτικὸν πάθος προσδέχεσθαι, οὐ κατὰ τὸ φθαρτικόν. ἔτι δυνάμεις λέγονται ὅσαι ἕξεις, καθ' ἃς δυνάμεις ἀπαθῆ ὅλως γίνονται τὰ γινόμενα ἢ ἀμετάβλητα ἢ μὴ ῥᾳδίως φερόμενα ἐπὶ τὸ χεῖρον. κλᾶται μὲν ⟨γὰρ⟩ καὶ συντρίβεται καὶ κάμπτεται καὶ ὅλως φθείρεται οὐ κατὰ δύναμιν, ὡς εἴρηται ἡμῖν ἐν τῇ θεωρίᾳ, ἀλλὰ κατὰ ἀδυναμίαν. ἀπαθῆ

4 κατὰ ταῦτα λέγεται Aristoteles 7 ante ἐπειδὴ fort. exciderunt τὰ δὲ κατὰ φθορὰν 14 εἴποι D ἡ—θεωρουμένη scripsi: ἢ—θεωρούμενον libri 16 οἰκοδομουμένου libri 18. 19 ἐν τῇ Φυσικῇ] B 1 p. 192b23 sqq. 19 ἡ Aristoteles: εἰ libri 20 ante ἐν fort. addendum ἥν φησιν καθὸ scripsi: καθ' libri 25 Πλάτων] cf. p. 324,26 32 δυνάμεις scripsi: δυνάμει libri ὅσαι Aristoteles: ὡς αἱ libri ἀπαθῆ Aristoteles: τὰ πάθη libri 34 γὰρ ex Aristotele addidi

δὲ τῶν τοιούτων ὑπάρχουσιν ἅτινα μόγις καὶ ἠρέμα πάσχουσι διὰ δύναμιν τὴν ἐν αὐτοῖς καὶ τὸ διακεῖσθαι κατὰ τὴν δύναμιν.

p. 1019a32 Λεγομένης τῆς δυνάμεως τοσαυταχῶς.

Δείξας ποσαχῶς λέγεται ἡ δύναμις λέγει ὅτι ὁσαχῶς λέγεται ἡ δύναμις, τοσαυταχῶς λέγεται καὶ τὸ δυνατόν. ἕνα μὲν οὖν τρόπον λεχθήσεται τὸ ἔχον κινήσεως ἀρχὴν ἢ μεταβολῆς, τουτέστι ποιητικὸν αἴτιον. καλῶς δὲ προσέθηκεν ἢ μεταβολῆς, ἐπειδή, ὡς εἴρηται ἐν τοῖς τελευταίοις λόγοις τῆς Φυσικῆς, φέρεται ἡ μεταβολὴ οὐ μόνον ἐπὶ κινήσεως, ἀλλὰ καὶ ἐπὶ τῶν ἄνευ κινήσεως μεταβαλλόντων, ὡς ἐπὶ τῆς γενέσεως ἔλεγεν ἐκεῖσε καὶ τῆς φθορᾶς. διό φησι καὶ γὰρ τὸ στατικὸν δυνατόν τι ἐν ἑτέρῳ θεωρεῖσθαι, καθὸ ἕτερον ὑπάρχει, τουτέστιν οὐ μόνον κινήσεώς ἐστιν ἄλλοις αἰτία τὸ δυνατόν, ἀλλὰ καὶ ἠρεμίας καὶ στάσεως. f.229v φησὶν οὖν ὅτι λέγεται τὸ δυνατὸν καὶ ὡς ποιητικὸν αἴτιον, λέγεται δὲ καὶ ὡς παθητικόν, καὶ τοῦτο ἐδήλωσε διὰ τοῦ εἰπεῖν ἕνα δὲ ἄλλον λέγεται, ἂν ἔχῃ τι αὐτοῦ ἄλλο δύναμιν τοιαύτην, τουτέστι παθητικήν. λέγεται δυνατὸν καὶ τὸ ἔχον δύναμιν μεταβλητικήν, εἴτε ἐπὶ τὸ χεῖρον εἴτε ἐπὶ τὸ βέλτιον· διό φησι καὶ γὰρ τὸ φθειρόμενον δοκεῖ δυνατὸν εἶναι φθείρεσθαι, ἐπεὶ οὐχ ὡς φθαρῆναι ἀδύνατον νῦν ἔχει τινὰ διάθεσιν καὶ αἰτίαν καὶ ἀρχὴν τοῦ τοιούτου πάθους, τοῦ δύνασθαι φθείρεσθαι. ποτὲ μὲν τὸ ἔχειν τι δοκεῖ, ποτὲ δὲ τὸ ἐστερῆσθαι τοιοῦτον εἶναι. ἐπεὶ δὲ τὸ ἔχειν ἐπὶ ἕξεως κυρίως λέγεται, αὐτὸς δὲ τὸ τοιοῦτον καὶ ἐπὶ στερήσεως ἤγαγεν, ἀπολογούμενος ὑπὲρ τοῦ τοιούτου φησὶν ⟨ὅτι⟩ καὶ τὴν στέρησιν ἔχειν λέγομεν· οὐ γάρ ἐστιν ἡ στέρησις τῶν μὴ ὄντων, οὔτε δὲ ἀπόφασις, ἀλλὰ καταφατικῶς κατηγορεῖται τοῦ πράγματος, λεγόντων ἡμῶν τόνδε τυφλότητα ἔχειν καὶ καθ' ἕξιν ἔχειν τόδε τὸ πάθος, οἷον τὸ τοῦ πυρετοῦ ἢ ἄλλου τινὸς τοιούτου. διό φησιν εἰ δὲ ἡ στέρησις ἕξις πως, πάντα λέγονται τῷ ἔχειν, καὶ ἡ στέρησις καὶ ἡ ἕξις, ὁμωνύμως λεγομένου τοῦ ὄντος, ὥστε τό τε ἔχειν ἕξιν τινὰ τὴν κυρίως ἕξιν δυνατὸν λέγεται καὶ τὸ ἔχειν στέρησιν, εἰ ὅλως ἐνδέχεται ἔχειν στέρησιν. τρίτον δὲ τὸ μὴ ἔχειν δύναμιν φθαρτικὴν ὑπὸ ἄλλου, καθὸ ἄλλο ἐστίν, ὥσπερ ἐπὶ τοῦ ἀδάμαντος ἐλέγομεν. πάντα οὖν ταῦτα ἢ τῶν δυναμένων μόνον γενέσθαι ὑπάρχει ἢ τῶν μὴ δυναμένων γενέσθαι, ἢ τῶν καλῶς. καὶ γὰρ ἐν τοῖς ἀψύχοις ἔνεστιν ἡ τοιαύτη δύναμις, οἷον ἐν τοῖς ὀργάνοις· φασὶ γὰρ τὴν μὲν καλῶς δύνασθαι φθέγγεσθαι λύραν, τὴν δὲ οὐ καλῶς, ἂν μὴ εὔφωνος ὑπάρχῃ.

---

2 τὴν (post κατὰ) om. D 8 τῆς Φυσικῆς] E 1 12 ἄλλοις αἰτία scripsi: ἀλλ' ὡς αἰτίαν libri 14 ἄλλον scripsi: ἄλλο libri 18 ἀδύνατον scripsi: δυνατὸν libri: pro ἐπεὶ—ἔχει Metaph. p. 1019b4 legitur ἢ οὐκ ἂν φθαρῆναι, εἰ ἦν ἀδύνατον· νῦν δὲ ἔχει 19. 20 ποτὲ μὲν δὴ Aristoteles 20 τὸ ἔχειν—εἶναι ex Aristotele scripsi: τὸ ἔχειν τὸ δοκεῖν, ποτὲ δὲ τὸ ἐστερῆσθαι τούτων εἶτα libri 20. 21 ἐπεὶ δὲ scripsi: ἐπειδὴ libri 22 ὅτι addidi 23 λέγομεν scripsi: λέγω μὲν libri 28 τό τε et καὶ τὸ] sic etiam Metaph. p. 1019b8. 9 unus codex; τῷ τε et καὶ τῷ ceteri 30 ἐν ἄλλῳ Aristoteles 33 φασὶ Aristoteles: φησὶ libri

p. 1019b15 Ἀδυναμία δέ ἐστι στέρησις δυνάμεως.

Ἐπεξελθὼν τῷ δυνατῷ ἐντεῦθεν ἡμῖν φησι περὶ ἀδυναμίας, καὶ ὁσαχῶς λέγεται ἡ δύναμις, τοσαυταχῶς δῆλον ὅτι καὶ ἡ ἀδυναμία. διό φησιν f. 230r ἀδυναμία δέ ἐστι στέρησις δυνάμεως καὶ τῆς τοιαύτης ἀρχῆς ἄρνησις, ἢ ὅλως τῷ μὴ πεφυκότι ἔχειν, ὡς εἰρήκαμεν, ἢ τῷ πεφυκότι ἔχειν καὶ ὅτε πέφυκεν ἔχειν. οὐ γὰρ ὁμοίως ἂν φαίημεν ἀδύνατον εἶναι γεννᾶν παῖδα καὶ ἄνδρα καὶ εὐνοῦχον· ὁ μὲν γὰρ μὴ πεφυκὼς ἔχειν οὐδέποτε ἴσχει ὁ εὐνοῦχος, ὁ δὲ παῖς τέως οὐ πέφυκεν, ὁ δὲ ἀνὴρ ἔχει πρὸς τοῦτο. ὡς δὲ καθ' ἑκατέραν δύναμίν ἐστιν ἀδυναμία ἀντικειμένη τῇ τε μόνον κινητικῇ καὶ τῇ καλῶς κινητικῇ. καὶ ἀδύνατα δὲ τὰ μὲν κατὰ τὴν ἀδυναμίαν ταύτην λέγονται τὴν ἤδη εἰρημένην ὑφ' ἡμῶν, τὰ δὲ ἄλλον τρόπον, οἷον δυνατόν τε καὶ ἀδύνατον. ἀδύνατον μὲν οὖ τὸ ἐναντίον, ὡς ἐν προτάσει, οὐκ ἔστι δυνατόν, ἀληθὲς δὲ ἐξ ἀνάγκης, οἷον τὸ τὴν διάμετρον σύμμετρον εἶναι ἀδύνατόν ἐστιν, ἐπειδὴ ψεῦδος ὑπάρχει τὸ τοιοῦτον, οὗτινος τὸ ἐναντίον οὐ μόνον ἀληθὲς ὑπάρχει, ἀλλὰ καὶ ἐξ ἀνάγκης τὸ ἀσύμμετρον εἶναι τὴν διάμετρον τῇ πλευρᾷ· ὥστε τὸ σύμμετρον οὐ μόνον ψεῦδος, ἀλλὰ καὶ ἐξ ἀνάγκης ψεῦδός ἐστι. τὸ δὲ ἐναντίον τούτῳ τὸ δυνατόν, ὅταν μὴ ἀναγκαῖον ὑπάρχῃ τὸ ἐναντίον ψεῦδος εἶναι, οἷον τὸ καθῆσθαι ἄνθρωπον δυνατόν· οὐ γὰρ ἐξ ἀνάγκης τὸ μὴ καθῆσθαι ψεῦδος ὑπάρχει. τὸ τοίνυν δυνατὸν καθ' ἕνα μὲν τρόπον, ὥσπερ εἰρήκαμεν, τὸ μὴ ἐξ ἀνάγκης ψεῦδος δηλοῖ, ὡς εἴρηται προσεχῶς. ἄλλον δὲ τὸ ἀληθὲς εἶναι, ἄλλον δὲ τὸ ἐνδεχόμενον ἀληθὲς ἤδη. κατὰ μεταφορὰν δὲ ἡ ἐν τῇ γεωμετρίᾳ λέγεται εἶναι δύναμις ὡς ποιητικὴ πᾶσα, ὡς εἴρηται ἡμῖν ἐν τῇ θεωρίᾳ. ταῦτα μὲν οὖν τὰ δυνατὰ τὰ ἐν λόγοις οὐ κατὰ δύναμιν ὑπάρχοντα, ἀλλὰ τὰ ἐν τοῖς πράγμασι. τὰ μέντοι γε πράγματα τὰ λεγόμενα κατὰ δύναμιν πάντα λέγονται πρὸς τὴν πρώτην ἀρχὴν ἢ f. 230v τὴν μίαν ἀντὶ τῆς πρώτης· διττὴ γὰρ φέρεται ἡ γραφή. αὕτη δέ ἐστιν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ, καθὸ ἄλλο, ἵνα εἴπῃ τὸ ποιητικὸν αἴτιον. τὰ γὰρ ἄλλα λέγονται δυνατὰ τῷ ἔχειν ἄλλο τι τοιαύτην δύναμιν τὰ δὲ τῷ μὴ ἔχειν, ὁμοίως δὲ καὶ τὰ ἀδύνατα. ὥστε ὁ κυρίως ὅρος τῆς πρώτης δυνάμεως εἴη ἂν τὸ μεταβλητικὸν ἐν ἄλλῳ, τουτέστι τὸ ποιητικόν· κυρίως γὰρ τὸ ποιοῦν λέγεται δύναμιν ἔχειν.

p. 1020a7 Ποσὸν λέγεται τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, ὧν ἑκάτερον ἢ ἕκαστον ἕν τι καὶ τόδε πέφυκεν εἶναι.

Ἐντεῦθεν περὶ τοῦ ποσοῦ ἡμῖν διαλέγεται, καί φησιν ὅτι τὸ ποσὸν διαιρετόν ἐστι κατ' ἐνέργειαν, καὶ οὐχ ὥσπερ τὸ γένος. διαιρετὰ μὲν γὰρ

---

8 ante ἴσχει fort. addendum τὴν δύναμιν 9 ἑκατέραν Aristoteles: ἑτέραν libri
36 γὰρ om. D

ὑπάρχουσι καὶ τὰ γένη, ἀλλ' οὐκέτι κατ' ἐνέργειαν· αἱ γὰρ διαφοραὶ καθ' ἃς διαιροῦνται, δυνάμει ὑπάρχουσιν ἐν τοῖς γένεσιν, ὥς φασιν οἱ Περιπατητικοί, καθάπερ μεμαθήκαμεν ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου. φησὶν οὖν ὅτι τόδε τὸ ποσὸν διαιρετόν ἐστι κατ' ἐνέργειαν καὶ διαιρεῖται διχῶς εἴς τε ἀριθμὸν καὶ μέτρον. τοῦ γὰρ ποσοῦ τὰ μὲν ἀριθμητὰ ὑπάρχουσι, τὰ δὲ μετρητά· καὶ τὰ μὲν ἀριθμητὰ ἀναφέρονται ὑπὸ τὸ διωρισμένον ποσόν, εἴ γε καὶ ὁ ἀριθμὸς τοῦ διωρισμένου ὑπάρχει ποσοῦ, ὡς ἐν ταῖς Κατηγορίαις μεμαθήκαμεν, τὰ μέντοι γε μετρητὰ ὑπὸ τὸ συνεχὲς ποσὸν τελοῦσι· μετρητὸν γάρ ἐστι τὸ συνεχές, οἷον τὸ δίπηχυ ἢ τὸ τρίπηχυ, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων συνεχῶν. πάλιν ἑτέραν ποιεῖται ὑποδιαίρεσιν, καί φησιν ὅτι τῶν ποσῶν τὰ μὲν καθ' αὑτὰ λέγονται, τὰ δὲ κατὰ συμβεβηκός· οἷον ἡ μὲν γραμμὴ ποσόν τι καθ' αὑτό, τὸ δὲ μουσικὸν κατὰ συμβεβηκός, διότι συνέβη τῷ τριπήχει ἀνθρώπῳ ποσῷ ὄντι καθό ἐστι τρίπηχυς, μουσικῷ εἶναι. πάλιν τῶν καθ' αὑτὸ τὰ μὲν κατ' οὐσίαν ὑπάρχουσι, τὰ δὲ πάθη. κατ' οὐσίαν ποσόν τί ἐστιν ἡ γραμμή· ἐν ⟨γὰρ⟩ τῷ ὁρισμῷ τῆς f. 231r γραμμῆς παραλαμβάνεται τὸ ποσόν, μέγεθός τι διαστατόν, οἱ δὲ ὁρισμοὶ οὐσιώδεις ὑπάρχουσι. τὰ δὲ πάθη καὶ [αἱ] ἕξεις τῆς τοιαύτης οὐσίας ὑπάρχουσιν, οἷον τὸ πολὺ καὶ τὸ ὀλίγον, καὶ τὸ μακρὸν καὶ τὸ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ βαρὺ καὶ κοῦφον, καὶ πάντα τὰ τοιαῦτα. ἰστέον δὲ ὅτι καὶ τὸ ⟨βαρὺ καὶ τὸ⟩ κοῦφον, καθὸ μεγέθη ὑπάρχουσι. καὶ βαρὺ μὲν λέγεται τὸ θᾶττον φερόμενον ἐπὶ τὸ κάτω, κοῦφον δὲ τὸ μὴ ὁμοίως φερόμενον· ἀμφότερα δὲ τοῦ ποσοῦ, εἴ γε πᾶν μέγεθος τοῦ ποσοῦ ὑπάρχει. δυνατὸν δέ ἐστιν ὑπὸ τὸ ποιὸν αὐτὰ τελεῖν, καθὸ διακρίνει τὰς οὐσίας· τοιαύτη δέ ἐστιν ἡ φύσις τοῦ ποιοῦ. διὸ καὶ ἐν Κατηγορίαις ἐλέγετο περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζειν· οὕτως γάρ φαμεν τὴν μὲν γῆν βαρεῖαν εἶναι, τὸ δὲ πῦρ κοῦφον. ἔστι δὲ καὶ τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον καὶ καθ' αὑτὰ λεγόμενα τοῦ ποσοῦ καὶ πρὸς ἄλληλα· ὥστε κυρίως τοῦ ποσοῦ ταῦτα βούλεται εἶναι, εἴ γε [εἶναι] καὶ καθ' αὑτὰ λεγόμενα τοῦ ποσοῦ ὑπάρχουσι καὶ πρὸς ἄλληλα. καὶ ἐντεῦθεν λαβόντες οἱ ἐξηγηταὶ αὐτοῦ ἀπεφήναντο αὐτὰ εἶναι τοῦ ποσοῦ, καὶ οὐκ ἔστιν ἀνάπλασμα αὐτῶν· ὅμως μέντοι γε δυνατὸν αὐτὰ τῶν πρός τι εἶναι, καθὸ πρὸς ἕτερον λέγονται. οὐ κυρίως μέντοι γε, ὡς ἔδειξεν ἐνταῦθα ὁ λόγος. τῶν δὲ κατὰ συμβεβηκὸς λεγομένων ποσῶν τὰ μὲν οὕτω λέγονται. ὥσπερ εἰρήκαμεν, ἐπειδή φαμεν τὸν τρίπηχυν ἄνθρωπον εἶναι μουσικόν, τὰ δὲ ὡς κίνησις καὶ χρόνος καὶ ὅσα ἄλλα λέγονται εἶναι συνεχῆ διὰ τὸ εἶναι τὸ μέγεθος διαιρετόν· ἐκ δὲ τοῦ μεγέθους ἔχουσι τὴν συνέχειαν καὶ τὴν διαίρεσιν, καθάπερ εἴρηται καὶ ἐν τῇ Φυσικῇ καὶ ἐν Κατηγορίαις.

Πληρώσας τοίνυν τὸν περὶ τοῦ ποσοῦ λόγον ἐφεξῆς μετέρχεται ἐπὶ τὸ ποιόν, καί φησιν ὅτι τετραχῶς τὸ ποιόν. πρῶτον μὲν τὸ ἐν τῇ οὐσίᾳ f. 231v

3 ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου] c. 3 p. 11,4 Busse 7 ἐν ταῖς Κατηγορίαις] c. 6 p. 4b22 sqq. 15 γὰρ addidi 17 αἱ delevi 20 βαρὺ καὶ τὸ addidi 24 ἐν Κατηγορίαις] c. 5 p. 3b20 ἐλέγετο] fort. addendum τὸ εἶδος 28 εἶναι delevi 37 καὶ ἐν τῇ Φυσικῇ καὶ ἐν Κατηγορίαις] Phys. Δ 11 p. 219a12 Cat. 6 p. 4b23 sqq.

θεωρούμενον, οἷον τὰς διαφοράς, φημὶ δὴ τὸ λογικὸν καὶ τὸ ἄλογον. χρὴ γὰρ εἰδέναι, ὡς πολλάκις μεμαθήκαμεν, ὅτι ὁμωνύμως κατηγορεῖται τὸ ὄν καὶ τὸ ἓν τῶν δέκα κατηγοριῶν· εἰ γὰρ μὴ ὁμωνύμως αὐτῶν κατηγορεῖτο, τῷ ὄντι ἑκάστη τῶν κατηγοριῶν ἰδιάζουσαν ἂν εἶχεν ὕπαρξιν καὶ οὐκ
5 ἐδέετο τῆς οὐσίας. νυνὶ δὲ πᾶσαι ἐν τῇ οὐσίᾳ θεωροῦνται. ἐπειδή, καθὸ οὐσίαι ὑπάρχουσι τὰ πράγματα τὰ ἐν γενέσει καὶ φθορᾷ, ἀλλήλων διαφέρουσι, φανερὸν ὅτι ἡ διαφορὰ αὐτοῖς προσγίνεται ἐκ τῆς ποιότητος, καὶ παγκάλως ἐν Κατηγορίαις ἐλέγετο περὶ τῶν τοιούτων διαφορῶν ὅτι περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζουσι, τουτέστι τὸ λογικὸν καὶ τὸ ἄλογον. καὶ ἔστι
10 πρώτη ἡ τοιαύτη ποιότης ἡ ἐν τῇ οὐσίᾳ θεωρουμένη, καθάπερ ἔλεγε, τὸ λογικὸν καὶ τὸ ἄλογον· δευτέρα δὲ ποιότης ἐστὶν ἡ ἐν τοῖς ἀριθμοῖς θεωρουμένη, καθάπερ φησὶν αὐτός, ἢ σύνθετοι. ἐὰν γὰρ εἴπω ἅπαξ ἓξ ἓξ ἐστι, φανερὸν ὅτι τοῦτο κοινόν ἐστι πάντων τῶν ἀριθμῶν· ἐπὶ πάντων γὰρ λέγεται τὸ ἅπαξ· τὸ μέντοι γε λέγειν δὶς τρεῖς ἓξ καὶ τρὶς πέντε δεκα-
15 πέντε, τοῦτο οὐκ ἐπὶ πάντων θεωρεῖται. τρίτον σημαινόμενον τοῦ ποιοῦ, ὅπερ καὶ κυρίως ἐστί, τὰ πάθη, ὥς φησιν αὐτός, τῶν κινουμένων οὐσιῶν, οἷον θερμότης ψυχρότης, λευκότης μελανία, βαρύτης κουφότης. ἰδοὺ καὶ ἐνταῦθα ἔταξε τὴν βαρύτητα καὶ τὴν κουφότητα, καθάπερ ἄνω ἐλέγομεν. τέταρτον τὸ κατὰ τὴν ἀρετὴν καὶ τὴν κακίαν, καὶ ὅλως τὸ κακὸν καὶ τὸ
20 ἀγαθόν. ταῦτα δὲ πάντα εἰς δύο τρόπους ἀναφέρονται τοὺς καθολικωτάτους· πρώτη μὲν γὰρ καὶ κυρίως ποιότης ἡ ἐν τῇ οὐσίᾳ θεωρουμένη, δευτέρα δὲ ἡ ἐν τοῖς ἀριθμοῖς.

Ταῦτα εἰρηκὼς μετέρχεται ἐπὶ τὸν λόγον τῶν πρός τι, καί φησιν f. 232r
ὅτι τριχῶς λέγονται τὰ πρός τι· τὰ μὲν καθ' ὑπεροχὴν καὶ ἔλλειψιν, τὰ
25 δὲ ὡς τὸ ποιητικὸν καὶ τὸ παθητικόν, τὰ δὲ ὡς τὸ κρῖνον καὶ τὸ κρινόμενον. καὶ εἰκότως τὰ τοιαῦτα εἶπε τῶν πρός τι, εἰ καὶ ἐπταχῶς διαιροῦμεν ἐν Κατηγορίαις, ἐπειδὴ κυρίως ταῦτα ὑπάρχουσιν. ἡ μὲν γὰρ ὑπεροχὴ καὶ ἔλλειψις θεωρεῖται ἐν τοῖς νοητοῖς, περὶ ὧν τὸν λόγον ποιεῖται ὁ ἐπιστήμων· τὰ μὲν γὰρ ὑπερέχουσι, τὰ δὲ ἐλλείπουσι. πάλιν ἐπὶ
30 τῶν ἐν γενέσει καὶ φθορᾷ τὰ μὲν ποιοῦσι τὰ δὲ πάσχουσι. καὶ τὸ κρῖνον καὶ τὸ κρινόμενον ὡς ἐπιστήμη καὶ ἐπιστητόν, ἄνευ δὲ ἐπιστήμης οὐ δύναταί τι τούτων εἰδέναι. εἶτα λοιπόν φησιν ὅτι τῶν καθ' ὑπεροχὴν καὶ ἔλλειψιν τὰ μὲν ὡρισμένα ὑπάρχουσι, τὰ δὲ ἀόριστα· ὡρισμένα δὲ ἐν ἀριθμοῖς. τὰ δὲ οὐδὲ ἐν ἀριθμοῖς ὡρισμένα, οἷον διπλάσιον καὶ ἥμισυ
35 ὡρισμένα ὑπάρχουσι κατὰ ὑπεροχὴν καὶ ἔλλειψιν ὄντα. τὸ δὲ πολλαπλάσιον ἀόριστόν ἐστιν· οὐκ ἴσμεν γὰρ πόσον ἐστίν, εἴτε δίπλασιον εἴτε τριπλάσιον ἢ καὶ ἄλλως πως· ὅμως δὲ ἐν ἀριθμοῖς ἔχει τὸ εἶναι. τὸ μέντοι γε ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον ὅλως ἀόριστον ὑπάρχει κατ' ἀριθμόν, καὶ ἐν τοῖς ἄλλοις δὲ ἅπασιν. εἰ γὰρ δῶμεν αὐτῷ μέτρον ὡρισμέ-

---

2 κατηγορεῖ D 4 ἔχειν D 5 ἐδεέτο] sic libri fort. ἐπεὶ δὲ 8 ἐν Κατηγορίαις] c. 5 p. 3b20 9 καὶ ἔστι—ἄλογον (11) om. D 12 ἢ σύνθετοι scripsi: ἡ σύνθετος libri 17 λευκότης om. D 29 πάλιν—ποιοῦσι (30) om. D 34 οὐδὲ scripsi: οὔτε libri

νον, οὐκέτι γίνεται ὑπερέχον. ἀλλ' ἢ διπλάσιον ἢ τριπλάσιον. θεωρεῖται δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων τοῦτο. τὰ δὲ ποιητικὰ καὶ παθητικὰ λέγονται κατὰ δύναμιν ποιητικὴν καὶ παθητικήν, οἷον τὸ θερμαῖνον πρὸς τὸ θερμαινόμενον, ὅτι τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει. λέγονται δὲ καὶ κατὰ χρόνους τὰ πρός τι, ὥσπερ ἐπὶ πατρὸς καὶ υἱοῦ· λέγεται γὰρ τὸ μὲν ποιητικὸν τὸ δὲ παθητικὸν ὡς πρὸς τὸν παρελθόντα χρόνον· τὸ μὲν γὰρ γέγονε ποιητικὸν τὸ δὲ παθητικόν. εἶτα λοιπὸν λέγει ἡμῖν περὶ τοῦ κρίνοντος καὶ τοῦ κρινομένου, ὥσπερ ἐπιστήμη καὶ τὸ ἐπιστητόν. εἰδέναι μέντοι γε χρὴ ὅτι ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐν ἀλλήλοις ταῦτα θεωροῦνται, ἐπὶ μέντοι γε τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ οὐκέτι ὁμοίως ἔχει. λέγεται f. 232v μὲν γὰρ ἡ ἐπιστήμη ἐπιστητοῦ εἶναι ἐπιστήμη, ἐπειδὴ ἡ ἐπιστήμη τὸ εἶναι ἔχει ἐν τῷ ἐπιστητῷ· ἐπὶ μέντοι γε τοῦ ἀνάπαλιν, ἡνίκα φαμὲν 'τὸ ἐπιστητὸν ἐπιστήμη ἐστὶν ἐπιστητόν', οὐχ οὕτως λέγομεν ὡς τοῦ ἐπιστητοῦ τὸ εἶναι ἔχοντος ἐν τῇ ἐπιστήμῃ (οὔτε γὰρ ἐνέργεια τοῦ ἐπιστητοῦ ἐστιν ἡ ἐπιστήμη οὔτε ἕξις οὔτε ἄλλο τι), ἀλλ' οὕτως ἐν ἐκείνῃ θεωρουμένου, ὥσπερ λέγομεν τὸν ἄνθρωπον λευκὸν εἶναι, καίτοι τοῦ λευκοῦ τὸ εἶναι ἔχοντος ἐν τῷ ἀνθρώπῳ. ὥσπερ οὖν αἱ οὐσίαι καὶ τὰ συμβεβηκότα· μιμεῖται γὰρ τὸ μὲν ἐπιστητὸν τὰς οὐσίας, ἡ δὲ ἐπιστήμη τὰ συμβεβηκότα, καθὸ ἐν τῷ ἐπιστητῷ ἔχει τὴν ὕπαρξιν. εἶτά φησιν ὅτι δεῖ τὸ ἐπιστητὸν πρὸς τὴν ἐπιστήμην ἀποδίδοσθαι καὶ τὴν ἐπιστήμην πρὸς τὸ ἐπιστητόν· οὔτε γὰρ πρὸς τὸν ἐπιστήμονα. εἰ γὰρ οὕτως εἴπωμεν, συμβήσεται ἡμᾶς ἀδολεσχεῖν δὶς τὸ αὐτὸ λέγοντας. οἷον ἐρωτῶντές φαμεν 'τίνος ἐστὶν οὗ ἐστιν ἐπιστήμη;' εἶτα λοιπὸν ἀποκρίνεται ἐκεῖνος λέγων ὅτι οὗ ἐστιν ἐπιστήμη, ὥστε συμβήσεται δὶς τὸ αὐτὸ λεχθῆναι. εἰ οὖν λέγοιτο τὸ ἐπιστητὸν πρὸς τὸν ἐπιστήμονα, ὡς πρὸς τὴν αὐτοῦ ἐπιστήμην λεχθείη ἄν· οὐ γὰρ πρὸς τὸν ἐπιστήμονα διὰ τὸ εἰρημένον ἄτοπον. ὁμοίως δὲ καὶ ἡ ἐπιστήμη πρὸς τὸ ἐπιστητόν.

p. 1020a7 Ποσὸν λέγεται τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, ὧν ἑκάτερον ἢ ἕκαστον.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι ποσὸν λέγεται τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, τουτέστι κατ' ἐνέργειαν, ὧν ἑκάτερον ἢ ἕκαστον (ταὐτὸν γὰρ δηλοῖ, εἴτε ἑκάτερον εἴποις εἴτε ἕκαστον) ὧν οὖν ἑκάτερον ἢ ἕκαστον ἕν τι δηλοῖ καὶ τόδε τι πέφυκεν εἶναι. τὸ οὖν πλῆθος ποσόν τι ὑπάρχει, ἐὰν ἀριθμητὸν ὑπάρχῃ, τουτέστι διωρισμένον, μέγεθος δὲ συνεχές, ἐὰν μετρητόν. διὸ ἑαυτὸν ἐπεξηγούμενός φησιν ὅτι λέγεται δὲ πλῆθος μὲν τὸ διαιρετὸν δυνάμει εἰς μὴ συνεχῆ μεγέθη (οἱ γὰρ δέκα ἵπποι πλῆθος ὄντες f. 233r διῃρημένοι μεγέθει ὑπάρχουσι) μέγεθος δὲ τὸ εἰς συνεχῆ μεγέθη. μεγέθους δὲ τὸ μὲν ἐφ' ἓν συνεχὲς λέγεται εἶναι μῆκος, τὸ δὲ ἐπὶ δύο πλά-

1 ἢ τριπλάσιον om. D 10 τῆς et καὶ om. D 12 ἐπὶ—ἐπιστητὸν (13) om. D
13 ἐπιστητόν scripsi: ἐπιστητῶν libri 15 ἀλλ' οὕτως ἐν ἐκείνῃ θεωρουμένου scripsi: ἀλλ' ὡς ἐν ἐκείνω θεωρουμένη libri 28 ἐνυπάρχοντα Aristoteles: ἐνυπάρχον libri

τος, τὸ δὲ ἐπὶ τρία βάθος· τούτων δὲ πλῆθος μὲν πεπερασμένον ἀριθμὸς ὑπάρχει, μῆκος δὲ γραμμή, πλάτος δὲ ἐπιφάνεια, βάθος δὲ σῶμα.

p. 1020a14 Ἔτι τὰ μὲν λέγεται καθ' αὑτὰ ποσὰ ἄττα.

Ἐντεῦθεν ἑτέραν ἡμῖν διαίρεσιν τοῦ ποσοῦ παραδίδωσι, καί φησιν ὅτι τῶν ποσῶν τὰ μὲν λέγονται καθ' αὑτὰ τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἡ μὲν γραμμὴ λέγεται ποσόν τι καθ' αὑτό, τὸ δὲ μουσικὸν κατὰ συμβεβηκός, καθάπερ εἰρήκαμεν ἐν τῇ θεωρίᾳ.

p. 1020a17 Τῶν δὲ καθ' αὑτό.

Τοῦ πρώτου ἡ ἐπιδιαίρεσις· τῶν καθ' αὑτὸ ποσῶν τὰ μὲν κατ' οὐσίαν ὑπάρχουσιν, οἷον ἡ γραμμὴ ποσόν τι (ἐν γὰρ τῷ λόγῳ τῷ τί ἐστι λέγοντι, τουτέστι τῷ δηλοῦντι τὴν οὐσίαν τοῦ πράγματος, τὸ ποσὸν ὑπάρχει), τὰ δὲ πάθη καὶ ἕξεις τῆς τοιαύτης οὐσίας ὑπάρχουσιν, οἷον τὸ πολὺ καὶ τὸ ὀλίγον, καὶ μακρὸν καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ βαθὺ καὶ ταπεινόν, βαρὺ καὶ κοῦφον, καὶ τὰ ἄλλα τὰ τοιαῦτα. ἔστι δὲ καὶ τὸ μέγα καὶ τὸ μικρόν, καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον, καὶ καθ' αὑτὸ καὶ πρὸς ἄλληλα λεγόμενα τοῦ ποσοῦ καθ' αὑτά· μεταφέρονται μέντοι γε καὶ ἐπ' ἄλλα ταῦτα τὰ ὀνόματα. φαμὲν γὰρ μεγάλην εἶναι τὴν πρᾶξιν καὶ μέγαν τὸν πυρετόν, ὡς ἐν Κατηγορίαις ἐλέγετο ὅτι λέγομεν τὸ λευκὸν πολὺ εἶναι τῷ τὴν ἐπιφάνειαν πολλὴν εἶναι ἐν ᾗ θεωρεῖται. τὸ δὲ κατὰ συμβεβηκὸς λεγόμενον ποσὸν τὸ μὲν οὕτως λέγεται, ὥσπερ ἐλέχθη ὅτι τὸ μουσικὸν ποσὸν καὶ τὸ λευκόν, τῷ εἶναι ποσόν τι ᾧ ὑπάρχουσι πράγματι (λέγομεν γὰρ τὸν ἄνθρωπον λευκὸν κατὰ συμβεβηκός, ἐπειδὴ συμβέβηκε τῷ ποσῷ τὸ λευκὸν ὥσπερ καὶ τὸ μουσικόν), τὰ δὲ ὡς κίνησις καὶ χρόνος· καὶ ταῦτα f. 233v καὶ ποσὰ εἶναι λέγονται καὶ συνεχῆ τῷ ἐκεῖνα διαιρετὰ εἶναι τὰ μεγέθη, ὧν μεγεθῶν πάθη ταῦτα ὑπάρχουσι. λέγω δὴ οὐ τὸ κινούμενον, οἷον τὴν λεύκανσιν, ἀλλ' ὃ ἐκινήθη, τοῦτο εἶναι διαιρετόν, τουτέστι τὸ μέγεθος· τῷ γὰρ ποσὸν εἶναι ἐκεῖνο τὸ μέγεθος λέγεται εἶναι ποσὴ καὶ ἡ κίνησις, ὁ δὲ χρόνος τῷ τοιαύτην εἶναι τὴν κίνησιν, διὰ μέσης τῆς κινήσεως, ὡς εἴρηται ἐν Κατηγορίαις.

p. 1020a33. Τὸ ποιὸν λέγεται ἕνα μὲν τρόπον ἡ διαφορὰ τῆς οὐσίας.

Πληρώσας τὸν περὶ τοῦ ποσοῦ λόγον καὶ κάλλιστα ἡμῖν τεχνολογήσας αὐτὸν μετέρχεται ἐντεῦθεν ἐπὶ τὸν περὶ τοῦ ποιοῦ λόγον, καί φησιν ὅτι τὸ

---

1 πεπερασμένον Aristoteles: πεπερασμένους libri 3 ἔτι Aristoteles: ἐπεὶ libri 8 lemma usque ad πρώτου (9) extendunt libri τῶν δὲ scripsi: cf. quae proxime sequuntur v. 9 et Metaph. 1020a17 14 τὰ (ante τοιαῦτα) om. D 16 λεγόμενα Aristoteles: λέγομεν libri 18 ἐν Κατηγορίαις c. 6 p. 5b1 29 ἐν Κατηγορίαις] immo Phys. Δ 11 p. 219a11 sqq.

ποιὸν λέγεται ἕνα μὲν τρόπον ἡ διαφορὰ τῆς οὐσίας, ὥσπερ ὁ ἄνθρωπος ποιόν τί ἐστι ζῷον, ἐπειδὴ δίπουν ἐστί (κατ' αὐτὸ γὰρ διακρίνεται τῶν τετραπόδων), ἵππος δὲ ὅτι τετράπουν, καὶ κύκλος ποιόν τι σχῆμα ὅτι ἀγώνιον, ὡς τῆς διαφορᾶς τῆς κατὰ τὴν οὐσίαν ποιότητος οὔσης. ἰδοὺ σαφῶς ἐνταῦθα ἡρμήνευσε τὸ 'περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει'. ὥστε ἕνα τρόπον τοῦτον ἡ ποιότης διαφορὰ οὐσίας ὑπάρχουσα, ἄλλον δὲ ὡς τὰ ἀκίνητα καὶ τὰ μαθήματα (περὶ γὰρ τούτων ἔλεγον οἱ Πυθαγόρειοι ὅτι οὐ κατὰ ἀφαίρεσιν θεωροῦνται ἀλλ' ὅτι ἔχουσιν οἰκείαν ὕπαρξιν, ὥσπερ οἱ ἀριθμοὶ ποιοί τινες ὑπάρχουσιν οἱ σύνθετοι καὶ ⟨μὴ μόνον⟩ ἐφ' ἓν ὄντες ἀλλ' ὧν μίμημά ἐστι τὸ ἐπίπεδον καὶ τὸ στερεόν. τοιῶσδε γὰρ πολυπλασιασθέντες ποιοῦσι τὸν ἐπίπεδον ἀριθμόν, τοιῶσδε τὸν στερεόν, καθάπερ ἐν τῇ ἀριθμητικῇ μεμαθήκαμεν. οὗτοι δέ εἰσιν οἱ ποσάκις ποσοὶ ἢ ποσάκις ποσάκις ποσοί· ἀριθμὸς γὰρ ἐφ' ἑαυτὸν πολυπλασιασθεὶς ποτὲ μὲν γεννᾷ ἐπίπεδον ποτὲ δὲ στερεόν. καὶ ὅλως ὅπερ ἄποσον ὑπάρχει ἐν τῇ οὐσίᾳ τοῦ ἀριθμοῦ· οὐσία γὰρ ἑκάστου τὸ ἅπαξ, τουτέστι τὸ ἕν, f. 234r ὅπερ οὐκ ἔστι τοῦ ποσοῦ, οἷον τῶν ἓξ οὐχ ὁ δὶς ἢ τρὶς ὑπάρχουσιν, ἀλλ' ὁ ἅπαξ· ἓξ γὰρ ἅπαξ. ὥστε κατὰ τοῦτο κοινωνοῦσι. διαφέρουσι ⟨δὲ⟩ κατὰ τὸ δὶς τρεῖς, τρὶς δύο, τετράκις πέντε καὶ τὰ ἄλλα ὅσα εἴρηται ἐν τῇ θεωρίᾳ.

p. 1020b8 · Ἔτι ὅσα πάθη τῶν κινουμένων οὐσιῶν.

Ἐντεῦθεν ἐπὶ τὸ τρίτον μετῆλθε σημαινόμενον τῆς ποιότητος. καί φησιν ὅτι ἔτι ὅσα πάθη τῶν κινουμένων οὐσιῶν, οἷον θερμότης ψυχρότης, λευκότης μελανία, βαρύτης κουφότης, καὶ ὅσα τοιαῦτα, καθ' ἃς ποιότητας καὶ ἀλλοιοῦνται τὰ σώματα, μεταβαλλουσῶν τῶν ποιοτήτων τούτων. ἔτι κατ' ἀρετὴν καὶ κακίαν καὶ ὅλως τὸ κακὸν καὶ τὸ ἀγαθόν. οὗτοι δὲ οἱ τέσσαρες τρόποι εἰς δύο ἀναφέρονται τοὺς καθολικωτάτους, καὶ τούτων ἕνα τὸν κυριώτατον. πρώτη μὲν γὰρ ποιότης ἐστὶν ἡ τῆς οὐσίας διαφορά. ταύτης δ' ἐστὶ καὶ ἡ ἐν τοῖς ἀριθμοῖς ποιότης μέρος· διαφορὰ γὰρ καὶ αὕτη τις οὐσιῶν. ⟨ἀλλ' ἢ οὐ⟩ κινουμένων ἢ οὐχ ᾗ κινούμενα· οὔτε γὰρ τὰ ἀριθμητὰ ποιότητα ἔχουσιν ἐν ἑαυτοῖς, καθὸ κινούμενα ὑπάρχουσι * * * καὶ αἱ τῶν κινήσεων διαφοραί, οἷον κυκλότερὲς καὶ κατ' εὐθύ. ἀρετὴ μέντοι γε καὶ κακία τῶν παθημάτων μέρος τι ὑπάρχουσι· διαφορὰς γὰρ δηλοῦσι τῆς κινήσεως καὶ τῆς ἐνεργείας, καθ' ἃς ποιοῦσιν ἢ πάσχουσι καλῶς ἢ φαύλως τὰ ἐν κινήσει ὄντα πράγματα· τὸ μὲν γὰρ τοιῶσδε δυνάμενον κινεῖσθαι ἢ ἐνεργεῖν ἀγαθὸν λέγεται, οἷον τὸ βαδίζειν ὀξέως, τὸ δὲ ἐναντίως μοχθηρόν. μάλιστα δὲ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐπὶ τῶν ἐμψύχων τὸ ποιὸν

---

2 ποιόν τι Aristoteles: ποιητικόν libri 3. 4 ἀγώνιον Aristoteles: ἀμίνιον libri 5 περὶ οὐσίαν κτλ.] Categ. 5 p. 3b20 6 ἡ om. D 9 μὴ μόνον ex Aristote addidi 9. 10 ἐφ' ἓν ὄντες Aristoteles: ἐμφαίνοντες libri 14 ὃ παρὰ τὸ ποσὸν Aristoteles 16 οὐκέτι D 18 τρὶς τρεῖς D 24 ἔτι Aristoteles: τὸ libri 27 ἡ om. D 28 ἀλλ' ἢ οὐ ex Aristote addidi οὐχ ᾗ Aristoteles: οὐχὶ libri 29 excidit τὰ δὲ πάθη τῶν κινουμένων ᾗ κινούμενα 31 μαθημάτων libri 32 καλῶς Aristoteles: κακῶς libri

δηλοῖ, καὶ τούτων μάλιστα ἐπὶ τοῖς ἔχουσι προαίρεσιν· τὴν γὰρ εὖ ἔχουσαν ψυχὴν λέγομεν πεποιῶσθαι πρὸς τὸ ἀγαθόν, τὸν δὲ πρὸς τὸ κακόν.

p. 1020ᵇ26 Πρός τι λέγεται τὰ μὲν ὡς διπλάσια πρὸς ἥμισυ.

Πληρώσας τὸν λόγον τὸν περὶ τοῦ ποιοῦ, ἐντεῦθεν λέγει ἡμῖν περὶ τῶν πρός τι, καί φησιν οὕτως, ὅτι πρός τι λέγεται τὸ μὲν ὡς διπλά- f.234v σιον πρὸς ἥμισυ, καὶ τριπλάσιον πρὸς τριτημόριον, καὶ ὅλως τὸ πολλαπλάσιον πρὸς τὸ πολλοστημόριον, ὅπερ καὶ ἄδηλόν ἐστι, καὶ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον, τὰ τρία εἴδη τῆς ὑπεροχῆς καὶ τῆς ἐλλείψεως. τὰ δὲ ὡς τὸ θερμαντικὸν πρὸς τὸ θερμαντόν, ὥσπερ πῦρ πρὸς λίθον, καὶ τμητικὸν πρὸς τὸ τμητόν, ὥσπερ σίδηρος καὶ σῶμα. καὶ ὅλως τὸ ποιητικὸν πρὸς τὸ παθητικόν. τὰ δὲ ὡς τὸ μετρητὸν πρὸς τὸ μέτρον καὶ τὸ ἐπιστητὸν πρὸς ἐπιστήμην καὶ αἰσθητὸν πρὸς αἴσθησιν. λέγονται οὖν τὰ μὲν πρῶτα κατ' ἀριθμὸν ἢ ἁπλῶς ἢ ὡρισμένως πρὸς αὐτὸν ἢ πρὸς ἕνια· τὸ μὲν διπλάσιον πρὸς ἓν ἀριθμὸς [ὡρισμένος] ὑπάρχει ὡρισμένος, τὸ δὲ πολλαπλάσιον πρὸς ἓν κατ' ἀριθμὸν λέγεται, οὐ μέντοι γε ὡρισμένον, οἷον τόνδε ἢ τόνδε. πάλιν δὲ τὸ ἡμιόλιον πρὸς τὸ ὑφημιόλιον, τουτέστι τὰ ἓξ πρὸς τὰ τέσσαρα, κατ' ἀριθμὸν λέγεται πρὸς ἀριθμὸν ὡρισμένον· τὸ δὲ ἐπιμόριον πρὸς τὸ ὑπεπιμόριον κατὰ ἀόριστον· οὔτε γὰρ καταμετρεῖ τὸ ὅλον ὑπὸ μεγέθους, ἐπειδὴ οὐκ ἀπαρτίζει εἰς τέλειον· κατὰ ἀόριστον δὲ ὡς τὸ πολλαπλάσιον πρὸς τὸ ἕν. τὸ μέντοι γε ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ὅλως ἀόριστον ὑπάρχει κατ' ἀριθμόν· ὁ γὰρ ἀριθμὸς σύμμετρος ὑπάρχει, κατὰ μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται. τὸ γὰρ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον τοσοῦτόν τέ ἐστι καὶ ⟨ἔτι⟩, τοῦτο ⟨δ'⟩ ἀόριστον· ὁπότερον γὰρ ἔτυχεν ἔστιν, ἢ ἴσον ἢ οὐκ ἴσον· σαφῶς δὲ τοῦτο ἐν τῇ θεωρίᾳ ἐξεθέμεθα.

p. 1021ᵃ8 Ταῦτα οὖν τὰ πρός τι πάντα κατ' ἀριθμὸν λέγεται.

Φησὶν ὅτι ταῦτα πάντα τὰ πρός τι εἰρημένα κατ' ἀριθμὸν λέγονται καὶ ἀριθμοῦ πάθη· φησὶν δὲ ὅτι καὶ τὸ ἴσον καὶ τὸ ὅμοιον κατ' ἀριθμὸν λέγονται, κατ' ἄλλον μέντοι γε τρόπον. θεωρεῖται γὰρ τὸ ἓν καὶ ἐν τῷ ἴσῳ καὶ ἐν τῷ ὁμοίῳ· ἴσα γὰρ λέγονται κατὰ τὸ ἓν καὶ ὅμοια, καθὸ f.235r ἕν τι ἔχουσιν ἐν ἑαυτοῖς, τὸ δὲ ἓν τοῦ ἀριθμοῦ ἐστιν ἀρχή. τοῦτο οὖν ἐστιν ὃ λέγει ὅτι καὶ τὸ ἴσον καὶ τὸ ὅμοιον κατ' ἄλλον τρόπον λέγονται εἶναι τοῦ ἀριθμοῦ· κατὰ γὰρ τὸ ἓν λέγεται. ταὐτὰ μὲν γὰρ πάντα ὑπάρχουσιν ὧν * * * ἕν ἐστι τὸ ποσόν· τὸ δὲ ἓν τοῦ ἀριθμοῦ ἐστιν ἀρχὴ

3 πρὸς ἥμισυ scripsi coll. v. 6 et Metaph. p. 1020ᵇ26: τοδὲ ὡς libri 8 τὰ τρία] fort. ταῦτα τὰ τρία 15 ἀριθμὸς Aristoteles: ἀριθμῷ libri ὡρισμένος delevi 19 fort. καταμετρεῖται 20 κατὰ scripsi coll. v. 18. 19 et Metaph. p. 1021ᵃ3: καὶ τὸ libri 22 κατ' ἀριθμὸν — ὑπάρχει om. D 24 ἔτι et δ' ex Aristotele addidi 33 ταὐτὰ scripsi: ταῦτα libri 34 addendum ex Aristotele μία ἡ οὐσία, ὅμοια δὲ ὧν ἡ ποιότης μία, ἴσα δὲ ὧν

καὶ μέτρον. ὥστε ταῦτα πάντα πρός τι λέγονται κατ' ἀριθμόν, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον.

p. 1021ᵃ14 Τὰ δὲ ποιητικὰ καὶ παθητικά.

Ὃ λέγει τοῦτό ἐστιν ὅτι τὰ ποιητικὰ καὶ παθητικὰ κατὰ δύναμιν λέγονται ποιητικὴν καὶ παθητικὴν καὶ ἐνέργειαν τῶν δυνάμεων, οἷον τὸ θερμαῖνον πρὸς τὸ θερμαινόμενον, ὅτι δύναται, καὶ τὸ τέμνον πρὸς τὸ τεμνόμενον ὡς ἐνεργοῦν. τῶν δὲ κατ' ἀριθμὸν οὔκ εἰσιν ἐνέργειαι. καθὸ ἀριθμοὶ ὑπάρχουσι· ποία γάρ ἐστιν ἐνέργεια τοῦ ἀριθμοῦ, καθὸ ἀριθμός ἐστιν; ἀλλὰ καθ' ὃν τρόπον ἔχουσιν ἐνέργειαν, ἐν ἑτέροις εἴρηται. λέγει δὲ αὐτῶν τῶν ἀριθμῶν ἐνεργείας, καθὸ ὅλως νοούμενα ὑπάρχουσι· τὴν οὖν νόησιν τὴν περὶ αὐτῶν ἐνέργειαν ἐκάλεσεν· ἢ ὅτι ἔχουσιν ἐνέργειαν καὶ οἱ ἀριθμοί, καθάπερ φασὶν οἱ Πυθαρόρειοι, διὸ καὶ δρῶσιν ἡ ἑβδόμη καὶ ἡ τετάρτη. καὶ ἐν τοῖς νοήμασι καὶ ἐν τοῖς ἄλλοις πᾶσιν ὁρῶμεν τὰ τοιαῦτα γινόμενα· αἱ μέντοι γε κατὰ κίνησιν ἐνέργειαι οὐχ ὑπάρχουσιν· οὔτε γὰρ κινοῦνται οἱ ἀριθμοὶ καθὸ ἀριθμοί. τῶν δὲ κατὰ δύναμιν καὶ κατὰ χρόνον ἤδη λέγονται πρός τι, οἷον τὸ πεποιηκὸς πρὸς τὸ πεποιημένον ὡς ἐπὶ τοῦ παρελθόντος χρόνου, καὶ τὸ ποιῆσον πρὸς τὸ ποιησόμενον. οὕτως γὰρ λέγεται καὶ πατὴρ υἱοῦ πατήρ· τὸ μὲν γὰρ πεποιηκός ἐστι, τὸ δὲ πεπονθός τι. ἔτι δὲ ἔνια λέγονται κατὰ στέρησιν δυνάμεως, ὥσπερ τὸ ἀδύνατον καὶ ὅσα οὕτως λέγεται, οἷον τὸ ἀόρατον πρὸς τὸ ὁρατόν. τὰ τοίνυν κατ' ἀριθμὸν καὶ δύναμιν λεγόμενα πρός τι πάντα ὑπάρχουσι f. 235v πρός τι τῷ ὅπερ ἐστὶν ἄλλου λέγεσθαι αὐτὸ ὅπερ ἐστίν, ἀλλὰ μὴ τῷ ἄλλο πρὸς ἐκεῖνο· ἔστι γὰρ ὁ πατὴρ πρὸς τὸν υἱὸν καὶ ὁ υἱὸς πρὸς τὸν πατέρα, καὶ οὐκέτι πρὸς ἄνθρωπον, εἰ τύχοι. τὸ δὲ μετρητὸν καὶ τὸ ἐπιστητὸν καὶ τὸ διανοητὸν τῷ ἄλλα πρὸς αὐτὰ λέγεσθαι πρός τι λέγονται· τό τε γὰρ διανοητὸν δηλοῖ ὅτι ἔστιν αὐτοῦ διάνοια, οὐκ ἔστι δὲ ἡ διάνοια πρὸς τοῦτο οὗ ἐστι διάνοια, τουτέστι πρὸς τὸν διανοούμενον ἄνθρωπον, ἀλλὰ πρὸς τὸ διανοητὸν αὐτό. εἰ γὰρ πρὸς τὸν ἔχοντα τὴν διάνοιαν ἐλέγετο, οἷς ἂν ταὐτὸν εἰρημένον ὑπῆρχε, καθάπερ ἐν τῇ θεωρίᾳ ἐδείξαμεν. ὁμοίως δὲ καὶ τίνος ἐστὶν ἡ ὄψις; οὐχ οὗ ἐστιν ἡ ὄψις. καίτοι ἀληθὲς τοῦτο εἰπεῖν ὅτι οὗ ἐστιν ὄψις, ἀλλὰ πρὸς χρῶμα ἢ πρὸς ἄλλο τι τοιοῦτον, τουτέστι πρὸς τὸ ὁρατόν. ἐκείνως δὲ οἷς τὸ αὐτὸ λεχθήσεται, καθάπερ εἴρηται, ὅτι ἔστιν ἡ ὄψις οὗ ἐστιν ὄψις.

p. 1021ᵇ3 Τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα πρός τι.

Τὰ μὲν οὕτω λέγονται ὥσπερ πατὴρ καὶ υἱός, τὰ δὲ ἐὰν τὰ γένη αὐ-

---

4 καὶ παθητικὰ om. D 7 ὡς ἐνεργούντων δὲ libri ἐνέργειαι Aristoteles: ἐνεργεία libri 9 ἐν ἑτέροις] v. Bonitzii comm. in Metaph. p. 261 9. 10 λέγει — ὑπάρχουσι] cf. Alex. p. 370,8 Bz. 17 μετελθόντος D 18. 19 πεπονθός τι ex Aristotele scripsi: πεπονθότι libri 22 ὅπερ (post τῷ) Aristoteles: ἅπερ libri 23 ἔστι scripsi: εἰ libri

τῶν ὑπάρχωσι πρός τι, ὡς εἴρηται ἐν Κατηγορίαις. λέγεται γὰρ ἡ ἰατρικὴ τῶν πρός τι, ἐπειδὴ τὸ γένος αὐτῆς ἡ ἐπιστήμη τῶν πρός τι ὑπάρχει· πρὸς ἐπιστητὸν γάρ. ἔτι λέγονται πρός τι, καθ' ὅσα τὰ ἔχοντα ⟨λέγεται πρός τι⟩· λέγεται γὰρ ἰσότης τῶν πρός τι, ἐπειδὴ τὸ ἴσον ἴσῳ ἐστὶν ἴσον. διὰ γὰρ τοῦτο καὶ ἡ λευκότης λέγεται οὐσία, ἐπειδὴ καὶ τὸ λευκὸν λέγεται ἄνθρωπος κατὰ συμβεβηκός, ἐπειδὴ συμβέβηκε τῇ οὐσίᾳ· ἔχει δὲ τὸ λευκὸν ἡ λευκότης ἐν ἑαυτῇ καὶ ἡ ὁμοιότης τὸ ὅμοιον. τὰ δὲ κατὰ συμβεβηκός, οἷον ὁ ἄνθρωπος τῶν πρός τι, ὅτι συμβέβηκεν αὐτῷ διπλασίῳ εἶναι, τοῦτο δὲ τῶν πρός τι ὑπάρχει· ἢ τὸ λευκόν, εἰ τῷ αὐτῷ συμβέβηκε διπλασίῳ εἶναι καὶ λευκῷ. λέγεται δὲ εἶναι ⟨ὁ ἄνθρωπος καὶ⟩ τὸ λευκὸν τῶν πρός τι, ἐπειδὴ ἅμα θεωροῦνται μετὰ τοῦ διπλασίου.

p. 1021b12 Τέλειον λέγεται ἓν μὲν οὗ μὴ ἔστιν ἔξω τι λαβεῖν μηθὲν μόριον. f.236r

Ἐντεῦθεν περὶ τοῦ τελείου ἡμῖν λέγει, καί φησιν ὅτι τέλειόν ἐστιν ἐκεῖνο οὗ μηθὲν ἔστιν ἔξω λαβεῖν, ὥσπερ ἐπὶ τοῦ χρόνου τέλειος χρόνος ἑκάστου ἐστὶν οὗτινος οὐδὲν ἔστιν ἔξω λαβεῖν. οἷον, εἰ τύχοι, ὥρισται ὁ τῶν ἀνθρώπων βίος μέχρι τῶν ἑκατὸν εἴκοσιν ἐνιαυτῶν· οὗτος τοίνυν ὁ χρόνος τέλειός ἐστιν ἐπὶ τῶν ἀνθρώπων· οὐδὲν γὰρ ἔστιν ἔξω αὐτοῦ λαβεῖν· οὐ γὰρ δυνατόν ἐστι τὴν ἀνθρωπίνην φύσιν ἐν τῷ νῦν βίῳ ὑπερβῆναι τὰ ἑκατὸν εἴκοσιν ἔτη. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζῴων ἄλλος χρόνος. οὐ μόνον δὲ ἐπὶ χρόνου τὸ τοιοῦτον ὑπάρχει, ἀλλὰ καὶ ἐπὶ μεγεθῶν· τέλειον γάρ ἐστι μέγεθος οὗ μηδὲν ἔστιν ἔξω λαβεῖν. οἷον, εἰ τύχοι, ὥρισται τὸ ἀνθρώπειον μέγεθος μέχρι τεσσάρων πήχεων ἢ καὶ πέντε· τέλειον οὖν ἐστι μέγεθος τὸ τῶν πέντε πήχεων· ἀδύνατον γάρ ἐστιν ὑπερβῆναι αὐτό. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων μεγεθῶν. οὕτως εἰρηκὼς ἐπὶ τοῦ ποσοῦ τὸ τέλειον ἐφεξῆς μετέρχεται καὶ ἐπὶ τὸ ποιόν, καί φησιν ὅτι καὶ ἐπὶ τοῦ ποιοῦ θεωρεῖται τὸ τέλειον, οἷον ὥσπερ ἐπὶ ἀρετῆς τέλειον λέγεται τὸ ἔχον εἰς ἄκρον τὴν οἰκείαν ἀρετήν. οὕτως γὰρ τέλειος λέγεται καὶ ἄνθρωπος καὶ ἵππος καὶ κύων καὶ ἄψυχα, ἡνίκα ἔχουσιν εἰς ἄκρον τὰ οἰκεῖα πλεονεκτήματα, ὥστε μὴ δύνασθαι ἔξω τι τούτων λαβεῖν. λέγεται δὲ πάλιν τέλειον καὶ ἐπὶ τῆς ἀνθρώπου ἀρετῆς μόνου, ἐπειδὴ τὸ ἀκρότατον τῶν ἀρετῶν ἐν τοῖς ζῴοις ὁ ἄνθρωπος ἔχει· καὶ ἔστι ταὐτὸν τῷ ὑποκειμένῳ τῷ προτέρῳ, τῇ δὲ ἐπινοίᾳ δοκεῖ διαφέρον. τέλειος γὰρ λέγεται ἄνθρωπος ὁ εἰς ἄκρον ἐληλακὼς ἀρετῆς, οἷον Παρμενίδης ἢ εἴ τις ἄλλος, φησί, τοιοῦτος. εἶτα λοιπὸν ἐντεῦθεν μεταφέροντες μεταφορικῶς καὶ ἐπὶ τῶν κακῶν ἁρμόττομεν τὸ τοιοῦτο, ἐπειδὴ τὸ τέλειον ἑκάστου τὸ ἀγαθόν ἐστιν· εἰς τοῦτο γὰρ ἕκαστον σπεύδει. μεταφορικῶς γάρ φαμεν f.236v συκοφάντην τέλειον καὶ κλέπτην τέλειον καὶ κακὸν τὸν μὴ καταλελοιπότα

1 ἐν Κατηγορίαις haec non leguntur 3. 4 λέγεται πρός τι ex Aristotele addidi 6 συμβήσεται D 7 αὐτῇ D 8 ὅτι—πρός τι (9) om. D 10 ὁ ἄνθρωπος καὶ addidi 17 μέχρι τῷ libri

κακίας ὑπερβολήν. καὶ πάλιν φαμὲν τελείως ἁλῶναι τὸ πρᾶγμα τὸ τελείως φθαρὲν καὶ μηδὲ μίαν ἔχον ἔτι ὑπόστασιν· διὸ καὶ ἡ τελευτὴ κατὰ μεταφορὰν λέγεται τέλος. πάλιν φαμὲν τέλειον εἶναι τὸ δυνάμενον ἄλλο τελειοῦν, οἷον τέλειον ἰατρὸν τὸν Ἱπποκράτη, ἐπειδὴ δύναται καὶ ἄλλους ἰατροὺς ποιῆσαι. καὶ παρὰ τὸ ἔχειν, οἷον τελείαν φαμὲν τὴν μελίαν τοῦ Ἀχιλλέως, ἐπειδὴ τῷ μεγίστῳ τῶν ἡρώων ἥρμοττε, καὶ τέλειον χιτῶνα τὸν ἁρμόττοντά τινι τῶν μεγίστων, οἷον τῷ Αἴαντι, εἰ τύχοι.

Ταῦτα εἰρηκὼς περὶ τοῦ τελείου ἐφεξῆς μετέρχεται ἐπὶ τὸ πέρας, καί φησιν ὅτι πέρας ἐστὶν οὗ ἔξω μηδὲν ἔστι λαβεῖν. καὶ τὸ πάντα περιέχον ἔνδον ἐν ἑαυτῷ· οὕτως γάρ φαμεν τὴν ἐπιφάνειαν πέρας εἶναι σώματος, ἐπειδὴ οὐδὲν ἔστιν ἔξω λαβεῖν τῆς ἐπιφανείας ἐπὶ τῶν σωμάτων, ὅτι πάντα περιέχει ἔνδον ἑαυτῆς ἡ ἐπιφάνεια. θεωρεῖται δὲ τὸ πέρας καὶ ἐπὶ τῶν τεσσάρων αἰτίων, ὑλικοῦ, ποιητικοῦ, εἰδικοῦ, τελικοῦ. οἷον τελικὸν αἴτιον, ὥσπερ ἐπὶ τοῦ θανάτου· πέρας γάρ ἐστιν ἑκάστου, διὸ καὶ ὁ σοφώτατος Δημοσθένης φησὶ 'πέρας μὲν γὰρ πάντων ὁ θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ.' λέγεται δὲ πέρας καὶ ἡ ὕλη ὡς ἔσχατον καὶ τρὺξ καὶ ὑποστάθμη τοῦ παντός. λέγεται δὲ πάλιν πέρας καὶ τὸ εἰδικὸν αἴτιον· ὁ γὰρ ὁρισμὸς ἑκάστου ἡ οὐσία ἑκάστου ἐστί, πέρας δὲ ἑκάστου τὸ ἀπολαβεῖν τὴν οἰκείαν ὁλότητα, ὡς εἴρηται ἐν τῇ Φυσικῇ πραγματείᾳ, τῷ δύνασθαι ποιεῖν οἷον αὐτό. λέγεται πάλιν πέρας καὶ τὸ ποιητικὸν αἴτιον ὡς ἀρχή· θέλει γὰρ ἡ ἀρχὴ τοῦ πράγματος ὡρισμένη εἶναι, τὸ δ' ὡρίσθαι πέρατός ἐστι. διὸ οὐ πᾶσα ἀρχὴ γίνεται αἰτία τοῦ πράγματος, οἷον εἴ τις βούλοιτο λευκᾶναι τι, οὐκ ἂν λευκαίνοι αὐτὸ ἀρχὴν f. 237r ποιησάμενος τὸ βαδίζειν ἢ τὸ ἀναγινώσκειν· ὥστε ὥρισται ἡ ἀρχή.

Ταῦτα εἰρηκὼς περὶ τοῦ πέρατος μετέρχεται καὶ λέγει ἡμῖν λοιπὸν περὶ τοῦ καθό. καί φησιν ὅτι καὶ τὸ καθὸ πολλαχῶς λέγεται· ἕνα μὲν τρόπον τὸ εἶδος καὶ ἡ οὐσία ἑκάστου πράγματος, οἷόν φαμεν τὸν Σωκράτη ὅτι καθὸ ἀγαθός, ἀγαθός ἐστιν· οὐ γὰρ καθὸ Σωκράτης, ἐπεὶ οὕτως ἔδει τὸν μὴ ὄντα Σωκράτην μὴ εἶναι ἀγαθόν. λέγεται δὲ καθὸ καὶ ἐν ᾧ πρώτως πέφυκε γίνεσθαί τι, ὥσπερ ἐν τῇ ἐπιφανείᾳ τὸ χρῶμα· φαμὲν γὰρ ὅτι κατὰ τὴν ἐπιφάνειάν ἐστι τὸ χρῶμα, καθὸ πρώτως ὁμιλεῖ τῇ ἐπιφανείᾳ. † καθό ἐστι τοῦτο ἐπὶ τοῦ εἴδους. λέγεται δὲ τὸ καθὸ καὶ ἐπὶ τῆς ὕλης. διὰ τί οὐκ ἔστι ποικιλόμορφον ζῷον ὁ ἄνθρωπος; καθὸ τοιαύτης ἐστὶ κράσεως. λέγεται δὲ καὶ ἐπὶ τοῦ ποιητικοῦ αἰτίου, ὅτι τεκταίνεται τὴν οἰκίαν, καθὸ οἰκοδόμος, οὐ καθὸ φαλακρὸς ἢ σιμός, ὡς εἴρηται ἐν τῇ Φυσικῇ. λέγεται δὲ καὶ ἐπὶ τοῦ τελικοῦ αἰτίου· ἕκαστον γὰρ ἐπὶ τὸ οἰκεῖον τέλος ἐπείγεται, καθὸ τὸ ἀγαθὸν τὸ ἑκάστου ὄντος τέλος αὐτοῦ ὑπάρχει.

---

10 ἐν αὐτῷ D πέρας scripsi: μέρος libri 12 περιέχον D 15 Δημοσθένης φησὶ] de Cor. p. 258,20 19. 20 ἐν τῇ Φυσικῇ πραγματείᾳ] nihil tale legitur, nisi forte ad Phys. Δ 2 p. 209b1 sqq. respicit 21 θέλει scripsi: θέσει libri 22 τὸ δ' ὡρίσθαι scripsi: τῶ ὡρίσθαι libri 23 λευκάνοι libri 26 πολλαχῶς Aristoteles: πολλάκις libri 32 καθὸ κτλ.] fort. τοῦτο μὲν οὖν τὸ καθό ἐστιν ἐπὶ τοῦ εἴδους 35. 36 ἐν τῇ Φυσικῇ] B 5 p. 196b26

λέγεται τὸ καθὸ καὶ κατὰ τὴν θέσιν. διὰ τί ἐν τῷδε τῷ μέρει τῆς πόλεως ἕστηκεν ὁ ἀνδριὰς τοῦ Σωκράτους; καθὸ φιλόσοφος· ἡ Ἀκαδήμεια γάρ ἐστι. καὶ πάλιν ἐν ποίῳ μέρει τῆς πόλεως ἦν ὁ Σωκράτης, ἡνίκα ὁ σεισμὸς γέγονε; κατὰ τόδε τὸ μέρος. ταῦτα εἰρηκὼς περὶ τοῦ καθὸ με-
5 τέρχεται ἐπὶ τὸ καθ' αὑτό, καί φησιν ὅτι τοσαυταχῶς καὶ τὸ καθ' αὑτὸ λέγεται, ὁσαχῶς λέγεται τὸ καθό, οἷον ζῷον ὁ Καλλίας καθ' αὑτὸ ὑπάρχει· ἐν γὰρ τῷ ὁρισμῷ τοῦ Καλλίου παραλαμβάνεται τὸ ζῷον. λέγεται οὖν τὸ καθ' αὑτὸ· ὡς ποιητικὸν αἴτιον, οἷον καθ' αὑτὸ ὁ ἄνθρωπος οἰκοδόμος ὑπάρχει καὶ ἰατρός, καὶ ὡς ὑλικὸν αἴτιον· καθ' αὑτὸ γὰρ ἡ ναῦς
10 γέγονεν ἐκ τῆσδε τῆς ὕλης. καὶ ὡς εἰδικὸν αἴτιον· καθ' αὑτὸ ὁ ἄνθρωπος ἄνθρωπός ἐστι· τοῦ γὰρ ἀνθρώπου πολλὰ ὑπάρχουσιν αἴτια, οἷον τὸ εἶναι f.237v ζῷον, τὸ λογικόν, τὸ θνητόν, τὸ δίπουν, τοῦ δ' εἶναι ἀνθρώπῳ αἴτιόν ἐστι τὸ ὑπὸ τὸν ἄνθρωπον εἶναι. ὥστε ἐντεῦθεν ἔχομεν ὅτι ἕτερόν ἐστί τι ὁ ἄνθρωπος παρὰ τὴν τούτων συμφόρησιν, τουτέστι τὴν τοῦ ζῴου λο-
15 γικοῦ θνητοῦ· οὐ γὰρ κατὰ ταῦτά ἐστιν, ἀλλὰ καθὸ ἄνθρωπος ὑπάρχει. ὅπερ ἐστὶν ἕτερον τοῦτο τὸ ἐπιγενόμενον παρὰ τὴν τούτων σύνθεσιν. λέγεται δὲ καθ' αὑτὸ καὶ τὸ τελικὸν αἴτιον· καθ' αὑτὸ γὰρ τέλος τοῦ ἀνθρώπου τὸ εἶδος τοῦ ἀνθρώπου. ἔτι δὲ λέγεται καθ' αὑτὸ καὶ τὸ πρώτως ὑπάρχον τινί, οἷον καθ' αὑτὸ λέγεται ἡ ἐπιφάνεια λευκή, ἐπειδὴ πρώτως
20 αὐτῇ ὑπάρχει τὸ λευκόν, καὶ πάλιν ζῆν ὁ ἄνθρωπος καθ' αὑτὸ ἀπὸ μέρους· ἡ γὰρ ψυχὴ μέρος τι τοῦ ἀνθρώπου, ἐν ᾗ πρώτῃ ὑπάρχει τὸ ζῆν, ὥσπερ καὶ ὁρᾶν λέγεται πρώτως ἐκ τῶν ὀφθαλμῶν τὸ πᾶν.

Εἶτα λοιπὸν λέγει ἡμῖν καὶ περὶ διαθέσεως, καί φησιν ὅτι διάθεσις λέγεται τοῦ ἔχοντος μέρη ἡ τάξις ἢ κατὰ τόπον ἢ κατὰ δύναμιν ἢ κατ'
25 εἶδος. κατὰ τόπον μέν, ὅτι τέτακται μὲν ἡ γῆ, εἰ τύχοι, πρὸς τῷ κέντρῳ, τὸ δὲ πῦρ ἀνωτέρω· τοιάνδε γὰρ θέσιν δηλοῦσι ταῦτα. ὁμοίως καὶ ἐπὶ τῆς δυνάμεως, ὡς ἐπὶ τῶν ψυχικῶν δυνάμεων, ἡνίκα κρατεῖ ὁ λόγος τῶν παθῶν. τοιάδε διάθεσις καὶ θέσις θεωρεῖται. καὶ ἐπὶ τῆς μορφῆς, ὅτι θέσις τίς ἐστιν, ὥστε εἶναι τὸ μὲν στόμα κοῖλον, τὴν δὲ ῥῖνα κυρτήν, καὶ
30 τῶν αἰσθητηρίων τὰ μὲν εἶναι ἀντροειδῆ τὰ δὲ κυρτά.

p. 1021b 12 Τέλειον λέγεται ἓν μὲν οὗ μὴ ἔστιν ἔξω τι λαβεῖν.

Τέλειόν ἐστιν ἓν μὲν οὗτινος μὴ ἔστι λαβεῖν ἔξωθεν μηθὲν μόριον, οἷον χρόνος τέλειος ἑκάστου οὗτος οὗ μὴ ἔστιν ἔξω λαβεῖν χρόνον τινὰ ὃς τούτου μέρος ἐστὶ τοῦ χρόνου· οὐ γὰρ δυνατόν ἐστι τὸ ἀνθρώπειον
35 ζῷον ἔξω τῶν ἑκατὸν εἴκοσιν ἐνιαυτῶν λαβεῖν χρόνον τινὰ καὶ εἰπεῖν ὅτι μέρος τῶν ἑκατὸν εἴκοσιν ἐτῶν· οὔτε γὰρ ὑπερβῆναι, φησί, δυνατόν ἐστι τὰ ἑκατὸν εἴκοσιν ἔτη. τέλειον δέ ἐστι καὶ τὸ κατ' ἀρετὴν καὶ τὸ μὴ ἔχον ὑπερβολὴν τοῦ καλῶς ἔχοντος πρὸς τὸ γένος, οἷον τέλειος λέγεται ἰατρὸς f.238r

---

15 οὐ om. D 18 καὶ τὸ — καθ' αὑτὸ (19) om. D 28 καὶ θέσις — θέσις (29) om. D 32 μηθὲν om. D

καὶ τέλειος αὐλητής, ὅταν κατὰ τὴν οἰκείαν ἀρετὴν μηδὲν ἐλλείπωσιν, ἀλλ' εἰς ἄκρον ἔλθωσι τῆς ἀρετῆς. λοιπὸν τοῦτο αὐτὸ μεταφέροντες λέγομεν καὶ ἐπὶ τῶν κακῶν, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ. λέγομεν γὰρ συκοφάντην τέλειον καὶ κλέπτην τέλειον. ἐπειδὴ καὶ ἀγαθοὺς λέγομεν αὐτοὺς
5 δι' ἣν αἰτίαν ἐν τῇ θεωρίᾳ εἰρήκαμεν εἶναι κλέπτην ἀγαθὸν καὶ συκοφάντην ἀγαθόν· ἡ γὰρ ἀρετὴ ἑκάστου τελείωσις ἑκάστου ἐστίν· ἕκαστον γὰρ τότε τέλειόν ἐστιν, ὅταν ἀπολάβῃ τὴν οἰκείαν ἀρετήν, καὶ ἐπὶ ἐμψύχων καὶ ἐπὶ ἀψύχων. διό, φησί, καὶ οὐσία πᾶσα τότε ἐστὶ τελεία, ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν ἐλλείπωσι μόριον τοῦ κατὰ φύσιν με-
10 γέθους ἀντὶ τοῦ εἴδους τῆς ἀρετῆς, ὅταν τελείαν ἔχωσι τὴν ἀρετήν. ⟨ἔτι⟩ οἷς ὑπάρχει τὸ τέλος σπουδαῖον, ταῦτα λέγεται τέλεια, ἐπειδὴ σπεύδουσι πρὸς τὸ οἰκεῖον τέλος ἐλθεῖν, τουτέστι πρὸς τὴν οἰκείαν ἀρετήν· κατὰ γὰρ τὸ ἔχειν τὸ τέλος σπουδαῖον ταῦτα λέγεται τέλεια. ἐπεὶ οὖν τὸ τέλος ἐδείχθη τῶν ἐσχάτων ὑπάρχειν, καὶ ἐπὶ τὰ φαῦλα μεταφέροντες
15 λέγομεν τελείως ἀπολωλέναι καὶ τελείως ἐφθάρθαι, ὅταν μηδὲν ἐλλείπῃ τῆς φθορᾶς καὶ τοῦ κακοῦ, ἀλλὰ τελείως ἐπὶ τοῦ ἐσχάτου ὑπάρχῃ. διὰ τοῦτο γὰρ καὶ ἡ τελευτὴ κατὰ μεταφορὰν λέγεται τέλος· 'ἔχει τελευτήν, ἧσπερ ἕνεκ' ἐγένετο'· τέλος γάρ ἐστι καὶ τὸ οὗ ἕνεκα ἔσχατον. ὥστε τὰ καθ' αὑτὰ λεγόμενα τέλεια τοσαυταχῶς λέγεται, τὰ μὲν
20 τῷ μηδὲν ἐλλείπειν κατὰ τὸ εὖ, τουτέστι κατὰ τὴν ἀρετήν, * * * ἔχειν ὑπερβολὴν ἐν ἑκάστῳ γένει, ὥσπερ ἐπὶ ἰατρικῆς καὶ αὐλητικῆς εἴρηται. τὰ μέντοι γε ἄλλα λέγεται τέλεια τῷ ἢ ποιεῖν τι (ὡς ἐπὶ τοῦ Ἱπποκράτους εἴρηται, τέλειος ἰατρὸς ὁ δυνάμενος καὶ ἄλλον ποιεῖν) ἢ ἔχειν, ὡς ἐπὶ τῆς f.238v
μελίας Ἀχιλλέως εἰρήκαμεν, ἢ ἁρμόττοντα, ὡς ἐπὶ τοῦ θώρακος, ἢ ἄλλως
25 πως πρὸς τὰ πρώτως λεγόμενα.

p. 1022a4 Πέρας λέγεται τὸ ἔσχατον ἑκάστου.

Εἰπὼν περὶ τοῦ τελείου ἐντεῦθεν λέγει ἡμῖν περὶ τοῦ πέρατος, καί φησιν ὅτι πέρας λέγεται τὸ ἑκάστου ἔσχατον καὶ οὗτινος οὐδὲν ἔστιν ἔξω λαβεῖν πρώτου. καὶ οὗτινος πρώτου ἔνδον πάντα ὑπάρχει. ὡς ἐπὶ τῆς ἐπι-
30 φανείας εἴρηται· καὶ ὃ ἂν ᾖ εἶδος μεγέθους (ἵνα εἴπῃ περὶ τοῦ ἑκάστου σχήματος) ἢ ἔχοντος μέγεθος (ἵνα εἴπῃ περὶ τῆς μορφῆς) καὶ τὸ τέλος ἑκάστου. διό φησι τοιοῦτον δὲ ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις, τουτέστι τὸ τελικὸν αἴτιον· πᾶσα γὰρ ἀρχὴ καὶ πᾶσα πρᾶξις ἐπὶ τὸ αὐτὸ ἐπείγεται, τοιοῦτον ⟨δέ⟩ ἐστιν τὸ ἐφ' ὃ καὶ οὗ τὸ ἀφ' οὗ, τουτέστιν ἡ ἀρχή.
35 ἔστι δ' ὅτε ἀμφότερα γίνονται πέρατα, καὶ τὸ τέλος καὶ ἡ ἀρχή, ὡς ἐδείξαμεν. φησὶν οὖν ὅτι λέγεται πέρας καὶ τὸ εἰδικὸν αἴτιον, τουτέστιν ἡ

---

3 post γὰρ add. οὐ D 6 τότε] τὸ D 9 ἐλλείπῃ Aristoteles 10 ἔτι ex Aristotele addidi 18 ἔχει — ἐγένετο] cf. Phys. B 2 p. 194a31, Bonitzii Ind. Arist. p. 607b26 οὕνεκ' ἐγένετο Aristoteles l. l. 20 post ἀρετὴν lacuna AD: addendum μηδ' ἔχειν ὑπερβολὴν μηδὲ ἔξω τι λαβεῖν, τὰ δ' ὅλως κατὰ τὸ μὴ ἔχειν Aristoteles: ἔχει libri 34 δέ addidi

οὐσία ἑκάστου· τῆς γνώσεως γὰρ τοῦτο πέρας. ἐπειδὴ ὁ ὁρισμὸς ἑκάστου τὸ εἶδος ἑκάστου ἐστίν· γνόντες οὖν τὸν ὁρισμὸν ἱστάμεθα καὶ οὐκέτι προερχόμεθα λαβόντες πέρας. * * * ἔστι πέρας * * * φανερὸν ὅτι * * * τῶν γὰρ πραγμάτων αἱ γνώσεις * * * φανερὸν ὅτι ὁσαχῶς λέγεται ἡ ἀ * * * καὶ τὸ πέρας, εἴ γε ἐδείχθη καὶ ἡ ἀ * * * πρὸς τούτοις δὲ καὶ τὸ πλεῖον τῆς ἀρχῆς πέρας ἐδείχθη, τὸ δὲ πέρας οὐ * * * λέγεται γὰρ πέρας * * *

p. 1022a14 ⟨Τὸ καθὸ λέγεται πολλαχῶς⟩ ἕνα μὲν [οὖν] τρόπον.

Πληρώσας τὸν περὶ τοῦ πέρατος λόγον ἐντεῦθεν διαλέγεται ἡμῖν περὶ τοῦ καθό, καί φησιν ὅτι καὶ τὸ καθὸ πολλαχῶς λέγεται, ἕνα μὲν τρόπον τὸ εἶδος καὶ ἡ οὐσία ἑκάστου πράγματος, οἷον καθὸ ἀγαθὸς ὁ ἀνήρ, καθὸ ἀγαθός ἐστιν· ἕνα δὲ πάλιν ἐν ᾧ πέφυκε πρώτῳ γίνεσθαι, οἷον τὸ χρῶμα ἐν τῇ ἐπιφανείᾳ· πρώτως γὰρ ἐν αὐτῇ θεωρεῖται. τὸ μὲν οὖν πρώτως λεγόμενον καθὸ τὸ εἶδός ἐστιν, ὥσπερ ἐπὶ τοῦ ἀγαθοῦ εἴρη- f. 239r
ται· δεύτερον δὲ ὡς ἡ ὕλη ἑκάστου καὶ τὸ ὑποκείμενον ἑκάστῳ, ὡς ἐδείξαμεν. φησὶν οὖν ὅτι ὁσαχῶς λέγεται τὰ αἴτια, τοσαυταχῶς καὶ τὸ καθό, ὥστε τετραχῶς, καὶ ἔτι κατὰ τὴν θέσιν. λέγομεν γὰρ ὅτι κατά τί ἐλήλυθε, καθὸ τοῦ τέλους ἐφίεται, καὶ κατά τί παραλελόγισται ἢ συλλελόγισται, καθὸ τὸ αἴτιον τοῦ συλλογισμοῦ τοιοῦτόν ἐστιν ἢ τοῦ παραλογισμοῦ. λέγεται γὰρ τὸ καθὸ τὸ κατὰ τὴν θέσιν, ὡς εἴρηκε, καθὸ ἕστηκεν ἐν τῷδε τῷ μέρει ὁ ἀνδριὰς ἢ καθὸ βαδίζει· πάντα γὰρ ταῦτα τόπον καὶ θέσιν σημαίνουσιν. εἰ οὖν τὰ καθὸ πολλαχῶς, δῆλον ὅτι καὶ τὸ καθ' αὑτό· ἐκ γὰρ τοῦ καθὸ προῆλθεν. ἕνα μὲν οὖν τρόπον λέγεται τὸ καθ' αὑτὸ * * * τουτέστιν ὁ ὁρισμὸς ἑκάστου καὶ τὸ εἶδος ἑκάστου, οἷον Καλλίας καὶ τὸ τί ἦν εἶναι Καλλίᾳ· καθ' αὑτὸ γὰρ ὑπάρχει τῷ Καλλίᾳ ὁ ὁρισμὸς αὐτοῦ. ἔτι δὲ καθ' αὑτὸ λέγεται καὶ ὅσα ἐν τῷ ὁρισμῷ τοῦ πράγματος παραλαμβάνεται, οἷον * * * καθ' αὑτὸ ὑπάρχει· ἐν γὰρ τῷ ὁρισμῷ παραλαμβάνεται τὸ ζῷον. πάλιν δὲ λέγεται * * * οἷον αὐτῷ ὑπάρχει πρώτῳ ἤγουν τῶν * * * οἷον ἡ ἐπιφάνεια λευκὴ καθ' αὑτήν, ἐπειδὴ πρώτως αὐτῇ ὑπάρχει τὸ λευκόν, καὶ πάλιν ζῇ ὁ ἄνθρωπος καθ'

3—7 locus ad hunc fere modum restituendus est εἰ δὲ τῆς γνώσεώς ἐστι πέρας τὸ εἶδος, φανερὸν ὅτι καὶ τοῦ πράγματος· τῶν γὰρ πραγμάτων αἱ γνώσεις ἀκόλουθοι. φανερὸν οὖν ὅτι ὁσαχῶς λέγεται ἡ ἀρχή, τοσαυταχῶς καὶ τὸ πέρας, εἴ γε ἐδείχθη καὶ ἡ ἀρχὴ πέρας οὖσα. πρὸς τούτοις δὲ καὶ τὸ πλεῖον τῆς ἀρχῆς πέρας ἐδείχθη· λέγεται γὰρ πέρας ἡ ἀρχή, τὸ δὲ πέρας οὐ πᾶν ἀρχὴ λέγεται 8 Τὸ καθὸ—πολλαχῶς ex Aristotele addidi οὖν delevi 11. 12 καθὸ ἀγαθός] conicias αὐτὸ τὸ ἀγαθόν; sed cf. p. 339,27. 28: fort. καθὸ (post οἷον) delendum 20 γὰρ] fort. πάλιν ἐν om. D 20. 21 exspectes καθὸ ἕστηκεν ὁ ἀνδριάς, ἐν τῷδε τῷ μέρει 22 τὸ (post καὶ) scripsi: τὰ libri 23 addendum, ut videtur, τὸ τί ἦν εἶναι ἑκάστῳ 26 ὅσα ex Aristotele scripsi: τὰ libri 27 οἷον] lacuna XVII litt. A, X litt. D: addendum ζῷον ὁ Καλλίας 28 λέγεται] XII litt. desunt A, IX D: fort. τὸ δεκτικόν τινος, εἰ ἐν αὐτῷ κτλ. 29 τῶν] lacuna XII litt. AD: addendum αὐτοῦ τινι

αὐτό· ἡ γὰρ ψυχὴ μέρος τι τοῦ ἀνθρώπου, ἐν ᾗ πρώτῃ τὸ ζῆν ὑπάρχει. πάλιν λέγεται καθ' αὑτὸ οὕτινος μὴ ἔστι τι ἄλλο αἴτιον, οἷον τοῦ ἀνθρώπου πολλὰ αἴτια ὑπάρχουσιν, οἷον τὸ ζῷον, τὸ δίπουν, ἀλλὰ καὶ ὁ ἄνθρωπος καθ' αὑτό ἐστιν ἄνθρωπος, οὐ καθὸ ζῷον ἀλλὰ καθὸ
5 ἄνθρωπος. πάλιν δὲ λέγεται καθ' αὑτὰ τὰ ἴδια, ὅσα μόνῳ ὑπάρχει ⟨καὶ⟩ καθὸ μόνῳ αὐτῷ ὑπάρχει, καὶ ὡρισμένα κατὰ τοῦτο, ὥσπερ τὸ γελαστικὸν τῷ ἀνθρώπῳ.

p. 1022b1 Διάθεσις λέγεται τοῦ ἔχοντος μέρη.

Διάθεσίς ἐστι τοῦ ἔχοντος μέρη τάξις ἢ κατὰ τόπον ἢ κατὰ δύ-
10 ναμιν ἢ κατ' εἶδος, ὥσπερ ἐπὶ τῆς γῆς καὶ τοῦ πυρὸς καὶ τῶν ψυχικῶν δυνάμεων καὶ τῆς μορφῆς. διό φησι ⟨θέσιν⟩ γὰρ δεῖ τινα εἶναι, ὥσπερ τοὔνομα δηλοῖ ἡ διάθεσις ἡ καὶ τὸ μέρος. ὥσπερ τοὔνομα καὶ τὴν θέσιν οὐχ ἁρμόττει ἐπὶ τῶν ψυχικῶν δυνάμεων (οὔτε γὰρ κεῖνται αὐταί
15 που) ἀλλ' εἰ ἄρα, ἐπὶ τόπου καὶ τῆς μορφῆς.

p. 1022b4 Ἕξις δὲ λέγεται ἕνα μὲν τρόπον οἷον ἐνέργειά τις τοῦ ἔχοντος καὶ ἐχομένου.

Ἐντεῦθεν περὶ τῆς ἕξεως ἡμῖν λέγει. καί φησι πολλαχῶς λέγεσθαι τὴν ἕξιν. καὶ λέγει ὅτι λέγεται ἕξις ἡ ἐνέργεια τοῦ ἔχοντος καὶ ἐχομένου. τουτέστιν αὐτὴ ἡ σχέσις, ὥσπερ τοῦ ἀνδρὸς καὶ τῆς ἐσθῆτος· ἔχει γὰρ
20 ὁ ἀνήρ, ἔχεται δὲ ἡ ἐσθής. λέγεται οὖν ἕξις αὕτη ἡ σχέσις τοῦ ἔχοντος καὶ τοῦ ἐχομένου, ὥσπερ τὸ μεταξὺ τοῦ ποιοῦντος καὶ τοῦ ποιουμένου λέγεται ποίησις καὶ πάλιν τὸ μεταξὺ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου λέγεται κίνησις. οὐκέτι μέντοι, λέγει, ἡμεῖς αὐτοὶ πρὸς τὴν σχέσιν λεγόμεθα ἔχειν σχέσιν· οὕτως γὰρ ἐπ' ἄπειρον προερχόμεθα. πάλιν, φησίν,
25 ἄλλον τρόπον λέγεται ἕξις ἡ διάθεσις, καθ' ἣν εὖ καὶ κακῶς διάκειται τὸ διακείμενον ἢ πρὸς ἑαυτὸ ἢ πρὸς ἄλλο. πρὸς ἑαυτὸ μέν, ὥσπερ ἐπὶ τῆς ὑγιείας· ἡνίκα γάρ τις ἔρρωται, λέγεται ἔχειν ἕξιν τὴν ὑγίειαν, καὶ ἡνίκα ἀσφαλής ἐστιν ἡ φιλία, λέγεται ἔχειν ἕξιν τὴν φιλίαν. μεμαθήκαμεν δὲ ἐν Κατηγορίαις ὅτι λέγεται ἡ διάθεσις κατὰ τῆς ἕξεως. λέγεται δὲ ἕξις
30 καὶ ἡ τῶν μερῶν ἀρετή· οὕτως γάρ φαμεν ἔχειν ἕξιν τὸν ὀφθαλμὸν τὸν καλῶς ἐνεργοῦντα καὶ ποιοῦντα τὰς οἰκείας ἐνεργείας.

Ταῦτα περὶ τῆς ἕξεως εἰρηκὼς λοιπὸν μετέρχεται καὶ λέγει ἡμῖν περὶ τοῦ πάθους, καί φησιν ὅτι ἕνα μὲν τρόπον πάθος λέγεται ἡ ποιότης, καθ' ἣν ἀλλοιοῦσθαι ἐνδέχεται, οἷον τὸ λευκαίνεσθαι, τὸ μελαίνεσθαι, τὸ γλυκαί-

3. 4 ἀλλὰ καὶ] ἀλλ' ὅμως Aristoteles 6 καὶ addidi 11 θέσιν ex Aristotele addidi δεῖ Aristoteles: ἔδει libri 12 καὶ τὸ μέρος κτλ.] locus depravatus: sententia tale aliquid postulat τὸ δ' ἔχειν μέρη, ὥσπερ τοὔνομα δηλοῖ, κατὰ τὴν θέσιν οὐχ ἁρμόττει κτλ. 14 εἰ scripsi: ἢ libri 20 ἔχεται scripsi: ἔχει libri 26 μὲν om. D 29 ἐν Κατηγορίαις] c. 8 p. 9a10

νεσθαι, τὸ πικραίνεσθαι, ἡ βαρύτης καὶ ἡ κουφότης, οὐχ ὅτι γίνεται μεταβολὴ ἀπὸ βαρύτητος ἐπὶ κουφότητα (τὸ γὰρ τοιοῦτο γένεσίς ἐστι καὶ f.240r
φθορά), ἀλλ' ὅτι γίνεται ἐπίτασις καὶ ἄνεσις. οἷον ἡνίκα βαρύτερον ἑαυτοῦ γίνεται ἢ κουφότερον ἢ παντελῶς μὴ ὑπάρχει ἢ ὀλίγον. καὶ μάλιστα αἱ
5 βλαβεραὶ ἀλλοιώσεις προσαγορεύονται πάθη, οἷον τὸ θερμαίνεσθαι, τὸ γηρᾶν καὶ ὅσα ἄλλα τοιαῦτα. πρὸς τούτοις λέγονται πάθη καὶ τὰ μεγέθη τῶν συμφορῶν, οἷον τὸ θρηνεῖν, τὸ ἀποβάλλεσθαι φίλον καὶ εἴ τι τοιοῦτον ἢ κτῆμα.

Ταῦτα εἰρηκὼς καὶ περὶ τοῦ πάθους ἐφεξῆς μετέρχεται καὶ λέγει ἡμῖν περὶ τῆς στερήσεως, καί φησιν ὅτι στέρησις λέγεται καὶ ἐπὶ τοῦ μὴ
10 πεφυκότος ἔχειν· οὕτως γὰρ φαμεν στέρησιν ἔχειν τὸ φυτὸν ὀφθαλμοῦ· καίτοι οὐ πέφυκεν ἔχειν ὀφθαλμοὺς τὸ φυτόν, ἀλλὰ καθὸ τὰ ἐν γενέσει καὶ φθορᾷ πεφύκασιν ἔχειν, κατὰ τοῦτο λέγεται καὶ τοῦτο ἐστερῆσθαι ὡς ὑπάρχον τῶν ἐν γενέσει καὶ φθορᾷ. ἀμέλει τοι ἐπὶ τῶν ἀιδίων οὐκ ἄν τις εἴποι τὸ τοιοῦτον, ἐπειδή, φησί, παντελῶς οὐ πεφύκασιν οὕτω διωρ-
15 γανῶσθαι τὰ ἀίδια. πάλιν λέγεται ἐστερῆσθαι καὶ οὗ τὸ γένος πέφυκεν ἔχειν· οὕτως γὰρ λέγεται ὁ ἀσπάλαξ ἐστερῆσθαι ὀφθαλμῶν κατὰ γένος, οὐχ ὅτι αὐτὸς πέφυκεν ἔχειν. ἀλλ' ὅτι τὸ γένος αὐτοῦ, τουτέστι τὸ ζῷον. ἀμέλει τοι ὁ ἵππος ὁ μὴ ἔχων ὀφθαλμοὺς καθ' αὑτὸ λέγεται ἐστερῆσθαι, ἐπειδὴ αὐτὸς πέφυκεν ἔχειν. πάλιν δὲ ἐστερῆσθαι λέγεται καὶ τὸ μὴ
20 πεφυκὸς ἔχειν κατ' ἐκεῖνον τὸν χρόνον, ὥσπερ ἐπὶ τοῦ σκυλακίου εἴρηται ἐν Κατηγορίαις· ἡ γὰρ τυφλότης στέρησίς τίς ἐστιν, ἀλλὰ τυφλὸς οὐ κατὰ πᾶσαν ἡλικίαν, ἀλλ' ἡνίκα τεχθῇ, ἐπὶ ὀλίγας ἡμέρας. ἔτι ἡ βιαία ἑκάστου ἀφαίρεσις στέρησις λέγεται, οἷον ἡνίκα τύραννος ἢ λῃσταὶ βιασάμενοί τινα ἀφέλωνταί τι ἐξ αὐτοῦ, λέγεται ὁ τοιοῦτος στέρησιν ἔχειν τοῦ πράγ-
25 ματος οὗ ἀπώλεσε. καὶ πάντα τὰ διὰ τοῦ α στερητικοῦ ἐστερῆσθαι f.240v
λέγεται, οἷον ἄφιλος ὁ μὴ ἔχων φίλους, ἄνισον τὸ μὴ ἔχον ἰσότητα, καὶ ἄπουν τὸ μηδ' ὅλως ἔχον πόδας, ὡς ἐπὶ ὄφεως, ἢ τὸ κακοὺς ἔχον. πάλιν ἄτμητον ἢ τὸ ὅλως μὴ τεμνόμενον, ὥσπερ ὁ ἀδάμας, ἢ τὸ μὴ ῥᾳδίως, ὥσπερ ὁ λίθος. ἔτι τὸ πάντῃ μὴ ἔχον· τυφλὸς γὰρ οὐ λέγεται ὁ ἑτερό-
30 φθαλμος, ἀλλ' ὁ παντελῶς μὴ ἔχων. εἰ μὲν γὰρ μὴ ἔχων δύο ὀφθαλμοὺς εὐθέως τυφλότητα εἶχεν, ἐν στερήσει τῷ ὄντι ἐλέγετο εἶναι καὶ ὁ ἑτερόφθαλμος· νῦν δὲ ἔστιν ὁρᾶν καὶ τῷ ἑνὶ ὀφθαλμῷ. διὸ οὐ πᾶς λέγεται ἀγαθὸς εἶναι ἢ κακός, ἐπειδὴ οὐκ ἔστιν ἄμεσος ἡ ἀντίθεσις αὕτη, ἀλλ' ἔστι καὶ μέση ἕξις, ὡς ἐπὶ τῶν παιδίων· οὔτε γὰρ δίκαια λέγονται
35 οὔτε ἄδικα.

Ταῦτα εἰρηκὼς περὶ τῆς στερήσεως μετέρχεται ἐπὶ τὸ ἔχειν, καί φησιν ὅτι καὶ τὸ ἔχειν πολλαχῶς λέγεται, ἢ τὸ ἄγειν κατὰ τὴν αὐτοῦ φύσιν τὸ πρᾶγμα ἐν ᾧ ἐστιν, ἢ τὸ ἄγειν κατὰ τὴν αὐτοῦ ὁρμήν· οὕτως γὰρ λέγεται ἔχειν ὁ πυρετὸς ἐκεῖνον, ἐν ᾧ ἐστιν, ἐπειδὴ κατὰ τὴν ἑαυτοῦ
40 φύσιν ἄγει αὐτὸν θερμαίνων αὐτόν. πάλιν λέγεται ὁ τύραννος ἔχειν τὴν πόλιν, ἐπειδὴ κατὰ τὴν ἑαυτοῦ ὁρμὴν ἄγει τὴν πόλιν, ὡς βούλεται. πάλιν

5 fort. τὸ ἀμέτρως θερμαίνεσθαι; cf. 347,20 sed cf. Cat. 10 p. 12a32 sqq.

21 ἐν Κατηγορίαις haec non inveniuntur;

λέγεται ἔχειν καὶ τὸ πρᾶγμα ἐκεῖνο, ἐν ᾧ ἕτερον θεωρεῖται· οὕτω γὰρ λέγεται ὁ χαλκὸς ἔχειν τὸν ἀνδριάντα, ἐπειδὴ ἐν τῷ χαλκῷ θεωρεῖται, καὶ τὸ ζῷον τὸ νόσημα. πάλιν λέγεται ἔχειν καὶ τὸ περιέχον, οἷον καὶ τὸ ἀγγεῖον λέγεται ἔχειν τὰ ὑγρά, ἐπειδὴ ἐμπεριέχονται ἐν αὐτῷ, καὶ ἡ πόλις τοὺς ἀνθρώπους, καὶ ἡ ναῦς τοὺς ναύτας· οὕτω δὲ καὶ τὸ ὅλον λέγεται ἔχειν τὰ μέρη, ἐπειδὴ ἐν τῇ ὁλότητι τοῦ ἀνθρώπου ὑπάρχει τὰ μέρη τοῦ ἀνθρώπου καὶ περιέχονται ὑπ' αὐτῆς. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἔτι τὸ κωλῦον κατὰ τὴν ἑαυτοῦ ὁρμὴν κινεῖσθαί τι ἢ πράττειν ἔχειν λέγεται· οὕτω γὰρ λέγεται ὁ κίων ἔχειν τὴν οἰκίαν, ἐπειδὴ συνέχει f.241r αὐτὴν καὶ οὐ συγχωρεῖ πεσεῖν, καὶ ὥσπερ οἱ ποιηταί, φησί, ποιοῦσι τὸν Ἄτλαντα βαστάζειν τὸν οὐρανόν, καὶ οἱ φυσικοὶ τὴν δίνην αὐτήν, ὥσπερ Ἀναξαγόρας. πάλιν λέγεται ἔχειν καὶ τὸ συνέχον, ὡς ὁ φάκελος τὰ λάχανα· λυθέντος γὰρ αὐτοῦ ἐκπίπτουσιν. εἶτά φησιν ὅτι καὶ τὸ ἔν τινι τοσαυταχῶς λέγεται, ὁσαχῶς καὶ τὸ ἔχειν, οἷον ἐν τίνι ἐστὶν ὁ ἄνθρωπος; ἐν πυρετῷ· ἐν τίνι ἐστὶν ἡ πόλις; ἐν τῷ τυράννῳ· ἐν τίνι ἡ οἰκία; ἐν τῷ κίονι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων.

Ταῦτα καὶ περὶ τοῦ ἔν τινι εἰρηκὼς μετέρχεται ἐφεξῆς καὶ λέγει ἡμῖν περὶ τοῦ ἔκ τινος, καί φησιν ὅτι τὸ ἔκ τινος λέγεται ὡς τὸ ἐξ οὗ, τουτέστιν ὡς ἐξ ὕλης· οὕτως γάρ φαμεν τὸν ἀνδριάντα ἐκ τοῦ χαλκοῦ εἶναι κατὰ τὸ ὕστατον, ἢ κατὰ τὸ πρῶτον γένος, ἡνίκα φαμὲν ὅτι ὁ χαλκὸς ἐκ τοῦ ὕδατός ἐστιν, ὡς εἴρηται ἐν τοῖς Μετεώροις. καὶ πάλιν ἐκ τῆς πρώτης κινησάσης ἀρχῆς, οἷον ἐκ τίνος γέγονεν ἡ μάχη; ἐκ τῆς λοιδορίας· αὕτη γὰρ γέγονεν ἀρχὴ τῆς μάχης. πάλιν δὲ λέγεται ἐξ οὗ καὶ τὸ ἐκ τοῦ συνθέτου, οἷον ἐκ τῆς ὕλης καὶ τῆς μορφῆς, ὥσπερ ἐκ τοῦ ὅλου τὰ μέρη καὶ ἐκ τῆς Ἰλιάδος τὰ ἔπη ὡς ἐξ ὅλου μέρος, οἷον εἰπέ μοι ἐκ τῆς Ἰλιάδος τόνδε τὸν στίχον, καὶ ἐκ τῆς οἰκίας οἱ λίθοι. πάλιν τὰ μὲν ὡς ἐκ τοῦ μέρους τὸ εἶδος, τουτέστι τὸ ὅλον ἐκ τῶν μερῶν, οἷον ἄνθρωπός ἐστιν ἐκ τοῦ δίποδος καὶ τοῦ δύο ἔχειν χεῖρας καὶ εἶναι ὀρθοπεριπατητικὸν πλατυώνυχον. τὰ δὲ πάλιν ἐὰν κατὰ μέρος τι τούτων ὑπάρχῃ. λέγεται γὰρ τὸ τέκνον ἐκ τοῦ πατρὸς καὶ τῆς μητρός, ἐπειδὴ ἡ μὲν μήτηρ ἔχει τὸ καταμήνιον, ὁ δὲ πατὴρ τὸ σπέρμα· καὶ πάλιν ἐκ f.241v τῆς γῆς τὸ φυτόν, ἐπειδὴ μέρος συντελεῖ ἡ γῆ. πάλιν λέγεται τὸ ἐξ οὗ καὶ τὸ κατὰ χρόνον· οὕτως γάρ φαμεν ἐξ ἡμέρας γίνεσθαι νύκτα καὶ ἐκ νυκτὸς ἡμέραν. πάλιν δὲ λέγεται ἐξ οὗ, ἵνα μὴ ὑποθώμεθα ἐκ τῆς φθορᾶς ἐκείνου τὴν ἄλλου γίνεσθαι γένεσιν. ὥσπερ ἐπὶ τῆς ἡμέρας καὶ τῆς νυκτὸς εἰρήκαμεν, οἷον ἡνίκα φαμὲν ὅτι ἐξ ἰσημερίας ἐγένετο πλοῦς. ἀντὶ τοῦ μετὰ τὴν ἰσημερίαν.

Ταῦτα εἰπὼν περὶ τοῦ ἐξ οὗ λοιπὸν λέγει ἡμῖν περὶ τοῦ μέρους ὅτι ἕνα μὲν τρόπον λέγεται μέρος τὸ καταμετροῦν τὸ ὅλον, ὥς φησι γεωμέτρης. οὕτως φαμὲν τῶν δέκα μέρος εἶναι τὰ πέντε ὡς καταμετροῦν τὸ

8 ἔτι Aristoteles: ἐπεὶ libri 9 οὕτω γὰρ λέγεται om. D 12 φάκελλος libri 21 ἐν τοῖς Μετεώροις] Meteorol. Γ 6 p. 378a32 29 πλατυόνυχον libri 32 ἐξ om. D 36 ἰσημερίας Aristoteles: ἧς ἡμέρας libri

ὅλον. πάλιν δὲ λέγεται μέρος οὗ ἀφαιρουμένου κολοβὸν γίνεται τὸ ὅλον, οὐ μέντοι γε καταμετρεῖ τὸ ὅλον, ὥσπερ τὰ δύο τῶν τριῶν ἢ ἡ κεφαλὴ τοῦ ἀνθρώπου. πάλιν λέγεται μέρη καὶ τὰ εἴδη τοῦ γένους, οἷον ὁ ἄνθρωπος καὶ ὁ ἵππος καὶ τὰ ἄλλα πάντα μέρη τοῦ ζῴου, ἐπειδὴ εἰς αὐτὰ διαιρεῖται τὸ ζῷον. πάλιν λέγεται μέρος καὶ τὰ εἰς ἃ διαιρεῖταί τι ἢ ἐξ ὧν σύγκειται· οὕτως γάρ φαμεν μέρος εἶναι τῆς σφαίρας τὸν χαλκόν, τουτέστι τὴν ὕλην, καὶ τὸ εἶδος, ὅπερ καλεῖ γωνίαν. πάλιν λέγεται καὶ τὸ γένος μέρος εἶναι τοῦ εἴδους ὡς εἰς τὸν ὁρισμὸν αὐτοῦ παραλαμβανόμενον· οὕτως γάρ φαμεν τὸ ζῷον μέρος εἶναι τοῦ ἀνθρώπου.

Ταῦτα εἰπὼν περὶ τοῦ μέρους ἐφεξῆς λέγει ἡμῖν περὶ τοῦ ὅλου ὅτι καὶ αὐτὸ πολλαχῶς λέγεται. κυρίως γὰρ ὅλον λέγεται, οὗ τῶν μερῶν μηδὲν ἄπεστιν· οὕτως γὰρ ὁ τέλειος ἄνθρωπος λέγεται ὅλον, ἐπειδὴ οὐδὲν λείπει τῶν μερῶν αὐτοῦ. πάλιν καὶ τὸ περιέχον τὰ περιεχόμενα ὅλον λέγεται, † ταὐτὸν δέ ἐστιν. οὕτως γάρ φαμεν ὅλον τὸν οἶκον εἶναι ὡς περιέχοντα πάντα τὰ μόρια ἐν ἑαυτῷ ἐξ ὧν σύγκειται. καὶ ἐντεῦθεν ἔστιν f. 242r ἐλεῖν ὅτι οὐχ ἁπλῶς τὰ μόριά ἐστιν τὸ ὅλον, ἀλλὰ ἄλλο τι ἔξωθεν προσγινόμενον, ὅπερ πρᾶγμα οὐ προσγίνεται ἄνευ τῆς τῶν μορίων συνθήκης· † ἔπειτα μόριον ὂν ἂν ἦν τὸ ὅλον καὶ ἂν ἐπλήρουν τὰ μόρια τὸ ὅλον μόνα, οὐκέτι ἓν πρᾶγμα ὑπῆρχεν ἀλλὰ πολλά, καθὸ ἐκ τῆς τῶν πολλῶν συνδρομῆς γέγονεν. ὥστε ἕτερόν τι ἐπιγίνεται, ὅπερ ποιεῖ τὸ ὅλον ἄλλο ὑπάρχειν παρὰ τὰ μόρια, οὐ μέντοι γε παραγίνεται ἄνευ τῆς τῶν μορίων συνδρομῆς. εἶτά φησιν ὅτι τῶν πραγμάτων τὰ μὲν ὅλα λέγονται, τὰ δὲ πάντα, ⟨τὰ⟩ δὲ ἀμφότερα. οἷον ὅλον λέγεται, ὃ διαιρούμενον καὶ ἀφαιρούμενον οὐ μένει τὸ αὐτό· ὁ μέντοι γε ἀὴρ ἢ τὸ πῦρ ἢ τὸ ὕδωρ διαιρούμενα μένουσι τὰ αὐτά· ὥστε ταῦτα πᾶν λέγονται. συναμφότερα δὲ ὡς τὸ ἱμάτιον καὶ ὁ κηρός· καθὸ μὲν γὰρ τὸ αὐτὸ ἱμάτιόν ἐστι, πᾶν λέγεται, καθὸ δὲ τείνεται καὶ συστέλλεται, οὐ μένει τὸ αὐτό. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κηροῦ· καθὸ γὰρ ὁ αὐτὸς κηρὸς μένει, πᾶν λέγεται, καθὸ δὲ διαφορὰν δέχεται * * * εἶτά φησιν ὅτι καὶ πάντα λέγονται τὰ πλείονα, οἷον πολλὰ ὕδατα, ὥσπερ καὶ ἐπὶ τοῦ ἀριθμοῦ, οἷον πᾶς ἀριθμός, ἐπειδὴ ὁ ἀριθμὸς καθὸ ἀριθμὸς εἷς ἐστιν, αἱ μέντοι γε μονάδες πᾶσαι, ἐπειδὴ διαφέρουσιν ἀλλήλων. ὥστε ἐνταῦθα φαίνεται ἑπόμενος τοῖς Πυθαγορείοις καὶ τῷ Πλάτωνι· κἀκεῖνοι γάρ φασιν ὅτι ἕτερός ἐστιν ὁ ἀριθμὸς παρὰ τὰς μονάδας· τῇ γὰρ σωρείᾳ τῶν μονάδων ἕτερός τις ἐπιγίνεται ἔξωθεν ἀριθμός, ὥστε ἕτερός ἐστιν ἀριθμὸς παρὰ τὴν τῶν μονάδων σωρείαν.

---

8 παραλαμβανόμενον scripsi: παραλαμβανομένου libri 14 ταὐτὸν δέ ἐστιν] locus depravatus: apud Aristotelem sequuntur haec τοῦτο δὲ δυχῶς· ἢ γὰρ ὡς ἕκαστον ἓν ἢ ὡς ἐκ τούτων τὸ ἕν 15 οἶκον scripsi coll. p. 350,18: οἰκοδόμον libri 15 τὰ om. D ἐξ ὧν om. D 18 ἔπειτα κτλ.] legendum, ut videtur, ἐπεί, εἰ τὰ μόρια μόνα ἦν τὸ ὅλον καὶ συνεπλήρουν et infra v. 19 ὑπῆρχεν ἂν 23 πάντα repetit A τὰ addidi 24 ἀὴρ] ἀνὴρ libri 29 post δέχεται lacuna XIII litt. A, X litt. D: addendum tale quid μορφῆς, ὅλος ἐστίν

p. 1022b4 Ἕξις λέγεται ἕνα μὲν τρόπον.

Ἕξις λέγεται ἕνα μὲν τρόπον ἐνέργεια τοῦ ἔχοντος καὶ τοῦ ἐχομένου, τουτέστιν ἡ σχέσις αὐτή. ὥσπερ πρᾶξίς τις ἢ κίνησις. ὥσπερ γὰρ f. 242v ἡνίκα τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει καὶ ἐπὶ πυρὸς καὶ ξύλου ἐστὶ ποίησις μεταξύ. οὕτως καὶ τοῦ ἔχοντος ἐσθῆτα καὶ τῆς ἐχομένης ἐσθῆτος ἐστί τις μεταξὺ ἕξις. ταύτην μὲν οὖν τὴν ἕξιν φανερὸν ὅτι οὐκ ἐνδέχεται ἔχειν, ἵνα ὑποθώμεθα καὶ τὴν σχέσιν αὐτὴν πρὸς ἡμᾶς εἶναι σχέσιν, ἐπεὶ οὕτως εἰς ἄπειρον βαδιοῦμεθα. εἰ τοῦ ἐχομένου ἔσται ἔχειν τὴν ἕξιν. πάλιν κατ' ἄλλον τρόπον λέγεται ἕξις διάθεσίς τις. καθ' ἣν εὖ ἢ κακῶς τις διάκειται, καὶ ἢ καθ' αὑτὸ ἢ πρὸς ἄλλο· οἷον ἡ ὑγεία καὶ ἡ φιλία ἕξεις τινὲς ὑπάρχουσιν. ἀλλ' ἡ μὲν ὑγεία πρὸς ἑαυτήν, ἡ δὲ φιλία πρὸς ἕτερον. πάλιν λέγεται ἕξις καὶ ἐπὶ μορίου εὖ ἔχοντος· διὸ καὶ ἡ τῶν μορίων ⟨ἀρετὴ⟩ ἕξις τίς ἐστιν. ὥσπερ ἡ καλλίστη τοῦ ὀφθαλμοῦ ἐνέργεια.

p. 1022b15 Πάθος δὲ λέγεται ἕνα μὲν τρόπον.

Εἰπὼν περὶ τῆς ἕξεως τί ἐστιν, ἐντεῦθεν καὶ περὶ πάθους λέγει. καί φησιν ὅτι πάθος λέγεται καθ' ἕνα μὲν τρόπον ποιότης τις, καθ' ἣν ἐνδέχεται ἀλλοιοῦσθαι, οἷον τὸ λευκὸν τὸ μέλαν, τὸ γλυκὺ καὶ πικρόν, ἡ κουφότης καὶ ἡ βαρύτης, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται. ἔτι δὲ καὶ αἱ τούτων ἐνέργειαι καὶ ἀλλοιώσεις, καὶ τούτων μᾶλλον αἱ βλαβεραί, οἷον τὸ κακῶς ἀλλοιοῦσθαι, οἷον τὸ ἀμέτρως θερμαίνεσθαι ἢ ψύχεσθαι. πρὸς τούτοις δὲ καὶ τὰ μεγέθη τῶν συμφορῶν πάθη λέγεται τῷ ἴσχειν πάθος ἐν σώματι.

p. 1022b22 Στέρησις λέγεται ἕνα μὲν τρόπον.

Εἰπὼν περὶ τοῦ πάθους ἐντεῦθεν λέγει ἡμῖν περὶ τῆς στερήσεως, καί φησιν ὅτι στέρησις λέγεται καθ' ἕνα μὲν τρόπον, ἐὰν μὴ ἔχῃ τι τῶν πεφυκότων ἔχεσθαι, κἂν μὴ αὐτὸ ὑπάρχῃ πεφυκὸς ἔχειν, οἷον λέγεται τὸ φυτὸν ὀμμάτων ἐστερῆσθαι. κυρίως δὲ τὸ τοιοῦτον οὐκ ἔστι στέρησις, ἀλλὰ μᾶλλον ἀπόφασις, ἐπειδὴ ἡ στέρησις ἔχει καὶ τὴν ἐναντίαν ἕξιν· ἀλλὰ f. 243r μόνον λέγεται μὴ ἔχειν ὀφθαλμούς· ὥστε κυρίως ἀπόφασίς ἐστι τὸ τοιοῦτον. πάλιν δὲ λέγεται στέρησιν ἔχειν, ἐὰν πεφυκὸς ἔχειν ἢ αὐτὸ ἢ τὸ γένος αὐτοῦ μὴ ἔχῃ. οἷον ἄλλως ὁ τυφλὸς ἵππος καὶ ἄλλως ὁ ἀσπάλαξ ἐστέρηται. ὁ μὲν γὰρ ἀσπάλαξ διὰ τὸ γένος λέγεται ἔχειν τὴν στέρησιν. ἐπειδὴ τὸ ζῷον πέφυκεν ἔχειν ὄψιν. πάλιν λέγεται στέρησις, ἐὰν πεφυκὸς ἔχειν, ὅτε πέφυκεν ἔχειν, μὴ ἔχῃ· ἡ γὰρ τυφλότης στέρησίς τίς ἐστιν·

3 αὐτὴ scripsi; coll. p. 343,19: αὕτη libri 7 res postulat πρὸς τὴν σχέσιν αὐτὴν ἡμᾶς ἔχειν σχέσιν; cf. p. 343,23. 24 12 post μορίων desunt V litterae A: ἀρετὴ ex Aristotele addidi 27 οὐκέτι D 29 ἀπόφανσις A

οὐ γάρ ἐστι τυφλὸς ὁ κατὰ πᾶσαν ἡλικίαν, ἀλλ' ἐν ᾗ πέφυκεν ἔχειν, ὡς ἐπὶ τοῦ σκυλακίου εἰρήκαμεν. ὁμοίως δὲ καὶ ἐν ᾧ (οὔτε γὰρ πεφύκασιν ἔχειν ὀφθαλμοὺς ἐν χερσί) καὶ καθ' ὃν χρόνον (διὰ τὸ σκυλάκιον) καὶ πρὸς ὅ (οὔτε γὰρ πεφύκαμεν τὰ ἐν οὐρανῷ ὁρᾶν ἢ τὰ ὑπὸ γῆν) καὶ ὡς ἂν μὴ ἔχῃ πεφυκὸς ἔχειν. ὡς ἐπὶ τοῦ ἵππου εἴρηται. πρὸς τούτοις δὲ στέρησις λέγεται καὶ ἡ βίαιος ἀφαίρεσις. καὶ ὁσαχῶς δὲ ἀπὸ τοῦ α ἀπόφασις λέγεται· κυρίως δὲ αὗται οὐχ ὑπάρχουσιν ἀποφάσεις· ὅμως φησὶν ὅτι τοσαυταχῶς καὶ αἱ στερήσεις λέγονται. ἄνισον γάρ ἐστι τὸ ξύλον, εἰ τύχοι, τὸ μὴ ἔχον ἰσότητα πεφυκὸς δὲ ἔχειν· ἀόρατον δὲ ἢ τὸ μηδ' ὅλως ἔχον χρῶμα, ὡς ἐπὶ τοῦ ἀέρος, ἢ τὸ φαύλως ἔχον. πάλιν ἄπουν λέγεται ἢ τὸ μὴ ὅλως ἔχον πόδας ἢ τὸ φαύλους. εἶτα εἰπὼν περὶ τοῦ ποιοῦ λέγει περὶ τοῦ ποσοῦ· φησὶ γὰρ ὅτι καὶ τὸ μικρὸν ἔχειν, οἷον τὸ ἀπύρηνον· τοῦτο δέ ἐστι τὸ φαύλως πως ἔχειν. ἔτι τὸ μὴ ῥᾳδίως ἢ τὸ μὴ καλῶς, οἷον ἄτμητον λέγεται οὐ μόνον τὸ μὴ δυνάμενον τμηθῆναι, ἀλλὰ καὶ τὸ δυσχερῶς τεμνόμενον. ἔτι ἐν στερήσει λέγεται καὶ τὸ πάντῃ μὴ ἔχον· τυφλὸς γὰρ οὐ λέγεται ὁ ἑτερόφθαλμος, ἀλλ' ὁ τῶν δύο ἐστερημένος. διὸ οὐ πᾶς ἀγαθὸς ἢ κακός, ἢ δίκαιος ἢ ἄδικος, f.243v ὡς εἴρηται ἐν τῇ θεωρίᾳ.

p. 1023a8 Τὸ ἔχειν δὲ λέγεται πολλαχῶς, ἕνα μὲν τὸ ἄγειν.

Πληρώσας τὸν περὶ τῆς στερήσεως λόγον ἐντεῦθεν λέγει ἡμῖν περὶ τοῦ ἔχειν, καί φησιν ὅτι καὶ τὸ ἔχειν πολλαχῶς λέγεται, ἕνα μὲν τρόπον τὸ ἄγειν κατὰ τὴν αὐτοῦ φύσιν ἤγουν κατὰ τὴν αὐτοῦ ὁρμήν· διὸ λέγεται πυρετὸς ἔχειν τὸν ἄνθρωπον καὶ ὁ τύραννος τὴν πόλιν καὶ τὴν ἐσθῆτα οἱ ἐνδεδυμένοι. ἄλλον δὲ τρόπον λέγεται ἔχειν ἐν ᾧ ἄν τι ὑπάρχῃ ὡς δεκτικῷ· λέγεται γὰρ ὁ χαλκὸς ἔχειν τὸν ἀνδριάντα, ἐπειδὴ ἐν αὐτῷ ἐστιν ὁ ἀνδριάς, καὶ ὁ ἵππος τὴν νόσον. ἄλλον δὲ τρόπον ὡς τὸ περιέχον τὰ περιεχόμενα· ἐν ᾧ γάρ ἐστι περιέχοντι, ὑπὸ τούτου ἔχεσθαι λέγεται, οἷον τὸ ἀγγεῖον ἔχειν τὸ ὑγρόν φαμεν. ἐπειδὴ περιέχει αὐτό. καὶ τὴν πόλιν ἀνθρώπους, καὶ τὴν ναῦν ναύτας. οὕτω δὲ καὶ τὸ ὅλον λέγεται ἔχειν τὰ μέρη ὡς ἐν τῷ ὅλῳ θεωρούμενα αὐτά. ἔτι λέγεται ἔχειν τὸ κωλῦον κατὰ τὴν ὁρμὴν αὐτοῦ κινεῖσθαί τι ἢ πράττειν, οἷον οἱ κίονες τὰ ἐπικείμενα βάρη, ἐπειδὴ συνέχουσιν αὐτά, καὶ ὡς οἱ ποιηταὶ ποιοῦσι τὸν Ἄτλαντα βαστάζειν τὸν οὐρανὸν ὡς συμπεσόντα ἂν ἐπὶ τὴν γῆν, εἰ μὴ ἀνείχετο, καὶ ὡς οἱ φυσικοὶ ποιοῦσι τὴν δίνησιν ἀνέχειν αὐτόν. ὁμοίως λέγεται ἔχειν καὶ τὸ συνέχειν, ὥσπερ ὁ φάκελος τὰ λάχανα· λυθέντος γὰρ αὐτοῦ διασκορπίζονται. ἰστέον δὲ ὅτι καὶ τὸ ἔν τινι τοσαυταχῶς λέγεται, ὁσαχῶς καὶ τὸ ἔχειν, ὡς ἐδείξαμεν.

1 τυφλὸς δ' οὐ κατὰ πᾶσαν κτλ. Aristoteles 7 α Aristoteles: πρώτου libri 8 αἱ om. D 15 ἔτι Aristoteles: ὅτι libri 21 τοῦ ἔχειν scripsi: τῆς στερήσεως libri 22 αὐτοῦ utrobique libri 23 πυρετὸς Aristoteles: πυρετὸν libri 23. 24 οἱ ἐνδεδυμένοι — ἔχειν om. D 26 ὁ om. D 35 φάκελλος libri

p. 1023a26 Τὸ ἔκ τινος εἶναι λέγεται.

Ἐντεῦθεν περὶ τοῦ ἔκ τινος ποιεῖται ἡμῖν τὴν τεχνολογίαν καί φησιν αὐτὸ ποσαχῶς λέγεται. ἕνα μὲν τρόπον ἐξ οὗ ἐστι ὡς ὕλης, καὶ τοῦτο διχῶς, ἢ κατὰ τὸ πρῶτον γένος ἢ κατὰ τὸ ὕστατον εἶδος, οἷον κατὰ τὸ πρῶτον ὡς ἅπαντα τὰ ἐκτὰ ἐξ ὕδατος, κατὰ δὲ τὸ ὕστερον ὡς ἐκ χαλκοῦ ὁ ἀνδριάς. καὶ πάλιν ἐκ τῆς πρώτης κινησάσης ἀρ- f.244r χῆς, οἷον ἐκ τίνος γέγονε * * * πάλιν δὲ λέγεται τὸ ἔκ τινος καὶ ὡς ἐκ τοῦ συνθέτου ἐκ τῆς ὕλης καὶ τῆς μορφῆς, ὥσπερ ἐκ τοῦ ὅλου τὰ μέρη καὶ ἐκ τῆς Ἰλιάδος τὰ ἔπη καὶ ἐκ τῆς οἰκίας οἱ λίθοι· τέλος μὲν γάρ ἐστιν ἡ μορφή, τέλειον δὲ τὸ ἔχον τὸ τέλος. τὰ δὲ ὥσπερ λέγεται ἐκ τῶν μερῶν εἶναι τὸ ὅλον, οἷον ὁ ἄνθρωπος ἐκ τοῦ δίποδος, ὡς εἴρηται ἡμῖν ἐν τῇ θεωρίᾳ, καὶ ἡ συλλαβὴ ἐκ τῶν στοιχείων· ἄλλως γὰρ τούτων τὸ μέν ἐστι τεχνικὸν τὸ δὲ φυσικόν, ὥσπερ ὁ ἀνδριὰς ἐκ τοῦ χαλκοῦ· διό φησιν ἐκ τῆς συνθετῆς γὰρ ὕλης ἡ συνθετὴ οὐσία, ἀλλ' ἡ μὲν φυσική, ἡ δὲ τεχνητή. ἀλλὰ καὶ τὸ εἶδος λέγεται ἐκ τῆς τοῦ εἴδους ὕλης, ὥσπερ ὁ ἄνθρωπος ἐκ τοῦ δίποδος· ἀμφότερα δὲ εἴδη ὑπάρχουσι καὶ τὰ μέρη καὶ τὸ ὅλον. πάλιν λέγεται ἐξ οὗ ἐκ τῶν κατὰ μέρος, οἷον ἐκ πατρὸς καὶ μητρὸς τὸ τέκνον, ἐπειδὴ μέρος τι ἀμφότεροι συντελοῦσι, καὶ πάλιν ὅτι ἐκ τῆς γῆς φυτόν, ὅτι ἔκ τινος μέρους αὐτῆς ἐστι. πάλιν λέγεται τὸ ἔκ τινος καὶ ἐπὶ τοῦ χρόνου, οἷον ἐξ ἡμέρας νὺξ καὶ ἐξ εὐδίας χειμών, ὅτι τοῦτο μετὰ τοῦτο. τούτων δὲ τὰ μὲν τῷ ἔχειν μεταβολὴν εἰς ἄλληλα οὕτως λέγονται μεθ' ὅ, ὥσπερ καὶ τὰ νῦν εἰρημένα, τὰ δὲ τῷ κατὰ χρόνον ἐφεξῆς μόνον, οἷον ἐξ ἰσημερίας ἐγένετο ὁ πλοῦς, ὅτι μετὰ ἰσημερίαν ἐγένετο, καὶ ἐκ Διονυσίων Θαργήλια ἑορτὴ γίνεται τῷ Θαργηλιῶνι μηνί.

p. 1023b12 Μέρος λέγεται.

Ἐντεῦθεν περὶ μέρους ἡμῖν διαλέγεται, καί φησιν ὅτι μέρος ἐστὶ καθ' ἕνα μὲν τρόπον εἰς ὃ ἂν διαιρεθῇ τὸ ποσὸν ὁπωσοῦν, εἴτε εἰς καταμετροῦν μέρος εἴτε καὶ μή· ἀεὶ γὰρ τὸ ἀφαιρούμενον τοῦ ποσοῦ, τουτέστι τοῦ δεκαπήχου ξύλου, καθὸ ποσόν ἐστι, μέρος λέγεται, εἴτε μετρεῖ εἴτε f.244v οὔ. οἷον τῶν τριῶν τὰ δύο μέρος λέγεταί πως μὴ μετροῦν. ἄλλον δὲ τρόπον λέγεται τὸ μετροῦν· διὸ τὰ δύο τῶν τριῶν καὶ μέρος λέγεται καὶ οὐ λέγεται μέρος * * * ὡς δὲ ἐξ αὐτοῦ ὑπάρχον μέρος. ἔτι εἰς ἃ τὸ εἶδος, τουτέστι τὸ γένος, διαιρεῖται ἄνευ τοῦ ποσοῦ, καὶ ταῦτα μέρη αὐτοῦ

---

5 ὕστερον] immo ὕστατον 7 lacunam indicavi: ἐκ τίνος ἡ μάχη; ἐκ λοιδορίας, ὅτι αὕτη ἀρχὴ τῆς μάχης Aristoteles 10 ἔχειν D 11 ἐκ τοῦ μέρους τὸ εἶδος Aristoteles 14 συνθετῆς] αἰσθητῆς Aristoteles 16 δὲ om. D 17 καὶ κατὰ μέρη D 20 τὸ om. D 21 εὐδείας libri 25 Θαργηλιῶνι μηνί scripsi: θαργηλίω μηνίας libri 31 λέγεταί πως Aristoteles: λέγει ποσῶς libri 33 lacunam indicavi: addendum ὡς μὲν γὰρ οὐ καταμετροῦν οὐ λέγεται μέρος

λέγεται· τὸ γὰρ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον, καὶ ἐνταῦθα οὐ θεωρεῖται τὸ ποσόν, κἀὶ ὅμως μέρη λέγονται εἶναι τοῦ ζῴου τό λογικὸν καὶ τὸ ἄλογον. διό φησιν ὅτι τὰ εἴδη τοῦ γένους εἰσὶ μόρια. ἔτι λέγονται εἶναι μέρη. εἰς ἃ διαιρεῖταί τι, ἢ ἐξ ὧν σύγκειται τὸ ὅλον ἢ τὸ εἶδος ἢ τὸ ἔχον εἶδος. καὶ ὅλον μὲν λέγει τὸ σωματικόν, εἶδος δὲ τὸ ἀσώματον, ἔχον δὲ τὸ εἶδος τὸ συναμφότερον· ἢ τὰ τρία περὶ τοῦ αὐτοῦ λέγει, οἷον τῆς σφαίρας τῆς χαλκῆς ⟨ἢ⟩ τοῦ κύβου τοῦ χαλκοῦ λέγεται καὶ ὁ χαλκὸς μέρος (τοῦτο δέ ἐστιν ἡ ὕλη ἐν ᾗ τὸ εἶδος), λέγεται καὶ ἡ γωνία μέρος, τουτέστι τὸ εἶδος· γωνίαν γὰρ τὸ εἶδος ἐκάλεσεν. ἔτι τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα λέγονται μέρη εἶναι· ἐκ τούτων γὰρ τὸ γένος τοῦ εἴδους καὶ ἔσται μέρος· διὸ τὸ γένος, τουτέστι τὸ ζῷον, μέρος λέγεται [δὲ] τοῦ ἀνθρώπου ὡς εἰς τὸν ὁρισμὸν αὐτοῦ παραλαμβανόμενον. ἄλλως δὲ τὸ εἶδος τοῦ γένους λέγεται μέρος ὡς διαιρουμένου τοῦ γένους εἰς αὐτό.

p. 1023b 26 Ὅλον λέγεται οὗ μηθὲν ἄπεστι μέρος.

Ἐντεῦθεν τὴν περὶ τοῦ ὅλου τεχνολογίαν παραδίδωσιν ἡμῖν, καί φησιν ὅτι ὅλον λέγεται οὗ μηδὲν ἄπεστι μέρος, ἀλλὰ τὸ πᾶν τέλειόν ἐστιν, ἐξ ὧν λέγεται τὸ ὅλον φύσει. ὡς ὁ τέλειος ἄνθρωπος, καὶ τὸ περιέχον τὰ περιεχόμενα, ὡς ἕν τι εἶναι ἐκεῖνα, ὥσπερ ὁ οἶκος εἷς λέγεται τῷ πάντα τὰ συμπληροῦντα αὐτὸν περιέχειν. τοῦτο δὲ διχῶς λέγεται· ἢ γὰρ ὡς ἕκαστον ἕν, ⟨ἢ⟩ αὐτὴ ἡ ὁλότης ἡ ἐπιγινομένη, ὡς ἐκ τούτων τὸ ἓν ἐκ f. 245v τῆς τῶν μερῶν συνθέσεως· ἄλλα γὰρ τὰ μέρη καὶ ἄλλο τὸ ἐπιγινόμενον εἶδος. τὸ μὲν γὰρ καθόλου καὶ τὸ ὅλως λέγομεν, ὡς ὅλον τι ὂν τῷ κατηγορεῖσθαι καθ' ἑκάστου καὶ ἓν ἅπαντα εἶναι ὡς ἕκαστον, καθ' ὧν κατηγορεῖται. οἷον τὸ ζῷον κατηγορεῖται ἀνθρώπου, ἵππου, βοός, κυνός, καὶ πάντα ἕν τι ὑπάρχουσι καὶ ὅλα, ἄνθρωπος, ἵππος, βοῦς, κύων, διότι πάντα ταῦτα ζῷα ὑπάρχουσι. τὸ δὲ συνεχὲς καὶ πεπερασμένον, ὅταν ἕν τι ἐκ πλειόνων ᾖ ἐνυπαρχόντων, μάλιστα μὲν δυνάμει, ὡς ἐπὶ τῆς γραμμῆς, εἰ δὲ μή, ἐνεργείᾳ πως· ἐν γὰρ τῇ γραμμῇ τὰ σημεῖά πως δυνάμει ὑπάρχουσιν. ἐν ἡμῖν δὲ τὰ μέρη ἐνεργείᾳ, καθὸ οἰκεῖον ἕκαστον τούτων ἔχει εἶδος καὶ οἰκείαν περιγραφήν, ⟨ἣν⟩ δύνανται λέγειν εἶναι ἐνεργείᾳ. μᾶλλον δὲ τὰ φυσικὰ μετέχουσι τῆς ἑνώσεως, τουτέστι τὸ ὕδωρ, ἤπερ τὰ τεχνητά, τουτέστι θύρα, ὥσπερ καὶ * * * ἑνότητός τινος.

p. 1024a 1 Ἔτι τοῦ ποσοῦ.

Ἐντεῦθεν περὶ τοῦ παντὸς λέγει ἡμῖν, καί φησιν ὅτι ἐπὶ τοῦ ποσοῦ,

---

7 ἢ addidi 8 ἐν ᾗ Aristoteles: ἐν δὲ libri 10 τούτων κτλ.] locus depravatus: fort. legendum τούτων γὰρ ἓν ὑπάρχον τὸ γένος τοῦ εἴδους ἐστὶ καὶ μέρος, quamquam his verbis facile carere possumus 11 δὲ delevi 18 ἕν τι εἶναι ἐκεῖνα Aristoteles: ἕν τινι εἶναι ἐκεῖνο libri 20 ἢ addidi ἐπιγενομένη D 27 ἢ Aristoteles: ἢ libri 30 ἣν addidi δύναται D 32 τεχνικά D 32 ὥσπερ καὶ] addendum ἐπὶ τοῦ ἑνὸς λέγομεν ὡς οὔσης τῆς ὁλότητος

ἔχοντος δὲ ἀρχὴν καὶ μέσον καὶ ἔσχατον. ὅσων μὲν μὴ ποιεῖ ἡ θέσις διαφορὰν ἀμειβομένων αὐτῶν, πᾶν λέγεται, ὅσων δὲ ποιεῖ, ὅλον· ὅσα δὲ ἄμφω ἐνδέχεται, καὶ ὅλα καὶ πᾶν, οἷον ὅσων μὲν ἡ αὐτὴ φύσις μένει τῇ διαθέσει, ἡ δὲ μορφὴ οὔ. οἷον τὸ ἱμάτιον καὶ ὁ κηρὸς † πάντα δὲ καὶ κηρὸς καὶ ἱμάτιον, ἄλλο δὲ σχῆμα, ὥστε ἀμφότερα ἔχει· διό φησι καὶ γὰρ ὅλον καὶ πᾶν λέγεται· ἔχει γὰρ ἀμφότερα. ὕδωρ δὲ καὶ ὅσα ὑγρὰ καὶ ἀριθμὸς πᾶς μὲν λέγεται, ὅλος δὲ ἀριθμὸς καὶ ὅλον ὕδωρ οὐ λέγεται, εἰ μὴ μεταφορικῶς, ἐπειδὴ διαιρούμενα φυλάττουσι τὸ αὐτὸ σχῆμα. πάντα δὲ λέγονται, ἐφ' οἷς τὸ πᾶν ὡς ἐφ' ἑνί, f. 245v οἷον ὑδάτια πλείονα, πᾶς οὗτος ἀριθμός, πᾶσαι αὗται μονάδες.

p. 1024a11 Κολοβὸν δὲ λέγεται τῶν ποσῶν οὐ τὸ τυχόν, ἀλλὰ μεριστόν τε δεῖ αὐτὸ εἶναι καὶ ὅλον.

Ἐντεῦθεν περὶ κολοβοῦ διδάσκει ἡμᾶς τί ἐστι καὶ τὸν τρόπον, καθ' ὃν λέγεται τὸ κολοβόν· οὔτε γὰρ λέγει ἡμῖν, ποσαχῶς λέγεται τὸ κολοβόν, ἐπειδὴ μοναχῶς μόνον λέγεται. καί φησιν ὅτι τὸ κολοβὸν περὶ τὸ ποσὸν θεωρεῖται· οὔτε γὰρ δυνατόν ἐστι λέγειν κολοβὸν τὸ ἀμερές, ὥστε ἐν ποσῷ θεωρεῖται τὸ κολοβόν. καὶ οὐκ ἐν παντὶ ποσῷ· οὐ γὰρ ἐν τῷ διωρισμένῳ, ἀλλ' ἐν τῷ συνεχεῖ, καὶ ἐν τῷ συνεχεῖ οὐ παντί· οὐ γὰρ ἐν τῷ ὁμοιομερεῖ ἀλλ' ἐν τῷ ὀργανικῷ. οἷον οὐ λέγομεν κολοβὸν τὸν τέσσαρα ἀριθμὸν ἀφαιρεθείσης μονάδος ἐξ αὐτοῦ· οὐκέτι γὰρ φυλάττει τὸ αὐτὸ εἶδος· θέλει δὲ τὸ αὐτὸ εἶδος φυλάττεσθαι ἐπὶ τῶν κολοβῶν, παντελῶς δὲ ἕτερον εἶδός ἐστι τοῦ τρία ἀριθμοῦ παρὰ τὸν τέσσαρα ἀριθμόν. ὥστε οὐ δυνατόν ἐστιν ἐπὶ τοῦ διωρισμένου ποσοῦ θεωρεῖσθαι τὸ κολοβόν, ἀλλ' ἐπὶ τοῦ συνεχοῦς, ὡς ἐπὶ κύλικος· ἐὰν γὰρ ἀφαιρεθῇ τὸ οὖς τῆς κύλικος, κολοβὸν λέγεται εἶναι ἡ κύλιξ· ἔτι γὰρ μένει τὸ εἶδος τῆς κύλικος. ὁμοίως καὶ ῥινὸς ἀφαιρεθείσης ἢ χειρὸς καὶ ἐπὶ πάντων τῶν ὀργανικῶν μέρους τινὸς ἀφαιρεθέντος λέγεται εἶναι τὸ καταλειφθὲν κολοβόν. ἐπειδή, ὡς εἴρηται, μένει πως τὸ αὐτὸ εἶδος· εἰ μέντοι γε καὶ ἡ κεφαλὴ ἀφαιρεθείη, οὐκέτι λέγεται τὸ καταλειφθὲν κολοβὸν εἶναι, ἐπειδὴ οὔτε ὑφέστηκεν ὅλως ἀλλ' ἔφθαρται· δεῖ δὲ περισώζεσθαι τὰ μέλλοντα λέγεσθαι εἶναι κολοβά. οὔτε δὲ ἐπὶ τῶν ὁμοιομερῶν, ὡς εἴρηται, λέγεται εἶναι τὸ καταλειφθὲν κολοβόν, οἷον ἐὰν ἀπὸ λίθου μέρος τι ἀφαιρεθείη, οὐ λέγεται τὸ καταλειφθὲν κολοβὸν εἶναι. ἐπειδὴ οὐδὲν ἧττον ἐν ἄλλῳ τόπῳ ἐστὶν ὁ λίθος f. 246r ὁ αὐτὸς ὑπάρχων τῷ ἀφαιρεθέντι. διὸ τὸν φαλακρὸν οὐκ ἂν εἴποιμεν κολοβὸν εἶναι, ἐπειδὴ ἐν ἄλλῳ μέρει τοῦ σώματος αὐτοῦ φύονται τρίχες. ἐὰν μέντοι γε ἡ χεὶρ ἀφαιρεθείη, λέγεται τὸ καταλειφθὲν κολοβὸν εἶναι, ἐπειδὴ οὐ δυνατόν, εἰ τύχοι, ἄλλην δεξιὰν γενέσθαι.

Ταῦτά εἰρηκὼς περὶ τοῦ κολοβοῦ ἐφεξῆς λέγει ἡμῖν καὶ περὶ τοῦ γένους, καί φησιν ὅτι τὸ γένος τετραχῶς λέγεται, ἕνα μὲν τρόπον, καθ' ὃν

4 μεταθέσει Aristoteles scripsi: πλεῖστα libri 5 πάντα δὲ καὶ] sententia postulat ταὐτὰ μένει 10 πλείονα

φαμεν, ὡς καὶ ὁ Θουκυδίδης φησίν, ἕως ἂν ᾖ τὸ αὐτὸ γένος τῶν ἀνθρώπων ἢ τῶν ἵππων. δεύτερον δὲ οἷον αὐτὴ ἡ ἀρχή, οἷον ἐκ τοῦ Ταντάλου Τανταλίδαι καὶ ἐκ τοῦ Πέλοπος Πελοπίδαι, ὡς εἴρηται ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου, καὶ ὅτι ἀπὸ ἀρρένων λέγονται τὰ γένη οὐκ ἀπὸ θηλειῶν, ἐπειδὴ τιμιώτερον, * * * οἷον Αἰγύπτιοι καὶ ὅσα ἄλλα τοιαῦτα. τρίτον σημαινόμενον κατὰ τὸ ὑποκείμενον, ὥσπερ τὸ ἐπίπεδον γένος λέγεται πάντων τῶν σχημάτων ⟨τῶν⟩ ὑποκειμένων αὐτῷ. τέταρτον ἐκ τοῦ μέρους τῶν εἰς τὸν ὁρισμὸν παραλαμβανομένων· οὕτως γάρ φαμεν τὸ ζῷον γένος εἶναι ἀνθρώπου καὶ ἵππου καὶ τῶν ἄλλων ἁπάντων τῶν τοιούτων. ταῦτα εἰρηκὼς περὶ τοῦ γένους φησὶν ὅτι ἕτερα δὲ τῷ γένει διχῶς λέγονται· ἅπαντα γὰρ πρὸς τὰ τελευταῖα σημαινόμενα τοῦ γένους, οὐ πρὸς τὰ πρότερα διὰ τὸ ἀσαφὲς αὐτῶν. φησὶν οὖν ὅτι τὰ ἕτερα τῷ γένει διχῶς λέγονται, ὧν ἕτερόν ἐστι τὸ πρῶτον ὑποκείμενον καὶ ὅταν μὴ ἀναλύηται θάτερον εἰς τὸ ἕτερον, οἷον ὡς ἐπὶ τοῦ λίθου, εἰ τύχοι, καὶ τοῦ χαλκοῦ (τοῦ μὲν γὰρ χαλκοῦ γένος ἐστὶν ὑποκείμενον ἡ ἀτμίς, εἰ τύχοι, τοῦ δὲ λίθου ἡ ξηρὰ ἀναθυμίασις), καὶ πάλιν ὡς ἐπὶ τοῦ χαλκοῦ καὶ τοῦ κρυστάλλου. οὔτε γὰρ ἀναλύεται ὁ χαλκὸς εἰς τὸν κρύσταλλον.

Ταῦτα εἰρηκὼς ἐφεξῆς λέγει ἡμῖν περὶ τοῦ ψεύδους, καί φησιν ὅτι τὸ ψεῦδος διχῶς λέγεται· ἢ γὰρ ἐν πράγμασι θεωρεῖται ἢ ἐν λόγῳ. καὶ f. 246v ἰδοὺ ἐνταῦθα ἄντικρυς ὁμολογεῖ ὅτι τὸ ψεῦδος οὐκ ἐν μόνοις τοῖς λόγοις θεωρεῖται, ἀλλὰ καὶ ἐν τοῖς πράγμασι. καί φησιν ὅτι τὸ ψεῦδος τὸ ἐν τοῖς πράγμασιν ἁπλοῦν ἐστι. καὶ οὐχ ὥσπερ ἐν τοῖς λόγοις περὶ σύνθεσιν καὶ διαίρεσιν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος θεωρεῖται, ὡς εἴρηται ἐν Κατηγορίαις· πάντως γὰρ χρεία ἐστὶν ἄλλο ἄλλου καταφῆσαι ἢ ἀποφῆσαι, ἵνα οὕτως τὸ ἀληθὲς καὶ τὸ ψεῦδος θεωρηθείη. ἐπὶ μέντοι γε τῶν πραγμάτων, ὡς εἴρηται, ἁπλοῦν ἐστιν, οἷον αὐτὸ τὸ μὴ ὂν καὶ ἡ ἀνυπαρξία τοῦ πράγματος, ὥσπερ ἐπὶ τῆς διαμέτρου φαμὲν ὅτι ἡ διάμετρος σύμμετρός ἐστι τῇ πλευρᾷ ἢ τὸ σὲ καθῆσθαι· τούτων γὰρ [τὸ] ψεῦδος τὸ μὲν ἀεί ἐστι, φησίν, ὡς ἐπὶ τῆς διαμέτρου, τὸ δὲ ποτέ, ὡς ἐπὶ τοῦ καθῆσθαι· δυνατὸν γὰρ ὅστερον καθῆσθαι τὸν νῦν μὴ καθήμενον. φαίνεται δὲ καὶ ἐπὶ πραγμάτων τὸ ψεῦδος, ἐφ' ὧν πέφυκε φαίνεσθαι ἢ μὴ οἷά ἐστιν ἢ ἃ μή ἐστιν, οἷον ὡς ἐπὶ τῆς σκιαγραφίας· εἰ γὰρ σκιαγραφήσει τις τὸν Σωκράτη, ἐπειδὴ ἔχει τινὰ ὁμοιότητα πρὸς τὸν Θεαίτητον, δόξει ἡ σκιαγραφία τοῦ Θεαιτήτου εἶναι, ἐπειδὴ ἔχει τι αὐτοῦ· οὐκ ἔστι δὲ αὐτοῦ. ἐπὶ μέντοι γε τῶν ὀνείρων παντελῶς ἐστιν ἐξαλλαγὴ τοῦ πράγματος· ὁρᾷ γάρ τις ἑαυτὸν πολλάκις ἱπτάμενον, ὅπερ οὐδὲ ὅλως ἔχει τὴν τῶν πραγμάτων ἀλήθειαν. ταῦτα

---

3. 4 ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου] p. 6,2 sqq. Busse 5 lacunam indicavi: addendum, ut videtur, καὶ ἀπὸ τοῦ τόπου ἐν ᾧ τις γέγονεν, cf. Porphyr. Isag. p. 2,1 Busse 7 τῶν addidi 8 παραλαμβανομένων — γένος om. D 11 γένους scripsi: τέλους libri πρὸς τὰ om. D 12 ἀσαφὲς scripsi: σαφὲς libri 23 ἐν Κατηγορίαις] c. 10 p. 13ᵇ2 sqq. 24 πάντως scripsi: πάντων libri 26 ἁπλοῦν ἐστι — ψευδομένου (p. 354,5) eadem in cod. L Alexandri leguntur 27 σύμμετρος Aristoteles: ἀσύμμετρος libri 28 τὸ delevi 34 οὐκέτι D

εἰρηκὼς περὶ τῶν πραγμάτων ἐφεξῆς λέγει καὶ περὶ τῶν λόγων, καί φησιν ὅτι ὁ ἐπί τινος εἴδους ἀληθὴς λόγος πάντως ἐπὶ ἄλλου ψευδής, οἷον ἐπὶ τοῦ κύκλου ἀληθής ἐστιν ὁ λόγος ὁ λέγων σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. καὶ ὅσα ἄλλα εἴρηται περὶ αὐτοῦ· οὗτος τοίνυν ὁ λόγος
5 ἐπὶ ἄλλων παντελῶς ψευδής ἐστιν· οὔτε γὰρ ἀληθὴς ἐπὶ τριγώνου ἐστὶν f.247r ἢ ἐπὶ τετραγώνου. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὁ μέντοι γε ψευδὴς λόγος οὐ πάντως καὶ ἐπὶ ἄλλων ψευδὴς ὑπάρχει. οἷον λέγω ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι τετράπουν ἄπουν· οὗτος ὁ λόγος καὶ ἐπὶ ἀνθρώπου ψευδὴς ὑπάρχει καὶ ἐπὶ πάντων τῶν ἄλλων. ἵνα τὸ ὅλον τοῦτο ἔχῃ καὶ τὸν
10 ἄνθρωπον σὺν αὐτῷ ὁ λόγος οὗτος. ἐὰν μέντοι γε εἴπω ὅτι ζῷον λογικὸν ἀθάνατον. ἐπὶ μὲν ἀνθρώπου ψευδής, φησίν, ὑπάρχει, ἐπὶ δὲ ἀγγέλου οὐκ ἔστι ψεῦδος. τὸ αὐτὸ δὲ δύναται εἶναι ἀληθὲς καὶ μοναχῶς λεγόμενον καὶ πολλαχῶς, ἐπειδὴ καὶ οὕτως ἔχει φύσεως αὐτὸ τὸ πρᾶγμα. ἐὰν γὰρ εἴπω μοναχῶς ὅτι Σωκράτης, ἀληθές λέγω· πάλιν δὲ κἂν τὰ συμβε-
15 βηκότα συμπλέξας τῇ οὐσίᾳ οὕτως εἴπω, οὐδὲν ἧττον ἀληθὲς λέγω, οἷον Σωκράτης μουσικὸς φαλακρός. ὁ μέντοι γε ψευδὴς λόγος οὐδενός ἐστιν ἁπλῶς λόγος, ὡς ἐπὶ τοῦ ἀνθρώπου καὶ τοῦ τετράποδος καὶ ἄποδος εἰρήκαμεν. διὸ Ἀντισθένης οὐ καλῶς ἐπειρᾶτο δεικνύναι ὅτι οὐ δυνατόν ἐστιν ἀντιλέγειν, λέγων οὕτως ὅτι ἢ σύμφωνα ἑαυτοῖς διαλέγονται ἢ οὐ συμ-
20 φωνα· ἀλλ' εἰ μὲν σύμφωνα, οὐκ ἔστιν ἀντιλέγειν (αὐτὸ γὰρ τοῦτο συμφωνοῦσιν ἀλλήλοις)· εἰ δὲ μὴ σύμφωνα λέγουσι, κατὰ διαφόρων πραγμάτων φέρονται, ὥστε οὐδ' οὕτως ἀντιλέγουσιν, εἴ γε μηδὲ περὶ τοῦ αὐτοῦ πράγματος τὸν λόγον ποιοῦνται. ταῦτα δὲ ἔλεγεν ὁ Ἀντισθένης ὑπολαμβάνων ὅ τι οὐκ ἔστι· καὶ ὁ ψευδόμενος γὰρ κατὰ τοῦ αὐτοῦ φέρεται καὶ
25 ὁ ἀληθεύων ὅτι ἀθάνατός ἐστιν ἡ ψυχή· ὥστε ἔστιν ἀντιλέγειν. ἔστιν οὖ ⁂ παντελῶς μὲν οὖν ὡς ἐπὶ τοῦ λέγοντος θνητὴν εἶναι τὴν ψυχήν, ἐπί τι δὲ ὡς ἐπὶ τοῦ λέγοντος πόδας Ἴδης (κατὰ ἀναλογίαν γὰρ εἴρηται), ἢ ὅτι τὰ ὀκτὼ διπλάσια τῶν τεσσάρων ὑπάρχουσιν· ἀπὸ γὰρ τῶν δύο ἐστὶ τὸ διπλάσιον. εἶτά φησιν ὅτι ὁ ψευδόμενος διὰ κέρδος ἢ διὰ δόξαν λέ-
30 γεται ψεύδεσθαι, διὰ κέρδος, ὥσπερ ὁ ἐμπορευόμενος, διὰ δόξαν, ὥσπερ f.247v ὁ ἐρῶν αὐτῆς· κυρίως δὲ ψεύστης ἐστὶν ὁ δι' αὐτὸ τὸ ψεύδεσθαι τοῦτο ποιῶν καὶ μὴ δι' ἕτερόν τι, ἀλλὰ τοιαύτην ἕξιν ἔχων καὶ τοῦτον ἔχων σκοπὸν τὸ ψεύδεσθαι. διό, φησίν, ὁ ἐν τῷ Ἱππίᾳ τῷ διαλόγῳ συλλογιζόμενος παραλογίζεται ἡμᾶς· ἐκεῖσε γὰρ πειρᾶται δεικνύναι ὁ Πλάτων ὅτι
35 ὁ ἑκὼν ψευδόμενος κρείττων ἐστὶ τοῦ ἄκοντος ψευδομένου, ὥσπερ καὶ ὁ ἑκὼν χωλεύων τοῦ ἄκοντος χωλεύοντος. ὥστε κατά γε τοῦτον τὸν λόγον ὁ ἑκὼν πηρώσας τοὺς πόδας κρείττων ἐστὶν τοῦ ἄκοντος τοῦτο ὑπομείναν-

2 post ψευδής add. οὐ πάντως δὲ ὁ ἐπὶ τοῦ αὐτοῦ πράγματος ψευδὴς καὶ ἐπὶ τῶν ἄλλων ψευδὴς ὑπάρχει Alex. cod. L 8 τετράπουν ἢ ἄπουν Alex. cod. L 12 δὲ scripsi: γὰρ libri 17 καὶ ἄποδος om. D 25. 26 post ἔστιν οὗ desunt XIX litterae A, XIV B: lacuna expleri potest ex Alexandri cod. L: ἔστιν οὖν ἐν λόγῳ καὶ παντελῶς ψεῦδος καὶ μερικόν. παντελῶς μὲν οὖν 27 πόδας Ἴδης] Il. Υ 59 33 ἐν τῷ Ἱππίᾳ] Hipp. min. p. 373 C sqq.

τος, ὅπερ οὐκ ἔστι. φαμὲν οὖν ὅτι ὁ Πλάτων τοῦτο εἶπεν ἐπὶ συμφέροντι, ὅτι ὁ ἑκὼν ψευδόμενος ἐπὶ συμφέροντι, ὥσπερ ἐπὶ τῶν ψευσαμένων τὸ Φοινίκιον ψεῦσμα καὶ εἰπόντων ὅτι αὐτόχθονες ὑπάρχουσιν οἱ πολῖται, ἵνα μᾶλλον γένωνται ἐρασταὶ τῆς πόλεως· ἐπεὶ ὁ ἐπὶ βλάβῃ ψευδόμενος ὁμο-
5 λογουμένως χείρων ἐστὶ τοῦ ἄκοντος ψευδομένου.

Εἶτα ταῦτα εἰρηκὼς περὶ τοῦ συμβεβηκότος λέγει ὅτι συμβεβηκός ἐστι τὸ ἐπ' ἔλαττον, οἷον ἐπὶ τοῦ εὑρηκότος θησαυρὸν ἐν τῷ ὀρύττειν· πάντα γὰρ τὰ τοιαῦτα τῶν ὡς ἐπ' ἔλαττον ὑπάρχουσι· καὶ ὅταν δι' ἄλλο τις προελθὼν περιτύχοι φίλῳ τινὶ ᾧ μὴ προσεδόκα. καὶ ἁπλῶς οὐκ ἔστι
10 κυρίως ὡρισμένον τὸ αἴτιον τοῦ συμβεβηκότος. λέγεται καὶ ἄλλως συμβεβηκός, οἷον ὅσα ὑπάρχει ἑκάστῳ καθ' αὑτὸ τῷ πράγματι, οἷον τῷ τριγώνῳ τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. ταῦτα μὲν οὖν ἀίδιά φησι, τὸ δὲ τοῦ θησαυροῦ οὐκ ἀίδιον.

p. 1024a11 Κολοβὸν λέγεται τῶν ποσῶν οὐ τὸ τυχόν.

15 Ὃ λέγει τοῦτό ἐστιν, ὅτι κολοβὸν λέγεται τῶν ποσῶν οὐ τὸ τυχόν, ἀλλὰ δεῖ αὐτὸ μεριστὸν εἶναι. ἄνευ γὰρ τοῦ ποσοῦ οὐ θεωρεῖται τὸ κολοβόν, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ· ἐπὶ δὲ τοῦ ἀριθμοῦ οὐ θεωρεῖται τὸ κολοβόν. τά τε γὰρ δύο οὐ λέγονται κολοβὰ θατέρου ἀφαιρουμένου (οὐ γάρ f.248r
ἐστιν ἴσον τὸ κολόβωμα καὶ τὸ λοιπόν). οὐδὲ ὅλως ἀριθμὸς οὐδείς, ἐπειδὴ
20 ὑπὸ τὸ διωρισμένον ποσὸν τελεῖ, ὡς ἐδείξαμεν ἐν τῇ θεωρίᾳ. καὶ γὰρ τὴν οὐσίαν καὶ τὸ εἶδος δεῖ μένειν τοῦ γινομένου κολοβοῦ, οἷον εἰ ἡ κύλιξ κολοβὸς εἴη, δεῖ μένειν τὴν κύλικα· ὁ δὲ ἀριθμὸς οὐκέτι ὁ αὐτὸς μένει, εἰ καὶ ἀνομοιομερὴς ὑπάρχει ὁ ἀριθμός· διάφορα γὰρ τὰ τρία τῶν δύο, ἐπειδὴ ἐναλλάττεται τὸ εἶδος ἐπ' αὐτῶν. καθόλου οὖν, ὧν ἡ θέσις οὐ ποιεῖ
25 διαφοράν, ταῦτα οὐ λέγονται εἶναι κολοβά. οἷον ὕδωρ. πῦρ· ταὐτὸ γάρ ἐστιν ὕδωρ τὸ ἀφαιρούμενον τῷ καταλιμπανομένῳ, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πυρός· διό φησιν ἀλλὰ δεῖ τοιαῦτα εἶναι, ἃ κατὰ τὴν οὐσίαν θέσιν ἔχει. πρὸς δὲ τούτοις δεῖ αὐτὰ εἶναι καὶ συνεχῆ· ἡ γὰρ ἁρμονία ἐξ ἀνομοιομερῶν μὲν ὑπάρχει καὶ θέσιν ἔχει, κολοβὸς δὲ οὐ λέγεται φθειρομένης.
30 εἰ τύχοι, τῆς νήτης· τελείως γὰρ ἀπόλλυται ἡ ἁρμονία πᾶσα, δεῖ δὲ σώζεσθαι τὸ εἶδος ἐπὶ τῶν κολοβῶν. πρὸς δὲ τούτοις οὐδὲ ὅσα ἄλλα, οὐδὲ ταῦτα στερήσει τοῦ τυχόντος μορίου κολοβὰ γίνονται· οὐ γὰρ δεῖ οὔτε τὰ κυρίως μόρια τῆς οὐσίας ἀφαιρεῖν, οἷον κεφαλήν. ἐπεὶ φθείρεται τὸ πᾶν καί πως τὸ μὴ ὂν λεχθείη ἂν κολοβόν, οὔτε δὲ τὰ ὁπουοῦν ὑπάρχοντα,
35 οἷον ἂν σχοίη ⟨τρόπημα⟩ ἡ κύλιξ, οὐ λέγεται εἶναι κολοβός, ἐπειδὴ οὐκέτι ποιεῖ τὰ τῆς κύλικος (ἐκχεῖται γὰρ τὸ πόμα), ἀλλ' ἐὰν τὸ οὖς ἀκρωτηριασθῇ. καὶ ὁ ἄνθρωπος οὐκ ἐὰν σάρκα ἢ τὸν σπλῆνα ἀφαιρεθείη, ἀλλ'

---

2. 3 τὸ Φ. ψεῦσμα] cf. Platon. Reip. Γ p. 414 C 3 εἰπόντων scripsi: εἴπομεν libri 22 δεῖ μένειν om. D 29 μὲν om. D 31 ἄλλα] sic etiam Metaph. unus liber; ceteri ὅλα 34 ὁπουοῦν Aristoteles: οὔπω libri 35 post σχοίη desunt VII litterae AD: τρόπημα addidi

ἐὰν ἀκρωτηριασθῇ χεῖρα. εἴρηται γὰρ καὶ ἐν τῇ θεωρίᾳ ὅτι ἡ ἀφαίρεσις τῶν ὁμοιομερῶν οὐ ποιεῖ κολοβὸν τὸ καταλειφθέν, καὶ τὴν αἰτίαν προστεθείκαμεν. σπλῆνα δὲ ἔλαβεν ὡς μὴ φαινόμενον, ἐπεὶ ὀργανικόν ἐστι. καὶ ἀκρωτήριόν φησιν οὐ πᾶν, ἀλλ' ὃ μὴ ἔχει γένεσιν ἀφαιρεθὲν ὅλον, ὥσπερ ἐπὶ τῆς δεξιᾶς χειρός. διὰ τοῦτο οἱ φαλακροὶ οὐ λέγονται εἶναι f.248v κολοβοί, ἐπειδὴ ἐν ἄλλῳ τόπῳ φύονται τρίχες.

p. 1024a29 Γένος λέγεται τὸ μὲν ἐὰν ἡ γένεσις συνεχής.

Ἐντεῦθεν περὶ τοῦ γένους λέγει ἡμῖν ποσαχῶς λέγεται, καί φησιν ὅτι γένος λέγεται, ἐὰν ἡ γένεσις ᾖ συνεχὴς τῶν τὸ εἶδος ἐχόντων τὸ αὐτό, οἷον λέγεται ἕως ἂν * * * ἡ γένεσις αὐτῶν συνεχής. δεύτερον δὲ τὸ ἀφ' οὗ ἂν ὦσιν πρώτου κινήσαντος εἰς τὸ εἶναι· οὕτω γὰρ οἱ μὲν λέγονται Ἕλληνες εἶναι τὸ γένος, οἱ δὲ Ἴωνες τῷ τοὺς μὲν ἀπὸ Ἕλληνος κατάγεσθαι, τοὺς δὲ ἀπὸ Ἴωνος τοῦ πρώτου γεννήσαντος. μᾶλλον δὲ λέγονται ἀπὸ τοῦ ἄρρενος τοῦ ποιητικοῦ ἤπερ ἀπὸ τῆς θηλείας τοῦ ὑλικοῦ αἰτίου, οἷον ἀπὸ Πύρρας. τρίτον σημαινόμενόν ἐστι τοῦ γένους, καθ' ὃ φαμεν ὅτι τὸ ἐπίπεδον τῶν σχημάτων γένος ὡς ὑποκείμενον, καὶ τὸ στερεὸν τῶν στερεῶν· ἕκαστον δὲ τῶν σχημάτων τὸ μὲν ἐπίπεδον τοιονδί, τὸ δὲ στερεὸν τοιονδί· τοῦτο δέ ἐστι τὸ ὑποκείμενον ταῖς διαφοραῖς. τέταρτον σημαινόμενον ὡς ἐν τοῖς λόγοις τὸ πρῶτον ἐνυπάρχον, ὃ λέγεται ἐν τῷ τί ἐστι, τουτέστι τῶν παραλαμβανομένων εἰς τὸν ὁρισμόν, οὐτινος αἱ διαφοραὶ ποιότητες λέγονται. ὥστε τοσαυταχῶς λέγεται τὸ γένος, τὸ μὲν κατὰ γένεσιν συνεχῆ τοῦ αὐτοῦ εἴδους, τὸ δὲ κατὰ τὸ πρῶτον κινῆσαν ὁμοειδές. ὡς ἐπὶ τοῦ πατρός, τὸ δὲ ὡς ἡ ὕλη, τουτέστι τὸ ὑποκείμενον.

p. 1024b9 Ἕτερα δὲ τῷ γένει λέγεται.

Ἐντεῦθεν λέγει ἡμῖν περὶ τῶν ἑτερογενῶν, καί φησιν ὅτι ἕτερα δὲ τῷ γένει λέγονται εἶναι ὧν ἕτερόν ἐστι τὸ πρῶτον ὑποκείμενον καὶ μὴ ἀναλύεται θάτερον εἰς θάτερον, ὡς ἐπὶ τοῦ χαλκοῦ καὶ τοῦ κρυστάλλου εἰρήκαμεν, μηδὲ ἄμφω εἰς ταὐτόν. φησὶν αὐτός, οἷον τὸ εἶδος καὶ ἡ ὕλη ἕτερα τῷ γένει ὑπάρχουσιν· οὔτε γὰρ ἀναλύονται εἰς ἄλληλα. καὶ ὅσα ὑπὸ διαφόρους τελοῦσι κατηγορίας· τῶν γὰρ ὄντων τὰ μὲν οὐσίας δηλοῦσι, τὰ δὲ ποσόν, τὰ δὲ ποιόν, ὡς διήρηται ἐν Κατηγορίαις· οὔτε γὰρ εἰς ταὐτὰ ἀναλύονται, οὔτε εἰς ἄλληλα οὔτε εἰς ἕν τι· τὸ γὰρ ὄν f.249r ὁμωνύμως αὐτῶν κατηγορεῖται.

---

1 ἀκρωτηρισθῇ libri 10 lacunam indicavi: addendum ἀνθρώπων γένος ᾖ, ὅτι ἕως ἂν ᾖ 11 πρώτου ex Aristotele scripsi coll. vv. 13. 23: ὡς τοῦ libri 16 ὑποκείμενον scripsi: ὑποκειμένων libri 17 στερεὸν τῶν om. D ἕκαστον γὰρ Aristoteles 19 ὡς Aristoteles: ὧν libri 20 ὃ Aristoteles: οὗ libri τῶν D: incertus A 31. 32 οὐδὲ γὰρ ταῦτα Aristoteles

p. 1024ᵇ17 Τὸ ψεῦδος λέγεται ἕνα μὲν τρόπον ὡς [τὸ] πρᾶγμα.

Ἐντεῦθεν περὶ τοῦ ψεύδους λέγει ἡμῖν, καί φησιν ὅτι τὸ ψεῦδος λέγεται ἕνα μὲν τρόπον ὡς πρᾶγμα ψεῦδος· καὶ τούτου τὸ μὲν τῷ μὴ συγκεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι (ἁπλῆν γὰρ φύσιν δηλοῖ τὸ ψεῦδος ἐπὶ τῶν πραγμάτων), ὥσπερ λέγεται τὸ τὴν διάμετρον εἶναι σύμμετρον ἢ τὸ σὲ καθῆσθαι. τούτων γὰρ τὸ μὲν ἀίδιον ψεῦδος τὸ τῆς διαμέτρου, τὸ δὲ οὐκ ἀίδιον τὸ τοῦ καθῆσθαι· οὕτω γὰρ ὑπάρχουσι ταῦτα οὐκ ὄντα. τὰ δὲ λέγεται εἶναι ψευδῆ, ὅσα ἐστὶ μὲν ὄντα, πέφυκε μέντοι φαίνεσθαι ἢ μὴ οἷά ἐστιν ἢ ἅτινα παντελῶς μή ἐστιν, οἷον ἡ σκιαγραφία καὶ τὰ ἐνύπνια· ταῦτα γὰρ ἔστι μέν τι ἀλλ' οὐχ ὧν ἐμποιεῖ τὴν φαντασίαν, τουτέστιν οὐκ ἀληθῆ ὑπάρχουσιν· οὔτε γὰρ ὁ θεώμενος ἑαυτὸν [εἶναι] ἐν ὕπνοις ἱπτάμενον ἤδη παὶ πτερὰ ἔχει. τὰ μὲν οὖν οὕτω λέγονται εἶναι ψευδῆ, ἢ τῷ μὴ εἶναι αὐτὰ παντελῶς, ἢ τῷ τὴν ἀπ' αὐτῶν φαντασίαν μὴ ὄντως εἶναι, ὡς ἐν τῇ θεωρίᾳ ἐδείξαμεν. λόγος δέ ἐστι ψευδὴς ὁ τῶν μὴ ὄντων, καθὸ ψευδὴς ὑπάρχει· εἰ γὰρ ἀναιρεῖ τὸ μὴ ὄν, οὐκ ἔστι ψευδής. διὸ προσέθηκε τὸ καθὸ ψευδὴς ὑπάρχει. ὅθεν [ὁ] πᾶς λόγος ψευδὴς ἑτέρου παρ' ἐκεῖνον, ἐφ' οὗ καὶ ἀληθής ἐστιν, οἷον ὁ τοῦ κύκλου ἀληθὴς λόγος ψευδὴς γίνεται ἐπὶ τριγώνου. ἑκάστου δὲ πράγματος λόγος ἔστιν ὡς εἷς ἐστιν ὁ ὁριστικὸς αὐτοῦ λόγος, ἔστι δ' ὡς πολλοί, ἐπεὶ τὸ αὐτό ἐστι καὶ ἡ οὐσία ἅμα τοῖς συμβεβηκόσιν, ὅπερ ἐκάλεσε πεπονθός, οἷον Σωκράτης καὶ Σωκράτης μουσικός. ὁ δὲ ψευδὴς λόγος οὐδενός ἐστιν ἁπλῶς λόγος· διὸ καὶ Ἀντισθένης, φησίν, ἀνοήτως ὑπελάμβανε μηθὲν ἀξιῶν λέγεσθαι πλὴν τῷ οἰκείῳ λόγῳ ἓν ἐφ' ἑνός· ἐξ ὧν συνέβαινε μὴ εἶναι ἀντιλέγειν κατ' αὐτόν, σχεδὸν δὲ μηδὲ ψεύδεσθαι, εἴ γε ψεῦδος ὑπάρχει ὅπου ἀντιλογία· θάτερον γὰρ ἀνάγκη ἐστὶν ἀληθεύειν. ἔστι δὲ ἕκαστον λέγειν περί τινος οὐ μόνον [ἐν] τῷ αὐτοῦ λόγῳ, τουτέστιν ἀληθῶς f.249v περὶ τοῦ πράγματος, ἀλλὰ καὶ τῷ ἑτέρου, ψευδῶς μὲν καὶ παντελῶς, ἔστι δὲ ὡς καὶ ἀληθῶς, ὥσπερ τὰ ὀκτὼ διπλάσια ὑπάρχουσι τῷ τῆς δυάδος λόγῳ. τὰ μὲν οὖν οὕτως λέγονται ψευδῆ· ἄνθρωπος δὲ κυρίως λέγεται ψευδὴς ὁ εὐχερὴς καὶ προαιρετικὸς τῶν τοιούτων λόγων μὴ δι' ἕτερόν τι, οἷον διὰ κέρδος ἢ διὰ φιλοτιμίαν, ἀλλὰ καὶ δι' αὐτὸ τὸ ψεύδεσθαι. ἵνα ὑποθώμεθα αὐτὸν καὶ πλάττεσθαι τὸ ψεῦδος διὰ τὸ χαίρειν τῷ ψεύδει. ὥσπερ φαμὲν καὶ πράγματα ψευδῆ εἶναι, ὅσα ἐμποιεῖ φαντασίαν ψευδῆ, ὡς ἐπὶ τῆς σκιαγραφίας. διὸ ὁ ἐν τῷ Ἱππίᾳ λόγος παραλογίζεται ὅτι ὁ αὐτὸς ψευδὴς καὶ ἀληθὴς ὑπάρχει· τὸν δυνάμενον γὰρ ψεύσασθαι

---

1 τὸ delevi 2 τὸ ψεῦδος λέγεται—φρόνιμος (p. 357,1) eadem in Alex. cod. L occurrunt 11 εἶναι delevi 13 ὄντος Alex. cod. L 16 ψευδὴς Arist. et Alex. cod. L: ψευδὲς libri ὁ delevi 17 ἐκεῖνο scripsi: ἐκεῖνον A: ἐκείνου D 18 ἔστιν—πολλοί (19) om. D ὡς εἷς Aristoteles: ὅτι εἷς libri 19 ὁριστικὸς scripsi: κριτικὸς libri ἐπεὶ Aristoteles: ἐπὶ libri post ἐστι fort. excidit αὐτὴ ἡ οὐσία 26 ἐν delevi 34 ὁ ἐν τῷ Ἱππίᾳ λόγος] Platon. Hipp. min. p 373 C sqq.

λαμβάνει ἐκεῖσε ψευδῆ· οὗτος δέ, φησίν, ἐστὶν ὁ εἰδὼς καὶ φρόνιμος, ὁ εἰδὼς ψεύδεσθαι. δύναται γὰρ οὗτος, ἅτε δὴ ἐπιστήμων ὑπάρχων, καὶ ἐκκλίνειν τὰ ψευδῆ· τῶν γὰρ ἐναντίων μία ἐστὶν ἐπιστήμη. καί φησιν ἐκεῖσε ὅτι ὁ ἑκὼν λέγων τὰ ψεῦδα βελτίων ὑπάρχει τοῦ ἄκοντος ψευ-
5 δομένου. τοῦτο δὲ ψευδὲς κατασκευάζει ὁ Πλάτων διὰ τῆς ἐπαγωγῆς· φησὶ γὰρ ἐκεῖσε ὅτι, ὥσπερ ὁ ἑκὼν χωλεύων κρείττων ἐστὶ τοῦ ἄκοντος χωλεύοντος, οὕτως καὶ ἐπὶ τοῦ ψεύδους * * * φησίν, ἐπεὶ εἴ γε [ὁ] ἑκὼν χωλεύων, χείρων ἐστὶν ἴσως, ὥσπερ καὶ ἐπὶ τοῦ ἤθους, καὶ οὗτος, τουτέστιν ὁ ἑκὼν πηρώσας ἑαυτόν, τοῦ ἄκοντος.

10 p. 1025ᵃ14 Συμβεβηκὸς λέγεται.

Ἐντεῦθεν λέγει ἡμῖν περὶ τοῦ συμβεβηκότος, καί φησιν οὕτως ὅτι συμβεβηκὸς λέγεται, ὅπερ δυνατόν ἐστι καὶ ἀληθεύειν, οὐ μέντοι γε ἐξ ἀνάγκης οὔτε ὡς ἐπὶ τὸ πολύ, οἷον ἐάν τις ἐν τῷ ὀρύττειν καὶ φυτεύειν εὕρῃ θησαυρόν· οὔτε γὰρ ἐξ ἀνάγκης ἐστὶ τὸ τοιοῦτο οὔτε ὡς ἐπὶ τὸ πολὺ
15 ὀρύττων τις περιτυγχάνει θησαυρῷ. ἐπεὶ οὖν οὔτε ἐξ ἀνάγκης τοῦτό ἐστιν οὔτε ὡς ἐπὶ τὸ πολύ, συμβεβηκέναι αὐτὸ λέγομεν. ὥστε ἐπειδὴ ἔστιν ὑπάρχον τι καὶ τινί, καὶ ἔνια τούτων καὶ ποῦ καὶ ποτέ, ὅτι ἂν ὑπάρχῃ μέν, ἀλλὰ μὴ διότι τοδὶ ἢ νῦν ἢ ἐνταῦθα, τὸ τοιοῦτο f. 250r
συμβεβηκός ἐστιν, ὥσπερ ἐπὶ τοῦ προελθόντος δι' ἕτερόν τι πρᾶγμα καὶ
20 περιτυχόντος φίλῳ, ὃν οὐ προσεδόκα θεάσασθαι. ἄλλως τε δὴ οὐδέν ἐστιν αἴτιον ὡρισμένον τοῦ συμβεβηκότος, ἀλλὰ τὸ τυχόν, ὥσπερ τοῦ θέρους, εἰ τύχοι, τὸ εἶναι τὸν ἥλιον ἐν καρκίνῳ· τοῦτο δὲ ἀόριστον. συνέβη τὸ εἰς Αἴγιναν ἐλθεῖν, εἰ μὴ διὰ τοῦτο ἀφίκετο, ἀλλ' ὑπὸ χειμῶνος ἀναγκασθεὶς ἐκεῖσε παρεγένετο. ὥστε γέγονε τοῦτο καὶ ἔστι συμβεβηκός,
25 ἀλλ' οὐχ ᾗ αὐτὸ ἀλλὰ καθὸ ἕτερον· ὁ γὰρ χειμὼν αἴτιος τοῦ μὴ ὅπου ἔπλει ἐλθεῖν. λέγεται δὲ καὶ ἄλλως συμβεβηκός, οἷον ὅσα ὑπάρχουσιν ἑκάστῳ καθ' αὑτὸ μὴ ἐν τῇ οὐσίᾳ ὄντα, οἷον τῷ τριγώνῳ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἔχειν ἴσας· οὔτε γὰρ εἰς τὸν ὁρισμὸν τοῦ τριγώνου παραλαμβάνεται. καὶ ταῦτα μέν, φησίν, ἀίδια ὑπάρχουσιν, ἐκεῖνα
30 δὲ οὐκ ἀίδια τὸ περὶ Αἰγίνης καὶ τοῦ θησαυροῦ. ἐν τῷ δευτέρῳ δὲ τῶν Ἀποδεικτικῶν λέγεται ἀκριβέστερον περὶ τούτων.

1 οὗτος Aristoteles: οὕτως libri ὁ τὸ ἀληθὲς εἰδὼς μάλιστα Alex. cod. L 7 lacunam indicavi: addendum ἔχει· τὸ δὲ ἑκόντα χωλαίνειν τὸ μιμεῖσθαι ὁ delevi 14 ἐξ ἀνάγκης τοῦτό ἐστιν D 15 ὀρύττων — πολύ (16) om. D 17 ἔνια τούτων Aristoteles: ἑνὶ αὐτοῦ τε τῶν libri 22 τοῦτο δὲ ἀόριστον Aristoteles: τοῦ δ' ἀορίστου libri 23 τὸ] sic etiam Metaph. duo codices: τῳ cum reliquis Bekk. 30. 31 ἐν τῷ δευτέρῳ τῶν Ἀποδεικτικῶν] Anal. post. B 12. 13

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ε ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ. f.250v

p. 1025b3 Αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητεῖται τῶν ὄντων· δῆλον γὰρ ὅτι ᾗ ὄντα.

Σκοπός ἐστι τῷ Ἀριστοτέλει εἰπεῖν ἐν τῷ Ε περὶ τοῦ κατὰ συμβε-
5 βηκὸς ὄντος. ἐπειδὴ δὲ τῆς πρώτης φιλοσοφίας ἐστὶν ἔργον διαλεχθῆναι περὶ πάντων τῶν ὄντων, καθὸ ὄντα ἐστί, δῆλον ὅτι οὐ διαλέξεται περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος (τοῦτο γὰρ ἀόριστόν ἐστι καὶ ἀπερίληπτον), εἰ μήτι γε ἄρα ἄλλῳ τινὶ γένοιτο καθ' αὑτὸ τὸ ἄλλῳ ὑπάρχον κατὰ συμβεβηκός. ὁ γοῦν πρῶτος φιλόσοφος διαλέξεται περὶ τοῦ καθ' αὑτὸ ὄντος. τοῦτο δὲ
10 τὸ καθ' αὑτὸ ὄν, ὡς καὶ ἀνωτέρω εἴρηται, θεωρεῖται καὶ ἐν οὐσίᾳ καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ καὶ ἐν ταῖς ἄλλαις πάσαις κατηγορίαις. οὔτε δὲ περὶ τοῦ ὡς ἀληθοῦς διωρισμένου καὶ ψευδοῦς ὄντος διαλέξεται ἡ πρώτη φιλοσοφία, ἐπειδὴ περὶ τοῦ ἁπλῶς ὄντος διαλέγεται, τουτέστι τοῦ ἁπλουστάτου, ἡ δὲ ἀλήθεια καὶ τὸ ψεῦδος. τὸ ἐνταῦθα δηλονότι. περὶ σύνθεσιν καὶ δια-
15 ρεσιν θεωρεῖται. οὔτε δὲ περὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ ὄντος, ἀλλ' ὡς εἴρηται πολλάκις, περὶ τοῦ ἁπλῶς ὄντος, τουτέστι τοῦ καθ' αὑτὸ ὄντος. ἐπεὶ δὲ ἑκάστη τέχνη καὶ ἐπιστήμη πρότερον περὶ τῶν αἰτίων διαλέγεται, καὶ τότε περὶ τῶν ὑποβεβλημένων αὐτῇ πραγμάτων, οἷον γεωμετρία πρότερον λέγει ἡμῖν τί ἐστι σημεῖον καὶ τί ἐστι γραμμή, ὁμοίως καὶ ἀριθμη-
20 τικὴ τί μονάς, ὡσαύτως καὶ ἰατρικὴ ὅτι ἐκ τεσσάρων στοιχείων τὰ σώματα συνεστήκασι, καὶ ὅτι τέσσαρες χυμοὶ ὑπάρχουσιν, ὡσαύτως δὲ καὶ οἰκοδομικὴ καὶ αἱ ἄλλαι πᾶσαι, οὕτως οὖν καὶ ὁ Ἀριστοτέλης ἐνταῦθά φησιν ὅτι δεῖ διαλεχθῆναι τὴν πρώτην φιλοσοφίαν καὶ θείαν περὶ τῶν f.251r
ἀρχῶν πρότερον, τουτέστι τῶν ἐξῃρημένων πάντων τῶν ὄντων κατὰ φύσιν.
25 καὶ οὐκ ἔστιν ἡ φυσιολογία ἡ αὐτὴ τῇ πρώτῃ φιλοσοφίᾳ, ὡς ἄν τις ὑπολάβοι, ἐπειδὴ περὶ πάντων τῶν φυσικῶν διαλέγεται· οὔτε γὰρ περὶ πάντων ἁπλῶς τῶν ὄντων διαλέγεται, ἀλλὰ περὶ μόνων τῶν ἐν κινήσει ὑπαρχόντων. ἡ δὲ πρώτη φιλοσοφία ἁπλῶς περὶ πάντων τῶν ὄντων. διαλέγεται οὖν ἐνταῦθα περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος δεικνὺς ὅτι οὐ δια-

12 ἀληθοῦς scripsi: ἀληθῶς libri 17 ἐπειδὴ D 26 οὔτε] οὐ τῶν D

λέξεται περὶ αὐτοῦ ἡ πρώτη φιλοσοφία, οὔτε δὲ περὶ τοῦ ἀληθοῦς καὶ ψευδοῦς, ἢ ⟨τοῦ⟩ δυνάμει καὶ ἐνεργείᾳ. ἐν δὲ τῷ Ζ διαλέγεται περὶ τοῦ ἁπλῶς καὶ καθ' αὑτὸ ὄντος. καὶ ἐντεῦθεν ἀναφαίνεται ἡμῖν ἡ διαίρεσις τῆς φιλοσοφίας, ὅτι εἰκότως εἰς δύο τμήματα διαιρεῖται εἴς τε τὸ πρακτικὸν καὶ εἰς τὸ θεωρητικόν. φησὶ γὰρ ὅτι πᾶσα ἐπιστήμη ἢ θεωρητική ἐστιν ἢ ποιητικὴ ἢ πρακτική. εἰ τοίνυν ἡ φιλοσοφία μή ἐστι ποιητική (οὔτε γὰρ ποιεῖ τι ἀποτέλεσμα, ἀλλὰ μόνον γινώσκει καὶ πράττει ἃ γινώσκει), δῆλον ὅτι εἰς δύο ταῦτα μόνα διαιρεῖται, εἴς τε τὸ θεωρητικόν φημι καὶ τὸ πρακτικόν.

p. 1025b3 Αἱ ἀρχαὶ καὶ τὰ αἴτια τῶν ὄντων ζητεῖται.

Ἀνιχνεῦσαι βουλομένη ἡ πρώτη φιλοσοφία τὰς ἀρχὰς καὶ τὰ αἴτια τῶν ὄντων, καθὸ ὄντα ἐστίν. οὐ μόνον δὲ αὕτη ἀλλὰ καὶ πᾶσα ἐπιστήμη, οἷον ὡς ἐπὶ ἰατρικῆς ἔστι τι αἴτιον ὑγιείας καὶ εὐεξίας τὸ ἔχειν τοὺς χυμοὺς ἄριστα κεκραμένους, δῆλον ὅτι ἐναντίους νόσου. ὁμοίως δὲ καὶ τῶν μαθημάτων εἰσὶν ἀρχαί, οἷον γεωμετρίας, ὅτι ἀμερὲς τὸ σημεῖον καὶ ὅτι ἡ γραμμὴ ἀπλατὴς ὑπάρχει, καὶ καθόλου φάναι πᾶσα ἐπιστήμη διανοητική, τουτέστιν ἡ λόγῳ μόνῳ χρωμένη, ὥσπερ γεωμετρία, ἢ μετέχουσά τι διανοίας, ὥσπερ ἡ λογική ἢ καὶ ἔργῳ χρωμένη, τουτέστιν αἰσθήσει, f.251v καθάπερ ἡ ἁρμονική (κέχρηται γὰρ καὶ ἀκοῇ πρότερον) περὶ ἀρχὰς καταγινομένη ἢ ἀκριβεστέρα καὶ ὥσπερ λόγῳ μόνῳ χρωμένη, ἢ ἁπλουστέρα ὡς λόγῳ καὶ αἰσθήσει. πᾶσαι δὲ αὗται αἱ τέχναι περὶ μερικόν τι ὂν καταγίνονται, οἷον ἡ ἰατρικὴ περὶ τὸ ἀνθρώπινον σῶμα, ἀστρονομία περὶ τὸ οὐράνιον σῶμα, γεωμετρία περὶ τὰ μεγέθη· περὶ δὲ τοῦ ἁπλῶς ὄντος οὐδεὶς ἐξ αὐτῶν, φησίν, οὐδὲ καθὸ ὄν, οὔτε δὲ πάλιν τοῦ τί ἐστι λόγον ποιοῦνται, οἷον ὁ γεωμέτρης οὐκ ἀποδείκνυσι τὴν οἰκείαν ἀρχήν· οὐ λέγει γὰρ τί ἐστι σημεῖον, ἀλλ' ὁμολογούμενον αὐτὸ λαμβάνει ὅτι ἀμερὲς ὑπάρχει· ὁμοίως δὲ καὶ ἰατρικὴ καὶ αἱ ἄλλαι πᾶσαι ἐπιστῆμαι. καὶ εἰκότως τοῦτο ποιοῦσιν· οὐδὲ γὰρ δυνατόν ἐστι τὰς ἀρχὰς ἀποδεῖξαι. ἐπεὶ κἀκεῖναι ἔσονται ἀποδεικταί, καὶ οὕτως ἐπ' ἄπειρον ὁδεύσομεν, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ. τὰς ἀρχὰς οὖν αἱ μὲν τῶν ἐπιστημῶν ἐξ αἰσθήσεως ποιοῦνται δήλας, ὥσπερ ὁ ἀστρονόμος ὅτι σφαιρικόν ἐστι τὸ σχῆμα τοῦ οὐρανοῦ ἐκ τοῦ ὁρᾶν τοὺς ἀστέρας ἐκ τῶν αὐτῶν τόπων ἀεὶ ἀνατέλλοντας καὶ δύνοντας, καὶ ὅσα εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ τῆς Μεγάλης συντάξεως· ἄλλαι δὲ ὑπόθεσιν λαβοῦσαι τὸ τί ἐστιν, ὥσπερ γεωμετρία ὅτι ἀμερὲς τὸ σημεῖον, οὕτω λοιπὸν τῶν καθ' αὑτὰ ὑπαρχόντων τῷ γένει, τουτέστι τῷ ὑποκειμένῳ περὶ οὗ διαλέγονται, τὰς ἀποδείξεις ποιοῦνται, ὡς γεωμετρία ἀποδείκνυσιν ἐν τῷ πρώτῳ θεωρήματι καὶ δευτέρῳ καὶ τοῖς ἐφεξῆς, ἢ ἀναγκαιότερον, ὥσπερ αἱ λόγοις χρώμεναι, ἢ μαλακώτερον, ὥσπερ αἱ λόγῳ καὶ αἰσθήσει. καὶ ἐκ τῆς τοιαύτης ἐπαγωγῆς οὐκ ἔστιν ἀπόδειξις οὔτε

2 τοῦ addidi 11 ὄντα Aristoteles: αὐτὰ libri 16 ἡ scripsi: ἢ libri 19 ἀκριβεστέρας—ἁπλουστέρας Aristoteles 26 αἱ om. D 28. 29 ἐν τῇ Ἀποδεικτικῇ πραγματείᾳ] Anal. post. A 3 32 τῆς Μεγάλης συντάξεως] Ptolem. M. σ. A 3 37 αἱ (ante λόγῳ) scripsi: ἢ A, om. D

οὐσίας οὔτε τοῦ τί ἐστιν· οὐ γὰρ ἀποδείκνυσιν ὁ ἀριθμητικὸς ὅτι εἰσὶν f. 252r
ἀριθμοί, οὐδ' ὁ γεωμέτρης ὅτι εἰσὶ μεγέθη, ἀλλὰ ταῦτα ὡς ὁμολογούμενα
λαμβάνει. οὔτε δὲ τὸ τί ἐστι· τῶν γὰρ ὁρισμῶν οὐκ ἔστιν ἀπόδειξις· οὐ
γὰρ ἀποδείκνυσιν ὁ γεωμέτρης τί ἐστι τὸ σημεῖον ἢ τί ἐστι γραμμή, ἀλλ'
5 ὅτι ἐστὶ μόνον ὑποτίθεται. διὰ τοῦτο οὖν, ὡς εἴρηται, οὐκ ἀποδεικνύουσιν,
εἴτε ἐστὶ τὸ ὑποκείμενον αὐτοῖς εἴτε μή ἐστιν, οἷον, ὡς εἰρήκαμεν, οὐ
δείκνυσιν ὁ γεωμέτρης ὅτι εἰσὶ μεγέθη, ἀλλ' ὡς ὁμολογούμενον τοῦτο λαμ-
βάνει. τῆς αὐτῆς γάρ ἐστι διανοίας τὸ εἰπεῖν εἰ ἔστι καὶ τί ἐστι· πρό-
τερον γὰρ τὸ εἰ ἔστι τοῦ τί ἐστι. πῶς οὖν δυνατὸν αὐτοὺς ἀποδεῖξαι τὸ
10 τί ἐστι, μὴ ἀποδείξαντας ὅλως τὸ εἰ ἔστι μέγεθος;

p. 1025b18 Ἐπεὶ δὲ καὶ ἡ φυσικὴ ἐπιστήμη τυγχάνει οὖσα περὶ
γένος τι τοῦ ὄντος.

Ἐντεῦθεν ἀποδείκνυσιν ὅτι οὐ δυνατὸν εἶναι τὴν φυσιολογίαν καὶ πρακτι-
κὴν οὔτε δὲ ποιητικήν, ἀλλὰ μόνον θεωρητικήν· καί φησιν ὅτι ἐπὶ τῶν ποιη-
15 τικῶν καὶ πρακτικῶν τὰ ποιητικὰ αἴτια ἔξωθεν ὑπάρχουσιν, οἷον ποιητικὸν
αἴτιον τῆς οἰκίας ὁ οἰκοδόμος, καὶ οὐκ ἔστιν ἐν αὐτῷ τῷ οἴκῳ ἀλλ' ἔξωθεν·
ὁμοίως ὁ στρατηγὸς ποιητικός ἐστι τῆσδε τῆς μάχης, καὶ οὐκ ἔστιν ἐν αὐτῇ τῇ
πράξει ἀλλ' ἔξωθεν. εἰ οὖν ἡ φύσις ἐν αὐτῷ ἐστι τῷ ἔργῳ ἐν ᾧ καὶ ποιεῖ
(περὶ γὰρ τὴν τοιαύτην ἐστὶν οὐσίαν, ἐν ᾗ ἡ ἀρχὴ τῆς κινήσεως καὶ
20 στάσεως ἐν αὐτῇ), δῆλον ὅτι οὔτε πρακτική ἐστιν οὔτε δὲ ποιη-
τική. τῶν μὲν γὰρ ποιητικῶν ἐν τῷ ποιοῦντί ἐστιν ἡ ἀρχὴ ἢ νοῦς
ἢ τέχνη ἢ δύναμις ἑτέρα· τῶν δὲ πρακτικῶν ἡ προαίρεσις ἐν
τῷ πράττοντι. εἰ οὖν πᾶσα διάνοια ἢ πρακτική ἐστιν ἢ ποιη-
τική, δῆλον ὅτι ἡ φύσις θεωρητική τις ἂν εἴη, ἀλλὰ θεωρητικὴ
25 περὶ τοιοῦτον ὃν ὅ ἐστι δυνατὸν κινεῖσθαι (περὶ γὰρ τῶν ἀκινήτων
ἡ πρώτη φιλοσοφία διαλέξεται), καὶ περὶ οὐσίας διαλέξεται κυρίως τῆς f. 252v
κατὰ τὸ εἶδος, ἥτις ἐστὶν ἀχώριστος· τὰ γὰρ φυσικὰ εἴδη ἔνυλα ὑπάρχουσι.
διαλέγεται δὲ καὶ περὶ τῆς ὕλης ἔστιν ὅτε διὰ τὸ εἶδος αὐτό.

p. 1025b28 Δεῖ δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον πῶς ἐστι μὴ λαν-
30 θάνειν, ὡς ἄνευ γε τούτου τὸ ζητεῖν μηδὲν ποιεῖν ἐστιν.

Δείξας διὰ τῶν προλαβόντων ὅτι οὐ καταγίνεται ἡ φυσικὴ περὶ πάντα
τὰ ὄντα ἀλλὰ περὶ μόνα τὰ ἐν κινήσει ὑπάρχοντα (οὐ γὰρ ὁήπου διαλέ-
γεται καὶ περὶ τῶν ἀύλων καὶ ἀκινήτων, ὥστε οὐ μόνη ἐστὶν ἡ φυσιολο-
γία), ἐντεῦθεν λοιπὸν ἀποδίδωσι τὴν διαφορὰν τῆς πρώτης φιλοσοφίας καὶ
35 τῆς φυσιολογίας καὶ τῆς μαθηματικῆς· αἱ τρεῖς γὰρ αὗται ἐπιστῆμαι θεω-
ρητικαὶ ὑπάρχουσι μόναι· καί φησιν ὅτι ἡ πρώτη φιλοσοφία καταγίνεται

---

10 ἀποδείξαντος D 11 ἐπειδὴ D 19 ἡ om. D 21 ἡ ἀρχὴ om. D
23. 24 post ποιητικὴ addendum ἢ θεωρητική 30 ἐστὶ ποιεῖν D 33 ἀύλων] αὐτῶν D

περὶ τὰ ἄυλα καὶ χωριστὰ τῆς ὕλης παντελῶς καὶ ἀκίνητα. ἡ μέντοι γε φυσιολογία καταγίνεται περὶ τὰ ἔνυλα εἴδη τὰ παντελῶς ἀχώριστα τῆς ὕλης καὶ περὶ τὰ ἐν κινήσει θεωρούμενα, ἡ μέντοι γε μαθηματικὴ καὶ αὐτὴ καταγίνεται περὶ τὰ εἴδη τὰ ἀχώριστα τῆς ὕλης, ἅτινα καὶ αὐτὰ κατὰ μὲν
5 οὐσίαν ἀχώριστα ὑπάρχουσι. τῇ δὲ ἐπινοίᾳ δυνατόν ἐστι ταῦτα χωρίσαι ἐκ τῆς ὕλης. χωρίζει γὰρ τὸ εἶδος τοῦ κύκλου ὁ μαθηματικός, καὶ οὕτως αὐτὸ ὁρίζεται σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον· διὸ καὶ ἐφαρμόττει ὁ ὁρισμὸς οὗτος παντὶ κύκλῳ μεγίστῳ καὶ ἥττονι. δεῖ οὖν τὸν φυσικὸν διαλέγεσθαι περὶ τῶν ἐνύλων εἰδῶν καὶ λέγειν καὶ τὰς διαφορὰς
10 αὐτῶν, οἷον οὐ μόνον δεῖ λέγειν περὶ τοῦ σχήματος τῆς χειρὸς ὅτι τοιόνδε, ἀλλὰ καὶ περὶ τῆς ἐνεργείας αὐτῆς, οἷον ὅτι ἐστὶν ἀντιληπτικὴ καὶ ἀποβλητική· εἰ γὰρ μόνον περὶ τοῦ σχήματος εἴποι, οὐδὲν ἕτερον λέξει ὡς ἂν εἰ καὶ περὶ χειρὸς ἀνδριάντος διαλέξεται. ὁμοίως δὲ καὶ ἐπὶ ὀφθαλμοῦ f.253r
οὐ μόνον δεῖ λέγειν ὅτι σφαιρικός ἐστιν, ἀλλὰ καὶ τῆς ἐνεργείας αὐτοῦ δεῖ
15 μνημονεύειν, ὅτι τὸ ἀντιληπτικὸν τῶν χρωμάτων. ὥστε δεῖ τὸν φυσικὸν μὴ μόνον τῶν σχημάτων μνημονεύειν, ἀλλὰ καὶ τῶν ἐνεργειῶν τῶν μορίων, ἐπεὶ οὕτως οὐδὲν ἔσται ὁριζόμενος, εἰ μήτι γε ὁμωνύμως, καθάπερ εἰρήκαμεν. ὡς οὖν εἴρηται, ὁ μὲν φυσικὸς περὶ τῶν ἀχωρίστων εἰδῶν παντελῶς διαλέξεται, ὁ μέντοι γε μαθηματικὸς περὶ τῶν ἀχωρίστων μὲν
20 κατ' οὐσίαν, τῇ δὲ ἐπινοίᾳ χωριζομένων. διὸ ἡ μὲν σιμότης, ὅτι κοίλανσις ἐν ῥινί, οὐδὲ κατ' ἐπίνοιαν δύναται νοηθῆναι (οὐ θεωρεῖται γὰρ ἄνευ ῥινός ποτε), ἡ μέντοι γε κοιλότης ἐν πλείοσιν ὑποκειμένοις θεωρεῖται, καὶ ἐν ῥινὶ καὶ ἐν ἐπιφανείᾳ, καὶ διὰ ταύτην τὴν αἰτίαν δυνατὸν καὶ κατ' ἐπίνοιαν αὐτὴν χωρίσαι τοῦ ὑποκειμένου. εἶτα λοιπὸν ἀπορεῖ λέγων ὅτι
25 πῶς φαμεν τὴν πρώτην φιλοσοφίαν περὶ πάντων τῶν ὄντων ἁπλῶς διαλέγεσθαι ἢ ὄντα ἐστίν· οὐ γὰρ περὶ πάντων τῶν ὄντων διαλέγεται· οὐ γὰρ δήπου καὶ περὶ τῶν φυσικῶν καὶ τῶν ἐν κινήσει ὄντων, ἀλλὰ περὶ μόνων τῶν ἀύλων καὶ ἀκινήτων. λέγομεν οὖν πρὸς τοῦτο ὅτι καθὸ μὲν περὶ ἀύλων μόνων διαλέγεται, περὶ μερικῶν μόνων διαλέγεται, καθὸ δὲ τὰ ἄυλα
30 ταῦτα καὶ ἀκίνητα ἀρχαί εἰσι τῶν πάντων καὶ πηγαί (δεῖ γὰρ πρὸ τῶν κινουμένων εἶναι τὰ ἀκίνητα), δῆλον ὅτι περὶ πάντων τῶν ὄντων διαλέγεται. εἶτα περὶ τῶν ἀρχῶν φησιν, ἐξ ὧν τοῖς ἄλλοις τὸ εἶναι. ταύτας δὲ τὰς ἀρχὰς ἀνάγκη ἀιδίους εἶναι. εἰ γάρ, φησίν, ὑποθώμεθα αὐτὰς φθείρεσθαι, εἰς ἐκείνας ἀναλυθήσονται, ἐξ ὧν καὶ γεγόνασιν, ὥστε εἰς ἑτέρας
35 ἀρχάς, καὶ περὶ ἐκείνων πάλιν ἐρωτήσω εἰ ἄφθαρτοί εἰσιν ἢ φθαρταί. εἰ μὲν οὖν ἀίδιοι, ἔχω τὸ ζητούμενον, εἰ δὲ φθαρταί, ἐπ' ἄπειρον πρόεισι, f.253v
καὶ οὕτως ἀναιρεῖται γένεσις διὰ τὸ μὴ δύνασθαι ἐπεξιέναι τὸ ἄπειρον.

p. 1025b28 Δεῖ δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον πῶς ἐστι μὴ λανθάνειν.

40 Δεῖ δὲ τὸν φυσικὸν εἰδέναι τὸν ὁρισμὸν τοῦ πράγματος, περὶ οὗ ποιεῖ-

14 λέγει libri 21 νοηθῆναι] legendum χωρισθῆναι 25 τῶν om. D

ται τὸν λόγον, καὶ τὰς διαφορὰς αὐτοῦ (ἄνευ γὰρ τούτων τὸ ἀληθὲς οὐ κατορθοῖ), ὥσπερ καὶ τὸν οἰκοδόμον δεῖ εἰδέναι τὴν διαφορὰν τῶν λίθων καὶ τῶν ξύλων, καὶ τὸν ἰατρὸν τὰς διαφορὰς τῶν σωμάτων καὶ τῶν κράσεων, εἰ μέλλοι τῷ ὄντι ἰατρὸς εἶναι. φησὶν οὖν ὅτι οἱ μὲν τῶν ὁρισμῶν οὕτως ὑπάρχουσιν ὡς τὸ σιμὸν τὸ ἐν ῥινί, μηδὲ τῇ ἐπινοίᾳ δυνάμενοί ποτε χωρίζεσθαι τῆς ὕλης, οἱ δὲ ὡς τὸ κοῖλον, δυνάμενοι κατ' ἐπίνοιαν χωρισθῆναι. διό φησιν ὅτι διαφέρουσιν ἀλλήλων ταῦτα, ὅτι τὸ μὲν σιμὸν συνειλημμένον ἐστίν, ἀντὶ τοῦ οὐδὲ κατ' ἐπίνοιαν χωρίζεται τῆς ὕλης, ἅτε δὴ μετὰ τῆς ὕλης ὑπάρχον (ἔστι γὰρ τὸ σιμὸν οὐδὲν ἕτερον ἢ κοίλη ῥίς), ἡ δὲ κοιλότης ἄνευ ὕλης αἰσθητῆς ὑπάρχει. καλῶς δὲ εἶπε τὸ αἰσθητῆς διὰ τὸν ὁρισμόν, ὥσπερ αἱ προτάσεις εἶναι ὕλη λέγονται τοῦ συλλογισμοῦ· οὕτως δὲ καὶ ὁ ὁρισμὸς ἕτερον ὂν τοῦ εἴδους ὕλη γίνεται τῆς κοιλότητος. οὗτος δὲ ὁ λόγος, διὸ οὐκ αἰσθητὸν πρᾶγμα ὑπάρχει· ἐὰν δὲ εἴπω σχῆμα ἐπίπεδον τοιῶσδε ὑπάρχον. λόγον εἶπον μὴ προσχρησάμενος αἰσθήσει. εἰ τοίνυν πάντα τὰ φυσικὰ πράγματα ὁμοίως τῷ σιμῷ λέγεται, οἷον ῥίς, ὀφθαλμός, πρόσωπον, σάρξ, ὀστοῦν, καὶ τὰ ἄλλα τοῦ ζῴου μόρια οὔτε κατ' ἐπίνοιαν δυνάμενα χωρισθῆναι ἀλλ' ἐν ἑνὶ καὶ τῷ αὐτῷ ὑποκειμένῳ θεωρούμενα, ὁμοίως δὲ καὶ ἐπὶ φύλλου καὶ φλοιοῦ καὶ συκῆς καὶ ἁπλῶς φυτοῦ (ὁ γὰρ ὁρισμὸς αὐτῶν οὐ δύναται ἀποδοθῆναι ἄνευ κινήσεως, τουτέστιν ἐνεργείας, ὡς ἐλέγομεν· τὰ μὲν γὰρ τεχνητὰ δυνατὸν ὁρίσασθαι ἄνευ τῆς αὐτῶν ἐνεργείας· ἀκίνητα γὰρ ὑπάρχουσι· τὰ μέντοι γε φυσικὰ οὐ δυνατόν), ὥστε ἐντεῦθεν μεμαθήκαμεν πῶς δεῖ ὁρίζεσθαι τὰ φυσικὰ f. 251r πράγματα, ὅτι μετὰ τοῦ σχήματος, μνημονεύειν δὲ καὶ τῆς ἐνεργείας αὐτῶν. διὸ καὶ ἐνίας τῶν ψυχῶν οὕτω δεῖ ὁρίζεσθαι, ὅσαι μὴ δύνανται ἄνευ ὕλης εἶναι, ὥσπερ τὴν φυσικήν. ἀνακηρύττει τοίνυν τὴν ἑαυτοῦ διάνοιαν καὶ ἐντεῦθεν ὁ Ἀριστοτέλης περὶ τῆς ἀθανασίας τῆς λογικῆς ψυχῆς, ὅτι οἶδε ψυχὴν καὶ χωριστὴν ὕλης, εἴ γε φησὶν ἐνταῦθα ὅτι ὅση μὴ ἄνευ τῆς ὕλης ἐστὶν ὡς οὐσία καὶ χωριστὴ ψυχή.

p. 1026a6 Ὅτι μὲν οὖν ἡ φυσικὴ θεωρητική ἐστι, δῆλον ἐν τούτων.

Ἐντεῦθεν συνάγει τὰ εἰρημένα καί φησιν ὅτι φανερὸν ἡμῖν γέγονεν ὅτι ἡ φυσικὴ θεωρητικὴ ἐπιστήμη ἐστίν· οὔτε γὰρ πρακτικὴ δύναται εἶναι οὔτε ποιητική, ὡς καὶ τῇ προτεραίᾳ εἴρηται· ἡ μὲν γὰρ ἔξωθεν ἔχει τὰ ποιητικὰ αἴτια, ἡ μέντοι γε φυσικὴ ἐν ἑαυτῇ, ἀρχὴ κινήσεως καὶ ἠρεμίας ὑπάρχουσα. δῆλον δ' ὅτι καὶ ἡ μαθηματικὴ θεωρητική ἐστιν ἡ κυρίως· οὐδὲν γὰρ πράττει, εἰ μήτι γε αἱ ὑποβεβηκυῖαι αὐτήν, οἷον μηχανικὴ καὶ ὅσαι τοιαῦται ὑπάρχουσιν. ἡ μέντοι γε μαθηματικὴ εἰ περὶ χωριστὰ εἴδη καταγίνεται καὶ κατ' οὐσίαν ἀκίνητα, οὔπω δῆλον, ἐπειδὴ μέλλει προϊὼν

5 ποτε — δυνάμενοι (6) om. D 9 ὑπάρχον scripsi: ὑπάρχοντα libri 13 κοιλότητος scripsi: κοινότητος libri οὗτος scripsi: οὕτως libri 13. 14 fort. ἐὰν γὰρ 14 προσχρησάμενος scripsi: προχρησάμενος libri 17 ἐν om. D 25 τὴν φυσικήν scripsi: τῆς φυσικῆς libri 31 θεωρητικὴ scripsi: θεωρία libri

διελέγξαι ταύτην τὴν δόξαν. ἐνίσταται δὲ πρὸς Πλάτωνα λέγοντα εἶναι αὐτογραμμὴν ἐν ὑποστάσει καὶ κύκλον καὶ αὐτοζῷον αὐτὰ καθ' αὑτὰ ὑπάρχοντα, πρὸς ἃ ἀφορῶν ὁ δημιουργὸς παράγει ἃ παράγει· εἰ μήτι γε διὰ τούτων λόγον τινὰ ἐδήλου καὶ οὐκ οὐσίας αὐτὰς καθ' αὑτὰς ὑπαρχούσας, εἰς ἃς ἀποβλέπων ὁ δημιουργὸς παράγει ἃ ποιεῖ.

p. 1026a9 Ὅτι μέντοι ἔνια μαθήματα.

Φησὶν ὅτι περὶ τὰ εἴδη ἡ μαθηματικὴ θεωρία, καθὸ ἀκίνητα ὑπάρχουσι καὶ χωριστά, ὥσπερ γεωμετρία καὶ ἀριθμητική. αὐτὸ γὰρ τὸ εἶδος ἐπισκοπεῖ τοῦ κύκλου ὡς χωριστόν, ὅπερ ἐστὶν ἀκίνητον, καὶ τὸ εἶδος τοῦ ἀριθμοῦ ὁ ἀριθμητικός. ὀπτικὴ μέντοι καὶ μηχανικὴ οὐκέτι ὁμοίως· f.254v περὶ κινητὰ γὰρ καταγίνονται καὶ ἔνυλα. τὸ γοῦν διαλεχθῆναι περὶ ἀιδίων καὶ ἀκινήτων (πρόσκειται † ἔν τισι) θεωρητικῆς φιλοσοφίας ἐστὶ τῆς πρώτης, οὐ μέντοι φυσιολογίας· αὕτη γὰρ περὶ κινητῶν πραγμάτων διαλέγεται. τουτέστιν ἐν κινήσει τὸ εἶναι ἐχόντων. οὔτε δὲ ἡ μαθηματικὴ περὶ τῶν παντάπασι χωριστῶν διαλέγεται καὶ ἀκινήτων τῶν ἐχόντων τὴν οὐσίαν αὐτὴν καθ' αὑτὴν ἄνευ ὕλης, ἀλλ' ἡ προτέρα τούτων, τουτέστιν ἡ θεολογική, διαλέγεται περὶ τούτων. ἡ μὲν γὰρ φυσιολογία διαλέγεται περὶ ἀχωρίστων εἰδῶν ἀλλ' οὐκ ἀκινήτων· τῆς δὲ μαθηματικῆς ἔνια περὶ ἀκίνητα, ὥσπερ γεωμετρία (καλῶς δὲ εἶπεν ἔνια διὰ τὴν ὀπτικήν), οὐ χωριστὰ δὲ ἴσως. πάλιν δὲ τὸ ἴσως προστέθεικε διὰ τοὺς Πλατωνικοὺς ὡς μέλλων δεικνύναι ὅτι οὐκ ἔστιν αὐτογραμμὴ ἐνυπόστατος ἢ ὑπάρχουσα αὐτὴ καθ' αὑτήν, οὔτε δὲ αὐτοζῷον, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων· ἐν ὕλῃ γὰρ τὸ εἶναι ἔχουσι ταῦτα, οἱ δὲ μαθηματικοὶ τῇ ἐπινοίᾳ αὐτὰ χωρίζουσιν. ἡ δὲ πρώτη φιλοσοφία καὶ περὶ χωριστὰ εἴδη καταγίνεται καὶ κατ' οὐσίαν παντάπασιν ἀκίνητα· λέγει δὲ τοὺς νόας.

p. 1026a16 Ἀνάγκη δὲ πάντα μὲν τὰ αἴτια ἀίδια εἶναι.

Φησὶν ὅτι πᾶσα ἀνάγκη τὰ αἴτια ἀίδια εἶναι. εἰ γὰρ ὑποθώμεθα τὴν ἀρχὴν φθείρεσθαι, εἰς ἄλλην ἀρχὴν φθαρήσεται, καὶ τοῦτο ἐπ' ἄπειρον· ὥστε πᾶσα ἀνάγκη, φησί, τὰ αἴτια ἀίδια εἶναι, μάλιστα δὲ τὰ πρῶτα καὶ αἴτια τῶν οὐρανίων, τουτέστι τὰς ἀρχὰς τῶν ἀρχῶν, φημὶ δὴ τὰς νοητὰς δυνάμεις. ὥστε τρεῖς καὶ μόναι ὑπάρχουσι θεωρητικαὶ φιλοσοφίαι, μαθηματική, φυσική, θεολογία. καὶ εἰκότως τὸ θεωρητικὸν εἰς τρία διήρηται ταῦτα. ὅτι προφανές ἐστι τοῦτο. ὅτι εἰ ἄρα που λέγεται εἶναι τὸ θεῖον, ἐν τῇ τοιαύτῃ φύσει ὑπάρχει, τουτέστι τῇ ἀύλῳ καὶ ἀκινήτῳ· ὥστε

1 διαλέγεσθαι D 2 fort. αὐτόκυκλον 4 ante λόγον exciderunt VII litterae A, IV D: exspectes δημιουργικοὺς (vel θείους) λόγους τινάς 11 κινητὰ scripsi coll. v. 19: ἀκίνητα libri 12 πρόσκειται — θεωρητικῆς D, in margine add. A² ἔν τισιν] fort. εἴ τί ἐστι; cf. Metaph. p. 1026a10 21 ἢ om. D 27 Φησὶν εἶναι om. D

καὶ τὴν τιμιωτάτην ἐπιστήμην, τουτέστι τὴν πρώτην φιλοσοφίαν, δεῖ κατα- f. 255r
γίνεσθαι περὶ τὸ τιμιώτατον γένος, τουτέστι περὶ τὸ ἄυλον καὶ ἀκίνητον καὶ νοητόν. εἰ οὖν αἱ θεωρητικαὶ ἐπιστῆμαι κρείττονές εἰσι τῶν πρακτικῶν, ἐπειδὴ καὶ τὰ μόρια τῆς ψυχῆς κρείττονα τὰ μεταχειριζόμενα (τὰ μὲν γὰρ πρακτικὰ προαίρεσις κατορθοῖ, τὰ δὲ θεωρητικὰ νοῦς, κρείττων δὲ ὁ νοῦς προαιρέσεως· τὸ γὰρ ἀκρότατόν ἐστιν, ὡς εἴρηται, τῆς ψυχῆς ὁ νοῦς) ἡ δὲ θεολογία κρείττων ἐστὶ τῶν ἄλλων ἐπιστημῶν ἅτε περὶ κρεῖττον μέρος καταγινομένη.

p. 1026a23 Ἀπορήσειε γὰρ ἄν τις, πότερόν ποθ' ἡ πρώτη φιλοσοφία.

Τὴν ἀπορίαν δι' ἣν τὴν θεωρίαν ἐκίνησε ταύτην λέγει. φησὶ γὰρ ἀρά γε ἡ πρώτη φιλοσοφία περὶ πάντα τὰ ὄντα καταγίνεται ἢ περί τι γένος καὶ φύσιν μίαν. οὔτε γὰρ ἐν ταῖς μαθηματικαῖς ἐπιστήμαις ὁ αὐτὸς τρόπος ἐστίν· ἡ μὲν γὰρ καθόλου μαθηματικὴ περὶ πάντα τὰ μαθηματικὰ καταγίνεται, ἡ δὲ μερικὴ περὶ μίαν φύσιν, οἷον, ὥς φησιν αὐτός, γεώμετρία καὶ ἀστρολογία περί τινα φύσιν μερικὴν ὑπάρχει, ἡ μὲν περὶ μεγέθη, ἡ δὲ περὶ ἄστρα, ἡ δὲ καθόλου κοινή ἐστι πασῶν, ὡς εἴρηται. οὕτως οὖν καὶ ἡ πρώτη φιλοσοφία ὡς ἔχουσα τὰς ἀρχὰς τῶν ὄντων περὶ πάντων ἁπλῶς διαλέγεται.

p. 1026a27 Εἰ μὲν οὖν μή ἐστί τις ἑτέρα οὐσία.

Εἰ μηδέν ἐστιν ἔξωθεν τῶν φυσικῶν πραγμάτων καὶ τῶν ἐν κινήσει ὄντων, ἡ φυσικὴ φιλοσοφία ἐστὶ πρώτη φιλοσοφία· εἰ δὲ καὶ ἔστι τις οὐσία ἀκίνητος, ὥσπερ καὶ ἔστιν, αὕτη ἐστὶ προτέρα φιλοσοφία καὶ πρώτη, καὶ διὰ τοῦτο καθόλου, ἐπειδὴ πρώτη, ἅτε δὴ πάντων ἔχουσα τὰς ἀρχὰς ἐν ἑαυτῇ· καὶ διὰ τοῦτο περὶ τοῦ ἁπλῶς ὄντος αὕτη διαλέγεται, καὶ τί ἐστι καὶ τὰ ὑπάρχοντα αὐτῷ, καθὸ ὄν ἐστιν, οἷον ὅτι ἐστὶ θεὸς καὶ προνοεῖται πάντων καὶ ὅτι οὐκ ἔστι στέρησις κυρίως.

p. 1026a33 Ἀλλ' ἐπεὶ τὸ ὂν τὸ ἁπλῶς λεγόμενον λέγεται καὶ πολλαχῶς.

Τὸ ἁπλῶς ὂν πολλαχῶς λέγεται. ἓν μὲν τὸ κατὰ συμβεβηκός. ὥσπερ φαμὲν τὸν φαλακρὸν οἰκοδομεῖν· οὐ γὰρ ᾗ φαλακρὸς οἰκοδομεῖ, ἀλλ' ᾗ f. 255v
οἰκοδόμος. ἕτερον δὲ ὂν τὸ ὡς ἀληθὲς καὶ τὸ μὴ ὂν ὡς τὸ ψεῦδος· ὡς γὰρ πρὸς τὸ ἀληθὲς μὴ ὄν ἐστιν, οἷον ὅτι ἔστι Σωκράτης ὄντος αὐτοῦ ἀληθές, μὴ ὄντος δὲ ψεῦδος. παρὰ ταῦτα δέ ἐστι τὸ καθ' αὑτὸ ὂν τὸ

2 τιμιώτερον D τὸ om. D 9 πότερον Aristoteles: πρότερον libri 11 δι' ἣν scripsi: δ' ἣν libri 14 πάντα — περὶ (15) om. D 15 οἷον om. D 26 αὐτῷ, καθὸ ὄν scripsi: αὐτῇ καθὸ ὄντα libri 32 τὸ (ante ψεῦδος) om. D

θεωρούμενον ἐν πάσαις ταῖς κατηγορίαις· διό φησιν οἷον τὸ μὲν τί, τὸ δὲ ποιόν, τὸ δὲ ποσόν, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. οἷον καθ' αὑτὸ ὂν ἐν οὐσίᾳ ὁ ἄνθρωπος, ἐν ποσῷ τὸ μέγεθος, ἐν ποιῷ τὸ λευκόν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. πάλιν λέγεται τὸ ὂν τὸ κατ' ἐνέργειαν καὶ τὴν δύ-
5 ναμιν. λέγεται δὲ τὸ σπέρμα δυνάμει βρέφος, τὸ μέντοι καὶ γενόμενον ἐνεργείᾳ λέγεται ὄν. ἐπειδὴ οὖν πολλαχῶς λέγεται τὸ ὄν, δεῖ ἡμᾶς πρῶτον περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος εἰπεῖν, τί ἐστι τὸ τοιοῦτον ὄν, ὅτι οὐδεμία τέχνη περὶ αὐτοῦ διαλέγεται, οὔτε ποιητικὴ οὔτε πρακτικὴ οὔτε θεωρητική· ἄπειρον γάρ τι καὶ ἀόριστον. οὔτε γὰρ ὁ ποιῶν οἰκίαν ποιεῖ
10 ὅσα συμβαίνει ἅμα τῇ οἰκίᾳ γίνεσθαι· ἄπειρα γὰρ ταῦτα ὑπάρχουσι. τοῖς μὲν γὰρ ἡδεῖα γίνεται ἡ κτισθεῖσα οἰκία, τοῖς δὲ βλαβερά, ἄλλοις δὲ ὠφέλιμος· οὐδενὸς δὲ τούτων ποιητική ἐστιν ἡ οἰκοδομική. τὸν αὐτὸν δὲ τρόπον οὐδ' ὁ γεωμέτρης θεωρεῖ τὰ οὕτως συμβεβηκότα τοῖς σχήμασιν, οἷον ὅτι τὰ μὲν τῶν τριγώνων δεξιὰ κεῖνται, τὰ δὲ ἀριστερά, οὐδ'
15 εἰ ἕτερόν τί ἐστι τρίγωνον καὶ τρίγωνον ἔχον δύο ὀρθαῖς ἴσας. ἀλλὰ μόνον σκοπεῖ τὰ καθ' αὑτὸ τοῖς σχήμασιν ὑπάρχοντα, οἷον ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καὶ ἡ ἰατρικὴ οὔ φησιν ὅτι τὸ σῶμα εὐτυχέστερον, τὰ δὲ περὶ τὰς κράσεις ἐπισκοπεῖ. οὕτω καὶ αἱ ἄλλαι πᾶσαι τέχναι τε καὶ ἐπιστῆμαι τὰ καθ'
20 αὑτὸ ὑπάρχοντα σκοποῦσιν· οὐ γὰρ δὴ τὰ κατὰ συμβεβηκός.

p. 1026ᵇ12 Καὶ τοῦτο εὐλόγως συμπίπτει· ὥσπερ γὰρ ὄνομά τι μόνον τὸ συμβεβηκός ἐστιν.

Ἐπειδὴ ἡ σοφία διαλέγεται περὶ τοῦ ὄντος, πολλαχῶς δὲ τὸ ὂν λέ- f. 256r
γεται (ἔστι γὰρ τὸ ὂν τὸ κατὰ τὴν ἀλήθειαν καὶ τὸ κατὰ τὴν δύναμιν καὶ
25 τὸ κατ' ἐνέργειαν καὶ τὸ καθ' αὑτὸ ὂν τὸ θεωρούμενον ἐν ταῖς δέκα κατηγορίαις), φησὶν ὁ Ἀριστοτέλης ὅτι περὶ πάντων τῶν σημαινομένων τοῦ ὄντος ἡ σοφία διαλέγεται χωρὶς τοῦ κατὰ συμβεβηκὸς ὄντος· τοῦτο γὰρ ἀόριστόν ἐστι καὶ τρόπον τινὰ ἀναίτιον, καὶ οὔτε ὑπὸ θεοῦ οὔτε ὑπὸ φύσεως παραγόμενον προηγουμένως. τὰ γὰρ θεῖα τὰ ἀεὶ ὡσαύτως ἔχοντα παρά-
30 γουσι, καὶ ἡ φύσις τὰ ὡς ἐπὶ τὸ πολύ, τὸ δὲ συμβεβηκὸς τῶν ὡς ἐπ' ἔλαττον ὑπάρχει· οἷον ἀεὶ ὁ ἄνθρωπος ζῷον, καὶ ὡς ἐπὶ τὸ πολὺ πενταδάκτυλος, ἑξαδάκτυλος δὲ κατὰ συμβεβηκός· οὔτε γὰρ ἀεί ἐστι τοῦτο καὶ ἐξ ἀνάγκης οὔτε δὲ ὡς ἐπὶ τὸ πολύ, ἀλλὰ τύχη αἰτία τούτου καὶ αὐτόματον, ὡς εἴρηται ἐν τῷ δευτέρῳ λόγῳ τῆς Φυσικῆς ἀκροάσεως. διὸ οὔτε
35 γένεσις λέγεται κυρίως τοῦ συμβεβηκότος οὔτε φθορά, ἀλλ' ὅτι ἢ ἔστιν ἢ οὐκ ἔστιν, ὡς εἴρηται, οὔτε προηγουμένως ὑπὸ τῆς φύσεως γίνεται. οἷον τὸ χρῶμα κατὰ συμβεβηκὸς καὶ παρακολούθημα ὑπάρχει τῆς φύσεως· τῆς γὰρ φύσεως προηγουμένως ποιούσης τήνδε τὴν κρᾶσιν ἐπακολουθεῖ τὸ τοι-

---

5 γενόμενον] γινόμενον A: γεννώμενον D margo A² 6 ἐπειδὴ — ὄν om. D 24 τὸ (post ὄν) om. D 33. 34 αὐτόματον scripsi: αὐτὸ καθ' αὑτό libri 34 τῆς Φυσικῆς ἀκροάσεως] B 5. 6 35 εἰ ἔστιν libri

ὀνδε χρῶμα· ὁμοίως δὲ καὶ τῇ φθορᾷ τὸ μὴ εἶναι. ὅθεν οὐδὲ αἱ ἄλλαι τέχναι κέχρηνται αὐτῷ· ὁ γὰρ γεωμέτρης διαλεγόμενος περὶ τοῦ τριγώνου οὐ λέγει ὅτι ἀργύρεόν ἐστιν ἢ χαλκοῦν ἤ τι ἄλλο τοιοῦτον, ἀλλὰ τὰ καθ' αὑτὸ ὑπάρχοντα τῷ τριγώνῳ λέγει, τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. ὁμοίως δὲ καὶ ὁ οἰκοδόμος οὐ λέγει ὅτι εὐτυχεῖς ἔσονται ἢ ἀνδρεῖοι οἱ ἐν τῷδε τῷ οἴκῳ οἰκοῦντες. ὡσαύτως δὲ καὶ ὁ ἰατρὸς οὐ λέγει περὶ πλούτου ἀλλὰ περὶ τῶν κράσεων. καὶ τὸν Πλάτωνα τῆς δόξης παράγει μάρτυρα τάττοντα τὸ συμβεβηκὸς τρόπον τινὰ περὶ τὸ μὴ ὄν· f. 256v καλῶς δὲ προσέθηκε τρόπον τινά, ἐπειδὴ ἔχουσι καὶ τὰ συμβεβηκότα ἀμυδράν τινα ὕπαρξιν, ἤ ὅτι ἔστιν ὅτε καὶ οἱ σοφισταὶ διαλέγονταί ποτε καὶ περὶ οὐσίας. εἶτα λοιπὸν καὶ τρεῖς παραλογισμοὺς τίθησι, καθ' οὓς ἐκ τοῦ συμβεβηκότος πειρῶνται οἱ σοφισταὶ παραλογίζεσθαι, ἕνα μὲν ἐξ ἀμφοτέρων τῶν συμβεβηκότων. λέγουσι γὰρ οὕτως 'πότερον ταὐτόν ἐστι μουσικὸν καὶ γραμματικὸν ἢ ἕτερον;' εἰ μὲν οὖν φαμὲν ὅτι ἕτερόν ἐστι τὸ μουσικὸν τοῦ γραμματικοῦ, ἐπάγουσι καὶ θεωροῦσιν αὐτὰ ἐν ἑνὶ ὑποκειμένῳ, οἷον ἐν τῷ Κορίσκῳ τὸ μουσικὸν καὶ τὸ γραμματικόν. ἐπεὶ οὖν ταῦτα ἕτερα ἀλλήλων, καὶ ὁ Κορίσκος ὁ μουσικὸς καὶ γραμματικὸς αὐτὸς ἑαυτοῦ ἕτερος, ὅπερ ἀδύνατον. εἰ δὲ πάλιν φῶμεν ταὐτὸν εἶναι τὸ μουσικὸν καὶ τὸ γραμματικόν, αὖθις ἐπάγουσι καὶ θεωροῦσιν αὐτὰ ἐν διαφόροις ὑποκειμένοις, οἷον τὸ μὲν μουσικὸν ἐν τῷ Ἀριστοξένῳ καὶ τὸ γραμματικὸν ἐν τῷ Κορίσκῳ, καὶ οὕτως, φασίν, ἐπειδή φατε τὰ αὐτὰ εἶναι τὸ μουσικὸν καὶ τὸ γραμματικόν, συμβήσεται καὶ τὸν Κορίσκον καὶ τὸν Ἀριστόξενον τὸ αὐτὸ εἶναι, ὅπερ ἄτοπον. λέγομεν τοίνυν ἡμεῖς πρὸς αὐτοὺς ὅτι οὐ καλῶς λαμβάνεται ὅτι τὰ ὑπάρχοντα τοῖς ὑποκειμένοις ἤδη καὶ τοῖς συμβεβηκόσιν αὐτῶν ὑπάρχουσι, καὶ τὸ ἀνάπαλιν· οὐκ ἄτοπον γὰρ ταῦτα διάφορα ὄντα ἐν ἑνὶ ὑποκειμένῳ θεωρεῖσθαι, καὶ οὐκ ἤδη διὰ τοῦτο καὶ τὸ ὑποκείμενον αὐτὸ ἑαυτοῦ διάφορον γίνεται, ἐπειδὴ τὰ συμβεβηκότα αὐτῷ διάφορα ὑπάρχουσι. καὶ πάλιν οὐκ ἐπειδὴ τὰ αὐτὰ ὑπάρχουσιν, ἐν διαφόροις δὲ ὑποκειμένοις θεωροῦνται, ἤδη ἀνάγκη καὶ τὰ ὑπόκειμενα τὰ αὐτὰ ἀλλήλοις εἶναι. ὡς γὰρ εἴρηται, οὐ τὰ ὑπάρχοντα τοῖς συμβεβηκόσιν ἤδη καὶ τοῖς ὑποκειμένοις ὑπάρχουσιν. οὐκ ἐπειδὴ γὰρ τὸ λευκὸν διακριτικόν ἐστιν f. 257r ὄψεως, καὶ ὁ ἄνθρωπος διακριτικός ἐστιν ὄψεως. πάλιν τὸν δεύτερον παραλογισμὸν προάγουσι τοῦτον τὸν τρόπον ἐξ ὑποκειμένου καὶ συμβεβηκότος λέγοντες οὕτως 'τὸ μουσικὸν καὶ ὁ Κορίσκος ταὐτὰ ὑπάρχουσιν ἀλλήλοις ἢ ἕτερα;' εἰ μὲν οὖν φῶμεν ὅτι ἕτερόν ἐστι τὸ μουσικὸν παρὰ τὸν Κορίσκον, ἐροῦσιν ὅτι οὐκοῦν αὐτὸς ἑαυτοῦ διαφέρει Κορίσκος γε ὢν καὶ μουσικὸς Κορίσκος. εἰ δὲ φῶμεν ὅτι ταὐτόν ἐστιν, ἐροῦσιν ὅτι καὶ ἅμα τῷ τεχθῆναι μουσικὸς ὑπῆρχε Κορίσκος, ὅπερ ἄτοπον. ἐροῦμεν τοίνυν πάλιν πρὸς τοῦτο ὅτι ἕτερον μέν ἐστι τὸ μουσικὸν παρὰ τὸν Κορίσκον, ἀλλ' οὐκ ἐπειδὴ ἕτερόν ἐστι τοῦ συνθέτου, ὁ Κορίσκος αὐτὸς ἑαυτοῦ διαφέρει. καθὸ

---

3 ἀργύριον D ἤ ὅτι D 7 Πλάτωνα] cf. p. 367,24 8 περὶ — τινά (9) om. D 23 αὐτοὺς scripsi: αὐτὰς libri 30 post εἴρηται add. ἤδη ἀνάγκη D 32 ante πάλιν desunt V litterae A 38 λεχθῆναι D 40 Κορίσκος scripsi: ὁρισμὸς libri ἑαυτοῦ om. D

γὰρ Κορίσκος, οὐκ ἠμείφθη· οὐδὲν γὰρ ἧττον Κορίσκος ἐστὶ καὶ πρὶν ἢ γενέσθαι αὐτὸν μουσικὸν καὶ μετὰ τὸ γενέσθαι· ταῦτα δὲ ὡς τὰ συμβεβηκότα γίνονται καὶ ἀπογίνονται καὶ οὐδὲν βλάπτει τὸ ὑποκείμενον. πάλιν τρίτον παραλογισμὸν παράγουσι τοῦτον τὸν τρόπον. ἡνίκα, φασί, μουσικὸς
5 Κορίσκος, ἆρα καὶ γραμματικὸς ὑπάρχει ἢ γέγονεν; εἰ μὲν γὰρ ἀεὶ ὁ μουσικὸς καὶ γραμματικὸς ὑπῆρχεν, οὐ γέγονε· τὸ γὰρ ἀίδιον οὐ γέγονε, ἀλλὰ τὸ ποτὲ μὲν μὴ ὂν νῦν δὲ ὄν, τοῦτό φαμεν γεγονέναι. εἰ οὖν ἀεὶ ἦν μουσικός, ἦν καὶ γραμματικός· πᾶς γὰρ μουσικὸς ἔσται καὶ γραμματικός· εἰ δὲ μὴ ἀεὶ γραμματικός ἐστιν, ὕστερον δ' ἐγένετο, δῆλον ὅτι γέγονεν
10 ἐκ τοῦ μουσικοῦ γραμματικός. πᾶν δὲ τὸ γινόμενον ἐκ μὴ ὄντος γίνεται. ὥστε μὴ ὂν ἐστιν ᾗ μουσικός, ὅπερ ἄτοπον. λέγομεν οὖν καὶ πρὸς τὸν παραλογισμὸν τοῦτον ὅτι παραλογίζεται ἐκ τοῦ ἁπλῶς μὴ ὄντος καὶ πῇ μὴ ὄντος· τὸ γὰρ μουσικὸν ἁπλῶς μὴ ὂν οὐκ ἔστι, τὶ δὲ μὴ ὂν ὑπάρχει. καθὸ γὰρ ἢ γραμματικὸς ἢ ῥητορικὸς οὐκ ἔστιν ὁ μουσικός, κατὰ τοῦτο
15 γέγονεν ἐκ μουσικοῦ γραμματικός· καθὸ δὲ μουσικός, ὑπῆρχεν. ὥστε f.257v καλῶς ἐλέγετο ὅτι ἀόριστα τὰ συμβεβηκότα ὡς αἴτια παραλογισμοῦ καὶ τρόπον τινὰ ἀνυπόστατα καὶ τῇδε κἀκεῖσε φερόμενα. πῶς οὖν διαλέξεται ἡ σοφία τὸ θειότατον πρᾶγμα περὶ τοῦ τοιούτου ὄντος;

p. 1026b12 Καὶ τοῦτο εὐλόγως συμπίπτει· ὥσπερ γὰρ ὄνομά τι
20 μόνον.

Φησὶν ὅτι καλῶς οὐδεμία τέχνη διαλέγεται περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος· ὄνομα γὰρ μόνον ἐστίν, ἐπεὶ μήτε ἔχει ὕπαρξιν βεβαίαν καὶ αὐθυπόστατον, ἀλλ' ἐν ἄλλοις ἔχει τὸ εἶναι καὶ παρακολούθημά ἐστι. διὸ καὶ ἀποδοχῆς ἄξιος ὁ Πλάτων τὴν σοφιστικὴν περὶ τὸ μὴ ὂν τάξας, ὕλην
25 ἔχουσαν τὸ ψεῦδος. πῶς δὲ τοῦτο ὑποθώμεθα ἐν ὑποστάσει; ὁ γὰρ τῶν σοφιστῶν λόγος περὶ τὸ συμβεβηκὸς καταγίνεται, πότερον ταὐτὸν ⟨ἢ⟩ ἕτερον μουσικὸς καὶ γραμματικός, ὡς εἴρηται, καὶ πότερον ταὐτὸν ἢ ἕτερον μουσικὸς καὶ μουσικὸς Κορίσκος, ⟨καὶ εἰ⟩ πᾶν ὃ ἂν νῦν μέν ἐστι, πρώην δὲ οὐκ ἦν, τοῦτο γέγονεν, ὥστε εἰ μουσικὸς ὢν μὴ ὑπῆρχε γραμματικός,
30 καὶ νῦν φαμεν ὅτι γέγονε γραμματικὸς πρώην μὴ ὤν. ὥστε φαίνεται τὸ συμβεβηκὸς ἐγγὺς τοῦ μὴ ὄντος.

p. 1026b22 Δῆλον δὲ καὶ ἐκ τῶν τοιούτων λόγων.

Ἔστι καὶ ἐντεῦθεν ἐλεῖν ὅτι οὐχ ὑπάρχουσι κυρίως τὰ συμβεβηκότα· τῶν μὲν γὰρ κατ' ἄλλον τρόπον ὄντων, τουτέστι τῶν καθ' αὑτὰ τῶν

---

7 εἰ γὰρ D 8 καὶ (post ἔσται) om. D 10 τοῦ om. D 11 ὁ μουσικός D 12 ὄντος—ἁπλῶς μὴ (13) om. D 13 οὐκέτι D 19 εὐλόγως Aristoteles, cf. etiam p. 365,21: εὐλόγον libri 23 αὐθυπόστατον scripsi: ἀνθυπόστατον libri 24 ὁ Πλάτων] Soph. p. 254 A cf. p. 237 A sqq. 26 ἢ addidi 28 καὶ εἰ ex Aristotele addidi

φυσικῶν. ἔστι γένεσις καὶ φθορά, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ. τῶν δὲ κατὰ συμβεβηκὸς οὐκ ἔστιν ἁπλῶς γένεσις, εἰ μήτι ἄρα τινὰ γένεσιν αὐτῶν εἴπωμεν εἶναι. καλῶς δὲ προστέθεικε τὸ ἐγγύς, ἐπεί, ὡς εἴρηται, ἔχει ἀμυδράν τινα ὕπαρξιν.

5 p. 1026b 24 Ἀλλ' ὅμως λεκτέον ἔτι περὶ τοῦ συμβεβηκότος.

Φησὶν ὅτι δεῖ ἡμᾶς ἀνιχνεῦσαι τὴν φύσιν τοῦ συμβεβηκότος, καὶ διὰ τίνα αἰτίαν ἐστίν, ὅτι τῶν ὡς ἐπ' ἔλαττον· ἅμα γὰρ ἐντεῦθεν φανερὸν ἡμῖν γίνεται καὶ διὰ τί οὐδεμία ἐπιστήμη καταγίνεται περὶ τὸ συμβεβη- f. 258r
κός, ἐπειδὴ αἱ τέχναι ἢ περὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων διαλέγονται ἢ
10 περὶ τῶν ὡς ἐπὶ τὸ πολύ. ἐφεξῆς διαίρεσιν ποιεῖται ἀνιχνεῦσαι βουλόμενος τὸ ζητούμενον, καί φησιν οὕτως ὅτι ἐν τοῖς οὖσι τὰ μὲν ἀεὶ ὡσαύτως ἔχουσιν, οἷον τὰ θεῖα, καὶ ἐξ ἀνάγκης, οὐ τῆς κατὰ τὸ βίαιον λεγομένης (ὁ γὰρ θεὸς ἐξ ἀνάγκης ἀγαθὸς οὐ τῆς βιαίας, καθάπερ ἐπὶ προαιρέσεως θεωρεῖται, ἡνίκα λέγομεν τὸν αἰχμάλωτον ἐξ ἀνάγκης
15 δουλεύειν, ἀλλὰ θείας οὐσίας· διό φησιν ἀλλ' ἣν λέγομεν τὸ μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν), ἢ ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι. τὰ δὲ τῶν πραγμάτων οὐκ ἐξ ἀνάγκης ἀλλ' ὡς ἐπὶ τὸ πολύ, ὥσπερ λέγομεν ὅτι ὡς ἐπὶ τὸ πολὺ ὁ ἄνθρωπος πενταδάκτυλός ἐστι. τὰ δὲ ὡς ἐπ' ἔλαττον ὑπάρχουσι· καὶ αὕτη ἐστὶν αἰτία καὶ ἀρχὴ τοῦ συμβεβηκότος, τὰ ὡς ἐπ' ἔλαττον· ὃ
20 γὰρ ἄν ἐστιν μήτε ἀεὶ μήτε δὲ ὡς ἐπὶ τὸ πολύ, τοῦτό φαμεν εἶναι συμβεβηκός. οἷον, ὥς φησιν αὐτός, ἐὰν ὑπὸ κύνα χειμὼν γένηται καὶ πάγος, τοῦτο κατὰ συμβεβηκός φαμεν, ἐπεὶ οὔτε ἀεὶ τοῦτο γίνεται, οὔτε ὡς ἐπὶ τὸ πολύ, σπανιάκις δέ· ἐὰν δ' ὑπὸ κύνα ἀλέα γένηται, οὐ φαμεν τοῦτο συμβεβηκὸς εἶναι, ἐπειδὴ ὡς ἐπὶ τὸ πολὺ γέγονε. καὶ πάλιν τὸν ἄνθρω-
25 πον λευκὸν εἶναι συμβέβηκεν· οὔτε γὰρ ἀεὶ τοῦτο γίνεται οὔτε ὡς ἐπὶ τὸ πολύ· ζῷον δὲ οὐ κατὰ συμβεβηκός, ἐπεὶ ἀεὶ τοῦτό ἐστι καὶ ἐξ ἀνάγκης. καὶ πάλιν ἡνίκα ὁ οἰκοδόμος ὑγείαν ποιήσει, κατὰ συμβεβηκός φαμεν εἶναι τὸ τοιοῦτον, ἐπειδὴ τῶν σπανίων· ὁ γὰρ ἰατρὸς πέφυκεν ὑγείαν ποιεῖν, οὐχ ὁ οἰκοδόμος· συνέβη οὖν ἰατρὸν εἶναι τὸν οἰκοδόμον. καὶ πάλιν ἡνίκα
30 ὀψοποιὸς τέλος ἔχων τὴν ἡδονὴν ποιήσει τινὶ ὑγείαν· οὐ γὰρ κατὰ τὴν ὀψοποιητικήν. διὸ καὶ τοῦτο συνέβη· σπανίως γὰρ γίνεται· κατά τι γὰρ οὗτοι καὶ οὐχ ἁπλῶς. τῶν μὲν γὰρ ἄλλων τῶν καθ' αὑτὸ δυνάμεις εἰσὶ ποιητικαί, οἷον ὑγείας ἰατρική, τῶν δὲ κατὰ συμβεβηκὸς οὐδεμία τέχνη οὐδὲ δύναμις ὡρισμένη, εἰ μήτι γε τὸ κατὰ συμβεβηκὸς κατ' ἄλλο γίνεται
35 καθ' αὑτό· τῷ γὰρ βαρεῖ τὰ χρώματα καθ' αὑτὸ ὑπάρχοντα. οὐκ ἔχουσι δυνάμεις ὡρισμένας τὰ κατὰ συμβεβηκὸς ὥσπερ τὰ καθ' αὑτό, οἷον ἐπὶ τῶν ἡμετέρων σωμάτων δυνάμεις φυσικαὶ ὑπάρχουσιν ὡρισμέναι τέσσαρες αἱ πολυθρύλλητοι, ἑλκτική, ἀποκριτική, καθεκτική, ἀλλοιωτική. διό φησι f. 258v

---

9. 10 ἢ περὶ — ποιεῖται (10) om. D 17 οὐκ om. D ὥσπερ — πολὺ (18) om. D
19. 20 ὃ γὰρ — συμβεβηκός (20. 21) in margine add. A 32 οὗτοι] fort. ποιεῖ: ἔστιν ὡς ποιεῖ Aristoteles δυνάμεις Aristoteles: δυνάμει libri

τῶν γὰρ κατὰ συμβεβηκὸς ὄντων ἢ γινομένων καὶ τὸ αἴτιόν ἐστι κατὰ συμβεβηκός, ὥσπερ ἐπὶ τῆς ὑγιοποιητικῆς· ὁ γὰρ ὑγιοποιὸς κατὰ συμβεβηκὸς ἐποίησε τὴν ὑγείαν. ὥστε καὶ ἡ αἰτία κατὰ συμβεβηκός ἐστιν. ὁ γὰρ ἰατρὸς καὶ ἡ φύσις αἴτια καθ' αὑτὸ τῆς ὑγείας ὑπάρχουσιν. ὥστε ἐπεὶ οὐ πάντα ἐστὶν [τὰ] ἐξ ἀνάγκης καὶ ὡς ἐπὶ τὸ πολύ, πᾶσά ἐστιν ἀνάγκη εἶναι καὶ τὰ ἐπ' ἔλαττον καὶ διὰ τοῦτο καὶ τὰ κατὰ συμβεβηκός. οὔτε γὰρ ἀεὶ οὔτε ὡς ἐπὶ τὸ πολὺ ὁ μουσικὸς λευκός ἐστιν· ἐπειδὴ δὲ ὁρῶμεν ὅτι γίνεταί ποτε ὁ λευκὸς μουσικός, τοῦτο ἔσται κατὰ συμβεβηκός. εἰ δὲ μὴ τοῦτο ὑποθώμεθα, ἔσονται πάντα ἐξ ἀνάγκης, ὥστε ἔδει ἀεὶ ταῦτα γίνεσθαι· ἀλλὰ μὴν οὐ γίνεται· ἔστιν ἄρα τὸ συμβεβηκός. ὥστε ἡ ὕλη ἐστὶν αἰτία τοῦ συμβεβηκότος ἡ δυναμένη δέξασθαι ἕτερόν τι παρὰ τὸ ὡς ἐπὶ τὸ πολύ, οἷον τὸ ἐν κυνὶ γίνεσθαι ψόξιν.

p. 1027a15 Ἀρχὴν δὲ τήνδε ληπτέον, πότερον οὐδέν ἐστιν οὔτε ἀεὶ οὔτε ὡς ἐπὶ τὸ πολύ.

Ἰστέον ὅτι ἡ σοφία περὶ μὲν τὸ συμβεβηκὸς καταγίνεται, περὶ δὲ τὸ κατὰ συμβεβηκὸς οὐ καταγίνεται. διαφέρουσι γὰρ ταῦτα ἀλλήλων· τὸ μὲν γὰρ συμβεβηκὸς δύναται καὶ καθ' αὑτὸ θεωρεῖσθαι, ὥσπερ καὶ τὸ λευκὸν τὸ ἐν κύκνῳ (παντὶ γὰρ κύκνῳ ὑπάρχει καὶ ἀεί), τὸ μέντοι γε κατὰ συμβεβηκὸς ἀόριστόν ἐστι καὶ ἄπειρον καὶ ἄλλα πράγματα παρυφιστάμενον. ὥσπερ τὸ ὑπὸ κύνα γίνεσθαι ψόξιν (ὡς γὰρ ἐπὶ τὸ πλεῖστον ἀλέα γίνεται), καὶ πάλιν τὸ γενέσθαι ἑξαδάκτυλον· ὡς γὰρ ἐπὶ τὸ πολὺ πενταδάκτυλος ὁ ἄνθρωπος γίνεται. ὥστε οὐδὲ αἴτια ταῦτα ἔχουσιν ὡρισμένα· οὔτε γὰρ ὁ καιρὸς ἕτερος τῆς φύσεως γέγονεν οὔτε μὴν * * * καὶ ὁ ἥλιος, ἀλλ' ἡ ὕλη παρατραπεῖσα, ἅτε δὴ ἔχουσα δύναμιν καὶ τοῦ ἐναντίου. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἑξαδακτύλου οὐχ ἡ φύσις ἐστὶν αἰτία ἀλλ' ἡ πλείων ὕλη. f. 259r εἶτα λοιπὸν καὶ ἀποδεικτικῶς δείκνυσιν, ὅτι οὐ καταγίνεται ἡ σοφία περὶ τὸ κατὰ συμβεβηκὸς ὄν, λέγων οὕτως ὅτι τὸ ὑπὸ κύνα ἀλέαν γίνεσθαι ἔμελλεν ἀίδιον εἶναι καὶ οὐκέτι ὡς ἐπὶ τὸ πολύ, εἰ μὴ προσελθὸν τοῦτο τὸ κατὰ συμβεβηκὸς περιέκοψε τὴν ἀιδιότητα αὐτοῦ. τὸ γὰρ ποιοῦν τὸ ὡς ἐπὶ τὸ πολὺ τὸ κατὰ συμβεβηκός ἐστιν, ἐπεὶ τῷ ὄντι ἔμελλεν ἀίδιον εἶναι. τὸ δὲ ἀίδιον κυρίως [ὂν] ἐστὶν ὄν, τὸ δὲ ἀναιρετικὸν τούτου μὴ ὄν. εἰ τοίνυν τὸ κατὰ συμβεβηκὸς ἀναιρετικόν ἐστι τοῦ ἀιδίου, μὴ ὄν ἐστι· ὥστε εὐλόγως οὐ καταγίνεται περὶ τὸ μὴ ὂν ἡ σοφία. διὸ καὶ ὁ Πλάτων τὴν σοφιστικὴν μὴ ὂν προσηγόρευσεν. εἶτα λοιπὸν καὶ διαίρεσιν ποιεῖται τοῦ κατὰ συμβεβηκός, καί φησιν ὅτι τῶν κατὰ συμβεβηκὸς τὰ μὲν δύνανται καθ' αὑτὸ εἶναι πρὸς ἄλλην τέχνην ἀναφερόμενα, τὰ δὲ οὐδέποτε δύ-

---

5 πάντα scripsi: σπάνια libri τὰ delevi 6 τὰ (ante κατὰ) scripsi: τῶν libri 15 καταγίνεται — συμβεβηκὸς (16) om. D 19 ἄλλα πράγματα] immo ἄλλοις πράγμασι 23 post μὴν desunt XII litterae AD: addendum, ut videtur, ἡ ἄνω περιφορὰ 31 ὂν (post κυρίως) delevi τούτου scripsi: τούτων libri 33 ὁ Πλάτων] cf. p. 367,24 34 προσηγόρευεν A

νανται. οἷον λέγεται ὁ οἰκοδόμος κατὰ συμβεβηκὸς ποιῆσαι τὴν ὑγίειαν, ὁ δὲ ἰατρὸς καθ' αὑτὸ ποιεῖ αὐτήν· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ὀψοποιοῦ. πάλιν ἡ ψύξις ὑπὸ κύνα κατὰ συμβεβηκὸς γίνεται, ἡλίου δὲ ὄντος ἐν αἰγοκέρωτι καθ' αὑτό. τὸ μέντοι γε περιτυχεῖν θησαυρῷ ἀεὶ κατὰ συμβε-
5 βηκός ἐστι καὶ οὐδέποτε γίνεται καθ' αὑτὸ ἐν τῷ ὀρύττειν. εἶτα λοιπὸν δείκνυσιν ὅτι οὐδεμία τέχνη καταγίνεται περὶ τὸ κατὰ συμβεβηκός. φησὶ γὰρ ὅτι πᾶσα τέχνη ἢ περὶ τὸ ἀεὶ καταγίνεται, ὡς γεωμετρία ἀποδεικνύουσα ἀεὶ τὰς τρεῖς γωνίας τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσας εἶναι, ἢ ὡς ἐπὶ τὸ πολύ, ὥσπερ ἡ ἰατρικὴ ἐπὶ πολὺ ὑγιάζουσα. καὶ τοῦτο εἰκότως· πῶς
10 γὰρ δυνατόν ἐστι διδάξαι τὸ ἀόριστον; ἢ πῶς δυνάμεθα μαθεῖν τὸ ἄλλοτε ἄλλως ἔχον; δεῖ γὰρ τὰς ἐπιστήμας ὡρισμένας εἶναι, ὅτι ὑπὸ κύνα ἀλέα γίνεται, καὶ ὅτι αἱ τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι ὑπάρχουσιν. f. 259v

p. 1027a15 Ἀρχὴν δὲ τήνδε ληπτέον.

Φησὶν ὅτι δεῖ ἡμᾶς λαβεῖν τοιαύτην ἀρχήν, ἀρά γε οὐκ ἔστιν ἐν τῇ
15 φύσει τῶν ὄντων οὔτε τὸ ἀεὶ οὔτε τὸ ὡς ἐπὶ τὸ πολύ, ἢ τοῦτο ἀδύνατον τῆς ἐναργείας ὑπαγορεύουσης ὅτι ἀεί ἐστιν ὁ θεὸς ἀγαθός, καὶ ὅτι ὡς ἐπὶ τὸ πολὺ ὑγιάζει ὁ ἰατρός. εἰ οὖν ἐστι τὸ ὡς ἐπὶ τὸ πολύ, τοῦτο δὲ μόνον τὸ κατὰ συμβεβηκὸς ποιεῖ, ἔστιν ἄρα καὶ τὸ κατὰ συμβεβηκὸς ἐν τοῖς οὖσι. πότερον οὖν, φησί, τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ δὲ ἀίδιον οὐδὲν ὑπάρχει,
20 ἢ ἔστι καί τινα ἀίδια; καὶ ἀναβάλλεται τὴν τούτων θεωρίαν εἰς τὴν Φυσικὴν ἀκρόασιν· ἐν ἐκείνοις γὰρ ἀποδείκνυται, φησίν, ὅτι ἔστιν ἡ ὕλη ἀίδιος.

p. 1027a19 Ὅτι δὲ ἐπιστήμη οὐκ ἔστι τοῦ συμβεβηκότος φανερόν.

Ἐντεῦθεν ἀποδείκνυσιν ὅτι οὐδεμία ἐπιστήμη καταγίνεται περὶ τὸ κατὰ
25 συμβεβηκός. φησὶ γὰρ ὅτι πᾶσα ἐπιστήμη ἢ τοῦ ἀεί ἐστιν, ὥσπερ γεωμετρία, ἢ τοῦ ὡς ἐπὶ τὸ πολύ, ὥσπερ ἡ ἰατρική. πῶς γὰρ δύναται μαθεῖν ἢ διδάξαι ἄλλον: δεῖ γὰρ ὁρίσαι ἢ τὸ ἀεὶ ἢ τὸ ὡς ἐπὶ τὸ πολύ, καὶ οὕτως διδάξαι· τὸ δὲ ἀόριστον οὐ διδάσκεται, οἷον ὅτι ὠφέλιμον τὸ μελίκρατον τῷ πυρέττοντι ὡς ἐπὶ τὸ πολύ· τὸ δὲ παρὰ τοῦτο
30 οὐχ ἕξει λέγειν ὁ ἰατρός, πότε οὐκ ὠφελεῖ, οἷον νουμηνίᾳ. τοῦτο γὰρ ἀόριστόν ἐστι καὶ ἀναίτιον· οὔτε γὰρ ὁ λόγος τοῦτο δείκνυσιν, ἀλλὰ ⟨διὰ⟩ τὴν ὕλην πλείονα γενομένην, ἢ τοιῶσδε προσενεχθὲν τὸ μελίκρατον οὐκ ὠφέλησεν. ἐπεὶ ὅσον ἐπὶ τῇ τοῦ πυρετοῦ φύσει ἔδει ὠφελῆσαι (ἤγουν πτισάνη, ὥς φησιν ὁ τῶν Ἀσκληπιαδῶν ἡγεμών, ὑγρᾷ διαίτῃ ὠφέλιμος
35 πᾶσι τοῖς πυρέττουσιν)· ἢ περὶ τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπὶ τῆς νουμηνίας· τὸ δὲ συμβεβηκὸς παρὰ ταῦτά ἐστι.

---

11 ἔχειν D 18 καὶ om. D 20. 21 εἰς τὴν Φυσικὴν ἀκρόασιν] A 9 31 διὰ addidi 34 ὡς φησιν κτλ.] cf. Hippocr. Περὶ διαίτης ὀξέων II p. 30 ed. Kühn 35 ἢ περὶ τὸ] ἢ γὰρ ἀεὶ ἢ Aristoteles

p. 1027a26 Τί μὲν οὖν ἐστι τὸ συμβεβηκός.

Ὅτι παρυφίσταται τοῖς καθ' αὑτό, ὥσπερ ἐπὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς ἡ ψύξις, καὶ οὐκ ἔστι καθ' αὑτό. καὶ διὰ τίνα αἰτίαν, διὰ τὸ τὴν ὅλην ἔχειν δύναμιν δεκτικὴν ἀμφοτέρων, καὶ ὅτι οὐκ ἔστιν ἐπιστήμη f. 260r
5 αὐτοῦ δέδεικται ἱκανῶς.

p. 1027a29 Ὅτι δέ εἰσιν ἀρχαὶ καὶ αἴτια γενητὰ καὶ φθαρτὰ ἄνευ τοῦ γίνεσθαι καὶ φθείρεσθαι, φανερόν.

Ἀποδείξας ἀναγκαστικῶς ὅτι οὐ καταγίνεται ἡ σοφία περὶ τὸ κατὰ συμβεβηκὸς ὄν, ἐντεῦθέν φησιν ὅτι τὰ κατὰ συμβεβηκὸς αἴτια γίνονται καὶ
10 φθείρονται ὡς ὄντα, οὐ μέντοι γε ὡς γινόμενα, ἐπειδὴ μὴ ἔχουσιν αἴτια κύρια καὶ ὡρισμένα, ὥστε οὔτε γίνονται οὔτε φθείρονται ὡς ἔχοντα αἴτια, ἀλλ' ὡς ὄντα, καθάπερ εἰρήκαμεν. λέγομεν γὰρ κατὰ συμβεβηκὸς πεσόντα τὸν λίθον ἐπιτήδειον γενέσθαι πρὸς καθέδραν, καὶ οὐκ ἔστιν αἴτιον τούτου ἡ πτῶσις· οὐ γὰρ διὰ τοῦτο ἔπεσεν ὁ λίθος, ἵνα γένηται ἐπιτήδειος πρὸς
15 καθέδραν. καὶ πάλιν ὡς ἐπὶ τοῦ ἵππου τοῦ διψήσαντος ἐν πολέμῳ καὶ φυγόντος καὶ ἐντεῦθεν σωθέντος· οὔτε γὰρ διὰ τὴν σωτηρίαν ἔφυγεν, ἀλλὰ διὰ τὴν δίψαν. ὥστε οὐκ ἔχουσιν αἴτια ὡρισμένα τὰ κατὰ συμβεβηκός· διὸ οὔτε γίνονται οὔτε φθείρονται ὡς τελοῦντα ὑπὸ αἴτια, ἀλλ' ὡς ὄντα. καὶ ὅτι οὐκ ἔχουσιν αἴτια δείκνυσι χρώμενος τῇ δι' ἀδυνάτου δείξει τοῦ-
20 τον τὸν τρόπον. φησὶ γὰρ ὅτι εἰ ὑποθώμεθα καὶ τῶν κατὰ συμβεβηκὸς αἴτια ὡρισμένα, ἔσονται πάντα τὰ πράγματα ἐξ ἀνάγκης, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν· ἐν ἐμοὶ γάρ ἐστι καὶ λούσασθαι καὶ μὴ λούσασθαι, καὶ οὐκ ἔστι τὸ τοιοῦτον ἐξ ἀνάγκης. τὰ γὰρ ἔχοντα ὡρισμένα αἴτια πάντα ἐξ ἀνάγκης γίνεται· τῶν γὰρ αἰτιατῶν ὄντων εἰσὶ καὶ τὰ αἴτια, καὶ τῶν
25 αἰτίων ὡς αἰτίων πάντως καὶ τὰ αἰτιατὰ ὑπάρχουσιν. οἷον εἰ τέτοκεν ἡ δεῖνα, δῆλον ὅτι καὶ μῖξις προηκολούθησεν ἀνθρώπου, καὶ πάλιν εἰ μῖξις ὡς αἴτιον (οὐ γὰρ πάντως), καὶ τοκετὸς ὑπάρχει. καὶ εἰ ἥλιος ὑπὲρ γῆν, πάντως ἡμέρα ἐστί· καὶ εἰ ἡμέρα ἐστί, πάντως, φησί, καὶ ἥλιος ὑπὲρ f. 260v
γῆν ἐστιν. ὥστε πάντα τὰ ἔχοντα ὡρισμένον τὸ αἴτιον πάντως καὶ ἐξ
30 ἀνάγκης ἐστίν. εἰ τοίνυν ὑποθώμεθα καὶ τὰ κατὰ συμβεβηκὸς αἴτια ὡρισμένα ἔχειν, ἔσονται πάντα ἐξ ἀνάγκης, καὶ οὕτως ἀναιρεθήσεται καὶ τῶν ἐνδεχομένων ἡ φύσις. εἶτα λοιπὸν ζητεῖ, εἰς ποίαν ἀρχὴν τῶν τεσσάρων δεῖ ἡμᾶς τάξαι τὰ κατὰ συμβεβηκὸς αἴτια, καί φησιν ὅτι οὐ δυνατὸν εἰς τὴν εἰδικήν· ἡ γὰρ εἰδικὴ ἀρχὴ ὡρισμένη καὶ μεμετρημένη, τὰ δὲ κατὰ
35 συμβεβηκὸς αἴτια ἀόριστα ὑπάρχουσιν. ἀλλ' οὐδὲ εἰς τὴν τελικήν· τὸ γὰρ τέλος ὡρισμένον τὸ κυρίως, καὶ πάντες αὐτοῦ στοχαζόμενοι παραλαμβά-

---

4 δεικτικὴν D 10 ἔχουσιν in marg. A²: εἰσὶν A¹D 26 εἰ scripsi: ἡ libri 27 εἰ] ὁ D 28 πάντως ἡμέρα — γῆν (29) om. D

νουσι τὰ εἰς αὐτὸ ἄγοντα. ὅτι δὲ οὐδ' εἰς τὸ ὑλικόν, ἐδείξαμεν διὰ τῶν προλαβόντων. ὅτι παρέπονται καὶ παρακολουθοῦσι τὰ κατὰ συμβεβηκὸς τοῖς καθ' αὑτό· εἰ οὖν ὑποθώμεθα τὸ ὑλικὸν αἴτιον εἶναι τῶν κατὰ συμβεβηκός, ἐπειδὴ ἐν τοῖς καθ' αὑτὸ θεωρεῖται, ἔσται καὶ ἡ ὕλη τῶν καθ' αὑτό, ὅπερ ἀδύνατον. ὥστε δῆλον ὅτι ὑπὸ τὸ ποιητικὸν αἴτιον αὐτὰ τακτέον, καὶ ἐπὶ μὲν τῶν φυσικῶν τὸ αὐτόματον, ἐπὶ δὲ τῶν πρακτῶν τὴν προαίρεσιν, ἀλλ' οὐ πᾶσαν προαίρεσιν. οἷον ἡ προαίρεσις ἐκίνησεν εἰς τὸ λούσασθαι, καὶ συνέβη ἀπαντῆσαί τινι ὀφείλοντι· καὶ πάλιν ἡ φύσις ἤγαγε τὸν λίθον ἄνωθεν κάτω, καὶ ἐκ ταὐτομάτου γέγονεν ἐπιτήδειος πρὸς καθέδραν. ἐπεὶ οὖν πολλαχῶς τὸ ὂν λέγεται, τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκός, καὶ τὸ ὡς ἀληθὲς καὶ ψεῦδος, καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ, δείξας ὅτι οὐ καταγίνεται ἡ σοφία περὶ τὸ κατὰ συμβεβηκὸς ὄν, λοιπὸν ἐφεξῆς δείκνυσιν ὅτι οὐδὲ περὶ τὸ ὂν καταγίνεται ἡ σοφία τὸ ὡς ἀληθὲς καὶ ψεῦδος· τὸ γὰρ ἀληθὲς καὶ τὸ ψεῦδος περὶ τὴν ἡμετέραν θεωρεῖται διάνοιαν, συντιθέντων ἡμῶν καὶ διαιρούντων. ἐὰν γὰρ συνθῶμεν τὰ δυνάμενα συντίθεσθαι, ποιοῦμεν ἀληθῆ κατάφασιν. εἰ δὲ τὰ μὴ δυνάμενα, f. 261r
ψευδῆ κατάφασιν· πάλιν ἐὰν διέλωμεν τὰ ἐκ φύσεως διῃρημένα, ποιοῦμεν ἀληθῆ ἀπόφασιν, οἷον ὅτι ἄνθρωπος οὐκ ἔστι λίθος, εἰ δὲ διέλωμεν τὰ μὴ δυνάμενα διαιρεθῆναι, ποιοῦμεν ψευδῆ ἀπόφασιν, οἷον εἰ λέγοιμεν ὅτι ὁ ἄνθρωπος οὐκ ἔστι ζῷον. ἡ οὖν σοφία οὐ περὶ λόγον καταγίνεται ἀλλὰ περὶ τὰ πράγματα, ὥστε οὐδὲ περὶ τὸ ὂν καταγίνεται τὸ ὡς ἀληθὲς καὶ τὸ ψεῦδος, τῆς διανοίας ἡμῶν καὶ τὰ ψευδῆ συντιθείσης καὶ διαιρούσης. ἄλλως τε δὴ ἡ σοφία περὶ τὰ καθ' αὑτὸ ὄντα καταγίνεται, οἷον, εἰ τύχοι, τὰ ἐν ταῖς ῑ κατηγορίαις· ταῦτα δὲ πρῶτον ἐν τοῖς πράγμασι θεωροῦνται, καὶ διὰ τῶν πραγμάτων ἔχουσιν οἱ λόγοι τὴν ἀλήθειαν καὶ τὴν ὕπαρξιν. ὥστε εἰκότως καὶ ἡ σοφία περὶ τὸ ὂν καταγίνεται τὸ ἀρχοειδέστερον, οὐ τὸ ἐξ ἄλλου κρατυνόμενον.

p. 1027a29 Ὅτι δέ εἰσιν ἀρχαὶ καὶ αἴτια γενητὰ καὶ φθαρτά.

Φησὶν ὅτι ὑπάρχουσιν ἀρχαὶ καὶ αἴτια γενητὰ καὶ φθαρτὰ ὡς ὄντα ἄνευ τοῦ γίνεσθαι καὶ φθείρεσθαι προφανῆ. εἰ γὰρ μὴ ταῦτα ὑποθώμεθα, φημὶ δὴ τὰ ἔχοντα ἀόριστα αἴτια, ἔσονται πάντα ἐξ ἀνάγκης. εἰ ἄρα τοῦ γινομένου καὶ φθειρομένου μὴ εἴη τὸ αἴτιον κατὰ συμβεβηκός, ἐξ ἀνάγκης ἔσται.

p. 1027a32 Πότερον ἔσται τοδὶ ἢ οὔ;

Ἐντεῦθεν ὥσπερ τὴν τοῦ ἐνδεχομένου φύσιν ἡμῖν ὑπαγορεύει, καί φησιν οὕτως, οἷον ὅτι πότερον ἔσται ναυμαχία ἢ οὔ; ἐὰν γὰρ γένηται μῖξις τῶν πολεμίων, ἔσται ναυμαχία, εἰ δὲ μή, οὐκ ἔσται. τοῦτο δὲ τὸ γενέ-

11 ἀληθὲς καὶ ψεῦδος scripsi: ἀληθῶς καὶ ψευδῶς libri 31 ἄρα] fort. γὰρ 37 τοῦτο—αἴτιον (p. 373,1) om. D

σθαι ναυμαχίαν ἄλλου γίνεται αἴτιον, οἷον τοῦ πολλοὺς ἀποθανεῖν. καὶ οὕτω, φησί, δῆλον ὅτι ἀεὶ χρόνου ἀφαιρουμένου ἀπὸ πεπερασμένου χρόνου ἥξει ἐπὶ τὸ νῦν, τουτέστιν ἐπ' αὐτὸ τὸ πρᾶγμα.

p. 1027b1 Ὥστε ὅδε ἀποθανεῖται ἢ νόσῳ ἢ βίᾳ.

Νόσῳ μὲν ἐὰν κατακρατήσῃ τὸ ἕτερον τῶν στοιχείων, ἐπειδὴ ἐξ ἐναντίων συγκείμεθα· λύεται οὖν ἡ ἁρμονία καὶ οὐκέτι ἐπιδέχεται τὴν ἔλ- f. 261v
λαμψιν τῆς ψυχῆς. βίᾳ δὲ ἐὰν φάγοι, εἰ τύχοι, δριμέα πολεμίων πολιορκούντων, εἶτα λοιπὸν δυψήσας ἐξέρχεται καὶ ἀπόλλυται, εἰ λῃφθείη· καὶ οὕτω, φησίν, ἔρχεται εἰς ὃ νῦν ὑπῆρχε, τουτέστιν εἰς τὸν θάνατον· ὥστε ἐξ ἀνάγκης καὶ ἀποθανεῖται ἢ οὐκ ἀποθανεῖται. ὁμοίως δὲ ὁ αὐτὸς λόγος ἐστὶ καὶ ἐπὶ τῶν παρελθόντων. ἐξ ἀνάγκης οὖν ἔσονται πάντα τὰ ἐσόμενα, οἷον τὸ ἀποθανεῖν τὸν ζῶντα. ἐπειδὴ ἐξ ἐναντίων σύγκειται· ἄδηλον δὲ εἴτε νόσῳ τελευτᾷ ἢ βίᾳ· εἰ μὲν γάρ φάγοι δριμέα, βίᾳ, εἰ δὲ μή, νόσῳ, εἰ τύχοι. ὥστε δῆλον ὅτι μέχρι τινὸς ἀρχῆς βαδίζει τοῦ φαγεῖν τὰ δριμέα. αὕτη δὲ οὐκέτι εἰς ἄλλο, ἐπεὶ οὕτως ἀναγκάσομεν πάντα, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν, οἷον τὸ τεχθῆναι ἐν τῇ πόλει, τὸ γενέσθαι πόλεμον, τὸ ἐρασθῆναι δριμέων. τοῦτο οὖν ἐστι τὸ ἐνδεχόμενον, τὸ δυνάμενον καὶ ἄλλως ἔχειν, καὶ οὐδέν ἐστιν αἴτιον ὡρισμένον τῆς γενέσεως (ἀδύνατον γάρ), εἴτε διὰ τὸ δριμέα φαγεῖν τεθνήξεται εἴτε διὰ τὴν μάχην τῶν στοιχείων.

p. 1027b14 Ἀλλ' εἰς ἀρχὴν ποίαν.

Ἐντεῦθεν ζητεῖ ὑπὸ ποίαν ἀρχὴν ἀνακτέον τὰ κατὰ συμβεβηκὸς αἴτια. καί φησιν ὅτι εἰς ποίαν ἀρχὴν δεῖ αὐτὰ ἀνάγειν; ἆρά γε εἰς τὴν ὑλικὴν ἢ εἰς τὴν εἰδικὴν ἢ εἰς τὴν ποιητικὴν ἢ εἰς τὴν τελικήν; καὶ ἐρεῖ ἐν ἄλλοις ὅτι εἰς τὴν ποιητικήν. ὥστε δεῖ ἡμᾶς παρελθεῖν τὰ κατὰ συμβεβηκός· ἱκανῶς γὰρ οὐτοῖς ὁ λόγος ἐνδιέτριψε.

p. 1027b18 Τὸ δὲ ὡς ἀληθὲς ὂν καὶ μὴ ὂν ὡς ψεῦδος.

Ἐντεῦθεν λέγει ἡμῖν περὶ τοῦ σημαινομένου τοῦ ὄντος τοῦ κατ' ἀλήθειαν καὶ ψεῦδος. καλῶς δὲ εἶπε καὶ μὴ ὂν ὡς ψεῦδος διὰ τὰ ἀνύπαρκτα, οἷον τραγέλαφον ἤ τι τοιοῦτον· τοῦτο γὰρ οὐκ ἔστιν ὡς ψεῦδος, ἐπειδὴ μηδὲ ὑπάρχει· ταῦτα γὰρ λέγομεν ψευδῆ, τὰ ὄντα μὲν λεγόμενα δὲ μὴ εἶναι. τὸ οὖν ἀληθὲς καὶ ψεῦδος περὶ σύνθεσιν καὶ διαίρεσιν θεωρεῖ- f. 262r
ται, τὸ δὲ σύνολον, τουτέστι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, περὶ μερισμὸν ἀντιφάσεως. ἀληθὴς γάρ ἐστι κατάφασις, ὅταν συνθῶμεν τὰ ἔχοντα τοιαύτην φύσιν, δηλονότι ἐναντίαν ψευδεῖ καταφάσει· ὁμοίως δὲ καὶ ἐπὶ τῆς

24. 25 ἐν ἄλλοις] Phys. B 6 p. 198a2 sqq. 29 ψεῦδος scripsi: ψεύδους libri
35 ἐναντία D

ἀποφάσεως. πῶς δὲ νοεῖν τὸ ἅμα ἢ τὸ χωρὶς συμβαίνει, ἄλλος λόγος· λέγω δὴ τὸ ἅμα καὶ τὸ χωρίς, ὥστε μὴ λέγειν ἡμᾶς ἄνθρωπος, ἵππος, κύων ἅμα ἢ χωρὶς (οὐδὲν γὰρ ἐντεῦθεν ἀληθὲς ἢ ψεῦδος), ἀλλὰ δεῖ λέγειν ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστιν ἢ ὅτι ὁ ἄνθρωπος ζῷον [ἐστὶν ἢ] οὐκ ἔστιν. ὥστε τὸ ψεῦδος καὶ τὸ ἀληθὲς οὐκ ἐν τοῖς πράγμασιν, ἀλλ' ἐν τοῖς λόγοις, οἷον ὅτι τὸ ἀληθὲς ἀγαθόν, τὸ δὲ ψεῦδος κακόν· ἐν διανοίᾳ γάρ εἰσι· περὶ δὲ τὰ ἁπλῶς καὶ τὰ τί ἐστιν ⟨οὐχ⟩ ὑπάρχει ἡ διάνοια· ὁ γὰρ νοῦς αἱρεῖ τὰ ἁπλᾶ, τουτέστι τὰ νοητά, ἁπλαῖς ἐπιβολαῖς. ὅσα οὖν δεῖ θεωρῆσαι περὶ τὸ ὄντως ὂν καὶ μὴ ὄν, τουτέστι τὸ καθ' αὑτό, ὅστερον ἐροῦμεν. ἐπειδὴ οὖν ἡ σύνθεσις καὶ ἡ διαίρεσις, τουτέστιν ἡ κατάφασις καὶ ἡ ἀπόφασις, ἐν διανοίᾳ θεωροῦνται, ἀλλ' οὐκ ἐν τοῖς πράγμασι, τὸ δὲ τοιοῦτον ὄν, τουτέστι τὸ κατ' ἀλήθειαν ⟨καὶ⟩ ψεῦδος, ἕτερόν ἐστι τοῦ κυρίως ὄντος, τουτέστι τοῦ καθ' αὑτὸ ὄντος (ἢ γὰρ οὐσίαν δηλοῖ τὸ καθ' αὑτὸ ὂν ἢ ποσὸν ἢ ποιὸν ἤ τινα ἄλλην τῶν δέκα κατηγοριῶν· ταῦτα γὰρ συνάπτει ἢ ἀφαιρεῖ ἡ διάνοια συνάπτουσα τὴν οὐσίαν ποσῷ καὶ λέγουσα τὸν Ἀχιλλέα εἶναι πέντε πηχῶν, ἢ λευκὸν ἢ πατέρα), δεῖ οὖν ἀφεῖναι τὸ κατὰ συμβεβηκὸς ὂν καὶ τὸ ὡς ἀληθές. τοῦ μὲν γάρ ἐστι τὸ αἴτιον ἀόριστον, τοῦ δὲ τῆς διανοίας ἡ ἀλήθειά τί ἐστι· καὶ ἀμφότερα δὲ ταῦτα περὶ τὸ λοιπὸν γένος τοῦ ὄντος καταγίνεται, τουτέστι τὸ καθ' αὑτό, καὶ οὐ δηλοῦσιν ἑτέραν τινὰ φύσιν παρὰ τὸ καθ' αὑτὸ ὄν· τὰ γὰρ κατὰ συμβεβηκὸς καὶ τὸ ἀληθὲς περὶ αὐτὸ στρέφονται. διὸ δεῖ ἡμᾶς τὰ αἴτια τοῦ κυρίως ὄντος, τοῦ καθ' αὑτό, ἐπισκέψασθαι, ἐπειδὴ καὶ τὰ f.262v ἄλλα ἐν αὐτῷ θεωρεῖται. καὶ ὅτι τὸ τοιοῦτον ὂν ἐν ταῖς δέκα κατηγορίαις θεωρεῖται * *

4 ἐστὶν ἢ delevi 5. 6 οὐκ ἐν—λόγοις D margo A: ἐν τοῖς πράγμασιν ἀλλ' οὐκ ἐν τοῖς λόγοις A 6 δὲ om. D 7 οὐχ addidi 10 καὶ διαίρεσις D 12 καὶ addidi 15 συνάπτουσα et λέγουσα scripsi: συνάπτουσι et λέγουσι libri 17 ἀληθές scripsi: ἀληθῶς libri 20 γὰρ scripsi: μὲν libri 21 αὐτὸ scripsi: αὐτὰ libri 24 addendum, ut videtur, tale aliquid εἴρηται ἐν οἷς διωρισάμεθα ποσαχῶς λέγεται ἕκαστον

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ζ ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ

p. 1028a10 Τὸ ὂν λέγεται πολλαχῶς, καθάπερ διειλόμεθα πρότερον ἐν τοῖς περὶ τοῦ ποσαχῶς.

Εἰπὼν ἐν τῷ Δ ὅτι πολλαχῶς λέγεται τὸ ὄν, καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, καὶ ὡς τὸ ἀληθὲς καὶ ψεῦδος, καὶ ὡς τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, καὶ διαλεχθεὶς ἐν τῷ Ε περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος καὶ τοῦ ὡς ἀληθοῦς καὶ ψευδοῦς, καὶ ἀποδείξας ὅτι ἡ σοφία οὐ διαλέγεται περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος, ἐπειδὴ μηδ' ἄλλη τις τέχνη διαλέγεται περὶ αὐτοῦ, μήτε δὲ περὶ τοῦ ὡς ἀληθοῦς καὶ ψευδοῦς, ἐπειδὴ ταῦτα μὲν περὶ λόγον ἔχουσι τὸ εἶναι, ἡ δὲ σοφία περὶ πραγμάτων διαλέγεται, ἐνταῦθα ἐν τῷ Ζ περὶ τοῦ καθ' αὑτὸ ὄντος διαλέγεται· περὶ γὰρ τοῦ ὡς δυνάμει καὶ ἐνεργείᾳ διαλέγεται ἐν τῷ Η καὶ ἐν τῷ Θ· καὶ ἐπειδὴ τὰ καθ' αὑτὸ ὄντα θεωρεῖται ἐν ταῖς δέκα κατηγορίαις, διαλέγεται ἡμῖν περὶ τῶν δέκα κατηγοριῶν. ἀλλ' ἐπειδὴ κυριωτάτη ἐστὶ τῶν δέκα κατηγοριῶν ἡ οὐσία, τούτου χάριν περὶ τῆς οὐσίας λόγον ποιεῖται πολύν. εἶτα ἐπειδὴ τῆς οὐσίας ἡ μέν ἐστιν ἀσώματος καὶ ἁπλῆ ἡ δὲ σύνθετος, μᾶλλον δὲ ἡμῖν ἔγνωσται ἡ σύνθετος τῆς ἁπλῆς, περὶ τῆς συνθέτου ποιεῖται τὸν λόγον· εἶτα λοιπὸν καὶ περὶ τοῦ εἴδους. ἀλλ' ἐπειδὴ τὸ μέν ἐστιν ἄυλον εἶδος τὸ δὲ ἔνυλον, ἐν δὲ ταῖς συνθέτοις οὐσίαις μάλιστα τὸ ἔνυλον εἶδος θεωρεῖται, τούτου χάριν πολὺν λόγον περὶ τοῦ ἐνύλου εἴδους ποιεῖται, καὶ ζητεῖ τίνος ἐστὶν ὁρισμὸς μᾶλλον ὁ λέγων ζῷον λογικὸν θνητόν, ἆρά γε τοῦ ἐνύλου εἴδους ἢ τοῦ ἀύλου. καὶ τὸν πολὺν λόγον ἐνταῦθα περὶ ὁρισμῶν ποιεῖται, καὶ ζητεῖ ἆρα τετραχῶς λέγονται αἱ οὐσίαι, ὥς τινες ὑπέλαβον, ἡ καθόλου, ἡ γενική, ἡ εἰδική, καὶ ἡ καθ' ἕκαστα, καὶ λεπτουργεῖ παντοδαπῶς τὸν περὶ τῆς οὐσίας λόγον, καὶ δείκνυσιν ὅτι οὐκ ἔστιν αὐτὴ καθ' αὑτὴν ἡ καθόλου, ὥς τινες ὑπέλαβον. εἶτα λοιπὸν δείκνυσιν ὅτι κατὰ πάντα τὰ σημαινόμενα τοῦ προτέρου κρείττων ἐστὶν ἡ οὐσία τῶν συμβε-

f. 265r

6 καὶ τὸ om. D 8 ὡς om. D 16 post πολὺν add. λόγον A^2D

βηκότων, φύσει, χρόνῳ, λόγῳ, γνώσει· φύσει μὲν ὅτι συναναιρεῖ καὶ οὐ συναναιρεῖται, χρόνῳ δὲ ὅτι ἐπιγίνεται τὰ συμβεβηκότα ταῖς οὐσίαις. ὡς γὰρ ἔχει ἡ μερικὴ πρὸς τὴν μερικήν, οὕτως ἔχει καὶ ἡ καθόλου πρὸς τὴν καθόλου. εἰ τοίνυν [τὰ ἄτομα] ἐπὶ τῶν ἀτόμων πρότεραι ὑπάρχουσιν αἱ οὐσίαι τῶν συμβεβηκότων (ἐπιγίνονται γὰρ ὕστερον αὐταῖς τὰ συμβεβηκότα, ὡς εἰρήκαμεν, διὸ καὶ ὕστερον πολλάκις ἐπιγίνεται τὸ λευκόν), δῆλον ὡς ὅτι καὶ ἐπὶ τῶν καθόλου οὐσιῶν οὕτως ἔχει ἡ φύσις. ἀλλὰ καὶ λόγῳ προτέρα ἐστὶν ἡ οὐσία τῶν συμβεβηκότων, εἴ γε τὴν μὲν οὐσίαν παραλαμβάνομεν εἰς τοὺς ὁρισμοὺς τῶν συμβεβηκότων λέγοντες οὕτως ὅτι ποιότητα λέγω καθ' ἣν ποιοί τινες λέγονται. τὰ δὲ συμβεβηκότα οὐ παραλαμβάνομεν εἰς τὸν ὁρισμὸν τῆς οὐσίας. ὥστε προτέρα ὑπάρχει καὶ τῷ λόγῳ ἡ οὐσία τῶν συμβεβηκότων. καὶ αὖ τῇ γνώσει προτέρα ὑπάρχει ἡ οὐσία τῶν συμβεβηκότων· εἰ γὰρ μὴ προλάβωμεν τὸ τί ἐστι τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ, ὅ ἐστιν οὐσίας, οὐ δυνάμεθα γνῶναι τί ἐστι ποσὸν ἢ ποιόν. εἴ γε ἐκ τῶν ὁρισμῶν θηρῶνται τὰ πράγματα.

p. 1028a10 Τὸ ὂν λέγεται πολλαχῶς, καθάπερ διειλόμεθα πρότερον. f.263v

Φησὶν ὅτι τὸ ὂν πολλαχῶς λέγεται. καθάπερ εἰρήκαμεν ἐν τῷ Δ στοιχείῳ· σημαίνει γὰρ τὸ μὲν τί ἐστι καὶ τόδε τι. καὶ δι' ἀμφοτέρων τὴν οὐσίαν ἐδήλωσεν· ἐρωτώμενοι γὰρ τί ἐστι τόδε τὸ πρᾶγμα, οὐσίαν ἀποδίδομεν, οὐ συμβεβηκός, οἷον ὅτι ζῷον λογικὸν θνητόν· καὶ πάλιν δεικτικῶς περὶ τῆς οὐσίας ἐρωτώμενοι τὸ τόδε τι ἀποδίδομεν. δηλοῖ οὖν τὸ καθ' αὑτὸ ὂν οὐσίαν, ποσόν, ποιὸν καὶ τὰς ἄλλας κατηγορίας. τοσαυταχῶς οὖν, φησίν, λεγομένου τοῦ ὄντος φανερόν ἐστιν ὅτι πάντων πρῶτόν ἐστιν ὂν ἡ οὐσία. ὅταν μὲν γὰρ περὶ συμβεβηκότος ἐρωτηθῶμεν ποῖόν τί ἐστιν, οὕτως λέγομεν· ⟨οὐ γὰρ⟩ οὐσίαν μόνον ἀποδίδομεν λέγοντες ἄνθρωπον, οὔτε δὲ λέγομεν συμβεβηκὸς μόνον ποιὸν λέγοντες. ἀλλὰ οὐσίαν πεποιωμένην, οἷον ὅτι ἀγαθὸν ἢ κακόν. ὅταν δὲ τί ἐστιν ἐρωτηθῶμεν, οὐκ ἀποδίδομεν συμβεβηκὸς μόνον λέγοντες λευκὸν ἢ θερμόν, ἀλλ' οὐσίαν μόνον λέγοντες ἄνθρωπον ἢ θεόν. ὥστε εἰ τὰ συμβεβηκότα δέονται τῆς οὐσίας, ἡ δὲ οὐσία οὐ δεῖται, κρείττων ἄρα ἡ οὐσία τῶν συμβεβηκότων. τὰ γὰρ ἄλλα ὄντα τὰ παρὰ τὴν οὐσίαν λέγονται ὄντα τῷ μετέχειν τοῦ κυρίως ὄντος, φησὶ δὴ τῆς οὐσίας· τὰ μὲν γάρ εἰσι ποσότητες τῆς οὐσίας, ὥσπερ τὸ ποσόν, τὰ δὲ πάθη, ὥσπερ τὸ ποιόν. διὸ καὶ ἄξιον ἀπορῆσαι περὶ τῆς ὑγείας αὐτῆς καθ' αὑτὴν καὶ τῆς βαδίσεως καὶ τῶν ἄλλων τῶν τοιούτων, πότερον ὄντα ὑπάρχουσιν αὐτὰ καθ' αὑτὰ ἢ οὐδὲ ὅλως, εἰ μήτι γε ἄρα ἐν ψιλῇ ἐπινοίᾳ, ἀλλὰ τότε ἔχουσιν ὑπόστασιν, ὅταν σὺν τῇ οὐσίᾳ θεωρῶνται. ταῦτα οὖν εἰσιν ὄντα τὸ καθήμενον καὶ τὸ ὑγιαῖνον, ἐπειδὴ τότε

4 τὰ ἄτομα delevi 16 διειλόμεθα—καθάπερ (18) om. D 26 οὐ γὰρ addidi 31 post δεῖται fort. addendum τῶν συμβεβηκότων

μετὰ τῆς οὐσίας λαμβάνονται· τὸ γὰρ ἀγαθὸν ἢ τὸ καθήμενον οὐκ ἄνευ τοῦ τόδε ὑπάρχει, τουτέστιν οὐσίας, οὔτε δὲ χωρισθέντα αὐτῆς δύνανται διασώζεσθαι. ὥστε διὰ τὴν οὐσίαν κἀκεῖνα ὑπάρχουσιν. ὥστε τὸ πρώτως f.264r ὂν καὶ οὐ τὶ ὂν ἀλλὰ ἁπλῶς ὂν ἡ οὐσία ἐστί.

5 p. 1028a31 Πολλαχῶς οὖν λέγεται τὸ πρῶτον.

Φησὶν ὅτι, καθάπερ ἐν Κατηγορίαις μεμαθήκαμεν, πολλαχῶς τὸ πρῶτον λέγεται. πρώτη οὖν πάντων ἐστὶν ἡ οὐσία καὶ φύσει καὶ λόγῳ καὶ χρόνῳ καὶ γνώσει. αἱ γὰρ ἄλλαι κατηγορίαι οὐ δύνανται αὐταὶ καθ' αὑτὰς ὑποστῆναι, αὕτη δὲ ἄνευ ἐκείνων δύναται. καὶ τῷ λόγῳ δὲ προτέρα,
10 ἐπειδὴ παραλαμβάνεται εἰς τὸν ὁρισμὸν τῶν συμβεβηκότων. ὡς ἔδειξεν ἡ θεωρία. ἄλλως τε δὴ τότε γινώσκεται ἕκαστον, ὅταν τὴν οὐσίαν αὐτοῦ γνῶμεν, ἥπερ τὰ συμβεβηκότα, οἷον γινώσκομεν μᾶλλον τὸν ἄνθρωπον, ὅταν γνῶμεν ὅτι ζῷον λογικόν ἐστιν ἢ ὅταν γνῶμεν ὅτι λευκόν ἐστι· ταῦτα γὰρ καὶ ἄλλῳ ὑπάρχουσι. καὶ πάλιν ἐπὶ τοῦ πυρὸς γινώσκομεν ὅτι πῦρ ἐστι
15 γνόντες αὐτὸ ξηρὸν καὶ θερμὸν καὶ φωτιστικὸν καὶ καυστικόν, ἢ ὅτι ξανθόν ἐστιν ἢ ἄλλο τι τοιοῦτον ἔχον χρῶμα. ἄλλως τε δὴ καὶ αὐτὰ τὰ συμβεβηκότα τότε γινώσκομεν, ὅταν τὰς οὐσίας αὐτῶν γνῶμεν, οἷον τί ἐστι ποσὸν ἢ ποιόν, ἢ ὅτι τὸ ἴσον καὶ ἄνισον, ἢ ὅμοιον καὶ ἀνόμοιον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

20 p. 1028b2 Καὶ δὴ καὶ τὸ πάλαι τε καὶ νῦν καὶ ἀεὶ ζητούμενον καὶ ἀεὶ ἀπορούμενον.

Δείξας ὅτι τὸ κυρίως ὂν ἡ οὐσία ἐστὶ κατὰ τὰ τρία σημαινόμενα τοῦ προτέρου, ἐπειδὴ καὶ αὕτη αἰτία τοῦ εἶναι τὰ συμβεβηκότα, ἐντεῦθεν μαρτυρίαν ποιεῖται τῶν παλαιῶν, καί φησιν ὅτι καὶ οἱ παλαιοὶ περὶ τοῦ ὄντος
25 διαλεχθῆναι βουλόμενοι περὶ τῆς οὐσίας εἰρήκασι· καὶ οἱ μὲν ἓν εἰρήκασιν εἶναι τὸ ὄν, ὥσπερ Παρμενίδης καὶ Μέλισσος, οἱ δὲ πολλά, ὥσπερ Ἐμπεδοκλῆς λέγων τὰ τέσσαρα στοιχεῖα καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν, καὶ Παρμενίδης μὲν πῦρ καὶ γῆν, οἱ δὲ ἄπειρα, ὥσπερ Λεύκιππος καὶ Δημόκριτος καὶ Ἀναξαγόρας. καὶ πάλιν οἱ μὲν μίαν οὐσίαν εἶναι εἰρήκασιν, οἷον τὴν f.264v
30 αἰσθητήν, ὥσπερ οἱ φυσικοὶ καὶ οἱ Στωικοί, οἱ δὲ τρεῖς εἰρήκασιν εἶναι οὐσίας, ὥσπερ Πλάτων τὰς ἰδέας καὶ τὰ μαθήματα, τουτέστι τὰ διανοήματα, καὶ τὰς αἰσθητὰς οὐσίας. καὶ κυρίως μὲν οὐσίας ἔλεγε τὰς ἰδέας, οὐ κυρίως δὲ τὰ αἰσθητά· 'τὶ τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τὶ τὸ γινόμενον μέν, ὂν δὲ οὐδέποτε'. ὁμοίως καὶ οἱ περὶ Σπεύσιππον καὶ
35 Ξενοκράτην. καὶ ὁ μὲν Σπεύσιππος πολλὰς ἔλεγεν εἶναι οὐσίας· ἄλλην γὰρ οὐσίαν ἔλεγεν εἶναι μεγεθῶν καὶ ἄλλην ἀριθμῶν, καὶ ἐπὶ πάντων τῶν

---

6 ἐν Κατηγορίαις] c. 12 16 ἐστιν ἢ A¹: ὂν ἔχει in marg. A²: ὂν εἰ D 33 τί τὸ ὂν κτλ.] cf. Plat. Tim. p. 27 D 34 μὲν] ἀεὶ add. Plato l. l. 36 εἶναι om. D

ὁμοίων, καὶ πάλιν ἄλλην οὐσίαν νοῦ καὶ ἄλλην ψυχῆς, καὶ ἄλλην σημείου καὶ ἄλλην γραμμῆς καὶ ἄλλην ἐπιφανείας. ἐπειδή, φησί, διαφόρως ἐδόξασαν οἱ πρὸ ἡμῶν. ἄδηλον δὲ ἡμῖν ἐστι πότερον τὰς αἰσθητὰς μόνον εἶναι ἔλεγον οὐσίας, καὶ τούτων ἄρα πάσας ἢ ἑνίας ἐξ αὐτῶν· ὁμοίως δὲ καὶ περὶ τῆς ἀσωμάτου, ἆρα μόνην τὴν ἀσώματον ὑπετίθεντο, καὶ εἰ μόνην, ἆρα πᾶσαν ἢ τινά. φησὶν οὖν ὅτι δεῖ ἡμᾶς διαστείλασθαι τὰ διάφορα σημαινόμενα τῆς οὐσίας, καὶ γνῶναι ποία ἐστὶν ἡ κυρίως οὐσία ἐξ ὧν δείκνυμεν. φησὶν οὖν ὅτι τετραχῶς λέγεται ἡ οὐσία· τὸ εἶδος, ἐπειδὴ καὶ αὐτὸ χαρακτηριστικόν ἐστι τοῦ συνθέτου, ἐπειδὴ καὶ τελειοῖ, λέγεται οὐσία, καὶ τὸ καθόλου, τουτέστιν ἡ ἰδέα, λέγεται οὐσία, καὶ τὸ γένος, οἷον τὸ ζῷον, λέγεται οὐσία, καὶ τὸ ὑποκείμενον, τουτέστι τὸ σύνθετον. καὶ τοῦτο διαιρεῖται τριχῇ εἰς τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὸ συναμφότερον. καί φησιν ὅτι εἰ ὑποθώμεθα κυρίως ταύτην εἶναι οὐσίαν διὰ τὸ ὑποκεῖσθαι, τὴν ὕλην μάλιστα εἶναι οὐσίαν φήσομεν, ἐπειδὴ αὕτη πᾶσιν ὑπόκειται.

p. 1028b2 Καὶ δὴ καὶ τὸ πάλαι τε καὶ νῦν καὶ ἀεὶ ζητούμενον.

Φησὶν ὅτι καὶ πάλαι ὑπὸ τῶν πρὸ ἡμῶν ἐζητήθη τοῦτο καὶ νῦν δὲ ζητεῖται καὶ ἀεὶ ἀπορεῖται, ποῖόν ἐστι τὸ ὄν. τοῦτο δέ ἐστι ζητῆσαι τί ἐστιν οὐσία· κυρίως γὰρ ὄν, ὡς ὁ λόγος ἔδειξεν, ἡ οὐσία. ταύτην γὰρ f. 265r οἱ μὲν μίαν εἶναί φασιν, ὥσπερ Παρμενίδης, οἱ δὲ πολλάς, ὥσπερ Ἐμπεδοκλῆς, καὶ οἱ μὲν πεπερασμένας, οἱ δὲ ἀπείρους, ὥσπερ Δημόκριτος. διὰ τοῦτο οὖν καὶ ἡμῖν μάλιστα καὶ πρῶτον καὶ μόνον ὡς εἰπεῖν περὶ τοῦ ὄντως ὄντος, τουτέστι τοῦ κατὰ τὴν οὐσίαν, δεῖ θεωρῆσαι, τίς ἐστιν ἡ κυρίως οὐσία, ἐπειδὴ καὶ οἱ παλαιοὶ περὶ ταύτης ἐζήτησαν.

p. 1028b8 Δοκεῖ δ' ἡ οὐσία ὑπάρχειν.

Φανερώτατα ὑπάρχειν τοῖς σώμασι. διὸ τά τε ζῷα καὶ τὰ φυτὰ καὶ τὰ μόρια αὐτῶν οὐσίας εἶναί φαμεν, οἷον χεῖρα καὶ κεφαλὴν καὶ τὰ φυσικὰ πάντα σώματα, οἷον πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἁπλῶς εἰπεῖν πάντα τὰ αἰσθητά, καὶ ὅσα ἢ μόρια τούτων, ὥσπερ τὰ ζῷα ἢ τὸ μερικὸν ὕδωρ, ἢ ἐκ τούτων ἐστίν, ἢ μορίων ἢ πάντων. καὶ μορίων μὲν λέγει τὰ ζῷα· ἐκ γὰρ τῶν μορίων τῶν στοιχείων συνεστήκασιν· ἐκ πάντων δὲ τὸν πάντα κόσμον. διὸ ἐπήγαγεν οἷον ὅ τε οὐρανὸς καὶ τὰ μόρια αὐτοῦ, ἄστρα καὶ σελήνη καὶ ἥλιος. καὶ σημειωτέον ὅτι ἐνταῦθα ἐκ τῶν τεσσάρων στοιχείων φησὶν εἶναι τὸν οὐρανόν.

p. 1028b13 Πότερον δὲ αὗται μόναι εἰσὶν οὐσίαι.

Φησὶν ὅτι δεῖ ἡμᾶς ζητῆσαι, πότερον αὗται καὶ μόναι οὐσίαι ὑπάρχουσιν ⟨αἱ⟩ αἰσθηταί, ἢ καὶ ἄλλαι, τουτέστιν ἀσώματοι, ἢ τούτων τῶν

22 ὄντως] οὕτως Aristoteles 36 αἱ addidi

ἀσωμάτων τινὲς ἢ καὶ ἄλλων, τουτέστι τῶν αἰσθητῶν, τινὲς καὶ οὐ πᾶσαι, ἢ αὗται μὲν οὔκ εἰσιν οὐσίαι, οὔτε αἱ νοηταὶ οὔτε αἱ αἰσθηταί, ἀλλὰ ἄλλαι. φησὶν οὖν ὅτι τοῖς μὲν Πυθαγορείοις δοκοῦσιν εἶναι οὐσίαι τὰ τοῦ σώματος πέρατα, οἷον ἐπιφάνεια, γραμμή, στιγμὴ καὶ μονάς. δῆλον δέ, φησίν, ὅτι ταῦτα συμβολικῶς ἔλεγον ἐκεῖνοι· τὴν γὰρ στιγμὴν ἐλάμβανον ἀναλόγως τῷ νῷ διὰ τὸ ἀμερές, τὴν δὲ γραμμὴν τῇ ψυχῇ διὰ τὸ ἔχειν τὸ ποθέν ποι, τουτέστιν ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα, τὴν δὲ ἐπιφάνειαν τῇ f.265v φύσει, τὰ δὲ σώματα τοῖς στερεοῖς διὰ τὸ πλάτος καὶ μῆκος καὶ βάθος. ἄλλοι δὲ ὥσπερ οἱ φυσικοὶ οὐκ οἴονται εἶναι ἑτέραν οὐσίαν παρὰ τὰ αἰσθητά. οἱ δὲ πλείονας ὑποτίθενται οὐσίας, ὥσπερ Πλάτων, καὶ τὰς αἰσθητὰς καὶ τὰ μαθήματα καὶ τὰς νοητάς· καὶ μᾶλλόν φησι ταύτας οὐσίας εἶναι, τουτέστι τὰς νοητάς. Σπεύσιππος δὲ καὶ πλείους οὐσίας ὑποτίθεται ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς καὶ οὐσίας· ἄλλην γὰρ οὐσίαν λέγει εἶναι τῶν ἀριθμῶν καὶ ἄλλην τῶν μεγεθῶν καὶ ἄλλην ψυχῆς, καὶ † τούτων ἐπεκτείνει τὰς οὐσίας.

p. 1028ᵇ24 Ἔνιοι δὲ τὰ μὲν εἴδη καὶ τοὺς ἀριθμούς.

Ἐντεῦθεν εἰς τὸν Ξενοκράτην ἀποτείνεται, καί φησιν ὅτι τὰ εἴδη τῶν πραγμάτων τοῖς ἀριθμοῖς προσηγόρευεν, ἐπειδή, ὥσπερ οἱ ἀριθμοὶ περιοριστικοί εἰσιν ὧν εἰσιν ἀριθμοί, οὕτω δὴ καὶ τὰ εἴδη περιοριστικὰ τῆς ὕλης ὑπάρχουσιν. εἶτα μετὰ τὰς ἰδέας δευτέρας οὐσίας ὑποτίθεται τὰς διανοητάς, τουτέστι τὰ μαθήματα, γραμμὰς καὶ ἐπίπεδα· τελευταῖα δὲ τὰ φυσικά. περὶ γοῦν τῶν διαφόρων δοξῶν, ποία λέγεται καλῶς ὑπὸ τῶν παλαιοτέρων καί ποία οὐ καλῶς, καὶ τίνων εἰσὶ κυρίως οὐσίαι, καὶ πότερόν εἰσί τινες οὐσίαι παρὰ τὰς αἰσθητὰς οὐσίας ἢ οὔκ εἰσι, καὶ αὗται εἰ μὴ αἰσθηταί, πῶς εἰσιν. ἆρα δέονται ὑποκειμένου ἢ οὔ. καὶ πότερον ἔστι τις οὐσία χωριστὴ τῆς ὕλης, καὶ διὰ τίνα αἰτίαν ἐστὶ χωριστὴ τῆς ὕλης, ὡς μὴ δεομένη ἢ ὡς παρακτικὴ τῆς ὕλης ἢ ἀσώματος οὐσία, καὶ πῶς ἐστιν, ἆρά γε αὐτὴ καθ' αὑτήν, καὶ τίς ἡ φύσις αὐτῆς, ἢ ἄρα οὐκ ἔστιν ἑτέρα τις οὐσία παρὰ τὰς αἰσθητὰς οὐσίας, δεῖ οὖν ἡμᾶς ἐπισκέψασθαι περὶ τούτων διελομένους τὰ διάφορα σημαινόμενα τῆς οὐσίας, καὶ εἰπόντας πρότερον τί ἐστιν οὐσία.

p. 1028ᵇ33 Λέγεται δὲ ἡ οὐσία.

Φησὶν ὅτι τετραχῶς λέγεται ἡ οὐσία. λέγεται γὰρ οὐσία τὸ εἶδος f.266r αὐτὸ καθ' αὑτό, καὶ τὸ καθόλου, τουτέστιν ἡ ἰδέα, καὶ τὸ γένος, τουτέστι τὸ ζῷον, καὶ τέταρτον λέγεται οὐσία εἶναι τὸ ὑποκείμενον. τὸ δὲ

2 αἰσθηταί] νοηταὶ οὔτε αἰσθηταὶ D 13 ἀρχὰς ἑκάστης οὐσίας Aristoteles 14. 15 καὶ τοῦτον τὸν τρόπον ἐπεκτείνει Aristoteles 18 προσηγόρευεν scripsi: προσηγόρευον libri 20. 21 διανοητάς scripsi: διανοητικάς libri 23 καὶ πότερον—οὐσίας (24) om. D 26. 27 καὶ διὰ—ὕλης (ante ὡς) D in marg. add. A² 26 ἐστὶ χωριστὸς libri 28 ἢ scripsi: εἰ libri

ὑποκείμενόν ἐστι καθ' οὗ τὰ ἄλλα λέγεται, ἐκεῖνο δὲ οὐκέτι κατ' ἄλλου λέγεται. διὸ δεῖ ἡμᾶς πρότερον περὶ τοῦ ὑποκειμένου διορίσασθαι. τοῖς γὰρ πολλοῖς ἀνθρώποις μάλιστα δοκεῖ εἶναι οὐσία τὸ ὑποκείμενον πρῶτον· τὸ δὲ ὑποκείμενον φαίνεται εἶναι καὶ ἡ ὕλη ὡς ὑπομένουσα καὶ δεχομένη, φαίνεται εἶναι καὶ τὸ εἶδος ὡς τελειοῦν τὴν ὕλην καὶ ὁρίζον καὶ τρόπον τινὰ εἰς τὸ εἶναι παράγον, τρίτον δὲ τὸ σύνθετον τὸ ἐκ τούτων. ὕλη οὖν ἐστι κατὰ ἀναλογίαν ὥσπερ ὁ χαλκός, τὸ δὲ εἶδος τὸ τοιόνδε σχῆμα τοῦ χαλκοῦ, οἷον τοῦ ἀνδριάντος, ἐκ τούτου συγκείμενος αὐτὸς ὁ ἀνδριάς. ὥστε εἰ τὸ εἶδος τῆς ὕλης πρότερον ὡς τελειοῦν, τὸ δὲ τελειοῦν τοῦ τελειουμένου πρότερον τῇ φύσει ὑπάρχει, καὶ τοῦ συνθέτου αὐτοῦ πρότερόν ἐστι τὸ εἶδος, ὥσπερ ἡ ὑγίεια κρείττων ἐστὶ τῆς ὑγιείας τῆς ἐχούσης νόσον τινά. ὥστε ἐν σκιαγραφίᾳ τέως εἴρηται ἡμῖν τί ἐστιν οὐσία, ὅτι τὸ μὴ καθ' ὑποκειμένου, ἀλλὰ καθ' οὗ τὰ ἄλλα λέγονται. ὅμως καὶ οὕτως ἀδηλόν ἐστι· δύναται γὰρ καὶ ἡ ὕλη ὑποκείμενον εἶναι, καὶ διὰ τοῦτο καὶ οὐσία. μόνη γὰρ αὕτη ὑπομένει τῆς ἄλλης διαφευγούσης· περιαιρουμένων γὰρ τῶν ἄλλων οὐ φαίνεται οὐδὲν ὑπομένον παρὰ τὴν οὐσίαν. τὰ μὲν γὰρ ἄλλα τῶν σωμάτων πάθη, τουτέστι μεταβολαί, καὶ ποιήματα ἐνέργειαι ὑπάρχουσι καὶ δυνάμεις, οἷον τὸ βαδίζειν, τὸ δὲ μῆκος καὶ πλάτος καὶ βάθος ποσότητες ὑπάρχουσιν ἀλλ' οὐκ οὐσίαι· τὸ γὰρ ποσὸν οὐκ οὐσία ὑπάρχει, ἀλλὰ μᾶλλον τοῦτό ἐστιν οὐσία, ᾧτινι ταῦτα πρώτως ὑπάρχουσιν. ὑπάρχει γὰρ πρώτως ταῦτα τῇ ὕλῃ. ὥστε ἡ ὕλη ἐστὶν οὐσία. ἀφαιρουμένου τοίνυν μήκους πλάτους βάθους οὐδὲν ὁρῶμεν ἀπολειπόμενον, εἰ μὴ μόνον τὸ ὁριζόμενον ὑπὸ τούτων, τοῦτο δέ ἐστιν ὕλη· ὥστε τοῖς οὕτω σκοποῦσιν ἀνάγκη μόνην τὴν ὕλην ὑποτίθεσθαι οὐσίαν. λέγω δὴ ὕλην ἥτις αὐτὴ καθ' αὑτὴν μήτε ποσόν ἐστι μήτε ἄλλο μηδὲν οἷς ὥρισται τὸ ὄν. τουτέστι μηδεμία ἄλλη κατηγορία. f.266v

p. 1029a21 Ἔστι γάρ τι καθ' οὗ κατηγορεῖται τούτων ἕκαστον ᾧ τὸ εἶναι ἕτερον.

Τὸ γὰρ ὑποκείμενον τούτων ἕτερόν ἐστι κατὰ τὸν ὁρισμόν, τουτέστιν ἡ ὕλη· τὰ μὲν γὰρ ἄλλα τῆς οὐσίας κατηγορεῖται, αὕτη δὲ τῆς ὕλης, οἷον κατὰ ζῴου λογικοῦ θνητοῦ κατηγορεῖται καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ αἱ ἄλλαι, τουτέστι κατὰ τοῦ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος κατὰ τῆς ὕλης. ὥστε τὸ ἔσχατον καθ' αὑτὸ οὐδεμία ἐστὶ τῶν κατηγοριῶν. οὔτε δὲ αἱ στερήσεις ταὐτόν εἰσι τῇ ὕλῃ, εἴ γε ἡ μὲν οὐχ ὑπομένει ἐπιὸν τὸ εἶδος, ἡ δὲ ὕλη ὑπομένει· ἡ δὲ στέρησις οὐχ ὑπομένει, ὡς εἴρηται, ὕπαρξιν ἔχουσα κατὰ συμβεβηκός· τῷ γὰρ ἀπεῖναι ἐκ τοῦδε τὸ ἀνθρώπειον εἶδος λέγεται ἔχειν στέρησιν ἀνθρώπου, οὐ προηγουμένως.

19 βαδίζειν scripsi: βαδίζον libri 35 δὲ om. D 38 τῷ scripsi: τὸ libri

p. 1029a26 Ἐκ μὲν οὖν τούτων θεωροῦσι συμβαίνει οὐσίαν εἶναι τὴν ὕλην.

Δείξας ὅτι τὸ κυρίως ὂν ἡ οὐσία ἐστὶ καὶ ὅτι, εἰ δεῖ κατὰ τὸ ὑποκείμενον χαρακτηρίζειν τὴν οὐσίαν, ἡ ὕλη μᾶλλον [ἢ] ἐστὶν οὐσία (αὕτη γάρ ἐστιν ἡ ὑποκειμένη πᾶσι τοῖς αἰσθητοῖς), ἐντεῦθέν φησιν ὅτι οὐ δυνατὸν εἶναι τὴν ὕλην τὴν κυρίως οὐσίαν, εἴ γε αὐτὴ καθ' αὑτὴν ἀνείδεος ὑπάρχει καὶ ἀκαλλὴς καὶ δεομένη ἑτέρου πρὸς τὸ κοσμεῖσθαι ἐξ αὐτοῦ, ἀλλὰ κυρίως οὐσία ἐστὶ τὸ χωριστὸν καὶ ἐνεργείᾳ ὑπάρχον. λέγει δὲ χωριστὸν τὸ καθ' αὑτὸ ὑπάρχον καὶ ἐνεργείᾳ ἀεὶ ὄν, τουτέστι τὰ νοητὰ εἴδη· ἐνέργειαι γάρ εἰσιν ἄνευ δυνάμεων καὶ αὐτὰ καθ' αὑτὰ ὑπάρχοντα, καὶ οὐ δεόμενα ἑτέρου πρὸς τὸ εἶναι. ἡ μέντοι γε ὕλη οὐδὲ χωριστή ποτε δύναται εἶναι, τουτέστιν αὐτὴ καθ' αὑτήν· οὐδέποτε γὰρ γυμνὴ τῶν εἰδῶν θεωρεῖται, οὔτε μέντοι ἐνεργείᾳ ἔχει τὰ εἴδη ἀλλὰ δυνάμει. δύναται δὲ f. 267r καὶ τὸ ἔνυλον εἶδος τοιοῦτον εἶναι καὶ χωριστὸν καὶ ἐνεργείᾳ, τουτέστιν αὐτὸ καθ' αὑτό, εἰ καὶ μὴ τῇ ὑπάρξει, ὥσπερ τὰ νοητά, ἀλλ' οὖν γε τῇ ἐπινοίᾳ. πρότερον οὖν, φησίν, δεῖ ἡμᾶς εἰπεῖν περὶ τοῦ ἐνύλου εἴδους καὶ ἀποδοῦναι τὸν ὁρισμὸν αὐτοῦ † τῶν γὰρ στοιχείων τουτέστι τοὺς πολλοὺς λόγους περὶ ὁρισμῶν ποιεῖται, εἰ καὶ κρείττων ἐστὶν ἡ νοητὴ οὐσία, καὶ τότε δεῖ ἡμᾶς ὕστερον εἰπεῖν περὶ τῆς νοητῆς οὐσίας. δεῖ γὰρ ἡμᾶς ἄρχεσθαι ἀπὸ τῶν ἡμῖν σαφεστέρων καὶ συγκεχυμένων, ὡς εἴρηται ἐν τῇ Φυσικῇ ἀκροάσει, τῇ φύσει δὲ ἀσαφεστέρων· τὰ γὰρ τελειότερα τῇ φύσει μὲν σαφέστερα ὑπάρχουσιν, ἡμῖν δὲ ἀσαφέστερα. οὕτως γὰρ καὶ αἱ ἄλλαι ποιοῦσι τέχναι, οἷον ἡ ἰατρικὴ πρότερον διαλέγεται περὶ τοῦδε τοῦ σιτίου καὶ τοῦδε τοῦ βοηθήματος, καὶ οὕτως λοιπὸν δι' αὐτῶν κατασκευάζει τὴν ὑγείαν, ὅπερ ἐστὶ καθόλου. ὁμοίως δὲ καὶ ὁ νομοθέτης κολάζει τὸν ἀδικοῦντα τόνδε, καὶ οὕτως ἐπάγει τὸ καθολικόν, τουτέστι τὴν ἀρετήν, καὶ ποιεῖ εὐνομεῖσθαι τὴν πόλιν. εἶτα λοιπὸν ζητεῖ τίνος ἐστὶ κυρίως ὁ ὁρισμός, τῆς οὐσίας μόνον ἢ καὶ τῶν συμβεβηκότων ἢ καὶ τοῦ συναμφοτέρου ἅμα, τουτέστι τῆς οὐσίας καὶ τῶν συμβεβηκότων. καί φησιν ὅτι τῆς οὐσίας καὶ μόνης ὑπάρχουσιν οἱ ὁρισμοί. καθ' αὑτὸ γὰρ ὑπάρχουσιν οἱ ὁρισμοὶ καὶ πρώτως, καὶ ἐξισάζουσι * * * διὸ καὶ εἰ καθ' αὑτὸ ὑπάρχει τῇ ἐπιφανείᾳ τὸ λευκόν, τουτέστι πρώτως, ἀλλ' οὐκ ἀντιστρέφει· οὐδὲ γὰρ πᾶσα ἐπιφάνεια καὶ λευκή· πᾶς δὲ ἄνθρωπος λογικός. θέλουσιν οὖν οἱ ὁρισμοὶ καὶ καθ' αὑτὸ ὑπάρχειν, τουτέστιν οὐσιώδεις εἶναι, εἴ γε ἐκ γενῶν

---

3 εἰ δεῖ κατὰ margo A^2: ἰδικῶς A^1D τὸ om. D 4 χαρακτηρίζειν margo A^2: χαρακτηρίζει D et (ultima littera erasa) A^1 ἢ delevi ἡ οὐσία D 6 τὴν (post ὕλην) om. D 17 τῶν γὰρ — ποιεῖται (18) locus depravatus: fort. legendum est αὐτοῦ (τῶν γὰρ στοιχείων τοῦτό ἐστι, τὸ πολλοὺς λόγους περὶ ὁρισμῶν ποιεῖσθαι), εἰ καὶ κτλ. 20. 21 ἐν τῇ Φυσικῇ ἀκροάσει] A 1 p. 184a16 sqq. 26 τόνδε D, superscr. A^2 31 ante διὸ excidisse videtur tale quid οὐ γὰρ ὅσα καθ' αὑτὸ ὑπάρχουσι καὶ ἐξισάζουσι 32 πρώτως— λευκή. (33) D margo A^2 ἀντιστρέφει scripsi: ἀντιστρέφη libri

καὶ συστατικῶν διαφορῶν λαμβάνονται, καὶ ἐξισάζειν. καὶ ἑνὸς καὶ τοῦ αὐτοῦ οὐ δύο· οὐ γὰρ δυνατὸν ὁρισμὸν ἕνα εἶναι τοῦ συναμφοτέρου, τουτ- f.267v
έστιν οὐσίας καὶ συμβεβηκότος, ἐπειδὴ ἑνὸς πράγματος εἷς ἦν ὁρισμός, ὡς εἴρηται, οὐ δύο. οὔτε δὲ πάλιν, φησί, τῶν συμβεβηκότων δυνατὸν εἶναι
5 ὁρισμούς, ἐπειδὴ οἱ ὁρισμοὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων εἰσί, τὰ μέντοι γε συμβεβηκότα οὐχ ὑπάρχουσι καθ' αὑτό. ὕστερον δὲ προϊὼν δείκνυσιν ὅτι καὶ τῶν συμβεβηκότων ὑπάρχουσιν ὁρισμοὶ καὶ τῶν οὐσιῶν χωρὶς καὶ χωρίς, οὐ μέντοι γε τοῦ συναμφοτέρου. οὐδὲ τῶν καθ' ἕκαστα ὑπάρχουσιν οἱ ὁρισμοί. ἐπειδὴ οὐ πρώτως θέλουσιν ὑπάρχειν τῷ ὁριστῷ τὰ ἐν τῷ ὁρι-
10 σμῷ, οἷον Σωκράτει τὸ λογικὸν καὶ τὸ ζῷον, ἀλλὰ διὰ μέσου τοῦ ἀνθρώπου· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν καθ' ἕκαστα.

p. 1029a26 Ἐκ μὲν οὖν τούτων θεωροῦσι συμβαίνει οὐσίαν εἶναι τὴν ὕλην.

Φησὶν ὅτι εἰ κατὰ τὸ ὑποκείμενον χαρακτηρίζειν δεῖ τὴν οὐσίαν.
15 δόξειεν ἂν οὐσία εἶναι ἡ ὕλη. ἀδύνατον δὲ τοῦτο ὑπάρχειν· κυρίως γὰρ οὐσία ἐστὶ τὸ χωριστόν, τουτέστι τὸ καθ' αὑτὸ ὑπάρχον καὶ τόδε τι, τουτέστι τὸ ἐνεργείᾳ, καθάπερ εἰρήκαμεν. διὸ τὸ εἶδος τὸ χωριστόν, τουτέστι τὸ νοητόν, δόξειεν ἂν εἶναι οὐσία ὡς ἀεὶ ἐνεργείᾳ ὑπάρχον καὶ δυνάμενον αὐτὸ καθ' αὑτὸ ὑπάρχειν καὶ μὴ προσδεόμενον ἑτέρου, ἀλλὰ τὰ ἄλλα
20 πάντα ἐκείνου εἶναι δεόμενα. καὶ τὸ ἐξ ἀμφοῖν, τουτέστι τὸ ἔνυλον εἶδος, καὶ αὐτὸ καθ' αὑτὸ ὑπάρχει καὶ ἐνεργείᾳ ἐστί. φησὶν οὖν ὅτι τὴν μὲν σύνθετον οὐσίαν, λέγω δὴ τὴν ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους, ἀφετέον· ὑστέρα γάρ ἐστι καὶ δήλη ὡς αἰσθητή. φανερὰ δέ πως καὶ ἡ ὕλη ἐξ ἀναλογίας. δεῖ οὖν ἡμᾶς τὴν τρίτην οὐσίαν ἐπισκέψασθαι, τουτέστι τὴν νοητήν· αὕτη
25 γὰρ ἀπορωτάτη ἴσως, εἰ καὶ φανερωτάτη ἐστί, διὰ τὴν ἡμετέραν ἀσθένειαν. ἐπεὶ δὲ ὑπὸ πάντων ὁμολογοῦνται οὐσίαι εἶναι αἱ αἰσθηταί, δεῖ ἡμᾶς περὶ αὐτῶν πρῶτον εἰπεῖν καὶ ἄρξασθαι ἐκ τῶν ἡμῖν σαφεστέρων.

p. 1029b1 Ἐπειδὴ ἐν ἀρχῇ διειλόμεθα, πόσοις ὁριζόμεθα τὴν οὐσίαν. f.268r

30 Φησὶν ὅτι κατ' ἀρχὰς τοῦ προκειμένου βιβλίου εἰρήκαμεν ὅτι τετραχῶς λέγεται ἡ οὐσία, ἡ καθόλου, τὸ γένος, τὸ ὑποκείμενον καὶ τὸ τί ἦν εἶναι. τουτέστιν ὁ ὁρισμὸς τοῦ πράγματος. δεῖ οὖν ἡμᾶς πρότερον εἰπεῖν περὶ τῆς οὐσίας τῆς ὡς ὁρισμοῦ λαμβανομένης, τουτέστι περὶ τοῦ ἐνύλου εἴδους. δεῖ γὰρ ἐκ τῶν σαφεστέρων προϊέναι ἐπὶ τὰ ἀσαφέστερα, ἐπειδὴ καὶ
35 αἱ μαθήσεις οὕτω γίνονται διὰ τῶν ἧττον γνωρίμων τῇ φύσει εἰς τὰ μᾶλλον αὐτῇ γνώριμα· τὰ γὰρ μερικὰ μᾶλλον ἀγνοεῖται τῇ φύσει ἤπερ

---

11 τῶν (post ἄλλων) om. D 22 ὕστερον D 26 ἐπεὶ δὴ A¹ 32 ἡμᾶς — εἰπεῖν D, in margine add. A¹ 33 ὡς om. D

τὰ καθόλου. αἱ δὲ μαθήσεις ἐκ τῶν μερικῶν ἐπὶ τὰ καθόλου ἀνέρχονται, ὥσπερ εἴρηται ἐν τῇ θεωρίᾳ ἐπὶ τῆς ἰατρικῆς καὶ τῆς νομοθετικῆς. καὶ ἐν ταῖς πράξεσι δὲ τὸ αὐτὸ ὁρῶμεν γινόμενον, ἐκ τῶν ἑκάστου ἀγαθῶν, τουτέστι τῶν μερικῶν ἀγαθῶν, τὰ ὅλως ἀγαθά, τουτέστι τὰ καθόλου· τὸ γὰρ καθόλου ἀγαθὸν καὶ ἑκάστῳ ἀγαθόν ἐστιν. ὁ γὰρ νομοθέτης ἐκ τῆς ἑνὸς κολάσεως ἀρετὴν ποιεῖ, ἥτις ἐστὶ καθόλου. οὕτως τοίνυν ἐκ τῶν ἡμῖν γνωρίμων τὰ τῇ φύσει πρότερα καὶ γνώριμα γίνονται ἡμῖν γνώριμα. τὰ δὲ ἡμῖν γνώριμα καὶ πρῶτα ὡς πρὸς ἡμᾶς πολλάκις ἠρέμα γνώριμα τῇ φύσει ὑπάρχουσι, καὶ μικρὸν ἢ οὐδὲν ἔχει τοῦ κυρίως ὄντος. οὔτε γὰρ τὰ αἰσθητὰ ὑπάρχουσι τὰ κυρίως ὄντα, ἅπερ ἡμῖν εἰσι γνώριμα, ἀλλὰ τὰ νοητά· ἐκεῖθεν γὰρ καὶ τοῖς αἰσθητοῖς τὸ εἶναι ὑπάρχει. δεῖ οὖν ἡμᾶς ἐκ τῶν φαύλως μὲν γνωστῶν, τουτέστιν ἐκ τῶν αἰσθητῶν, ἡμῖν δὲ μᾶλλον γνωρίμων τὰ κυρίως γνωστὰ θηρᾶσαι καὶ μὴ ὑπερβάθμιον πόδα τεῖναι. δεῖ οὖν πρότερον εἰπεῖν ἡμᾶς περὶ τοῦ ἑνόλου εἴδους ἕνια λογικῶς, τουτέστιν οὐκ ἀκριβῶς· εἶπε γὰρ οὐκ ἀκριβῶς, ἐπειδὴ δείκνυσιν ὅτι μόνων τῶν οὐσιῶν ὑπάρχουσιν ὁρισμοί. καὶ ὕστερον ἀποδείκνυσιν ἀληθῶς ὅτι καὶ συμ- 6.265v
βεβηβότων ὑπάρχουσιν ὁρισμοί. ἢ λογικῶς εἶπεν, ἐπειδὴ ἐκ τοῦ ὑστέρου τὸ πρότερον βούλεται κατασκευάσαι, τουτέστιν ἐκ τοῦ ὁρισμοῦ τὸ εἶδος. πρότερον γάρ ἐστι τὸ εἶδος τοῦ ὁρισμοῦ· δεῖ γὰρ εἶναι τὸ εἶδος πρότερον, εἶθ' οὕτως τὸν ὁρισμὸν αὐτοῦ ἐπιγίνεσθαι. καί φησιν ὅτι ἐκεῖνός ἐστιν ὁρισμὸς ὁ δηλῶν τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος καθ' αὑτό, οἷον ὁ Σωκράτης ἐν τῷ ἀνθρώπῳ ἔχει τὸ εἶναι, οὐκ ἐν τῷ μουσικῷ· οὐ γὰρ κατὰ ταὐτὸν ὑπῆρχε μουσικός, τουτέστι καθ' αὑτὸν † ἄλλος ἄνθρωπος ὑπάρχει καθ' αὑτό. καὶ οὐκ ἀρκεῖ μόνον τὸ καθ' αὑτὸ εἶναι εἰς ὁρισμόν· οὐ γὰρ τὸ οὕτως καθ' αὑτό, ὥσπερ τῇ ἐπιφανείᾳ ὑπάρχει τὸ λευκόν. οὐκ ἔστι γὰρ τὸ ἐπιφανείᾳ εἶναι τὸ λευκῷ εἶναι· οὐ γὰρ πᾶν λευκὸν ἐπιφάνεια, εἰ καὶ πρώτως αὐτοῦ μετέχει, ἐπειδὴ οὐκ ἐξισάζει, ὥσπερ τὸ ζῷον λογικὸν θνητὸν ἐξισάζει τῷ ἀνθρώπῳ. ἀλλὰ μὴν οὐδ' εἰ ὑποθοῖτό τις ἅμα λέγεσθαι τὴν ἐπιφάνειαν καὶ τὸ λευκόν, ἵνα τήνδε τὴν ἐπιφάνειαν λάβωμεν τὴν λευκήν· οὔτε γὰρ τὸ ὁριστόν ποτε παραλαμβάνεται μετὰ τοῦ ὁρισμοῦ· οὐδεὶς γὰρ λέγει ὅτι ἄνθρωπος ἄνθρωπός ἐστι ζῷον λογικόν. ἐν ᾧ οὖν ὁρισμῷ μὴ πρόσεστιν αὐτὸ τὸ ὁριστὸν λέγοντι καὶ περιελόντι τὸ ὁριστόν, τὸ τοιοῦτόν ἐστιν ὁρισμὸς τοῦ πράγματος. ὥστε εἰ ταὐτὸν λάβωμεν καὶ ὁρισμὸν τοῦ λευκοῦ τὸ λεῖον ἀντὶ τοῦ τῆς ὄψεως διακριτικοῦ, ἵνα ταὐτὸν ὑποθώμεθα ἐπιφάνειαν λευκὴν καὶ λείαν. τὸ αὐτὸ ἔσται τὸ λευκὸν τῷ λείῳ. ὥστε ἐντεῦθεν συνάγεται ὅτι δεῖ ἐξισάζειν τῷ ὁριστῷ τὸν ὁρισμόν. εἰ τοίνυν μὴ ἐξισάζει ἐπὶ τῆς ἐπιφανείας τὸ λευκόν (οὐ γὰρ πᾶσα ἐπιφάνεια λευκή), δῆλον ὅτι οὐκ ἂν κυρίως καθ' αὑτὸ ὑπάρχοι τὸ λευκὸν τῇ ἐπιφανείᾳ, ὥστε καὶ ὁ ὁρισμὸς αὐτῆς * * * γίνεται. ἀλλὰ μὴν οὐδὲ

---

1 ἀνέρχεται D 16 καὶ ὕστερον—ὁρισμοί (17) D; in margine add. A² 18 τὸ εἶδος—ὁρισμοῦ (19) om. D 19 γὰρ (post δεῖ) om. D 23 ἄλλως corr. A²: fort. scriptum erat ἀλλ' ὡς ἔχων τὴν μουσικήν, ἄνθρωπος δ' ὑπάρχει κτλ. 36 τὸ ὁριστὸν τῷ ὁρισμῷ A²D 39 addendum, ut videtur, οὐ τῷ λευκῷ

τὸ ἐπιφάνεια τὸ ἐπιφανείᾳ λευκῇ εἶναι. ἀλλὰ μὴν οὐδὲ ἡ ἐπιφάνεια. f.269r
φησί. ἐπιφάνεια λευκή ἐστιν. οὐδὲ ἔστι φύσις ἐπιφανείας καὶ τί ἦν εἶναι
ἡ λευκὴ ἐπιφάνεια· ἐπὶ πλέον γὰρ ἡ ἐπιφάνεια τῆς λευκῆς ἐπιφανείας.

p. 1029b22 Ἐπειδή ἐστι καὶ κατὰ τὰς ἄλλας κατηγορίας σύνθετα.

Ἐντεῦθεν ζητεῖ εἰ ἄρα ὑπάρχουσιν ὁρισμοὶ τῶν συμβεβηκότων. καὶ πιθανῶς ἀνατρέπει ὅτι οὐκ εἰσι λέγων οὕτως, ὅτι ἐπειδή ἐστι καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις, φημὶ δὴ ταῖς λοιπαῖς ἐννέα τοῦ συμβεβηκότος, σύνθετα (ἔστι γάρ τι ὑποκείμενον ἑκάστῳ, οἷον τῷ ποιῷ καὶ τῷ ποσῷ καὶ τῷ ποτὲ καὶ ταῖς ἄλλαις κατηγορίαις), δεῖ σκοπῆσαι, εἰ ἄρα ὑπάρχει ὁρισμὸς καὶ τούτων τῶν συμβεβηκότων, οἷον τίς ἐστιν ὁ ὁρισμὸς τοῦ λευκοῦ ἀνθρώπου. ἔστω δὴ ἓν ὄνομα τοῦ λευκοῦ ἀνθρώπου τὸ ἱμάτιον. ἔστιν οὖν ὁρισμὸς ἱματίου, ὃν δεῖ ζητῆσαι; φησὶν οὖν ὅτι οὐκ ἔστιν ὁρισμὸς τῶν τοιούτων, ἐπειδὴ οὐχ ὑπάρχουσι τῶν καθ' αὑτὸ λεγομένων, τοιοῦτοι δὲ θέλουσιν εἶναι οἱ ὁρισμοὶ καθ' αὑτό. τὸ γὰρ οὐ καθ' αὑτὸ διχῶς λέγεται· ἢ γὰρ ἐκ προσθέσεως ἢ ἐκ διαζεύξεως. ἐκ μὲν οὖν προσθέσεως, ἐπειδὴ λευκὸν βουλόμενοι ὁρίσασθαι ἀποδεδώκαμεν λόγον ἀνθρώπου λευκοῦ· τὸ δὲ τοιοῦτον οὐκ ἔστι καθ' αὑτό, ἑνὸς δὲ πράγματός ἐστιν ὁ κυρίως ὁρισμός. πάλιν δὲ εἰ σημαίνοι τὸ ἱμάτιον λευκὸν ἄνθρωπον, ὁ δὲ ὁριζόμενος τὸ ἱμάτιον ὁρίζοιτο ὡς λευκόν· τοῦτο γὰρ οὐκ ἔστι καθ' αὑτό, οὔτε δὲ ὅλον τὸ ζητούμενον ὁ ὁρισμὸς περιέλαβε. τὸ δὲ λευκὸς ἄνθρωπος· ὁ οὖν ἄνθρωπός ἐστι λευκός, οὐ μέντοι ὁ ὁρισμὸς αὐτῷ τοῦ λευκῷ εἶναι ὑπάρχει.

p. 1030a2 Ἀλλὰ τὸ ἱματίῳ εἶναι.

Ἐντεῦθεν ζητεῖ, εἰ ἄρα τοῦ συνθέτου ἐστὶν ὁρισμός, καί φησιν οὕτως. ἆρα τοῦ ἱματίου, τουτέστι τοῦ συνθέτου, ἐστὶν ὁρισμὸς ἢ οὐκ ἔστι; τῆς γὰρ οὐσίας ἐστὶ κυρίως ὁρισμός, ἐπειδὴ καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων ἐστὶ καὶ ἑνὸς πράγματος· ὅταν δὲ ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔστι τοῦ τοιούτου ὁρισμός, ἐπεὶ μηδὲ μίαν φύσιν δηλοῖ. οἷον ὁ λευκὸς ἄνθρωπος οὐκ ἔστιν ὅπερ τόδε τι. ἐπειδὴ μόναις ταῖς οὐσίαις ὑπάρχει τὸ ὅπερ τόδε τι, τουτέστιν ὁρισμός. εἰ τοίνυν τοῦτο, ἔστι τὸ τί ἦν εἶναι, τουτέστιν οὐσία. ὅσων ὁ λόγος ἐστὶν ὁρισμὸς καὶ οὐκ ὄνομα ἤγουν ὑπογραφή. διό φησιν f.269v
ὁρισμὸς δέ ἐστιν οὐκ ἐὰν ἢ ὄνομά τι ἢ ὑπογραφὴ τὸ αὐτὸ δηλοῖ· ὁ γὰρ τοιοῦτος οὐκ ἔστιν ὁρισμός, ἐπεὶ οὕτως εὑρίσκοιντο πάντες οἱ λόγοι καὶ αἱ ὑπογραφαὶ ὅροι· ἕκαστον γὰρ πρᾶγμα ἔχει καὶ ὄνομά τι καὶ ὑπογραφήν. συμβήσεται οὖν καὶ τῆς Ἰλιάδος εἶναι ὁρισμόν, ἐπειδὴ ἔχει καὶ

---

1 ἀλλὰ μὴν—ἐπιφανείας (3) in margine add. A², post συμβεβηκότων (5) habet D
4 καὶ om. D 10 ὁ om. D 14 τὸ γὰρ οὐ superscr. A² 15 ἐκ (post γὰρ) om. D 17 δὲ] fort. γὰρ 20 λευκὸν A 21 αὐτῷ τοῦ scripsi: αὐτοῦ libri
27 μήτε libri 30 ὅσων Aristoteles: ὅσον libri ἀπογραφή D 30 διό φησιν om. D 32 εὑρίσκοιντο scripsi: εὑρίσκοντο A: εὑρίσκονται D

ὄνομα καὶ ὑπογραφὴν ὅτι σύγκειται ἐκ τοιῶνδε στοιχείων καὶ πράξεων. ποῦ δὲ τὸ γένος ἢ αἱ διαφοραί; ὥστε οὐ δυνατὸν εἶναι ὁρισμὸν τὸ αὐτὸ καὶ λόγον καὶ ὄνομα καὶ τῶν μὴ ὑπαρχόντων καθ' αὑτό, ἀλλ' ἐὰν πρώτου τινὸς ᾖ, τὸ τοιοῦτόν ἐστιν ὁρισμός· τοιαῦτα δέ ἐστιν ὅσα λέγεται μὴ τῷ ἄλλο κατ' ἄλλου λέγεσθαι, ἀλλ' ἑνὸς πράγματος καὶ μόνου. ὥστε οὐκ ἔσται ὁρισμὸς τῶν μὴ διαιρουμένων εἰδῶν ἐκ γένους, ὥσπερ τοῖς καθ' ἕκαστα· οὔτε γὰρ πρώτως ὑπάρχουσιν αὐτοῖς αἱ διαφοραί, ἀλλὰ διὰ μέσων τῶν εἰδῶν. τῶν οὖν εἰδῶν εἰσιν οἱ ὁρισμοί· ταῦτα γὰρ οὐ κατὰ μετοχὴν ὑπάρχουσι τῶν διαφορῶν καὶ παθῶν, ὥσπερ τὰ συμβεβηκότα ἢ τὰ ἄτομα, ἀλλ' οὐσιωδῶς. τοῖς οὖν ἄλλοις ὑπάρχουσιν ὑπογραφαὶ ἤγουν ὀνόματα. ὅτι προγάστωρ, φαλακρός, Ἀθηναῖος, Σωκράτης, ἢ ἀντὶ λόγου ἁπλοῦ, τουτέστιν ὀνόματος, ὁ ὑπογραφικὸς λόγος ἀκριβέστερος· ὁρισμὸς δὲ οὐκ ἔσται ἐπὶ τούτων, ἐπειδὴ οὐδ' ἀμέσως μετέχουσι τῶν διαφορῶν, ὥσπερ τὰ κυρίως ὁριστὰ † δεῖν οὕτως εἶναι.

p. 1030a17 ⟨Ἢ⟩ καὶ ὁ ὁρισμὸς ὥσπερ τὸ τί ἐστι πλεοναχῶς λέγεται.

Δείξας διὰ τῶν προλαβόντων λογικῶς ὅτι οὐκ ἔστιν ὁρισμὸς τῶν συμβεβηκότων, ἐπειδὴ οἱ ὁρισμοὶ ἁπλῶν πραγμάτων ὑπάρχουσι καὶ τῶν καθ' αὑτό, τὰ δὲ συμβεβηκότα * * * οὔτε καθ' αὑτὸ ὑπάρχουσιν (αὐτὸ γὰρ τοῦτο λέγεται κατὰ συμβεβηκός· οὔτε γὰρ ἁπλᾶ πράγματα ὑπάρχουσιν. ἐπειδὴ συνεισφέρουσι καὶ ἕτερα μεθ' ἑαυτῶν λεγόμενα, οὔτε [γὰρ] αὐτὰ καθ' αὑτὰ ὑποστῆναι δύνανται), ἐντεῦθεν ἀνατρέπει τὰ εἰρημένα ὑπ' αὐ- f. 270r
τοῦ λογικῶς καὶ δείκνυσιν ὅτι καὶ τῶν κατὰ συμβεβηκὸς ὑπαρχόντων εἰσὶν ὁρισμοί, κεχρημένος τοιούτῳ ἐπιχειρήματι, ὅτι ὥσπερ τὸ ὂν καὶ ἡ ὕπαρξις τῶν πραγμάτων πλεοναχῶς λέγεται, οὕτω καὶ οἱ ὁρισμοὶ πλεοναχῶς λέγονται. ἐπειδὴ οὖν ἡ οὐσία κυρίως ὄν ἐστι, διὰ τοῦτο καὶ ὁ ὁρισμὸς αὐτῆς κυρίως ὁρισμός ἐστι· καὶ πάλιν ἐπειδὴ τὰ συμβεβηκότα οὐκ εἰσι κυρίως ὄντα, οὐδὲ οἱ ὁρισμοὶ αὐτῶν ἁπλῶς ὑπάρχουσιν. ὥσπερ οἱ ὁρισμοὶ τῆς οὐσίας, ἀλλὰ δὴ μετὰ προσδιορισμοῦ· ὁρισμὸς γὰρ ποιοῦ καὶ ποσοῦ οὐχ ὥσπερ ἐκεῖσε ὁρισμὸς τοῦ ὄντος ἄνευ τῆς οὐσίας. ὥστε καὶ τὰ συμβεβηκότα ἔχουσιν ὁρισμούς, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ φασὶν οἱ σοφισταὶ περὶ τοῦ μὴ ὄντος. ἐρωτῶσι γὰρ οὕτως 'τὸ μὴ ὂν ἔστιν ἢ οὐκ ἔστιν'; εἰ μὲν οὖν ἔστιν, αὐτόθεν ἄτοπον τὸ λέγειν ὅτι ἔστι τὸ μὴ ὄν· εἰ δὲ μή ἐστι [τὸ] μὴ ὄν, αἱ δύο ἀρνήσεις μίαν κατάθεσιν ποιοῦσιν, ὥστε πάλιν ἔστι τὸ μὴ ὄν. λέγομεν οὖν ὅτι φαμὲν ὅτι ἔστι τὸ μὴ ὂν ὡς μὴ ὑπάρχον. οὕτως οὖν φημι καὶ ἐπὶ τῶν συμβεβηκότων ὅτι ὑπάρχουσιν αὐτῶν ὁρισμοὶ οὐχ ὡς ἁπλῶς ὄντων, ἀλλ' ὡς πῇ ὄντων. εἶτα ταῦτα εἰρηκὼς ζητεῖ, ἆρά γε συνωνύμως κατηγορεῖται τὸ ὂν τῶν δέκα κατηγοριῶν

14 δεῖν—εἶναι] exspectes οὐδὲ τὸ τί ἦν εἶναι 15 Ἢ addidi coll. p. 386,18 17 ἁπλῶς D 18 addendum οὔτε ἁπλᾶ πράγματα 20. 21 οὔτε—δύνανται lemmatis nota distinguunt libri 20 γὰρ delevi 27 αὐτῶν—ὁρισμοὶ om. D 31 ἢ scripsi: ἃ libri 33 τὸ delevi 36 ὡς (post οὐχ) om. D 37 ὂν A¹: ἓν A²D

ἢ ὁμωνύμως. καὶ δείκνυσιν ὅτι οὔτε συνωνύμως οὔτε ὁμωνύμως (⟨οὐχ⟩ ὁμωνύμως μὲν ἐπειδὴ ὅλως κοινωνοῦσι τῇ οὐσίᾳ κατὰ τὸ πρᾶγμα, τὰ δὲ ὁμώνυμα οὐ κοινωνοῦσιν ἀλλήλοις κατὰ τὸ πρᾶγμα, ταῦτα δέ, καθὸ καὶ αὐτὰ λέγονται ὄντα, μετέχουσι τοῦ ὄντος· οὐ συνωνύμως δὲ ἐπειδὴ οὐκ
5 ἔστιν εἷς ὁρισμὸς τῆς οὐσίας καὶ τῶν συμβεβηκότων, ἐπειδὴ μηδὲ μιᾶς ὑπάρχουσιν οὐσίας), ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, τουτέστι τῶν πολλαχῶς λεγομένων, ὥσπερ τὸ ἰατρικὸν σμιλίον καὶ σιτίον ἀπὸ τῆς ἰατρικῆς λέγονται καὶ ἔχουσι μίαν ἀρχὴν τὴν ἰατρικήν, οὐκ ἔστι δὲ εἷς αὐτῶν ὁρι- f.270v
σμός. ταῦτα εἰρηκὼς ζητεῖ ἐφεξῆς περὶ τῶν ἐκ προσθέσεως, καί φησιν
10 ὅ τι ἐλέγομεν ἀνωτέρω ὅτι οὐκ ἔστι τῶν ἐκ προσθέσεως ὁρισμός. οἷον ἡνίκα βουλόμεθα ὁρίσασθαι τὸ λευκόν, λέγομεν χρῶμα διακριτικὸν ὄψεως ἐν σώματι θεωρούμενον. εἰ τοίνυν, φησίν, οὗτος ὁ λόγος ἀληθὴς ὑπάρχει τῶν καθ' αὑτὸ συμβεβηκότων, παραλαμβάνομεν τὰ ὑποκείμενα εἰς τοὺς ὁρισμοὺς αὐτῶν· ⟨ὥστε⟩ οὐκ ἔσονται ὁρισμοί, ἐπειδὴ ἐκ προσθέσεως γίνον-
15 ται οἱ ὁρισμοί. οἷον ὡς ἐπὶ τῆς σιμότητος· ἄνευ γὰρ τῆς κοιλάνσεως τῆς ἐν ῥινὶ οὐ δυνατὸν νοεῖσθαι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων. καὶ οὕτως μὲν προέρχεται ἡ ἀπορία, προιὼν δὲ ἐπιλύεται αὐτήν.

p. 1030a17 Ἢ καὶ ὁ ὁρισμὸς ὥσπερ καὶ τὸ τί ἐστι πλεοναχῶς λέγεται.

20 Καὶ γὰρ τὸ ὂν ἕνα μὲν τρόπον σημαίνει τὴν οὐσίαν, εἶτα λοιπὸν καὶ τὰς ἄλλας κατηγορίας. ὥσπερ καὶ τὸ ὂν ὑπάρχει πᾶσιν ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ τῇ μὲν οὐσίᾳ πρώτως τοῖς δὲ συμβεβηκόσιν ἑπομένως καὶ διὰ τὴν οὐσίαν, οὕτως δὲ καὶ ὁ ὁρισμὸς ἁπλῶς μὲν τῇ οὐσίᾳ ὑπάρχει, πῶς δὲ τοῖς ἄλλοις, τουτέστι τοῖς συμβεβηκόσι. καὶ γὰρ ἐπὶ τοῦ ποιοῦ ἐρωτῶμεν
25 τί ἐστι τὸ ποιόν· ὥστε καὶ τοῦ ποιοῦ ἐστιν ὁρισμός, ἀλλ' οὐχ ἁπλῶς ὁρισμός· ἀλλ' ὥσπερ ἐπὶ τοῦ μὴ ὄντος λογικῶς φασιν οἱ σοφισταὶ εἶναι τὸ μὴ ὄν, οὐχ ἁπλῶς δὲ εἶναι αὐτὸ ἐροῦμεν, ἀλλ' οὕτως εἶναι ὡς μὴ ὄν, οὕτω δὲ καὶ τὸ ποιόν ἔστι μέν, οὐχ ἁπλῶς δέ ἐστιν ὥσπερ ἡ οὐσία.

p. 1030a27 Δεῖ μὲν οὖν σκοπεῖν καὶ τὸ πῶς δεῖ λέγειν περὶ
30 ἑκάστου.

Φησὶν ὅτι πρότερον δεῖ γινώσκειν τὸ πρᾶγμα οἷόν ἐστι καὶ μετὰ τοῦτο τὸ ὄνομα αὐτοῦ, εἶθ' οὕτως τὸν ἀκριβῆ λόγον διδόναι περὶ αὐτοῦ. τοῦτο οὖν φησιν ὅτι δεῖ μὲν σκοπεῖν περὶ ἑκάστου πῶς δεῖ λέγειν περὶ αὐτοῦ, πότερον ὡς ἁπλῶς ὄντος ἢ ὡς πῇ ὄντος. πρότερον δὲ δεῖ σκοπεῖν τὴν
35 φύσιν τοῦ πράγματος καὶ ὡς ἔχει φύσεως, καὶ τότε τὸ ὄνομα αὐτοῦ f.271r
πολυπραγμονεῖν. διὸ καὶ νῦν, ἐπειδὴ τὸ λεγόμενον φανερόν ἐστιν ὅτι περὶ

---

1 οὐχ addidi 2 τὰ δὲ — πρᾶγμα (3) om. D 8 δὲ om. D 10 οὐκ ἔστι om. D 14 ὥστε addidi 15 ὡς ὁρισμοί D 25 post ποιόν lacuna VI litt. A, X litt. D 33 περὶ αὐτοῦ — πῇ ὄντος (34) om. D

ὄντος ἐστὶν ὁ λόγος, καὶ ὁ ὁρισμὸς ὁμοίως ὑπάρχει πρώτως μὲν καὶ κυρίως τῇ οὐσίᾳ, ἐπειδὴ καὶ αὕτη κυρίως ἐστὶν ὄν, μετὰ δὲ ταῦτα καὶ τοῖς συμβεβηκόσιν. ὥσπερ καὶ ὁ ὁρισμὸς τῶν συμβεβηκότων οὐχ ἁπλῶς ἐστιν ὁρισμός. ἀλλὰ ποσοῦ ἐστιν ὁρισμὸς ἢ ποιοῦ. δεῖ γὰρ λέγειν τὰ συμβεβηκότα ἢ ὁμωνύμως εἶναι ὄντα ἢ προστιθέντα καὶ ἀφαιροῦντα, ὅτι ποσὸν ἐν οὐσίᾳ καὶ ποιὸν ὁμοίως (καὶ τὸ μὲν προστιθέντα περὶ τῶν συμβεβηκότων λέγει, τὸ δὲ ἀφαιροῦντα περὶ τῶν οὐσιῶν, οἷον λέγεται ὁρισμὸς ποσοῦ ἢ ποιοῦ, ἐπὶ δὲ τῆς οὐσίας δεῖ ἀφαιρεῖν τὸ τῆς οὐσίας ὄνομα καὶ λέγειν ὁρισμὸν τοῦ ὄντος, ἐπειδὴ κατὰ τοῦ ἁπλῶς ὄντος λέγεται ἡ οὐσία). ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν λέγομεν ἐπιστητόν· οὕτως δὲ καὶ τὰ συμβεβηκότα ἐροῦμεν. ὁ μέντοι γε ὀρθὸς ἔχει λόγος μήτε ὁμωνύμως λέγεσθαι τὰ συμβεβηκότα, ἐπειδὴ κοινωνοῦσι κατὰ τὸ πρᾶγμα, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται, μήτε ὡσαύτως, τούτεστι συνωνύμως, ἐπειδὴ οὐχ ὁμοίως αὐτῶν κατηγορεῖται τὸ ὄν, ἀλλ' ὥσπερ τὸ ἰατρικὸν σμιλίον λέγεται, ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, καὶ τὸ ἰατρικὸν σιτίον, οὐ τὸ αὐτὸ δὲ καὶ ἕν, τουτέστιν οὐ συνωνύμως, οὐ μέντοι γε καὶ ὁμωνύμως· οὐδὲν γὰρ οὔτε ἰατρικὸν σῶμα οὔτε δὲ σκεῦος λέγεται οὔτε ὁμωνύμως οὔτε δὲ καθ' ἕν, τουτέστι συνωνύμως, ἀλλὰ πρὸς ἕν, τουτέστιν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. φησὶν οὖν, ὅμως ὡς ἂν βούλοιτό τις ταῦτα λεγέτω, ἢ ὁμωνύμως ἢ συνωνύμως· μόνον δεῖ τὴν ἔννοιαν αὐτὸν γινώσκειν τοῦ πράγματος· οὔτε γὰρ περὶ ὀνομάτων ἐστὶν ἡμῖν ὁ λόγος. ἐκεῖνο δέ ἐστι φανερὸν ὅτι ὁ πρῶτος καὶ ἁπλῶς ὁρισμὸς τῆς οὐσίας ἐστίν, ἐπειδὴ καὶ τὸ ἁπλῶς ὂν ἡ οὐσία· ἐν αὐτῇ γὰρ καὶ τὰ συμβεβηκότα θεωροῦνται. ἔστιν οὖν καὶ τῶν συμβεβηκότων ὁρισμός, f. 271v
ἀλλ' οὐχ ὁμοίως οὐδὲ πρῶτος· οὔτε γὰρ τῶν κατὰ συνέχειαν ἐχόντων τὸ ἕν ἐστιν ὁρισμὸς οὔτε τῶν συνδέσμῳ. διὸ οὔ φαμεν ὁρισμὸν εἶναι τῆς Ἰλιάδος. ἐπειδὴ μία ἐστὶ τῇ συνεχείᾳ ἡ Ἰλιάς, ἅτε δὴ ἓν ἔχουσα τέλος, εἴ γε ἡ πᾶσα ποίησις. φησί, πρὸς τέλος ὁρᾷ τὴν ἁρπαγὴν τῆς Ἑλένης. οὔτε δὲ τῶν συνδέσμῳ ἕν, ὥσπερ ὁ οἶκος· ἐκ γὰρ τῆς συνδέσεως τῶν λίθων καὶ τῶν ξύλων ἔχει τὸ ἓν ἐπίκτητον. φησὶν οὖν ὅτι οὐκ ἐξ ἀνάγκης, ἐὰν τοῦτο τιθῶμεν καὶ ὑποθώμεθα ὁρισμὸν εἶναι τοῦδε τοῦ πράγματος, ὁ δὲ ὁρισμὸς τὸ αὐτὸ δηλοῖ ὀνόματι, τουτέστιν ὃ ἂν ὄνομα λόγῳ τὸ αὐτὸ σημαίνῃ, ἤδη ὁρισμὸν εἶναι τοῦτον, ὥσπερ ἐπὶ τῆς Ἰλιάδος εἰρήκαμεν καὶ τοῦ οἴκου, ἀλλὰ τῷ λόγῳ, τουτέστι τῷ μὴ δηλοῦντι τὸ ἓν κατὰ συνέχειαν ἢ κατὰ σύνδεσμον. τοῦτο δὲ ἐὰν ὁρισμὸς ἑνὸς πράγματος ὑπάρχῃ μὴ ἔχοντος τὸ ἓν τῇ συνεχείᾳ, ὥσπερ ἡ Ἰλιὰς ἢ ὅσα συνδέσμῳ ἔχουσι τὸ ἕν, ἀλλ' ὁσαχῶς λέγεται τὸ ἕν. τὸ δὲ ἓν λέγεται ὥσπερ καὶ τὸ ὄν· τὸ δὲ ὂν τὸ μέν ἐστιν οὐσία, τὸ δὲ ποσὸν τὸ δὲ ποιόν. διὸ καὶ λευκοῦ ἀνθρώπου ἔσται λόγος, τουτέστι τοῦ συνθέτου, ἐπειδὴ ἀμφότερα

7 λέγει scripsi: λέγειν libri 8 ἐπὶ δὲ A: ἐπειδὴ D 17 οὔτε τὸ σκεῦος D 18 ἕν (ante φησὶν) om. D 19 ὡς om. D 24 πρῶτος A 25 συνδέσμων D 31 ὀνόματι scripsi: ὄνομα libri 33 τινὶ λόγῳ Aristoteles 36 ἕν secundum scripsi: ὄν libri 38 καὶ Aristoteles: οὐδὲ libri

ὄντα· ἄλλον δὲ τρόπον τοῦ λευκοῦ καὶ ἄλλον οὐσίας, ἐπειδή, ὡς εἴρηται, κυρίως ὄν ἐστιν ἡ οὐσία.

p. 1030b14 Ἔχει δὲ ἀπορίαν, ἐάν τις μή φησιν ὁρισμὸν εἶναι τὸν ἐκ προσθέσεως λόγον.

Ἐντεῦθεν τὴν ἀπορίαν κινεῖ, ὅτι δεῖ ⟨ζητεῖν⟩, φησίν, εἰ μὴ ὑπάρχουσιν ὁρισμοὶ τῶν ἐκ προσθέσεως, τουτέστι τῶν παραλαμβανόντων τὰ ὑποκείμενα ἐν τοῖς ὁρισμοῖς ἑαυτῶν, ὥσπερ ἐπὶ τοῦ λευκοῦ εἰρήκαμεν, ὁριζόμενοι χρῶμα διακριτικὴν ὄψεως ἐν σώματι θεωρουμένην. φησὶν οὖν ὅτι εἰ ὁ λόγος οὗτος ἀληθής, ἀδύνατον εἶναι ὁρισμὸν τῶν συμβεβηκότων καθ' αὑτό· τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν συνδεδυασμένων, τὰ καθ' αὐτὰ συμβεβηκότα· ἐκ προσθέσεως γὰρ ἀνάγκη δηλοῦν τὸν ὁρισμὸν αὐτῶν. οἷον ἔστι ῥὶς καὶ κοιλότης καὶ σιμότης δῆλον· τὸ δὲ ἐκ τῶν δυεῖν λεγόμενόν f. 272r ἐστιν ὁ ὁρισμός, καὶ οὐ κατὰ συμβεβηκός ὑπάρχουσιν οὔτε ἡ σιμότης οὔτε ἡ κοιλότης τῇ ῥινί, ἀλλὰ καθ' αὑτό. οὔτε γὰρ ὡς ὑπάρχει τὸ λευκὸν Καλλίᾳ ἢ ἀνθρώπῳ κατὰ συμβεβηκός, οὕτως ὑπάρχει καὶ τῇ ῥινὶ τὸ σιμόν, ⟨ἀλλ'⟩ ὥσπερ τὸ ἄρρεν τῷ ζῴῳ ὑπάρχει καθ' αὑτό, καὶ τὸ ἴσον τῷ ποσῷ, καὶ ὅσα λέγονται καθ' αὑτὸ ὑπάρχειν. ταῦτα δέ ἐστιν ὅσα ἐν τοῖς ὁρισμοῖς ἑαυτῶν παραλαμβάνουσι τὰ ὑποκείμενα, ὥσπερ ἐπὶ τοῦ ἀριθμοῦ. καὶ ἔστιν ὁ τοιοῦτος τρόπος δεύτερος τῶν καθ' αὑτό, καθάπερ ἐν τῇ Ἀποδεικτικῇ ἐλέγετο. τὸ γὰρ λευκὸν ἐνδέχεται ἄνευ τοῦ ἀνθρώπου δηλῶσαι, τὸ δὲ θῆλυ οὐ δύναται ἄνευ τοῦ ζῴου. ὥστε ἢ οὐκ ἔστι τούτων ὁρισμός, ἢ εἴπερ ἐστίν, ἀνάγκη ἐκ προσθέσεως εἶναι, ὥσπερ εἰρήκαμεν.

p. 1030b28 Ἔστι δὲ ἀπορία καὶ ἑτέρα περὶ αὐτῶν· εἰ μὲν γὰρ τὸ αὐτό ἐστι σιμὴ ῥὶς καὶ κοίλη ῥίς, τὸ αὐτὸ ἔσται τὸ σιμὸν καὶ τὸ κοῖλον.

Δείξας ἤτοι ἀπορήσας διὰ τῶν προλαβόντων ὅτι οὐ δυνατόν ἐστι τῶν καθ' αὑτὸ ὑπαρχόντων συμβεβηκότων εἶναι ὁρισμούς, ἐπειδὴ ἐκ προσθέσεως ὑπάρχουσιν, ἅτε δὴ συμπαραλαμβανόντων αὐτοῖς καὶ τὰ ὑποκείμενα, ὡς ἐπὶ τοῦ ἀριθμοῦ εἰρήκαμεν καὶ τῆς σιμότητος (ἐρωτώμενοι γὰρ τί ἐστι περιττόν, φαμὲν ἀριθμὸς εἰς ἄνισα διαιρούμενος καὶ παρελάβομεν τὸ ὑποκείμενον αὐτοῦ εἰς τὸν ὁρισμόν, φημί δὴ τὸν ἀριθμόν) ἐντεῦθεν ἀπορίαν τινὰ κινεῖ ἀναιροῦσαν τῶν τοιούτων συμβεβηκότων τοὺς ὁρισμούς. τί γάρ; φησὶν ὅτι ἀδύνατόν ἐστιν εἶναι ὁρισμὸν τῶν τοιούτων· καὶ ἐν αὐτῇ γὰρ τῇ προφορᾷ τοῦ λόγου ἀδολεσχοῦμεν δὶς τὰ αὐτὰ λέγοντες. ἡνίκα

---

5 ζητεῖν addidi: V litterae exciderunt AD 6 περὶ λαμβανόντων D 8 χρῶμα scripsi: χιόνα libri 11 προθέσεως libri 14 οὔτε (post σιμότης) Aristoteles: καὶ libri 16 ἀλλ' ex Aristotele addidi 19 post δεύτερος add. δὲ D 19. 20 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 4 p. 73a34 sqq. 25 κοῖλον] βλαισόν A¹ 27. 28 προθέσεως libri 32 τοὺς ὁρισμούς] οὔτε ἀριθμούς D 34 ἀδολεσχῶμεν A: ἡ δολικῶς μὲν D

γάρ φαμεν ὅτι σιμότης ἐστὶ κοίλανσις ἐν ῥινί, οὐδὲν ἕτερον λέγομεν, ἢ ὅτι ῥὶς ῥίς ἐστι, καὶ διπλασιάζομεν τὴν ῥῖνα, ὅπερ ἐστὶν ἀδολεσχία. ἡ γὰρ κοιλότης λαμβάνεται ἀντὶ τῆς σιμότητος, ἡ δὲ σιμότης πάντως συνεισφέρει ἑαυτῇ τὴν ῥῖνα· ὥστε ὁ λέγων 'σιμότης ἐστὶ κοίλανσις ἐν ῥινὶ' οὐδὲν f. 272v
5 ἕτερον λέγει ἢ ὅτι ῥὶς ῥίς, καὶ ὡς εἴρηται, ἀδολεσχεῖ. εἰ τοίνυν οὐδὲ προενέγκασθαι δυνατόν ἐστι τὰ τοιαῦτα, πολλῷ μᾶλλον οὐδὲ ὁρίσασθαι. τὸ δὲ ἀληθέστερον τοῦτό ἐστιν· ἰστέον ὅτι ἡνίκα ὁριζόμεθα τὸν λευκὸν ἄνθρωπον, πάντως ἀποδίδομεν ὁρισμὸν καὶ τοῦ λευκοῦ καὶ τοῦ ἀνθρώπου λέγοντες ὅτι λευκὸς ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν μετέχον χρώματος διακριτικοῦ ὄψεως. οὕτως οὖν καὶ ἐνταῦθα συμβήσεται ἡ σιμότης τῇ ῥινί. ὁ γοῦν ὅρος ὁ λέγων ὅτι σιμότης ἐστὶ κοίλανσις ἐν ῥινὶ τὴν σιμότητα λέγει μόνον. ἐὰν οὖν βουληθῶμεν ὁρίσασθαι ἀμφότερα, φημὶ δὴ τὴν σιμότητα καὶ τὸ ὑποκείμενον αὐτῆς, τουτέστι τὴν ῥῖνα, δὶς τὸ αὐτὸ παραληφθῆναι λέγομεν, ὅτι ῥὶς σιμή ἐστι ῥὶς κοιλότητα ἔχουσα ἐν ῥινί. * * *
15 τῇ ῥινὶ καὶ ῥὶς σιμὴ ἐνυπάρχει· καὶ γίνεται καὶ ἄλλο ἓν διὰ τὴν σιμότητα. καὶ οὕτως ἐπ' ἄπειρον. λέγομεν οὖν ἡμεῖς, ἅπερ καὶ αὐτὸς λέγει, ὅτι καθάπερ ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις εἴρηται ὑπ' αὐτοῦ, ὅτι, ἡνίκα μὲν αὐτὴ καθ' αὑτὴν λαμβάνεται ἡ σιμότης, πάντως συνεισφέρει ἑαυτῇ τὴν ῥῖνα, ἡνίκα δὲ μετὰ τῆς ῥινὸς παραλαμβάνεται, οὐκέτι δηλοῖ τὴν ῥῖνα.
20 ἀλλὰ τότε ὡς πάθος παραλαμβάνεται τῆς ῥινός· καὶ οὐκέτι συμβαίνει ἡμῖν ἀδολεσχεῖν λέγουσιν δὶς τὸ αὐτό. ἐρωτώμενοι οὖν τί ἐστι ῥὶς σιμή, φαμὲν ὅτι κοίλανσις ἐν ῥινί. ἰστέον ⟨τοίνυν⟩ ὅτι κυρίως μὲν ὁρισμὸς τῆς οὐσίας ἐστίν, εἴ γε οἱ κυρίως ὁρισμοὶ τῶν ἁπλῶς ὑπάρχουσι πραγμάτων, εἶτα λοιπὸν κατὰ δεύτερον λόγον τῶν συμβεβηκότων ἁπλῶς, ἐπειδὴ ἄνευ
25 προσθήκης λέγονται. καὶ τρίτον τῶν καθ' αὑτὰ συμβεβηκότων. ἐπειδὴ μετά τινος προσθήκης λέγονται. ταῦτα εἰρηκὼς ἐφεξῆς ζητεῖ. ἆρά γε ταὐτόν ἐστιν εἰπεῖν ζῷον εἶναι καὶ ζῴῳ εἶναι, καὶ ἀγαθὸν εἶναι καὶ ἀγαθῷ εἶναι, καὶ ψυχὴν εἶναι καὶ ψυχῇ εἶναι. καὶ καθόλου ἐπὶ μὲν τῶν ἁπλῶν πραγμάτων, ὡς εἴρηται ἐν Κατηγορίαις, ταὐτὸν εἶναι τὸ ζῷον εἶναι καὶ f. 273r
30 τὸ ζῴῳ εἶναι, τουτέστιν ἐπὶ τῶν ἁπλῶν οὐσιῶν, καὶ ψυχὴν εἶναι καὶ ψυχῇ εἶναι· ἐπὶ μέντοι γε τοῦ ἀνθρώπου οὐκέτι, ἐπειδὴ σύγκειται ἐξ ὕλης καὶ εἴδους, ὥστε οὐκ ἔστι ταὐτὸν λέγειν ἀνθρώπῳ εἶναι καὶ ἄνθρωπον εἶναι. εἶτα λοιπὸν ἐκτίθεται καὶ σοφιστικὸν παραλογισμόν, ἐξ οὗ πειρᾶται δεικνύναι (καὶ ὕστερον δὲ ἀνατρέπει αὐτόν) ὅτι καὶ ἐπὶ τῶν συμβεβηκότων
35 τὸ αὐτό ἐστι λευκὸν εἶναι καὶ λευκῷ εἶναι. καὶ προέρχεται ὁ λόγος τοῦτον τὸν τρόπον. οἱ γὰρ σοφισταὶ οὕτως φασὶν ὅτι ὁ ἄνθρωπος τὸ αὐτό ἐστι τῷ λευκῷ ἀνθρώπῳ· εἰ γὰρ ὑποθώμεθα ἕτερον εἶναι τὸν ἄνθρωπον παρὰ τὸν λευκὸν ἄνθρωπον, ἐπειδὴ Καλλίας καὶ ἄνθρωπός ἐστι καὶ λευκὸς ἄνθρωπος, αὐτὸς ἑαυτοῦ ἔσται ἕτερος, ὅπερ ἐστὶν ἀδύνατον. καὶ εἰ

---

5 οὔτε libri 14 fort. addendum ὥστε 17 ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις] c. 31 p. 181b37 sqq. 19 ἡνίκα δὲ — ῥῖνα in margine add. A² 21 οὖν om. D 22 φαμὲν] κεῖσθαι μὲν D τοίνυν ex Aristotele addidi 29 ἐν Κατηγορίαις] quem locum respiciat, non video

ταὐτόν ἐστιν ἄνθρωπος καὶ λευκὸς ἄνθρωπος, διὰ τὰ αὐτὰ ταὐτὸν ἔσται τὸ καὶ ἀνθρώπῳ εἶναι καὶ λευκῷ ἀνθρώπῳ εἶναι. ὥστε συνάγεται ἐντεῦθεν ὅτι ταὐτόν ἐστι καὶ λευκὸν εἶναι καὶ λευκῷ εἶναι. το δὲ ἀληθὲς συνήχθη διὰ τὸ συγχωρῆσαι τῇ προτάσει τῇ λεγούσῃ ὅτι ταὐτὸν ἄνθρωπος καὶ λευκὸς ἄνθρωπος· εἰ δὲ ταῦτα, ταὐτόν ἔσται τὸ λευκὸν τῷ μουσικῷ καὶ τῷ γραμματικῷ, ἐπειδὴ ἐν τῷ Ἀριστάρχῳ, εἰ τύχοι, θεωροῦνται ταῦτα. τί οὖν δεῖ ἡμᾶς λέγειν; ὅτι τὰ μὲν καθ' αὑτὸ ὑπάρχοντα τῷ αὐτῷ καὶ ἀλλήλοις εἰσὶ ταὐτά, ὥσπερ τὸ ζῷον λογικὸν καὶ ὁ ἄνθρωπος καθ' αὑτὸ ὑπάρχει τῷ Σωκράτει, καὶ ἀλλήλοις ἐστὶ ταὐτά· οὐ μέντοι γε καὶ τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα, ἐπειδὴ ταὐτὰ μέν εἰσι τὰ ὑποκείμενα, οὐκέτι μέντοι γε καὶ κατὰ τὸν λόγον. ὁ γὰρ ἄνθρωπος ὁ λευκὸς καὶ ὁ μουσικὸς τὰ αὐτὰ μὲν κατὰ τὸ ὑποκείμενον, ἐὰν ἀμφότερα σχοίη ἄνθρωπος, οὐκέτι μέντοι γε καὶ κατὰ τὸν λόγον τὰ αὐτά· ἕτερος γὰρ ὁρισμὸς λευκοῦ καὶ ἕτερος ἀνθρώπου καὶ ἕτερος μουσικοῦ· ὥστε τὰ κατά τι κοινωνοῦντα κοινὸν οὐκ αἰτητέον καὶ κατὰ πάντα κοινωνεῖν. ταῦτα εἰρηκὼς ἔρχεται λοιπὸν ἐπὶ τὰς ἰδέας. ἃς φασι καὶ πρώτας εἶναι οὐσίας. καί f. 273v φησιν ὅτι ἡ ἰδέα τῆς οὐσίας καὶ [τῆς] τοῦ ἀγαθοῦ καὶ τῶν ἄλλων ὁμοίως ταὐτόν ἐστι, τὸ οὐσίᾳ εἶναι καὶ οὐσίαν εἶναι, καὶ ἀγαθῷ εἶναι καὶ ἀγαθὸν εἶναι. ἢ γὰρ ταὐτόν ἐστιν ἢ οὐκ ἔστι ταὐτόν. εἰ μὲν οὖν ταὐτόν ἐστιν, ἔχω τὸ ζητούμενον· εἰ δὲ μή ἐστι ταὐτὸν ἀλλ' ἕτερον τὸ ἀγαθὸν εἶναι καὶ ἀγαθῷ εἶναι, εἰ συνέζευκται, ἔσονται σύνθετοι αἱ ἰδέαι καὶ οὐχ ἁπλαῖ, ὅπερ ἐστὶν ἄτοπον, εἴ γε εἴδη εἰλικρινῆ αὐτὰ ὑποτίθενται· εἰ δὲ μὴ συνέζευκται ἀλλὰ κεχώρισται, ἔσονται ἄλλαι οὐσίαι πρότεραι τῶν ἰδεῶν, ὅπερ οὐδὲ αὐτοὶ βούλονται· καὶ περὶ ἐκείνων δὲ τὸ αὐτὸ ἐρώτημα. ἔπειτα αἱ ἰδέαι οὐκέτι ἔσονται γνωσταὶ τῶν ὁρισμῶν κεχωρισμένων ἐξ αὐτῶν. ἐπειδὴ τὰ πράγματα γινώσκονται ἐκ τῶν ὁρισμῶν αὐτῶν. ἔπειτα δὲ καὶ ἐκεῖναι οὐκ ἔσονται οὐσίαι, εἴ γε κεχωρισμέναι ὑπάρχουσι τῶν οὐσιῶν· ὥστε τὸ ἀγαθὸν οὐκ ἔστιν ἀγαθόν, ἐπειδὴ ὁ ὁρισμὸς τοῦ ἀγαθοῦ κεχώρισται αὐτοῦ καὶ τὸ ἀγαθῷ εἶναι. ἐρεῖ δὲ καὶ πρὸς τοὺς τὰς ἰδέας εἰσάγοντας, ὅτι ἐπειδὴ κυρίως ὑποτίθεσθε τὰς ἰδέας, αὗται αἱ σύνθετοι οὐσίαι οὐκ ἔσονται οὐσίαι, ἐπειδὴ κεχωρισμέναι ὑπάρχουσιν τῶν ὄντως οὐσιῶν. οὐ γὰρ δυνατὸν εἰπεῖν ὅτι αἱ ἰδέαι ἐν ταῖς οὐσίαις θεωροῦνται· οὐ γὰρ κατὰ μέθεξιν, ὥς φησιν αὐτός, θεωροῦνται, ἀλλὰ αὐθυπόστατα ὑπάρχουσιν, εἴδη ὄντα εἰλικρινῆ.

p. 1030b28 Ἔστι δὲ καὶ ἑτέρα ἀπορία περὶ αὐτῶν.

Καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, καὶ ἑτέραν ἀπορίαν κινεῖ περὶ τῶν καθ' αὑτὰ συμβεβηκότων, δεικνὺς ὅτι οὐκ ἔστιν αὐτῶν ὁρισμός. εἰ μὲν

4 τῇ λεγούσῃ ὅτι ταὐτὸν scripsi: τ^ λ (desunt III litt.) ωη ὅτι (desunt VII litt.) A: lacuna XVII litterarum D 12. 13 ἐὰν—ἄνθρωπος D, in marg. add. A 15 αἰτητέον scripsi: ἀθετητέον libri 17 τῆς delevi 21 εἰ scripsi: ἢ libri 24 οὔτε libri 29 εἰσάγοντας—ἰδέας (30) om. D 30 κυρίως] fort. addendum οὐσίας 37 ὁρισμός scripsi: ὁρισμοί libri

γάρ, φησί, τὸ αὐτό ἐστι σιμὴ ῥὶς καὶ κοίλη ῥίς, ταὐτὸν ἔσται τὸ σιμὸν τῷ κοίλῳ. εἰ δὲ μή ἐστι ταὐτὸν τὸ κοῖλον τῷ σιμῷ. ἐπειδὴ τὸ μὲν σιμὸν ἐπὶ ῥινὸς καὶ μόνης φέρεται, τὸ δὲ κοῖλον καὶ ἐπὶ ῥινὸς λέγεται καὶ ἐπὶ ἐπιφανείας καὶ ἄλλων, εἰ οὖν τὸ σιμὸν οὐδέν ἐστιν ἕτερον ἢ κοιλότης ἐν ῥινί, ἢ οὐ δυνατὸν εἰπεῖν ῥῖνα σιμήν, ἢ ὁ λέγων τοῦτο ἀδολεσχεῖ δὶς τὸ αὐτὸ λέγων ῥὶς ῥὶς κοίλη, καὶ διὰ τῆς σιμότητος καὶ διὰ τῆς ῥινὸς f.274r ῥῖνα δηλῶν. ἡ γὰρ σιμὴ ῥὶς ῥίς ἐστι κοίλη, ὥστε ὁ λέγων κοίλανσιν ῥινὸς ἀντὶ σιμότητος παραλαμβάνων τὴν κοίλανσιν δὶς λέγει τὴν ῥῖνα. ὥστε οὐ δυνατόν, φησίν, εἶναι τῶν τοιούτων ὁρισμόν· εἰς ἄπειρον γὰρ πρόεισιν· οὐδὲν γὰρ ἕτερον λέγει ἢ ὅτι ἡ ῥὶς ῥίς ἐστι σιμή, καὶ ὁ αὐτὸς λόγος ἔσται. ὁ γὰρ λέγων ὅτι σιμότης ἐστὶ κοίλανσις ἐν ῥινὶ οὐδὲν ἕτερον λέγει ἢ ὅτι τῇ ῥινὶ ῥὶς σιμὴ ἔνεστιν. ὥστε δῆλον ἐντεῦθεν ὅτι κυρίως ὁρισμὸς μόνης τῆς οὐσίας ἐστί, καὶ οἱ κυρίως ὁρισμοὶ ἁπλῶν ὑπάρχουσι πραγμάτων. εἰ γὰρ καὶ τῶν ἄλλων κατηγοριῶν, ἀνάγκη τοὺς ὁρισμοὺς ἐκ προσθέσεως εἶναι, οἷον τοῦ ποιοῦ καὶ τοῦ περιττοῦ· ποιότητα λέγω καθ' ἣν ποιοί τινες λέγονται, καὶ περιττὸν ἀριθμὸν τὸν μὴ δίχα διαιρούμενον, καὶ παρέλαβον τὸ ὑποκείμενον· οὐ γὰρ ἄνευ ἀριθμοῦ δυνατὸν ὁρίσαι τὸ περιττόν, οὐδ' ἄνευ ζῴου τὸ θῆλυ. ἐπὶ δὲ τῶν ἐκ προσθέσεως συμβαίνει δὶς τὸ αὐτὸ λέγειν. ὥσπερ ἐν τούτοις. οἷον ἄρτιός ἐστιν ἀριθμὸς ὁ διαιρούμενος δίχα, καὶ τοῦ ἀριθμοῦ ἀριθμὸν ἐδήλωσε διὰ τῆς δίχα διαιρέσεως. ὥστε τῶν συνδυαζομένων, τουτέστι τῶν ἐκ προσθέσεως, οὐκ ἔστι κυρίως ὁρισμός, φημὶ δὴ τῶν καθ' αὑτὸ συμβεβηκότων, οἷον, ὥς φησιν αὐτός, ἀριθμοῦ περιττοῦ· ἀλλὰ τοῦτο λανθάνει τοὺς πολλούς, ὅτι οὐκ ἀκριβῶς ταῦτα λέγονται. εἰ δέ εἰσι καὶ τούτων ὅροι, ἤτοι ἄλλον τρόπον εἰσὶ καὶ οὐχ ὅμοιοι τῆς οὐσίας. ἐπειδὴ μηδὲ ἁπλῶν εἰσι πραγμάτων. ἢ καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται, πολλαχῶς δεῖ λέγειν εἶναι τὸν ὁρισμόν. ὥστε καθὸ οἱ ὅροι μιᾶς φύσεως καὶ ἁπλῆς εἰσι δηλωτικοί (ἓν γὰρ πρᾶγμα θέλουσι περιλαμβάνειν), οὐκ ἔστιν ὁρισμὸς εἰ μὴ τῆς οὐσίας· καθὸ δὲ πολλαχῶς λέγεται ὁ ὁρισμός, καταχρηστικώτερον καὶ ἐπ τῶν μὴ δηλούντων μίαν οὐσίαν ἔσται ὁρισμὸς καὶ τῶν καθ' αὑτὸ συμβεβηκότων. εἶτα συμπεραινόμενος φησιν ὅτι μεμαθήκαμεν ὅτι ὁρισμός ἐστιν ὁ λόγος ὁ δηλῶν τὴν οὐσίαν τοῦ πράγματος καὶ f.274v ὅτι ἢ μόνων ἐστὶ τῶν οὐσιῶν ὁρισμὸς ἢ μάλιστα τῶν οὐσιῶν τῶν πρώτων καὶ τῶν ἁπλῶν, λοιπὸν τῶν ἄλλων κατὰ δεύτερον λόγον, καὶ οὐ κυρίως οὔτε ἀκριβῶς, ἐπειδὴ μὴ φυλάττουσι τὰ τοῦ ὁρισμοῦ μίαν δηλοῦντες φύσιν.

p. 1031a15 Πότερον δὲ τὸ αὐτό ἐστιν ⟨ἢ⟩ ἕτερον τὸ τί ἦν εἶναι καὶ ἕκαστον.

Ἐντεῦθεν ζητεῖ [εἰ] ἆρά γε ταὐτόν ἐστιν ἀνθρώπῳ εἶναι καὶ ἄνθρω-

4 ἐπὶ om. D 10 ἢ om. D 12 ἓν ἐστιν D 13 ἁπλῶν scripsi coll. v. 25 et p. 385,17 14 καὶ om. D 15. 16 ποιότητα — λέγονται] cf. Categ. 8 p. 8b25 16 δίχα διαιρούμενον scripsi: δίχα μρμενον A διχωρούμενον D 20 fort. καὶ διὰ τοῦ ἀ. ἀ. ἐ. καὶ διὰ 21 οὐκέτι D 25 ὅμοιον D μήτε libri 27 ἁπλῆς scripsi: ἁπλῶς libri 28 εἰ μὴ — ὁρισμός (29) om. D 35 ἢ addidi 37 εἰ delevi

πον (διὰ μὲν γὰρ τοῦ τί ἦν εἶναι ἐδήλωσε τὸ ἀνθρώπῳ εἶναι, διὰ δὲ τοῦ ἕκαστον τὸν ἄνθρωπον), καὶ ψυχῇ εἶναι καὶ ψυχὴν εἶναι. δεῖ οὖν τοῦτο ἡμᾶς ζητῆσαι· ἔστι γὰρ καὶ τοῦτο ἀναγκαῖον πρὸς τὴν τῆς οὐσίας ἐπίσκεψιν. εἶτα λοιπὸν καὶ συλλογισμὸν πλέκει ἐν δευτέρῳ σχήματι δεικνύντα ὅτι ταὐτόν ἐστι τὸ ψυχῇ εἶναι καὶ τὸ ψυχὴν εἶναι. φησὶ γὰρ ὅτι ἕκαστον πρᾶγμα οὐκ ἄλλο δοκεῖ εἶναι τῆς ἑαυτοῦ οὐσίας, ἀλλὰ τὴν ὕπαρξιν ἔχει κατὰ τὴν οἰκείαν οὐσίαν· καὶ ὁ ὁρισμὸς λέγεται ἡ ἑκάστου οὐσία· ταὐτὸν ἄρα ἐστὶν ἕκαστον καὶ ὁ ὁρισμὸς αὐτοῦ, τουτέστι ταὐτόν ἐστιν ἄνθρωπον εἶναι καὶ ἀνθρώπῳ εἶναι. καὶ δοκεῖ μὲν ὁ συλλογισμὸς ἐκτεθεῖσθαι ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν, ὅπερ ἐστὶν ἀσυλλόγιστον· ἀλλὰ δεῖ τὴν μίαν πρότασιν ἀντιστρέψαι καὶ ἀναγαγεῖν τὸν συλλογισμὸν ἐπὶ τὸ πρῶτον σχῆμα, οἷον ἕκαστον κατὰ τὴν οἰκείαν οὐσίαν ὑπάρχει, ἡ δὲ οἰκεία ἑκάστου οὐσία ὁ ὁρισμός ἐστιν ἑκάστου, ταὐτὸν ἄρα ἐστὶν ἕκαστον καὶ ὁρισμός, τουτέστιν ἀνθρώπῳ καὶ ἄνθρωπον εἶναι. φησὶν οὖν ὅτι ἐπὶ τῶν κατὰ συμβεβηκὸς δόξει ἕτερον εἶναι τὸ λευκὸς ἄνθρωπος καὶ λευκῷ ἀνθρώπῳ εἶναι· εἰ γὰρ ταὐτόν ἐστιν, ὡς ἔλεγον οἱ σοφισταί, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται, ἀνθρώπῳ εἶναι καὶ λευκῷ ἀνθρώπῳ (ἐπειδὴ τὸ αὐτό, φασίν, ἐστὶν ἄνθρωπος καὶ λευκὸς ἄνθρωπος, ἵνα μὴ αὐτὸς ἑαυτοῦ ἕτερος ὁ Καλλίας γένηται, ὥστε καὶ τῷ λευκῷ ἀνθρώπῳ καὶ τῷ ἀνθρώπῳ ταὐτόν). ἔστι δὲ ἄνθρωπος καὶ ἀνθρώπῳ εἶναι ταὐτόν, ὥστε καὶ λευκὸς ἄνθρωπος καὶ λευκῷ ἀνθρώπῳ ταὐτόν ἐστιν. εἶτα ἐπιλυόμενός φησιν ὅτι f. 275r
οὐκ ἀνάγκη ὅσα κατὰ συμβεβηκὸς τὰ αὐτὰ ὑπάρχουσιν, ἤδη καὶ κατὰ πάντα τὰ αὐτὰ εἶναι. ὁ γὰρ ἄνθρωπος καὶ λευκὸς ἄνθρωπος κατὰ μὲν τὸ ὑποκείμενον τὰ αὐτὰ ὑπάρχουσι, κατὰ δὲ τὸν ὁρισμὸν οὐ τὰ αὐτά· ἄλλος γὰρ ὁρισμὸς ἀνθρώπου καὶ ἄλλος λευκοῦ. οὔτε γὰρ τὰ ἄκρα, τουτέστι τὰ κατὰ συμβεβηκός, ὡσαύτως γίνεται τὰ αὐτά, ὥσπερ καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα ἑνὶ γίνεται τὰ αὐτά, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ ὁ περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ζῴου λόγος, ὅτι ὑπάρχουσι τῷ Σωκράτει καὶ εἰσὶ τὰ αὐτὰ ἀλλήλοις. τὰ οὖν ἄκρα κατὰ συμβεβηκὸς ὑπάρχουσι τὰ αὐτά, οἷον τὸ λευκῷ εἶναι καὶ τὸ μουσικῷ· διὸ ἄλλος ὁρισμὸς λευκοῦ καὶ ἄλλος μουσικοῦ· κατὰ δὲ τὸ ὑποκείμενον τὰ αὐτὰ ὑπάρχουσι. δοκεῖ δὲ τῷ ὄντι τοῖς πολλοῖς μὴ κατὰ συμβεβηκὸς ὑπάρχειν.

p. 1031ᵃ28 Ἐπὶ δὲ τῶν καθ' αὑτὰ λεγομένων ἀνάγκη ἀεὶ ταὐτὸν εἶναι.

Δείξας ὅτι ἐπὶ τῶν κατὰ συμβεβηκὸς λεγομένων οὐκ ἔστι ταὐτὸν τὸ λευκῷ εἶναι καὶ τὸ λευκὸν εἶναι, καὶ ἀνθρώπῳ λευκῷ εἶναι καὶ ἄνθρωπον λευκόν, ἐντεῦθεν ζητεῖ λέγων, ἆρά γε ἐπὶ τῶν καθ' αὑτὸ λεγομένων ἀνάγκη ταὐτὸν εἶναι τὸ ψυχῇ εἶναι καὶ ψυχὴν εἶναι, οἷον εἴ τινες ὑπάρ-

18 φασίν scripsi: φησίν libri 19 τῷ—καὶ τῷ] sic etiam Metaph. libri tres 20 λευκὸς delendum videtur, sed fortasse vitium etiam latius patet 26 ὡσαύτως Aristoteles: ὥστε αὐτῶν libri 30 τὸ utrobique Aristoteles: τῷ libri 36 τὸ λευκὸν—εἶναι καὶ om. D

χουσιν οὐσίαι ὧν οὐσιῶν * * * καὶ παρὰ ταύτας οὔκ εἰσιν οὐσίαι ἄλλαι φύσει πρότεραι αὐτῶν ὑπάρχουσαι.

p. 1031a30 Οἵας φασὶν εἶναί τινες τὰς ἰδέας.

Ἰδοὺ πῶς οἶδεν ὅτι οὐσίας ἔλεγον τὰς ἰδέας καὶ οὐ λόγους οἱ ταύτας πρεσβεύοντες: εἰ γάρ ἐστι, φησίν, ἕτερον αὐτὸ τὸ ἀγαθὸν καὶ τὸ ἀγαθῷ εἶναι, καὶ ζῷῳ καὶ ζῷον εἶναι, καὶ ὄντι καὶ τὸ ὄν, ἔσονται ἄλλαι οὐσίαι καὶ φύσεις καὶ ἰδέαι παρὰ τὰς λεγομένας, καὶ πρότεραι οὐσίαι ἐκεῖναι, εἰ τὸ τί ἦν εἶναι οὐσία ἐστί. καὶ εἰ μὲν ἀπολελυμέναι εἶεν ἀλλήλων τὸ ἀγαθὸν καὶ τὸ ἀγαθῷ εἶναι, τοῦ μὲν ἀγαθοῦ οὐκ ἔστιν ἐπιστήμη, ἐπειδὴ διὰ τῶν ὅρων γινώσκονται τὰ πράγματα, τῷ δὲ ἀγαθῷ f.275v εἶναι οὐκ ἔστιν ὕπαρξις, ἐπειδὴ τὸ ἀγαθὸν εἰρήκαμεν εἶναι οὐσίαν· λέγω δή, φησί, τὸ ἀπολελύσθαι, εἰ μήτε τῷ ἀγαθῷ αὐτῷ ὑπάρχει τὸ εἶναι ἀγαθῷ μήτε τούτῳ τὸ εἶναι ἀγαθόν. ἡ γὰρ ἐπιστήμη ἑκάστου καὶ ἡ γνῶσις αὐτοῦ διὰ τοῦ ὁρισμοῦ θηρᾶται καὶ ἐπὶ τοῦ ἀγαθοῦ καὶ ἐπὶ τῶν ἄλλων πάντων. ὥστε εἰ μὴ τῷ ἀγαθῷ εἶναί ἐστι ταὐτὸν τὸ ἀγαθόν, οὔτε τῷ ὄντι εἶναί ἐστι τὸ ὂν οὐδὲ τῷ ἑνὶ ἕν. ὥστε εἰ μηδὲ τῷ ὄντι εἶναι τὸ ὄν ἐστιν, οὐκ ἔσται ὕπαρξις τῶν τί ἦν εἶναι. ἄλλως τε δὴ οὐκ ἔστιν ἀγαθὸν ᾧτινι μὴ ὑπάρχει ἀγαθῷ εἶναι· ὥστε ἔσται τὸ ἀγαθὸν κεχωρισμένον ἀγαθότητος. ὅπερ προφανῶς ἐστιν ἄτοπον. εἰ γὰρ οἱ ὁρισμοὶ τῶν πραγμάτων δηλοῦσι τὴν φύσιν τοῦ ὑποκειμένου, τὸ δὲ ἀγαθὸν οὐ μετέχει τοῦ οἰκείου ὁρισμοῦ, οὐδὲ τῆς ἀγαθότητος ἄρα μεθέξει. ὥστε πᾶσα ἀνάγκη ἓν εἶναι τὸ ἀγαθὸν καὶ ἀγαθῷ εἶναι καὶ μίαν φύσιν ἁπλῆν, καὶ καλὸν καὶ καλῷ εἶναι. ὅσα μὴ κατ' ἄλλο λέγεται, τουτέστι τὰ σύνθετα. ἐπὶ γὰρ τῶν συνθέτων διαφέρει τὸ τῷδε εἶναι καὶ τόδε εἶναι· τὸ μὲν γὰρ σύνθετόν ἐστι τόδε εἶναι, τουτέστιν ὁ Σωκράτης, τὸ δὲ εἶδος τοῦ Σωκράτους τοῦτό ἐστι τὸ τῷδε εἶναι [καὶ τόδε εἶναι]. πρῶτα οὖν ἐστι καὶ καθ' αὑτὰ καλὰ καὶ ἀγαθὰ τὰ ἄυλα καὶ μὴ χραινόμενα ὑπὸ τῆς ὕλης.

p. 1031b14 Καὶ γὰρ τοῦτο ἱκανὸν ἐὰν ὑπάρχῃ καὶ μὴ ᾖ εἴδη.

Φησὶν ὅτι πάντῃ καὶ πάντως, ἐὰν ὦσιν ἁπλᾶ εἴδη, τουτέστιν ἐὰν ὑπάρχωσιν, ἀνάγκη ἐστὶ τὸ αὐτὸ εἶναι τὸ τῷδε εἶναι καὶ τόδε εἶναι ἐπὶ τῶν ἁπλῶς εἰδῶν. κἂν ὑπάρχωσιν ἰδέαι κἂν μὴ ὑπάρχωσι διὰ τὰ προειρημένα.

p. 1031b15 Ἅμα δὲ δῆλον ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι, οἵας τινές φασιν.

Ἐντεῦθεν πρὸς τοὺς τὰς ἰδέας πρεσβεύοντας ἀποτείνεται καὶ λέγοντας

1 post οὐσιῶν desunt VII litterae AD: fort. addendum ἕτεραι περὶ D ταύτας D: ταῦτα corr. A² 9 εἶεν] εἶναι D 10 τῷ scripsi: τὸ libri 18 ἀγαθὸν εἶναι D 26 καὶ τόδε εἶναι delevi πρῶτα—ἀγαθὰ om. D

αὐτὰς οὐσίας εἶναι αὐθυποστάτους, εἰς ἃς ἀποβλέπων ὁ δημιουργὸς ποιεῖ ἃ ποιεῖ. φησὶν οὖν ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι οἷας τινές φασι, τουτέστιν f.276r οὐσίαι καὶ μὴ λόγοι, οὐκ ἔσται τὸ ὑποκείμενον, τουτέστι τὸ σύνθετον. ταύτας γὰρ τὰς ἰδέας οὐσίας μὲν ἀναγκαῖον εἶναι, εἴ γε καὶ πρότεραι ὑπάρχουσιν, οὐ θεωροῦνται δὲ ἐν ὑποκειμένῳ ταῖς συνθέτοις οὐσίαις, ἐπεὶ οὕτως ἔσονται [αἱ] κατὰ μέθεξιν, ἄλλους δὲ αὐτὰς βούλονται, † ἐπεὶ τὰ ἐνταῦθα οὐκ ἔσονται οὐσίαι. ἐκ τούτων, φησί, τῶν λόγων μεμαθήκαμεν τὰ κατὰ σύνθεσιν ὡς οὐκ ἔστιν ἓν καὶ ταὐτὸν αὐτὸ ἕκαστον καὶ τὸ τί ἦν εἶναι, καὶ ὅτι τοῦτό ἐστι τὸ ἐπίστασθαι ἕκαστον τὸ γινώσκειν τὸν ὁρισμὸν αὐτοῦ. ὥστε ἐπὶ τῶν ἄλλων ἀνάγκη ἕν τι εἶναι ἄμφω, ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτοῦ. τὸ μέντοι γε κατὰ συμβεβηκὸς λεγόμενον, οἷον τὸ μουσικὸν ἢ τὸ λευκόν, διὰ τὸ διττὸν σημαίνειν οὐκ ἔστιν ἀληθὲς εἰπεῖν ὅτι ταὐτόν ἐστι τὸ τί ἦν εἶναι καὶ αὐτό. λέγεται γὰρ καὶ τὸ σῶμα λευκὸν ᾧ συμβέβηκε, καὶ αὐτὸ δὲ πάλιν τὸ συμβεβηκὸς λέγεται εἶναι λευκόν· ὥστε κατὰ τὶ μὲν τὸ αὐτό ἐστιν ἐπὶ αὐτῶν τὸ τί ἦν εἶναι καὶ αὐτό, κατὰ τὶ δὲ οὔ. τῷ μὲν γὰρ ἀνθρώπῳ καὶ τῷ λευκῷ ἀνθρώπῳ οὐ τὸ αὐτό, ἐπειδὴ σύνθετόν ἐστι καὶ ἄλλης καὶ ἄλλης φύσεως ὑπάρχει, τῷ πάθει δὲ τὸ αὐτό, τουτέστιν αὐτῷ τῷ λευκῷ· ταὐτὸν γάρ ἐστιν εἰπεῖν λευκὸν καὶ λευκῷ εἶναι· ἁπλῶς γάρ ἐστιν.

p. 1031b28 Ἄτοπον δ' ἂν φανείη κἂν εἴ τις ἑκάστῳ ὄνομα θεῖτο τῶν τί ἦν εἶναι.

Ἐντεῦθεν ἑτέραν ἐπιχείρησιν τίθησι κατασκευαστικὴν τοῦ ὅτι ἐπὶ τῶν ἄλλων πραγμάτων ταὐτόν ἐστιν ἕκαστον καὶ τὸ τῷδε εἶναι, εἴτε τῷ τῷδε εἶναι ὄνομα θείημεν, οἷον λίθον, εἴτε μὴ θείημεν αὐτῷ ὄνομα, τούτου [τοῦ] προσλαμβανομένου ὅτι ἔστιν οὐσίας ὁρισμὸς καὶ ὅτι τὸ τί ἦν εἶναι οὐσίαν δηλοῖ. τούτων οὕτω διωρισμένων ἐπὶ τῶν ἁπλῶν εἰδῶν τὸ τῷδε εἶναι τοῦ τόδε εἶναι ἢ κεχώρισται ἢ οὐ κεχώρισται, τουτέστιν ἢ ταὐτόν ἐστιν ἢ οὐκ ἔστι ταὐτόν. εἰ μὲν οὖν ὑποθώμεθα αὐτὸ μὴ κεχωρίσθαι, f.276v ἔχω τὸ ζητούμενον, ὅτι ταὐτόν ἐστιν τὸ τῷδε εἶναι καὶ τὸ τόδε εἶναι· εἰ δὲ μὴ ὑποθώμεθα εἶναι ταὐτόν, ἐπειδὴ τὸ τί ἦν εἶναι οὐσίας ἐστὶ δηλωτικόν, ἐρωτῶμεν αὐτοὺς 'ἐκείνη ἡ οὐσία, ἧς ἐστι δηλωτικὸν τὸ τί ἦν εἶναι, ἔχει ὁρισμὸν ἢ οὐκ ἔχει'; εἰ μὲν οὖν μὴ ἔχει, ἄτοπον τὸ λέγειν οὐσίας μὴ εἶναι ὁρισμόν. εἰ δὲ ἔστιν αὐτῆς ὁρισμός, πάλιν ἐρωτῶμεν αὐτοὺς 'ὁ ὁρισμὸς ἐκεῖνος ὁ αὐτός ἐστι τῇ οὐσίᾳ ἢ οὐκ ἔστιν ὁ αὐτός'; εἰ μὲν οὖν φῶσιν ὅτι ὁ αὐτός ἐστιν, ἔχω τὸ ζητούμενον· εἰ δὲ εἴπωσιν ὅτι οὐκ ἔστιν ὁ αὐτός, πάλιν περὶ ἐκείνου ὁμοίως ἐρωτήσεις αὐτούς, καὶ οὕτως ἐπ'

1 αὐθυποστάτους scripsi: ἀνθυποστάτους libri 6 αἱ delevi ἐπεὶ] exspectes ὥστε 8 τὰ] ὅτι τὰ D: ὅτι del. A 8 ὡς—ταὐτὸν] ἓν καὶ ταὐτὸ οὐ κατὰ συμβεβηκὸς Aristoteles αὐτὸ Aristoteles: καὶ τὸ D: καὶ del. A 20 Ἄτοπον—εἴ τις scripsi coll. p. 395,15: verba in libris corrupta et mutila 22 ἐπὶ om. D 23 τῷ scripsi: τὸ libri 25 τοῦ delevi 30 ἐστὶ scripsi: ἐπὶ libri 31 ἐρωτῶμεν—δηλωτικὸν om. D

ἄπειρον προελευσόμεθα. εἶτα ταῦτα εἰρηκώς, ἐπειδὴ σκοπὸν ἔχει διαλεχθῆναι περὶ τῆς κυρίως οὐσίας, πρότερον δὲ διαλέγεται περὶ τῆς ἡμῖν φανερᾶς, τούτου χάριν φησὶ πρότερον περὶ τῆς αἰσθητῆς, λέγων ὅτι τῶν γινομένων τὰ μὲν φύσει ἐστί, τὰ δὲ τέχνῃ, τὰ δὲ ἀπὸ ταὐτομάτου· ὕστερον δὲ προστίθησι καὶ τὰ ἀπὸ διανοίας. οὔτε γὰρ ταὐτόν ἐστι τὰ ἀπὸ τέχνης τοῖς ἀπὸ διανοίας· πᾶς γὰρ ἔχει προαίρεσιν, εἶτα τέχνην. καί φησιν ὅτι ἐπὶ τούτων τρία θεωροῦνται, τὸ ποιητικὸν αἴτιον, τὸ ὑλικόν, τὸ εἰδικόν. καὶ ἐπὶ μὲν τῶν φυσικῶν τὰ τρία φυσικὰ ὑπάρχουσι, καὶ τὸ εἶδος τὸ ἀνθρώπινον, εἰ τύχοι, καὶ ἡ ὕλη καὶ αὐτὴ ἡ φύσις· ἐπὶ δὲ τῶν τεχνητῶν ποιητικὸν αἴτιον ὁ τέκτων, εἰ τύχοι, ὑλικὸν τὰ ξύλα, εἰδικὸν τὸ τοιόνδε εἶδος τοῦ ἀβακίου. εἶτα λοιπόν φησιν ὅτι διττή ἐστιν ἡ ὑγίεια, ἡ ἄυλος ἡ ἐν τῷ ποιοῦντι καὶ ἰατρεύοντι, καὶ ἡ ἔνυλος, ἣ γίνεται ἐν τῷ ἰατρευομένῳ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, οἷον οἰκοδόμων καὶ τῶν ἄλλων τῶν τοιούτων.

p. 1031b28 Ἄτοπον δ' ἂν φανείη κἂν εἴ τις ἑκάστῳ ὄνομα θεῖτο τῶν τί ἦν εἶναι.

Φησὶν ὅτι κἂν ὑποθώμεθα τὸ τί ἦν εἶναι ὄνομα ἔχειν τι, οἷον λίθον ἤ τι ἄλλο τοιοῦτον, ἄτοπόν ἐστι τὸ χωρίζειν ἐπὶ τῶν ἁπλῶν οὐσιῶν τὸ τόδε εἶναι τοῦ τῷδε εἶναι. εἰ γὰρ κεχώρισται καὶ ἔστιν αὐτοῦ ἀλλό- f. 277r
τριον, ἐπειδὴ οὐσίας ἐστὶ δηλωτικόν, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ἔσται καὶ παρ' ἐκεῖνο ἄλλο τὸ τί ἦν εἶναι ἵππῳ, τουτέστιν ἕτερος ὁρισμὸς † τοῦ τί ἦν ἄλλο τί ἦν εἶναι, ἐπειδὴ οὐσίας ἐστὶ δηλωτικόν, τῶν δὲ οὐσιῶν ὑπάρχουσιν ὁρισμοί. διό φησι τί ἦν εἶναι ἵππῳ ἕτερον, τουτέστι διάφορον παρὰ τὸ ἐξ ἀρχῆς τί ἦν εἶναι. καίτοι, φησί, τί κωλύει καὶ νῦν ἔνια εἶναι εὐθὺς τί ἦν εἶναι, τουτέστιν ἄνευ ὀνόματος; διὰ γὰρ τοῦ εὐθὺς τὸ ἄνευ ὀνόματος ἐδήλωσε. τουτέστι τί κωλύει, κἂν μὴ ὑποθώμεθα ὠνομάσθαι τὸ τί ἦν εἶναι, ἀλλότριον δέ ἐστι τοῦ τόδε εἶναι, καὶ ἔστιν οὐσίας δηλωτικόν, εἶναι καὶ αὐτοῦ ὁρισμόν; καὶ περὶ ἐκείνου ἐρωτήσομεν πάλιν τοῦ τί ἦν εἶναι 'ταὐτόν ἐστι τῇ οὐσίᾳ ἢ οὐκ ἔστι ταὐτόν'; εἰ μὲν οὖν ταὐτόν ἐστιν, ἔχω τὸ ζητούμενον· εἰ δὲ διάφορον, πάλιν καὶ περὶ ἐκείνου τὰ αὐτὰ ἐρωτήσω, καὶ οὕτως ὁ λόγος ἐπ' ἄπειρον ἐλεύσεται. δύναται δὲ τὸ καίτοι τί κωλύει καὶ νῦν εἶναι ἔνια εὐθὺς τί ἦν εἶναι οὕτω νοεῖσθαι, ὅτι εἴπερ μὴ ταὐτόν ἐστι τὸ τῷδε εἶναι καὶ τὸ τόδε εἶναι, τί κωλύει τῆς οὐσίας ἐκείνης εὐθὺς γίνεσθαι ὁρισμόν, εἴ γε πάσης οὐσίας ἐστὶν ὁρισμός; διὸ ἐπήγαγε εἴπερ οὐσία τὸ τί ἦν εἶναι, ἑκάστης δὲ οὐσίας ἐστὶν ὁρισμός, ἔσται καὶ τοῦ τί ἦν εἶναι ὁρισμός· καὶ οὗτος ὁ αὐτός ἐστι

3 τούτου χάριν] γρ. καὶ οὕτως· τούτου χάριν πρότερον διαλέγεται ἡμῖν περὶ τῆς αἰσθητῆς οὐσίας καὶ φησὶν ὅτι τῶν γινομένων in margine add. A: post χάριν in textum recepit D φησὶ—γινομένων (3. 4) om. D 11. 12 ubique ἢ libri 13 fort. οἰκοδόμου 17 ἔχειν scripsi: ἔχων D incertus A 21. 22 res tale quid postulat ἕτερος ὁρισμὸς ἵππου καὶ ἄλλος τοῦ τί ἦν εἶναι ἵππῳ 35 post εἶναι fort. addendum εἰ γὰρ οὐσία τὸ τί ἦν εἶναι 36 οὗτος] οὕτως ἢ D

τοῦ τόδε εἶναι ἢ διάφορος. εἰ μὲν οὖν ὁ αὐτός, ἔχω τὸ ζητούμενον· εἰ δὲ μή ἐστιν ὁ αὐτός, πάλιν ἐπὶ ἕτερον ἐλευσόμεθα, καὶ οὕτως ἐπ' ἄπειρον ὁδεύσομεν. ὥστε οὐ μόνον ἕν ἐστι τὸ τῷδε εἶναι καὶ τὸ τόδε εἶναι, ἀλλὰ καὶ ὁ λόγος αὐτῶν ὁ αὐτός, ὡς δῆλον ἐκ τῶν εἰρημένων. πολλὰ γὰρ ἄτοπα ἐδείξαμεν ἑπόμενα τῷ λόγῳ τῷ ὑποτιθεμένῳ αὐτὰ κεχωρίσθαι ἀπ' ἀλλήλων. οὔτε γὰρ κατὰ συμβεβηκὸς ἓν τὸ ἑνὶ εἶναι καὶ ἕν, ἀλλὰ καθ' αὑτό, καὶ μία οὐσία. ἄλλως τε δὴ καὶ ἐπ' ἄπειρον ὁ λόγος προέρχε- f. 277v
ται, εἰ ἄλλο ἔσται τὸ τῷδε εἶναι καὶ τόδε εἶναι. ἐπειδὴ ⟨γὰρ⟩ καὶ τὸ τί ἦν εἶναι οὐσίας ἐστὶ δηλωτικόν, ἔσται αὐτοῦ ὁρισμός· καὶ εἰ μὲν ὁ αὐτός, ἔχω τὸ ζητούμενον· εἰ δὲ διάφορος, καὶ ἐπ' ἐκείνου ἐρωτῶ, καὶ ἐπ' ἄπειρον ὁ λόγος προέρχεται. καὶ πάλιν τὸ ἓν ἐπειδὴ οὐσία ἐστίν, ἔσται αὐτοῦ ὁρισμός, καὶ οὗτος ἢ ἀλλότριος ἢ ὁ αὐτός. εἰ μὲν οὖν ὁ αὐτός, ἔχω τὸ ζητούμενον· εἰ δὲ ἀλλότριος, πάλιν ἔσται κἀκείνου ὁρισμός, καὶ οὕτως ἐπ' ἄπειρον προερχόμεθα. διό φησιν ὥστε καὶ ἐπ' ἐκείνων ὁ αὐτὸς ἔσται λόγος.

p. 1032a4 Ὅτι μὲν οὖν ἐπὶ τῶν πρώτων καὶ καθ' αὑτὰ λεγομένων.

Δείξας διὰ πολλῶν ἐπιχειρημάτων πολλὰ ἑπόμενα ἄτοπα τοῖς ὑποτιθεμένοις διαφορὰς εἶναι τοῦ τῷδε εἶναι καὶ τοῦ τόδε εἶναι, ἐντεῦθεν συμπεραίνει τὰ εἰρημένα, καί φησιν ὅτι ἐπὶ τῶν πρώτων καὶ καθ' αὑτὰς λεγομένων οὐσιῶν, τουτέστι τῶν ἁπλῶν, τὸ ἑκάστῳ εἶναι καὶ ἕκαστον ταὐτόν ἐστιν.

p. 1032a6 Οἱ δὲ σοφιστικοὶ ἔλεγχοι πρὸς τὴν θέσιν ταύτην φανερὸν ὅτι τῇ αὐτῇ λύονται λύσει καὶ εἰ ταὐτὸ τὸ Σωκράτης καὶ τὸ Σωκράτει εἶναι.

Ὅτι ἐπὶ μὲν τῶν συμβεβηκότων οὐκ ἔστι ταὐτὸν ἀνθρώπῳ λευκῷ εἶναι καὶ ἄνθρωπος λευκός, ἐπειδὴ τὰ συμβεβηκότα τῶν οὐσιῶν διάφορα ὑπάρχουσι καὶ παντελῶς ἐξηλλαγμένα. εἶτα ἐπειδὴ ἀνωτέρω ἄλλοις ἐχρήσατο παραδείγμασιν εἰπὼν λευκῷ ἀνθρώπῳ εἶναι καὶ λευκὸς ἄνθρωπος, ἐνταῦθά φησι Σωκράτης καὶ Σωκράτει εἶναι. φησὶν οὖν ὅτι οὐδὲν διαφέρει τὸ κεχρῆσθαι διαφόροις παραδείγμασιν· οὔτε γὰρ * * * τὰ παραδείγματα. διό φησιν οὐδὲν γὰρ διαφέρει οὔτε ἐξ ὧν ἐρωτηθείη ἄν τις οὔτε ἐξ ὧν λύων ἐπιτύχοι, τουτέστιν οὔτε τὸ ἐρωτῆσαι, ἐὰν χρήσαιτό τις διαφόροις παραδείγμασιν ἐρωτώμενος, οὐδὲν βλάπτει τὸν λόγον, μόνον ἵνα συμφωνῶσι τῇ φύσει τῶν παραδειγμάτων. εἶτά φησιν ὅτι πῶς μὲν οὖν f. 278r

3 ἕν ἐστι scripsi: ἔνεστι libri 6 οὔτε—ἕν lemmatis nota distinguunt libri
8 γὰρ addidi 11 οὐσία scripsi: οὐσίας libri 16 καθ' αὑτὰ] καθ' αὑτῶν D dubius A 31 lacunam indicavi: sententia tale aliquid postulat οὔτε γὰρ δι' ὧν ἐλέγχουσι ταὐτὰ τὰ παραδείγματα

τὸ τί ἦν εἶναι ταὐτὸν καὶ πῶς οὐ ταὐτὸν ἑκάστῳ, εἴρηται, ὅτι ἐπὶ μὲν τῶν ἁπλῶν ταὐτό ἐστιν, ἐπὶ δὲ τῶν συνθέτων διάφορον.

p. 1032a12 Τῶν δὲ γινομένων τὰ μὲν φύσει γίνονται, τὰ δὲ τέχνῃ.

Καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, σκοπὸν ἔχει διαλεχθῆναι περὶ τῆς ἀύλου καὶ κυρίως οὐσίας. ἐπεὶ δὲ ἡ αἰσθητὴ φανερά ἐστι μᾶλλον, πρότερον διαλέγεται περὶ αὐτῶν. αὗται δὲ πᾶσαι ἢ ὑπὸ φύσεως γίνονται ἢ ὑπὸ τέχνης ἢ ἀπὸ τοῦ αὐτομάτου. φησὶν οὖν ὅτι τῶν γινομένων τὰ μὲν φύσει γίνονται, τὰ δὲ τέχνῃ, τὰ δὲ ἀπὸ τοῦ αὐτομάτου. πάντα δὲ τὰ γινόμενα ἔχουσι καὶ ποιητικὸν αἴτιον καὶ ὑλικὸν καὶ εἰδικόν. διὰ μὲν γὰρ τὸ ὑπό τινος τὸ ποιητικόν, διὰ δὲ τὸ ἔκ τινος τὸ ὑλικόν, διὰ δὲ τὸ τί τὸ εἰδικὸν ἐδήλωσε. διὸ καὶ ἐπήγαγε λέγων τὸ δὲ τί λέγω καθ' ἑκάστην κατηγορίαν· ἡ γὰρ οὐσία ἐστὶ τὸ γινόμενον, οἷον ἄνθρωπος ἢ ἀβάκιον, ἢ ποσὸν μέγεθος, τουτέστιν αὔξησις, ἢ ποιόν, καθ' ὃ φαμεν ὅτι γέγονε λευκόν. αἱ τοίνυν γενέσεις, φησίν, αἱ φυσικαὶ αὗταί εἰσιν, ὧν ἡ γένεσίς ἐστιν ἐκ φύσεως. τὸ γὰρ σπέρμα καὶ τὸ καταμήνιον δημιουργούμενον ὑπὸ τῆς φύσεως οὕτω παράγεται, καὶ γίνεται ἄνθρωπος. τὸ δὲ ἐξ οὗ γίνεται, ἣν λέγομεν ὕλην· τὸ δὲ ὑφ' οὗ τῶν φύσει ὄντων· τὸ δὲ τί φυσικὰ ὑπάρχουσι τὰ ὑπὸ φύσεως γινόμενα εἴδη, οἷον ἄνθρωπος ἢ φυτὸν ἤ τι ἄλλο τῶν τοιούτων, ἅτινα εἴδη κυρίως μάλιστα λέγομεν εἶναι οὐσίας· ἕκαστον γὰρ τῶν πραγμάτων κατὰ τὸ εἶδος τὸ ἑαυτοῦ χαρακτηρίζεται. ἅπαντα δέ, φησί, τὰ γινόμενα εἴτε ὑπὸ φύσεως εἴτε ὑπὸ τέχνης ἔχουσιν ὕλην· δυνατὸν γὰρ καὶ γενέσθαι ἄνθρωπον καὶ μὴ γενέσθαι, καὶ πάλιν τὸν οἶκον ὡσαύτως, τὸ δὲ δυνάμει τοῦτο ὕλη ἐστίν· ὥστε πάντα τὰ γινόμενα ἔχουσιν ὕλην. φησὶν οὖν ὅτι ἐπὶ τῶν φυσικῶν πραγμάτων καὶ τὸ ὑλικὸν αἴτιον καὶ τὸ ποιητικὸν καὶ τὸ εἰδικὸν φύσει ἐστί. τὸ γὰρ γινόμενον ἔχει φύσιν τὴν f.278v φροντίζουσαν αὐτοῦ, οἷον τὸ φυτὸν καὶ τὸ ζῷον, καὶ ὑφ' οὗ ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ἡ ὁμοειδὴς τῷ ποιοῦντι· αὕτη δέ ἐστιν ἐν ἄλλῳ, οἷον, εἰ τύχοι, ἐν τῷ πατρί· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. οὕτως μὲν οὖν, φησί, γίνεται τὰ γινόμενα διὰ τὴν φύσιν, αἱ δὲ ἄλλαι γενέσεις οὐ κυρίως λέγονται εἶναι γενέσεις, ἀλλὰ μᾶλλον ποιήσεις. ἐπειδὴ δὲ τὸ γεννᾶν ἐπὶ μόνης φύσεως λέγεται, εἰκότως καὶ γένεσις ἐπ' αὐτῶν. ἐπὶ δὲ τῶν ἄλλων οὐ λέγεται τὸ γεννᾶν· οὐ γὰρ λέγεται γεννᾶν ὁ οἰκοδόμος τὸν οἶκον, ἀλλὰ ποιεῖν αὐτὸν λέγεται. πάλιν τοίνυν αἱ ποιήσεις ἢ ἀπὸ τέχνης ὑπάρχουσιν, ὥσπερ ὑγίεια ἀπὸ ἰατρικῆς, ἢ ἀπὸ δυνάμεως, ὥσπερ λέγομεν ὅτι ἀπὸ τοῦ θερμοῦ γέγονεν ὁ ἱδρώς, ἢ διανοίας, ὅτι χειμῶνος γέγονεν ἡ ναυμαχία. τούτων δέ φησί τινα γίνεσθαι καὶ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης παραπλησίως, ὥσπερ καὶ ἐν τοῖς ὑπὸ φύσεως γινομένοις, ὡς ἡνίκα ἐλέγο-

---

6 ἐπεὶ scripsi: ἐπὶ libri 8 ἀπὸ scripsi: ὑπὸ libri 13 ἢ γὰρ scripsi: ἡ γὰρ libri 18 ὑφ' οὗ Aristoteles: ἀφ' οὗ libri τὸ δὲ τί Aristoteles: ὅτι libri 37 φησί scripsi: φασί libri

μεν ὅτι ὁ λίθος ὁ κατελθὼν καὶ γενόμενος ἐπιτήδειος πρὸς καθέδραν ἐκ ταὐτομάτου γέγονεν, ὑπὸ φύσεως μὲν ἐνεχθεὶς ἐπὶ τὸ κάτω, οὐ διὰ τοῦτο δὲ ἐνεχθείς. διὰ τὸ γενέσθαι αὐτὸν ἐπιτήδειον πρὸς καθέδραν· ἀλλὰ τοῦτο ἐκ ταὐτομάτου γέγονε. καὶ πάλιν ὁ δεῖνα ὀρύττων περιέτυχε θησαυρῷ κατὰ τύχην· οὐ γὰρ διὰ τοῦτο ὤρυττεν. οὕτως οὖν, φησί, γίνεται καὶ ἐν τοῖς κατὰ τέχνην· πολλάκις γὰρ τοῦ ἰατροῦ μὴ ὑγιάσαντος τρῦψις ἐγένετο τῶν ποδῶν τοῦ κάμνοντος, καὶ ἐντεῦθεν θερμότης ἐκινήθη, καὶ ἔδρασεν εἰς τὰ ἐνοχλοῦντα αἴτια καὶ ἔπαυσε τὴν νόσον, τῆς τρίψεως μὴ γεγονυίας διὰ τοῦτο. καὶ ἐπὶ τῆς φύσεως οὖν γίνονται, φησίν, ἔνια καὶ ἐκ σπέρματος, ὥσπερ ἄνθρωποι καὶ ἵπποι, καὶ ἄνευ σπέρματος, ὥσπερ σκώληκες καὶ πάντα τὰ ὑπὸ σήψεως γινόμενα, καὶ πόαι ὑπὸ τῆς καθόλου φύσεως, ὥσπερ αἱ βοτάναι. περὶ μὲν οὖν τούτων, φησίν, ὕστερον ἐροῦμεν· προϊὼν δὲ ἐρεῖ πολλὰ περὶ αὐτῶν. f. 279r

p. 1032a32 Ἀπὸ τέχνης δὲ γίνεται, ὅσων τὸ εἶδος ἐν τῇ ψυχῇ.

Φησὶν ὅτι τῶν γινομένων ὑπὸ τέχνης τὰ εἴδη ἐν τῷ τεχνίτῃ ὑπάρχουσιν. ἔχων γὰρ τὸ εἶδος τοῦ ἀβακίου ἐν ἑαυτῷ ὁ τέκτων, οὕτως ποιεῖ τὸ ἀβάκιον· ὁμοίως δὲ καὶ ὁ οἰκοδόμος τοῦ οἴκου, καὶ ὁ ἰατρὸς τῆς ὑγείας. ὅτι συμμετρία ἐστὶν ὁμοιομερῶν καὶ ὀργανικῶν. εἶδος δὲ λέγω τὸ τί ἦν εἶναι ἑκάστου, τουτέστιν αὐτὸ τὸ ἄυλον εἶδος, ἐξ οὗ καὶ τὸ ἔνυλον χαρακτηρίζεται· καὶ οἱ ὁρισμοὶ γὰρ κατὰ τὰ εἴδη λαμβάνονται. εἶτα ἵνα μήτις εἴποι πρὸς αὐτὸν ὅτι τί οὖν καὶ τοῦ ἐναντίου οὐκ ἔστιν ὁ ἰατρός, οἷον τῆς νόσου, φησὶν ὅτι καὶ τῶν ἐναντίων τρόπον τινὰ τὸ αὐτό ἐστιν εἶδος· τῆς γὰρ στερήσεώς ἐστιν οὐσία ἡ ἀντικειμένη οὐσία, οἷον ὑγεία νόσου· κατὰ γὰρ τὴν ἀπουσίαν τῆς ὑγείας δηλοῦται ἡ νόσος, ἡ δὲ ὑγεία ἐστὶν ὁ λόγος αὐτὸς ὁ ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ. γίνεται δὲ ὑγεία ἐκ νόσου τοῦτον τὸν τρόπον· ἐπειδὴ τόδε ἐστὶν ἡ ὑγεία, ἡ ὁμαλότης τοῦ σώματος, εἰ τύχοι, ἀνάγκη ἐστίν. εἰ μέλλει ὑγιάζεσθαι τὸ ζῷον, τοδὶ ὑπάρξαι, οἷον ὁμαλότητα, ἵνα μὴ ᾖ ἀνωμαλία τῶν χυμῶν. εἰ δὲ τοῦτο, δεῖ θερμότητος πρὸς τὸ ὁμαλῦναι· καὶ οὕτως ἀεὶ νοεῖ ὁ ἰατρός, ἕως ἂν ἀγάγῃ εἰς τοῦτο, ὅπερ αὐτὸς δύναται ἔσχατον ποιεῖν, τουτέστι τὸ φάρμακον, ὃ μέλλει διδόναι καὶ ὑγιάζειν. εἶτα λοιπὸν ἡ ἀπὸ τοῦ ἰατροῦ κίνησις ἐπὶ τὸν κάμνοντα ποίησις καλεῖται. ὥστε συμβαίνει τρόπον τινὰ τὴν ὑγείαν ἐξ ὑγείας γίνεσθαι † τοῦ * * * καὶ τοῦ λόγου τοῦ ἐνόλου τοῦ ἐν τῷ κάμνοντι· ὁμοίως δὲ καὶ τὴν οἰκίαν ἐξ οἰκίας γίνεσθαι ⟨τῆς⟩ ἄνευ ὕλης τὴν ἔχουσαν ὕλην· ὁ γὰρ λόγος τῆς οἰκίας ἄυλος ὑπάρχει ὁ ἐν τῷ οἰκοδόμῳ. ἡ γὰρ ἰατρική ἐστι καὶ ἡ οἰκοδομικὴ τὸ εἶδος τῆς ὑγείας καὶ τῆς οἰκίας. λέγω f. 279v

5 ὁ γὰρ D 21 ὁ om. D 33 τοῦ] ταὐτὸν, ut videtur, A; sequitur lacuna XX litterarum A, XIII litterarum D: fort. legendum τουτέστιν ἐκ τοῦ τί ἦν εἶναι 34 ἐνόλου—κάμνοντι] legendum ἀύλου τὸν ἔνυλον τὸν ἐν τῷ κάμνοντι 35 τῆς addidi τὴν ἔχουσαν Aristoteles: τῆς ἐχούσης libri

δή, φησίν, οὐσίαν ἄνευ ὕλης τὸ τί ἦν εἶναι, τουτέστι τὸν λόγον τῆς ὑγείας καὶ τῆς οἰκίας.

p. 1032b15 Τῶν δὲ γενέσεων καὶ κινήσεων.

Φησὶν ὅτι τῶν γενέσεων καὶ τῶν κινήσεων ἡ μὲν καλεῖται νόησις, ἡ δὲ ποίησις. ἡ μὲν ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ εἴδους (τουτέστιν ὁ λόγος ὁ ἐν τῷ ποιοῦντι) νόησις, ἡ δὲ ἀπὸ τοῦ τελευταίου τῆς νοήσεως ἀρχομένη ἀπὸ τοῦ τεχνίτου περὶ τὸ ὑποκείμενον ποίησις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων γίνεται, οἷον εἰ ⟨ὑγιανεῖ⟩, δεῖ ὁμαλυνθῆναι. τί οὖν ἐστι τὸ ὁμαλυνθῆναι; τὸ γενέσθαι τρῖψιν, εἰ τύχοι. τοῦτο δέ ἐστιν, εἰ θερμανθήσεται· τοῦτο δέ ἐστι τοδί. ὑπάρχει δὲ τῷδι δυνάμει, τουτέστι τῷ φαρμάκῳ ὑπάρχει δυνάμει ἡ θερμότης· ἀρχόμενον γὰρ θερμαίνει. τοῦτ' οὖν ἐπ' αὐτῷ ἐστι τῷ βοηθήματι. τὸ οὖν ποιοῦν, ὅθεν ἄρχεται ἡ κίνησις τοῦ ὑγιαίνειν, ἂν μὲν ἀπὸ τέχνης γένηται, τὸ εἶδός ἐστι τὸ ἐν τῇ ψυχῇ (ἔχων γὰρ τὸν λόγον τῆς ὑγείας ὁ ἰατρὸς οὕτως ποιεῖ τὴν ὑγείαν)· ἐὰν δὲ ἀπὸ ταὐτομάτου γένηται ἡ ὑγεία, ἀπὸ τοῦ λόγου γίνεται, ἀφ' οὗ καὶ ὁ τεχνίτης ἄρχεται ποιεῖν, τουτέστιν ἀπὸ θερμότητος· γίνεται γὰρ τρῖψις, καὶ ἐντεῦθεν θερμότης ἐπανίσταται αὐτῇ καὶ κολάζει τὸ ψυχρὸν αἴτιον, εἰ τύχοι, τοιοῦτον ὄν. καὶ γίνεται ὁμαλότης. καὶ ἐντεῦθεν ἐπανάζευξις ἐπὶ τὸ κατὰ φύσιν. διό φησιν ὥσπερ καὶ ἐν τῷ ἰατρεύειν ἴσως ἀπὸ τοῦ θερμοῦ ἡ ἀρχή· τοῦτο δὲ ποιεῖ τῇ τρίψει.

p. 1032b26 Ἡ θερμότης τοίνυν.

* * * ἡ θερμότης * * * ὑγείας ἢ ἕπεται αὐτῇ τι τοιοῦτον, ὅ ἐστι μέρος τῆς ὑγείας. καὶ μέρος ἐστὶ τῆς ὑγείας θερμότης, αὐτὸ τὸ διαπεφοιτηκὸς διὰ τοῦ βάθους. ἐκμοχλεῦον ἄνευ τινὸς μηχανῆς τὰ νοσοποιὰ αἴτια· λέγει δὲ τὸ ἔμφυτον θερμόν. ἢ ἕπεται αὐτῇ τι τοιοῦτον, ὃ μέρος ἐστὶ τῆς ὑγείας, τῇ θερμότητι ἢ τῇ τέχνῃ, οἷον οἷς χρῶνται ἰατροὶ f. 280r ἀλείμμασιν. οἷον μαρκιάτῳ ἤ τινι ἄλλῳ τοιούτῳ. λοιπὸν συνεπιλαμβάνεται καὶ τὸ φυσικὸν θερμόν, καὶ οὕτω κολάζεται τὸ ἀτακτοῦν. ἢ διὰ πλειόνων γινόμενον τοῦτο. οἷον τῆς τέχνης τῆς χρωμένης ἀλείμμασι καὶ ἑτέροις βοηθήμασι διὰ τὴν ἀκοήθειαν τοῦ νοσήματος, καὶ λοιπὸν καὶ τῆς φύσεως συνεπιλαμβανομένης γίνεται βοήθεια. τοῦτο δέ, φησίν, ἐστὶν ἔσχατον τὸ ποιοῦν, ὅπερ ἐστὶ μέρος τῆς ὑγείας, καὶ τῆς οἰκίας λίθοι. ὥστε ἀδύνατόν

5 ποίησις] κύησις A[1] 6 δὲ om. D 8 ὑγιανεῖ ex Aristotele addidi 11 ἀρχόμενον γὰρ in lacuna A[2] 15 ἀπὸ τοῦ λόγου] fort. ἀπὸ τούτου 22 post τοίνυν lacuna XXIII litterarum A, XV litterarum D: fort. scriptum erat ἡ θερμότης τοίνυν ἡ ἐν τῷ σώματι: φησὶν ὅτι inter θερμότης et ἕπεται lacuna XII litterarum D: quae habet A praeter ὑγείας ἢ legi non possunt, sed nonnulla tamen distinguuntur, ex quibus conicias scriptum fuisse ἡ ἐν τῷ σώματι ἢ μέρος τῆς ὑγείας ἢ ἕπεται κτλ.
29 γινομένων D

τι γενέσθαι, εἰ μὴ προϋπάρχει τι ἕτερον, οἷον οἰκίαν, εἰ μή εἰσι λίθοι, καὶ ἐπὶ τῆς ὑγείας. ὡς γάρ φασιν οἱ φυσικοί, οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ⟨ὄντος⟩· δεῖ γὰρ προϋπάρχειν τὴν ὕλην ἐπὶ τῶν γινομένων. εἶτα λοιπὸν ζητεῖ ὅτι ὥσπερ ἡ ὕλη μέρος γίνεται τοῦ συνθέτου, ἆρά γε οὕτως καὶ τὸ εἶδος. καὶ αὐτὸς μὲν οὕτως ἐάσας τὴν ἀπορίαν ἀπαλλάττεται· ἡμεῖς δέ φαμεν ὅτι ὥσπερ ἡ ὕλη μεριστή ἐστιν εἰς χεῖρας καὶ πόδας καὶ τὰ ἄλλα, οὕτω δὴ καὶ τὸ ἀτελὲς εἶδος μεριστόν ἐστι καὶ γίνεται· πρότερον γάρ, εἰ τύχοι, σφαιροῦται ἡ κεφαλή, εἶτα γίνεται καρδία, ὁμοίως δὲ καὶ τὰ ἄλλα μόρια. τὸ μέντοι γε τέλειον εἶδος οὔτε μεριστόν ἐστιν οὔτε γίνεται, εἴ γε ἀχρόνως ἐπιγίνεται· τὸ γὰρ ζῷον λογικὸν θνητὸν ἀδιαίρετον ὑπάρχει· διὸ ἁρμόζει καὶ μεγάλῳ ἀνθρώπῳ καὶ μικρῷ.

p. 1032b31 Ὅτι μὲν οὖν τι μέρος ἐξ ἀνάγκης ὑπάρξει, φανερόν.

Φησὶν ὅτι πᾶσα ἀνάγκη μέρος τι ἐξ ἀνάγκης ὑπάρχειν ἐν τῷ ἑπομένῳ ὡς μέρος αὐτοῦ λαμβανόμενον. ἡ γὰρ ὕλη μέρος ἐστίν· ἐνυπάρχει γὰρ αὐτῇ κατὰ φύσιν προσδέξασθαι τὸ εἶδος. ἆρα οὖν, φησί, καὶ τὸ εἶδος γίνεται; τὰ γὰρ σύνθετα καὶ κατὰ τὴν ὕλην προσαγορεύεται καὶ κατὰ τὸ εἶδος, οἷον, ὥς φησιν αὐτός, τοὺς χαλκοῦς κύκλους λέγομεν καὶ τὴν ὕλην ὅτι χαλκός ἐστι * * * τοιόνδε ἔχων σχῆμα· καὶ τοῦτό ἐστι τὸ γένος τοῦ f.280v χαλκοῦ κύκλου, εἰς ὃ πρῶτον τίθεται, τουτέστι τὸ εἶδος τοῦ σχήματος τοῦ κύκλου εἶδος αὐτοῦ ἐστιν. ὁ δὲ χαλκοῦς κύκλος ἔχει ἐν τῷ ὁρισμῷ καὶ τὴν ὕλην, καθάπερ εἰρήκαμεν.

p. 1033a5 Ἐξ οὗ δὴ γίνεται ὡς ὕλης ἔνια, λέγεται, ὅταν γένηται, οὐκ ἐκεῖνο ἀλλ' ἐκείνου.

Ἐπειδὴ διχῶς λέγονται γίνεσθαι τὰ γινόμενα, τὰ μὲν ὡς ἐξ ὕλης, ἡνίκα φαμὲν ὅτι ὁ χαλκὸς γέγονεν ἀνδριὰς ἢ οἱ λίθοι γεγόνασιν οἰκία, τὰ δὲ ὡς ἐκ τῆς οἰκείας στερήσεως, ἡνίκα φαμὲν ὅτι ἐξ ἀμούσου γέγονε μουσικὸς καὶ ἐκ νοσοῦντος ὑγιαίνων, καὶ τὰ μὲν ἐκ στερήσεως γινόμενα λέγονται ἐκ τοῦδε γίνεσθαι, οἷον ἐκ κάμνοντος ὑγιαίνων, τὰ δὲ ἐκ τῆς ὕλης τόδε, καθό φαμεν τόδε γέγονεν ὁ χαλκός, πολλάκις δὲ καὶ ἐπὶ τῶν γινομένων ἐκ τῆς οἰκείας στερήσεως φέρομεν τὸ τόδε λέγοντες ὅτι ὁ ἄμουσος γέγονε μουσικός, πάλιν ἐπὶ τῶν ἐξ ὕλης γινομένων φέρομεν τὸ ἐκ τοῦδε λέγοντες ὅτι ἐξ οὐκ ἀνδριάντος γέγονεν ἀνδριάς, ἐνταῦθα οὖν ζητεῖ τοιοῦτόν τι λέγων ὅτι εἰ πᾶν τὸ γινόμενον καὶ ἐξ ὕλης γίνεται καὶ ἐκ τῆς οἰκείας στερήσεως, ὡς λέγομεν ὅτι ἐκ κάμνοντος γέγονεν ὑγιής, τὰ δὲ ἐκ τῆς ὕλης,

---

3 ὄντος addidi 16 προσαγορεύεται scripsi: προαπορεῖ D: προαπορρεῖ A^2 τὸ om. D 18 lacunam indicavi: addendum καὶ τὸ εἶδος ὅτι 23 ἐκείνου A^2D: ἐκείνινον Aristoteles 25 ὁ χαλκὸς—φαμὲν ὅτι (26) om. D 28 γενέσθαι D 33 εἰ πᾶν] εἰπεῖν D 34 ὡς] fort. πῶς ὑγιής—γέγονεν (p. 401,1) om. D

ἡνίκα φαμὲν ὅτι ὁ χαλκὸς γέγονεν ἀνδριάς. φησὶν οὖν ἐπιλυόμενος ταύτην τὴν ἀπορίαν ὅτι τῶν στερήσεων αἱ μὲν ὡρισμέναι ὑπάρχουσιν. αἱ δὲ ἀόριστοι. ἐφ' ὧν οὖν, φησίν, ὑπάρχουσιν ὡρισμέναι αἱ στερήσεις, ἐκ τῶν στερήσεων λέγονται γενέσθαι τὰ γινόμενα· ἐφ' ὧν δὲ ἀόριστοι ὑπάρχουσιν
5 αἱ στερήσεις, οὐκέτι ἐξ αὐτῶν λέγονται γίνεσθαι διὰ τὸ ἄδηλον καὶ τὸ ἄστατον, ἀλλ' ἐκ τῆς ὕλης. οἷον ὥρισται ἐπὶ τοῦ ὑγιαίνοντος (πάντως γὰρ ὁ ὑγιαίνων ἐκ τοῦ κάμνοντος γίνεται), καὶ διὰ τοῦτο λέγομεν ὅτι ἐκ κάμνοντος ὑγιὴς γέγονε· καὶ πάλιν ἐξ ἀμούσου μουσικός. ἐπὶ μέντοι γε τοῦ ἀνδριάντος οὐχ ὥρισται ἀλλ' ἀόριστον ὑπάρχει τὸ τοιοῦτον· δύναται γὰρ
10 τὸ οὐκ ἀνδριὰς καὶ σφαῖρα εἶναι καὶ τρίγωνον καὶ ξύλον καὶ ἄλλα μυρία. f. 281r τὸ μέντοι γε μὴ ὑγιαῖνον νοσοῦν ἐστιν, ἐπὶ τοῦ δεκτικοῦ δηλονότι. διὰ ταύτην οὖν τὴν αἰτίαν ἐπὶ τούτων ἐκ τῆς ὕλης καὶ οὐκ ἐκ τῆς στερήσεως λέγεται γίνεσθαι τὸ γινόμενον. κυρίως γὰρ ἀεὶ ἐκ τῆς στερήσεως γίνεται τὸ γινόμενον, καὶ εἰκότως· εἰ γὰρ ἡ γένεσις μεταβολὴ ὑπάρχει, δῆλον
15 ὅτι, ἡνίκα γίνεται, οὐ μένει μετὰ τὴν γένεσιν, ὅπερ πρώην ὑπῆρχεν· ὁ δὲ χαλκὸς μένει χαλκὸς καὶ μετὰ τὴν γένεσιν, ὡς καὶ πρὸ τῆς γενέσεως. ὥστε κυρίως δεῖ λέγειν ὅτι ἐξ οὐκ ἀνδριάντος γέγονεν ἀνδριάς· οὐ μένει γὰρ ὁ οὐκ ἀνδριάς, ὁ μέντοι γε χαλκὸς μένει.

Ταῦτα εἰρηκὼς ζητεῖ ἐφεξῆς καὶ δείκνυσιν ὅτι οὐκ ἔστι τῶν εἰδῶν
20 γένεσις αὐτῶν καθ' αὑτά· οὔτε δέ, φησί, γίνονται τὰ εἴδη αὐτὰ καθ' αὑτά, ὥσπερ οὐδὲ ἡ ὕλη γίνεται. ἵνα δὲ τοῦτο δείξῃ, λαμβάνει τρία ἀξιώματα, ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, καὶ ὅτι πᾶν τὸ γινόμενον ἔχει καὶ ποιητικὸν αἴτιον καὶ ὑλικόν, καὶ σύνθετόν ἐστιν. οὔτε γὰρ ἡ φύσις οὔτε ἡ τέχνη ποιεῖ τὴν ὕλην, ἐπεί, φησί, δεηθήσεται ἑτέρας
25 ὕλης καὶ τοῦτο ἐπ' ἄπειρον. εἰ οὖν * * * εἶδος γίνεται αὐτὸ καθ' αὑτό, ἐπειδὴ πᾶν τὸ γινόμενον ἐξ ὕλης γίνεται (τοῦτο γὰρ ἐν τοῖς ἀξιώμασι λαμβάνει), εἰ γίνεται τὸ εἶδος, δῆλον ὅτι ἐξ ὑποκειμένου τινὸς γίνεται. τοῦτο δὲ τὸ ὑποκείμενον ἢ ἀνείδεόν ἐστιν ἢ εἰδοπεποιημένον. ἀλλ' εἰ μὲν ὑποθώμεθα αὐτὸ ἀνείδεον εἶναι, ἔσται τὸ εἶδος σύνθετον καὶ οὐχ ἁπλοῦν, καὶ
30 τὸ μέν τι αὐτοῦ ὕλη, τὸ δὲ εἶδος, ὅπερ ἄτοπον· τὰ γὰρ εἴδη αὐτὰ καθ' αὑτὰ ἁπλᾶ ὑπάρχουσιν. εἰ δὲ ὑποθώμεθα ἐκεῖνο τὸ ὑποκείμενον εἰδοπεποιημένον εἶναι, ἐρωτῶ περὶ αὐτοῦ, ἆρα ἀεὶ ὑπάρχει εἰδοπεποιημένον ἢ οὔ. εἰ μὲν ἀεί, ἔχω τὸ ζητούμενον ὅτι οὐ γίνεται τὸ εἶδος, εἰ δὲ μὴ ἀεὶ ἀλλὰ γέγονε, δῆλον ὅτι ἔκ τινος ὑποκειμένου γέγονε, καὶ πάλιν περὶ f. 281v
35 τούτου ἐρωτῶ εἰ εἰδοπεποιημένον ἐστὶν ἢ ἀνείδεον, καὶ οὕτως ἐπ' ἄπειρον ὁ λόγος προελεύσεται καὶ οὐκ ἔσται γένεσις. ὥστε οὐ γίνεται τὸ εἶδος αὐτὸ καθ' αὑτό, ἀλλὰ τὸ σύνθετόν ἐστι τὸ γινόμενον, τῆς ὕλης τοιῶσδε μορφουμένης καὶ δεχομένης ἀχρόνως τὸ τέλειον εἶδος.

2 ὡρισμέναι in lacuna om. D 11 δεικτικοῦ D 12 τούτου D 21 οὔτε libri 25 inter εἰ οὖν et αὐτὸ lacuna X litterarum D: εἶδος γίνεται A, quae autem antecedunt (XI fere litterae) legi non possunt: fort. addendum λέγομεν ὅτι τὸ 31 ἁπλᾶ om. D 35 εἰ addidi 36 καὶ οὐκ ἔσται om. D

p. 1033ᵃ5 Ἐξ οὗ δὲ ὡς ὕλης γίνεται ἔνια, λέγεται.

Φησὶν ὅτι ἔνια τῶν γινομένων ἐξ ὕλης, ἡνίκα γίνονται, οὐ λέγονται ἐκεῖνο ἀλλ' ἐξ ἐκείνου, τουτέστι παραγώγως. ὁ γὰρ ἀνδριὰς ἡνίκα γένηται ἐκ λίθου, λίθινος λέγεται· πρὸ γὰρ τῆς γενέσεως λίθος ὑπῆρχε· πῶς οὖν δύναται καὶ προσλαβὼν ἕτερον σχῆμα ὁμοίως λέγεσθαι. ἢ ὥστε ἀνείδεος πρὸ τοῦ σχήματος ὑπῆρχεν. ὁ μέντοι γε ἄνθρωπος ὑγιαίνων οὐ λέγεται ἐκεῖνος ἐξ οὗ γέγονε παραγώγως, οἷον κάμνων, ἀλλὰ κεκμηκώς. αἴτιον δὲ ὅτι τὰ γινόμενα πάντα γίνεται ἐκ τῆς οἰκείας στερήσεως καὶ ἐξ ὑποκειμένου, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται· ⟨ὑγιὴς⟩ γὰρ γίνεται καὶ ὁ ἄνθρωπος καὶ ὁ κάμνων. μᾶλλον δὲ λέγεται ἐκ κάμνοντος ὑγιὴς γενέσθαι ἤπερ ἐξ ἀνθρώπου· διὸ ὑγιὴς κάμνων οὐ λέγεται (μετέβαλεν γὰρ κατ' ἐκεῖνο), ἄνθρωπος δὲ λέγεται, καὶ ἄνθρωπος ὑγιής. ὧν δέ ἐστιν ἡ στέρησις ἄδηλος καὶ ἀνώνυμος (ἐπὶ γὰρ τῆς ὑγείας ἔχει ὄνομα τὴν νόσον, ἐπὶ δὲ τοῦ ἀνδριάντος οὐκ ἔχει ὡρισμένον ὄνομα, ὥσπερ ἐν χαλκῷ σχῆμα ὁποιονοῦν· ἄδηλον γὰρ ὁ οὐκ ἀνδριάς τί ἐστι, πότερον τρίγωνον ἢ σφαῖρα ἤ τι ἄλλο τοιοῦτον. ὁμοίως καὶ ἡνίκα φαμὲν ὅτι ἐξ οὐκ οἰκίας γέγονεν οἰκία· ἄδηλον γὰρ ἡ στέρησις πότερον πλίνθοι ἢ ξύλα ἤ τι τοιοῦτον ἄλλο) ἐπὶ γοῦν τῶν ἐχόντων ἄδηλον τὴν στέρησιν ἐξ ὕλης δοκοῦσι γίνεσθαι τὰ γινόμενα, ὥσπερ ἐπὶ τῶν ἐχόντων ὡρισμένην τὴν στέρησιν ἐξ αὐτῆς τῆς στερήσεως. διό φησιν ὡς ἐκεῖ ἐκ κάμνοντος. ἀμέλει τοι ὡς ἐπὶ τῶν ἐχόντων ὡρισμένην τὴν στέρησιν οὐ λέγομεν τὴν ὀνομασίαν τῆς ὕλης (οὐ γὰρ λέγεται f. 282r ὁ ὑγιὴς ἄνθρωπος νοσερός), οὕτως καὶ ἐπὶ τῶν ἐξ ὕλης λεγομένων γίνεσθαι οὐ καλοῦνται μετὰ τὴν γένεσιν τῷ τῆς ὕλης ὀνόματι· οὐ γὰρ λέγεται ὁ ἀνδριὰς ξύλον, ἀλλ' εἰ ἄρα, ξύλινος, καὶ χαλκοῦς ἀλλ' οὐ χαλκός· ὁμοίως καὶ λίθινος, ἀλλ' οὐ λίθος. τῷ γὰρ ὄντι, φησίν, οὐδὲ ὡς ἐκ ξύλου γίνεται ἀνδριὰς ἢ ἐκ πλίνθων οἰκία, ἐάν τις ἀκριβῶς σκοπῇ, οὐκ ἂν εἴποι· τὸ γὰρ γινόμενον ἐν μεταβολῇ θεωρεῖται, ὥστε οὐχ ὑπομένει τὸ αὐτὸ ὑπάρχον καὶ πρὸ τῆς γενέσεως καὶ μετὰ τὴν γένεσιν. ὥστε οὐ δεῖ λέγειν ὅτι ὁ χαλκὸς γέγονεν ἀνδριάς· οὐδὲν γὰρ ἧττον καὶ μετὰ τὴν γένεσιν ἔμεινε χαλκός, οὐ μέντοι γε οὐκ ἀνδριάς.

p. 1033ᵃ24 Ἐπεὶ δὲ ὑπό τινος γίνεται τὸ γινόμενον.

Ἐντεῦθεν ⟨βούλεται⟩ δεῖξαι ὅτι οὐ γίνεται τὸ εἶδος αὐτὸ καθ' αὑτό. φησὶν οὖν ὅτι πᾶν τὸ γινόμενον ὑπό τινος ποιητικοῦ γίνεται αἰτίου καὶ ἐκ

---

5 ὥστε] fort. ὅτι 7 fort. ἐκεῖνο 9 εἴρηται et γὰρ γίνεται VII fere litteris interpositis, quae legi non possunt A: horum loco ἔσται post lacunam V litterarum D: ὑγιὴς ex Aristotele addidi 13 ἀνωνύμως D 20 ὡς (ante ἐκεῖ) Aristoteles: ὥστε libri 21 ὕλης] immo στερήσεως 22 νοσερός scripsi: νόσος libri 32 ἐντ (lacuna XII fere litterarum) δεῖξαι ὅτι A: ἐντεῦθεν δεῖξας ὥστε D

τινος, τουτέστιν ἐξ ὁλικοῦ αἰτίου (νῦν γὰρ τὸ ἔκ τινος τὸ ὁλικὸν αἴτιον δεῖ ἐκδέχεσθαι, οὐ τὴν στέρησιν), καὶ ὃ γίνεται, τουτέστι τὸ σύνθετον· διὸ ἑρμηνεύων τὸ καὶ σύνθετόν φησι τοῦτο δ' ἐστὶν ἢ σφαῖρα ἢ κύκλος. ὥσπερ τὸ ποιητικὸν αἴτιον, οἷον ὁ χαλκεύς, οὐ ποιεῖ τὸν χαλκόν, οὕτως οὐδὲ τὴν σφαῖραν, τουτέστι τὸ εἶδος αὐτὸ καθ' αὑτό, εἰ μὴ κατὰ συμβεβηκός, ἐπειδὴ συνέβη τὴν σφαῖραν χαλκῆν εἶναι, ἐκείνην δὲ ποιεῖ, τουτέστι τὸ σύνθετον. εἰ γὰρ ποιεῖ εἶδος, ἐπειδὴ πᾶν τὸ γινόμενον ἔκ τινος ὑποκειμένου γίνεται, δῆλον ὅτι καὶ τὸ εἶδος ἔκ τινος ὑποκειμένου ποιήσει. τὸν γὰρ χαλκὸν ποιῆσαι στρογγύλον τοῦτό ἐστι τὸ σύνθετον· οὐ μέντοι δυνατόν ἐστιν αὐτὸ καθ' αὑτὸ ποιῆσαι τὸ στρογγύλον ἢ τὴν σφαῖραν, ἀλλ' ἕτερόν τι, οἷον τὸ εἶδος ἐν ἄλλῳ, φημὶ δὴ τὸ σύνθετον. εἰ γὰρ ποιεῖ τὸ εἶδος αὐτὸ καθ' αὑτό, ἔκ τινος ὑποκειμένου ποιήσει αὐτὸ ὡς γινόμενον, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρή- f. 282v
καμεν, οἷον τὴν χαλκῆν σφαῖραν. τοῦτο δὲ ἐξ ὑποκειμένου, ὅπερ ἐστὶ χαλκός, τοδὶ ποιεῖ, τουτέστι τὸ εἶδος, ὅ ἐστιν ἡ σφαῖρα. εἰ γάρ τι * * * ἐξ ὑποκειμένου γίνεται, καὶ οὕτως εἰς ἄπειρον αἱ γενέσεις βαδιοῦνται, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. ὥστε δῆλον ἡμῖν ἐντεῦθεν γέγονεν ὅτι οὐ γίνεται τὸ εἶδος, οὔτε δέ ἐστιν αὐτοῦ γένεσις, οὔτε ⟨ὁ⟩ ὁρισμὸς αὐτοῦ, ὡς γίνεσθαι αὐτὸ καθ' αὑτό. τοῦτο γάρ ἐστι τὸ γινόμενον, ὅπερ ἐν ἄλλῳ γίνεται ἢ ὑπὸ τέχνης ἢ ὑπὸ φύσεως ἢ δυνάμεως, οἷον θερμοῦ. τὸ οὖν σύνθετον ποιεῖ· ποιεῖ γὰρ ἐκ χαλκοῦ καὶ σφαίρας. εἰ γὰρ πάλιν ποιεῖ τὸ εἶδος, καὶ τοῦτό ἐστι χαλκῆ σφαῖρα, χαλκὸς δὴ τοιῶσδε σχηματισθεὶς ὑπὸ τεχνίτου. εἰ οὖν ἔστιν ὅλως, φησί, τοῦ εἴδους τῆς σφαίρας ἡ γένεσις, ἐξ ὑποκειμένου τινὸς γίνεται. καὶ εἰ μὲν τὸ ὑποκείμενον εἰδοπεποιημένον ἐστίν, εἰσαχθήσεται τὸ ἄπειρον, ὡς ἀνωτέρω ἔδειξεν· εἰ δὲ ἀνείδεον, διαιρετὸν ἔσται τὸ εἶδος, καὶ ἔσται ὅπερ ἐστὶ τὸ μὲν αὐτοῦ ὕλη, τὸ δὲ εἶδος, καὶ ἔσται οὕτω σύνθετον τὸ ἁπλοῦν εἶδος, ὅπερ ἐστὶν ἄτοπον. εἰ τοίνυν τοῦτό ἐστι σφαῖρα, ὅταν αἱ ἀπὸ τοῦ κέντρου αὐτῆς πρὸς τὴν ἐπιφάνειαν προσπίπτουσαι ἴσαι ὑπάρχωσι * * * τὸ δὲ εἶδος ἐντιθέμενον ἐν τῇ ὕλῃ τοιῶσδε σχηματίζει αὐτήν, καὶ ἔστι τὸ σύνθετον τὸ γινόμενον. φανερὸν οὖν ἡμῖν γέγονεν ὅτι τὸ μὲν ὡς εἶδος ἡ οὐσία λεγόμενον οὐ γίνεται, ἡ δὲ σύνθεσίς ἐστιν ἡ γινομένη, ὡς εἴρηται ἐπὶ τῆς χαλκῆς σφαίρας, καὶ ὅτι, φησίν, ἐν ἅπαντι τῷ γινομένῳ ὕλη ἐστί, καὶ ἔστι τὸ μὲν ὕλη, τὸ δὲ εἶδος.

---

1 τουτέστιν—ἔκ τινος om. D 6 τὴν σφαῖραν χαλκῆν εἶναι] res postulat τὴν χαλκῆν σφαῖραν σφαῖραν εἶναι 9 γὰρ om. D χαλκὸν Aristoteles: χαλκοῦν libri 9. 10 τουτέστι libri 12 καθ' αὑτὸ om. D 14 τοῦτο δὲ οὕτως ὅτι ἐκ Aristoteles 16 lacunam indicavi: fort. addendum γίγνεται 19 ὁ addidi αὐτὸ scripsi: αὐτοῦ libri 21 alterum ποιεῖ om. D 21. 22 γὰρ—σφαίρας in margine add. A^2 23 τεχνήτου libri 30 lacunam indicavi: addendum tale aliquid τούτου τὸ μὲν ἔσται ὑποκείμενον ἐν ᾧ τὸ εἶδος ἔσται 31 σχηματίζῃ A^1 32 ἡ οὐσία λεγόμενον Aristoteles: ἡ οὐσία λεγομένη libri 33 ἡ δὲ—εἴρηται om. D

p. 1033b19. Πότερον οὖν ἔστι τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους.

Δείξας ὅτι οὐ γίνεται τὸ εἶδος αὐτὸ καθ' αὑτό, ἐντεῦθέν φησιν ὅτι οὐ δυνατόν ἐστιν αὐτὰ καθ' αὑτὰ ὑπάρχειν ἐνεργείᾳ τὰ εἴδη· εἰ γὰρ τοῦτο, φησίν, ὑποθώμεθα, ἀναιρεθήσεται ἡ γένεσις. ἡ γὰρ γένεσις ἐκ τοῦ δυνάμει ὄντος προέρχεται εἰς ἐνέργειαν. τῶν οὖν μήπω παρόντων δυνα- f. 283r
μένων δὲ γενέσθαι ἐστὶν ἡ γένεσις. εἰ οὖν ὑποθώμεθα προὔφεστάναι κατ' ἐνέργειαν τὰ εἴδη καὶ οὕτως γίνεσθαι ἐν τῇ ὕλῃ, τῷ ὄντι οὕτως οὐκ ἔσται γένεσις. ἀλλὰ μῖξις. εἶτα ταῦτα εἰρηκὼς λοιπὸν ἀποτείνεται καὶ πρὸς τοὺς τὰς ἰδέας πρεσβεύοντας, καί φησιν ὅτι οὐ δυνατὸν λέγειν ἡμᾶς ἰδέας κεχωρισμένας αὐτὰς καθ' αὑτάς, καὶ οὕτως ἐξ αὐτῶν γεννᾶσθαι τὰ ἔνυλα εἴδη. ὁρῶμεν γὰρ ὅτι καὶ ἐπὶ τῶν τεχνητῶν καὶ ἐπὶ τῶν φυσικῶν πάντα τὰ γινόμενα ἐξ ὁμοειδῶν γίνονται. καὶ ὁ τέκτων γὰρ ἔνυλος ὑπάρχει καὶ τὸ ἀβάκιον τὸ γινόμενον ἐξ αὐτοῦ· ὁμοίως δὲ καὶ τὸ εἶδος ἔχει αὐτοῦ τοῦ ἀβακίου· ὁμοειδὲς γάρ ἐστι τῷ γινομένῳ ἀβακίῳ. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν φυσικῶν ὁμοειδές ἐστι τὸ ποιοῦν τῷ γινομένῳ, εἴ γε ἄνθρωπος ἄνθρωπον γεννᾷ, καὶ ἔχουσα ἡ φύσις τῆς μητρὸς τοὺς λόγους ἐν ἑαυτῇ τοῦ βρέφους ὁμοειδεῖς ὄντας τῷ βρέφει οὕτως γεννᾷ. τὰς δὲ ἰδέας, ἃς ἐκεῖνοι ὑποτίθενται, οὐ δυνατὸν ὁμοειδεῖς εἶναι, ἐπεὶ οὕτως ἔσονται ἔνυλοι, καὶ γένη αὐτῶν ἕτερα, καὶ τοῦτο ἐπ' ἄπειρον· καὶ περὶ ἐκείνων γὰρ ὁ αὐτὸς ἔσται λόγος· ὥστε ἀνομοειδεῖς. εἰ οὖν ἀνομοειδεῖς ὑπάρχουσιν, ἔδει τὰ ἐνταῦθα μὴ γίνεσθαι ἂν ὁμοειδῆ, τουτέστι μὴ ἐξ ἀνθρώπου ἄνθρωπον ὡς ἐπὶ τὸ πλεῖστον, εἴ γε πρὸς τὰ ἀνομοειδῆ ἀποβλέπουσα ἡ φύσις οὕτω παράγει ἅπερ παράγει. καὶ ὅτι ἀναιρεῖται καὶ γένεσις, ὅπερ ἐστὶ παρὰ τὰ προφανῆ καὶ ἐν ποσὶ κείμενα. εἰ δέ τις εἴποι περὶ τῆς ἡμιόνου ὅτι 'καὶ πῶς ὁρῶμεν ἐξ ἵππου τικτόμενον ἡμίονον: ἄντικρυς γὰρ ἀνομοειδὲς ἐγένετο ἐξ ὁμοειδοῦς', ἐροῦμεν πρὸς αὐτὸν ὅτι καὶ ἐπ' ἐκείνων ἐστί τι ὁμοειδές, ἀλλ' ἀνώνυμον καὶ λανθάνον ἡμᾶς· ἔχουσα γὰρ ἡ ἵππος ἐν ἑαυτῇ λόγον ἡμιόνου καὶ εἶδος οὕτως αὐτὸ γεννᾷ· καὶ καλεῖ τὸ εἶδος τοῦτο τὸ κοινὸν Ἀριστοτέλης οἷον ἡμίονον. ὥστε ἔστι μὲν κοινὸν εἶδος, ὡς f. 283v
προείρηται, ἀλλ' ἀνώνυμον. ταῦτα εἰρηκὼς ζητεῖ ἐφεξῆς, διὰ τί τῶν γινομένων τὰ μὲν καὶ ἀπὸ τέχνης γίνεται καὶ ἀπὸ τύχης, τὰ δὲ ἀπὸ τέχνης μόνης. τὰ γὰρ φυσικὰ γίνεται καὶ ἀπὸ τέχνης καὶ ἐκ ταὐτομάτου, οἷον ἡ ὑγεία γίνεται καὶ ἀπὸ τοῦ ἰατροῦ [γίνεται] καὶ ἐκ ταὐτομάτου, τῆς φύσεως ῥωσθείσης ἢ ὑπὸ πόσεως ἢ ὑπὸ περιπάτου ἢ ὑπὸ τοῦ ἐμφύτου θερμοῦ, εἰ κατέπαυσε τὴν ψυχρὰν δυσκρασίαν. ἐπὶ μέντοι τῶν τεχνητῶν ὑπὸ μόνης τέχνης γίνεται, οὐκέτι δὲ καὶ ἐκ ταὐτομάτου· ἡ γὰρ οἰκία οὐ γίνε-

1 Πότερον κτλ.] lemma in libris non distinguitur 3 οὐ om. D 8 καὶ om. D 12 τεχνιτῶν D post φυσικῶν add. ὅτι A²D 24 καὶ ὅτι] fort. καὶ ἔτι 30 ἔστι μὲν κοινὸν εἶδος] μὲν sequente lacuna XII litterarum D 34 alterum γίνεται delevi 35 πόσεως A: τῆς γενέσεως D 36 εἰ scripsi: καὶ libri

ται ἐκ ταὐτομάτου, ἀλλ' ὑπὸ μόνης τέχνης. οὕτως ἀπορήσας αἰτιᾶται τὴν ὕλην, καί φησιν ὅτι ἐπὶ τῶν φυσικῶν ἡ ὕλη κινεῖται καὶ οἰκοθεν. εἴ γε ἀρχή ἐστι κινήσεως καὶ ἠρεμίας. ἡ γὰρ φύσις ἡ. ὑγιαστικὴ κινεῖται καὶ ὑπὸ οἴνου καὶ ὑπὸ περιπάτου καὶ ὑπὸ τοῦ θερμοῦ καὶ ὑπὸ τοῦ ἀνι-
5 άτρου ἔστιν ὅτε κατὰ συμβεβηκός, καὶ οὕτω ποιεῖ τὴν ὑγίειαν. οἱ μέντοι γε λίθοι ἐπὶ τὸ κάτω κινηθῆναι δύνανται, τεχνικῶς δὲ συντεθῆναι οὐ δύνανται· οὔτε γὰρ ἔλαχον τοῦτο ὑπὸ φύσεως, ὥσπερ οὐδὲ τὰ φυσικὰ σώματα πάντα ἐκ ταὐτομάτου δύνανται ὀρχεῖσθαι, ἐπεὶ μηδ' ἔλαχον τοῦτο ὑπὸ φύσεως, εἰ μὴ ἄρα ὑπὸ τέχνης.

10 p. 1033b19 Πότερον οὖν ἔστι τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους.

Φησὶν ἆρά γε αὐτὰ καθ' αὑτὰ ὑπάρχουσιν ἐνεργείᾳ τὰ εἴδη, οἷον τὸ τῆς σφαίρας εἶδος παρὰ τὰς σφαίρας τὰς ἐνταῦθα ἢ τὸ τῆς οἰκίας εἶδος παρὰ τὰς καθ' ἕκαστον οἰκίας, ἢ οὐδέποτε γίνεται γένεσις, καθάπερ ἐν
15 τῇ θεωρίᾳ εἴρηται, εἰ οὕτως τὸ εἶδος χωριστὸν κατ' ἐνέργειαν, καὶ μὴ τοιόνδε τι ἐδήλου, καθάπερ ἐν Κατηγορίαις εἴρητο τὸ 'περὶ οὐσίαν δὲ τὸ ποιὸν ἀφορίζει'. τὸ οὖν εἶδος οὐκ ἔστιν αὐτὸ καθ' αὑτὸ ὡρισμένον ὑπάρχον, ἀλλὰ ποιεῖ καὶ ὁ τεχνίτης καὶ ἡ φύσις, καὶ γεννᾷ ἐκ τῆς ὕλης f. 284r
τοῦ χαλκοῦ τὴν σφαῖραν, καὶ ἐκ τοῦ σπέρματος ἢ τῶν τεσσάρων στοι-
20 χείων τὸ ἔμβρυον· καὶ ἡνίκα γεννηθῇ, ἔστι δῆλον τοιόνδε, τουτέστιν ἔνυλον εἶδος ὡς ἐν ὕλῃ θεωρούμενον. ὡς γὰρ ἐν τοῖς καθ' ἕκαστα, ὅπερ λέγει ἅπαν τόδε, Καλλίας ἢ Σωκράτης τὰ καθ' ἕκαστα. ὥσπερ καὶ ἥδε ἡ σφαῖρα ἡ χαλκῆ καθ' ἕκαστά ἐστι· τὸ δὲ ἁπλῶς εἶδος θεωρεῖται ἐν τῇ ἁπλῶς ὕλῃ. ὥσπερ ὁ ἄνθρωπος καὶ τὸ ζῷον. καὶ ὥσπερ ἡ ἁπλῶς σφαῖρα
25 ἡ χαλκῆ. τὰ μὲν γὰρ αὐτῶν ἐπὶ τῶν καθ' ἕκαστα ἐθεώρησε, τὰ δὲ ἁπλῶς ἐπὶ τῆς ὕλης.

p. 1033b26 Φανερὸν ἄρα ὅτι ἡ τῶν εἰδῶν αἰτία, ὡς εἰώθασι λέγειν τινές.

Ἐντεῦθεν, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, πρὸς τοὺς τὰς ἰδέας πρεσβεύον-
30 τας ἀποτείνεται. φησὶ γὰρ ὅτι, εἴπερ εἰσὶν αἱ ἰδέαι, καθάπερ τινὲς λέγουσιν, ἕτεραι οὖσαι καὶ ἀνομοειδεῖς παρὰ τὰ καθ' ἕκαστα εἴδη, οὐδὲν ἡμῖν συμβαλοῦνται πρός τε τὰς γενέσεις καὶ τὰς οὐσίας, ὡς ἐν τῇ θεωρίᾳ ἐδείξαμεν, καὶ διὰ τοῦτο, ἅτε δὴ μηδὲν συμβαλλόμεναι, οὐδὲ ὑπάρχουσιν οὐσίαι καθ' αὑτάς· δεῖ γὰρ τὰ γεννῶντα ὁμοειδῆ ὑπάρχειν. καὶ

1 ante οὕτως lacuna V litterarum A 2 κινῆται D 13 τὰ ἐνταῦθα libri 15 εἰ οὕτως scripsi: ἢ οὔτε AD: γρ. εἰ οὐτ in margine A² 16 ἐν Κατηγορίαις] c. 5 p. 3b20 17 ἀφανίζει D 20 γεννηθῇ Aristoteles: γενηθῇ libri 25 ἐθεώρησε] exspectes θεωρεῖται vel ἔστι θεωρῆσαι 29 τοὺς om. D 33 συμβαλλόμεναι scripsi: συμβαλλόμενα libri

ἐπί τινων τὸ τοιοῦτο φανερὸν ὑπάρχει, ὅτι τὸ γεννῶν τοιοῦτόν ἐστιν οἷον τὸ γεννώμενον κατ' εἶδος· οὐ γὰρ κατ' ἀριθμόν· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ἐὰν μή τι παρὰ φύσιν γένηται, οἷον ἡνίκα ἵππος τίκτει ἡμίονον. ἰστέον δὲ ὅτι καὶ ἐπὶ τούτων τῶν δοκούντων ἀνομοειδῶν ἔστι τις κοινότης τοῦ εἴδους, ἀλλ' ἀνώνυμος ὑπάρχει * * * εἴρηται ἀμφότερα ὅ τε ἵππος καὶ ὁ ὄνος οἷον ἡμίονος, αὕτη ἡ κοινότης αὐτῶν. ὥστε δῆλον ἡμῖν ἐντεῦθεν ὅτι οὐ δεῖ παραδείγματα καὶ ἰδέας ὑποτίθεσθαι. μάλιστα δὲ συνεβάλλοντο αὗται εἰς τὰς συνθέτους οὐσίας· εἰ τοίνυν ἐπὶ τούτων ἄχρηστοι ἐδείχθησαν. δῆλον ὅτι οὐδαμῶς ἡμῖν συμβάλλονται. ἱκανὸν τοίνυν ἐστὶ f. 284v τὸ γεννῶν. τουτέστι τὸ ποιητικὸν αἴτιον, ἐνθεῖναι τὸ εἶδος ἐν τῇ ὕλῃ, τουτέστι τὸ αἴτιον τοῦ εἴδους. ἡνίκα ⟨δὲ⟩ κατ' ἐνέργειαν τὸ εἶδος τοῦτο ἐν τῇ ὕλῃ, τότε ἤδη ἅπαν τὸ τοιόνδε εἶδος ⟨ἐν⟩ ταῖσδε ταῖς σαρξὶ καὶ τοῖς ὀστέοις θεωρεῖται Καλλίας καὶ Σωκράτης. καὶ κατὰ μὲν τὴν ὕλην διαφέρουσι τό τε γεννῶν καὶ τὸ γεννώμενον (ἄλλη γὰρ καὶ ἄλλη), κατὰ δὲ τὸ εἶδος οὐ διαφέρουσιν, ἐπειδή, ὡς αὐτός φησιν, ἄτομόν ἐστι τὸ εἶδος, τουτέστιν ἓν καὶ ταὐτόν· ἓν γάρ ἐστι τὸ εἶδος καὶ τὸ Σωκράτους καὶ τὸ Σωφρονίσκου. καὶ βουλόμενος δηλῶσαι τὸ ἓν ἐπήγαγε τὸ ἄτομον, τὴν ταυτότητα τοῦ εἴδους ἐνδεικνύμενος.

p. 1034a9 Ἀπορήσειε δ' ἄν τις, διὰ τί τὰ μὲν γίνεται καὶ τέχνῃ καὶ ἀπὸ ταὐτομάτου.

Ἐντεῦθεν ζητεῖ δι' ἣν αἰτίαν τινὰ μὲν τῶν πραγμάτων γίνεται καὶ ἀπὸ τέχνης καὶ ἀπὸ ταὐτομάτου, ὥσπερ ὑγεία, τινὰ δὲ οὔ, ὥσπερ τὰ τεχνητά. καί φησιν ὅτι αἴτιον δὲ τῶν μὲν ἡ ὕλη ἡ ἄρχουσα τῆς γενέσεως (ἄρχει γὰρ ἡ ὕλη, ἅτε δὴ δεχομένη τὰ εἴδη καὶ ὑποκειμένη τῇ γενέσει) ἐν τῷ ποιεῖν καὶ γίνεσθαί τι τῶν ἀπὸ τέχνης, ἐν ᾗ ὕλῃ καὶ ἐν τῇ φύσει καὶ ἐν τῇ τεχνητῇ ὑπάρχει τι μέρος τοῦ πράγματος· ἡ μὲν τῶν ὑλῶν τούτων τοιαύτη ἐστὶν ὥστε δύνασθαι κινεῖσθαι αὐτὴ ὑφ' ἑαυτῆς, ὥσπερ ἡ φύσις, ἡ δὲ οὐ δύναται κινεῖσθαι ὑφ' ἑαυτῆς, ὥσπερ ἡ τεχνητή· καὶ ταύτης οὖν τῆς ὕλης ἡ μὲν δύναται τοιῶσδε κινεῖσθαι, οἷον ἐπανα-στῆναι καὶ περιγενέσθαι τῶν νοσοποιῶν αἰτίων· ἡ δὲ τεχνητὴ δύναμιν ⟨οὐκ⟩ ἔχει κατὰ σύνθεσιν κινηθῆναι αὐτὴ ὑφ' ἑαυτῆς. καὶ ἐπὶ τῶν φυσικῶν τῶν δυναμένων ὑφ' ἑαυτῶν κινεῖσθαι οὐ δυνατὸν κατὰ πάντα ἐκ ταὐτομάτου κινεῖσθαι, οἷον ὀρχεῖσθαι, εἰ μὴ ἄρα ὑπὸ τέχνης. οἱ οὖν λίθοι ἀδυνάτως ἔχουσι κατὰ σύνθεσιν κινηθῆναι. εἰ μὴ ὑπὸ τέχνης, τὴν κάτω μέντοι φορὰν καὶ ὑφ' ἑαυτῶν κινοῦνται· ὁμοίως καὶ τὸ πῦρ τὴν f. 285r

---

1 γεννῶν Aristoteles: γεννᾶν libri 5 post ὑπάρχει lacuna VI litterarum A: fort. legendum δι' ὃ γάρ 6 ὁ ὄνος scripsi: ἡμίονος libri 7 δὲ] fort. δ' ἂν 11 post αἴτιον fort. addendum εἶναι δὲ addidi 12 ἐν addidi 23 post δὲ IV litterae erasae A: ὅτι add. Aristoteles ἡ (post ὕλη) om. D 24 ἄρχει γὰρ A: ἀρχὴ D 25 ᾗ ἡ ὕλη D 27. 28 αὐτὴ ὑφ' ἑαυτῆς ὥσπερ] sic A, ut videtur: in lacuna om. D 29 ἡ μὲν Aristoteles: ἡ et II litterae, quae legi non possunt A: ἐπὶ D 31 οὐκ addidi

ἄνω. διὰ γοῦν τοῦτο, τουτέστι διὰ τὴν ὕλην, τὰ μὲν οὐ κινοῦνται ἐκ ταὐτομάτου ἄνευ τέχνης, τὰ δὲ καὶ χωρὶς τέχνης· ὑπὸ γὰρ τούτων κινοῦνται τὰ φυσικὰ σώματα τῶν οὐκ ἐχόντων τέχνην. οἷον ὑπὸ πόσεως οἴνου, ὑπὸ περιπάτου· γίνονται γὰρ καὶ ἐντεῦθεν κατὰ συμβεβηκὸς ὑγεῖαι.
5 δύνανται οὖν κινεῖσθαι τὰ φυσικὰ καὶ ὑπὸ ἄλλων μὴ ἐχόντων τέχνην. οἷον ὑπὸ ἀνιάτρου πολλοὶ γεγόνασιν ὑγιεῖς, ἢ ὑπὸ μέρους, τουτέστι τοῦ ἐμφύτου θερμοῦ πλεονάσαντος καὶ κατασβέσαντος τὴν ψυχρὰν δυσκρασίαν.

p. 1034a21 Δῆλον δὲ ἐκ τῶν εἰρημένων καὶ ὅτι τρόπον τινὰ ἅπαντα γίνεται ἐξ ὁμωνύμου.

10 Δείξας διὰ τῶν προλαβόντων ὅτι τὸ ποιητικὸν αἴτιον ὁμοειδές ἐστι τῷ γινομένῳ, φησὶν ὅτι δῆλόν ἐστιν ἐκ τῶν εἰρημένων ὅτι τρόπον τινὰ ἅπαντα γίνεται ἐξ ὁμωνύμων, τουτέστιν ἐξ ὁμοειδῶν· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, καὶ ἵππος ἵππον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν τεχνητῶν· τὸ γὰρ εἶδος τοῦ οἴκου τὸ ἐν τῇ φαντασίᾳ τοῦ οἰκοδόμου ὁμοειδές ἐστι τῷ
15 γινομένῳ. ὥστε καὶ ἐπὶ τῶν τεχνητῶν καὶ ἐπὶ τῶν φυσικῶν ὁμοειδές ἐστι τὸ γινόμενον τῷ ποιοῦντι. καὶ ἐπὶ τῶν ἐκ σήψεως γὰρ γινομένων ὁ αὐτός ἐστι λόγος· ἔστι γάρ τις λόγος φυσικὸς ὁ ποιῶν ἐκ τῆς σήψεως τὸ ζωύφιον, ἔχων ἐν ἑαυτῷ τὸ εἶδος τοῦ ζωυφίου. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ὑγείας· ὁ γὰρ ἰατρὸς ἐποίησε τὴν τρῖψιν, ἡ δὲ τρῖψις τὴν θερμότητα,
20 ἡ δὲ θερμότης ποιεῖ τὴν ὑγείαν. καὶ ἡ αὐτὴ γίνεται ὑγεία. καὶ πάλιν οὕτω τὸ ποιητικὸν αἴτιον ὁμοειδὲς γίνεται τῷ γινομένῳ, ἤγουν μέρος γίνεται τῆς ὑγείας συγκιρναμένη τῇ ἐν τῷ σώματι θερμότητι καὶ αὔξουσα αὐτήν· καὶ οὕτως πάλιν μέρος τοῦ ποιητικοῦ μέρει τοῦ γινομένου γίνεται ὁμοειδές. ἢ γὰρ ὅλον γίνεται ἢ μέρος ὁμοειδὲς τὸ ποιοῦν τῷ γινομένῳ. καὶ πάλιν
25 ὡς πρὸς τὸν ἰατρὸν τὸν ποιήσαντα· ἔστι γὰρ καὶ ἡ τρῖψις κίνησις καὶ ἡ θερμότης κίνησίς τις, τὸ μέντοι γε ἐρύθημα τὸ ἐκ τῆς τρίψεως γινόμενον κατὰ συμβεβηκὸς ὑπάρχει. δείξας οὖν ὅτι πάντως ὁμοειδές ἐστι τὸ ποιοῦν τῷ γινομένῳ φησὶν ὅτι καὶ τῶν συλλογισμῶν οἱ ἀποδεικτικοὶ ἐξ εἰδῶν ἔχουσι τὴν γένεσιν· ἀρχαὶ γὰρ τῶν ἀποδείξεων οἱ ὁρισμοί, οἱ δ' ὁρισμοὶ
30 τὰ εἴδη τῶν πραγμάτων ὑπάρχουσιν. ὥστε καὶ ἐνταῦθα τὸ εἶδός ἐστι τὸ γεννῶν, ὥσπερ καὶ ἐκεῖσε τὸ ὁμοειδὲς γεννᾷ τὸ ὁμοειδές.

Ταῦτα εἰρηκὼς ζητεῖ ἐφεξῆς, καί φησιν ὅτι ὥσπερ ἐπὶ τῶν τεχνητῶν ὁρῶμεν καὶ ἀπὸ τέχνης γινόμενόν τι καὶ ἐκ ταὐτομάτου. οὕτω καὶ ἐπὶ τῶν φυσικῶν. τὴν γὰρ ὑγείαν ποιεῖ καὶ ὁ ἰατρός, γίνεται δὲ καὶ ἐκ
35 ταὐτομάτου, ἐπειδὴ πέφυκεν ἡ φύσις ἡ ἐν τῷ σώματι ἐπανίστασθαι καὶ βοηθεῖν ἑαυτῇ ἀναστομοῦσα, εἰ τύχοι, ἀγγεῖον καὶ ῥύσιν αἵματος φέρουσα ἢ τάραξιν γαστρὸς ποιοῦσα καὶ ὅσα ἄλλα τοιαῦτα γίνεται τοῦ σώματος φυσικῶς κινουμένου. οὕτως οὖν, φησίν, ὁρῶμεν καὶ ἐπὶ τῶν φυσικῶν

7 δυσκρασίαν scripsi, cf. p. 404,36: θερμασίαν libri 15 καὶ ἐπὶ τῶν φυσικῶν superscr. A² 20 ἡ αὐτὴ libri 36 ἑαυτῇ] ἡ αὐτῇ D 37 τάραξιν] an κάθαρσιν?

πραγμάτων. τὰ μὲν γὰρ γίνεται ὑπὸ σπέρματος καὶ ποιητικοῦ αἰτίου· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, καὶ ἵππος ἵππον· τὰ δὲ οὐκ ἐκ σπέρματος ἀλλ' ἐκ σήψεως, ὥσπερ γίνονται μέλιτται ἐκ τοῦ τεθνεῶτος ταύρου σηπομένου, καὶ πάλιν τινὰ ζῷα ἐξ ἄλλης σήψεως. καὶ ὥς φασιν, ὄφεις γίνον-
5 ται ἐκ τῶν ἀνθρωπείων σωμάτων. ὡς δέ φησιν ὁ Ἀλέξανδρος, ἐάν τις λάβοι τὴν ὤκιμον βοτάνην καὶ ὑποθείη αὐτὴν πλίνθῳ καθυγρασμένῃ, πάντως σκορπίοι τίκτονται ἐν ἐκείνῳ τῷ τόπῳ. πάλιν οὖν καὶ ἐνταῦθα τὴν ὕλην αἰτιᾶται καί φησιν ὅτι ὃν λόγον ἔχει τὸ σπέρμα τοῦ κεφῆνος πρὸς τὸ ποιεῖν μέλιτταν, τὸν αὐτὸν ἔχει λόγον καὶ ὁ λόγος ὁ φυσικὸς ὁ ἐν τῷ
10 σώματι τοῦ τεθνεῶτος ταύρου· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐκ σήψεως γινομένων. ὅπου οὖν εὑρεθῇ ἡ ὕλη δύναμιν ἔχουσα τοῦ κινεῖσθαι ὑφ' ἑαυτῆς καὶ ἄνευ σπέρματος, γίνεται τὰ ζῷα, δυνάμενα καὶ ὑπὸ f. 286r
σπέρματος γίνεσθαι, ὡς ἐπὶ τῶν μελιττῶν εἰρήκαμεν· γίνεται γὰρ καὶ ὑπὸ τεθνεῶτος βοὸς καὶ ὑπὸ τοῦ σπέρματος τοῦ κηφῆνος· ὅπου δὲ οὐκ ἔστι
15 λόγος δημιουργικός, ἄνευ σπέρματος ἀδύνατόν ἐστι γενέσθαι. ταῦτα εἰρηκώς φησιν ἐφεξῆς ὅτι ὥσπερ ἐδείξαμεν ὅτι οὐ δυνατόν ἐστι τὸ εἶδος γίνεσθαι αὐτὸ καθ' αὐτό, οὕτω οὐδὲ τὸ ποσὸν οὐδὲ τὸ ποιὸν οὐδὲ ἄλλην τινὰ κατηγορίαν. ἐν γὰρ τῇ ὕλῃ τὸ εἶναι ἔχουσι· πλὴν διαφέρουσιν αἱ οὐσίαι τῶν συμβεβηκότων, ὅτι αἱ μὲν οὐσίαι ἐξ ἄλλων οὐσιῶν γίνονται προϋφε-
20 στηκυιῶν· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ (ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος, ὅτι ἐπὶ τῶν ἐκ σήψεως γινομένων ποία οὐσία προϋφέστηκε; καὶ αἰτιᾶται τὴν τῶν οὐρανίων κίνησιν. ἡμεῖς δὲ λέγομεν ἐπιβάλλοντες, ὅτι κἀκεῖνα ἐξ ἑτέρας οὐσίας γίνονται, οἷον τῶν σεσηπότων σωμάτων)· τὰ μέντοι γε συμβεβηκότα οὐ γίνεται ἐξ ἄλλων προϋφεστώτων συμβεβηκότων. οὐ γάρ ἐστι
25 τὸ λευκὸν αὐτὸ καθ' αὑτὸ καὶ ποιεῖ ἄλλο λευκόν· γίνεται γὰρ λευκὸν καὶ ἐξ οὐ λευκοῦ, οἷον ὑπὸ τοιᾶσδε κράσεως καὶ κινήσεως· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων χρωμάτων.

4 τινὰ scripsi: τὰ libri φασιν scripsi: φησιν libri 5 ὡς δέ φησιν ὁ Ἀλέξανδρος] in iis, quae nunc exstant, Alexandri in Metaph. commentariis neque haec leguntur, neque ea, quae infra v. 20 sqq. dicit; cf. Freudenthalii *Die durch Averroes erhaltenen Fragmente Alexanders zur Metaphysik des Aristoteles* p. 48 6 αὐτὴν om. D
16 ante ὅτι ὥσπερ, quod initium est paginae, in margine admodum laeso haec ab alia manu adscripta habet A: * * * ἀλλ' ὡς ὑλικά, ὥστε * *χες (fort. εἴχες) ἐκ τοῦ Ἀλεξάνδρου ἀληθεστάτην ἀποδοσ (fort. ἀπόδοσιν · ἀλλ' εἴτε (fort. εἴθε) ἐκεῖνος παρῆν ὃν ὑμεῖς ἀπωλέσατε. οἱ γὰρ ῥᾳθυμότερον περὶ τὰ μαθήματα διακείμεν⟨οι⟩ ὡς σαφεστέρ⟨ως⟩ τῷ δοκεῖν (fort. τὸ δοκοῦν) καὶ ἐπιτομωτέρως (A ἐπιτομωτέροις) ὑμῖν ἐπιδραμόντας (fort. ἐπιδραμόντες) ὑμᾶς μὴ ἐποίησαν διαφλαχθῆναι. Ἀλέξανδρος δὲ καὶ Σιμπλίκιος καὶ τὸ λοιπὸν ἅπαν χρυσοῦν ἐκεῖνο τῶν ἐξηγησαμένων ταύτην τὴν πραγματείαν γένος δὴν ἡνσθα (fort. ἠφάνισται), ὥστε συνέβη καταλελεῖφθαι τὸ σιδηροῦν, οὐ μὲν οὖν ἀλλὰ τὸ ἀχυρῶδες ὑμῶν φῦλον: eadem fere in textu habet D. pertinere autem videntur haec verba ab iracundo aliquo lectore addita ad ea quae infra v. 22 leguntur ἡμεῖς δὲ λέγομεν κτλ., et initio sic explenda esse ταῦτα δὲ (τὰ σεσηπότα σώματα) οὐχ ὡς ποιητικὰ αἴτια προϋφέστηκεν ἀλλ' ὡς ὑλικά κτλ. (αιτια προυφεστη etiam nunc in margine A distingui potest) 17 οὕτω scripsi: οὔτε libri 20 ὁ Ἀλέξανδρος] v. n. ad v. 5 26 οὐ scripsi: οὖ A: ἄλλου D
27 χρημάτων D

Ταῦτα εἰπὼν ζητεῖ ἐφεξῆς δι' ἣν αἰτίαν ἐπὶ τινῶν μὲν ὁρισμῶν ἐμπεριέχεται καὶ τὰ μέρη τῶν ὁριστῶν, ἐπὶ τινῶν δὲ οὐκ ἐμπεριέχονται. f.286v ἐπὶ μὲν γὰρ τῶν συλλαβῶν ἐμπεριέχονται· ὁριζόμενοι γὰρ τὴν συλλαβήν φαμεν 'σύλληψις συμφώνων μετὰ φωνηέντων'· ἐν τούτοις γὰρ εἶναι λέγεται ἡ συλλαβή· ὁριζόμενοι δὲ τὸν κύκλον οὐκέτι συμπεριλαμβάνομεν τὰ μέρη, τουτέστι τὰ τμήματα αὐτοῦ· οὐ γάρ φαμεν ὅτι ὁ ἐκ δύο ἡμικυκλίων συνιστάμενος, ἀλλὰ λέγομεν σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. καὶ ἐπιλυόμενος τὴν ἀπορίαν ταύτην φησὶν ὅτι τῶν ὁρισμῶν οἱ μὲν τοῦ εἴδους μόνον ὑπάρχουσιν, οἱ δὲ τῆς ὕλης, οἱ δὲ τοῦ συναμφοτέρου. ἐπειδὴ οὖν ἔστι καὶ ἔνυλα εἴδη καὶ ἄυλα, ἡνίκα μὲν τὰ ἔνυλα εἴδη ὁριζόμεθα, πάντως συμπεριλαμβάνομεν καὶ τὰ μέρη καὶ τὴν ὕλην, ὥσπερ τὸ σιμὸν ὁριζόμεθα, ἐπειδὴ οὐδέποτε δυνατὸν χωρίζεσθαι τῆς ὕλης· ἐν γὰρ ῥινὶ τὸ εἶναι ἔχει. τὸ μέντοι γε κοῖλον δυνατόν ἐστι καὶ ἄνευ ὕλης ὁρίσασθαι, ἐπειδὴ οὐκ ἀφωρισμένως θεωρεῖται ἔν τινι ὑποκειμένῳ· καὶ ἐν χαλκῷ γὰρ θεωρεῖται καὶ ἐν ὄρει καὶ ἐν ἄλλοις πλείστοις. οὕτως οὖν φημι καὶ περὶ τοῦ κύκλου, ἐπειδή ἐστι καὶ ἔνυλος κύκλος καὶ ἄυλος. ἡνίκα μὲν οὖν ὁριζόμεθα τὸν ἄυλον κύκλον, οὐδὲν κεχρήμεθα τοῖς μέρεσι, διὸ καὶ ὁ ὁρισμὸς τοῦ εἴδους ἐφαρμόττει καὶ παντὶ κύκλῳ καὶ μεγίστῳ καὶ ἐλάττονι ὡς ἀύλοις· ἡνίκα δὲ τὸν ἔνυλον ὁριζόμεθα, προσλαμβάνομεν καὶ τὰ μέρη αὐτοῦ. ἐπεὶ δὲ οὐκ ἐφρόντισεν ἡ συνήθεια θεῖναι ἄλλο μὲν ὄνομα τῷ ἀύλῳ κύκλῳ, ἄλλο δὲ τῷ ἐνύλῳ, ἀλλ' ἀμφότερα τῷ τοῦ κύκλου ὀνόματι προσηγόρευσεν. ἐντεῦθεν ἡ ἀπάτη γέγονεν ἐκ τῆς ὁμωνυμίας. † ἥσπερ ἐφρόντισε, καὶ τὸν μὲν ἁπλῶς ἐκάλεσεν ἄνθρωπον, τὸν δὲ κατὰ μέρος Σωκράτην Καλλίαν. πάλιν ζητεῖ δευτέραν ἀπορίαν τοιαύτην· ἆρά γε, φησί, τὰ μέρη πρότερα ὑπάρχουσι τοῦ ὅλου, ἢ τὸ ὅλον πρότερον τῶν μερῶν; καὶ δείκνυσιν ὅτι τὸ ὅλον· τοῦ γὰρ ὅλου ἀναιρουμένου ἀναιρεῖται τὸ f.287r μέρος, τουτέστιν ὁ δάκτυλος. τοῦ δὲ δακτύλου ἀναιρουμένου οὐκ ἀναιρεῖται τὸ ὅλον. καὶ πάλιν τῆς ὀρθῆς γωνίας ἀναιρουμένης ἀναιρεῖται καὶ ἡ ὀξεῖα. ἐπειδὴ εἰς τὸν ὁρισμὸν τῆς ὀξείας δεόμεθα τῆς ὀρθῆς, ὥστε ἀναιρουμένης τῆς ὀρθῆς ἀναιρεῖται καὶ ὁ ὁρισμὸς τῆς ὀξείας, καὶ διὰ τοῦτο καὶ ἡ ὀξεία· εἰς δὲ τὸν ὁρισμὸν τῆς ὀρθῆς οὐ δεόμεθα τῆς ὀξείας.

p. 1034a21 Δῆλον ἐκ τῶν εἰρημένων.

Δείξας ὅτι ὁμοειδές ἐστι τὸ γεννῶν τῷ γεννωμένῳ, φησὶν ὅτι δῆλον ἡμῖν γέγονεν ἐκ τῶν εἰρημένων καὶ ὅτι τρόπον τινὰ ἅπαντα γίνεται ἐξ ὁμωνύμων, τουτέστιν ἐκ συνωνύμων· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ταῦτα δὲ συνώνυμα. καλῶς δὲ προσέθηκε τὸ τρόπον τινά· οὐ γὰρ ἐπὶ πάν-

3 ἐμπεριέχονται — συλλαβήν om. D 4 γὰρ scripsi: δὲ libri 10 οὖν — ἐπειδὴ (14) om. D 17 οὐδὲν κεχρήμεθα scripsi: ἐγκεχρήμεθα libri 17. 18 ὁ ὁρισμὸς — κύκλῳ καὶ om. D 20 ἐπεὶ δὲ scripsi: ἐπειδὴ libri 22 ἥσπερ] res postulat ἐπὶ δὲ τοῦ ἀνθρώπου 25 πρότερα ἔχουσι D 34 εἰρημένων scripsi: legi non potest quod habet A: lacuna IV litterarum D

των εὐοδεῖ αὐτῷ ὁ λόγος, καὶ μάλιστα ἐπὶ τῶν τεχνητῶν καὶ τῶν ἐκ σήψεως. οὐ γὰρ τὸ εἶδος τοῦ ἀβακίου τὸ ἐν τῷ τέκτονι συνώνυμόν ἐστι τῷ γινομένῳ ἀβακίῳ· διὸ καὶ αὐτὸς ἐπήγαγεν ὥσπερ τὰ φύσει. ἢ ἐκ μέρους, φησίν, ὁμωνύμου, οἷον ἡ οἰκία γίνεται ἐξ οἰκίας, ἢ ὑπὸ νοῦ· ἡ γὰρ τέχνη τὸ εἶδος ποιεῖ τῆς οἰκίας, τοῦ νοῦ ἔχοντος ἐν ἑαυτῷ τὸ εἶδος τοῦ ἀβακίου. καλῶς οὖν εἶπε καὶ τὸ ἐκ μέρους· οὔτε γὰρ ἡ οἰκία ἡ αὐτή ἐστι τῷ τέκτονι, ὥσπερ ὁ Ἕκτωρ τῷ Πριάμῳ, ἀλλὰ κατὰ μέρος, κατὰ τὴν φαντασίαν, ἣν ἔχει ἐν ἑαυτῷ ὁ τέκτων τοῦ ἀβακίου. ἢ ἐκ μέρους γινομένου ὁμωνύμου ἔχοντός τι μέρος, ἐὰν μὴ κατὰ συμβεβηκὸς γένηται. τὸ γὰρ θερμὸν τὸ ἐκ τῆς τρίψεως γινόμενον μέρος ἐστὶ τοῦ ποιήσαντος καὶ ποιεῖ μέρος τι θερμασίας ἐν τῷ σώματι ὅμοιον ἑαυτῷ, αὔξον αὐτὴν ἢ καὶ γεννῶν διαφορουμένης τῆς ὑγρότητος. τὸ γοῦν μέρος, τουτέστι ἡ ἐγγενομένη θερμότης, μέρος τι ὁμώνυμον ἐποίησεν ἑαυτῇ, τουτέστι θερμότητα ἢ ὑγείαν, ἧς ὑγείας μέρος γίνεται. καλῶς δὲ εἶπεν ἐὰν μὴ κατὰ συμβεβηκὸς γένηται· ἐκ γὰρ τῆς τρίψεως πολλάκις γίνεται f.287v ἐρύθημα ἐκ τῆς θερμότητος, οὐ μέντοι γε ὑγίεια, τὸ δὲ ἐρύθημα κατὰ συμβεβηκός· διὰ τοῦτο γὰρ ⟨οὐ⟩ γέγονεν ἡ τρῖψις.

p. 1034a25 Τὸ γὰρ αἴτιον τοῦ ποιεῖν πρῶτον καθ' αὑτό.

Ὃ λέγει τοῦτό ἐστι· τὸ ὑπὸ τοῦ καθ' αὑτὸ ποιοῦντος πρῶτον ἐγγινόμενον τῷ ποιουμένῳ μέρος γίνεται τῆς ὑγείας. ἡ γὰρ θερμότης ἐγγινομένη ἐκ τῆς τρίψεως, θερμότητα ἐποίησεν ἐν τῷ σώματι, τουτέστιν ηὔξησε τὴν ἐν τῷ σώματι θερμότητα· αὐξηθεῖσα δὲ ἡ θερμότης ὑγεία ἐστίν· ὁμαλότης γὰρ γέγονεν. ἡ οὖν γενομένη θερμότης ἐν τῷ σώματι ἢ ὑγεία ἐστὶν ἢ μέρος τῆς ὑγείας, ἢ ἀκολουθεῖ αὐτῇ μέρος τι τῆς ὑγείας, ὡς μέρους δυσκρασίας ἐκμοχλευθέντος, ἢ τελεία γίνεται ὑγεία· διὸ καὶ λέγεται ποιεῖν ὑγείαν ἡ θερμότης ἐκ τῆς τρίψεως, ὅτι ἐκεῖνο τὸ θερμὸν ποιεῖ τὴν ὑγείαν, ᾧ θερμῷ ἠκολούθησεν ἡ ὁμαλότης. ὥσπερ οὖν ἐν τοῖς συλλογισμοῖς ἀρχαὶ ὑπάρχουσιν οἱ ὁρισμοὶ καὶ τὰ εἴδη, οὕτως καὶ ἐπὶ τῶν γινομένων αἱ ἀρχαὶ τὰ εἴδη ὑπάρχουσιν, εἴ γε ὁμοειδῆ τὰ γινόμενα τοῖς ποιοῦσιν ἐδείχθησαν.

p. 1034a33 Ὁμοίως δὲ καὶ τὰ φύσει συνιστάμενα.

Ὥσπερ ἐπὶ τῶν τεχνητῶν γίνεται ὑγεία καὶ ἀπὸ τέχνης καὶ ἐκ ταὐτομάτου, ὁμοίως τούτοις καὶ ἐπὶ τῶν φύσει συνισταμένων ἔχει. ὥσπερ γὰρ ὁ ἰατρὸς ποιεῖ τὴν ὑγείαν, οὕτως καὶ τὸ ἀνθρώπειον σπέρμα ποιεῖ τὸ ἔμβρυον· ἔχει γὰρ ἐν ἑαυτῷ τὸ σπέρμα δυνάμει τὸ ἀνθρώπειον εἶδος, καὶ ἀφ'

1 τεχνιτῶν D 8. 9 ἢ ἐκ μέρους ἢ ἔχοντός τι μέρος Aristoteles 9 ὁμωνύμου scripsi: ὁμωνύμως libri 15 γὰρ τῆς om. D 17 οὐ addidi 19 ἀπὸ D 22 ὑγεία—θερμότης (23) om. D 24 post prius ὑγείας lacuna VI litterarum A 25 ἐκμοχλεύσαντος D 32 τεχνιτῶν D

οὐ τὸ σπέρμα, τουτέστι τὸ ποιητικὸν αἴτιον, ὁμώνυμόν πώς ἐστι τῷ γινομένῳ. καλῶς δὲ προστέθεικε τὸ πῶς· οὔτε γὰρ κατὰ πάντα. εἰ μὴ μόνον κατὰ τὸ εἶδος· οὔτε γὰρ καὶ κατὰ ⟨τὰ⟩ παιδουργὰ μόρια, ἐπειδὴ καὶ ἀνὴρ τίκτεται ἐκ γυναικὸς καὶ γυνὴ γεννᾶται ἐξ ἀνδρός. διό φησιν οὐ γὰρ πάντα δεῖ οὕτω ζητεῖν ὡς ἐξ ἀνθρώπου ἄνθρωπον· καὶ γὰρ γυνὴ τίκτεται ἐξ ἀνδρός· διὸ ἡ ἡμίονος οὐκ ἐξ ἡμιόνου τίκτεται. ἐπειδὴ οὐκ f. 288r ἔχουσι κοινόν τι, ἄνθρωπος δὲ ἐξ ἀνθρώπου. ἐὰν μὴ πήρωμα ὑπάρχῃ. ὥστε ἔχουσί τι κοινὸν καὶ ἡ ἡμίονος καὶ ἡ ἵππος, καθὸ γίνονται ἐξ ἀλλήλων, ὅπερ ἡμῖν οὐκ ὠνόμασται. φησὶν οὖν ὅτι ταῦτα γίνονται ἐκ ταὐτομάτου ἐπὶ τῶν φυσικῶν, ὅσα ἔχουσιν ὕλην ἔχουσαν λόγον δημιουργικὸν καὶ μιμουμένην τὸ σπέρμα (ὅσα δὲ μὴ ἔχει. ἀδύνατόν ἐστι γίνεσθαι ἄνευ σπέρματος), ὥσπερ καὶ ἐπὶ τῶν τεχνητῶν, ὅσων ἡ ὕλη δύναται ὑφ' ἑαυτῆς κινεῖσθαι.

p. 1034ᵇ7 Οὐ μόνον δὲ περὶ τῆς οὐσίας.

Φησὶν ὅτι οὐ μόνον οὐσία, τουτέστι τὸ εἶδος, οὐ γίνεται αὐτὸ καθ' αὑτὸ ἄνευ ὕλης, ἀλλ' ἐπὶ πασῶν τῶν κατηγοριῶν κοινὸς ὁ λόγος ὑπάρχει. ὥσπερ γὰρ ἡ χαλκῆ σφαῖρα γίνεται, ἀλλ' οὐ τὸ εἶδος τῆς σφαίρας οὐδὲ ὁ χαλκός (ἀεὶ γὰρ δεῖ προϋπάρχειν τὴν ὕλην καὶ τὸ εἶδος), οὕτω φημὶ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. οὐ γὰρ γίνεται τὸ ποιὸν αὐτὸ καθ' αὑτό, ἀλλὰ τὸ ποιόν τι ξύλον, οἷον λευκὸν γίνεται τὸ ξύλον ἢ τὸ ἱμάτιον· καὶ πάλιν τὸ σῶμα μέγα γίνεται. τοῦτο δὲ πλεονεκτεῖ ἡ οὐσία, ὅτι ἀνάγκη προϋπάρχειν ἑτέραν οὐσίαν ἐνεργείᾳ. εἰ μέλλοι γίνεσθαι ὅμοιον αὐτῇ (ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ) ποιὸν δὲ ἢ ποσὸν οὐκ ἀνάγκη προϋπάρχειν ἐνεργείᾳ, ἀλλὰ μόνον δυνάμει ἐστὶ καὶ ποσὸν καὶ ποιόν.

p. 1034ᵇ20 Ἐπειδὴ ὁ ὁρισμὸς λόγος ἐστί, πᾶς δὲ λόγος.

Ἐντεῦθεν τὰς δύο ἀπορίας κινεῖ, ἃς ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, καί φησιν ὅτι ἐπειδὴ ὁ ὁρισμὸς τοῦ πράγματος λόγος ἐστίν, ἅπας δὲ λόγος ἐκ μερῶν συνέστηκεν, ὡς δὲ ὁ καθόλου λόγος πρὸς τὸ τέλειον πρᾶγμα, τουτέστιν ὁ ἁπλῶς ὁρισμὸς πρὸς τὸ ἁπλῶς ὁριστόν [τουτέστι], καὶ τὸ μέρος τοῦ λόγου πρὸς τὸ μέρος τοῦ πράγματος ὁμοίως ἔχει, τουτέστι πρὸς τὸ μέρος τοῦ ὁριστοῦ, ἀπορεῖται ἆρα δεῖ τὸν λόγον τῶν μερῶν ὑπάρχειν ἐν τῷ ὅλῳ λόγῳ ἢ οὔ; ἐνίων μὲν f. 288v γὰρ ὁριστῶν φαίνονται ἐνόντα καὶ τὰ μέρη τῶν ὁριστῶν ἐν τῷ ὅλῳ ὁρισμῷ. ὁ μὲν γὰρ ὁρισμὸς τοῦ κύκλου, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, οὐκ ἔχει τὸν τῶν τμημάτων αὐτοῦ, ὁ δὲ τῶν συλλαβῶν ἔχει τὸν τῶν στοιχείων. καίτοι ὁ κύκλος διαιρεῖται εἰς τὰ τμήματα, ὥσπερ καὶ αἱ συλλαβαὶ εἰς τὰ στοιχεῖα.

---

3 τὰ addidi 8 ἡ prius om. D 22 αὐτῇ scripsi: αὐτῷ D, incertus A 29 τουτέστι delevi 31 ἀπορεῖται Aristoteles: ἀπορεῖ τί libri 33 μέρη] μὲν D

p. 1034b28 Ἔτι δὲ εἰ πρότερα τὰ μέρη.

Ἐντεῦθεν τὴν δευτέραν ἀπορίαν ἐκτίθεται, καί φησιν οὕτως ὅτι εἰ πρότερα τὰ μέρη τοῦ ὅλου ὑπάρχουσι, τῆς δὲ ὀρθῆς ἡ ὀξεῖα μέρος, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, καὶ ὁ δάκτυλος τοῦ ζῴου, * * * δοκοῦσι δὲ τὰ † καθόλου καὶ ὅλων εἶναι πρότερα (δέονται γὰρ τούτων οἱ ὁρισμοὶ τῶν μορίων, ὡς ἐν τῇ θεωρίᾳ ἐδείξαμεν), καὶ ὅτι δύναται καὶ ὁ ἄνθρωπος εἶναι ἄνευ τοῦ δακτύλου καὶ ἡ ὀρθὴ ἄνευ τῆς ὀξείας· τὰ δὲ συναναιροῦντα καὶ μὴ συναναιρούμενα φύσει πρότερα ὑπάρχει.

p. 1034b32 Ἢ πολλαχῶς λέγεται τὸ μέρος.

Ἐντεῦθεν τὴν προτέραν ἀπορίαν ἐπιλύεται, καί φησιν ὅτι τὸ μέρος πολλαχῶς λέγεται. λέγεται γὰρ μέρος τὸ καταμετροῦν τὸ ὅλον, ὥσπερ * * * τὸ δὲ σημαινόμενον τοῦτο τοῦ μέρους ἀφείσθω τὰ νῦν ὡς μηδὲν συμβαλλόμενον. ἐξ ὧν δὲ ἡ οὐσία ἐστὶν ὡς μερῶν, ταῦτα ἐπισκεπτέον, τουτέστι τὴν ὕλην καὶ τὸ εἶδος· ταῦτα γὰρ μέρη τοῦ συνθέτου ὑπάρχουσιν. εἰ τοίνυν ἐστὶ τὸ μὲν ὕλη τὸ δὲ εἶδος, δῆλον ὅτι καὶ ἡ οὐσία ἐκ τῆς τούτων συμπλοκῆς. ἡ οὖν ὕλη τοῦ μὲν συνθέτου λέγεται μέρος, τοῦ δὲ εἴδους αὐτοῦ καθ' αὑτὸ οὐ λέγεται εἶναι μέρος. οἷον τῆς μὲν κοιλότητος οὐκ ἔστι μέρος ἡ σάρξ, ἐπειδὴ ἡ κοιλότης, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, δύναται καὶ αὐτὴ καθ' αὑτὴν λαμβάνεσθαι· ἡ γὰρ σάρξ ἐστιν ὕλη τῆς κοιλότητος, ἡνίκα γένηται ἐν αὐτῇ· τῆς δὲ σιμότητος μέρος λέγεται εἶναι ἡ ὕλη, ἐπειδὴ οὐ δυνατὸν ἄνευ ὕλης θεωρεῖσθαι τὴν σιμότητα· εἰσάγει γὰρ πάντως ῥῖνα. οὕτως οὖν καὶ τοῦ συνόλου ἀνδριάντος μέρος ἐστὶν ὁ χαλκός, τοῦ δὲ εἴδους αὐτοῦ καθ' αὑτὸ τοῦ ἀνδριάντος οὐ λέγεται εἶναι f. 289r μέρος ὁ χαλκός. λεκτέον γὰρ τὸ εἶδος (ἀντὶ τοῦ ὁριστέον) καὶ καθὸ εἶδος ἔχει ἕκαστον, ὅταν δύνηται χωρίζεσθαι τῆς ὕλης. τὸ δὲ ὑλικὸν οὐ δεῖ ὁρίζεσθαι, ὅταν δύνηται χωρίζεσθαι τὸ εἶδος αὐτοῦ. πότε δὲ δύναται χωρίζεσθαι; ὅταν μὴ μέρος λαμβάνηται ἡ ὕλη τοῦ εἴδους. διὰ τοῦτο οὖν ὁ τοῦ κύκλου ὁρισμὸς οὐκ ἔχει τὸν τῶν τμημάτων, ὁ δὲ τῆς συλλαβῆς περιλαμβάνει τὸν τῶν στοιχείων· τὰ μὲν γὰρ στοιχεῖα τοῦ λόγου μέρη ὑπάρχουσι τοῦ εἴδους καὶ οὐχ ὕλη, τὰ δὲ τμήματα τοῦ κύκλου οὕτως μέρη ὑπάρχουσιν [οὔτε] ὡς ὕλη, ἐπειδὴ δύναται χωρίζεσθαι ἐφ' οἷς τμήμασιν ἐπιγίνεται τὸ τοῦ κύκλου εἶδος. τὰ γοῦν τμήματα πλησιάζουσι μᾶλλον τῷ εἴδει τοῦ κύκλου ἤπερ ὁ χαλκός, ἐπειδὴ δύναται καὶ ἐν χρυσῷ εἶναι ὁ

4 lacunam indicavi: πρότερον ἂν εἴη ἡ ὀξεῖα τῆς ὀρθῆς καὶ ὁ δάκτυλος τοῦ ἀνθρώπου Aristoteles 4. 5 res postulare videtur τὰ ὅλα καὶ λόγῳ εἶναι κτλ. 5 γὰρ τούτων—θεωρίᾳ (6) om. D 7. 8 συναιροῦντα καὶ μὴ συναιρούμενα D 11. 12 post ὥσπερ lacuna XVI litterarum A: XV litterarum D: addendum tale aliquid ὁ δύο ἀριθμὸς τοῦ ἕξ 15 καὶ om. D 27 ὅταν—εἴδους om. D 28 τμημάτων—τὸν τῶν (29) om. D 31 οὕτως Aristoteles: οὔτε libri οὔτε delevi 32 τὸ om. D

αἰσθητὸς κύκλος, ἄνευ δὲ τμημάτων εἶναι οὐ δύναται, ὅταν ἐν χαλκῷ κύκλῳ γένηται. ἰστέον δὲ ὅτι οὐδὲ τὰ στοιχεῖα πάντα τῆς συλλαβῆς ἐμπεριέχεται ἐν τῷ ὁρισμῷ αὐτῆς, οἷον ταδὶ τὰ κήρινα, ὥς φησιν αὐτός, ἢ τὰ ἐν ἀέρι. γράφονται γὰρ καὶ συλλαβαὶ ἐν κηρῷ καὶ ἐν χάρτῃ, καὶ τότε
5 ὁ κηρὸς γίνεται μέρος αὐτῶν· καὶ ὅμως οὐ λαμβάνονται ἐν τῷ ὁρισμῷ αὐτῶν. ἰστέον δὲ ὅτι ἡ * * * διαιρουμένη δίχα καὶ ὁ ἄνθρωπος διαιρούμενος εἰς σάρκας καὶ νεῦρα καὶ ὀστέα φθείρονται ὡς σύνθετα, τὸ δὲ ἄυλον εἶδος τοῦ ἀνθρώπου οὐ φθείρεται, οἷον ἡ λογικὴ ψυχή· οὔτε γὰρ ἡ ἄυλος γραμμή. τὰ οὖν ἔνυλα εἴδη ἐκ τούτων ὑπάρχουσι τῶν συνθέτων·
10 τοῦ μὲν γὰρ συνόλου μέρη ὑπάρχουσι, τοῦ δὲ εἴδους τοῦ χωριστοῦ οὐκέτι· διὸ ὡς ἀλλότρια λαμβάνονται ἐν τῷ ὁρισμῷ τοῦ εἴδους. διὰ τοῦτο οὖν ἐπὶ μὲν τῶν ἀύλων εἰδῶν οὐ συμπεριλαμβάνεται ἡ ὕλη, ἐπειδὴ κεχωρισμένα ὑπάρχουσιν· ἐπὶ δὲ τῶν ἐνύλων λαμβάνεται, ἐπειδὴ ἀχώριστα ὑπάρχουσι. διὰ τοῦτο γὰρ ἔνια μὲν ἐκ τούτων, τουτέστι τὰ σύνθετα,
15 ὡς ἀρχῶν εἰσι· διὸ καὶ εἰς αὐτὰ φθείρονται. τὸ οὖν σιμὸν ἢ ὁ χαλκοῦς f.289v κύκλος εἰς ταῦτα φθείρονται, ἐξ ὧν καὶ συνετέθησαν, καὶ μέρος αὐτῶν ἡ ὕλη ὑπάρχει. ὅσα δὲ εἴδη μὴ ἐξ ἀνάγκης τῇ ὕλῃ συνδυάζεται, ἀλλ' ἄνευ τῆς ὕλης ὑπάρχουσιν οἱ λόγοι τοῦ εἴδους, ταῦτα ἢ ὅλως οὐ φθείρονται, ὥσπερ ἡ κοιλότης, ἢ οὐχ ὁμοίως † ἄλλο μέρος σύνθετον * * *, οὐχ ὡς
20 ἡ σιμότης τῆς ῥινὸς φθειρομένης πάντως φθείρεται. ὥστε ἐκείνων μὲν τῶν ἀχωρίστων μέρη καὶ ἀρχαὶ ὑπάρχουσι τὰ ὑφ' αὑτά, τουτέστιν ἡ ὕλη καὶ τὸ εἶδος, τοῦ δὲ εἴδους τοῦ δυναμένου αὐτοῦ καθ' αὑτὸ εἶναι οὔτε μέρος ὑπάρχει ἡ ὕλη οὔτε ἀρχὴ ὑλική. καὶ διὰ τοῦτο φθείρεται ὁ πήλινος ἀνδριὰς εἰς πηλὸν καὶ τὴν στέρησιν αὐτοῦ, καὶ ὁ Καλλίας εἰς
25 σάρκα καὶ ὀστέα, καὶ ὁ ἔνυλος κύκλος εἰς τὰ τμήματα· ὁμωνύμως γὰρ λέγεται ὁ κύκλος (καὶ ὁ ἁπλῶς γὰρ καὶ ⟨ὁ⟩ καθ' ἕκαστα κύκλος λέγεται), καὶ ἐντεῦθεν ἡ ἀπάτη, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ.

p. 1035b3 Εἴρηται μὲν οὖν καὶ νῦν τὸ ἀληθές, ὅμως δὲ ἔτι σαφέστερον εἴπωμεν.

30 Ἐντεῦθεν τὴν δευτέραν ἀπορίαν ἐπιλύεται τὴν περὶ τῶν μερῶν, ἡνίκα ἐζήτει εἴτε πρότερα τὰ μέρη τοῦ ὅλου εἰσίν, εἴτε τὸ ὅλον τῶν μερῶν. καί φησιν ὅτι διττόν ἐστι τὸ εἶδος, τὸ μὲν ἔνυλον τὸ δὲ ἄυλον, οἷον ὡς ἐπὶ ἀνθρώπου ἐστὶν ἄυλον εἶδος ἡ ψυχή, ἔνυλον δὲ εἶδος τὸ ζῷον λογικὸν θνητόν. τὰ μέρη οὖν τοῦ ἀύλου εἴδους πρότερα ὑπάρχουσι τοῦ ὅλου. εἰ γὰρ
35 τὸ εἶδος τὸ ἄυλον πρότερόν ἐστι τοῦ συνθέτου, τοῦ δὲ ἐνύλου εἴδους πρό-

6 post ὅτι ἡ VIII fere litterae, quae legi non possunt A: post lacunam IX litterarum καὶ διαιρουμένη D: addendum certe γραμμὴ; cf. v. 9 15 ἀρχῶν Aristoteles: ἀρχαί libri 19 locus depravatus; post σύνθετον lacuna VI litterarum AD: fort. legendum ἀλλ' ὡς μέρος συνθέτου κατὰ συμβεβηκός 21 ὑφ' αὑτὰ Aristoteles: ὑφ' αὑτῶν libri 22. 23 οὔτε—οὔτε Aristoteles: καὶ—καὶ libri 31 πρότερον D

τερα ὑπάρχουσι τὰ μέρη αὐτοῦ, εἴ γε εἰς τὸν ὁρισμὸν αὐτοῦ παραλαμβάνονται, τὰ δὲ εἰς τὸν ὁρισμόν τινος παραλαμβανόμενα πρότερα ὑπάρχουσι, πολλῷ ἄρα μᾶλλον τὰ μέρη τοῦ ἀύλου εἴδους πρότερα ὑπάρχουσι τοῦ συνθέτου * * * ὕστερα δέ εἰσι τοῦ ὅλου, οἷον δάκτυλος, ὀφθαλμός, ἐπειδὴ ὁριζόμενοι αὐτὰ συμπεριλαμβάνομεν τὸ ὅλον. εἰ μὴ γὰρ οὕτως ὁρισόμεθα αὐτά, ὡς ὄργανον ζῴου, εἰ τύχοι, τὴν χεῖρα, οὐδὲν διαφέρει λιθίνης χειρός. ὥστε λέγομεν ὅτι χεὶρ ἐστιν ὄργανον ἀντιληπτικὸν ἀνθρώπου. οὐ πάντα δὲ τὰ μόρια ὕστερα ὑπάρχουσιν· ἡ γὰρ καρδία καὶ ὁ f.290r ἐγκέφαλος ἅμα τῷ παντὶ ὑπάρχουσιν, ἐπειδὴ καὶ συνυπάρχει ἡ αἴσθησις τῷ ἐγκεφάλῳ καὶ συναπόλλυται αὐτῷ. εἶτα ζητεῖ, ἆρα, ὥσπερ ἡ ψυχὴ αὐτὴ καθ' αὑτὴν ὑφέστηκεν, οὕτως καὶ τὸ ἀνθρώπειον εἶδος· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων εἰδῶν. καί φησιν ὅτι ὁ καθόλου ἄνθρωπος καὶ ὁ καθόλου ἵππος ἐπὶ τῶν καθ' ἕκαστα * * καθόλου δὲ οὐκ ἔστιν οὐσία. λέγει δὲ καθόλου μὴ εἶναι οὐσίαν τὴν ὑστερογενῆ τὴν ἐν τῇ φαντασίᾳ, καθ' ἣν ἔχομεν τὸ εἶδος ἁπλῶς τοῦ ἀνθρώπου. τὸ γὰρ εἶδος τῷ ὄντι ἀνυπόστατόν ἐστιν αὐτὸ καθ' αὑτὸ καὶ ἐν μόνῃ τῇ ἡμετέρᾳ φαντασίᾳ ἔχον τὸ εἶναι. ἐὰν οὖν ἔρηταί τις ἡμᾶς, φησί, πότερον τὰ μέρη πρότερα ὑπάρχουσι τοῦ ὅλου ἢ τὸ ἀνάπαλιν, ἐροῦμεν πρὸς αὐτὸν ὅτι εἰ μὲν τὰ μέρη εἰς τὸν ὁρισμὸν παραλαμβάνονται τοῦ ὅλου, πρότερα ὑπάρχουσιν, εἰ δὲ τὸ ὅλον εἰς τὸν ὁρισμὸν τῶν μερῶν, τὸ ὅλον ἐστὶ πρῶτον τῶν μερῶν. διὸ τῆς ψυχῆς πρότερόν ἐστι τὸ ζῷον, εἴ γε παραλαμβάνοιτο εἰς τὸν ὁρισμὸν τῆς ψυχῆς τὸ ζῷον, καὶ πάλιν ἡ ψυχὴ προτέρα τοῦ ὅλου, εἰ παραλαμβάνοιτο εἰς τὸν ὁρισμὸν τοῦ ὅλου. ὁμοίως δὲ καὶ τὸ ἄυλον εἶδος τοῦ κύκλου πρότερον ὑπάρχει τοῦ ἁπλῶς κύκλου καὶ ἐνύλου. ἐπειδὴ παραλαμβάνεται εἰς τὸν ὁρισμὸν αὐτοῦ, καὶ ἡ ἄυλος ὀρθὴ τῆς ἁπλῶς ὀρθῆς· ἡ μέντοι ἁπλῶς ὀρθὴ τῆς χαλκῆς ὀρθῆς, καὶ ὁ ἁπλῶς κύκλος τοῦ χαλκοῦ κύκλου.

p. 1035ᵇ3 Εἴρηται μὲν οὖν καὶ νῦν τὸ ἀληθές.

Ἤδη, φησίν, εἴρηται τὸ ἀληθὲς περὶ τῶν μερῶν, ὅτι τὰ συναναιροῦντα, μὴ συναναιρούμενα δὲ πρότερα ὑπάρχουσιν· ὅμως δὲ δεῖ ἡμᾶς ἔτι σαφέστερον περὶ τούτων εἰπεῖν. ὅσα μὲν γὰρ μέρη ὑπάρχουσι τοῦ λόγου, ὡς ἔδειξεν ἡ θεωρία, ἢ πάντα ἢ ἔνια. καλῶς δὲ προστέθεικε τὸ ἔνια, ἐπειδὴ πολλάκις ὁριζόμενοι τὸ εἶδος συμπεριλαμβάνομεν καὶ μέρη τοῦ συνθέτου, ἅτινα ὕστερα ὑπάρχουσιν, οἷον ζῷον ἄλογον χρεμετιστικόν. εἰ οὖν ὁριζό-

---

1. 2 παραλαμβάνονται — τινος om. D 4 post συνθέτου lacuna XVIII litterarum A; οὐ λείπει marg. A²: fort. addendum ὅσα δέ εἰσι μέρη ὡς ὕλη et δὲ delendum 6 αὐτά scripsi: αὐτὸ libri 8 ἡ γὰρ — ὑπάρχουσιν (9) om. D 13 post καθ' ἕκαστα lacuna VIII litterarum A: fort. addendum θεωρεῖται οὐκ in lacuna III litterarum om. A 14 καθόλου μὴ in lacuna om. D καθ' ἣν scripsi: καθ' ὃν D, legi non potest A 16 καθ' αὐτὸ om. D 19 πρότερα ἔχουσιν D 21 εἴ γε — ζῷον (22) om. D 30 λόγου Aristoteles: ὅλου libri 31 ἢ ἔνια] fort. addendum πρότερα

μενοι τὴν ὀρθὴν * * * ὁριζόμενοι δὲ τὴν ὀξεῖαν δεόμεθα τῆς ὀρθῆς, λέ- f. 290v
γοντες ἡ ἐλάττων ὀρθῆς, δῆλον ὅτι πρότερόν ἐστιν ἐνταῦθα τὸ ὅλον τοῦ μέρους, τουτέστιν ἡ ὀρθὴ τῆς ὀξείας. ὁμοίως δὲ καὶ κύκλος καὶ ἡμικύκλιον ἔχουσιν· ὁριζόμενοι γὰρ τὸ ἡμικύκλιον κεχρήμεθα τῷ κύκλῳ, οὐκ-
5 έτι ἀνάπαλιν. ὁμοίως καὶ ἐπὶ τοῦ δακτύλου· τὸ γὰρ τοιόνδε μέρος τοῦ ἀνθρώπου δάκτυλος ὑπάρχει. ὥστε τὰ μὲν μέρη τοῦ συνθέτου ὕστερα τοῦ ὅλου ὑπάρχουσι. τὰ δὲ μέρη τοῦ ἀύλου εἴδους πρότερα ἢ πάντα ἢ ἔνια, ὡς εἰρήκαμεν, ἐπειδὴ τῶν ζῴων προτέρα ἐστὶν ἡ ψυχή· τοῦτο γάρ ἐστι τὸ ἄυλον εἶδος τοῦ ἐμψύχου· τὸ γὰρ εἶδος τοῦ ἐμψύχου σώματος ἡ
10 ψυχή ἐστιν. ἀμέλει τοι ἕκαστον μέρος τοῦ σώματος ἐὰν δεόντως ὁρίζηται, οὐκ ἄνευ τοῦ οἰκείου ἔργου καὶ τῆς οἰκείας ἐνεργείας ὁρισθήσεται· αὕτη δὲ ἡ ἐνέργεια οὐχ ὑπάρχει τῷ μορίῳ ἄνευ ψυχῆς· ὥστε τὰ τῆς ψυχῆς μέρη, ἐπειδὴ ἄυλον εἰδός ἐστι, πρότερα ὑπάρχει τοῦ ὅλου ζῴου ἢ πάντα ἢ ἔνια· καὶ καθ' ἕκαστον δὲ ζῷον ὁμοίως ὁ αὐτὸς λόγος ὑπάρχει. τὸ
15 μέντοι γε σῶμα καὶ τὰ μόρια αὐτοῦ ὕστερα ὑπάρχουσι τοῦ ὅλου, καὶ διαιρεῖται εἰς ταῦτα τὰ μόρια τὸ σύνθετον ὡς ὅλην, ὁ Σωκράτης εἰς χεῖρας καὶ πόδας καὶ κεφαλήν, οὐκ αὐτὸ τὸ εἶδος δηλῶν ἀλλὰ τὸ σύνθετον. ὥστε τοῦ συνθέτου τὰ μέρη κατά τι μὲν πρότερα ὑπάρχουσι, κατά τι δὲ οὔ. τὰ γὰρ μέρη τοῦ σώματος οὐ δύνανται ὑποστῆναι αὐτὰ καθ' αὑτὰ ἄνευ
20 τοῦ ὅλου. οὐ γὰρ ὁ παντοίως ἔχων δάκτυλος δάκτυλος ζῴου ἐστίν· ὁ γὰρ τοῦ τεθνεῶτος δάκτυλος ὁμωνύμως ἐστὶ δάκτυλος μηδὲν ἔτι διαφέρων τοῦ λιθίνου· οὐδὲ γὰρ ποιεῖ τὰ τοῦ δακτύλου. ἔνια δὲ τῶν μορίων ἅμα συνυπάρχουσι τῷ ὅλῳ, ὅσα κύρια ὑπάρχουσι καὶ ἐν οἷς πρώτως θεωρεῖται τὸ εἶδος, οἷον καρδία καὶ ἐγκέφαλος· διαφέρει γὰρ οὐδέν, εἴτε f. 291r
25 ἐν τῇ καρδίᾳ, φησί, τὸ ἡγεμονικὸν ὑποθώμεθα εἴτε ἐν ἐγκεφάλῳ, πλὴν ὅτι ἀναιρούμενα συναναιροῦσι τὸ ὅλον. ὁ δὲ ἄνθρωπος ὁ ἁπλῶς καὶ ὁ ἵππος ἐπὶ τῶν καθ' ἕκαστα θεωροῦνται· καθόλου δὲ οὐκ ἔστιν οὐσία, ὡς εἰρήκαμεν ἐν τῇ θεωρίᾳ, ἀλλὰ τὸ σύνθετον γίνεται τὸ ἁπλῶς ἐκ τουδὶ τοῦ λόγου οἷον τοῦ ἀνθρωπείου τοῦ ζῴου λογικοῦ θνητοῦ καὶ τησδὶ
30 τῆς ὕλης ὡς καθόλου, ἐπειδὴ οὐ τὴν καθ' ἕκαστα ὕλην ἐλάμβανε· διό φησι καθ' ἕκαστον δὲ ἐκ τῆς ἐσχάτου ὕλης, τουτέστιν ἐκ τῆς ἀτόμου. ἐκ ταύτης οὖν ὁ Σωκράτης γίνεται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως τῶν καθ' ἕκαστα ζῴων.

p. 1035ᵇ31 Μέρος μὲν οὖν ἐστι καὶ τοῦ εἴδους.

35 Φησὶν ὅτι ἐστὶ μέρος καὶ τοῦ εἴδους τοῦ ἀύλου, διό φησι τὸ τί ἦν

---

1 post ὀρθὴν XIX litterae, quae legi non possunt A: XVII litterae desunt D: addendum μὴ δεόμεθα τῆς ὀξείας 13 post ἐστὶ desunt XVIII litterae A; οὐ λείπει marg. A² 15 αὐτοῦ—μόρια (16) repetit D 20 δάκτυλος δάκτυλον libri ἐστίν scripsi: ἔχει libri 21 μηδὲν ἔτι διαφέρων scripsi: μὴ δὲ (desunt VI fere litterae) φέρων A: μὴ δὲ μῆκοι φέρει D 22 τὰ om. D 25 ἐν (ante ἐγκεφάλῳ) om. D 28. 29 ἐκ τουδὶ τοῦ Aristoteles: δὴ τοῦ αἰτίου libri 29 οἷον scripsi: καὶ libri τησδὶ Aristoteles: τῆς διὰ libri

εἶναι· τῶν γὰρ εἰδῶν οἱ ὁρισμοὶ ὑπάρχουσιν· εἰσὶ δὲ μέρη καὶ τοῦ εἴδους τοῦ συνθέτου καὶ τῆς ὕλης. ἐπὶ δὲ τοῦ ἀύλου εἴδους τὰ τοῦ λόγου μέρη τοῦ εἴδους μόνου ἐστίν· οὐ γὰρ τοῦ συνθέτου· ἄυλον γὰρ ὑπέθεντο τὸ εἶδος, οἱ δὲ ὁρισμοί, ὡς μεμαθήκαμεν ἐν τῇ Ἀποδεικτικῇ, τῶν καθόλου εἰσὶ καὶ τῶν εἰδῶν. ταὐτὸν γάρ ἐστι τὸ κύκλῳ εἶναι καὶ κύκλος, καὶ ψυχῇ εἶναι καὶ ψυχή· ἁπλᾶ γάρ εἰσι τὰ ἄυλα εἴδη, καὶ συντρέχει ὁ ὁρισμὸς τῷ εἴδει, ὡς ἀνωτέρω ἐμάθομεν. τοῦ τοίνυν συνθέτου κύκλου τοῦ χαλκοῦ καὶ τῶν καθ' ἕκαστα αἰσθητῶν ἢ μαθηματικῶν, πάντων, φησί, τῶν τοιούτων οὐκ ἔστιν ⟨ὁρισμός, ἀλλὰ μετὰ νοήσεως ἢ αἰσ⟩θήσεως γνωρίζονται· φθαρέντα δὲ οὐκέτι δῆλόν ἐστι πότερον ἔστιν ἢ οὔ· οἱ δὲ ὁρισμοὶ τῶν ἀεὶ ὄντων ὑπάρχουσιν, ὥστε διὰ τοῦ καθόλου λόγου καὶ ταῦτα γνωρίζονται διὰ τὸν ἁπλοῦν κύκλον ἢ τὸ ἁπλῶς τρίγωνον. καὶ γὰρ καὶ τὰ μαθηματικὰ τὰ ἐν τῇ ὕλῃ φθείρονται, ἅτε δὴ ἐν τῇ ὕλῃ ὑπάρχοντα. ἡ δὲ ὕλη ἀγνοίας ἐστὶν αἰτία. τῆς δὲ ὕλης, φησίν, ἡ f.291v μέν ἐστιν αἰσθητή, ἡ δὲ νοητή· αἰσθητὴ μὲν οἷον χαλκός, ξύλον καὶ πᾶσα ἡ κινητὴ ὕλη, ἡ δὲ νοητὴ ἡ ἐν τοῖς αἰσθητοῖς ὑπάρχουσα, καθὸ αἰσθητά, οἷον τὰ μαθηματικά. κύκλον γὰρ νοῶ ἐν τῷ σώματι, καὶ ἐξ ἀφαιρέσεως αὐτὸν λαμβάνω· τοιαῦτα δὲ τὰ μαθηματικά. ὥστε αὐτάρκη εἰρήκαμεν περὶ ὅλου καὶ μέρους, καὶ πότερον πρότερον τὸ μέρος ἢ τὸ ὅλον.

p. 1036a13 Πρὸς δὲ τὴν ἐρώτησιν.

Ὡς φησιν ὁ ἡμέτερος διδάσκαλος ὅτι ἐνταῦθα τὰ αὐτὰ λέγει ἔτι σαφέστερον ποιῶν τὸν λόγον. καί φησιν ὅτι ἐάν τις ἡμᾶς ἔρηται πότερον ἡ ὀρθὴ καὶ ὁ κύκλος καὶ τὸ ζῷον καὶ ἁπλῶς εἰπεῖν τὰ ὅλα πρότερα ὑπάρχουσιν ἢ τὰ μέρη αὐτῶν, οὐ δεῖ ἁπλῶς καὶ ἀβασανίστως ἀποκρίνεσθαι. εἰ μὲν γάρ ἐστι καὶ ἡ ψυχὴ ζῷον καὶ μέρος τοῦ ἐμψύχου τὸ ζῷον (ἡ ἑκάστου γὰρ ψυχή, ἥ ἕκαστόν ἐστι), καὶ πάλιν μέρος τοῦ κύκλου ἐστὶ τὸ εἶναι κύκλῳ, καὶ ὀρθῆς τὸ ὀρθῇ εἶναι, τουτέστι τὸ ἄυλον εἶδος τῆς ὀρθῆς, ἐὰν οὖν, φησίν, ἔρηταί τις ἡμᾶς, φατέον ὕστερα εἶναι ἐκεῖνα τῶν ἐν τῷ ὁρισμῷ † τὰ μέρη παραλαμβάνονται· εἰς γὰρ τὸν ὅρον τῆς τινὸς ὀρθῆς, οἷον τῆς χαλκῆς, παραλαμβάνεται ἡ ἁπλῶς ὀρθή, ὥστε προτέρα ὑπάρχει καὶ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαστα ἡ ἁπλῶς γραμμή. ἡ τοίνυν ἄνευ ὕλης, τουτέστιν ἡ καθόλου, ὑστέρα ἐστὶν ἐκείνων τῶν παραλαμβανομένων εἰς * * * ὥσπερ ψυχὴ τοῦ ζῴου, εἰ παραλαμβάνοιτο τὸ ζῷον εἰς τὸν ὁρισμὸν τῆς ψυχῆς· τῶν δὲ καθ' ἕκαστα μορίων προτέρα,

2 τοῦ om. D 3 μόνου] μέρη D 4 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. B 13 p. 97b26 9 locum ex Aristotele explevi: post οὐκ ἔστιν XVIII litterae, quae legi non possunt, deinde θησε A: post lacunam XII litterarum σὲ γνωρίζομεν pergit D 10 φθαρέντα scripsi: φθαρὲν libri 12 ἢ] καὶ D τὸν libri 23 σαφέστερον scripsi: ἀσαφέστερον libri ὅτι om. D 30 locus depravatus: res tale aliquid postulat τουτέστιν ὅσα μέρη παραλαμβάνονται εἰς τὸν ὁρισμόν 34 post εἰς X litterae legi non possunt AD: fort. legendum εἰς τὸν ὁρισμόν ψυχὴ scripsi: ἀρχὴ libri

ὅτε δὴ καὶ εἰς τὸν ὁρισμὸν αὐτῶν παραλαμβανομένη, ὡς ἀνωτέρω εἴρηται. εἰ δὲ ἑτέρα ἐστὶν ἡ ψυχὴ παρὰ τὸ ζῷον, οὐ δεῖ λέγειν πρότερον τὸ ζῷον, † ὥστε ἐντεῦθεν κρίνονται, οὕτως δεῖ λέγειν τὰ μὲν πρότερα εἶναι τὰ δὲ οὔ. [ἰστέον ὅτι ὁ πυρετὸς ἡνίκα ἐπιπόλαιός ἐστι, τότε συμβεβηκὸς ὑπάρχει, ἡνίκα δὲ φθείρει τὸ ὑποκείμενον, οὐκ ἔστι συμβεβηκός, εἴ γε φθαρτικός ἐστι τῆς οὐσίας. τὰ γὰρ πράγματα ἐκ τῶν τελῶν χαρακτηρί- f. 292r
ζονται, οἷον ποσὸν λέγομεν τὸ εἰς μέγεθος τελευτῆσαν, καὶ ποιὸν τὸ εἰς χρῶμα. οὕτως οὖν καὶ συμβεβηκός ἐστι τὸ ⟨μὴ⟩ φθεῖραν τὸ ὑποκείμενον. εἰ τοίνυν ὁ πυρετὸς φθείρει τὴν οὐσίαν, οὐκ ἄρα συμβεβηκός ἐστιν.]

p. 1036a26 Ἀπορεῖται δὲ εἰκότως καὶ ποῖα τοῦ εἴδους μέρη καὶ ποῖα οὔ.

Δείξας ἀνωτέρω ὅτι τὰ μέρη τοῦ ἀύλου εἴδους πρότερα ὑπάρχουσι τοῦ ὅλου ὡς εἰς τὸν ὁρισμὸν αὐτοῦ παραλαμβανόμενα, τὰ μέντοι γε μέρη τοῦ ὁριστοῦ δεύτερα τοῦ ὅλου, ἐντεῦθεν ἀπορεῖ καὶ εἰκότως ἀπορεῖ, ὅτι ὅλως ἀγνοοῦμεν ποῖα μέρη εἰσὶ τοῦ ἀύλου εἴδους καὶ ποῖα τοῦ συνθέτου· πῶς οὖν ἔχομεν διαγνῶναι τοῦ πράγματος ἀγνοουμένου; τούτου γάρ, φησί, μὴ δήλου ὄντος οὐκ ἔστιν ὁρίσασθαι ἕκαστον, εἴ γε οἱ μὲν ὁρισμοὶ τῶν εἰδῶν ὑπάρχουσιν. ἡμεῖς δὲ ἀγνοοῦμεν τὰ εἴδη τὰ ἄυλα καὶ χωριστά. εἶτά φησιν ὅτι ἐπ' ἐκείνων τῶν θεωρουμένων ἐν πλείοσιν ὑποκειμένοις δυνατόν ἐστι γνῶναι τὰ μέρη τοῦ εἴδους, οἷον ἐπὶ τοῦ κύκλου, ἐπειδὴ θεωρεῖται ὁ κύκλος καὶ ἐν χαλκῷ καὶ ἐν ξύλῳ ⟨καὶ λίθῳ⟩, ὥστε οὐχ ὑπάρχουσι ταῦτα μέρη τοῦ κύκλου· τὰ γὰρ μέρη ἀχώριστα ὑπάρχουσι τοῦ ὅλου, ἡ δὲ ὕλη ἐστὶν ἡ χωριζομένη τῶν δυναμένων εἰδῶν χωρίζεσθαι. εἰ οὖν ἦν μέρος τοῦ κύκλου ὁ χαλκός, οὐκ ἄν ποτε ἐθεωρεῖτο καὶ ἐν ἄλλῃ ὕλῃ ὁ κύκλος· θεωρεῖται δὲ καὶ ἐν λίθῳ, οὐκ ἄρα μέρος ἐστὶν ὁ χαλκὸς τοῦ κύκλου. ποῖα οὖν ὑπάρχουσι μέρη αὐτοῦ; δῆλον ὅτι τὰ ἡμικύκλια· τούτων γὰρ χωρὶς κύκλος εἶναι οὐ δύναται. ὥστε ἐπὶ τινῶν μὲν ἔστιν εὑρεῖν τὰ μέρη τοῦ εἴδους. ἐπὶ τινῶν δὲ οὐκ ἔστιν, οἷον ὡς ἐπὶ ἀνθρώπου· οὔτε γὰρ θεωρεῖταί ποτε ἄνθρωπος ἄνευ σαρκῶν καὶ νεύρων καὶ ὀστέων· οὐδὲ γὰρ ἐν διαφόροις θεωρεῖται ὑποκειμένοις, ὥσπερ καὶ ὁ κύκλος. ὥστε οὐ δυνατόν ἐστιν ὁρισμὸν ἡμᾶς τῶν ζῴων ἀποδοῦναι. ἀμέλει τοι οἱ Πυθαγόρειοι καὶ οἱ τὰς ἰδέας πρεσβεύοντες καὶ πρὸς τὰ f. 292v
μαθηματικὰ ἐνίστανται λέγοντες οὕτως, ὅτι οὐδὲ ταῦτα δυνατόν ἐστιν ὁρίσασθαι· ἔχουσι γὰρ καὶ αὐτὸ τὸ εἶναι ἐν ταῖς γραμμαῖς, οἷον ὁ κύκλος καὶ τὸ τρίγωνον, καὶ οὐ δυνατὸν εἶναι ἄνευ αὐτῶν. ὥσπερ γὰρ τὰ ζῷα

2 ἑτέρα Aristoteles: ὑστέρα libri 3 ὥστε] fort. ὡς δὲ vel ἀλλ' ὡς
4 ἰστέον — ἐστιν (9) huc non pertinent 5 ὑπάρχει — συμβεβηκός om. D
8 μὴ addidi 14 ὁριστοῦ scripsi: ὁρισμοῦ libri 15 ὅλως] λόγος D
21 καὶ ἐν ξύλῳ — ὥστε in lacuna om. D: post ξύλῳ VII litterae evanidae A: καὶ λίθῳ ex Aristotele addidi 22 ταῦτα μέρη — ὑπάρχουσι om. D 29 γὰρ om. D

οὐ δυνατὸν εἶναι ἄνευ σαρκῶν καὶ ὀστέων, οὕτως οὐδὲ ταῦτα δύνανται εἶναι ἄνευ γραμμῶν. καὶ ἐντεῦθεν ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμοὺς καὶ τὰς ἰδέας λέγοντες οὕτως, οἷον τὴν γραμμὴν δυάδα, τὴν ἐπιφάνειαν τριάδα, τὸ δὲ στερεὸν τετράδα· καὶ τῶν παραδειγμάτων τούτων φασὶν εἶναι τοὺς ὁρισμούς, ἐπειδὴ εἴδη αὐτὰ ὑποτίθενται, καὶ οἱ μὲν αὐτῶν φασιν γραμμὴν εἶναι τὴν δυάδα καὶ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα οἴονται, οἱ δὲ αὐτὸ τὸ εἶδος τῆς γραμμῆς φασιν εἶναι παράδειγμα τῆς γραμμῆς. ⟨εἶτα⟩ λοιπὸν ἐγκαλεῖ αὐτοῖς ὁ Ἀριστοτέλης λέγων ὅτι εἰ τὴν δυάδα φατὲ εἶδος καὶ παράδειγμα εἶναι καὶ τῆς δυάδος καὶ τῆς γραμμῆς, διὰ τί μὴ καὶ πλειόνων; καὶ συμβαίνει οὕτως ἓν εἶδος πολλῶν εἰδῶν ὑπάρχειν παράδειγμα καὶ πάντων. ἐπειδὴ οἱ Πυθαγόρειοι τὸν τέσσαρα ἔλεγον παράδειγμα εἶναι καὶ φιλίας καὶ δικαιοσύνης καὶ ἄλλων πλείστων. εἰ οὖν ἓν τὸ εἶδος πάντων, κατὰ δὲ τὰ εἴδη οἱ ὁρισμοί, ἔσται καὶ εἷς ὁρισμός. ὧν δὲ εἷς ὁρισμός, ἓν καὶ τὸ πρᾶγμα· καὶ οὕτως ἔσονται πάντα ἕν, ὅπερ ἄτοπον. λέγομεν οὖν ἡμεῖς ὅτι τοὺς λόγους τοὺς δημιουργικοὺς ἔλεγον ἐκεῖνοι τὰ παραδείγματα· οὔτε γὰρ ἀλόγως ποιεῖ ἡ δημιουργία ἅπερ ποιεῖ. συμβολικῶς οὖν ἐπρέσβευον, ἐπειδὴ ὥσπερ τὰ εἴδη περιοριστικὰ ὑπάρχουσι τῆς ὕλης, οὕτω δὲ καὶ οἱ ἀριθμοὶ μετρητικοὶ ὑπάρχουσιν ὧν εἰσιν ἀριθμοί. εἶτά φησιν ὁ Ἀριστοτέλης ὅτι ὁ ὁρισμὸς τῷ ὄντι τῶν εἰδῶν ἐστιν, οἷον τοῦ καθόλου ἀνθρώπου, ἐπειδὴ καὶ μέρος ἐκείνου ἐστὶ τὸ καθόλου σῶμα, τὸ ἐν τῇ νοήσει λαμβανόμενον δηλονότι· τοῦ γὰρ καθ' ἕκαστα ὕλη f. 293r ἐστίν, ἐπειδὴ καὶ χωρίζεται τοῦ σώματος ἡ ψυχή. † ἡ γὰρ πρότερα ὑπάρχουσι τὰ καθόλου τῶν μερῶν, καὶ οἱ ὁρισμοὶ δὲ τῶν καθόλου ὑπάρχουσιν. εἰσὶν ἄρα καὶ τὰ καθόλου. ἐν δὲ τοῖς καθ' ἕκαστα τὸ εἶναι ἔχει, ὥσπερ καὶ ὁ ὁρισμὸς τοῦ θνητοῦ ἀεί ἐστι. διὸ τῶν ἀεί φησι γινομένων τοῦτο. ὥστε τῶν καθόλου εἰσὶν οἱ ὁρισμοὶ καὶ ἀεὶ ὑπάρχουσι καὶ ἀμερῆ εἰσι τὰ ὑποκείμενα. καὶ οὕτως οὖν ἐστι κύκλος νοητὸς ὁ καθόλου καὶ ὁ ἐν διαστάσει καὶ ὁ καθ' ἕκαστα. ὁ οὖν κυρίως ὁρισμὸς τοῦ κύκλου † ἐπεὶ τὰ καθόλου ὡς οὐδὲ τῶν τμημάτων προσδεῖται· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. εἶτα λοιπὸν ἀπορεῖ δύο ἀπορίας καὶ ὕστερον αὐτὰς ἐπιλύεται. μίαν μὲν ὅτι ἄρα, φησίν, ἔστι [γάρ] τις οὐσία ἁπλῆ αὐτὴ καθ' αὑτὴν παρὰ τὸ σύνθετον, ἢ οὐκ ἔστι; καὶ δευτέραν ἀπορίαν τοιαύτην ὅτι ἐπειδὴ ὁρισμὸς πράγματός ἐστι διαιρετοῦ καὶ πολυδυνάμου, εἴτε σώματος ὑποθώμεθα διαιρετοῦ εἴτε σώματος πολυδυνάμου, πῶς συνάπτει τὸ μεριστὸν καὶ ποιεῖ αὐτὸ ἕν; τί οὖν, φησίν, ἐστὶ τὸ αἴτιον τῆς ἑνώσεως αὐτῆς;

4 φασὶν scripsi: φησὶν libri 7. 8 γραμμῆς — ἐγκαλεῖ] γραμ (VI vel VII litterae, quae legi non possunt) λοιπὸν ἐγκαλ A: γραμμῆς sequente lacuna XV litterarum D 11 καὶ] fort. ἢ καὶ 19 ὁ (post ὅτι) om. D 22 ἡ γὰρ] fort. εἰ γὰρ, quamquam ne sic quidem sana sententia efficitur 28 ὁ (ante καθ' ἕκαστα) fort. delendum 29 ἐπεὶ — ὡς D: legi non possunt quae habet A: fort. ἐπειδὴ καθόλου ἐστίν 31 γὰρ delevi 32 περὶ D 33. 34 σώματος — διαιρετοῦ scripsi: σῶμα — διαιρετὸν libri

p. 1036a26 Ἀπορεῖται δὲ εἰκότως καὶ ποῖα τοῦ εἴδους μέρη καὶ ποῖα οὔ.

Φησὶν ὅτι ἀπορεῖται ποῖα ἄρα ὑπάρχουσι τοῦ εἴδους αὐτοῦ καθ' αὑτὸ λαμβανομένου μέρη, καὶ ποῖα τοῦ συνθέτου. τούτου γὰρ μὴ γνωσθέντος οὐκ ἔστιν ὁρίσασθαι· τοῦ γὰρ καθόλου καὶ τῶν εἰδῶν ὑπάρχουσιν οἱ ὁρισμοί. πρὸς δὲ τοὺς ὁρισμοὺς τῶν εἰδῶν δεόμεθα τῶν μερῶν αὐτῶν, ὡς ἀνωτέρω εἴρηται· ἀγνοουμένων οὖν τῶν μερῶν ἀγνοοῦνται καὶ οἱ ὁρισμοί, ὥστε καὶ τὰ εἴδη, καὶ φροῦδα, φησί, πάντα κατ' αὐτούς. ποῖα οὖν τῶν μερῶν ὕλης χρείαν ἐπέχουσι καὶ ποῖα οὐ παρέχουσι χρείαν ὕλης, ἀλλ' αὐτὸ τοῦτο μερῶν. ἐὰν μὴ γένηται ἡμῖν φανερά. οὐδὲ ὁρισμὸς τοῦ πράγματος ἔσται φανερός. ποῖα μόρια ὑπάρχουσι τοῦ εἴδους, καὶ ποῖα τοῦ συνθέτου: 6.293 ὅσα οὖν, φησί, δύναται ἐν διαφόροις ὑποκειμένοις θεωρεῖσθαι, ὥσπερ ὁ κύκλος καὶ ἐν χαλκῷ καὶ ξύλῳ καὶ λίθῳ, δῆλον ὅτι ἐπὶ τούτων οὐδὲν τῆς τοῦ κύκλου οὐσίας ἐστὶν ὁ χαλκός, ἀλλὰ ὕλη μόνον. εἰ γὰρ ἦν μέρος τῆς οὐσίας αὐτοῦ, οὐκ ἄν ποτε ἐθεωρεῖτο ἄνευ χαλκοῦ κύκλος. ὅσα δὲ μὴ ὁρῶνται χωριζόμενα, οὐδὲν κωλύει ὁμοίως ἔχειν τούτοις τοῖς κατὰ τὸν κύκλον, καὶ δύνασθαι χωρίζεσθαι κατὰ οἰκείαν φύσιν, εἰ καὶ ἡμῖν ἀγνοεῖται τὸ τοιοῦτο, ὥσπερ ἂν εἰ πάντες οἱ κύκλοι χαλκοῖ ἐφαίνοντο· καὶ οὕτως γὰρ οὐδὲν ἦν ὁ χαλκὸς τῆς τοῦ κύκλου οὐσίας. χαλεπὸν δὲ χωρίσαι τῇ διανοίᾳ, ⟨οἷον⟩ τὸ τοῦ ἀνθρώπου εἶδος· ἀεὶ γὰρ ἐν ὀστέοις μόνοις θεωρεῖται καὶ σαρξὶ καὶ νεύροις. ἆρα ταῦτα καὶ σάρκες καὶ ὀστᾶ μέρη ὑπάρχουσι τοῦ ἀνθρωπείου εἴδους ἢ ὕλη; ἐπειδὴ δὲ οὐ θεωρεῖται τὸ ἀνθρώπειον εἶδος ἐπὶ ἄλλων ὑποκειμένων. οὐ δυνατὸν χωρίσαι τὸ εἶδος αὐτοῦ ἐκ τῆς ὕλης ταύτης. ἐπεὶ οὖν δοκεῖ ἐνδέχεσθαι χωρίζεσθαι τὸ εἶδος ἐκ τῆς ὕλης ὅσον ἐπὶ τῷ λόγῳ. ἄδηλον δὲ πότε χωρίζεται. ἀποροῦσί τινες καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου. ὅτι οὐδὲ τῶν γραμμῶν ὑπάρχουσιν ὁρισμοὶ οὐδὲ τῶν συνεχῶν, τουτέστι τῶν μεγεθῶν. καὶ ταῦτα γὰρ πάντα, φασίν, ὁμοίως λέγεται ὥσπερ αἱ σάρκες καὶ ὀστᾶ· οὐ δυνατὸν γὰρ χωρίζεσθαι αὐτὰ τῶν γραμμῶν, ὥσπερ οὐδέποτε ἐκεῖνα τῶν σαρκῶν. καὶ ἐντεῦθεν λοιπὸν ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμοὺς παράδειγμα λέγοντες αὐτούς, καὶ τούτων φασὶν εἶναι τοὺς ὁρισμούς· αὐτὰ γὰρ ὑπάρχουσι τὰ χωριστὰ ὕλης, καὶ μὴ συνεπιφέρουσι τὸν ὄχλον τὸν ἐξ αὐτῆς. καὶ τὸ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα φασίν. ἐπειδὴ ἔχει δῆλον πρώτη τὸ ποθέν ποι. καὶ πάλιν οἱ τὰς ἰδέας πρεσβεύοντες οἱ μὲν τὸ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα λέγουσιν, ⟨οἱ δὲ τὴν⟩ 6.294

3 αὐτὸ scripsi: αὐτοῦ libri 15 οὐκ ἄν ποτε scripsi: ποτε A, αὐτοῦ — ποτε om. D θεωρεῖται D κύκλος scripsi: κύκλου libri ὅσα Aristoteles: ὡς A, ὥστε D 16 τούτοις τοῖς scripsi: τούτων τὴν libri 19 ἦν] fort. ἂν ἦν 20 οἷον addidi 20. 21 ἐν τοῖς ὀστέοις D 28 φασίν scripsi: φησίν libri 32 συνεπιφέρουσι scripsi: συνεπιφέρων libri 32. 33 τὸν ὄχλον — γραμμῆς om. D 33 φασίν scripsi: φησίν libri 35 λέγουσι sequente lacuna VIII litterarum A, X litterarum D: οἱ δὲ τὴν addidi

ἰδέαν τῆς γραμμῆς. ἔνια γὰρ ὑπάρχουσι ταὐτὸ κατὰ τὸ εἶδος καὶ κατὰ τὸ πρᾶγμα (τὸ γὰρ πρᾶγμα ἐδήλωσε εἰπὼν καὶ οὗ τὸ εἶδος), τὰ ἁπλᾶ, τουτέστιν ἡ δυάς· οὐκ ἀνάγκη γὰρ τὸν λόγον τῆς δυάδος θεωρεῖσθαι ἔν τινι, ὥσπερ τὴν γραμμὴν ἢ τὸν κύκλον· διό φησιν οἷον δυάδα καὶ τὸ
5 εἶδος τῆς δυάδος. ἐπὶ δὲ τῆς γραμμῆς οὐκέτι· ἔνυλος γάρ ἐστιν ἡ γραμμή. τοῖς οὖν ταῦτα λέγουσι συμβαίνει ἓν πρᾶγμα, τουτέστι τὴν δυάδα, πολλῶν εἶναι ἰδέαν διαφόρων κατ' εἶδος, ὅπερ καὶ τὸν Πυθαγόραν συνέβαινε λέγειν, τὴν τετράδα ἰδέαν εἶναι καὶ φιλίας καὶ δικαιοσύνης καὶ ἄλλων πολλῶν. ἐνδέχεται οὖν πάντων ἓν εἶδος ποιεῖν. εἰ γὰρ δυοῖν τὸ
10 αὐτὸ εἶδος, διὰ τί μὴ καὶ πλειόνων; καὶ οὕτως ἔσονται πάντα ἕν, ὡς ἔδειξεν ἡ θεωρία.

p. 1036b21 Ὅτι μὲν οὖν ἔχει ἀπορίαν τινὰ τὰ περὶ τοὺς ὁρισμούς.

Φησὶν ὅτι ἄπορος ὁ περὶ ὁρισμῶν λόγος, εἴ γε τῶν εἰδῶν ὑπάρχουσιν οἱ ὁρισμοί, αὐτὰ δὲ καθ' αὑτὰ τὰ εἴδη οὐ ῥᾴδιόν ἐστιν ἑλεῖν,
15 ἐπειδὴ μηδὲ ἴσμεν ποῖα μέρη ὑπάρχουσι τῶν εἰδῶν καὶ ποῖα τῶν συνθέτων. καὶ πάλιν τὸ ποιεῖν πάντων ἰδέας καὶ πάντα χωρίζειν τὰ εἴδη οὐκ ἀληθές· πῶς γὰρ δυνατόν ἐστι χωρίσαι τὴν σιμότητα, ἥτις οὐ δύναται ὑποστῆναι ἄνευ ῥινός; τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν τόδε ἐν τῷδε ἐστὶν ἢ ὧδὶ ταδὶ ἔχοντα, ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου καὶ τῶν σαρκῶν. εἶτα
20 λοιπὸν μέμφεται τῷ Σωκράτει τῷ νεωτέρῳ, οὗ μέμνηται Πλάτων ἐν τῷ Πολιτικῷ· σύγχρονος δὲ οὗτος γεγονὼς Θεαιτήτου. ἔξω γάρ, φησί, τῆς ἀληθείας ὁ παρ' αὐτοῦ λόγος ἀπάγει ἡμᾶς· φησὶ γὰρ ὅτι δυνατὸν εἶναι τὸν ἄνθρωπον ἄνευ τῶν μερῶν, ὥσπερ τὸν κύκλον ἄνευ τοῦ χαλκοῦ. τοῦτο δ' οὐκ ἔστιν ὅμοιον· ὁ μὲν γὰρ κύκλος μαθηματικός ἐστι,
25 τὸ δὲ ζῷον αἰσθητὸν ὑπάρχει. καὶ ἄνευ κινήσεως τὸ σύνθετον ζῷον οὐκ ἔστιν ὁρίσασθαι (ἡ γὰρ φύσις ἀρχὴ κινήσεως) οὐδὲ ἄνευ τῶν με- f.294v
ρῶν ἐχόντων τὴν κυρίως ἐνέργειαν. οὔτε γὰρ ἡ τυχοῦσα χεὶρ μέρος τοῦ ἀνθρώπου, ἀλλὰ ἡ ἔχουσα καὶ δυναμένη ἀποτελεῖν ἔργον ἐμψύχου. ὥστε εἰ μὴ ἔμψυχος, ὁμώνυμός ἐστι.

30 p. 1036b32 Περὶ δὲ τὰ μαθηματικά.

Ἐντεῦθεν περὶ τῶν ἡμικυκλίων ζητεῖ, καί φησι διὰ τί μὴ λέγομεν μέρη τοῦ κύκλου τὰ ἡμικύκλια· οὔτε γὰρ αἰσθητὰ ταῦτα, ὥσπερ σάρκες καὶ νεῦρα. ἰστέον οὖν ὅτι οὐδὲν διαφέρει τὸ λέγειν σάρκα ἢ ἡμικύκλιον. ἔστι γὰρ ἡ ὕλη ἐπ' ἐνίων καὶ μὴ ὄντων αἰσθητῶν, καὶ παντὸς πράγματος

1 ταὐτὸ κατὰ τὸ] ταυτῶ κατὰ τὸ, ut videtur, A: lacuna VII litterarum D 4 φησιν scripsi: φασὶν libri 9 δυοῖν scripsi: δύο libri 12 ὁρισμούς scripsi: coll. vv. 13. 14: ἀριθμούς libri 15 μήτε libri 24 τοῦτο — ὅμοιον scripsi] μοῖον AD: quae praecedunt XV fere litterae legi non possunt 25 ἄνευ κινήσεως Aristoteles: ἀνακινήσεως libri 28 ἔχουσα] fort. addendum κίνησιν 33 τὸ scripsi: τοῦ libri

μὴ ὄντος εἴδους χωριστοῦ. ὥστε τοῦ καθόλου κύκλου τοῦ ἀδιαστάτου οὐχ ὑπάρχουσι μέρη ταῦτα τὰ ἡμικύκλια, εἴ γε καὶ διαστατὰ αὐτὰ ὑπεθέμεθα· τῶν δὲ καθ' ἕκαστα μέρη ταῦτα ὑπάρχουσιν, ὥσπερ εἴρηται πρότερον· ⟨οὐ⟩ γὰρ τοῦ λόγου τοῦ κύκλου· ἐν τούτοις γὰρ θεωροῦνται οἱ καθ' ἕκαστα κύκλοι. ἔστι γὰρ ὕλη ἡ μὲν αἰσθητὴ οἷον χαλκῆ ξυλίνη κύκλῳ, ἡ δὲ νοητὴ ἡ τῶν ἡμικυκλίων· οὔτε γὰρ πάντως ἐν ὕλῃ τὸ εἶναι ἔχουσιν, ⟨ἀλλ'⟩ ἅμα καὶ ἐν τῇ νοήσει τῇ ἡμετέρᾳ. ἰστέον οὖν ὅτι ἡ ψυχὴ ἡ λογικὴ οὐσία ἐστὶν ἡ πρώτη, τουτέστι τὸ ἄυλον εἶδος, τὸ δὲ σῶμα ὕλη, ᾧ κέχρηται ὡς ὀργάνῳ, ὁ δὲ ἄνθρωπος καὶ τὸ ζῷον τὸ ἐκ ψυχῆς καὶ σώματος, ὡς καθόλου ὁ ἁπλῶς ἄνθρωπος καὶ τὸ ἁπλῶς ζῷον, ὡς ἐν τῇ θεωρίᾳ εἰρήκαμεν· Σωκράτης δὲ καὶ ὁ Κορίσκος εἰ μὲν κατὰ * * * ψυχὴν μόνην χαρακτηρίζονται, διττόν ἐστι συγκείμενον ἐκ ψυχῆς καὶ σώματος· οἱ μὲν γὰρ τὴν ψυχήν φασι τὸν ἄνθρωπον, οἱ δὲ τὸ σύνθετον· εἰ δὲ ἁπλῶς λέγονται, τουτέστι μοναχῶς, ἡ ψυχὴ καὶ τὸ σῶμα ὡς ἕν, ὥσπερ ἡ βα συλλαβή ἐστι τὸ καθόλου τε καὶ τὸ καθ' ἕκαστον (λέγεται δὲ ἡ βα συλλαβὴ καὶ ἁπλῶς καὶ καθ' ἕκαστον, ἡνίκα συνταχθῇ ἐν λέξει ἐν τῇ βάρος) οὕτως οὖν ἐστι καὶ ἁπλῶς ἄνθρωπος καὶ ὁ καθ' ἕκαστα· ὁ γὰρ ἁπλῶς καὶ καθ' ἕκαστα θεωρεῖται· οὗτος δέ ἐστιν ὁ λόγος ὁ δημιουργικός.

p. 1037a10 Πότερον δὲ ἔστι τι παρὰ τὴν ὕλην τῶν τοιούτων τις οὐσιῶν. f. 295r

Ἐντεῦθεν τὰς ἀπορίας κινεῖ, καί φησιν ὅτι ἄρα ἔστι τις ἑτέρα οὐσία παρὰ τὴν ὕλην τῶν τοιούτων οὐσιῶν τῶν συνθέτων, καὶ δεῖ ζητεῖν οὐσίαν αὐτῶν ἑτέραν τινά, οἷον ἀριθμοῦ, ἢ ἰδέας, δεῖ ἡμᾶς ὕστερον τοῦτο ἐπισκέψασθαι. διὰ τοῦτο γὰρ καὶ θεολογοῦντες περὶ τῶν αἰσθητῶν διαλεγόμεθα (ἐπειδὴ φιλοσοφίας ἐστὶ τῆς δευτέρας, φημὶ δὴ τῆς φυσικῆς, περὶ τῶν αἰσθητῶν οὐσιῶν διαλέγεσθαι). ἐπειδὴ τὰς ἰδέας τούτων τῶν αἰσθητῶν λέγουσιν εἶναι. ἰστέον οὖν ὅτι οὐ μόνον περὶ τῆς ὕλης διαλέγεται ὁ φυσικός, ἀλλὰ καὶ περὶ τοῦ εἴδους, καὶ μᾶλλον περὶ τοῦ εἴδους. πανάπορος ⟨δ'⟩ ἐστὶν ὁ λόγος πῶς μέρη ὑπάρχουσιν ἐπὶ τῶν ὁρισμῶν τὰ ἐν τῷ λόγῳ, καὶ διότι εἷς λόγος γίνεται ⟨ὁ⟩ ὁρισμός. δῆλον, ὅτι τὸ πρᾶγμα ἕν, ἔστιν εἷς ὁρισμός, ἐπεὶ οὐκ ἔμελλεν εἶναι εἷς· πῶς δὲ ἓν γίνεται τὸ πρᾶγμα μέρη ἔχον, ὕστερον ἐροῦμεν. καὶ μετ' ὀλίγον περὶ τῶν δύο ἀπορίων ἐρεῖ.

1 ἀδιαστάτου scripsi: διαστατοῦ libri 4 οὐ addidi 5 κύκλῳ scripsi: τῷ D: lacuna IV fere litterarum A 7 ἀλλ' addidi 10 ζῷον scripsi: σῶμα libri 11 inter κατὰ et ψυχὴν V fere litterae, quae legi non possunt A: κατὰ δὲ τὴν ψυχὴν D 15 ἐστι—συλλαβὴ (16) om. D 17 βάρος scripsi: βάφος libri 18 ὁ γὰρ—καθ' ἕκαστα om. D οὗτος scripsi: οὕτως libri 20 τι] sic etiam Metaph. duo libri 24 αὐτῶν om. D τινά scripsi: τινὰς libri ἀριθμοὺς Aristoteles 28 ὅτι οὐ om. D 30 δ' addidi 31 ὁ ex Aristotele addidi

p. 1037a21 Τί μὲν οὖν ἐστι τὸ τί ἦν εἶναι.

Συμπεραίνεται τὰ εἰρημένα καί φησιν ὅτι εἰρήκαμεν τί ἐστι ⟨τὸ τί ἦν εἶναι ἑκάστῳ⟩ καὶ τὸ δυνάμενον χωρίζεσθαι τῆς ὕλης, ἀλλ' οὐ τῶν * * * καὶ πῶς αὐτὸ καθ' αὑτό ἐστι καθόλου ἢ νοητὸν ἐν τῇ νοήσει τῇ ἡμετέρᾳ ὑπάρχον· καὶ διὰ τί ἐφ' ὧν μὲν ὁ ὁρισμὸς συμπεριλαμβάνει καὶ τὰ μόρια τοῦ ὁριστοῦ, ἐπειδὴ οὐ δυνατόν ἐστιν εἶναι τὸ εἶδος ἄνευ τῆς ὕλης, ὥσπερ ἐπὶ τῆς σιμότητος, ἔστι δὲ ὅτε ἄνευ τῶν μορίων, ὡς ἐπὶ τῆς κοιλότητος καὶ τοῦ κύκλου καὶ τῆς ψυχῆς· ταῦτα γὰρ οὐχ ὑπάρχουσιν ἐν ἀφωρισμένῳ τινὶ ὑποκειμένῳ· καὶ ὅτι ἐν μὲν τῷ τοῦ εἴδους ὁρισμῷ τὰ οὕτω μόρια οὐκ ἔστιν ὡς ὕλη· οὐδὲ γάρ ἐστι ἐκείνης τῆς οὐσίας, ἀλλὰ τῆς συνθέτου, ὥσπερ ἐπὶ τοῦ χαλκοῦ κύκλου. ἡ γὰρ ὕλη χαλκῆ μόριον γίνεται καὶ ὕλη τοῦ χαλκοῦ κύκλου, τὸ ὅλον τοῦτο· οὐ γὰρ τοῦ κύκλου τοῦ λεγομένου ὑπὸ μιᾶς γραμμῆς περιέχεσθαι. ταύτης οὖν τῆς συνθέτου οὐσίας καὶ ἔστιν ὁρισμὸς καὶ οὐκ f. 295v ἔστιν· ἡνίκα γὰρ μετὰ τῆς ὕλης ὁριζόμεθα, οὐκ ἔστιν. ἐπειδὴ ἀόριστον πρᾶγμά ἐστιν ἡ ὕλη καὶ ῥευστόν, ὥστε οὐκ ἐᾷ τὸν ὁρισμὸν ἔχειν τὸ ἀμετάθετον διὰ τὴν οἰκείαν τροπήν. κατὰ δὲ τὸ εἶδος ἔστιν, οἷον ἀνθρώπου ὁ τῆς ψυχῆς ὁρισμὸς κυρίως ἐστίν· ἡ γὰρ κυρίως οὐσία τὸ εἶδός ἐστι τὸ ἑνὸν ἐν τῷ σώματι. ἐξ οὗ εἴδους καὶ τῆς ὕλης τὸ σύνολον γίνεται τῇ οὐσίᾳ, οἷον, ὥς φησιν αὐτός, ἡ κοιλότης· ἐκ ταύτης γὰρ καὶ τῆς ῥινὸς σιμὴ ῥὶς γίνεται σύνθετον καὶ ἔνυλον πρᾶγμα. καὶ δὶς ὑπάρχει ἐν τούτοις ἡ ῥίς· ὁ γὰρ λέγων σιμὴν ῥῖνα δὶς λέγει τὴν ῥῖνα· καὶ τὸ σιμὸν γὰρ εἰσάγει τὴν ῥῖνα, ἐπειδὴ οὐ δυνατὸν ἐν ἄλλῳ μέρει θεωρηθῆναι * * * Καλλίᾳ ἔνεστι καὶ ὕλη * * * καὶ ὅτι τὸ εἶδος καὶ τὸ πρᾶγμα ἐπὶ τῶν ἁπλῶν τὸ αὐτό ἐστι· διό φησιν ὥσπερ ἐπὶ τῶν πρώτων οὐσιῶν καὶ ἀύλων· ταὐτὸν γάρ ἐστι ψυχὴ καὶ ψυχῇ εἶναι. λέγει δὴ πρώτην οὐσίαν καὶ ἄυλον τὴν μὴ δεομένην ὑποκειμένου πρὸς τὸ εἶναι. ὅσα δὲ ὡς ἐν ὕλῃ θεωροῦνται, ταῦτα ἕν τι ὑπάρχουσιν ἀμφότερα τὸ εἶδος καὶ ἡ ὕλη· τὸ δὲ ἓν τοῦτο οὐσιῶδές ἐστι καὶ οὐ κατὰ συμβεβηκός, ὥσπερ ὁ Σωκράτης καὶ ὁ μουσικὸς Σωκράτης κατὰ συμβεβηκός ἐστιν ἕν, ἐπειδὴ συνέβη τὸν Σωκράτη μουσικὸν εἶναι.

2. 3 τὸ — ἑκάστῳ scripsi: XVII litterae quae legi non possunt A: lacuna XVIII litterarum D, qui etiam τί ἐστι omittit 3 δυνάμενον om. D 3. 4 post τῶν IV litterae evanidae A: lacuna VIII litterarum inter ὕλης (3) et καὶ D: fort. legendum ἀλλ' οὐ πάντως (vel παντελῶς) 4 καὶ ὅλου D 6 ὁριστοῦ scripsi: ὁρισμοῦ libri 10 ἐκείνης Aristoteles: ἐκεῖνα libri 12 τοῦ om. D 13 τοῦ (post κύκλου) om. D 24 θεωρηθῆναι] XXIV fere litterae deperditae: addendum ἐν δὲ τῇ συνόλῳ οὐσίᾳ οἷον ἐν 25 ὕλη] lacuna XV fere litterarum A, X litterarum D ἁπλῶν] sic fort. A: lacuna V litterarum D 27 λέγει scripsi: λεγ//// A, λέγεται D καὶ scripsi: τὸ libri

p. 1037ᵇ8 Νῦν δὲ λέγομεν πρῶτον ἐφ' ὅσον ἐν τοῖς Ἀναλυτικοῖς περὶ ὁρισμοῦ μὴ εἴρηται.

Εἰρήκαμεν καὶ τῇ προτεραίᾳ ⟨ὅτι⟩ δύο ἀπορίας ἐκτίθεται ὁ Ἀριστοτέλης, μίαν μὲν τὴν λέγουσαν, ἆρα τῷ ὄντι ὑπάρχουσιν οὐσίαι χωρισταί, οἷον αὐτοάνθρωπος καὶ αὐτοίππος, πρὸ τῶν συνθέτων οὐσιῶν τούτων, καὶ ἐπὶ τῶν ἄλλων πάντων τῶν φυσικῶν, ἢ οὔ· δευτέραν δὲ τὴν περὶ τῶν ὁρισμῶν ὅτι πῶς φαμεν ἕνα εἶναι τὸν ὁρισμὸν τοῦ ἀνθρώπου, εἰ τύχοι, τὸν λέγοντα ὅτι ζῷον λογικὸν θνητόν, εἴ γε πολλά ἐστιν αὐτοῦ μόρια, πῶς οὖν ἐστιν εἷς ὁ ὁρισμός; τῷ γὰρ γένει ἢ σύνεισιν αἱ διαφοραὶ ἢ οὐ f.296r σύνεισιν. εἰ μὲν οὖν μὴ σύνεισιν, ἀλλὰ διακέκριται ἀπ' ἀλλήλων, ὁμολογοῦμεν ὡς πολλὰ ὑπάρχουσι καὶ οὐχ ἕν· πῶς γὰρ δυνατόν ἐστι λέγειν τὰ διακεκριμένα ἓν εἶναι; εἰ δὲ μὴ διακέκριται ἀλλὰ ἅμα ὑπάρχουσι, συμβήσεται τὰ ἐναντία ἅμα ἐν τῷ αὐτῷ εἶναι, ὅπερ ἐστὶν ἀδύνατον. ἄλλως τε δὴ πῶς δυνατόν ἐστιν ἐκ τοῦ γένους καὶ τῶν ἐναντίων συνίστασθαι πρᾶγμά τι; παρὰ γὰρ τὴν ἐνάργειαν τοῦτο ὑπάρχει. πῶς δὲ τὸ ζῷον τὸ τοῦ ἀνθρώπου † δέξαι * * * πάλιν ὑποθώμεθα αὐτὸ μίαν ἔχειν διαφοράν, πρῶτον μὲν ἀποκληρωτικὸς ὁ λόγος. διὰ τί γὰρ τήνδε ἔχει καὶ μὴ τήνδε; καὶ διὰ τί μία καὶ μὴ πλείους; ἔπειτα συμβήσεται πάντα τὰ ζῷα λογικὰ εἶναι, ὅπερ πάλιν καὶ αὐτό ἐστι παρὰ τὴν ἐνάργειαν. εἰ δέ τις εἴποι, καθάπερ εἴρηται, ὅτι πάσας ἔχει ἐν ἑαυτῷ τὰς διαφορὰς τὸ ζῷον, συμβήσεται ἐξ ἁπασῶν τῶν διαφορῶν ἕν τι εἶναι, εἴ γε τὸ γένος μετὰ τῶν διαφορῶν ἑνὸς πράγματός ἐστι δηλωτικόν· ὅπερ ἐστὶ καταγέλαστον. οὕτως ἀπορήσας ἐντρέχων πρὸς τοὺς ὁρισμούς (ἀντιλέγει γὰρ Πλατωνικοῖς), ἐπειδὴ [δὲ] ἐκ τῆς διαιρετικῆς μεθόδου λαμβάνων ὁ ὁριστικὸς οὕτως ὁρίζεται, φησὶν οὖν ὅτι οὐ καλῶς ἐποιοῦντο ἐκεῖνοι τὰς διαιρέσεις τῶν γενῶν εἰς τὰς διαφοράς. καὶ ἐντεῦθεν οὖν συνέβαινέ τι ἄτοπον περὶ τοὺς ὁρισμούς. διήρουν γὰρ οὕτως ὅτι τοῦ ζῴου τὸ μέν ἐστι λογικόν, τὸ δὲ ἄλογον· καὶ πάλιν διήρουν τὸ λογικὸν εἰς τὸ θνητὸν καὶ ἀθάνατον ἀμεθόδως πάνυ· καὶ αὕτη γὰρ ἡ διαίρεσις τοῦ γένους ἐστίν, οὐ τῶν διαφορῶν. κἂν γὰρ μὴ ἐδύνατο διαιρεθῆναι τὸ λογικὸν εἰς τὸ θνητὸν καὶ ἀθάνατον, οὐδὲν ἧττον τὸ ζῷον ὡς γένος ὑπάρχον διῃρεῖτο εἰς τὰς οἰκείας αὐτοῦ διαφοράς· ὥστε κατὰ συμβεβηκὸς διαιρεῖται τὸ λογικὸν εἰς τὸ θνητὸν καὶ ἀθάνατον. ὅτι γὰρ οὐκ εἰσι διαφοραὶ αὐτοῦ, f.296v δῆλον ἐντεῦθεν· ὥσπερ ἐπειδὴ τὸ λογικὸν διαφορά ἐστιν τοῦ ζῴου, πάντως εἰσάγει αὐτό, καὶ ὅπου λογικόν, πάντως ἐκεῖσε καὶ ζῷον, καὶ πάλιν ὅπου θνητὸν ἢ ἀθάνατον, ἐκεῖ πάντως καὶ ζῷον ὑπάρχει, ἔδει καὶ ὅπου

3 ὅτι addidi 9 ὁ om. D 15 ἐνέργειαν D 16 post δέξαι desunt XXIV fere litterae A, XV litterae D: res tale aliquid postulat δέξεται ἅμα τὸ λογικὸν καὶ τὸ ἄλογον. εἰ δὲ cf. p. 425,19 sqq. αὐτὸ—ἔχειν in lacuna om. D 19 λογικὰ in lacuna om. D ἐνέργειαν libri 24 δὲ delevi 29 αὕτη scripsi: αὐτὴ libri 34 διαφορά—λογικόν (35) om. D

θνητόν, ἐκεῖ πάντως εἶναι τὸ λογικόν, ὅπερ ἐστὶ παρὰ ⟨τὴν ἐνάργειαν⟩· ἵππος ⟨γὰρ⟩ θνητὸς μέν ἐστι, λογικὸς δὲ οὐκ ἔστιν· ὥστε οὐχ ὑπάρχουσι διαφοραὶ τοῦ λογικοῦ τὸ θνητὸν καὶ ἀθάνατον. οὐκ ἄρα δεόντως ποιοῦσι τὴν διαίρεσιν. δεῖ γὰρ μετὰ τὴν τοῦ γένους διαίρεσιν εὐθέως τὴν διαφορὰν διαιρεῖν. ἔδει οὖν αὐτοὺς οὕτως ποιεῖν ὅτι τοῦ ζῴου τὸ μέν ἐστι λογικὸν τὸ δὲ ἄλογον, καὶ τοῦ λογικοῦ τὸ μὲν αἰώνιον ἔχει τὴν νόησιν, τὸ δὲ ἔγχρονον· καὶ τῷ ὄντι τῆς διαφορᾶς ἐποιεῖτο ἡ διαίρεσις καὶ ὀρθῶς οἱ ὁρισμοὶ προήρχοντο. ὥσπερ γὰρ ὁ διαιρῶν τὸ ποσὸν μέγεθος εἰς γραμμὴν καὶ ἐπιφάνειαν καὶ σῶμα οὐκ ὀφείλει διαίρεσιν ἑτέραν τοῦ γένους ποιῆσαι καὶ λέγειν ὅτι τῆς γραμμῆς ἡ μέν ἐστι συνεχής, ἡ δὲ διωρισμένη (πάλιν γὰρ τοῦ γένους ἐποιεῖτο τὴν διαίρεσιν) οὕτως, φημί, καὶ ἐπὶ τοῦ ζῴου λογικοῦ. ἔδει γὰρ αὐτὸν διαίρεσιν τῆς γραμμῆς ποιήσασθαι. τοὺς γὰρ τοιούτους, φησί, συμβαίνει ἀδολεσχεῖν. ὁ γὰρ λέγων τὸν ἄνθρωπον ζῷον λογικὸν θνητὸν οὐδὲν ἄλλο λέγει ἢ ὅτι ζῷον λογικὸν λογικόν· τὸ γὰρ θνητὸν ἐπὶ τοῦ ἀνθρώπου πάντως εἰσάγει τὸ λογικόν. καὶ ὥς φησιν αὐτός, οὐ δεῖ λέγειν ζῷον δίπουν ὑπόπουν. τὰ αὐτὰ γὰρ λέγει καὶ οὐδὲν ἕτερον λέγει ⟨ἢ⟩ ὅτι δίπουν δίπουν, εἴ γε τὸ ὑπόπουν εἰσάγει τὸ δίπουν. οὕτως ἐγκαλέσας τοῖς Πλατωνικοῖς ἀμεθόδως διαιροῦσιν ἐντεῦθεν ἐπιλύεται τὴν περὶ τῶν ὁρισμῶν ἀπορίαν, καί φησιν ὅτι ὥσπερ ἡ φωνὴ ὕλη ἐστὶ τῶν στοιχείων καὶ τοῦ βαρέος φθόγγου καὶ τοῦ ὀξέος καὶ τῆς σημαντικῆς καὶ τῆς ἀσήμου, καὶ ἕν τι ἀποτελεῖ * * * εἴδους (οὔτε γὰρ δυνατὸν λέγειν τὴν ἄνθρωπος φωνὴν δύο εἶναι· ἓν γάρ τί ἐστι τὸ ὅλον τοῦτο φωνὴ σημαντική), οὕτως δέ φημι καὶ ἐπὶ τῶν ὁρισμῶν, ὅτι τὰ γένη τὰ παραλαμβανόμενα ἀεὶ εἰς τὸν ὁρισμὸν ὕλη ἀναλογοῦσιν, ἡ δὲ τελευταία διαφορὰ εἴδει. ὥσπερ οὖν τὸ εἶδος προσελθὸν τῇ ὕλῃ ἕν τι ποιεῖ πρᾶγμα καὶ οὐ δυνατόν ἐστι διαμερίζειν τὸ εἶδος τοῦ Σωκράτους τῆς ὕλης αὐτοῦ, ἀλλὰ τὸ συναμφότερον ἕν τι ὑπάρχει, οὕτως φημὶ καὶ ἐπὶ τῶν ὁρισμῶν, ὅτι πᾶσαι αἱ διαφοραὶ πρὸ τῆς τελευταίας διαφορᾶς ὕλῃ ἀναλογοῦσιν, οἷον τὸ ζῷον, τὸ λογικόν, τὸ θνητόν, ἡ δὲ τελευταία ἡ λέγουσα νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἴδει. διὸ μιμεῖται τὸ εἶδος· προσερχόμενον γὰρ τῇ ὕλῃ ἑνοῖ αὐτὴν καὶ ἕν τι ποιεῖ τὸν ὁρισμόν, καὶ οὐκέτι λοιπὸν δυνατὸν δηλοῦν ἕτερόν τι παρὰ τὸ ἓν ὑποκείμενον· καὶ τότε εὐλόγως εἷς λέγεται εἶναι ὁ ὁρισμός. ὁμοίως δὲ οὗτος ὁ λόγος ἁρμόσει καὶ ἐπὶ πάντων τῶν ὁρισμῶν, λεγόντων ὅτι ἡ τελευταία διαφορὰ εἴδει ἁρμόττει, τὸ δὲ γένος καὶ αἱ ἄλλαι διαφοραὶ ὕλῃ, καὶ προσερχομένη αὐτὴ καὶ εἶδος ποιοῦσα ἕν τι ποιεῖ τὸν ὁρισμόν, ὥσπερ τὸ εἶδος καταλάμψαν τὴν ὕλην ἕν τι πρᾶγμα αὐτὴν ἐποίησε, φημὶ τὸν Σωκράτη· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

f. 297r

1 inter ἐστι et ἵππος (2) lacuna XV litterarum D: παρὰ sequente lacuna XII litterarum A
2 γὰρ addidi 7 τῆς διαφορᾶς—ἡ διαίρεσις scripsi: τὴν διαφορὰν—τῆς διαιρέσεως libri 14 λογικὸν semel D 17 ἢ addidi 21 inter ἀποτελεῖ et εἴδους desunt XXII litterae D: ταιτ (VII litt. quae legi non possunt) δὲ ὑλικ (II litt. exciderunt) A: res tale aliquid postulat ἀποτελεῖται προσελθόντος τῇ ὕλῃ τοῦ εἴδους; cf. quae sequuntur
25 ἔδει libri προελθὸν libri 33 οὗτος scripsi: οὕτως libri 34 λέγοντες A
35 προσερχόμεναι ἡ αὐτὴ libri καὶ om. D

p. 1037b8 Νῦν δὲ λέγομεν πρῶτον ἐφ' ὅσον ἐν τοῖς Ἀναλυτικοῖς.

Ἐπειδὴ ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν δευτέρων Ἀναλυτικῶν ἐκίνησε τὸν περὶ ὁρισμῶν λόγον, φησὶν ἐνταῦθα ὅτι εἴ τι ἡμῖν ⟨ἐκεῖ μὴ εἴρηται περὶ⟩ τῶν ὁρισμῶν, ἐνταῦθα ἀναπληροῦμεν. ἡ γὰρ ⟨ἐκεῖ⟩ ἀπορία λεχθεῖσα ἀναγκαία ἐστὶν εἰς τὸν τῆς περὶ οὐσίας λόγον. ἔστι δὲ ἡ ἀπορία τοιαύτη, δι' ἣν αἰτίαν τὸν λόγον, τουτέστι τὸν ὁρισμόν, ἕνα φαμὲν εἶναι, ὥσπερ τοῦ ἀνθρώπου τὸ ζῷον δίπουν· ἔστω γὰρ νῦν καθ' ὑπόθεσιν καὶ οὕτως αὐτοῦ ὁ ὁρισμός. διὰ τί γὰρ τοῦτο ἓν λέγομεν καὶ μὴ πολλά, φημὶ δὴ τὸ ζῷον δίπουν; ἐπὶ μὲν γὰρ ⟨τοῦ⟩ ἄνθρωπος καὶ λευκὸς πολλὰ τὰ αὐτὰ ὑπάρχει, ὅταν μὴ συνυπάρχωσιν ἀλλήλοις ἀλλὰ κεχω- f.297v
ρισμένα ὦσιν ἀπ' ἀλλήλων· ἓν δὲ γίνεται, ὅταν ἅμα ὑπάρχωσι καὶ παθὸν τὸ ὑποκείμενον δέξηται τὸ λευκόν· ἓν δὲ κατὰ συμβεβηκὸς δῆλον ὁ λευκὸς ἄνθρωπος, ἐπειδὴ συνέβη τὸν ἄνθρωπον λευκὸν εἶναι. ἐνταῦθα μὲν ἐπὶ τοῦ ὁρισμοῦ, τουτέστι τοῦ γένους καὶ τῆς διαφορᾶς, οὐ μετέχει θατέρου θάτερον· τὸ γὰρ γένος οὐ δοκεῖ μετέχειν τῶν διαφορῶν· ἔμελλε γὰρ λέγεσθαι τῶν ἐναντίων μετέχειν· ἐναντίαι γὰρ αἱ διαφοραὶ αἷς διαφέρει τὸ γένος, τουτέστι τὸ λογικὸν καὶ ἄλογον. πῶς οὖν δυνατὸν τῷ ἐν τῷ ἀνθρώπῳ ζῴῳ (περὶ αὐτοῦ γὰρ ὁ λόγος ἐστίν, ἐπειδὴ καὶ περὶ ὁρισμοῦ τοῦ ἀνθρώπου διαλεγόμεθα) συνυπάρχειν ἅμα τὸ λογικὸν καὶ τὸ ἄλογον; εἰ δὲ καὶ ὑποθώμεθα μετέχειν τὸν αὐτὸν λόγον, τουτέστι πλειόνων διαφορῶν τὸ ζῷον τὸ τοῦ ἀνθρώπου, εἴπερ αἱ διαφοραὶ πλείους ὑπάρχουσιν, ὥς φησιν αὐτός, οἷον πεζόν, δίπουν, ἄπτερον (ταῦτα γὰρ πάντα διαφοραὶ ζῴου ὑπάρχουσι)· διὰ τί γὰρ ταῦτα ἓν λέγομεν εἶναι καὶ μὴ πολλά; οὐ γὰρ ἐπειδὴ συνυπάρχουσιν αὐτῷ, δεῖ λέγειν αὐτὰ ἕν * * * τῶν διαφορῶν ἓν γίνεσθαι πρᾶγμα, εἴπερ ὁ ὁρισμὸς ἑνὸς πράγματός ἐστι δηλωτικός, ταῦτα δὲ πάντα ἐμπεριέχεται ἐν τῷ ὁρισμῷ, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν. οὕτω γὰρ εὑρεθήσεται ὁ ἄνθρωπος πλεῖστα ὅσα, καὶ πτερωτὸν καὶ ἔνυδρον καὶ ἄλλα μυρία, ἐπειδὴ τὸ ζῷον τὸ ἐν αὐτῷ μετέχει τούτων. δεῖ δὲ ἓν εἶναι πάντα τὰ ἐν τῷ ὁρισμῷ, ἐπειδὴ ὁ ὁρισμὸς μιᾶς φύσεώς ἐστι δηλωτικός· διὰ τοῦτο γὰρ καὶ ὁρισμὸς λέγεται ὡς διαιρῶν καὶ χωρίζων τὸ ὁριστὸν τῶν ἄλλων εἰδῶν. ὥστε ἑνὸς πράγματος δεῖ αὐτὸν εἶναι λόγον τὸν ὁρισμόν· καὶ γὰρ ἡ οὐσία, ἥστινός ἐστιν, ἕν τι σημαίνει καὶ τόδε, ὡς εἰρήκαμεν.

4 post ἡμῖν desunt XVII litterae A, XII litterae D; explevi ex Aristotele 5 ἐκεῖ addidi: de re ipsa cf. Anal. post. B 6 p. 92a29 10 τοῦ ex Aristotele addidi 12 ὦσιν scripsi: εἰσὶν libri 12. 13 παθὸν scripsi: παθῶν libri 14. 15 ἐνταῦθα δὲ Aristoteles 21. 22 εἰ δὲ — λόγον om. D εἰ δὲ καὶ μετέχει, ὁ αὐτὸς λόγος Aristoteles 23 αὐτήν D 26 post ἓν desunt XXI litterae A, XVIII litterae D: fort. addendum οὕτω γὰρ πάντα ἔσται ἕν. δεῖ δ' ἐκ 28 ἐνέργειαν libri

p. 1037b27 Δεῖ δὲ ἐπισκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν.

Ἐντεῦθεν ἐνίσταται πρὸς τοὺς Πλατωνικοὺς ἐγκαλῶν αὐτοῖς ὡς ὅτι f.298r ἀμεθόδως τῇ διαιρετικῇ κέχρηνται· καί φησιν ὅτι δεῖ ἡμᾶς ἐπισκοπεῖν περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν. οὐδὲν γὰρ δεῖ παραλαμβάνεσθαι ἐν τῷ ὁρισμῷ πλὴν τὸ πρῶτον γένος καὶ τὴν τελευταίαν διαφοράν· τὰ δὲ ἄλλα πάντα γένη ὑπάρχουσιν. ὡς ἔδειξεν ἡ θεωρία. [τουτέστι] τὸ πρῶτον καὶ αἱ σὺν αὐτῷ λαμβανόμεναι διαφοραί· οἷόν φησιν αὐτὸς τὸ πρῶτον ζῷον † δῆλον ἔχομεν ζῷον δίπουν. καὶ πάλιν ζῷον δίπουν ἄπτερον· ὁμοίως δὲ καὶ ⟨εἰ⟩ πλείονα λέγονται. ὅλως δὲ οὐδὲν διαφέρει, κἂν ἐλάττω λέγηται. πλὴν τῶν δύο. τοῖς δύο οὖν δεῖ χρῆσθαι. τῷ μὲν ἑνὶ γένει, τῷ δὲ διαφορᾷ. οἷον τοῦ ζῷον δίπουν τῷ μὲν ζῷον γένει τῷ δὲ δίπουν διαφορᾷ. εἰ * * * παρὰ τὰ ὡς γένους εἴδη, τουτέστιν εἰ μὴ κεχώρισται τῶν εἰδῶν, ἢ εἰ ἔστι μέν, ὡς ὕλη δέ ἐστιν, ὥσπερ καὶ ἡ φωνὴ γένος ἐστὶ καὶ [ἡ] ὕλη, διαφοραὶ δὲ αὐτῆς τὰ στοιχεῖα, καὶ γίνεται ἕν τι ἐξ ἀμφοτέρων, φωνῆς φημι καὶ στοιχείων. λόγος σημαντικός, ὥστε καὶ ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος, καθάπερ εἰρήκαμεν ἐν τῇ θεωρίᾳ.

p. 1038a9 Ἀλλὰ μὴν καὶ δεῖ γε διαιρεῖσθαι τὴν τῆς διαφορᾶς διαφοράν.

Φησὶν ὅτι μετὰ τὴν πρώτην διαίρεσιν τοῦ γένους δεῖ ἡμᾶς τὴν διαφορὰν διαιρεῖν, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν· οἷον ζῴου διαφορὰ ὑπάρχει τὸ ὑπόπουν, πάλιν τοῦ ζῴου τοῦ ὑπόποδος δεῖ ἡμᾶς τὴν διαφορὰν εἰδέναι, καθὸ ὑπόπουν, τουτέστιν αὐτὸ τὸ ὑπόπουν διαιρεῖν. ὥστε οὐ δεῖ ἡμᾶς λέγειν ὅτι τοῦ ὑπόποδος τὸ μέν ἐστι πτερωτόν, τὸ δὲ ἄπτερον· διαφοραὶ γὰρ αὗται ζῴου ὑπάρχουσιν, οὐ τοῦ ὑπόποδος· ἀγνοοῦντες οὖν καὶ ἀδυνατοῦντες ποιοῦσι τοῦτο. δεῖ οὖν διαιρεῖν εἰς τὸ σχιζόπουν καὶ εἰς τὸ ἄσχιστον· αὗται γὰρ διαφοραὶ ποδὸς ὑπάρχουσιν· ἡ γὰρ σχιζοποδία ποδότης τίς ἐστι. καὶ f.298v οὕτως ἀεὶ βούλεται βαδίζειν, ἕως ἂν ἔλθῃ εἰς τὰ ἀδιάφορα. τοσαῦτα γὰρ εἴδη ποδὸς ὑπάρχουσιν. ὅσαιπερ διαφοραὶ αὐτοῦ ὑπάρχουσι· καὶ πάλιν τὰ ὑπόποδα ζῷα ἴσα ταῖς διαφοραῖς ὑπάρχουσιν. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει. φανερὸν ὅτι ἡ τελευταία διαφορὰ ἡ οὐσία τοῦ πράγματος ἔσται καὶ ὁ ὁρισμός, καθάπερ εἰρήκαμεν ἐν τῇ θεωρίᾳ,

---

3 αὐτοῖς scripsi: αὐτοὺς libri 7 τουτέστι delevi 9 locus depravatus: τὸ δ' ἐχόμενον ζῷον δίπουν Aristoteles 10 εἰ addidi ἐλάττω scripsi: ἐλάττων libri 12 τοῦ scripsi: τὸ libri τῷ utrobique scripsi: τὸ libri διαφορᾷ εἰ om. D, qui inter δίπουν et παρὰ lacunam XII litterarum habet: post εἰ desunt XI litterae A: addendum ex Aristotele οὖν τὸ γένος μὴ ἔστι 14 ἡ (ante φωνὴ) om. D ἡ (ante ὕλη) delevi 15 αὐτῆς scripsi: αὐταῖς libri 29 ἀδιάφορα Aristoteles: διάφορα libri

εἴπερ μὴ δεῖ πολλάκις τὰ αὐτὰ λέγειν· ἀδολεσχοῦσι γὰρ οἱ τοιοῦτοι, ὡς εἴρηται ἀνωτέρω. ὅταν γὰρ ὁ ὁριζόμενος εἴπῃ ζῷον ὑπόπουν δίπουν, οὐδὲν ἄλλο λέγει ἢ ζῷον πόδας ἔχον, δύο πόδας ἔχον· ⟨κἂν τοῦτο⟩ οὖν τὸ γένος διαιρῇ τῇ οἰκείᾳ διαιρέσει, πλεονάκις τὸ αὐτὸ ἐρεῖ καὶ ἰσάκις ταῖς διαφοραῖς, ὡς εἴρηται. ἐὰν δὲ τῆς διαφορᾶς διαιρέσει ἡ διαφορὰ γίνηται, μία ἡ τελευταία δηλοῦσα τὸ εἶδος καὶ τὴν οὐσίαν, ὡς ἐν τῇ θεωρίᾳ εἴρηται. ἐὰν δὲ κατὰ συμβεβηκὸς ποιήσῃ τὴν διαίρεσιν λέγων τοῦ δίποδος τὸ μὲν εἶναι λευκόν, τὸ δὲ μέλαν, τοσαῦται ἔσονται διαφοραὶ ὅσαι καὶ αἱ τομαί τοῦ πράγματος ὑπάρχουσιν. ὥστε φανερὸν ὅτι ὁρισμὸς οὐδέν ἐστιν ἕτερον ἢ λόγος ἐκ τῶν διαφορῶν συγκείμενος, καὶ τούτων μάλιστα κατά γε τὸ ὀρθὸν τῆς τελευταίας διαφορᾶς. ὥστε οὐ δεῖ μετατάττειν τοὺς τοιούτους ὁρισμούς, οἷον ὡς ἐπὶ τοῦ ἀνθρώπου λόγον λέγοντας οὕτως 'ζῷον δίπουν ὑπόπουν', προτάττοντας τὸ δίπουν· περιττὸν γάρ ἐστι τὸ ὑπόπουν. τοῦτο γὰρ δηλοῖ διὰ τοῦ περίεργον εἰρημένου τοῦ δίποδος. εἶτά φησιν ὅτι παρὰ τὴν τάξιν δεῖ ἀδιαφορεῖν ἐν τοῖς ὁρισμοῖς· πῶς γὰρ δεῖ νοῆσαι τὸ μὲν ὕστερον, τὸ δὲ πρότερον; ταὐτὸν γάρ ἐστι, κἂν πάλιν ζῷον λογικὸν θνητόν, καὶ πάλιν ζῷον θνητὸν λογικόν. ὥστε τοσαῦτα δεῖ ἡμᾶς λέγειν περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν, ποῖοί τινές εἰσιν.

Ἐπειδὴ οὖν ὁ σκοπὸς ἡμῖν ἐνταῦθα περὶ οὐσίας ἐστὶ διαλεχθῆναι (διὰ τοῦτο γάρ, φησί, καὶ τὸν περὶ ὁρισμῶν λόγον ἐκινήσαμεν), ⟨δεῖ⟩ πάλιν f. 299r
ἐπανελθεῖν ἐπὶ τὸ προκείμενον καὶ ζητεῖν, εἴτε ὑπάρχουσι χωρισταὶ οὐσίαι προαγωγοὶ τῶν ἐνταῦθα, ἃς καλοῦσιν ἰδέας, εἴτε οὔ. [ὥστε ὡς ἔστιν εἶδος πρὸς ὕλην οὕτως δὲ καὶ αἱ διαφοραὶ * * *] λέγεται δὲ ὥσπερ τὸ ὑποκείμενον οὐσία εἶναι καὶ τὸ τί ἦν εἶναι καὶ τὸ ἐκ τούτων, καὶ τὸ καθόλου. δύο ἀπορίας προέθετο ἐξ ἀρχῆς ἐκθέσθαι καὶ ἐπιλύσασθαι, μίαν μὲν τὴν ζητοῦσαν, πῶς διαφόρων ὄντων τῶν μερῶν τοῦ ὁρισμοῦ ἕνα λέγομεν τὸν ἐξ αὐτῶν συγκείμενον. εἶτα ἐπελύσατο τοῦτο φάσκων ὅτι τῶν παρὰ τὴν τελευταίαν διαφορὰν πάντων ὕλης ἐπεχόντων τάξιν, καὶ τῆς τελευταίας διαφορᾶς εἴδους, καὶ οὕτως λοιπόν, ὥσπερ ἐξ ὕλης καὶ εἴδους ἕν τι πρᾶγμα γίνεται, οὕτως καὶ ὁ ὁρισμὸς εἷς γίνεται· οὐχ ὅτι ὕλης ἐστὶ τὸ γένος, ἀλλ' ὅτι ἀναλογεῖ ὕλῃ, ἐπειδὴ εἰδοποιεῖ αὐτὴν ἡ διαφορὰ προσερχομένη καὶ ποιεῖ δηλοῦσθαι τὸ ἄτομον εἶδος, ὥσπερ καὶ τὸ εἶδος τὸ ἀόρι-

3 ζῷον πόδας ἔχον, δύο πόδας ἔχον A: ζῷον ποδῶν D 4 κἂν τοῦτο ex Aristotele addidi: in lacuna om. AD διαιρέσει Aristoteles: διά τι εἰ, ut videtur, A: διαιρέσει πλεονάκις in lacuna om. D 5 ἰσάκις ταῖς Aristoteles: ὅσαι libri τῆς scripsi: τὰς libri 12 ὥστε — μετατάττειν] δῆλον δ' ἂν εἴη εἴ τις μετατάξειε Aristoteles 13 λόγον scripsi: λογικοῦ libri λέγοντας scripsi: λέγοντες libri προτάττοντας scripsi: πράττοντες libri 14. 15 περίεργον Aristoteles: περιέργου libri 15 παρὰ] fort. περὶ 20 ante ἐπειδὴ lemma videtur excidisse ἐπεὶ δὲ περὶ κτλ. Metaph. p. 1038b1 21 δεῖ addidi 23. 24 ὥστε — διαφοραί falso huc illata sunt: post διαφοραὶ XXII litterae desunt A: δὲ — διαφοραὶ nulla lacuna relicta om. D: fort. addendum πρὸς τὸ ὑποκείμενον γένος 25 τὸ τί ἦν εἶναι Aristoteles: ταῦτα ἢ εἶναι D: legi non potest A 26 ἀπορίαι θετο libri 32. 33 προσερχομένη scripsi: προερχομένη libri

στον τῆς ὕλης ὁρίζει καὶ περατοῖ. δευτέρα οὖν ἀπορία ὑπῆρχε ζητοῦσα εἰ ἔστι καθόλου οὐσία αὐτὴ καθ' αὑτὴν ὑπάρχουσα, οἷον αὐτοάνθρωπος καὶ αὐτοῖππος, ἐπειδὴ δοκεῖ τισι μάλιστα τὰ καθόλου εἶναι οὐσίαι κατὰ τρεῖς τρόπους· πρῶτον μὲν ὅτι ἀρχαὶ γίνονται ἀποδείξεων, ἐκ δὲ τῶν ἀπο-
5 δείξεων γινώσκονται τὰ πράγματα (τῶν γὰρ καθόλου πραγμάτων ὑπάρχουσιν οἱ ὁρισμοί, οἱ δὲ ὁρισμοί, ὡς μεμαθήκαμεν ἐν τῇ Ἀποδεικτικῇ, ἀρχαὶ ὑπάρχουσι τῶν ἀποδείξεων)· δεύτερον ὅτι φύσει πρότερα ὑπάρχουσι τὰ καθόλου τῶν μερικῶν, εἴ γε συναναιροῦσι καὶ οὐ συναναιροῦνται (τοῦ γὰρ ἀτόμου ἀναιρεθέντος οὐκ ἀναιρεῖται τὸ καθόλου. τοῦ δὲ καθόλου ἀναιρε-
10 θέντος καὶ τὸ ἄτομον, εἴ γε, φησίν, ἐξ αὐτοῦ ἔχει τὴν ὕπαρξιν ὁμοίως). καὶ ὅτι προακτικὰ καὶ ποιητικὰ ὑπάρχουσιν ἐκεῖνα τὰ καθόλου * * * καὶ ἐπιχειρήσεις τίθησιν * * * τὰς καθόλου οὐσίας καὶ τὰ ἐννοηματικὰ καὶ f. 299v ὕστερον πάλιν τὰς ἰδέας. ὡς γάρ φησιν ὁ Ἀλέξανδρος, ἐπειδή, ὡς αὐτοὶ κατ' ἀρχὰς τοῦ βιβλίου ἐλέγομεν, ὅτι ἡ πραγματεία αὕτη ἐστὶ περὶ τῆς οὐσίας
15 (περὶ γὰρ τοῦ ὄντος βούλεται διαλεχθῆναι, τὸ δὲ κυρίως ὂν ἡ οὐσία ἐστί), διαστέλλεται ποσαχῶς λέγεται ἡ οὐσία, καὶ ἔδειξεν ὅτι τετραχῶς, κατὰ τὸ ὑποκείμενον, κατὰ τὸ εἶδος, κατὰ τὸ συναμφότερον καὶ τὸ καθόλου, εἰπὼν οὖν περὶ τοῦ ὡς εἴδους, τουτέστι τοῦ ὁρισμοῦ, τοῦ ὑποκειμένου καὶ τοῦ ἐξ ἀμφοτέρων, ἐντεῦθεν λέγει ἡμῖν περὶ τῆς καθόλου δεικνὺς ὅτι οὐκ
20 ἔστι. καὶ πρῶτον μὲν ἐπιχειρήματι κέχρηται τοιούτῳ, λέγων ὅτι ἡ ⟨ἐν Σωκράτει⟩ οὐσία οὐκ ἔστιν ἡ αὐτὴ τῇ ἐν Πλάτωνι οὐσίᾳ, τὸ δὲ καθόλου κοινὸν ὑπάρχει. εἰ μὲν οὖν ὑποθώμεθα ταύτην τὴν οὐσίαν ἐν τῷ Σωκράτει εἶναι, οὐκέτι ἔσται καθόλου· ἡ γὰρ ἑκάστου οὐσία ἰδία ἐστὶν ἑκάστου· καὶ οὕτως ἔσται πάντα ἕν, ἐπειδὴ ἐν τῷ ἑνὶ τὸ καθόλου περιέχεται, τὸ
25 αἴτιον πάντων. δεύτερον ἐπιχείρημά φησιν ὅτι ἡ μὲν οὐσία οὐ καθ' ὑποκειμένου λέγεται, τὸ δὲ καθόλου καθ' ὑποκειμένου· οὐκ ἄρα ἡ καθόλου οὐσία ὑπάρχει. τρίτον ἐπιχείρημα ὅτι ἢ εἶδός ἐστι τὸ καθόλου τῆς ἀτόμου οὐσίας ἢ μέρος ἢ ἐνυπάρχον ἁπλῶς. ἀλλ' εἰ μὲν ὑποθώμεθα εἶδος αὐτὸ εἶναι, ἄτοπόν τι ἕψεται· τὸ γὰρ εἶδος ἑκάστου ἴδιόν τί ἐστιν ἑκάστου
30 [τε], καὶ οὕτως πάλιν τὸ καθόλου ἔσται μερικόν. εἰ δὲ ὡς μέρος αὐτὸ ὑποθώμεθα, ἔσται τὸ μέρος κατηγορούμενον τοῦ ὅλου, ὅπερ ἐστὶν ἄτοπον. εἰ δὲ ⟨ἁπλῶς⟩ ἐνυπάρχον, πάλιν ἕψονται οἱ πρότεροι λόγοι τοῦ πρώτου ἐπιχειρήματος, ὅτι ἢ γὰρ πάντων ἢ οὐδενός· ἁπάντων δὲ οὐχ οἷόν τε, ἐπειδὴ διαφέρουσιν ἀλλήλων τὰ πράγματα· οὕτως δὲ οὐδὲν διοίσουσιν· εἰ δὲ ἑνός,
35 ἔσται πάντα ἕν. τέταρτον ἐπιχείρημα ὅτι, εἰ ἔστιν οὐσία τὸ καθόλου

---

6 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. B 3 p. 90b24 9 οὐκ — ἀναιρεθέντος (9. 10) om. D 11 προακτικὰ scripsi coll. p. 430,12: πρακτικὰ libri post καθόλου desunt XXIII litterae A, XX litterae D: verba sic explenda videntur τὰ καθόλου τῶν ἐνταῦθα. ἔπειτα ἑφεξῆς δέκα ἐπιχειρήσεις 12 post τίθησιν desunt VII litterae, inde pergit ων τὰς κτλ. A: desunt X litterae D: fort. addendum ταὐτὸ λέγων 13 ὁ Ἀλέξανδρος] cf. p. 492 Bz, sed verba ipsa illic non leguntur αὐτοὶ scripsi: αὐτὰ libri 17 καὶ κατὰ τὸ D 18 ὁρισμοῦ scripsi: ἀριθμοῦ libri 19 ἀμφοτέρου libri 20 ἡ om. D 20. 21 ἐν Σωκράτει addidi 30 τε delevi 32 ἁπλῶς addidi ἐνυπάρχον in lacuna om. A πάλιν om. D ἕψονται, ut videtur, AD 33 οὐτ' οἷόν τε D: legi non potest A

(περὶ οὐσίαν γὰρ τὸ ποιὸν ἀφορίζει, ὡς εἴρηται ἐν Κατηγορίαις· ποιό- f. 300r
τητα γὰρ οὐσιώδη δηλοῖ), δῆλον ὡς ὅτι ἔσονται πρότεραι αἱ ποιότητες
τῶν οὐσιῶν, ὅπερ ἐστὶν ἄτοπον καὶ παρὰ τὰ ἐναργῆ. πέμπτη ἐπιχείρησις
ὅτι συμβήσεται δύο ἀνομοειδῶν τὴν αὐτὴν εἶναι οὐσίαν. φημὶ δὴ τὴν καθό-
5 λου, ὅπερ ἀδύνατον. ἕκτη ἐπιχείρησις ὅτι ὅσα ἐν τῇ οὐσίᾳ τοῦ πράγ-
ματος παραλαμβάνεται, οὐδέποτε χωρίζονται τοῦ πράγματος, ἀλλὰ καὶ αὐτὸ
εἶναι τὸ πρᾶγμα δηλοῦσιν, ὥσπερ τὰ ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου πάντα
παραλαμβανόμενα. εἰ οὖν ὑποθώμεθα καὶ τὸ καθόλου συμπληρωτικὸν εἶναι
τῆς μερικῆς οὐσίας, ἔσται ἀχώριστον αὐτῆς καὶ οὐκέτι καθόλου, ὅπερ οὐ
10 βούλονται. ἑβδόμη ἐπιχείρησις ὅτι εἰ μὴ δηλοῖ ποιότητα τὸ καθόλου ἀλλὰ
τόδε τι, τουτέστι μερικὴν οὐσίαν, ἔσονται τρεῖς ἄνθρωποι, οἱ δύο ἄτομοι
καὶ ὁ ἄλλος ὁ ἐξῃρημένος καὶ συνδέων αὐτούς. ὄγδοον ἐπιχείρημα ὅτι τότε
λέγεται τὸ πρᾶγμα ἕν, ὅταν δυνάμει ἐστίν· οἷον τὴν εὐθεῖαν ἔχουσαν δυ-
νάμει πλείονα σημεῖα λέγομεν μίαν εἶναι, καὶ τὸν χρόνον, ὅταν δὲ κατ'
15 ἐνέργειαν ληφθῶσι τὰ σημεῖα, οὐκέτι ἓν ἀλλὰ πλείονα. εἰ οὖν ὑποτίθεν-
ται τὴν καθόλου οὐσίαν χωριστὴν εἶναι αὐτὴν καθ' αὑτὴν τῆς ἀτόμου οὐ-
σίας, δῆλον ὡς ὅτι τὰς οὐσίας * * * ἀδύνατον δέ ἐστιν οὐσίαν ἐξ οὐσιῶν
εἶναι κεχωρισμένων ἀλλήλων κατ' ἐνέργειαν. ὥστε οὐ δυνατόν ἐστιν ὑπο-
τίθεσθαι τὸ καθόλου οὐσίαν εἶναι αὐτὴν καθ' αὑτὴν κεχωρισμένην ὑπάρ-
20 χουσαν. εἶτα λοιπὸν ἐπιχείρημα ὡς ἐπὶ τοῦ ἀριθμοῦ, καὶ ἐπιλαμβάνεται
τῶν οὕτως ὁριζομένων τὸν ἀριθμὸν καὶ λεγόντων ἐκ μονάδων συγκείμενον
πλῆθος· εἰ γὰρ διῄρηνται οἱ ἀριθμοὶ ἀπ' ἀλλήλων κατ' ἐνέργειαν, οὐδέ-
ποτε δύνανται ἔχειν τὸ ἕν, οἷον ὁ πέντε καὶ ὁ τρία, εἰ μήτι ὑποθώμεθα
τὴν μὲν μονάδα ὅλης τόπον ἐπέχειν, τὰ δὲ εἴδη τῶν ἀριθμῶν εἴδους, f. 300v
25 καὶ οὕτως γίνεται ἓν ἐξ ὕλης καὶ εἴδους. διό φησιν ἢ γὰρ οὐκ ἔστιν ἡ
δυὰς ἕν τι πρᾶγμα, ἢ εἰ ἔστιν, οὐκ ἔστιν ἐνεργείᾳ ἐν αὐτῇ ἡ μονὰς ἀλλὰ
δυνάμει. εἶτα δεκάτη ἐπιχείρησις. εἰ οὖν, φησίν, ἀπέδειξεν ὁ λόγος ὅτι
οὐ δυνατὸν εἶναι τὰς ἀτόμους οὐσίας οὔτε ἐκ τῶν καθόλου μήτε δὲ ἐξ
ἄλλων οὐσιῶν προϋπαρχουσῶν ἐντελεχείᾳ, ἁπλῶς ἄρα ὑπάρχουσιν. εἰ δὲ
30 τοῦτο, οὐκ ἔστιν αὐτῶν ὁρισμός· ὁ γὰρ ὁρισμὸς σύνθεσίς ἐστι πραγμάτων,
ἐκ διαφορῶν καὶ γενῶν συνιστάμενος. ὥστε εἰ τῆς οὐσίας οὐκ ἔστιν ὁρι-
σμός, οὐδὲ ἄλλου πράγματος. λέγομεν οὖν ὅτι κατά τι μέν ἐστιν αὐτῶν,
κατὰ τὶ δὲ οὐκ ἔστιν. εἰ μὲν γὰρ λάβωμεν τὸ λογικὸν καὶ τὸ ζῷον κε-
χωρισμένα κατ' ἐνέργειαν αὐτὰ καθ' αὑτὰ ὑφεστῶτα, τῷ ὄντι οὐκ ἔστιν
35 αὐτῶν ὁρισμός· εἰ δὲ ὡς μίαν τινὰ φύσιν καὶ ἅμα νοουμένην καὶ συνυ-
φισταμένην, ἔστιν αὐτῶν ὁρισμός.

1 ἐν Κατηγορίαις] c. 5 p. 3b20 6 λαμβάνεται D 9 ἀχώριστον αὐτῆς scripsi: ἀχώριστος αὐτοῦ libri 11 τι om. D 12 ὁ (post ἄλλος) om. D 13 post δυνάμει fort. addendum πλείω 17 post οὐσίας desunt XX litterae D: XV fere litterae legi non possunt A: fort. addendum εἰς πλείονα μερίζουσιν ἀδύνατον scripsi: δύνατον libri οὐσιῶν scripsi: οὐ (III litt. desunt) ῶν A, αὐτῶν D 18 κεχωρισμένων ἀλλήλων scripsi: κεχωρισμένον ἀλλήλας libri 19 αὐτῆς D 19. 20 ὑπάρχουσι D 25 γίνεται] fort. γίνεσθαι 26 πρᾶγμα — ἀλλὰ om. D 33. 34 καὶ χωρισμένα D

p. 1038b2 Λέγεται δὲ ὥσπερ τὸ ὑποκείμενον οὐσία εἶναι.

Φησὶν ⟨ὅτι⟩ λέγεται ὥσπερ καὶ τὸ ὑποκείμενον καὶ τὸ εἶδος καὶ τὸ ἐξ ἀμφοῖν, οὕτω καὶ τὸ καθόλου λέγεται οὐσία εἶναι. εἰρήκαμεν οὖν περὶ τῶν δύο· εἴρηται γὰρ ἡμῖν διὰ τῶν προλαβόντων καὶ περὶ τοῦ εἴδους καὶ περὶ τοῦ ὑποκειμένου. ὅτι διχῶς ὑπόκειται, ἢ τόδε τι ὄν. τουτέστι τὸ γένος ταῖς διαφοραῖς (διὸ καὶ εἶπεν αὐτὸ τόδε τι ὄν· οὐ γὰρ οὕτως ἐστὶ τὸ ζῷον ἀνείδεον ὡς ἡ ὕλη, ἥτις ἐξ ἀποφάσεως γίνεται, ἀλλὰ κατὰ ἀναλογίαν τὴν πρὸς τὸ περιορίζεσθαι ὑπὸ τῆς τελευταίας διαφορᾶς, ὥσπερ τὸ εἶδος περιορίζει τὴν ὕλην). ἢ ὡς ἡ κυρίως ὕλη ὑπόκειται τῇ ἐντελεχείᾳ, τουτέστι τῷ εἴδει. δυνατὸν δὲ λέγειν τὸ ζῷον ὑποκεῖσθαι τοῖς πάθεσι, περὶ τοῦ ἁπλῶς ζῴου δῆλον, ἢ ὡς ὕλη ἐντελεχείᾳ περὶ τοῦ καθ' ἕκαστα ζῴου. δοκεῖ δέ τισι τὸ καθόλου αἴτιον εἶναι καὶ προακτικὸν καὶ ποιητικὸν τῶν ἐνταῦθα. καὶ εἶναι ἀρχὴ τὸ καθόλου τῶν ἀποδείξεων. ὡς εἴρηται ἡμῖν ἐν τῇ θεωρίᾳ καὶ † οὐ δεῖ εἶναι οὐσίαν ὁτιοῦν τῶν καθόλου, ὡς δείξει ὁ λόγος. f. 301r εἶτα λοιπὸν τίθησι τὸ πρῶτον ἐπιχείρημα λέγων ὅτι εἰ οὐσία ἡ ἑκάστου ἴδιος ἑκάστου ὑπῆρχεν, οὐκ ἄν ποτε θεωρηθήσεται ἐν ἄλλῳ· τὸ δὲ καθόλου κοινόν ἐστι· τοῦτο γὰρ λέγομεν καθόλου, ὅπερ πλείοσιν ὑπάρχειν πέφυκε. τίνος οὖν ἔσται τὸ τοιοῦτο οὐσία; ἢ γὰρ πάντων ἐστὶν οὐσία ἢ οὐδενός. ἀπάντων δὲ οὐ δυνατὸν εἶναι αὐτὴν οὐσίαν, ἐπεὶ οὕτως κοινωνήσει τὰ πάντα ἀλλήλοις, ὅπερ ἀδύνατον. ἑνὸς δὲ εἰ ἔσται, καὶ τὰ ἄλλα τοιαῦτά ἐστιν ἢ ὡς ὁ Σωκράτης ὁ ἔχων αὐτό, ἐπειδὴ πάντα, ⟨ὡς⟩ ἐκεῖθέν φησιν, * * * οὐσία καὶ ὁ ὁρισμὸς εἷς ἐστι, καὶ αὐτὰ ἕν ἐστιν.

p. 1038b15 Ἔτι οὐσία μὲν λέγεται.

Ἐντεῦθεν τὸ δεύτερον ἐπιχείρημα τίθησιν ἐν δευτέρῳ σχήματι, καί φησιν ὅτι ἡ οὐσία οὐκ ἔστι καθ' ὑποκειμένου, τὸ δὲ καθόλου καθ' ὑποκειμένου. τὸ καθόλου ἄρα οὐκ ἔστιν οὐσία. αὐτὸς δὲ οὐ τέθεικε τὸ συμπέρασμα.

p. 1038b16 Ἀλλ' ἆρα οὕτω μὲν οὐκ ἐνδέχεται.

Ἐντεῦθεν τὸ τρίτον ἐπιχείρημα. φησὶν οὖν ὅτι εἰ καὶ μὴ ἐνδέχεται

---

2 ante φησὶν VI litterae exciderunt A ὅτι addidi ὥσπερ Aristoteles: γὰρ ὅτι D, legi non potest A τὸ tertium om. D 3 ἀμφοῖν οὕτω καὶ scripsi: ἀμφ (IV litt. desunt) οὐδὲ καὶ A: ἀμφανῷ καὶ οὐδὲ D 4 ὑπολαμβανόντων D 8 τὴν scripsi: τῆς libri 9 ἢ addidi 11 ante ἢ fort. addendum τὸ δὲ 12 αἴτιον bis habent libri 14 καὶ οὐ δεῖ] verba depravata 21 τοιαῦτα] immo τοῦτο ἢ ὡς] fort. οἷον εἰ αὐτό scripsi: αὐτά libri 22 ὡς addidi φησὶν D: φ sequente lacuna XV litterarum A: legendum φησίν, ὧν μία ἐστὶν ἡ οὐσία καὶ αὐτὰ scripsi: καὶ τὸ D: post ἐστι desunt V litterae A 23 μὲν scripsi: μ A: μετὰ D 29 καὶ om. D

οὕτως εἶναι τὸ καθόλου ὡς τὸ εἶδος τοῦ πράγματος, ἵνα μὴ γένηται μερικόν, ἐν δὲ τῷ μερικῷ ἐνυπάρχει μὴ ὂν αὐτὸ εἶδος, ὥσπερ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ τῷ ἵππῳ. εἶτά φησιν ὁ Ἀριστοτέλης, εἰ ταῦθ' οὕτως ἔχει, ἐξ ἀνάγκης τούτου ⟨τοῦ⟩ ὄντος ἐν τῷ ἀνθρώπῳ ἐστὶν [ὁ] ὁρισμός. ἐπειδὴ δὲ τῶν γενικωτάτων γενῶν οὐχ ὑπάρχουσιν ὁρισμοί, φησὶν ὅτι διαφέρει δὲ οὐδὲν οὐδὲ εἰ μὴ πάντων ἐστὶν ὁρισμὸς τῶν ἐν τῇ οὐσίᾳ ὑπαρχόντων· οὐδὲν γὰρ ἧττον τοῦτο τὸ ἐνυπάρχον οὐσία ἐστί τινος, ὡς ἄνθρωπος τοῦ ἀνθρώπου ἐν ᾧ ὑπάρχει ἀνθρώπῳ. ὥστε τὸ αὐτὸ συμβήσεται πάλιν τὸ εἰρημένον κἂν τῷ πρώτῳ ἐπιχειρήματι· ἢ πάντων ἐστὶν ἢ οὐδενός, ⟨καὶ⟩ τὰ αὐτὰ ἕψονται ἄτοπα· ἔσται γὰρ ἐκείνου οὐσία, οἷον τὸ ζῷον ἐν ᾧ ἰδίως ἴδιον ὑπάρχει, καὶ οὕτω πάλιν ἔσται μερικόν.

p. 1038b23 Ἔτι δὲ ἀδύνατον.

Ἐντεῦθεν τέταρτον ἐπιχείρημα. καί φησιν ὅτι ἀδύνατόν ἐστι τὸ f.301v λέγειν τὴν οὐσίαν τὴν μερικὴν ἐκ μὴ οὐσίας ὑπάρχειν, καὶ μὴ ἐκ τοῦ τόδε τι ἀλλὰ ἐκ ποιοῦ. οὕτως γάρ, ἐπειδὴ τὰ καθόλου οὐσιώδεις ποιότητες ὑπάρχουσιν, ἔσται πρότερον ἡ μὴ οὐσία καὶ τὸ ποιὸν ⟨οὐσίας⟩, ὅπερ ἀδύνατον. οὔτε γὰρ λόγῳ οὔτε χρόνῳ οὔτε γενέσει δυνατὸν τὰ πάθη τῆς οὐσίας εἶναι πρότερα, εἴ γε ἐν αὐτῇ τὸ εἶναι ἔχουσιν· ἔσονται γὰρ οὕτως αὐτὰ καθ' αὑτὰ χωριστὰ τὸ λευκὸν καὶ τὸ λογικὸν τὸ ὡς ἐν ἀνθρώπῳ, ὅπερ ἐστὶν ἀδύνατον.

p. 1038b29 Ἔτι τῷ Σωκράτει.

Πέμπτον ἐπιχείρημα· καί φησιν ὅτι τῷ Σωκράτει τὸ καθόλου ἐνυπάρχει οὐσία οὖσα, ὥστε δυοῖν διαφόροιν πραγμάτοιν ἡ αὐτὴ ἔσται οὐσία, ὅπερ ἀδύνατον.

p. 1038b30 Ἄλλως δὲ συμβαίνει.

Ἕκτον ἐπιχείρημα· καί φησιν ὅτι εἰ ἔστιν οὐσία ὁ ἄνθρωπος καὶ ὅσα οὕτως λέγεται ἕν, μηδὲν ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου παραλαμβανόμενον εἶναι ἄλλου πράγματος οὐσίαν, μηδὲ χωρίζεσθαι τοῦ ἀνθρώπου, ὡς συμβαίνειν καὶ ἄλλῳ ὑπάρχειν παρὰ τὸν ἄνθρωπον. οἷον ὅτι οὐκ ἔστιν αὐτοζῷον καθ' αὐτὸ παρὰ τὰ τινὰ ζῷα, οὐδ' ἄλλο τῶν ἐν τοῖς λόγοις οὐδέν.

---

1 γένωνται D 2 αὐτὸ scripsi: οὐ τοῦ libri 4 τοῦ addidi ὁ delevi
10 καὶ addidi 13 δυνατὸν libri 17 καὶ Aristoteles: κατὰ libri post ποιὸν desunt VI litterae A: XII litterae D: ex Aristotele explevi 30 συμβαίνει D
31 καθ' αὑτὰ libri 32 λόγοις Aristoteles: λογικοῖς libri

p. 1038b34 Ἔκ τε δὴ τούτων θεωροῦσιν.

Ἕβδομον ἐπιχείρημα· καί φησιν ὅτι ἐντεῦθεν φανερὸν ἡμῖν μάλιστα γίνεται ὅτι οὐδὲν τῶν καθόλου ὑπαρχόντων οὐσία ἐστί, καὶ ὅτι τὰ καθόλου οὐ δηλοῦσι τόδε τι ἀλλὰ τοιόνδε, τουτέστι περὶ οὐσίαν τὸ ποιὸν ἀφο-
5 ρίζουσιν. εἰ γὰρ μὴ ὑποθώμεθα τοῦτο, πολλὰ ἂν ἕψεται ἄτοπα καὶ τρεῖς ἄνθρωποι, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν.

p. 1039a3 Ἔτι δὲ καὶ ὧδε δῆλον.

Ὄγδοον ἐπιχείρημα· καί φησιν ὅτι ἀδύνατον οὐσίαν εἶναι ἐξ οὐσιῶν ἐνυπαρχουσῶν οὕτως κεχωρισμένων ἐνεργείᾳ. οὐδέποτε γὰρ [λέγομεν]
10 τὰ δύο τὰ κατ' ἐντελέχειαν δυνατόν ἐστι λέγειν ἕν, ἀλλὰ δύο· ἀλλ' ἐὰν δυνάμει ἢ δύο, τότε δυνατὸν αὐτὸ λέγειν ἕν, ὥσπερ τὴν γραμμὴν τὴν f. 302r ἔχουσαν * * * λέγειν αὐτὴν μίαν, μετὰ δὲ τὸ δεδυάσθαι τὴν στιγμὴν ἐνεργείᾳ ἀδύνατόν ἐστι λέγειν αὐτὴν μίαν· τὸ αὐτὸ δέ φημι καὶ ἐπὶ τοῦ χρόνου. ὥστε οὐ δυνατόν ἐστι λέγειν μίαν τὴν οὐσίαν τὴν ὑπάρχουσαν
15 ἐξ ἐντελεχείᾳ διακεκριμένων δύο οὐσιῶν. καὶ κατὰ τοῦτο τὸν ἀριθμόν φησιν ὀρθῶς λέγειν Δημόκριτον· ἀδύνατον γάρ φησιν ἐκ δύο ἓν γενέσθαι ἢ ἐξ ἑνὸς δύο· τὰ γὰρ μεγέθη τὰ ἄτομα, τουτέστι τὰς ἀτόμους, οὐσίας ποιεῖ, καὶ οὐδέποτε, φησίν, ἡ μία ἄτομος δύο. διὰ τοῦτο γὰρ καὶ ἀτόμους αὐτάς φησιν· οὔτε γὰρ δύο μία [γάρ] ἐστι, διειργόμενα
20 ὑπὸ τοῦ κενοῦ.

p. 1039a11 Ὁμοίως τοίνυν καὶ ἐπὶ τοῦ ἀριθμοῦ ἕξει.

Ἔνατον ἐπιχείρημα· καί φησιν ὅτι ὁμοίως καὶ ἐπὶ τοῦ ἀριθμοῦ ἕξει, εἴπερ ἐστὶν ὁ ἀριθμὸς σύνθεσις μονάδων. ὥσπερ λέγουσί τινες· οὕτως γὰρ ἔσται ὁ ἀριθμὸς εἷς διακεκριμένος ἐντελεχείᾳ. † ὁ πέντε ἐκ τοῦ δύο. καὶ
25 ἐπὶ τῶν ἄλλων ὁμοίως, ὅπερ ἐστὶν ἄτοπον. ἢ γὰρ οὐ δυνατὸν εἰπεῖν μίαν τὴν δυάδα, ἢ εἰ ὑποθώμεθα αὐτὴν μίαν, ἀδύνατον τὴν μονάδα εἶναι κεχωρισμένην κατ' ἐνέργειαν ἐν αὐτῇ.

p. 1039a14 Ἔχει δὲ τὸ συμβαῖνον ἀπορίαν.

Ἐντεῦθεν τὸ δέκατον ἐπιχείρημα· καί φησιν ὅτι ἔχει ὁ λόγος ἀπο-
30 ρίαν. εἰ γὰρ μήτε ἐκ τῶν καθόλου οἷόν τε εἶναι μηδεμίαν οὐσίαν, ὡς

---

9 κεχωρισμένων scripsi: κεχωρισμένην A: καὶ χωρισμένην D λέγομεν delevi
12 post ἔχουσαν desunt XVII litterae A: deest etiam ἔχουσαν D: fort. addendum δυνάμει δύο στιγμάς; cf. quae sequuntur et p. 429,13 sqq. δεδυάσθαι scripsi: δύνασθαι libri
19 γὰρ delevi 24 ὁ ἀριθμὸς om. D 24 fort. legendum οἷον ὁ πέντε καὶ ὁ δύο, cf. p. 429,23 26 τὴν δυάδα—μίαν om. D

εἰρήκαμεν, διὰ τὸ οὐσιώδη ποιότητα δηλοῦν καὶ μὴ οὐσίαν, μήτε δὲ ἐξ οὐσιῶν προϋπαρχουσῶν κατ' ἐνέργειαν δύναται εἶναι, ἀσύνθετος καὶ ἁπλῆ ὑπάρξει πᾶσα οὐσία· τῶν δὲ ἁπλῶν οὐκ ἔστιν ὁρισμός, ὥστε οὐκ ἔσται * * * ὡμολόγηται ⟨δὲ⟩ ἢ μόνης οὐσίας εἶναι τοὺς ὁρισμοὺς ἢ κυρίως, ὡς ἀνωτέρω εἴρηται· νῦν δὲ οὐδὲ [ποτὲ] ταύτης ἐδείχθη. οὐδενὸς ἄρα ἔσται ὁρισμός. ἢ τρόπον μέν τινα ἔσται ὁρισμός, τρόπον δέ τινα οὔ, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ. δῆλον δὲ μάλιστα γίνεται τὸ λεγόμενον ἐκ τῶν ἐφεξῆς λεχθησομένων.

Συριανὸς ὁ φιλόσοφος βοηθῶν τῷ Πλάτωνι ἀντιλέγει τοῖς ὑπ' Ἀριστοτέλους λεγομένοις δέκα ἐπιχειρήμασι καί φησιν ὅτι εἰ μὲν τὰ καθόλου f.302v ἀναιρεῖ ὁ Ἀριστοτέλης τὰ συγκεχυμένα καὶ ὑστερογενῆ τὰ ἐν τῇ φαντασίᾳ τῇ ἡμετέρᾳ τὸ εἶναι ἔχοντα, κατορθοῖ, οἷον τὴν ἔννοιαν τὴν περὶ τοῦ ἁπλῶς ἀνθρώπου· ταῦτα γὰρ τῷ ὄντι οὐχ ὑπάρχουσιν οὐσίαι, ἀλλ' ἐν τῇ ἡμετέρᾳ σχέσει τὸ εἶναι ἔχουσιν. εἰ δέ φησι 'τὰ καθόλου ἀναιρεῖ τὰ ἐπὶ τοῖς πολλοῖς', οὐ πάνυ τι δεόντως λέγει· οὔτε γὰρ αὐτὰ ἀναιρεῖ ὁ Ἀριστοτέλης, ἀλλὰ καὶ τίθεται αὐτός. φησὶν οὖν οὗτος, τὸ πρῶτον τῶν προβλημάτων ἔλεγεν οὕτως, ὅτι ἡ οὐσία ἑκάστου ἴδιός ἐστιν ἑκάστου καὶ χαρακτηριστικὴ αὐτοῦ ἐστιν· ἡ γὰρ Σωκράτους οὐσία, ὡς εἴρηται τῇ προτεραίᾳ, οὐκ ἔστι Πλάτωνος. εἰ οὖν τὸ καθόλου μή ἐστιν οὐσία ἑκάστου (οὕτως γὰρ οὐκ ἔσται καθόλου. ἀλλὰ μερική). δῆλον ὡς οὐκ ἔστιν ἡ καθόλου οὐσία. λέγομεν οὖν ὅτι τῷ ὄντι οὕτως οὐκ ἔστιν οὐσία ὡς μερική τις οὖσα· οὐ μὴν οὐδὲν κωλύει εἶναι αὐτὴν καθόλου οὐσίαν, μὴ μέντοι ἀφωρισμένην τινὸς οὖσαν οὐσίαν· καὶ οὕτως οὐδὲν ἄτοπον ἕψεται λεγόντων ὅτι ἢ πάντων ἐστὶν ἢ οὐδενός. κατ' ἀλήθειαν γὰρ ἡ καθόλου οὐσία πάντων ἐστίν· ἓν ἐν ἅπασι γὰρ θεωρεῖται, ἅτε δὴ μὴ περιγραφομένη ἔν τινι μερικῇ οὐσίᾳ, ἀλλὰ τὴν κοινότητα πασῶν περιέχουσα· καὶ ἔστι μία οὐ τῷ ἀριθμῷ ἀλλὰ τῷ γένει. ὡς γὰρ * * * ἢ ἀριθμῷ ἢ εἴδει ἢ γένει. ⟨ἓν οὖν τὸ⟩ καθόλου εἶναι τῷ ἀριθμῷ τῶν ἀδυνάτων ἐστίν· οὕτω γὰρ οὐ θεωρηθήσεται ἐν ἅπασι· γένει μέντοι γε δεῖ εἶναι αὐτὴν μίαν οὐδὲν κωλύει. εἶτα λοιπὸν τὸ δεύτερον πρόβλημα ἔλεγεν οὕτως· ἡ οὐσία οὐ καθ' ὑποκειμένου, τὸ καθόλου καθ' ὑποκειμένου, τὸ καθόλου ἄρα οὐκ οὐσία. ἐνταῦθα, φησίν, ὁ παραλογισμὸς ἐγένετο παρὰ τὴν ὁμωνυμίαν· ὁ γὰρ μέσος ὅρος ἐλήφθη ὁμώνυμος τὸ καθ' ὑποκειμένου. καὶ ποτὲ ποιεῖ τὴν μείζονα πρότασιν ἀληθῆ, ποτὲ ψευδῆ. τὸ γὰρ καθ' ὑποκειμένου δηλοῖ τὸ καθό- f.303r λου καὶ τὸ ἐννοηματικὸν καὶ ὑστερογενές, ὅπερ ἔχομεν ἐν τῇ φαντασίᾳ περὶ τῶν πραγμάτων, οἷον τοῦ ἀνθρώπου, τοῦ ἵππου. ταῦτα δὲ ἔστ' ἂν

3. 4 post ἔσται desunt XVII litterae A, XIV litterae D, in quo etiam ὡμολόγηται ἢ excidit: addendum ex Aristotele λόγος οὐδεμιᾶς οὐσίας · 4 δὲ addidi κυρίως scripsi: καὶ sequentibus IV litteris quae legi non possunt A: καὶ D 5 ποτὲ delevi 6 οὔ om. D 16 αὐτός scripsi: αὐτοῦς (sic) libri 27 ἐν γὰρ D post γὰρ desunt XVIII litterae A, XIV litterae D: addendum, ut videtur, μεμαθήκαμεν, ἓν λέγεται 27. 28 ἓν οὖν τὸ addidi: ante καθόλου desunt VI fere litterae A: inter γένει et τῷ ἀριθμῷ lacuna XIV litterarum D 32 post φησὶν add. ὅτι D 36 ἔστι τ' ἂν D

ὡσιν, ἐν τῇ ἡμετέρᾳ φαντασίᾳ τὴν ὕπαρξιν ἔχουσι. παρερχομένης δὲ τῆς φαντασίας οἴχονται καὶ αὐτά. τὸ γοῦν τοιοῦτο καθ' ὑποκειμένου τῷ ὄντι οὐκ ἔστιν οὐσία, τὸ μέντοι γε καθ' ὑποκειμένου τὸ περιεκτικὸν τῶν ἄλλων, οἷον ὥσπερ τὸ ζῷον λέγομεν καθ' ὑποκειμένου τῶν ἄλλων ἁπάν-
5 των, λογικοῦ θνητοῦ, εἴ γε κατηγορεῖται αὐτῶν, τοῦτο γοῦν οὐσία ἐστί. πάλιν τρίτον ἐπιχείρημά ἐστι τοιοῦτον, ὅτι τὸ καθόλου τοῦτο ἢ σημαίνει τι ἢ οὐ σημαίνει. εἰ μὲν οὖν σημαίνει τι, δῆλον ὅτι καὶ ὁρισμὸν ἔχει τὸν δηλοῦντα τὴν ὕπαρξιν αὐτοῦ. εἰ γὰρ καὶ μὴ ἔχει κυρίως ὁρισμόν, ἀλλ' οὖν γε δι' ὑπογραφῆς δηλοῦται, ἐπειδὴ σημαίνει τι. θεωρεῖται οὖν ὡς καθ'
10 ἕκαστα, ἢ οὐ θεωρεῖται ἐν αὐτοῖς. εἰ μὲν οὖν, φησί, θεωρεῖται ὡς καθ' ἕκαστα, μέρος αὐτῶν ἐστι. πῶς δὲ τὸ μέρος κατηγορεῖται τοῦ ὅλου; * * * αὐτῶν ἐστι πάντῃ. λέγομεν οὖν ὅτι περὶ ταῦτα ὁ παραλογισμὸς ἐκ τῆς ὁμωνυμίας τοῦ μέρους, ὡς καὶ αὐτός φησιν ἐν Κατηγορίαις· ποτὲ γὰρ μερικὸν λέγεται, ποτὲ δὲ καθόλου. διὸ ἔλεγεν ἐν ἐκείναις τὴν μέν
15 τινα χεῖρα μέρος εἶναι μερικόν. τὴν δὲ ἁπλῶς χεῖρα καθόλου. τὸ γοῦν καθόλου ἐνταῦθα μέρος ἐστὶν οὐ μερικὸν ἀλλὰ καθόλου· τὸ δὲ τοιοῦτον μέρος κατηγορεῖται τοῦ ὅλου. καὶ οὐδέν ἐστιν ἄτοπον ἐν ἅπασιν αὐτὸ θεωρεῖσθαι κατὰ τὴν κοινότητα αὐτῶν· οὔτε γὰρ μιᾶς οὐσίας ἐστὶ δηλωτικόν. τέταρτον ἐπιχείρημα ἦν τὸ λέγον ὅτι πρότερα γίνεται τὰ ποιὰ τῆς οὐσίας,
20 ὅπερ ἄτοπον. φησὶν οὖν ὅτι καὶ ἐνταῦθα ἐκ τῆς ὁμωνυμίας γέγονεν ὁ παραλογισμός. ἐπειδὴ ταὐτὸν ἐλάμβανε τὴν ποιότητα ἁπλῶς καὶ τὴν οὐσιώδη ποιότητα. δηλοῖ γὰρ καὶ τὸ λευκὸν ποιότητα καὶ τὸ λογικόν, ἀλλὰ f. 303v τὸ μὲν λευκὸν ἁπλῶς ποιότητα, τὸ δὲ λογικὸν οὐσιώδη ποιότητα. οὕτως οὖν καὶ τὸ καθόλου, ὥσπερ αὐτός φησιν ἐν Κατηγορίαις, περὶ οὐσίαν τὸ
25 ποιὸν ἀφορίζει καὶ οὐσιώδη ποιότητα δηλοῖ. ἄλλως τε δὴ εἰ μὴ ὑποθώμεθα τὰς ἀτόμους οὐσίας προελθούσας ἐκ τῶν καθόλου, πόθεν ἔχουσι τὴν ὕπαρξιν; ἢ γὰρ διακεκριμέναι ἔσονται παντελῶς καὶ κατ' οὐδὲν κοινωνοῦσαι ἀλλήλαις, ἢ δῆλον ὅτι κατὰ κοινὸν ἔχουσι τοῦτο, ὅπερ ἐστὶ [ὁ] τὸ καθόλου ὡς λόγος ἐν ἅπασι θεωρούμενος. πέμπτον ἦν ἐπιχείρημα τὸ λέ-
30 γον ὅτι συμβήσεται τὴν αὐτὴν οὐσίαν ἀνομοειδῶν εἶναι πραγμάτων. καὶ λέγομεν ὅτι τὸ καθόλου κατηγορεῖται τοῦ Σωκράτους οὐχ ὡς δύο διαφόρων κατηγορούμενον, ἀλλὰ κα * * *, οὐ καθὸ Σωκράτης ἀλλὰ καθὸ ἄνθρωπος· καθὸ γὰρ Σωκράτης, κατηγορεῖται αὐτοῦ τὸ εἶναι αὐτὸν προγάστορα, Ἀθηναῖον. † τῶν καὶ γὰρ αὐτὸ κατηγορεῖται δύο διαφόρων ὡς δια-

---

1 παρερχομένης D 2. 3 τῷ ὄντι—ὑποκειμένου om. D 4 ὑποκειμένων D 9 θεωρεῖται οὖν scripsi: θεώρημα ἢ libri 11. 12 post ὅλου desunt XXXI litterae A, XXIV D: sententia haec fere postulat εἰ δὲ μὴ θεωρεῖται καθ' ἕκαστα, πῶς χωρὶς ὂν αὐτῶν ἔσται ἐπὶ πάντων 12 πάντη D: πάντ A 13 ἐν Κατηγορίαις] haec non leguntur 14 ἐκείνοις libri 24 ἐν Κατηγορίαις] c. 5 p. 3b20 28 ὁ delevi 32 post κα desunt XIX litterae A, XII litterae D: legendum, ut videtur, καθὸ ἐνυπάρχει Σωκράτει 32. 33 καθὸ ἄνθρωπος καθὸ in lacuna om. D: ἄνθρωπος scripsi: legi non potest A 33 post αὐτοῦ desunt IV versus A, XII litterae D, sed nihil necessarium videtur deesse 34 post τῶν desunt V litterae: nulla lacuna A: sententia tale aliquid requirit εἰ γὰρ τῷ ὄντι κατηγορεῖτο κτλ.: de verbis ipsis coniecturam non capias

φόρων ὄντων, εὑρίσκετο ἡ αὐτὴ οὐσία δύο ἀνομοειδῶν περιεκτική. ὅπερ ἄτοπον. ἕκτον ἐπιχείρημα ὅτι τὰ δηλοῦντα τὴν οὐσίαν τινὸς οὐδέποτε χωρίζονται αὐτοῦ. ἀλλὰ καὶ ἐν αὐτῷ θεωροῦνται καὶ μερικὰ ὑπάρχουσιν. ὥσπερ τὰ ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου παραλαμβανόμενα, καὶ ἄλλῳ εἴδει οὐκ ἐφαρμόττουσιν· οὔτε γὰρ χωρίζονταί ποτε τοῦ ἀνθρώπου. τοιαῦτα οὖν ὑπάρχει τὰ οὐσιώδη. εἰ οὖν τὸ καθόλου μήτε ἑνὶ εἴδει ἐφαρμόττει μήτε σύνεστιν ἀλλὰ κεχώρισται, ὡς αὐτοί φασι, δῆλον ὅτι οὐκ ἔστιν οὐσία. λέγομεν πρὸς τοῦτο ὅτι τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα μέρη μερικὰ ὑπάρχουσι. τὰ γοῦν τοιαῦτα οὔτε ἐφαρμόττουσιν ἄλλῳ οὔτε δὲ χωρίζονται τοῦ ὑποκειμένου· τὸ μέντοι γε μέρος τὸ ὡς καθόλου καὶ ἄλλοις ἐφαρμόττει οὐσία ὑπάρχον, ὥσπερ ὁ λόγος τοῦ ζῴου, καὶ κεχώρισται τοῦ ὑποκει- f. 304r
μένου. ἕβδομον ἦν ἐπιχείρημα τὸ εἰσάγον τὸν τρίτον ἄνθρωπον. φησὶν οὖν καὶ πρὸς τοῦτο ὅτι † ἢ ὁμοιότητι ἢ ὡς τὰ ἀφ' ἑνὸς λαμβανόμενα ἢ ὡς τὸ ποιητικὸν αἴτιον, οἷον ὥσπερ αἱ εἰκόνες τοῦ Σωκράτους λέγονται ἐοικέναι ἀλλήλαις, καί εἰσιν αὗται ὡς τὰ ἀφ' ἑνός· ἀπὸ γὰρ τοῦ Σωκράτους προελθοῦσαι λέγονται ἐοικέναι ἀλλήλαις καὶ ἔχουσιν ἀλλαχόθεν τὴν ἀρχὴν τὸ ποιητικόν, φημὶ δὴ τὸν Σωκράτη. ἐπὶ μέντοι γε τοῦ ποιητικοῦ αἰτίου ἡ † μὲν γὰρ προέρχεται ἐξ ἄλλου, λέγεται δὲ ὁ Σωκράτης ἐοικέναι τῇ εἰκόνι. τὸ γοῦν καθόλου ὅμοιόν ἐστι τοῖς ἐνταῦθα οὐχ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἀλλ' ὡς τὸ ποιητικὸν αἴτιον, καὶ οὐκέτι ἐντεῦθεν εἰσάγειν τρίτον ἄνθρωπον ἀναγκάζονται, ἐπειδὴ μὴ τοιαύτη ἐστὶν ὁμοιότης ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ὄγδοον ἐπιχείρημα ὅτι οὐ δυνατόν ἐστι γενέσθαι οὐσίαν ἐξ ἄλλης οὐσίας κατ' ἐνέργειαν προϋπαρχούσης. καὶ τῷ ὄντι ἀληθής ἐστιν ὁ λόγος· οὐ γὰρ δυνατόν ἐστιν ἄλλην παντελῶς οὐσίαν προϋπάρχειν καὶ διακεκρίσθαι πάντως κατ' ἐνέργειαν. καὶ οὕτως ἐξ αὐτῆς γίνεσθαι ἑτέραν οὐσίαν, κεχωρισμένων ἀλλήλων καὶ ἐχόντων οἰκείας καὶ ἰδιαζούσας ἐνεργείας, πρὸς τούτοις δὲ ⟨οὐ⟩ καὶ ἕνωσιν ἐχόντων διὰ πάντων πεφοιτηκυῖαν, ὥσπερ ἐπὶ τοῦ σώματος. ἔστι γὰρ ἧπαρ καὶ καρδία καὶ ἐγκέφαλος. καὶ ἕκαστον αὐτῶν οἰκείαν ἔχει ἐνέργειαν, θρεπτικήν, ζωτικήν, ψυχικήν, καὶ ὅμως ἐξ αὐτῶν ἕν τι γίνεται. [καὶ] ἐπειδὴ ἕνωσίς ἐστιν ἐν αὐτοῖς, καὶ θεωρεῖται μία τις ἕνωσις διὰ πάντων πεφοιτηκυῖα. οὕτως οὖν φημι καὶ ἐπὶ τοῦ ζῴου ὅτι ἐκ τῆς συνδρομῆς τοῦ ζῴου καὶ τοῦ λογικοῦ καὶ τοῦ θνητοῦ γίνεται ἄνθρωπος εἷς διὰ τὴν ἐν αὐτῷ ἑνωτικὴν ἐνοῦσαν δύναμιν. ἐπεὶ ἕκαστον αὐτῶν ἰδιάζουσαν ἔχει ἐνέργειαν· διὰ μὲν γὰρ τὸ θνητὸν φθειρόμεθα. διὰ δὲ τὸ λογικὸν βουλευόμεθα, διὰ δὲ τὸ ζῷον αἰ- f. 304v
σθανόμεθα. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἑνάτου τὸ αὐτὸ ἔστιν εἰπεῖν, φημὶ δὴ τῶν ἀριθμῶν, ὅτι ἔχουσι καὶ οἱ ἀριθμοὶ ἰδίαν ἕκαστος αὐτῶν δύναμιν. ἀλλὰ

6 οὖν om. D 12 ἦν om. D 13 ἢ ὁμοιότητι] fort. ⟨διοσὴ⟩ ἡ ὁμοιότης ἐστὶ 13 et 15 ἐφ' ἑνὸς D 17 φημὶ δὴ, ut videtur A: post lacunam X litterarum δὲ D 18 μὲν γὰρ D: legi non potest A: sententia postulat ἡ ὁμοιότης οὐ προέρχεται 19 ὅμοιον scripsi: ὁμοίως libri 26 κεχωρισμένων scripsi: κεχωρισμένας μὲν libri 27 οὐ addidi 30 καὶ (post γίνεται) delevi 33 ἐν om. D

λοιπὸν ἑνοῦνται * * * ποιοῦ αὐτῶν δυνάμεως, ὥσπερ καὶ ἐπὶ τῶν * * * πάλιν δὲ εἰ ἀπέδειξεν ὁ λόγος ὅτι ἐκ τῶν καθόλου τὰ ἐνταῦθα ὑπάρχουσι, δῆλον ὅτι οὐκ εἰσιν ἁπλᾶ ἀλλὰ σύνθετα, ὥστε διὰ τοῦτο [οὔτε] ὁρισμοὶ αὐτῶν ὑπάρχουσιν ⟨οἷον⟩ τοῦ ἀνθρώπου τοῦ μερικοῦ ζῷον λογικὸν θνητόν, ὡς ἀεὶ ὄντος τοῦ θνητοῦ, φησίν, ἐν τοῖς ἀνθρώποις. † τὸ πρὸς τὸ δέκατον ἐπιχείρημα.

p. 1039a24 Φανερὸν δὲ ἐξ αὐτῶν τούτων τὸ συμβαῖνον καὶ τοῖς τὰς ἰδέας λέγουσι.

Δείξας ὅτι μὴ οἷόν τε ἐξ οὐσιῶν ἐνεργείᾳ οὐσῶν συγκεῖσθαι τὴν οὐσίαν, καὶ ὅτι τῆς ἀτόμου ἀνάγκη καὶ τὰ μέρη ἄτομα εἶναι, ἐκ τῶν εἰρημένων, φησί, φανερὸν καὶ τὸ συμβαῖνον ἄτοπον τοῖς τὰς ἰδέας ὑποτιθεμένοις καὶ λέγουσιν αὐτὰς οὐσίας τε εἶναι καὶ χωριστὰς αὐτὰς καθ' αὑτὰς καὶ ἀτόμους καὶ ὁριστάς. ἐκείνων γὰρ τῶν ἰδεῶν ἔλεγον εἶναι τοὺς ὁρισμοὺς βουλόμενοι τοὺς ὁρισμοὺς εἶναι τῶν καθόλου, καὶ ταῦτα ἔλεγον ὡς τὰ ἀφ' ἑνὸς μετέχειν αὖ τὰ τῇδε ἐκείνων· ὥστε οὐχ ἁρμόσουσιν οἱ ὁρισμοὶ τοῖς ἐνταῦθα οὐδὲ ἔσονται αὐτῶν ὁρισμοί. φησὶν οὖν πρὸς αὐτοὺς ὅτι ἡ ἰδέα αὕτη μία ἐστὶ πάντων ἢ ἑκάστου χωρίς. εἰ μὲν οὖν μία ἐστὶ τῷ ἀριθμῷ πάντων, διασπασθήσεται ἡ ἰδέα μία οὖσα καὶ θεωρουμένη ἐν πλείοσι διαφοραῖς. εἰ δὲ πολλαί, ἀπείρων ἔσονται ἰδέαι, ἑκάστου εἴδους μίαν ἔχοντος ἰδέαν, τοῦ ζῴου τοῦ ἐν ἀνθρώπῳ καὶ τοῦ ἐν ἵππῳ καὶ ταῖς ἄλλαις, πάλιν τοῦ λογικοῦ καὶ τοῦ γελαστικοῦ καὶ τῶν ἄλλων ὁμοίως, ὅπερ οὐ βούλονται· μίαν γὰρ ἰδέαν λέγουσι τοῦ ζῴου τὸ αὐτοζῷον, ⟨καὶ ὁμοίως⟩ ἐπὶ τῶν ἄλλων.

p. 1039a24 Φανερὸν δὲ * * *.

⟨Τοῦτο⟩ τοίνυν φησὶν ὅτι ἐκ τῶν ἤδη εἰρημένων φανερὸν γίνεται καὶ τὸ συμβαῖνον ἄτοπον τοῖς τὰς ἰδέας λέγουσιν εἶναι αὐτὰς οὐσίας καθ' αὑτὰς καὶ χωριστὰς ἀτόμους. οἷον αὐτοάνθρωπον αὐτοζῷον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ ἅμα [ποιοῦσι] καὶ τὸ εἶδος ποιοῦσιν ἐκ γένους καὶ διαφορῶν. φησὶ γὰρ τὰς τοῦ γένους ἰδέας καὶ τὰς τῶν f. 305r

1 post ἑνοῦνται desunt VIII litterae A, XX litterae omissis etiam quae sequuntur ποιοῦ αὐτῶν D: legendum διὰ τῆς ἑνοποιοῦ αὐτῶν δυνάμεως post τῶν desunt XII litterae A, XX litterae D: fort. addendum τῆς οὐσίας μερῶν 2 καθόλου scripsi: κα sequente lacuna VI litterarum A: inter τῶν et ἐνταῦθα desunt XX litterae D 3 οὔτε delevi 4 αὐτῶν scripsi: αὐτοὶ libri οἷον addidi 5 τὸ] fort. τοῦτο 14 ταῦτα] an πάντα? 15 αὖ τὰ τῇδε scripsi: αὐτὰ τῇ δὲ libri 19 ἀπείρων] fort. ἄπειροι, cf. p. 437,30. 438,24 20 καὶ (ante ταῖς) om. D 21 ἄλλαις] fort. διαφοραῖς addendum 22 καὶ ὁμοίως addidi: IX litterae desunt A: τὸ — ἐπὶ om. D 24 post φανερὸν δὲ desunt litterae XII D, III versus A 25 Τοῦτο addidi τίνυν libri φανερὸν scripsi: φαμὲν A: IV litterae desunt D 28 ποιοῦσι delevi

διαφορῶν συνερχομένας ποιεῖν τὴν τοῦ εἴδους ἰδέαν. εἰ οὖν ὑπάρχει τὰ εἴδη, τουτέστιν ἡ ἰδέα τοῦ εἴδους καὶ τοῦ ζῴου καὶ ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ, ἤτοι ⟨ἓν⟩ καὶ ταὐτόν ἐστι τῷ ἀριθμῷ ἡ ἰδέα τοῦ ζῴου ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ. ἢ ἕτερον. τῷ μὲν γὰρ λόγῳ δῆλον ὅτι μία ἐστὶν ἡ ἰδέα τοῦ ζῴου ἡ ἐν τῷ ἀνθρώπῳ καὶ ἡ ἐν τῷ ἵππῳ. εἴτε γὰρ τὸ ἐν τῷ ἀνθρώπῳ ζῷον ὁρισόμεθα, οὕτως φαμὲν οὐσία ἔμψυχος αἰσθητική. εἴτε καὶ τὸ ἐν τῷ ἵππῳ. εἰ οὖν ἐστί τις ἄνθρωπος, τουτέστιν ἰδέα ἀνθρώπου αὐτὴ καθ' αὑτὴν κεχωρισμένη, ἀνάγκη εἶναι καὶ τὴν ἰδέαν ἐξ ὧν ἐστιν ἡ ἰδέα τοῦ ἀνθρώπου, τουτέστιν ἰδέαν ζῴου καὶ λογικοῦ, καὶ εἶναι τούτων χωριστὰς οὐσίας· ὥστε καὶ τὸ ζῷον χωριστόν ἐστιν αὐτὸ καθ' αὑτὸ ὑπάρχον. εἰ μὲν οὖν τὸ αὐτό ἐστι ζῷον τὸ ἐν τῷ ἵππῳ καὶ τὸ ἐν τῷ Σωκράτει, ὥσπερ Σωκράτης ἐστὶν αὐτὸς ἐν αὑτῷ, πῶς δυνατὸν ἓν εἶναι τὸ ζῷον, κεχωρισμένων τούτων ἀπ' ἀλλήλων, φημὶ δὴ τοῦ Σωκράτους καὶ τοῦ ἵππου; ἢ διὰ τί οὐ χωρίζεται τὸ ζῷον τοῦτο καὶ διασπᾶται ἓν ὑπάρχον τῷ ἀριθμῷ, διαφόρων ὄντων ἐκείνων. ἐν οἷς θεωρεῖται. καὶ ⟨κεχωρισμένων ἀπ'⟩ ἀλλήλων. ⟨ἔπειτα⟩ ἐπειδὴ ἓν τῷ ἀριθμῷ * * * εἰ μὲν μεθέξει τοῦ δίποδος καὶ τοῦ πολύποδος, ἀδύνατόν τι ἕψεται· τἀναντία γὰρ ἅμα ὑπάρξουσι ἑνὶ καὶ τῷδε ὄντι, τουτέστιν ἑνὶ ὑπάρξουσι κατ' ἀριθμόν. εἰ δὲ μὴ ὑπάρχουσιν ἐν τῷ ζῴῳ τὸ δίπουν καὶ τὸ πολύπουν, πῶς φαμεν τὸ ζῷον δίπουν λέγοντες ζῷον δίπουν ἤγουν ζῷον πεζόν; εἰ δέ τις εἴποι ὅτι ταῦτα σύγκειται ἀλλήλοις ἤγουν μέμικται ἢ κατὰ παράθεσιν ἅπτεται μόνον. ἔφονται πολλὰ ⟨ἄτοπα⟩· τὰ γὰρ τοιαῦτα δύνανται καὶ χωρισθῆναι ἀπ' ἀλλήλων. καὶ οὐκέτι κυρίως ἔσται τὸ ζῷον δίπουν ἕν, ἀλλὰ πολλά, ὥστε οὐδὲ ὁρισμὸς αὐτοῦ εἷς, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν. ἡμεῖς δέ. ὅτε ἐλέγετο 1.30b τὸ γένος ὕλης τόπον ἐπέχειν, εἴδους δὲ τὴν τελευταίαν διαφοράν, οὐδὲν ἐλέγομεν ἄτοπον· τὸ γὰρ εἶδος τῇ ὕλῃ οὔτε κατὰ θέσιν ὑπάρχει οὔτε κατὰ παράθεσιν, ἀλλ' ἔστιν ἕν τι καὶ μία οὐσία. εἰ δὲ πάλιν εἴπωσιν ὅτι διάφορα τὰ ζῷα ὑπάρχουσιν ἐν ἑκάστῳ, καὶ ἄλλη ἰδέα τοῦ ἀνθρώπου ζῴου καὶ ἄλλη τοῦ ἵππου, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἔσονται οὕτως ἄπειροι ἰδέαι. διό φησιν ὧν ἡ οὐσία ζῷον· οὐ γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου ἐστὶν ὁ ἄνθρωπος, ἐπειδὴ πᾶς ἄνθρωπος ζῷόν ἐστι καὶ συμπληρωτικόν ἐστι τῆς ἀνθρώπου οὐσίας τὸ ζῷον, καὶ ἐπὶ τῶν ἄλλων τῶν ὁμοίων. εἶπε δὲ τὸ οὐ κατὰ συμβεβηκός. ἐπειδὴ οὐ βούλονται τῶν κατὰ συμβεβηκὸς εἶναι ἰδέας.

3 ἓν ex Aristotele addidi 6 φαμὲν scripsi: φησὶν libri 16. 17 καὶ κεχωρισμένων—ἔπειτα scripsi: καὶ κ (desunt XII litterae) ἀλλήλων (desunt V litterae) A: inter καὶ et ἐπειδὴ XX litterae exciderunt D 17 ἀριθμῷ φ sequente lacuna XII fere litterarum A: fort. addendum φημὶ δὴ τὸ ζῷον 18 πολύποδος scripsi: desunt IV litterae, inde ποδος A: ἔστι D ἀδύνατόν τι A: om. D 19 ἑνὶ — ὑπάρξουσι om. D 20 τὸ (ante δίπουν) om. D 21 ζῷον πεζόν—ἤγουν (22) om. D 22 ἅπτεται scripsi: ἄτοπα libri 23 ἄτοπα addidi 25 ἐνέργειαν D 27 τὸ γὰρ om. D

p. 1039b9 Ἔτι πολλὰ ἔσται αὐτὸ τὸ ζῷον.

Φησὶν ὅτι εἰ διάφορα ὑπάρχουσι τὰ ζῷα τὰ ἐν τοῖς διαφόροις * * * ἡ ἰδέα τοῦ ζῴου· τὸ γὰρ ἐν ἑκάστῳ ⟨ζῷον οὐσία ἐστίν⟩, ἡ δὲ οὐσία ἑκάστου ἡ ἰδέα ἑκάστου ἐστίν· ὥστε πολλαὶ ἔσονται ἰδέαι. οὐ γὰρ κατ' ἄλλο λέγεται, τουτέστιν οὐκ ἐξ ἄλλου ἔχουσι τὸ εἶναι παρὰ τὴν ἰδέαν τοῦ ζῴου, τουτέστι τὴν οὐσίαν αὐτοῦ. εἰ γὰρ μὴ τοῦτο ὑποθώμεθα εἶναι τὸ ζῷον τὴν οὐσίαν τοῦ ἀνθρώπου, ἐξ ἐκείνου ἔσται ὁ ἄνθρωπος, τουτέστιν ⟨ἐξ οὗ⟩ ἡ ποιότης ὑπάρχει. ἔτι ἰδέαι ἅπαντα ὑπάρχουσιν ἐξ ὧν ὁ ἄνθρωπος συνέστηκε, τὸ ζῷον, τὸ δίπουν. οὐκοῦν ταῦτα ἰδέα ὑπάρξει * * * ἄλλου δὲ οὐσία (ἡ γὰρ ἰδέα ἐστὶν ἡ συμπληροῦσα τὴν ἑκάστου οὐσίαν), ἐπειδὴ οὕτως ἡ ἄλλου οὐσία ἐν ἄλλῳ θεωρηθήσεται, ὅπερ ἐστὶν ἄτοπον. ὥστε αὐτὴ ἡ ἰδέα τοῦ ζῴου ἔσται ἑκάστου τῶν ζῴων. τὸ γοῦν ζῷον τὸ ἐν τῷ ἀνθρώπῳ καὶ τὸ ἐν τῷ ἵππῳ εἴ γε ἰδέα ἐστίν, ἐκ τίνος γέγονε; καὶ πῶς ἐξ αὐτοῦ τοῦ ζῴου ζῷον γέγονεν, εἴ γε ἀμφότερα ἰδέα ἐστί; καὶ πῶς δυνατόν ἐστι τὸ ζῷον, ὅπερ οὐσία ἐστί, τοῦτο παρ' αὐτὸ τὸ ζῷον ὑπάρχειν, εἴ γε ἀμφότερα οὐσία ἐστί; καὶ ἐπ' ἄπειρον δὲ ὁ λόγος προέρχεται.

Ἀντειπὼν ὁ Ἀριστοτέλης πρὸς τὰ καθόλου ἐντεῦθεν ἀποτείνεται καὶ πρὸς τὰς ἰδέας ὡς καθόλου καὶ αὐτὰς οὔσας. καθόλου δ' ὑπάρ- f. 306r
χουσιν ὡς ποιητικὰ καὶ παρακτικὰ τῶν τῇδε. ἀντιλέγει οὖν καὶ πρῶτον ἐπιχείρημα τοῦτον τὸν τρόπον. ὅτι ἡ ἰδέα ἢ μία ἐστὶ τῷ ἀριθμῷ ἢ πολλά. ἀλλ' εἰ μὲν μίαν αὐτὴν ὑποθώμεθα τῷ ἀριθμῷ καὶ θεωρεῖσθαι ἐν πλείοσι, διασπασθήσεται· εἰ δὲ πολλὰ αὐτὴν ὑποθώμεθα καὶ ἐν ἑκάστῳ θεωρεῖσθαι, ἄπειροι ἔσονται αἱ ἰδέαι * * * γένους καὶ διαφορᾶς ἰδίᾳ οὔσης ἰδέας καὶ τῶν ἐπεισοδιωδῶν καὶ τῶν μὴ ἐπεισοδιωδῶν. φασὶ ⟨δὲ⟩ οἱ Πλατωνικοὶ ὅτι μίαν φαμὲν εἶναι τὴν ἰδέαν καὶ οὐκ ἔστιν ἀνάγκη διασπασθῆναι αὐτήν· οὐ γὰρ ὡς ἐν ὑποκειμένῳ τῇ αἰσθητῇ ⟨οὐσίᾳ⟩ θεωρεῖται, ἀλλ' ὡς παρακτικὴ καὶ ποιητική. ὥσπερ γὰρ ὁ ἥλιος εἷς ὑπάρχων τῷ ἀριθμῷ καὶ καταλάμπων τὰ τῇδε οὐ διασπᾶται οὔτε διαβλάπτεται τῇ

2 διαφόροις] διαφορ sequente lacuna XIV litterarum A: inter τοῖς et ἰδέα exciderunt XIV litterae D: fort. legendum διαφόροις εἴδεσι, πολλὰ ἔσται ἡ ἰδέα 3 ζῷον — ἐστίν addidi: ἑκα, deinde XVI litterae, quae legi non possunt A: post ἑκάστῳ X litterae desunt D 4 ἑκάστου ἐστίν in lacuna om. D 6 τὴν οὐσίαν scripsi: τῆς οὐσίας libri 8 ἐξ οὗ addidi 10 post ὑπάρξει desunt IV litterae A; sed videtur praeterea aliquid vitii in verbis inesse: οὐκοῦν οὐκ ἄλλου μὲν ἰδέα ἔσται, ἄλλου δ' οὐσία Metaph. p. 1039b12 12 αὐτὴ scripsi: αὕτη libri 17 καὶ — προέρχεται libri falso lemmatis notis distinguunt 18 Ἀντειπὼν — ὁμοίως (p. 440,21)] simile additamentum v. p. 433,9 — 436,6 19 οὔσας scripsi: οὐσίας libri 20 fort. ποιητικαὶ καὶ παρακτικαὶ 24 ἰδ (desunt XI litterae) γένους καὶ A: ἰδέαι (XII litterae desunt) καὶ D: fort. addendum ἑκάστου διαφορᾶς — ἰδέας (25) scripsi: διαφορὰ ἰδία οὖσα ἰδέας A: διαφορὰ ἴδια οὖσα ἰδέαν D 25 δὲ addidi 27 οὐσίᾳ addidi

ἐνεργείᾳ αὐτοῦ. οὕτω φημὶ καὶ ἐπὶ τῶν ἰδεῶν ὅτι παρακτικαὶ καὶ ποιητικαὶ τῶν τῇδε ὑπάρχουσι μὴ θεωρούμεναι ἐν αὐτοῖς. ὥσπερ οὖν οὐ διασπᾶται ὁ Σωκράτης τῆς εἰκόνος φθειρομένης. ἐπειδὴ κεχώρισται αὐτῆς. οὕτως οὐδὲ αἱ ἰδέαι παράγουσαι τὰ ἐνταῦθα· καὶ ἔστι τοῦ μὲν εἴδους ὁρισμὸς ζῷον λογικὸν θνητόν. ὡς γίνεσθαι, τῆς δὲ ἰδέας ποιητικὸν αἴτιον ζῴου λογικοῦ θνητοῦ, διότι ἔχων ὁ λόγος τοῦ ζῴου ἐν ἑαυτῷ τὸν λόγον πασῶν καὶ τῶν διαφορῶν. οὕτως παράγει τὰ τῇδε. ὁ γὰρ λόγος τοῦ ζῴου προσλαβὼν τὰς διαφορὰς οὕτως ποιεῖ τὸν ἄνθρωπον ἢ τὸν ἵππον. δευτέρα ἀπορία ὑπῆρχε τοιαύτη. ὅτι τὸ αὐτοζῷον ἢ ἔχει ἐν ἑαυτῷ τὰς διαφορὰς ἢ οὐκ ἔχει. εἰ μὲν οὖν ἔχει, ἔσονται ἅμα τὰ ἐναντία ἐν τῷ αὐτῷ. ὅπερ ἄτοπον. εἰ δὲ μὴ ἔχει, ἡνίκα γίνεται ἄνθρωπος, ἢ συντίθενται ἀλλήλοις τὸ αὐτοζῷον καὶ αἱ διαφοραὶ ἢ παρατίθενται ἢ μίγνυνται. ἀλλ' εἰ μὲν ὑποθώμεθα αὐτὰς παρατίθεσθαι. οὐκέτι ἔσονται ἁπλαῖ αἱ ἰδέαι (βούλονται δὲ αὐτὰς ἁπλᾶς εἶναι). εἰ δὲ φῶμεν μίγνυσθαι φθαρταὶ ἔσονται· φθείρονται (γὰρ τὰ) μιγνύμενα· οὔτε γὰρ ὁ οἶνος μένει μετὰ τὴν μῖξιν οἶνος οὔτε τὸ μέλι μέλι. λέγομεν οὖν καὶ πρὸς ταῦτα ὅτι πρῶτον μὲν τὰ ἐναντία οὐ δυνατὸν ἐν σώματι συστῆναι, ἐπεὶ ἐν ἀσωμάτῳ οὐδέν ἐστιν ἄτοπον. καὶ γὰρ ἡ φύσις μία καὶ ἡ αὐτὴ οὖσα ἔχει τοὺς λόγους ἐν ἑαυτῇ τοῦ λευκοῦ καὶ τοῦ μέλανος καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. οὐκ ἄτοπον οὖν καὶ τὴν ἰδέαν μίαν καὶ τὴν αὐτὴν οὖσαν ἔχειν τοὺς ἐναντίους λόγους ἐν ἑαυτῇ παρακτικοὺς καὶ νοητικούς. ἔπειτα οὐδὲ ἐναντία ὑπάρχουσι· τὸ γὰρ λογικὸν παρακτικόν ἐστι τοῦ ἀλόγου, καὶ τὸ ἀθάνατον τοῦ θνητοῦ. ἄλλως τε δὴ ἴσμεν ὅτι πολλά ἐστιν ἡ ψυχή, καὶ οὐσία καὶ ζωὴ καὶ δύναμις. καὶ ὅμως ἁπλῆν αὐτὴν φαμεν εἶναι διὰ τὴν ἑνοποιὸν αὐτῆς δύναμιν. ἐπειδὴ ἑνοποιῶς καὶ οὐσιωδῶς μετέχει τούτων. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ θείου· ἔχει γὰρ καὶ οὐσίαν ὑπερούσιον καὶ δύναμιν ἀγαθὴν καὶ ὑπερδύναμον καὶ ἀγαθότητα. καὶ ὅμως ἁπλοῦν τί ἐστι καὶ θεῖον. καὶ οὐδὲ θέμις τολμῆσαι ἐπὶ αὐτοῦ σύνθεσίν τινα ὀνομάσαι. οὕτως οὖν φημι καὶ ἐπὶ τῶν ἰδεῶν ὅτι εἰ καὶ δοκοῦσι πολλὰ εἶναι. ἕν τι ὑπάρχουσι διὰ τὴν ἑνοποιὸν αὐτῶν δύναμιν. καὶ λοιπὸν ἀπόρροιαι ἐκεῖθεν ἐρχόμεναι καὶ καταλάμπουσαι τὰ τῇδε οὕτω γίνονται παρακτικαὶ τῶν τῇδε. οὔτε δὲ πάλιν φθείρεσθαι συμβαίνει· τὰ γὰρ σώματα μιγνύμενα φθείρονται. οὐ τὰ ἀσώματα. διὸ πάντα καταλάμπουσα ἡ θεία πρόνοια οὐ πάλ * * * ἀλλοίωσιν· οὔτε γὰρ φθείρεσθαι

4 οὐδὲ scripsi: οὔτε libri 12 αἱ om. D 13 ἁπλῶς D 14. 15 εἰ δὲ — μιγνύμενα scripsi: post εἶναι XVIII litterae evanidae, inde pergit ται ἔσονται (IV litterae desunt) μιγνύμενα· οὔτε γὰρ κτλ. A: post εἶναι desunt XIV litterae, inde ἔσονται φθαρταὶ φθείρονται (desunt XVIII litterae) οὔτε γὰρ κτλ. D 15 τὴν μῖξιν οἶνος in lacuna om. D 16 alterum μέλι om. D 21 νοητικούς] immo ποιητικούς: cf. p. 438.20. 28 οὐδὲ scripsi: οὔτε libri 26. 27 ὑπερδύναμον scripsi: ὑπερδύναμιν libri 33 οὐ πάλ (XII litterae desunt) ἀλλοίωσιν A: οὐ πά sequente lacuna XIV litterarum D: fort. legendum οὐκ ἀλλοιοῦται οὐδεμίαν ἀλλοίωσιν

ρονται τὰ * * * μιγνύμενα. ἄφραστος γάρ τίς ἐστιν ἐπὶ † τούτων γνώ- f. 307r
σεως. καὶ ἡ μῖξις ἐπὶ σωμάτων θεωρεῖται. τρίτη ὑπῆρχεν ἀπορία τοι-
αύτη ἡ λέγουσα, ὅτι εἰ θεωρεῖται τὸ αὐτοζῷον ἐν τῷ ἀνθρώπῳ, ἐπειδὴ
τὸ μέρος τῆς οὐσίας οὐσία ἐστὶ καὶ τὸ μέρος τῆς ἰδέας ἰδέα, ἔστι δὲ ὁ
5 αὐτοάνθρωπος καὶ ἰδέα καὶ οὐσία, ἔσται οὐσία οὐσίας καὶ ἰδέα ἰδέας, καὶ
τοῦτο ἐπ' ἄπειρον. λέγομεν οὖν πρὸς τοῦτο ὅτι τὰ μὲν συντεταγμένα
ἀλλήλοις οὐ λέγονται εἶναι γένη ἐκείνων, ἤγουν ⟨ὧν⟩ συντεταγμένα ὑπάρ-
χουσιν, ἀλλὰ στοιχεῖα αὐτῶν. διὸ τὸ ζῷον τὸ ἐν τῷ σώματι, ἤγουν τὸ
ἐν τῷ ἀνθρώπῳ ὑπάρχον, οὐ λέγεται γένος εἶναι αὐτοῦ, ἀλλὰ τὸ ἐξῃρη-
10 μένον λέγομεν γένος εἶναι αὐτοῦ· ὥστε τὸ αὐτοζῷον τοῦ μὲν αὐτοανθρώ-
που στοιχεῖον ὑπάρχει, τοῦ δὲ ἀνθρώπου τοῦ ἐνταῦθα γένος καὶ ἰδέα.
ὥστε οὐκ ἔσται ἰδέα ἰδέας. τετάρτη ἀπορία ἦν τοιαύτη, ὅτι εἰ θεωροῦν-
ται αἱ ἰδέαι ἐν τοῖς αἰσθητοῖς, ἐπειδὴ ἄπειρα ταῦτα, ἔσονται καὶ αἱ ἰδέαι
ἄπειροι· καὶ ἐπειδὴ ἐν φθαρτοῖς θεωροῦνται, ἔσονται καὶ αὐταὶ φθαρταὶ
15 καὶ θνηταί. λέγομεν πάλιν πρὸς ταῦτα ὅτι ὥσπερ οὐ λέγεις τὸ καθόλου
διὰ πάντων τῶν ὄντων πεφοιτηκέναι, οἷον τὸν λόγον τὸν καθόλου τοῦ ἀν-
θρώπου. καὶ οὐ διὰ τοῦτο φῆς αὐτὸ εἶναι φθαρτόν. ἅτε δὴ ἐν τοῖς οὖσιν
ἀεὶ ὑπάρχον (καὶ εἰ μὲν ἐπιμεριζεται, εἴη ἂν φθαρτόν, καθὸ δὲ διὰ πάν-
των πεφοίτηκεν, εἴη ἂν καθόλου) * * * κεῖνα φησὶν ὅτι μετέχουσιν ἐκεῖνα
20 τῆς * * * καθὸ δύνανται χωρεῖν, ὁ ἄνθρωπος κατὰ τὰ μέτρα τοῦ ἀνθρώ-
που, ὁμοίως καὶ ὁ ἵππος καθὸ ἵππος· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

p. 1039b16 Ἔτι δὲ ἐπὶ τῶν αἰσθητῶν ταῦτά τε συμβαίνει καὶ τούτων ἀτοπώτερα.

Ἔτι πρὸς τοὺς τὰς ἰδέας πρεσβεύοντας ἐνίσταται, καί φησιν ὅτι τὸ
25 εἶδος αὐτὸ καθ' αὑτὸ οὔτε γίνεται οὔτε φθείρεται. οὐ γάρ γίνεται τὸ εἶ-
δος τῆς οἰκίας αὐτὸ καθ' αὑτὸ οὔτε φθείρεται. ἀλλὰ τὸ σύνθετόν ἐστι f. 307v
τὸ γινόμενον καὶ φθειρόμενον τὸ ἔνυλον εἶδος. διὰ γοῦν ταύτην τὴν αἰ-
τίαν τῶν καθ' ἕκαστα καὶ φθαρτῶν οὐχ ὑπάρχουσιν ὁρισμοί. ὥσπερ γάρ
οὐκ ἐνδέχεται τὴν ἐπιστήμην ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι. οὕτως οὐ-
30 δὲ ὁρισμὸν ἐνδέχεται ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι. εἰ γὰρ ἀρχαὶ τῶν
ἐπιστημῶν οἱ ὁρισμοὶ ὑπάρχουσιν, οὔτε δὲ δυνατὸν τὴν τοῦ τριγώνου ἐπι-
στήμην τὴν δεικνῦσαν τὰς ⟨δύο⟩ ὀρθὰς ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι.

